Gregorii. — Hæc tibi custodia sit, temetipsam nosse. Qui vero erraticis præcedentium vestigiis insistit, desinet in hædum pro ove conversus. Sponsi ergo amici dicunt : O anima, quæ ex nigra facta es pulchra, si est tibi cura servandi pulchritudinem, noli errantes sequi, ne quando hædorum a sinistris collocando gregi adjungaris. Est autem D clarior et syntaxi congruentior scriptura : Si non cognoscas teipsam : o pulchra inter mulieres, egredere e vestigiis gregum, et pasces hædos pro tabernaculis pastorum : ut sit *egredere* pro *egredieris*.

Φίλωνος. — Ἕτερος τὸν λόγον ὡς ἀπὸ τοῦ νυμφίου φησὶ πρὸς τὴν ἐν πάσαις ταῖς συναγωγαῖς μόνην οὖσαν καλὴν, ὅτι Γνῶθι σεαυτὸν ἧς καὶ ποῦ νῦν εἶ, καὶ παρὰ τίνος ἔχεις τὸ κάλλος· εἰ δὲ σαυτὴν ἀναξίαν τῆς ἐμῆς δόξης ποιεῖς, ποίμαινε τῶν ἁμαρτωλῶν τὰς ψυχὰς ἐν τοῖς σκηνώμασι τῶν τοῦ Ἰσραὴλ βασιλέων.

Philonis. — Alius vero ait quasi sponsi sermonem esse ad eam quæ ex omnibus synagogis sola pulchra est : noveris ubi fueris, et ubi modo sis, et quo habeas pulchritudinem. Si autem temetipsam mea gloria indignam reddis, pasce peccatorum animas in tabernaculis regum Israel.

[10] Joan. xv, 15. [11] II Cor. III, 15.

Digitized by Google

Cyrilli. — Vel nisi pœnitentiam egeris, inquit, posterior gentibus repericris, utpote non habens fructus justitiæ, quod steriles pascas, idque post greges quos mihi constituerant.

Apollinarii. — Juxta Symmachi vero editionem istiusmodi sensum habet : *Si necdum gregis mei signum cognovisti, et secundum meas leges populum tuum gubernas, egrediens sequere greges;* sic enim cognosces oves meas non Judaici gregis more incedere; nam sic pasta novaque tua pecora, quæ hædos vocavit pascens, cognosces ubi pascat Christus, et qui ab ipso pascantur, spiritalem pulcherrimumque habentes characterem, secundum quem pulchra inter mulieres electa est Ecclesia.

Origenis. — Porro celeberrima illa apud Græcos sententia, *Nosce teipsum*, jam ante a sapiente Salomone præcepto tradita est, etc.

VERS. 8. *Equæ meæ in curribus Pharaonis assimilavi te, proxima mea.*

Gregorii. —Equa Dei opposita curribus Pharaonis, est angelica quædam et invisibilis virtus Ægyptium demergens, cui assimilatur anima lavacro expiata, quæ omnem sensum Ægyptium, omnemque alienigenam malitiam in curribus olim Pharaonis expressam aquis submergit. Huic equæ meæ modo assimilavi te.

Cyrilli. — Vel quæ suscepisti fidem meam, o Ecclesia, apostolis assimilata es, de quibus est illud: « Ascende super equos tuos, et equitatio tua salus[15]. » Qui et præparati sunt adversum currus spiritualis Pharaonis.

VERS. 9. *Quam speciosæ factæ sunt genæ tuæ tanquam turturis.*

Gregorii. — Cum equa sit lasciva, continentia turturis eam exornavit : equam enim, inquit, dicebam, non quasi camo frenoque opus sit, nam pura vita tibi congruit.

Cyrilli. — Vel verecundiam erga sponsum proponit. Rubræ namque sunt turturis genæ, huic autem connexioni contrarium dictum est per prophetam : « Facies tibi facta est meretricis, sine rubore facta es ad omnes[16]. »

Origenis. —Sed et membra Ecclesiæ Christi sponsæ Paulus ait, etc.

Collum tuum sicut torques [Vulg. *monilia*].

Gregorii. — Laudat collum in figuram circuli gyratum quod ubique in superbis equorum pullis fieri videmus. Torquium enim mentio indicat circulum, cujus figura in cervice ostensa reddit equum seipso decentiorem; ὅρμος autem proprie quidem dicitur in locis maritimis in quibus littus intrinsecus in lunæ formam cavatum, sinu excipit

Κυρίλλου. — Ἤγουν, εἰ μὴ μετανοήσῃς, φησὶν, ὀπίσω τῶν ἐθνῶν εὑρεθήσῃ· ἅτε μὴ ἔχουσα καρποὺς δικαιοσύνης, ἄκαρπος μένουσα, καὶ ὀπίσω ποιμνίων ὧν ἐμαυτὸν συνεστησάμην.

Ἀπολιναρίου. — Κατὰ δὲ τὴν ἔκδοσιν τοῦ Συμμάχου, τοιαύτην ἔχει τὴν ἔννοιαν· *Εἰ μήπω τὸν χαρακτῆρα τῆς ἐμῆς ἐπέγνωκας πολιτείας, καὶ κατὰ νόμους ἐμοὺς τὸν σεαυτῆς ποιμανεῖς λαὸν, ἐξελθοῦσα τοῖς ποιμνίοις ἀκολούθει* · γνώσει γὰρ οὕτως, ὅτι μὴ κατὰ τὴν ποίμνην τὴν Ἰουδαϊκὴν βαδίζει πρόβατα τὰ ἐμά· οὕτω γὰρ ποιμαινομένη, καὶ τὰ ἑαυτῆς νεαρὰ ποιμαίνουσα θρέμματα, ἅπερ εἶπεν ἐρίφους, γνώσῃ ποῦ νέμει Χριστὸς, καὶ τίνες οἱ ὑπ' αὐτὸν νεμόμενοι, τὸν πνευματικὸν ἔχοντες καὶ κάλλιστον χαρακτῆρα, καθ' ὃν καλὴ ἐν γυναιξὶν ἡ ἐξαίρετος Ἐκκλησία.

Ὠριγένους. — Τὸ πολυθρύλλητον δὲ παρ' Ἕλλησιν ἐπίφθεγμα προείληπται παραδοθὲν τῷ σοφῷ Σολομῶντι, τὸ, *Γνῶθι σαυτὸν*, κ. τ. λ. (17).

Η'. *Τῇ ἵππῳ μου ἐν ἅρμασι Φαραὼ ὡμοίωσά σε, ἡ πλησίον μου.*

Γρηγορίου. — Ἵππους Θεοῦ ἀντιτασσομένη τοῖς ἅρμασι Φαραὼ, δύναμίς τις ἀγγελικὴ καὶ ἀόρατος καταποντίζουσα τὸν Αἰγύπτιον· ᾗ παρεικάζεται ἡ τῷ λουτρῷ κεκαθαρμένη ψυχὴ, πᾶν Αἰγύπτιον νόημα καὶ πᾶσαν τὴν ἀλλόφυλον κακίαν τοῖς ὕδασι κατακλύζουσα· τὴν οὖν ποτε, φησὶ, γενομένην ἐν ἅρμασι Φαραὼ, τῇ ἵππῳ μου νῦν παρωμοίωσά σε.

Κυρίλλου. — Ἤγουν δεξαμένην τὴν ἐμὴν, ὦ Ἐκκλησία, πίστιν τοῖς ἀποστόλοις εἰκάσθης· περὶ ὧν τὸ, « Ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία· » οἳ καὶ κατὰ τῶν ἁρμάτων εὐτρεπίσθησαν τοῦ νοητοῦ Φαραώ.

Θ'. *Τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνος;*

Γρηγορίου. — Ἐπείπερ ἵππος ἀκόλαστος, τῆς τρυγόνος αὐτὴν ἐκόσμησε σωφροσύνην· ἵππον γὰρ εἶπον, φησὶν, οὐχ ὡς κημοῦ δεομένην καὶ χαλινοῦ· ἐμπρέπει γὰρ ἡ καθαρά σοι ζωή.

Κυρίλλου. — Ἤγουν τὴν αἰδὼ τὴν πρὸς τὸν νυμφίον παρίστησι διὰ τῆς τρυγόνος· ἐρυθραὶ γὰρ τῆς τρυγόνος αἱ σιαγόνες· τῇ δὲ συναγωγῇ τοὐναντίον· « Ὄψις πόρνης ἐγένετό σοι ἀπανηνσχύντησας πρὸς πάντας. »

Ὠριγένους. — Ἀλλὰ καὶ μέλη Χριστοῦ Ἐκκλησίαν νύμφης ὁ Παῦλός φησιν, κ. τ. λ. (18).

Τράχηλός σου ὡς ὁρμίσκοι.

Γρηγορίου. — Ἐπαινεῖ τὸν τράχηλον τὸν ἐν σχήματι κύκλου γυρούμενον; ὃ δὴ περὶ τοὺς γαύρους τῶν πώλων ὁρῶμεν γινόμενον· ἡ γὰρ τῶν ὁρμίσκων μνήμη τὸν κύκλον ἐνδείκνυται, οὗ τὸ σχῆμα ἐπὶ τοῦ αὐχένος δεικνύμενον, εὐπρεπέστερον αὐτοῦ τὸν πῶλον ποιεῖ· ὅρμος δὲ λέγεται, κυρίως μὲν ἐπὶ τῶν παραλίων τόπων, ἐν οἷς ἡ ὄχθη καὶ τὸ

[15] Habac. III, 8. [16] Jerem. III, 3.

NOTÆ.

(17) Scholium illud quod in C. B. sub nomine Apollinarii continuatur, leges *Patrol.* t. XVII. col. 256, 257.

(18) *Patrol.* t. XVII, col. 257.

Digitized by Google

ἐντὸς μονοειδῶς κοιλανθεῖσα, ὑποδέχεται τῷ κόλπῳ τὴν θάλασσαν· καὶ ἀναπαύει δι' ἑαυτῆς τοὺς ἐκ τοῦ πελάγους προσπλέοντας· ἐκ μεταφορᾶς δὲ διὰ τοῦ σχήματος, ὁ περιτραχήλιος κόσμος ὅρμος λέγεται· ὡς δὲ εἰς κύκλου σχῆμα κάμπτων ὁ πῶλος τὸν αὐχένα πρὸς τὰς ἰδίας τῶν ποδῶν βάσεις ὁρῶν, δι' ὧν ἀπρόσκοπόν τε καὶ ἀσφαλῆ ποιεῖται τὸν δρόμον, μήτε τῷ λίθῳ προσπταίων, μήτε κενεμβατῶν ἐν τῷ βόθρῳ· τοῦτο δὲ οὐ μικρὸν εἰς εὐφημίαν ἐστὶ ψυχῆς, τὸ πρὸς ἑαυτὴν βλέπειν· καὶ δι' ἀσφαλείας ἀπάσης πρὸς τὸν θεῖον δρόμον ἐπείγεσθαι· εἰ δὲ ἦν ἑνὶ μόνῳ προσεικασμένη ὁρμίσκῳ, ἀτελὴς πάντως ὁ ἔπαινος ἦν, ὡς οὐ τὴν αὐτὴν καὶ ἐπὶ τῶν λοιπῶν ἀρετῶν τὴν μαρτυρίαν ἔχων· νῦν δὲ πᾶσαν συλλαμβάνει τῷ λόγῳ τῶν ἀρετῶν τὴν μαρτυρίαν, ἡ πρὸς τὸ πλῆθος τῶν ὁρμίσκων ὁμοίωσις.

A mare, ac per se quietis stationem præbet iis qui e mari adnavigant: ex metaphora autem propter figuram ornamentum colli dicitur ὅρμος. Sicut autem equus cervicem in orbem flectens ad omnes suos gressus aspicit, quo fit ut inoffensus et tutus sit gressus ejus, neque ad lapidem offendens, neque in foveam temere incidens: ita nec hoc parvum facit ad laudem animæ, nempe ad seipsam respicere, et cum omni securitate ad cursum divinum festinare. Si autem uni soli assimilata torqui esset, laus omnino esset imperfecta, quod non idem haberet testimonium in cæteris virtutibus: nunc autem oratione complectitur omne virtutum testimonium, ista torquium multitudini assimilatio.

B

Διδύμου. — Ὁρμίσκοι (19) γάρ, ἡ καθαρὰ πίστις, ἡ ἀμόλυντος σωφροσύνη, ὁ καθαρὸς βίος· ἤγουν αὐτὸ χρῆμα κόσμος ἐστὶν, ἀλλ' οὐ κόσμιον περικείμενος.

Didymi. — Torques enim sunt pura fides, immaculata continentia, munda vita. Vel ipsa res per se ornatus est, sed non ornatum addens.

Κυρίλλου. — Λέγει τράχηλον τὸ ὑποτακτικὸν τῆς ψυχῆς· πῶς γὰρ κόσμος καλὸς, αὐχὴν μελετήσας φέρειν τοῦ Χριστοῦ τὸν ζυγόν;

Cyrilli. — Dicit autem collum animi submissionem, quomodo enim non pulchrum ornamentum sit studiose ferre jugum Christi?

ι', ια'. *Ὁμοιώματα χρυσίου ποιήσωμέν σοι μετὰ στιγμάτων τοῦ ἀργυρίου· ἕως οὗ ὁ βασιλεὺς ἐν ἀνακλίσει αὐτοῦ.*

Vers. 10, 11. *Similitudines auri faciemus tibi cum notis argenti. Donec rex in accubitu suo.*

Ὠριγένους. — Τοῦτο δὲ, οὐ πολὺς ἦν οὐδὲ κεχυμένος ὁ ἄργυρος, κ. τ. λ. (20).

Origenis. — Hoc autem, nec multum nec fusum erat argentum, etc.

Γρηγορίου. — Ἄξιον δὲ τοῦτο μὴ παραδραμεῖν ἀθεώρητον· τί δήποτε οὐκ αὐτὸ τὸ χρυσίον εἰς κόσμον παραλαμβάνεται, ἀλλὰ τοῦ χρυσίου τὰ ὁμοιώματα· καὶ οὐκ αὐτὸς ὁ ἄργυρος, ἀλλὰ τὰ ἐκ τῆς ὕλης ταύτης, τῷ ὁμοιώματι τοῦ ἀργυρίου συγκροτούμενα στίγματα· τὸ τοίνυν διὰ τοῦτο δηλούμενον τοιοῦτόν ἐστιν, ὅτι ἡ θεία φύσις πάσης ὑπέρκειται καταληπτικῆς διανοίας. Τὸ δὲ περὶ αὐτῆς ἡμῖν ἐγγινόμενον νόημα, ὁμοιώματά ἐστι τοῦ ζητουμένου· οὐ γὰρ αὐτὸ δείκνυσιν ἐκείνου τὸ εἶδος, ὃ οὔτε τις οἶδεν, οὔτε ἰδεῖν δύναται, ἀλλὰ δι' ἐσόπτρου καὶ δι' αἰνίγματος ἐμφασίν τινα σκιαγραφεῖ τοῦ ζητουμένου, ἐκ τινος εἰκασμοῦ ταῖς ψυχαῖς γινόμενον· πᾶς δὲ λόγος τῶν τοιούτων νοημάτων σημαντικὸς, στιγμῆς τινος ἀμεροῦς δύναμιν ἔχει, μὴ δυνάμενος ἐμφῆναι ὅπερ ἡ διάνοια βούλεται· ὡς εἶναι πᾶσαν μὲν διάνοιαν κατωτέραν τῆς ἀληθείας κατανοήσεως· πάντα δὲ λόγον ἑρμηνευτικὸν στιγμὴν βραχεῖαν δοκεῖν, μὴ δυνάμενον τῷ πλάτει τῆς διανοίας ἐπεκτείνεσθαι· τὴν οὖν διὰ τῶν τοιούτων ῥημάτων χειραγωγουμένην ψυχὴν πρὸς τὴν τῶν ἀλήπτων περίνοιαν, διὰ μόνης πίστεως εἰσοικίζειν ἐν ἑαυτῇ λέγει δεῖν τὴν πάντα νοῦν ὑπερέχουσαν φύσιν· καὶ τοῦτό ἐστι τὸ παρὰ τῶν φίλων λεγόμενον, ὅτι Σοὶ ποιήσωμεν, ὦ ψυχή, τῇ καλῶς πρὸς τὸν ἵππον ἀπεικασθείσῃ, ἐνδάλματά τινα τῆς ἀληθείας καὶ ὁμοιώματα· τοιαύτη γὰρ καὶ τοῦ τῶν λόγων ἀργυρίου ἡ δύναμις

Gregorii. — Par est autem hoc non prætermittere inconsideratum, cur nempe non ipsum aurum assumitur ad ornatum, sed auri similitudines: et non ipsum argentum, sed quæ ex hac materia impressæ sunt notæ auri similitudini. Quod ergo per hæc significatur est hujusmodi: divinam nempe naturam excedere omnem intelligendi facultatem; quæ autem de ea nobis inest intelligentia, similitudo est ejus quod quæritur. Non enim ostendit ipsam illius formam, quam neque novit quispiam nec videre potest, sed per speculum et ænigma describit quamdam illius quod quæritur apparentem speciem quæ animis ex quadam conjectura inest. Omnis autem oratio quæ significat hujusmodi mentis conceptiones, habet vim cujusdam puncti individui, non valens explicare id quod vult mentis cogitatio. Ita ut omnis quidem mentis conceptio sit infra Dei comprehensionem: omnis autem interpretans oratio videtur esse brevis punctus, cum non possit simul extendi cum latitudine cogitationis. Animam igitur, quæ per hujusmodi mentis conceptiones tanquam manu ducitur ad eorum quæ capi non possunt, cogitationem dicit, per solam fidem oportere ad suam introducere habitationem, naturam illam quæ omnem superat intelligentiam. Et hoc est illud quod dicitur ab amicis, Tibi, o anima, quæ recte equis es assimilata, faciemus quædam virtutis simulacra et

C

D

NOTÆ.

(19) Ὁρμίσκοι — βίος in C. B. continuantur sub nomine Gregorii.
(20) *Patrol.* t. XVII, col. 257.

Digitized by Google

similitudines. Talis enim horum sermonum argenti vis, ut scintillarum specie irradiari videantur verba, quæ insitum iis intellectum exacte nequeant exprimere. Tu autem his acceptis per fidem fies subjugale et habitaculum ejus qui in te reclinaturus est per tui inhabitationem : ejus enim et sedes eris et domus fies ; cum amici sponsi hæc puræ dedissent virgini animæ, hi autem « sunt administratorii spiritus in ministerium missi propter eos qui hæreditatem capient salutis [15]. »

Philonis.—Etiam similitudines auri sunt martyres tanquam aurum in igne probati, stigmata Christi in corpore suo portantes : sed et in tempore pacis, non solum in persecutionibus angustam arctamque viam incedendum, donec rex in regeneratione advenia[t].

Cyrilli. — Vel argentum quidem, ut in Scriptura solet, divina doctrina sit, aurum vero divina charismata. Omnia quæ Christi adventum præcesserunt, similitudines erant et umbræ futurorum (prout Apostolus ait) bonorum. At ubi Christus resurrexit, perfecta hominibus munera largitus est. Ante resurrectionem vero similitudines habebamus a sodalibus ejus, tum lege, tum prophetis.

Nardus mea dedit odorem suum.

Procopii. — Suavem odorem dicit e variis virtutibus, tanquam floribus sponsæ compositum ; si quidem in semetipsa olfacit suavem odorem Christi ; vel etiam passionem ejus dixit, in qua alabastrum unguenti effusum dedit ubique odorem suum.

Origenis. — Nam sponsi, inquit, odorem etc.

Gregorii. — Quemadmodum enim vos, inquit, administratorii spiritus, non ipsum sincerum divinitatis aurum, sed per eas mentis conceptiones quas capere possumus nobis donatis auri similitudines, non dilucida oratione quæ sunt ejus aperientes, sed per exiguas rationalis argenti notas præbentes quasdam apparentes ejus quod quæritur species, sic et ego per intellectum hujus unguenti illius ipsius bonum odorem sensu percepi. Istiusmodi autem mihi videtur habere sensum : Quemadmodum ex diversis aromatibus secundum aliam atque aliam proprietatem fragrantibus, artificiosa et moderata mistio, tale efficit unguentum ex iis quæ simul injiciuntur, unius cujusdam herbæ odoriferæ cui nomen nardus, quæ toti compositioni nomen præbet : sic utique si quis omnem bene olentem florem ex variis virtutum pratis collegerit, et totam vitam suam unum fecerit unguentum per bonum odorem singulorum vitæ studiorum, et per omnia perfectus evaserit, in ipsum quidem Dei Verbum, tanquam in solis orbem, ob eminentiam obtutum figere naturaliter non potest ; sed in seipso tanquam in speculo solem aspicit. Illius enim veræ et

[15] Hebr. I, 14.

ὡς ἐναυγάσματα σπινθηροειδῆ δοκεῖν εἶναι τὰ ῥήματα, μὴ δυνάμενα δι' ἀκριβείας ἐμφῆναι τὸ ἐγκείμενον νόημα : σὺ δὲ ταῦτα δεξαμένη, ὑποζύγιόν τε καὶ οἰκητήριον γενήσῃ διὰ πίστεως, τοῦ ἐν σοὶ ἀνακλίνεσθαι μέλλοντος διὰ τῆς ἐν σοὶ κατοικήσεως· τοῦ γὰρ αὐτοῦ καὶ θρόνος ἔσῃ καὶ οἶκος γενήσῃ· ταῦτα τῶν φίλων τοῦ νυμφίου τῇ καθαρᾷ καὶ παρθένῳ χαρισαμένων ψυχῇ, *εἶεν δ' ἂν οὗτοι τὰ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν.*

Φίλωνος. — Καὶ ὁμοιώματα (21) χρυσίου οἱ μάρτυρες, ὡς χρυσὸς ἐν πυρὶ δοκιμασθέντες· φέροντες ἐπὶ τοῦ σώματος τὰ στίγματα τοῦ Χριστοῦ καὶ ἐν καιρῷ δὲ εἰρήνης οὐ μόνον ἐν διωγμοῖς· διὰ τὸ ἐλέσθαι τὴν στενὴν καὶ τεθλιμμένην ἕως οὗ ὁ βασιλεὺς ἐν τῇ παλιγγενεσίᾳ παραγένηται.

Κυρίλλου. — Ἤγουν ἀργύριον μὲν ἐν τῇ Γραφῇ συνήθως, ἡ θεία διδασκαλία· χρυσίον δὲ τὰ θεῖα χαρίσματα· πάντα δὲ πρὸ τῆς ἐπιδημίας Χριστοῦ, ὁμοιώματα ἦν καὶ σκιὰ τῶν μελλόντων, κατὰ τὸν Ἀπόστολον, ἀγαθῶν· ἀναστὰς δὲ Χριστὸς τὰ τέλεια τοῖς ἀνθρώποις δεδώρηται· πρὸ δὲ τῆς ἀναστάσεως ὁμοιώματα εἴχομεν, παρὰ τῶν ἐπαίνων αὐτοῦ, τοῦ τε νόμου καὶ τῶν προφητῶν.

Νάρδος ἔδωκεν ὀσμὴν αὐτοῦ.

Προκοπίου. — Εὐωδίαν φησὶν ἐκ ποικίλων ἀρετῶν καθάπερ ἐξ ἀνθέων συναγομένην τῇ νύμφῃ· ἐν ἑαυτῇ γὰρ ὀσφραίνεται τῆς εὐωδίας Χριστοῦ· καὶ εἰ τὸ πάθος εἶπεν αὐτοῦ, ἐφ' ᾧ καὶ τὸ ἀλάβαστρον τοῦ μύρου χυθὲν διέδωκε πανταχοῦ τὴν ὀσμήν.

Ὠριγένους. — Τὴν γὰρ τοῦ νυμφίου φησὶν ὀσμὴν, κ. τ. λ. (22).

Γρηγορίου. — Ὡς γὰρ ὑμεῖς, φησὶ, τὰ λειτουργικὰ πνεύματα, οὐκ αὐτὸ τὸ ἀκήρατον τῆς θεότητος χρυσίον, ἀλλ' ὁμοιώματα διὰ τῶν χωρητικῶν ἡμῖν νοημάτων τοῦ χρυσίου χαρίζεσθε· οὐ τηλαυγεῖ τῷ λόγῳ τὰ κατ' αὐτὸν ἐκκαλύπτοντες, ἀλλὰ διὰ τῆς βραχύτητος τῶν τοῦ λογικοῦ ἀργυρίου στιγμάτων ἐμφάσεις τινὰς παρασχόμενοι τοῦ ζητουμένου, οὕτω κἀγὼ διὰ τῆς ἐπιπνοίας τοῦ ἐμοῦ μύρου, τὴν αὐτοῦ ἐκείνου εὐωδίαν τῇ αἰσθήσει παρεδεξάμην· τοιοῦτον δὲ, μοι δοκεῖ, νοῦν ἔχει· Ὥσπερ ἐκ διαφόρων ἀρωμάτων, ἄλλου κατ' ἄλλην ἰδιότητα εὐπνοούντων, τεχνικὴ τις καὶ ἔμμετρος μίξις τὸ τοιοῦτον ἀπεργάζεται μύρον μιᾶς τινος πόας εὐώδους ἐκ τῶν συνεμβαλλομένων, ᾗ ὄνομα νάρδος ἐστὶν, ὅλῳ τῷ κατασκευάσματι περιεχομένης τὸ ὄνομα· οὕτω καὶ εἴ τις πᾶν ἄνθος εὐωδίας ἐκ τῶν ποικίλων τῆς ἀρετῆς λειμώνων ἀνθολογήσας καὶ πάντα ἑαυτοῦ τὸν βίον ἓν μύρον διὰ τῆς τῶν καθ' ἕκαστον ἐπιτηδευμάτων εὐοσμίας ἀπεργασάμενος, διὰ πάντων γένοιτο τέλειος, πρὸς αὐτὸν μὲν τὸν Θεὸν Λόγον, ὡς πρὸς ἥλιον κύκλον ἀτενῶν ἐνιδεῖν φύσιν οὐκ ἔχει, διὰ τὸ ὑπερκείμενον τῆς οὐσίας, ἐν ἑαυτῷ δὲ, καθάπερ ἐν κατόπτρῳ, βλέπειν τὸν ἥλιον· αἱ γὰρ τῆς ἀληθινῆς καὶ θείας ἀρετῆς ἀκτῖνες τῷ

NOTÆ.

(21) Καὶ ὁμοιώματα — παραγένηται in C. B. continuantur sub nomine Gregorii.
(22) *Patrol.* t. XVII, col. 260.

Digitized by Google

κεκαθαρμένῳ βίῳ, διὰ τῆς ἀπορρεούσης αὐτῶν ἀπαθείας ἐκλάμπουσαι, ὁρατὸν ποιοῦσιν ἡμῖν τὸν ἀόρατον, καὶ ληπτὸν τὸ ἀπρόσιτον · τῷ ἡμετέρῳ κατόπτρῳ ἐνζωγραφοῦσα τὸν ἥλιον · ἢ καὶ τὸ πάθος αἰνίττεται τοῦ Χριστοῦ, ἐφ' ᾧ καὶ τὸ ἀλάβαστρον τοῦ μύρου χυθὲν, διέδωκεν τὴν ὀσμήν.

ιβ'. *Ἀπόδεσμος τῆς στακτῆς ἀδελφιδός μου ἐμοὶ, ἀνὰ μέσον τῶν μαστῶν μου αὐλισθήσεται.*

Γρηγορίου (23). — Διὰ τούτων μείζονα καὶ τελειοτέραν ἐμφαίνει σοφίαν, ἣν κατορθῶσαι μόνον τῶν ἤδη τετελειωμένων ἐστίν · ἐπειδὴ γὰρ ἔθος ταῖς φιλοκόσμοις γυναιξὶ μὴ τοῖς ἔξωθεν προκοσμήμασι μόνον ἐπινοεῖν ἑαυταῖς τὸ ἐπὶ τῶν συμβιούντων ἐράσμιον, ἀλλ' ἐπιτηδεύειν διά τινος εὐπνοίας, ἡδίω τὰ σώματα τοῖς ἑαυτῶν ἀνδράσι φαίνεσθαι, τὸ καταλλήλως ἐνεργοῦν πρὸς τὴν τοιαύτην χρείαν ἄρωμα, ἐντὸς τῆς κατὰ τὴν ἐσθῆτα περιβολῆς ἐγκρύπτουσαι · οὗ τὸν οἰκεῖον ἀτμὸν ἐκδιδόντος, καὶ τὸ σῶμα τῇ τοῦ ἀρώματος εὐπνοίᾳ συγκαταχρώννυται τοῦ ἐμοῦ αὐχένος ἀπόδεσμος, καὶ κατὰ τοῦ στήθους εὐωδιάζων τὸ σῶμα · αὐτός ἐστιν ὁ Κύριος, οὐχ ἕτερον ἄρωμα · στακτὴ γὰρ γενόμενος ἔγκειται τῷ ἀποδέσμῳ τῆς συνειδήσεως αὐτῇ μου τῇ καρδίᾳ νῦν αὐλιζόμενος, οἱονεὶ ἐν τῷ βαθεῖ καὶ μεσαιτάτῳ, ἐν ᾧ τόπῳ τὸ ἀγαθὸν θησαυρίζεται, καὶ ζωπυρεῖ τὰ τοῦ σώματος μέλη · μηδὲ μιᾶς ἀνομίας τὴν κατὰ Θεὸν ἀγάπην ἀποψυχούσης · στακτὴ δὲ γέγονεν, ὡς ἄτευκτος ἐπὶ πόκον, καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν · λέγει δὲ καὶ ἐν Ψαλμοῖς, « Σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ ἱματίων σου · » μή ποτε οὖν τοῦ Δεσποτικοῦ θανάτου σύμβολον ἡ στακτὴ καὶ σμύρνα, ἣν ἀπόδεσμον τῇ ἑαυτῆς περιφέρει καρδίᾳ ἡ νύμφη ;

Ὠριγένους. — Εἰποῦσα τὴν νάρδον τοῦ νυμφίου, κ. τ. λ. (24).

Κυρίλλου. — Νάρδῳ καὶ ἀποδέσμῳ στακτῆς, ὁ ἐνταφιασμὸς σημαίνεται Χριστοῦ · ἃ Νικόδημος φέρων ἐνετύλιξε τὸ σῶμα αὐτοῦ · μαστοὺς δὲ φέρει τὰς δύο διαθήκας ἡ νύμφη, ὧν ὁ Χριστὸς ἀνὰ μέσον αὐλίζεται.

ιγ'. *Βότρυς τῆς Κύπρου ἀδελφιδός μου ἐμοὶ, ἐν ἀμπελῶσιν Ἐνγαδδί.*

Γρηγορίου. — Τίς οὕτω μακάριος ὥστε τὸν ἴδιον καρπὸν βλέπων ἐν αὐτῷ τῷ βότρυϊ τῆς ἑαυτοῦ ψυχῆς, ὁρᾷν τοῦ ἀμπελῶνος δεσπότην ; ἰδοὺ γὰρ ὅσον τηὐξύνθη ἡ ἐν τῇ ἰδίᾳ νάρδῳ τοῦ νυμφίου ἐπιγνοῦσα τὴν εὔπνοιαν, ἡ στακτὴν αὐτὸν εὐώδη ποιησαμένη, καὶ διαλαβοῦσα τῷ τῆς καρδίας ἐνδέσμῳ τὸ ἄρωμα. ὡς ἂν παραμένῃ αὐτῇ τὸ ἀγαθὸν διὰ παντὸς ἀδιάπνευστον, μήτηρ τοῦ θείου βότρυος γίνεται, τοῦ πρὸς μὲν τοῦ πάθους κυπρίζοντος, ὅπερ ἐστὶν ἀνθοῦντος, ἐν δὲ τῷ πάθει τὸν οἶνον προχέοντος · ὁ γὰρ τὴν καρδίαν ἡμῶν εὐφραίνων οἶνος, αἷμα σταφυλῆς μετὰ τὴν τοῦ πάθους οἰκονομίαν γίνεται καὶ ὀνομάζεται ·

A divinæ virtutis radii puræ vitæ illucescentes per promanantem ex illis impatibilitatem inaspectabilem nobis aspectabilem reddunt et comprehensibilem eum ad quem non patet aditus, in speculo nostro solem describentes : vel etiam passio Christi innuitur, in qua et alabastrum unguenti effusum dedit odorem.

Vers. 12. *Fasciculus myrrhæ fratruelis meus mihi ; in medio uberum meorum demorabitur.*

Gregorii. — Per hæc majorem et perfectiorem indicat philosophiam, quam recte exsequi solum eorum est qui jam sunt perfecti. Cum enim mos sit sui ornandi cupidis mulieribus, non solum externis procurare ornamentis ut sint amabiles iis qui cum ipsis vivant, sed etiam dare operam ut per quam-
B dam suaveolentiam corpora quoque suis maritis suaviora videantur, ad eum usum congruens aroma intra suæ vestis ambitum occultantes, quo suum emittente vaporem, corpus quoque bono odore aromatis simul afficitur. Ait igitur et hæc magni animi virgo quasi dependens e cervice mea fasciculus et in pectore suaveolentia corpus perfundens, ipse est Dominus, non aliud aroma. Myrrha enim effectus inest fasciculo conscientiæ, in ipso meo corde commorans quasi in profundo et intimo meditullii loco bonum thesaurizatur, et vivificat membra corporis, nulla iniquitate dilectionem erga Deum infrigidante. Myrrha porro factus est sicut nimirum pluvia in vellus descendens, et sicut
C stillicidia stillantia super terram. In Psalmis etiam ait : « Myrrha, gutta, et casia a vestimentis tuis [18]. » Num forte Dominicæ mortis symbolum gutta et myrrha quam instar fasciculi corde suo sponsa circumfert?

Origenis. — Postquam dixit sponsi nardum, etc.

Cyrilli. — Nardo et myrrhæ fasciculo sepultura Christi designatur, quæ Nicodemus ferens involvit corpus ejus. Ubera vero fert sponsa duo testamenta, in quorum medio Christus demoratur.

Vers. 13. *Botrus Cypri fratruelis meus mihi in vineis Enqaddi.*

Gregorii. — Quis adeo beatus ut suum fructum
D videns in ipso suæ animæ botro, videat vineæ Dominum ? Vide enim quantum crevit quæ in sua nardo sponsi bonum cognovit habitum quæ myrrha ipsi odorifera effecta est, et cordis fasciculo aroma complexa, ut illi perpetuo maneat bonum nunquam exspirandum. Fit mater divini botri ante passionem quidem gemmascentis, id est florentis, in passione vinum effundentis. Vinum enim cor lætificans fit et nominatur sanguis uvæ post passionis œconomiam. Cum autem botro fruamur dupliciter, nempe cum flos bono odore

[18] Psal. XLIV, 9.

NOTÆ.

(23) Scholium hoc in C. B. nullum auctoris præfert nomen.
(24) *Patrol.* t. XVII, col. 260.

Digitized by Google

sensus oblectat ; vel cum fructu jam perfecto in nostra situm est potestate aut ejus comestione delectari, aut in conviviis vino exhilarari. Hic sponsa adhuc florentem botrum decerpit, Cyprum vitis florem appellans. Qui enim natus est nobis, puer Jesus, in diversis ipsum suscipientibus diverso modo proficiens sapientia et ætate et gratia non in omnibus idem est, sed pro mensura ejus in quo exsistit, secundum capacitatem illius qui illum capit talis apparet, vel infans, vel proficiens, vel perfectus, juxta naturam botri, qui non eadem semper specie in vite conspicitur, sed una cum tempore formam mutat, florens, vernans, perfectus, maturus, vinum factus. Hic est ergo botrus Cypri, botrus vinum promittens, nondum autem vinum exsistens, sed per florem nascens : spes autem est flos de futura gratia fidem faciens. Odoratum enim delectat ante gustum, bonorum exspectatione, spei vaporibus animi sensus recreans. Adjectio autem vocabuli *Gaddi* significat locum pinguem in quo vitis radices agens opimum ac suavem fructum edit. Sic enim qui de locorum scribunt historia dicunt sortem Gaddi esse appositam ad alendos botros. Quoniam igitur qui legi Domini voluntatem habet congruentem, diu et noctu in ea meditans, efficitur arbor semper germinans, aquarum affluxibus pinguis evadens, suoque tempore opportuno fructum ferens ea de causa sponsi vinea in Gaddi agro pingui actis radicibus in profunda cogitatione quæ per divina documenta irrigatur et augetur florentem hunc et vernantem botrum produxit, sponsi formæ assimilatum. Si enim ipse quidem vitis, nos autem palmites, in ipso utique qui vitis est fructum ferimus.

διπλῆς· οὖν οὔσης ἐν τῷ βότρυϊ τῆς ἀπολαύσεως, τῆς μὲν ἐκ του ἄνθους, ὅταν εὐφραίνῃ τῇ εὐωδίᾳ τὰ αἰσθητήρια, τῆς δὲ διὰ τοῦ τελειωθέντος ἤδη καρποῦ, ὅταν ὑπάρχῃ κατ' ἐξουσίαν, ἢ τῆς βρώσεως κατατρυφᾷν, ἢ συμποσίοις τῷ οἴνῳ φαιδρύνεσθαι· ἐνταῦθα ἡ νύμφη ἔτι τὸν ἀνθοῦντα βότρυν καρποφορεῖ· Κύπρον τὴν οἰνάνθην κατονομάζουσι· τὸ γὰρ γεννηθὲν ἡμῖν παιδίον Ἰησοῦς ἐν τοῖς δεξαμένοις αὐτὸν, διαφόρως προκόπτων σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι, οὐκ ἐν πᾶσιν ὁ αὐτός ἐστιν, ἀλλὰ πρὸς τὸ μέτρον ἐν ᾧ γίνεται· καθὼς ἂν ὁ χωρῶν ἱκανότητος ἔχῃ, τοιοῦτος φαίνεται, ἢ νηπιάζων, ἢ προκόπτων, ἢ τελειούμενος, κατὰ τὴν τοῦ βότρυος φύσιν· ὃς οὐ πάντοτε μετὰ τοῦ αὐτοῦ εἴδους ἐπὶ τῆς ἀμπέλου ὁρᾶται· ἀλλὰ καὶ συνεξαλλάσσει τῷ χρόνῳ τὸ εἶδος, ἀνθῶν, κυπρίζων, τελειούμενος, πεπαινόμενος, οἶνος γινόμενος· οὕτως τοίνυν ὁ τῆς Κύπρου βότρυς ἐστὶ βότρυς οἶνον ἐπαγγελλόμενος, οὔπω δὲ οἶνος, ἀλλὰ διὰ τοῦ ἄνθους γινόμενος· ἡ δὲ ἐλπὶς τὸ ἄνθος ἐστὶ, τὴν ἐσομένην χάριν πιστούμενον· τὴν ὄσφρησιν γὰρ εὐφραίνει ἀντὶ τῆς γεύσεως τῇ προσδοκίᾳ τῶν ἀγαθῶν, τοῖς ἀτμοῖς τῶν ἐλπίδων ἡδύνον τὰ τῆς ψυχῆς αἰσθητήρια· ἡ δὲ τοῦ *Γαδδὶ* προσθήκη σημαίνει τὸν πίονα χῶρον, ᾧ ῥιζωθεῖσα ἡ ἄμπελος, εὔτροφον καὶ ἡδὺν καρπὸν ἀπεργάζεται· οὕτω γὰρ καὶ οἱ τοπικῶς ἱστορήσαντες λέγουσι τὸν κλῆρον τοῦ Γαδδὶ ἐπιτηδείως ἔχειν πρὸς εὐτροφίαν βοτρύων· ἐπειδὴ τοίνυν ὁ τῷ νόμῳ Κυρίου σύμφωνον ἔχων τὸ θέλημα, καὶ διὰ πάσης νυκτός τε καὶ ἡμέρας ταύτην τὴν μελέτην ποιούμενος, ἀειθαλὴς γίνεται δένδρον, ταῖς τῶν ὑδάτων ἐπιῤῥοαῖς πιαινόμενος· τούτου χάριν καὶ ἡ τοῦ νυμφίου ἄμπελος ἐν τῷ Γαδδὶ τῷ πίονι τόπῳ ἐῤῥίζωμένη βαθείᾳ τῇ διανοίᾳ διὰ τῶν θείων διδαγμάτων καταρδομένη καὶ αὔξουσα τὸν εὐανθῆ τοῦτον καὶ μορφὴν ὁμοιούμενον. Εἰ γὰρ αὐτὸς μὲν ἡ ἄμπελος, κυπρίζοντα βότρυν ἐξήνθησε, πρὸς τὴν τοῦ νυμφίου ἡμεῖς δὲ τὰ κλήματα, ἐν αὐτῇ δηλονότι τῇ ἀμπέλῳ καρποφοροῦμεν.

Nili. — Botrum Cypri, vel florentem uvam suum dicit fratruelem, vel ex Cypro botrum eximium quid fortassis ista patria in botrorum fertilitate obtinente. Utrum autem horum de sponsa dicatur, posteriori consentit sensui ; etenim si fratruelem suum florentem appellet uvam, istius modi quid ait, ipsum nempe dum adhuc in apparentibus periculis versatur, vernantem esse botrum, sed qui per spem jam conceperit suam perfectionem dum adhuc in flore est ; et licet necdum comestionis, boni tamen odoris fruitionem præbet, et resurrectionis indicat jucunditatem, ipso flore fructum latenter subinsinuans, ac floris interim odore bono consolans. Est enim in vineis Engaddi quod interpretatur oculus tentationis. Etenim Dominus in cruce suspensus, tanquam in loco tentationis omnium oculis erat expositus multum desperationis objiciens intuentibus, attamen minime scandalizabatur anima perfecta, quæ perfectam erga ipsum habebat dilectionem et ex prophetis sibi persuadebat, hoc oportuisse fieri. Etsi enim multos vel etiam omnes ea quæ fiebant perturbarent, me tamen nihil horum commovit aut titubare fecit.

Νείλου. — Βότρυν Κύπρου ἢ τὴν ἀνθοῦσαν λέγει σταφυλήν, ἢ τὸν ἐκ τῆς Κύπρου βότρυν, ἴσως ἐξαίρετόν τι ἐχούσης τῆς πατρίδος, εὐτοκίᾳ βοτρύων· ὁπότερον δὲ τούτων ἂν λέγηται παρὰ τῆς νύμφης, τῷ ὀπίσω συνᾴδει νοήματι· καὶ γὰρ ἀνθοῦσαν λέγει σταφυλὴν τὸν ἑαυτῆς ἀδελφιδὸν, τοιοῦτο λέγει· ὅτι ἕως ἐστὶν ἐν τοῖς δοκοῦσι περιστατικοῖς, κυπρίζων ἐστὶ βότρυς· πλὴν τῶν δι' ἐλπίδος ἀπεκδεχομένων τὴν τούτου τελείωσιν· ἐμοὶ δὲ καὶ ἐν τῷ ἄνθει ὤν, εἰ καὶ μὴ τὴν ἐκ τῆς βρώσεως, ἀλλὰ γοῦν τὴν ἐκ τῆς εὐωδίας παρέχει ἀπόλαυσιν, καὶ τὴν τῆς ἀναστάσεως ὑποφαίνει εὐφροσύνην· τῷ ἄνθει λεληθότως τὸν καρπὸν ὑποκυλίων, καὶ τῇ εὐωδίᾳ τοῦ ἄνθους τέως παραμυθούμενος· ἐν ἀμπελῶσι γάρ ἐστιν Ἐν Γαδδὶ, ὅπερ ἑρμηνεύεται, ὀφθαλμὸς πειρατηρίου· καὶ γὰρ ὁ Κύριος κρεμάμενος ἐν σταυρῷ ὡς ἐν πειρατηρίῳ τοῖς ἁπάντων ὀφθαλμοῖς, πολλὴν ἀμηχανίαν παρέχων τοῖς ὁρῶσιν· ἀλλ' οὐκ ἐσκανδαλίζετο ἡ τελεία ψυχὴ, τελείαν ἔχουσα τὴν εἰς αὐτὸν ἀγάπην, καὶ ἐκ τῶν προφητειῶν πεπεισμένη, ὅτι ταῦτα ἔδει γενέσθαι· καὶ γὰρ πολλοὺς, φησὶν, ἢ καὶ πάντας ἐτάραξε τὰ γεγενημένα, ἀλλ' οὐδὲν ἐμὲ τούτων παρεκίνησεν· οὐδὲ διττάσαι παρεσκεύασεν· εἰ δὲ καὶ κατὰ τὴν

Digitized by Google

ἄλλην ἐκδοχήν, βότρυς Κύπρου ἐστὶ, σκεπτέον πῶς τῆς Κύπρου βότρυς ὢν, οὐκ ἐν ἀμπελῶσι Κύπρου, ἀλλ' Ἐν-Γαδδὶ λέγεται εἶναι· τάχα οὖν ὅτε ἦν ἐν τοῖς κόλποις τοῦ Πατρὸς, πρὸ τῆς ἐνανθρωπήσεως, βότρυς ἦν τῆς Κύπρου Θεὸς Λόγος ὤν· ὅτε δὲ τῷ κόσμῳ διὰ σαρκὸς ἐπεδήμησεν, ἐν ἀμπελῶσι γέγονε τῇ Γαδδί· ἐν ᾗ οἱ ὀφθαλμοὶ τοῦ πειρατηρίου οὐκ ἔχοντες ἀκριβῆ τὴν τῆς ἀληθείας κατάληψιν, δυσδιάγνωστον ἐποίουν τὸ φαινόμενον, ἰσορρεπῶς τῆς διανοίας ἐφ' ἑκάτερα κινούσης, ἐπί τε τὴν θεϊκὴν ἀξίαν διὰ τὸ μέγεθος τῶν θαυμάτων, ἐπί τε τὴν ἀνθρωπίνην εὐτέλειαν διὰ τὰ πάθη· μετὰ γοῦν τὴν τοιαύτην, ἔν τε ταῖς πράξεσιν, ἔν τε τοῖς δόγμασιν αὐτοῖς ἀκρίβειαν ἀμειβόμενος αὐτὴν ὁ νυμφίος, μᾶλλον δὲ τὰ προσόντα αὐτῇ φησι μαρτυρῶν, *Ἰδοὺ εἶ καλὴ*, καὶ τὰ ἑξῆς.

A Quod si vero etiam secundum aliam expositionem botrus Cypri sit, considerandum quomodo cum Cypri botrus esset, non in vineis Cypri sed Engaddi esse dicitur? Fortassis utique quando erat in sinu Patris, ante incarnationem, botrus erat Deus Verbum exsistens; quando autem ad mundum per carnem advenit, in vineis exstitit Gaddi in qua oculi tentationis non habentes accuratam veritatis comprehensionem, eum qui apparebat cognitu difficilem reddebant, dum mens ad utraque æqualiter inclinaretur, ad divinam dignitatem propter miracula, et ad humanam vilitatem propter passiones. Postquam igitur, tam in operibus quam in doctrinis talem ejus diligentiam alternis exercuisset sponsus, magis ea quæ ipsi aderant, suo testimo-
B nio confirmans, ait: *Ecce, pulchra es*, etc.

ιε'. *Ἰδοὺ εἶ καλὴ, ἡ πλησίον μου, ἰδοὺ εἶ καλὴ, ὀφθαλμοί σου περιστεραί.*

Γρηγορίου. — Ἐν μὲν τοῖς φθάσασιν, ἵππου τινὸς εὐμορφίαν τῷ φαινομένῳ προσεμαρτύρησε· νῦν δὲ ὡς παρθένου λοιπὸν ἀποδέχεται τὸ ἀναφανὲν κάλλος, καί φησιν· *Ἰδοὺ εἶ καλὴ, ἡ πλησίον μου*· παιδεύει δὲ διὰ τούτων ὁ λόγος, ταύτην εἶναι τοῦ κάλλους τὴν ἐπανάληψιν, τὸ πλησίον τῆς τοῦ καλοῦ γενέσθαι πηγῆς· πρότερον μὲν γάρ, φησὶν, οὐκ ἦς καλή· διότι τοῦ ἀρχετύπου κάλλους ἀποξενωθεῖσα τῇ πονηρᾷ γειτνιάσει τῆς κακίας πρὸς τὸ εἰδεχθὲς ἠλλοιώθης· ἀποστᾶσα δὲ νῦν τῆς τοῦ κακοῦ κοινωνίας, καὶ ἐμοὶ πλησιάσασά τῷ ἀρχετύπῳ κάλλει, καὶ αὐτὴ καλὴ γέγονας, οἷόν τι κάτοπτρον τῷ ἐμῷ χαρα-
C κτῆρι ἐμμορφωθεῖσα· εἶτα ἐπισχών, καὶ οἷον ἐν προσθήκῃ τινὶ καὶ ἐπιτάσει γενομένην τοῦ κάλλους αὐτὴν θεασάμενος, πάλιν τὸν αὐτὸν ἐπαναλάμβανει λόγον εἰπών· *Ἰδοὺ εἶ καλὴ*· ἀλλ' ἐν τῷ προτέρῳ τὴν πλησίον ὠνόμασεν· ἐνταῦθα δὲ τὴν ἐκ τοῦ ὀνόματος τῶν εἰδῶν γνωριζομένην· *Ὀφθαλμοί σου* γάρ, φησὶ, *περιστεραί*· πρότερον μὲν γὰρ ὅτε τῷ ἵππῳ ἀφωμοιώθη, ἐν σιαγόνι τε καὶ τραχήλῳ ὁ ἔπαινος ἦν· νῦν δὲ ὅτε τὸ ἴδιον αὐτῆς ἀνεφάνη κάλλος, ἡ τῶν ὀφθαλμῶν χάρις ἐγκωμιάζεται· ὁ δὲ τῶν ὀφθαλμῶν ἔπαινος, τὸ περιστεραῖς εἶναι τὰ ὄμματα· ἐπειδὴ πρὸς ὃ ἄν τις ἐνατενίσῃ, τούτου δέχεται ἐν ἑαυτῷ τὸ ὁμοίωμα· καὶ γάρ φασιν οἱ τὰ τοιαῦτα φυσιολόγων ἐπιστήμονες, ὡς τὰς τῶν εἰδώλων ἐμπτώσεις δεχόμενος ὁ ὀφθαλμὸς, αἱ τῶν ὁρατῶν ἀπορρέουσιν, D οὕτως ἐνεργεῖ τὴν ὄψιν· ἡ μηκέτι αἷμα καὶ σάρκα, τουτέστι τὸν σωματικὸν βίον, βλέπουσα νύμφη, ἀλλὰ τῆς σωματικῆς προσπαθείας ἀπηλλαγμένη, εἰκότως τὸ τῆς περιστερᾶς εἶδος ἐν τοῖς ὄμμασιν ἔχειν λέγεται· τουτέστιν τὸν χαρακτῆρα τῆς πνευματικῆς ζωῆς, τῷ διορατικῷ τῆς ψυχῆς ἐναυγάσασα· καὶ ἐπείπερ ὁ καθαρὸς αὐτῆς ὀφθαλμὸς, δεκτικὸς τοῦ τῆς περιστερᾶς χαρακτῆρος γέγονεν, ἤγουν τοῦ ἁγίου Πνεύματος, διὰ τοῦτο χωρεῖ καὶ τὸ τοῦ νυμφίου κάλλος θεάσασθαι· « Οὐδεὶς γὰρ δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ. »

VERS. 14. *Ecce pulchra es, propinqua mea, ecce pulchra es: oculi tui columbæ.*

Gregorii. — In præcedentibus quidem illi cujusdam equi apparentem sub testimonio tribuit pulchritudinem, nunc vero tanquam virginis de cætero in ipsa relucentem approbat venustatem, et ait: *Ecce pulchra es, propinqua mea.* Docet autem per hæc oratio hanc pulchritudinis esse resumptionem quod fonti pulchritudinis propinqua facta sit. Nam prius quidem, inquit, non eras pulchra, quod mala vitii appropinquatione a primaria abalienata pulchritudine, in deformitatem fueris commutata. Nunc autem a mali societate recedens mihique appropinquans, exemplari pulchritudini ipsa quoque pulchra evasisti, velut quoddam speculum meo characteri conformata. Deinde cum se cohibuisset et eam veluti in quadam additione et accessione contemplatus esset pulchritudinis, rursus eamdem repetit orationem, dicens: *Ecce pulchra es.* Sed prius eam nominavit propinquam; hic autem ex specie oculorum cognitam. *Oculi* enim *tui*, inquit, *columbæ.* Prius enim quando equo fuit assimilata, laus erat in maxilla et collo, nunc autem cum ejus propria apparuit pulchritudo, laudatur gratia ejus oculorum. Laus autem ejus oculorum quod sint oculi columbæ, siquidem in quod quis defixerit oculos, ejus in se suscipit similitudinem. Tradunt enim qui sunt præditi scientia hujusmodi rerum naturalium, quod oculus simulacrorum incursiones ex rebus aspectabilibus emanantes excipiens, ita formet visionem. Igitur non amplius ad carnem et sanguinem, hoc est ad vitam corporalem sponsa respiciens, sed a corporea affectione liberata, merito columbæ speciem in oculis habere dicitur, hoc est characterem vitæ spiritalis perspicaci animi facultate illustrari. Et quoniam purus ejus oculus capax factus est characteris columbæ, nempe Spiritus sancti, propterea etiam capax est contemplandi sponsi pulchritudinem. « Nemo enim potest dicere Dominum Jesum, nisi in Spiritu sancto [16]. »

[16] I Cor. XII, 3.

Digitized by Google

Nili. — Bis dicit *pulchra* propter ejus in utroque homine, interiore, inquam, et exteriore, puritatem. Columbæ autem ejus oculos merito appellat, quoniam omnibus pro diversitate rerum circa ipsum gestarum simul una mentem mutantibus et alia quidem ante passionem, alia vero in ipsa passione de ipso cogitantibus, atque heterodoxis juxta earum contrarietatem phantasiis firmitatem propositi convellentibus, sola spiritaliter ea quæ fiebant intelligebat, nihil eorum quæ accidebant secundum multorum opinionem judicans, sed eam quam ab initio de ipso tanquam Deo existimationem habuerat, in utrisque temporibus custodiens. Propinquam porro ipsam vocat, propter incarnationem quandoquidem ejus corpus assumpsit. Sed et sororem ipsam vocat propter conjunctionis puritatem, et sponsam propter invidiæ vacuitatem; semper enim exsistens sponsa vigentem ac recentem habet amorem, diligens et dilecta.

Cyrilli. — Pulchram eam dicit, haud sicut antea inter mulieres dixerat: sed dum hic eam proximæ titulo denotat, sponsæ laudem duplicat sponsus, dotes ejus theoreticas simul practicasque commendans. Jam oculos mentis cordisque dicit, columbæque oculos propter perspicaciam, quod etiam de Spiritu dato accipitur. Ait ergo sponsam mente auctam quæ Deum solum spectat. Oculi autem sunt etiam innocui acuteque cernentes Ecclesiæ magistri.

VERS. 15, 16. *Ecce pulcher es, fratruelis meus, et formosus; lectulus noster umbrosus. Trabes nostræ cedri, laquearia nostra cupressi.*

Philonis.—Vel pulcher in lege, speciosus in Evangelio; pulcher in prophetis, speciosus in apostolis; pulcher temporalibus bonis adjuvando, et speciosus in bonis futuris. *Cubile nostrum umbrosum.* Tu autem nos in morte respicis. Nam « Etiamsi ambulavero in medio umbræ mortis, non timebo mala, quoniam tu mecum es[17]. » Sponsa autem de domo sibi a sponso ædificata glorians illa dicit, per tigna sanctos prophetas designans. Justus enim sicut palma florebit, quasi cedrus Libani multiplicabitur. Laquearia domum et pulchram et jucundam efficiunt.

Gregorii. — Omnia enim, inquit, quæcunque mihi pulchra videbantur, ut gloria vel pulchritudo, aut principatus vel quidlibet ejusmodi, aversabar. Non mihi amplius aberrat de bono judicium, ut aliud aliquid æstimem, præter te, esse bonum ac pulchrum. Tu enim verus pulcher, nec pulcher tantum, sed ipsa boni pulchrique essentia, qui cum vitæ æternitate simul extendis speciem seu decorem, cui nomen fecit hominum amor. Tanquam ex Juda nobis ortus es; Judæorum enim populus frater ejus qui ad te ex gentibus accedit, recte propter divinitatis tuæ in carne factam manifestationem, ejus quæ amat nominatus es fratruelis. Deinde

[17] Psal. XXII, 4.

Νείλου. — Δὶς τὸ *καλὴ* λέγει· διὸ τὴν ἐν ἀμφοτέροις τοῖς ἀνθρώποις αὐτοῖς τῷ τε ἔσω καὶ τῷ ἔξω καθαρότητα· περιστερᾶς δὲ τοὺς ὀφθαλμοὺς αὐτῆς εἰκότως προσαγορεύει· ἐπειδὴ πάντων τῇ διαφορᾷ τῶν περὶ αὐτὸν οἰκονομηθέντων συμμεταβαλλόντων τὴν γνώμην· καὶ ἄλλα μὲν πρὸ τοῦ πάθους, ἄλλα δὲ ἐν τῷ πάθει περὶ αὐτοῦ ὑπολαβόντων· καὶ ἑτεροδόξοις ταῖς κατ' ἐναντιότητα φαντασίαις τὸ ἰσχυρὸν τῆς προαιρέσεως κλονησάντων, πνευματικῶς ἐνόει τὰ τελούμενα· οὐδὲν συμβαινόντων κατὰ τὴν τῶν πολλῶν ὑπόληψιν κρίνουσα· τὸν δὲ ἐξ ἀρχῆς περὶ αὐτοῦ ὡς Θεοῦ δόξαν ἐν ἑκατέρου φυλάξασα τοῖς καιροῖς· πλησίον δὲ αὐτὴν λέγει διὰ τὴν ἐνανθρώπησιν, ἐπειδὴ τὸ ἐκείνης ἀνέλαβε σῶμα· καλεῖ δὲ αὐτὴν καὶ ἀδελφὴν, διὰ τὸ τῆς συναφείας ἁγνόν· καὶ νύμφην, διὰ τὸ ἀδιάφθορον· ἀεὶ γὰρ οὖσα νύμφη, ἀκμάζοντα καὶ νεαρὸν ἔχει τὸν πόθον, ἀγαπῶσα καὶ ἀγαπωμένη.

Κυρίλλου. — Καλὴν αὐτὴν φησιν, οὐχ ὡς πρότερον ἐν γυναιξὶ λέγων μόνον, ἀλλ' ἤδη καὶ ὡς πλησίον αὐτοῦ ἀναδιπλασιάζει τῆς νύμφης ὁ νυμφίος τὸν ἔπαινον· τό τε θεωρητικὸν αὐτῆς ἐπαινῶν, καὶ τὸ πρακτικόν· ὀφθαλμοὺς δὲ τοὺς εἰς νοῦν καὶ καρδίαν φησίν· περιστερᾶς, τὸ διορατικοὺς, καθὸ καὶ εἰς Πνεῦμα λαμβάνεται· λέγει οὖν ὡς ἐδέξατο νοῦν ἡ νύμφη, μόνον ὁρῶντα Θεόν· ὀφθαλμοὶ δὲ καὶ οἱ ἄκακοι καὶ ὀξυδερκεῖς τῆς Ἐκκλησίας διδάσκαλοι.

ιε', ις'. *Ἰδοὺ εἶ καλὸς, ἀδελφός μου, καὶ γε ὡραῖος· κλίνη ἡμῶν σύσκιος· δοκοὶ ἡμῶν κέδροι· φατνώματα ἡμῶν κυπάρισσοι.*

Φίλωνος. — Ἤγουν καλὸς ἐν νόμῳ, ὡραῖος ἐν προφήταις, ὡραῖος ἐν ἀποστόλοις, καλὸς ἐν ἀγαθοῖς τοῦ παρόντος αἰῶνος, ὡραῖος ἐν τοῖς τοῦ μέλλοντος. *Προσκλίνη δὲ ἡμῶν σύσκιος*, σὺ δὲ ἡμᾶς καὶ ἐν θανάτῳ σκέπεις. « Ἐὰν γὰρ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ· » ἐγκαλλωπιζομένη δὲ ἡ νύμφη τῷ οἰκοδομηθέντι αὐτῇ παρὰ τοῦ νυμφίου οἴκῳ, ταῦτά φησιν· δοκοὺς μὲν λέγουσα τοὺς ἁγίους προφήτας· δίκαιος γὰρ ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται· φατνώματα γὰρ ἡ τῶν σανίδων εὐαρμοστία πρὸς γλυφὴν τεκτόνων ἐπιτηδεία.

Γρηγορίου. — Πάντα γὰρ ὅσα μοι πρότερον ἐν καλοῖς ἐνομίζετο, φησὶν, οἷον δόξα ἢ κάλλος ἢ δυναστεία ἤ τι τοιοῦτον, ἀπεστράφην, καὶ οὐκ ἔτι μοι πεπλάνηται ἡ τοῦ καλοῦ κρίσις, ὥστε παρὰ σὲ, ἀλλ' ὅτι καλὸν οἴεσθαι· σὺ γὰρ ὁ ἀληθὴς κάλος· οὐ καλὸς δὲ μόνον, ἀλλ' αὐτὴ τοῦ καλοῦ ἡ οὐσία, ὁ τῇ ἀϊδιότητι τῆς ζωῆς συμπαρατείνων τὴν ὥραν, ᾧ ὄνομα ἡ φιλανθρωπία ἐγένετο· ὡς δὲ ἐξ Ἰούδα ἀνατείλας ἡμῖν· ἀδελφὸς γὰρ ὁ ἐξ Ἰουδαίων λαὸς τοῦ ἐξ ἐθνῶν σοι προσιόντος, καλῶς διὰ τὴν ἐν σαρκὶ γεγενημένην τῆς θεότητός σου φανέρωσιν, ἀδελφιδὸς τῆς ποθούσης κατωνομάσθης. Εἶτα ἐπήγαγε· *Προσκλίνη ἡμῶν σύσκιος*· τουτέστιν, ἔγνων σου, ἤτοι γνώσεται

Digitized by Google

ἡ ἀνθρωπεία φύσις σύσκιον τῇ οἰκονομίᾳ γενόμενον· ἦλθες γὰρ σὺ, φησὶν, ὁ καλὸς ἀδελφιδός, ὡραῖος πρὸς τὴν κλίνην ἡμῶν σύσκιος γενόμενος· ὡραῖος, ἀλλ' ὡς χωροῦμεν δέξασθαι· καὶ γὰρ ἡ πρὸς τὴν ἀνθρωπότητα ἐπανάπαυσίς σου, συνεσκίασε τῇ σαρκὶ τὴν θεότητα· ἐπεὶ τίς ἂν ὑπέστησε τὴν ἐμφάνειαν; Κλίνην δὲ ὀνομάζει, ὡς νύμφη, τῇ τροπικῇ σημασίᾳ τῇ πρὸς τὸ Θεῖον ἀνάκρασιν, καὶ κοινωνίαν ἀνθρωπίνης οὐσίας ἑρμηνεύουσα· ταύτην δὲ οὐκ ἂν ἄλλως ἦν δυνατὸν γενέσθαι, εἰ μὴ διὰ τοῦ συσκίου ἡμῖν φανῆναι τὸν Κύριον· ὃς οὐ νυμφίος μόνον, ἀλλὰ καὶ οἰκοδόμος ἐστίν· αὐτὸν ἡμῖν καὶ τεχνιτεύων τὸν οἶκον, καὶ ὕλη τῆς τέχνης γενόμενος· ὄροφον γὰρ ἐπιβάλλει τῷ οἴκῳ, διὰ τῆς ἀσήπτου ὕλης καλλωπίζων τὸ ἔργον· τοιαύτη δέ ἐστιν ἡ κέδρος καὶ ἡ κυπάρισσος· κέδροι μὲν γὰρ διὰ τὸ ἐπιμήκεις εἶναι τῷ πλάτει τοῦ οἴκου τῷ ὀρόφῳ διαλαμβάνουσι· κυπάρισσοι δὲ διὰ τῆς γενομένης φατνώσεως, τὴν ἔνδοθεν τοῦ ῥίκου κατασκευὴν ὡραΐζουσιν· ἐπειδὴ γὰρ ἐν τῷ Εὐαγγελίῳ ὁ Κύριος βροχὴν ὀνομάζει τὰς ποικίλας τῶν πειρασμῶν προσβολὰς ἐπὶ τοῦ καλῶς τὴν οἰκίαν ἐπὶ τὴν πέτραν οἰκοδομήσαντος· ὅτι κατέβη ἡ βροχὴ, καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ ἦλθον οἱ ποταμοὶ, καὶ ἀπαθὲς ἔμεινεν ἐν τούτοις τὰ οἰκοδομήματα· χρεία τοιούτων ἡμῖν δοκῶν, αἵτινές εἰσιν αἱ ἀρεταὶ αἳ τὰς πειρασμῶν ἐπιῤῥοὰς οὐ προσίενται, στερεαὶ οὖσαι καὶ ἀνένδοτοι· καὶ τὸ πρὸς κακίαν ἀμέθεκτον ἐν τοῖς πειρασμοῖς διασώζουσαι· μήποτε μαλακισθέντες διὰ τῆς τῶν παθημάτων ἐμπτώσεως, κοῖλοι γενώμεθα, καὶ τὴν ἐπιῤῥοὴν τῶν τοιούτων ὑδάτων ἔξωθεν ἐπὶ τὴν καρδίαν εἰσρέουσαν ἐντὸς τῶν ταμιείων παραδεξώμεθα, δι' ὧν φθείρεται ἡμῖν τὰ ἀπόθετα· αἰνίττεται δὲ διὰ τῶν δοκῶν καὶ τοῦ φατνώματος ὁ λόγος, ὅπερ ἐστὶν εὔρυθμός τις καὶ διάγλυφος σανίδων πῆξις, τὸ τῆς ὀρόφου κάλλος διαποικίλλουσα· καὶ τῆς εὐπνοίας τῆς φυσικῶς παρακολουθούσης τῇ κυπαρίσσῳ, ἥτις καὶ σηπεδόνος ἐστὶν ἀπαράδεκτος, καὶ πρὸς πᾶσαν τεκτονικὴν φιλοτεχνίαν ἐπιτήδειος· τῷ μὴ μόνον ἐν τῇ ψυχῇ τὰς ἀρετὰς ἐν ἕξει κατορθοῦσθαι κατὰ τὸ ἄδολον, ἀλλὰ μηδὲ τῆς κατὰ τὸ φαινόμενον εὐσχημοσύνης ἀμελῶς ἔχειν· χρὴ γὰρ προνοεῖν καλὰ ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων· καὶ Θεῷ μὲν πεφανερῶσθαι, ἀνθρώπους δὲ πείθειν καὶ καλὴν μαρτυρίαν ἔχειν ἀπὸ τῶν ἔξωθεν· λάμπειν τε τοῖς φωτεινοῖς ἔργοις ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ εὐσχημόνως περιπατεῖν πρὸς τοὺς ἔξωθεν· ταῦτά ἐστι τὰ φατνώματα τὰ διὰ τῆς τοῦ Χριστοῦ εὐωδίας, ἧς αἴνιγμά ἐστιν ἡ κυπάρισσος ἐν τῇ εὐσχημοσύνῃ τοῦ βίου φιλοτεχνούμενα.

A subjungit *Lectulus noster umbrosus* : hoc est : Te cognovit sive cognoscet humana natura umbrosum factum per dispensationem. Venisti enim, inquit, tu pulcher fratruelis, ad lectum nostrum, factus umbrosus. Speciosus sed prout capere possumus. Etenim tua cum humanitate commoratio obumbravit carne divinitatem. Alioquin quis sustinuisset apparitionem? Lectum autem nominat sponsa tropica significatione interpretans humanæ naturæ cum divina contemperationem atque communicationem. Fieri autem non poterat ut ea esset, nisi per hoc quod Dominus umbrosus per corpus nobis apparuit, qui non solum est sponsus, sed etiam ipse ædificatus in nobis fuit Dominus, et domus architectus et artis materia, tectum enim B imponit domui per materiam imputribilem opus ornans : talis est autem cedrus et cupressus. Cedri namque quod proceræ sint, latitudinem domus tecto complectuntur; cupressi autem per ea quæ dicuntur laquearia, decorem addunt internæ operis constructioni. Cum enim in Evangelio Dominus imbrem vocet varios tentationum insultus, dicens de eo qui recte domum supra petram ædificaverat : quod descenderit imber, et flaverint venti, et venerint fluvii; et in iis illæsum manserit ædificium [18]. Opus est nobis istiusmodi trabibus quæ sunt virtutes quæ tentationum alluviones non intromittant, utpote firmæ ac solidæ, quæ non facile cedant et hoc servient ut in tentationibus a vitio minime emolliantur; ne per passionum ingruentiam emolliti excavemur et ejusmodi aquarum extrinsecus C in cor influentium influxum intra penetralia admittamus quibus nobis pereant quæ sunt reposita. Insinuat autem, ut opinor, sermo per trabes et laquearia (quæ sunt apta quædam et concinna ac celata asserum compactio, tecti varians pulchritudinem), et fragrantiam quæ naturaliter cyparissum consequitur, quæque nullam admittit putredinem, et est apta ad omne artificium fabrile, non solum in occulto habituales animæ virtutes recte ordinandas, sed nec eam quæ deforis apparet decentiam ac honestatem esse negligendam. Sunt enim providenda bona coram Deo et hominibus, et oportet Deo quidem esse manifestam, hominibus autem D persuadere et bonum habere testimonium apud eos qui foris sunt, et splendidis lucere operibus coram hominibus, et decore honesteque ambulare apud eos qui foris sunt : hæc sunt laquearia per bonum Christi odorem cujus ænigma est cupressus, in vitæ honestate artificiose elaborata.

Νείλου. — Συγγνωμόνως πάλιν αὐτῇ, μᾶλλον δὲ ἐκπλησσομένῃ, ἐπὶ τῷ ἀκοῦσαι καλῇ παρὰ τοῦ νυμφίου· μόνῳ γὰρ ἐκείνῳ τὴν τοιαύτην ἐπίκλησιν ἁρμόζειν ἐνόμιζε, θνητῷ δὲ οὐδενί· εὐθέως ἐπ' αὐτὸν ἀναστρέφει τὴν μαρτυρίαν· *Ἰδοὺ εἶ καλὸς ὁ ἀδελφιδός μου, λέγουσα, καὶ γε ὡραῖος πρὸς*, ἀντὶ τοῦ, *περισσῶς*· οὕτω γάρ τισι διαιρεῖν ἔδοξε· καὶ μετὰ τοῦτο

Nili. — Benevole rursum ipsa, quin potius obstupefacta quod audiret se pulchram a sponso nominari, (ipsi namque soli, mortalium vero nulli, istiusmodi appellationem congruere putabat), statim ad ipsum convertit testimonium dicens : *Ecce pulcher es, fratruelis meus, et formosus* πρὸς, pro *valde*, sic enim quibusdam placuit distinguere,

[18] Matth. VII, 24, 25.

Digitized by Google

et postea illud : *Lectus noster umbrosus*, corpus dicentes commune in quo requiescunt ambo, scilicet Deus Verbum et anima beata ; cavente sponso ne ipsa sub dio moraretur, ne rursus ex injuria radiorum solis adversi veteris nigredinis quidquam pateretur. Secundum aliam vero interpunctionem sic intelligetur ac si sponsa dicat : O sponse, tu solus vere diceris pulcher et formosus, non adscitiam, sed naturalem habens pulchritudinem. At ubi lectulus quoque noster factus es et umbrosus, puram quidem habens formam deitatis, sed eamdem obumbrans forma servi ; et quasi sub velamento carnis quæ quidem divinitatis propria sunt operans, sed cognitu difficilis exsistens, propter tegumentum corporis quod ea quæ mirifice patrata sunt abdit.

A

B

Origenis. — Nunc sponsa primum visa est accuratius inspexisse sponsi pulchritudinem, etc.

CAP. II.

Vers. 1. *Ego flos campi, lilium convallium.*

Cyrilli. — Tanquam recepto jam desursum imbre, editoque virtutis partu, agresti se flori sponsa comparat : ostenditque quantopere prosit Christi adventus, siquidem valles quoque semini cuilibet ineptas, floribus ejusmodi plenas narrat. Etenim se vallem appellat, propterea quod a dæmonibus olim incolis depressa fuerat.

Philonis. — Hæc dicit sponsa ; audivit enim ab Isaia : « Exsultet deserta, et floreat ut lilium [19] » ; et a Domino : « Considerate lilia agri [20] : » Dominus dicere intendit eos qui super terram sunt fideles post mortem florescere. Lilium enim convallium mortuum designat.

C

Hæc sponsa de semetipsa edisserit dicens : Ego postquam fui in lecto nostro sponsus corpore obumbratus, qui ædificavit sibi domum me virtutum cedris tegens ; facta sum, inquit, flos odoriferus et purus splendidusque ex humana natura, in latitudine campi, elegantia coloris, et odoris fragrantia, cæteris floribus antecellens, lilium nuncupatum continentiæ splendore corruscans. Hic autem campus comparatione verticis cœlestis vallis nominatur, in quo bene culta ex imo vallis in altum educitur, sicut fert natura lilii quo etiam in sublimi sua illi constet pulchritudo, terrena commistione minime polluta, nec vitæ spinis a malignis virtutibus suffocata, quas diaboli filias tacite insinuavit.

D

Nili. — Lilium seipsam vocat, vel quod decori sit vallibus propter actionum seu cogitationum humilitatem sic nominatis, in utrisque splendide

[19] Isa. xxxv, 1. [20] Matth. vi, 28.

Ἡ κλίνη ἡμῶν σύσκιος· τὸ σῶμα λέγοντες τὸ κοινὸν ἐν ᾧ ἀνεπαύοντο ἀμφότεροι, ὅ τε Θεὸς Λόγος καὶ ἡ μακαρία ψυχή· φειδομένου τοῦ νυμφίου ὕπαιθρον αὐτὴν ἔχειν· μὴ πάλιν ἐξ ἐπηρείας τοῦ ἐναντίου ἡλίου ἀκτῖνος πάθῃ τι τῆς παλαιᾶς μελανότητος· κατὰ δὲ τὴν ἑτέραν διαίρεσιν, οὕτω νοηθήσεται· ὡσανεὶ τῆς νύμφης λεγούσης, ὅτι, Ὦ νυμφίε, σὺ μόνος ἂν ἐνδίκως λέγοιο καλὸς καί γε ὡραῖος, μὴ ἐπίκτητον, ἀλλὰ φυσικὸν ἔχων τὸ κάλλος· καὶ πρὸς κλίνῃ δὲ ἡμῶν γενόμενος, ὡραῖος εἶ καὶ σύσκιος, τὴν μὲν θείαν τῆς θεότητος καὶ ἀκραιφνῆ μορφήν, καὶ ὡς ὑπὸ παραπετάσματι τῇ σαρκὶ, ἐνεργῶν μὲν τὰ τῆς θεότητος ἴδια· διὸ διάγνωστος δὲ γενόμενος διὰ τὴν ἐπικρύπτουσαν τὰ ἐπιτελούμενα παραδόξως τοῦ σώματος περιβολήν.

Ὡριγένους. — Νῦν ἔοικε πρότερον ἐνεωρακέναι τρανότερόν τε τοῦ νυμφίου κάλλει ἡ νύμφη, κ. τ. λ. (25).

ΚΕΦΑΛ. Β'.

α'. Ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων.

Κυριλλου. — Ὡς δεξαμένη ἡ νύμφη τὸν ἄνωθεν ὑετὸν, καὶ τεκοῦσα τὴν ἀρετὴν, ἄνθει ἑαυτὴν παραβάλλει πεδίου· δείκνυσι δὲ ὅσον ὠφέλησεν ἡ τοῦ Χριστοῦ ἐπιδημία, ὅπου γε καὶ τὰς κοιλάδας τὰς ἀνεπιτηδείους πρὸς ἃ παντασπόρων, τοιούτων μεστὰς ἔδειξεν ἀνθέων· κοιλάδα γὰρ λέγει τὴν ἀποκοιλανθεῖσαν ἀπὸ τῶν οἰκησάντων αὐτὴν πάλαι δαιμόνων.

Φίλωνος. — Ταῦτά φησιν ἡ νύμφη ἀκούσασα παρὰ Ἡσαΐου, « Ἀγαλλιάσθω ἔρημος, καὶ ὡς κρίνον ἀνθείτω· » καὶ παρὰ τοῦ Κυρίου, « Καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ· » λέγει δ' ἂν ὁ Κύριος ἐπὶ γῆς γεγονέναι, ὡς ἀνθήσουσιν οἱ πιστοὶ καὶ ἐν τῷ ᾅδῃ· τοῦτο γὰρ κοιλάδων κρίνον ὅ ἐστι νεκρός.

Γρηγορίου (26). — Ταῦτα ἡ νύμφη περὶ ἑαυτῆς διεξέρχεται λέγουσα· Ἐγὼ μετὰ τὸ γενέσθαι ἐν τῇ κλίνῃ ἡμῶν τὸν νυμφίον συσκιασθέντα τῷ σώματι, ὃς ᾠκοδόμησεν ἐν ἑαυτῷ τὸν οἶκον ἐμὲ, ταῖς τῶν ἀρετῶν κέδροις ὠρόφωσε, γέγονε, φησὶν, ἄνθος εὐοσμόν τε καὶ καθαρὸν καὶ λαμπρὸν, ἐκ τῆς ἐν τῷ πλάτει ἀνθρωπίνης φύσεως τοῦ πεδίου, εὐχροίας τε καὶ εὐωδίας, τῶν λοιπῶν ἀνθέων διαφέρον, ὃ λέγεται κρίνον, τὴν τῆς σωφροσύνης ἀπαστράπτον μαρμαρυγήν· τὸ πεδίον τοῦτο συγκρίσει τῆς οὐρανίας ἀψῖδος κοιλὰς ὀνομάζεται· ἐν ᾧ ἡ γεωργηθεῖσα καλῶς ἐκ τοῦ κοίλου πρὸς τὸ ὕψος ἐκδίδοται, ὡς καὶ τοῦ κρίνου ἡ φύσις· ὡς ἂν ἐν μετεώρῳ καθαρὸν αὐτῇ διαμένῃ τὸ κάλλος τῇ πρὸς τὴν γῆν ἐπιμιξίᾳ μὴ μολυνόμενον, μηδὲ συμπνιγόμενον ταῖς ἀκάνθαις τοῦ βίου, ταῖς πονηραῖς δυνάμεσιν· ἃς τοῦ διαβόλου θυγατέρας κατὰ τὸ σιωπόμενον ἠνίξατο.

Νείλου. — Κρίνον ἑαυτὴν, φησὶν, ἢ διὰ τὸ ἐμπρέπειν ταῖς διὰ ταπεινότητα πράξεων ἢ νοημάτων κοίλαις ὀνομαζομέναις, φαιδρῶς ἐν ἑκατέροις κε-

NOTÆ.

(25) *Patrol.* t. XVII, col. 260.

(26) Anonyma sunt in C. B.

Digitized by Google

κοσμημένη καὶ λάμπουσα· ἢ ὅτι κρίνειν μέλλει τὰς τοιαύτας ψυχὰς ἐν τῷ μέλλοντι ἐκ συγκρίσεως τῶν ἰδίων κατορθωμάτων, οὐδὲν ἔχουσα ἐν τῇ φύσει πλέον ἐκείνων ὡς Νινευῖται, καὶ βασίλισσα Νότου κατακρινεῖ τὴν ἄπιστον γενεάν· ἄνθος δὲ τοῦ πεδίου εἶναι λέγεται, τάχα μὲν τῶν κοιλάδων σημαινουσῶν, καὶ διὰ τὸ ταπεινὸν καὶ ἀγεώργητον, καὶ διὰ τὸ πληθυντικῶς ὀνομάζεσθαι τὰ ἐκ βάθους ἀσεβείας εἰς ἐπίγνωσιν ἐλθόντα ἔθνη· τοῦ δὲ πεδίου τοῦ Ἰσραὴλ διὰ τὸ ἐξομαλεῖσθαι πρὸς ἐπιτηδειότητα γεωργίας, τοῖς προφητικοῖς καὶ νομικοῖς παιδεύμασιν· καλῶς δὲ καὶ τούτων οὐχὶ καρπὸς ἀλλ' ἄνθος εἶναι λέγεται· οὔπω γὰρ τὸ τοῦ σταυροῦ τὴν γῆν ἀνατέμνει ἄροτρον, ὅπερ ἐπέθηκε τοῖς ἀποστόλοις ὡς βουσὶν ὁ Κύριος, ζυγάδην ἐπὶ τὴν γεωργίαν ἀποστείλας αὐτοὺς, οὐδέπω αἵματι πεπότιστο Δεσποτικῷ· διὸ ἄκαρπος ἦν καὶ στείρα.

A ornata et relucens : vel quod in futuro judicio judicatura sit istiusmodi animas ex comparatione suorum recte gestorum, cum in natura nihil amplius illis habeat, sicut Ninivitæ ac regina Austri condemnabunt incredulam generationem. Flos autem campi esse dicitur, fortassis quidem vallium significatarum tum propter humilitatem culturæque carentiam, tum quia pluraliter sic nominantur gentes ex profundo impietatis ad cognitionem venientes ; campi vero Israel, quia prophetiæ ac legalibus doctrinis ad agriculturam probe comparati ac complanati sunt. Recte autem etiam horum necdum fructus, sed flos esse dicitur, nondum enim crucis aratrum terram proscindit, quod Dominus apostolis tanquam bobus jugaliter imposuit, B ad agriculturam illos mittens : necdum sanguine Dominico rigata erat, quapropter infrugifera sterilisque exsistebat.

Ὡριγένους. — Ἄνθος λέγει τὸ ὀδεῦον ἐπὶ τὸ γενέσθαι καρπὸς, κ. τ. λ. (27).

Origenis. — Florem dicit id quod in via est ut fructus fiat, etc.

β'. *Ὡς κρίνον ἐν μέσῳ ἀκανθῶν, οὕτω ἡ πλησίον μου ἀνὰ μέσον τῶν θυγατέρων.*

VERS. 2. *Sicut lilium in medio spinarum, sic propinqua mea in medio filiarum.*

Γρηγορίου.—Ὅσην ὁρῶμεν τῆς εἰς τὸ ὕψος ἀνόδου τὴν προκοπὴν ἐπὶ τῆς ψυχῆς γινομένην. Πρώτη ἄνοδος, τὸ πρὸς τὴν καθαιρετικὴν τῆς ἐναντίας δυνάμεως ἵππον ὁμοιωθῆναι. Δευτέρα ἄνοδος, τὸ πλησίον αὐτὴν γενέσθαι, καὶ περιστερᾶς ποιῆσαι τὰ ὄμματα. Τρίτη τοίνυν ἄνοδος τὸ μηκέτι πλησίον, ἀλλ' ἀδελφὴν τοῦ Δεσπότου ὀνομασθῆναι. « Ὃς ἂν ποιήσῃ, φησὶ, C τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς, οὗτος ὁ ἀδελφός μου, καὶ ἀδελφή μου, καὶ μήτηρ ἐστίν. » Ἐπεὶ οὖν γέγονεν ἄνθος, μηδὲν ὑπὸ τῶν ἀκανθηφόρων πειρασμῶν πρὸς τὸ γενέσθαι κρίνον παραβλαβεῖσα, ἐπιλαθομένη δὲ τοῦ λαοῦ καὶ τοῦ οἴκου τοῦ πατρὸς αὐτῆς, πρὸς τὸν ἀληθινὸν εἶδε Πατέρα, διὸ καὶ ἀδελφὴ τοῦ Υἱοῦ ὀνομάζεται, τῷ τῆς υἱοθεσίας πνεύματι πρὸς τὴν συγγένειαν ταύτην μεταποιηθεῖσα, καὶ τῆς πρὸς τὰς θυγατέρας τοῦ ψευδωνύμου πατρὸς κοινωνίας ἀπάλλαγεῖσα, πάλιν γίνεται ἑαυτῆς ὑψηλοτέρα, καὶ βλέπει τὸ μυστήριον, διὰ τῶν τῆς περιστερᾶς ὀφθαλμῶν· λέγω δὲ τῷ πνεύματι τῆς προφητείας.

Gregorii.— Quantum videmus ascensum in altum tantum videmus esse animæ profectum : primus ascensus est assimilari equis qui virtutem adversariam e medio sustulerunt; secundus, quod facta sit propinqua sibique fecerit oculos columbæ ; tertius, jam ascensus quod etiam soror Domini nominetur. « Qui enim fecerit, inquit, voluntatem Patris mei, hic frater et soror et mater est [21]. » Postquam ergo facta est flos, nihil a spinosis læsa fuit tentationibus quominus esset lilium; oblita populi et domus patris et matris suæ, aspexit ad verum Patrem, et a Deo vocatur soror Filii, spiritu filiorum adoptionis in hanc adoptata cognationem ; et ab illa falsi nominis patris [filiarum communione] liberata seipsa rursus fit sublimior, et aspicit mysterium per oculos columbæ, spiritu, inquam, prophetiæ.

Αὕτη (27*) τοῦ Νυμφίου ἐστὶν ἡ φωνὴ, μαρτυροῦσα τῇ Νύμφῃ πλέον ὧν ἑαυτῇ προσεμαρτύρησεν· ἐπειδὴ γὰρ ἑαυτὴν εἶπε κρίνον, τὰς δὲ λοιπὰς ψυχὰς κοιλάδας, ἢ μετριοφρονοῦσα, ἢ καὶ ἀγνοήσασα· οὐ πᾶν στοχαζομένη τῆς ἀληθείας· τὴν σύγκρισιν ἐποιήσατο αὐτὸς ὁ μᾶλλον εἰδὼς τῶν γινομένων καταστάσεων τὰς ἰδιότητας· καὶ κρίνῳ μὲν ταύτην παρεικάζει, διὰ τὸ μηδόλως τὴν ἀπὸ τῶν σωματικῶν μέριμναν ἀναδέχεσθαι, ἀφροντίστως δὲ τοῖς παρατυχοῦσι, τὴν τοῦ σώματος ἐκπληροῦν χρείαν, ἀταλαίπωρον καὶ αὐτοσχέδιον τὴν διαγωγὴν ἐλομένην διὰ τὴν περὶ

Nili. — Hæc est vox Sponsi Sponsæ testimonium præbentis longe luculentius quam ipsa de se antea perhibuerat. Postquam enim ipsa se lilium vocarat, cæteras vero animas valles, modeste de se D sentiens vel etiam ignorans ; non omnino assecuta conjectando veritatem ; comparationem ille instituit qui eorum quæ fiunt statuum proprietates magis novit, et lilio quidem ipsam assimilat, quod omnino nullam rerum corporalium admittat sollicitudinem ; sed sine cura iis quæ obtingunt corporis expleat necessitatem, beatam ac paucis contenta-

[21] Matth. XII, 49.

NOTÆ.

(27) *Patrol.* t. XVII, col. 260, 261.

(27*) Hæc in C. V. sub nomine Gregorii continuantur, et revera non inveniuntur in operibus editis sancti Nili.

Digitized by Google

tam eligens vivendi rationem, propter eam quam A gerit curam de regno cœlorum, prout in Evangeliis ostenditur : spinis vero cæteras assimilans quia curam omnem circa sæcularia habebant, et necdum norant curas iis impensas fieri spinas, sed illas ipsas ex magno circa illas sollicitudines studio evasisse spinas.

τῆς βασιλείας τῶν οὐρανῶν φροντίδα, ὡς ἐν Εὐαγγελίοις δείκνυται· ἀκάνθαις δὲ τὰς λοιπὰς ὁμοιῶν, διὰ τὸ πᾶσαν τὴν μέριμναν περὶ τὰ βιωτικὰ ἐσχηκέναι· καὶ μηκέτι ἐν ταῖς φροντίσι γενέσθαι ἀκάνθας, ἀλλ' αὐτὰς ἐκείνης τῷ ἐκ πολλῆς τῆς περὶ τὰς μερίμνας σπουδῆς πεποιῆσθαι κατὰ ταύτας.

VERS. 3. *Sicut malum in lignis silvæ, sic fratruelis meus inter medios filios.*

Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἀνὰ μέσον τῶν υἱῶν.

Gregorii. — Quid est ergo quod vidit? Silvam solet nominare Scriptura silvestrem hominum vitam in qua luxuriant varia genera passionum, in qua nidulantur feræ exitiosæ, et homines lædunt quarum natura in luce ac sole otiosa permanens in tenebris vim suam exerit. Propterea in silva plantatur malum : in quantum quidem lignum, cum B rèliquis est ejusdem essentiæ : « Tentatus enim per omnia pro similitudine absque peccato [22]. » In quantum vero fructu suo dulcedinem affert animi sensibus, majorem habet cum ligno inæqualitatem, quam lilium cum spinis, ut quod suaviter tantum spirat et visu oblectat, pomum autem et odoratu et gustu ac visu dulce est. Recte ergo vidit Sponsa quæ sit sui a Domino differentia, quoniam ille quidem et nobis fit lætitia oculorum, ut qui in eis sit lux et unguentum odoratui et vita comedentibus. Humana porro natura per virtutem perfecta, fit flos, non solum agricolam nutriens, sed seipsam exornans. Cibum autem non ipsi datori parat : quoniam bonorum nostrorum non eget. Cæterum Dominus factus est quasi malum in silva, quia hu- C manam inseruit naturam ad speciem et ad odoris edulique suavitatem. Nos enim bonis illius egemus; quapropter, ait Sponsa, quia *fructus ejus dulcis in gutture meo :* Fructus autem est doctrina de qua David ait : « Quam dulcia faucibus meis eloquia tua, super mel ori meo [23]. » Filios autem dicit non amicos sponsi, sed tenebrarum qui et filii iræ nuncupantur ab communitate operum.

Γρηγορίου. — Τί οὖν ἐστιν ὃ τεθέαται; Δρυμὸν ὀνομάζει συνήθως ἡ ἁγία Γραφὴ τὸν ὑλώδη τῶν ἀνθρώπων βίον, τὸν τὰ ποικίλα τῶν παθημάτων εἴδη ὑλομανήσαντα, ἐν ᾧ τὰ φθαρτικὰ θηρία φωλεύει καὶ τοὺς ἀνθρώπους λυμαίνεται, ὧν ἡ φύσις ἐν φωτὶ καὶ ἡλίῳ ἀνενέργητος μένουσα, διὰ σκότους τὴν ἰσχὺν ἔχει. Διὰ τοῦτο φύεται ἐν τῷ δρυμῷ τὸ μῆλον· καθὸ μὲν ξύλον τοῖς λοιποῖς ὁμοούσιον ὑπάρχον· « Ἐπειράσθη γὰρ καθ' ὁμοιότητα πάντων, χωρὶς ἁμαρτίας· » καθὸ δὲ γλυκαίνει τῷ καρπῷ τὰ τῆς ψυχῆς αἰσθητήρια, πλείονα τὴν πρὸς τὸν δρυμὸν ἔχει παραλλαγήν· ἢ ὅσον ἔχει πρὸς τὰς ἀκάνθας τὸ κρίνον, ὅπερ εὔπνουν ἐστὶ μόνον καὶ τέρπει τῇ θέᾳ· τὸ δὲ μῆλον ἡδὺ πρὸς ὀσμὴν τὴν καὶ γεῦσιν καὶ θέαν. Καλῶς οὖν εἶδεν ἡ νύμφη τὸ ἑαυτῆς πρὸς τὸν Δεσπότην διάφορον· ὅτι ἐκεῖνος μὲν ἡμῶν καὶ ὀφθαλμῶν γίνεται χάρις, φῶς γινόμενος, καὶ μύρον ἐν τῇ ἀσφρήσει, καὶ ζωὴ τοῖς ἐσθίουσιν. Ἡ δὲ ἀνθρωπίνη φύσις δι' ἀρετῆς τελειωθεῖσα, ἄνθος γίνεται, μόνον οὐ τὸν γεωργὸν τρέφουσα, ἀλλὰ ἑαυτὴν καλλωπίζουσα· τροφὴν δὲ μὴ γεωργοῦσα τῷ χορηγῷ· Τῶν γὰρ ἀγαθῶν μου οὐ χρείαν ἔχεις, ὁ θεοπάτωρ φησίν· κρίνον μὲν οὖν ὡς ἔφημεν ἡ τελειουμένη ψυχή, ἑαυτὴν μίνον, ὡς ἔφημεν, καλλωπίζουσα· ὁ δὲ Κύριος ὡς μῆλον γέγονεν ἐν δρυμῷ· ὅτι τὴν ἀνθρωπίνην ἐνεκέντρισεν φύσιν, πρὸς τὸ ὡραῖόν τε καὶ εὐῶδες καὶ βρώσιμον· ἡμεῖς γὰρ τῶν ἐκείνου δεόμεθα· διὸ φησὶν ἡ Νύμφη, ὅτι *Ὁ καρπὸς αὐτοῦ γλυκὺς ἐν τῷ λάρυγγί μου·* καρπὸς δὲ ἡ διδασκαλία, περὶ ἧς λέγει Δαβίδ· « Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου! » Υἱῶν δὲ λέγει οὐ φίλων τινῶν τοῦ Νυμφίου, ἀλλὰ τοῦ σκότους, οἳ καὶ τέκνα ὀργῆς τῇ κοινωνίᾳ τῶν ἔργων ὀνομάζονται.

Nili. — Comparatio quidem ostendit excellen- D tiam. Sponsa namque omnes homines ligna silvæ appellavit, at Sponsum suum dixit malum frugiferum. Cum enim ipse illam jam suis laudibus prævenisset et cum lilio contulisset quasi in medio spinarum mulierum reliquarum : ipse vicem reddit malum eum appellans in medio lignorum silvæ, quoniam ipse quidem planta frugifera est, ligna vero silvæ infrugifera, et ea qua potantur aqua suam ab eo differentiam manifeste declarant, siquidem de his Ecclesiastes ait : « Feci mihi piscinas aquarum ad irrigandum ex eis saltum germinantem ligna [24]. » De ipso autem David : « Et erit, inquit, sicut lignum, quod plantatum est secus decursus

Νείλου. Δείκνυσι τὴν ὑπεροχήν· πάντας γὰρ ἀνθρώπους εἶπε ξύλα δρυμοῦ ἡ Νύμφη ὡς ἄκαρπα· μῆλον δὲ εἶπεν ὡς ἔγκαρπον τὸν ἑαυτῆς Νυμφίον. Ἐκείνου γὰρ ἤδη φθάσαντος αὐτὴν τοῖς ἐπαίνοις καὶ κρίνῳ παρεικάσαντος, ὡς ἐν μέσῳ ἀκανθῶν τῶν λοιπῶν γυναικῶν, αὕτη πάλιν ἀνταμείβεται μῆλον αὐτὸν ἐν μέσῳ ξύλων δρυμοῦ προσαγορεύουσα, ὅτι αὐτὸς μὲν ἔγκαρπόν ἐστι φυτὸν, τὰ δὲ ξύλα τοῦ δρυμοῦ ἄκαρπα· καὶ τῷ ἀφ' οὗ ποτίζονται ὕδατι, τὴν πρὸς αὐτὰ διαφορὰν σαφῶς ἐνδεικνύμενος· περὶ μὲν γὰρ τούτων ὁ Ἐκκλησιαστής· « Ἐποιησάμην κολυμβήθρας, φησὶν, ὑδάτων, τοῦ ποτίσαι ἀπ' αὐτῶν δρυμὸν βλαστῶν καὶ τὰ ξύλα· » περὶ δὲ τούτου Δαβὶδ φησι· « Καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ

[22] Hebr. IV, 15. [23] Psal. CXVIII, 103.

Digitized by Google

τὰς διεξόδους τῶν ὑδάτων· » οὐχ ὅμοιον δὲ ἀεννάοις περιῤῥεόμενον ὕδασι ποτίζεσθαι, καὶ ἐπινοίαις ἀνθρωπίναις ἐν κολυμβήθρᾳ συναχθεῖσιν ἀρδεύεσθαι ὕδασι· τὸ μὲν γὰρ τὸν οὐράνιον σημαίνει λόγον, τὸ δὲ τὴν ἀνθρωπίνην διδασκαλίαν· ἔπειθ' ὥσπερ τὸ μῆλον ἐμπεριεχομένην τῷ δέρματι φυλάττων τὴν εὐωδίαν, καὶ ἐπὶ τὸ ἔξω αὐτὴν διαδίδωσιν, οὕτω καὶ ἡ θεότης ἐνεκρύπτετο τῷ σώματι· ὅμως τὴν ἐνέργειαν διεδίδου, καὶ ἐπὶ τοῦ ἔξω φαινομένου σαρκίου· σκιὰ δὲ ἐν ᾗ ἐπεθύμησεν καθίσαι ἡ Νύμφη, ἐπειδὴ μᾶλλον ἐκ τῶν φύλλων ἡ σκιὰ πέφυκεν ὡς ἐπὶ τὸ πλεῖστον γίνεσθαι, τῷ συγκραιφνεῖ τῆς τῶν πετάλων ἑνώσεως, τὴν ἡλιακὴν ἀκτῖνα ἀποτειχίζουσα· ὅσα οὖν κατὰ φύσιν τῆς ἀνθρωπότητος ἐπετέλει ὁ Κυριακὸς ἄνθρωπος ἐσθίων καὶ πίνων, καὶ ὅσα φύσεως ἦν ἔργα· ἐπειδὴ μετά τινος ὠφελείας ἐποίει καὶ ταῦτα μέτρον, οὐ τῆς ὀρέξεως τὸ ἄπληστον, ἀλλὰ τῆς χρείας γινώσκων τὸ αὐταρκες· καρπὸς γὰρ τοῦ μήλου αἱ κατ' ἀρετὴν πράξεις, ὃς καὶ γλυκὺς γεγένηται ἐν τῷ λάρυγγι αὐτῆς· τὴν τῆς ψυχῆς αἴσθησιν εὐφράνας τῇ χρηστῇ ποιότητι τῆς γεύσεως· ἔχει δὲ πρὸς τῇ ἠθικῇ ταύτῃ θεωρίᾳ, καὶ δογματικὴν τὸ ῥητόν. Εἰ γὰρ σκιὰν ἔχει ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, καὶ ἔστι τινὰ τῶν μελλόντων· τὸ δὲ σῶμα Χριστοῦ, ἀφ' οὗ καὶ ἡ σκιὰ παρυφίσταται, ἐν τῇ σκιᾷ τοῦ νόμου. Καλῶς ἐκάθισεν ἡ Νύμφη· οὐκ αὐτὸν τὸν νόμον ποιοῦσα σωματικῶς, ἀλλὰ τὰ ἐξ αὐτοῦ σημαινόμενα· ἀργοῦσα μὲν τῶν τυπικῶν παραγγελμάτων· ἀργίαν γὰρ ἡ κάθισις σημαίνει, τοῦ καρποῦ δὲ ἀπολαύουσα πλουσίως καὶ τούτῳ ἐνευωχουμένη, καὶ ὀσφρήσει, καὶ γεύσει, καὶ τέρψει καὶ ἀπολαύσει· ἐπειδὴ τροφῆς μὲν ἡ γεῦσις ὄργανον, τέρψεως ἡ ὄσφρησις.

A aquarum [24]. » Non autem simile est perennibus circumfluum aquis potari et humanis adinventionibus in piscina coactis aquis irrigari : illud namque cœlestem sermonem, hoc vero humanam doctrinam significat. Deinde quia malum, circumdatam cortice custodiens odoris suavitatem, illam foris diffundit : sic etiam divinitas corpore abdebatur, foris tamen etiam in carne apparentem suam prodebat efficacitatem. Umbra porro in qua sedere Sponsa desideravit (cum ut plurimum ex foliis potius quam aliunde umbra fieri amet, dum viridantium densa conjunctione foliorum solarem radium arcet), sunt ea quæ Dominicus homo secundum naturam humanam perficiebat, comedens et bibens et quæcunque erant opera naturæ, quia B cum aliqua utilitate etiam hæc obibat modum in iis non cupiditatis immoderantiam sed necessitatis sufficientiam sciens. Fructus enim mali sunt opera virtutum qui et dulcis factus est in gutture ipsius ; optima qualitate gustus oblectans : præter moralem autem hanc contemplationem etiam dogmaticam doctrinam hic textus continet, siquidem umbram habet lex futurorum bonorum [25], et sunt quædam umbra futurorum, corpus vero Christi a quo et umbra exsistit in umbra legis. Pulchre sedit Sponsa non ipsam legem faciens corporaliter, sed quæ in ea significantur ; vacans quidem typicis edictis (vacationem enim sessio designat), sed fructibus abundanter fruens eisque se recreans, tum olfactu, tum C gustu, cum delectatione atque fruitione ; quia cibi quidem gustus, delectationis vero instrumentum est odoratus.

Ὠριγένους. — Ἔπρεπε τῇ Νύμφῃ, κ. τ. λ. (28).

Origenis. — Decebat Sponsam, etc.

Φίλωνος. — Ἤγουν υἱῶν τῶν Ἰουδαίων φησὶν, κατὰ τὸ « Υἱοὺς ἐγέννησα, » οὓς ὡς ἀκάρπους καὶ ξύλα δρυμοῦ προσωνόμασεν· ὧν ἐν μέσῳ κατὰ σάρκα Χριστὸς, ἅτε μετασχηκὼς αἵματος καὶ σαρκὸς, ὧν τὸ μῆλον εἰκὼν ἐν ἑαυτῷ φέρον τὸ ἐρυθρὸν καὶ λευκὸν, καὶ μὲν καὶ εὐωδιάζον.

Philonis. — Vel per filios Judæos intelligit, juxta illud : « Filios genui [26] ; » quos etiam tanquam infrugiferos ligna silvæ appellavit, quorum in medio secundum carnem Christus, utpote particeps sanguinis et carnis, quorum imago est malum in se ruborem et candorem ferens, nec non odoris suavitatem.

Ἀπολιναρίου. — Τότε δὲ ἀληθῶς γλυκαίνεται τὰ τῆς ψυχῆς μου αἰσθητήρια, ὅταν ἡμᾶς πρὸς τὸν ἐκ τῶν πειρασμῶν φλογμὸν ἡ τοῦ μήλου σκιὰ διατειχίσῃ, ὡς μὴ ὑπὸ τοῦ τοιούτου ἡλίου συγκαίεσθαι· D οὐκ ἔστι δὲ ἄλλως ὡς ὑπὸ τὴν σκιὰν τοῦ ξύλου τῆς ζωῆς ἀναψύξαι· μὴ τῆς ἐπιθυμίας πρὸς τοῦτο τὴν ψυχὴν ἀναγούσης.

Apollinarii. — Tunc autem vero dulces reddit animi sensus, quando nos contra tentationum æstum defendit ne a tali sole aduramur. Aliter autem non possumus sub umbra ligni vitæ refrigerari, nisi desiderium eo animum adduxerit.

δ'. Εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου.

VERS. 4. *Introducite me in domum vini.*

Ὠριγένους. — Ταῦτα πρὸς, κ. τ. λ. (29).

Origenis. — Hæc ad, etc.

Γρηγορίου. — Ἡ πῶς τρέχει τὸν καλὸν δρόμον καὶ θεῖον ἡ καλῶς τῇ ἴππῳ παρεικασθεῖσα ψυχή; τοῖς γὰρ ἔμπροσθεν ἐπεκτεινομένη, οὐκ ἀρκεῖται τῷ τῆς σοφίας κρατῆρι· ἀλλ' εἰς αὐτὴν τὴν ληνὸν τοῦ

Gregorii. O quomodo ad divinum cursum properat anima quæ recte prius equæ assimilata est ? Nam ad anteriora se extendens non est contenta cratere sapientiæ, sed in ipsomet torculari vini mystici

[24] Eccle. II, 6. [25] Psal. I, 3. [26] Isa. I, 2.

NOTÆ.

(23) *Patrol.* t. XVII, col. 231.

(29) *Patrol.* t. XVII, col. 261.

Digitized by Google

versari desiderat, et in vite illa quæ talem botrum alit.

Merito expetit Sponsa deinceps introduci in domum vini : cum enim in cruce botro suspenso et ab omnibus exinanito (quod adhuc vernaret), non omnibus appareret vini usus; hæc sola post manifestandum ante credidit firmiter animo, istius modi; præcipiens cogitationem, quasi ante tempus vini, vinum in vernante uva contemplando, et in cruce versanti testimonium desuper adhibendo divinitatis, et dum tribularetur, futuram ejus in cruce pendentis uvæ prædicationem, quasi jam promulgatam firmiter tenens, illudque ipsi ante rerum eventum, quod aliis post eventum accidebat. Hoc igitur eximium istius modi judicii præmium postulat in domum vini ingressum : si autem vinum est Verbum utique domus vini Pater sit, in ipso enim reperitur Verbum. Postquam ergo in tali domo versabatur, recte etiam ordinari in se postulat charitatem, ut quæ per talem instantiam, jam pridem evaserit digna dilectione, qua charitas in ipsa ordinaretur, non amplius ut accidit illam diligentium, sed ut sit inter ordinatos et electos, ex debito deinceps dilectorum numero exsistens et locum obtinens.

Apollinarii. — Etiam vinum ad lætitiam cordis juxta Psalmistam dicitur, et vinum bene olens, juxta Zachariam.

Congruit autem extraneæ Sponsæ illud : *Introducite me in domum vini*, siquidem prius non erat in vinea : nam post eos qui circa tertiam et sextam et nonam horam vocati sunt, sub undecimam hæc vocatur, postquam audiverat : « Quid hic statis tota die otiosi? Ite et vos in vineam meam [27]. » Otiosa namque erat quia sibi propria non operabatur, sed cum alienas vineas custodiret, etiam primum accipit præmium charitatis, signum regium, donum spiritale : unde et Aquila, *Ordinavit in me charitatem*, ait. Charitatis enim est illud : « Volo huic novissimo dare sicut et tibi [28]. »

Ordinate in me charitatem.

Gregorii.— In desiderato jam exsistens, ad majus iterum exsilit, et ait : Cum jam sim in domo vini, subjicite me charitati, quæ est secus, sive ordinate in me charitatem. Quomodocumque enim utaris verbi inversione, idem est quod per utrumque significatur, sive ex eo quod ipsa charitati subjiciatur, sive ex eo quod in ipsa charitas ordinetur. Vel forsitan etiam docemur cujusmodi sit Deo exhibenda charitas et quemadmodum in se invicem affectos esse oporteat, ne forte inordinata et inversa fiat charitatis adimpletio. Oportet enim Deum diligere ex tota anima, et corde, et virtute, proximum autem sicut seipsum, et uxo-

μυστικοῦ οἴνου γενέσθαι ποθεῖ· καὶ τὴν ἄμπελον ἐκείνην τὴν τοιοῦτον βότρυν ἐκτρέφουσα.

Νείλου. — (30) Εἰκότως ἀπαιτεῖ ἡ Νύμφη λοιπὸν, τὸ εἰσαχθῆναι εἰς τὸν οἶκον τοῦ οἴνου. Ἐπειδὴ γὰρ ἐν τῷ σταυρῷ τὸν βότρυν κρεμάμενον, καὶ παρὰ πάντων ἐξουθενηθέντα διὰ τὸ ἔτι κυπρίζοντα, μὴ πᾶσιν ἐπιφαίνειν τὴν τοῦ οἴνου χρῆσιν μόνη τὸ ὕστερον ἀποδειχθησόμενον προεπίστευσεν ἐν τῷ λογισμῷ τὴν τοιαύτην προκαθιδρύσασα εὔνοιαν· ὡς πρὸ καιροῦ τοῦ οἴνου ἐν τῇ κυπριζούσῃ σταφυλῇ θεωρεῖν ἐν τῷ σταυρῷ ὄντι ἄνω, θεότητα προσμαρτυρεῖν, καὶ τὸ ἐκθλίβεσθαι μέλλον τῆς ἐν τῷ σταυρῷ σταφυλῆς κήρυγμα, ὡς ἤδη λαλούμενον βεβαίως κατέχουσα· κἀκεῖνο παθοῦσα πρὸ τῆς τῶν πραγμάτων ἐκβάσεως, ὅπερ οἱ πολλοὶ μετὰ τὴν ἔκβασιν ἔπαθον· ὅπερ γέρας ἐξαίρετον τῆς τοιαύτης κρίσεως, αἰτεῖ τὴν ἐν τῷ οἴκῳ τοῦ οἴνου εἴσοδον· εἰ δὲ οἶνός ἐστιν ὁ λόγος, οἶκος τοῦ οἴνου εἴη ἂν ὁ Πατήρ· ἐν τούτῳ γὰρ εὑρίσκεται ὁ Λόγος, μετὰ δὲ τὸ γενέσθαι ἐν τῷ τοιούτῳ οἴκῳ καλῶς, καὶ ταγῆναι τὴν ἀγάπην ἐπ' αὐτῇ βούλεται, ἀξίαν ἀγάπης ἤδη διὰ τὴν τοιαύτην ἔνστασιν γεγενημένην· ὥστε ταγῆναι ἐπ' αὐτῇ τὴν ἀγάπην, μηκέτι ὡς ἔτυχεν αὐτὴν ἀγαπώντων, ἀλλ' ἐν τοῖς τεταγμένοις καὶ ὡρισμένοις τῶν ἐξ ὀφειλῆς λοιπὸν ἀγαπωμένων οὖσαν, ἀριθμεῖν καὶ ἔχειν.

Ἀπολιναρίου. — Καὶ οἶνος εἰς εὐφροσύνην καρδίας κατὰ τὸν ψαλμῳδὸν λέγεται· καὶ οἶνος εὐωδιάζων κατὰ τὸν Ζαχαρίαν.

Ἁρμοζε δὲ τῇ ἐπήλυδι νύμφῃ τὸ, *Εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου*· οὐ γὰρ ἦν τὸ πρότερον εἴσω τοῦ ἀμπελῶνος· μετὰ γὰρ τὰς περὶ τρίτην καὶ ἕκτην καὶ ἐννάτην κληθέντας, ὑπὸ τὴν ἑνδεκάτην αὕτη καλεῖται· ἀκούσασα, « Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; Πορεύεσθε εἰς τὸν ἀμπελῶνα· » ἤργει γὰρ, ὅτι μὴ τὰ οἰκεῖα εἰργάζετο, ἀλλοτρίας ἀμπέλους φυλάττουσα· καὶ λαμβάνει πρῶτον τὴν ἐξ ἀγάπης τιμὴν, τὸν χαρακτῆρα τὸν βασιλικὸν, τὸ δῶρον τὸ πνευματικόν· διὸ καὶ Ἀκύλας, *Ἔταξεν ἐπ' ἐμὲ ἀγάπην*, φησὶν· ἀγάπης γὰρ, τὸ, « Θέλω τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί. »

Τάξατε ἐπ' ἐμὲ ἀγάπην.

Γρηγορίου. — Ἐντὸς τοῦ ποθουμένου γενομένη, ἐπὶ τὸ μεῖζον πάλιν ἐξάλλεται, καὶ φησίν· Ἐπείπερ γέγονα ἐν τῷ οἴκῳ τοῦ οἴνου, ὑποτάξατέ με τῇ ἀγάπῃ, ἤ τίς ἐστιν ὁ Θεός· ἢ τάξατε ἐπὶ ἐμὲ τὴν ἀγάπην· ταυτὸν γάρ ἐστι τὸ σημαινόμενον δι' ἑκατέρου, ὅπως ἂν χρήσῃ τῇ ἀναστροφῇ τοῦ λόγου, ἔκ τε τοῦ ὑπὸ τὴν ἀγάπην ταχθῆναι καὶ ἐν τῇ τοῦ τὴν ἀγάπην αὐτῇ ταχθῆναι· ἢ τάχα καὶ διδασκόμεθα οἵαν ἀνατεθῆναι προσήκει τῷ Θεῷ τὴν ἀγάπην, καὶ ὅπως πρὸς τοὺς ἄλλους ἔχειν· μήποτε ἄτακτός τις καὶ ἀνηλλαγμένη γένηται τῆς ἀγάπης ἡ ἀποπλήρωσις· Θεὸν γὰρ δεῖ ἀγαπᾷν ἐξ ὅλης ψυχῆς καὶ

[27] Matth. xx, 6. [28] ibid. 14.

NOTÆ.

(30) Scholium hoc in C. B. Gregorio ascribitur.

Digitized by Google

καρδίας καὶ δυνάμεως, τὸν δὲ πλησίον ὡς ἑαυτόν· γυναῖκα δὲ, εἰ μέν τίς ἐστι, καθαρωτέραν ψυχῆς, ὡς ὁ Χριστὸς τὴν Ἐκκλησίαν· ὁ δὲ ἐμπαθέστερος, ὡς τὸ ἴδιον σῶμα· τὸν ἐχθρὸν δὲ, ἐν τῷ μὴ κακὸν ἀντὶ κακοῦ δοῦναι, ἀλλ' εὐεργεσίᾳ τὴν ἀδικίαν ἀμείψασθαι· φησὶν οὖν ἀγάπην τεταγμένην ποιήσατε· μὴ καὶ πάλιν ἐκπέσω, συντηροῦντες τὴν πρὸς τὸ κρεῖττον ροπήν· καὶ πῶς μὲν ἀγαπᾷν τὸν Θεὸν χρὴ, πῶς δὲ τὸν πλησίον διδάσκοντα, ἢ καὶ τοῦτο τυχὸν ἔστιν ὑπονοῆσαι διὰ τοῦ λόγου· ἐπειδὴ ἀγαπηθεῖσα παρὰ τὴν πρώτην διὰ τῆς παρακοῆς, ἐν τοῖς ἐχθροῖς ἐλογίσθην· νῦν δὲ πάλιν εἰς τὴν αὐτὴν ἐπανῆλθον χάριν δι' ἀγάπης τῷ Δεσπότῃ συναρμοσθεῖσα· κυρώσατέ μοι τὸ διὰ τῆς χάριτος τεταγμένον καὶ ἀμετάστατον, ὑμεῖς οἱ φίλοι τοῦ Νυμφίου, δι' ἐπιμελείας καὶ προσοχῆς ἐν τῷ παγίῳ συντηροῦντές μοι τὴν πρὸς τὸ κρεῖττον μονήν.

A rem si purioris quidem est animæ, sicut Christus Ecclesiam; sin autem est animo perturbatiori, sicut corpus proprium; inimicum autem in eo quod non reddamus malum pro malo, sed pro injuria beneficium referamus. Charitatem igitur, inquit, ordinatam facite, ne iterum excidam; conservantes ad id quod melius est propensionem; et quomodo quidem Deum diligere oporteat, quomodo vero proximum docentes. Vel forte per hoc etiam licet intelligere. Quod quoniam quæ primum fueram dilecta, propter inobedientiam inter inimicos fui computata, nunc ad eamdem reversa sum gratiam, per charitatem Domino conjuncta: confirmate mihi hujus gratiæ stabilitatem et immutabilitatem, vos amici Sponsi studio et diligentia, in soliditate conservantes mihi ad id quod melius est propensionem.

ε'. *Στηρίσατέ με ἐν μύροις.*

Γρηγορίου. — Τουτέστι ταῖς ἀρεταῖς· καὶ οὐ μόνον τὸ βλέπειν τὸ ἀγαθὸν, καὶ ἐν μετουσίᾳ τοῦ κρείττονος γίνεσθαί ἐστιν ἀρετὴ, ἀλλὰ καὶ τὸ ἀμετάπτωτον ἐν τῷ καλῷ διασώσασθαι· ὁ τοίνυν στηριχθῆναι βουλόμενος ἐν τοῖς μύροις, τὸ βέβαιον ἐν ταῖς ἀρεταῖς αὐτῷ προσγενέσθαι ζητεῖ· ἀρετὴ γὰρ τὸ μύρον, διότι πάσης δυσωδίας ἁμαρτημάτων κεχώρισται· ἡ γὰρ ἁμαρτία δυσώδης. Διὰ τοῦτο, *Στηρίσατέ με ἐν μύροις, στοιβάσατέ με ἐν μήλοις· ὅτι τετρωμένη ἀγάπης ἐγώ.*

VERS. 5. *Fulcite me in unguentis.*

Gregorii. — Hoc est virtutibus. Virtus enim est non solum bonum intueri, et esse participem ejus quod est melius; sed etiam immutabilitatem in bono conservare. Qui ergo vult fulciri in unguentis quærit sibi adesse firmitatem in virtutibus. Virtus enim est unguentum, quoniam est sejuncta ab omni tetro odore peccatorum. Peccatum enim fetidum est: Propterea *fulcite me in unguentis, stipate me in malis, quia vulnerata charitatis ego sum.*

Νείλου. — Τάχα, ἢ ὡς ἀμοιβὴν τῶν κατορθωμένων ἀπαιτεῖ τὸ ἐν τούτοις γενέσθαι, ἢ ὡς ἐπιτετρωμένη τῷ πόθῳ, παραμυθίαν ὡς ἂν εἴποι τις καὶ ψυχαγωγίαν. Ἐπειδὴ γὰρ ὥσπερ ἐξελύτο ὑπὸ τῆς πρὸς τὸν ἀγαπώμενον μνήμης, στηριχθῆναι μὲν ἐν μύροις τῆς θεωρίας, στοιβασθῆναι δὲ ἐν μήλοις τῶν θαυμάτων τοῦ Νυμφίου καὶ τοῦ καρποῦ τῶν πράξεων ἐπιθυμεῖ· ἐπειδὴ ἡ μὲν θεωρία τῇ τῶν νοημάτων τέρπουσα γλαφυρότητι ὁσμὴ μύρων· ἡ δὲ πρᾶξις μετὰ τοῦ τροφίμου, καὶ τὸ εὐῶδες ἔχει. Ποιεῖ γὰρ καὶ τὰ τῆς ἀρετῆς ἔργα χαρὰν, τῇ τῶν ἀμοιβῶν ἐλπίδι τὴν συνείδησιν τοῦ ἐργαζομένου εὐφραίνοντα· τινὲς δὲ τὸ, *Στοιβάσατέ με ἐν μήλοις*, περὶ τοῦ θανάτου εἶπον· ὡς τῆς Νύμφης βουλομένης μετὰ τῶν ἁγίων ἀξιωθῆναι ταφῆς· πάντως ἐκείνους μῆλα νοήσαντες τοὺς εἰπόντας· « Χριστοῦ εὐωδία ἐσμέν. »

Nili. — Vel fortasse quasi compensationem recte gestorum, in his versari postulat, vel tanquam adhuc amore vulnerata consolationem, ac si quis dicat recreationem. Cum enim ad dilecti memoriam quasi resoluta sit, fulciri quidem in unguentis contemplationis, stipari vero in malis, miraculorum Sponsi et fructu actionum concupiscit. Quoniam contemplatio quidem considerationum varietate, tanquam unguentorum odor oblectat; actio autem una cum alimento bonum odorem habet. Opera enim virtutis gaudium pariunt, quod conscientiam operantis spe compensationum exhilarat. Nonnulli vero: *Stipate in malis* de morte accipiunt, ac si Sponsa sanctorum sepultura dignari velit, illos omnino mala intelligens qui dixerunt: « Christi bonus odor sumus [28]. »

Στοιβάσατέ με ἐν μήλοις

Κυρίλλου. — Τοῖς εὐαγγελικοῖς με ἀσφαλίσατε λόγοις· οὗτοι γὰρ ἡμῖν εὐωδιάζουσι Χριστόν. Συνταχθείην δὲ, φησὶ, κἀγὼ μετὰ τῶν ἁγίων αὐτοῦ· ὡς γὰρ αὐτὸς μῆλον, οὕτως σύσσωμοι καὶ συμμέτοχοι αὐτοῦ μῆλα.

Stipate me in malis.

Cyrilli. Evangelicis communite me doctrinis: hæ quippe nobis Christi odorem affundunt. Utinam collocer ego quoque, inquit, cum sanctis ejus! Nam sicut ipse pomum est, ita etiam qui sunt cum eo corporati et participes, poma fient.

Προκοπίου. — Τοῖς κατὰ Θεὸν πλεονεκτήμασιν.

Procopii. — Id est sortibus secundum Deum melioribus.

Γρηγορίου. — (31) Ἵνα πάντοτε εἰς ὕψος ὁρῶσα,

Ut semper in altum aspiciens bona intuear

[28] II Cor. II, 15.

NOTÆ.

(31) Quæ sequuntur in C. B. ut verba Procopii continuantur.

Digitized by Google

exempla in sponso exhibita. Illic enim mansuetudo, illic placiditas, illic injuriarum oblivio erga inimicos et benignitas erga lugentes, illic continentia, longanimitas, atque similia quæ pulchro ordine concinnata gratissimum spectaculum exhibent dum ad cœlestis vitæ rationem adducunt. Malum autem Christus est propter candorem carnis et ruborem sanguinis, ac suavem prædicationis odorem.

Origenis. — Symmachus sic edidit, etc.

Quia amore vulnerata sum.

Gregorii. — Iis dictis laudat sagittarium a jaculandi peritia, ut qui telum recte in ipsam dirigat. *Vulnerata* enim, inquit, *dilectionis sum ego.* Ostendit hac oratione telum quod cordi alte insidet : sagittarius autem hujus teli est dilectio seu charitas : charitatem autem esse Deum didicimus a Scriptura [29], qui electum suum unigenitum Jesum Christum emittit in eos qui servantur spiritu vitæ triplicem aculei cuspidem illiniens. Aculeus autem est fides, ut quæ in quo fuerit, cum sagitta simul adducat sagittarium, ut dicit Dominus : Quoniam « Ego et Pater veniemus et mansionem apud eam faciemus [30]. » Videt ergo quæ per divinas ascensiones in altum sublata est anima, dulce telum charitatis quo sauciata fuit in semetipsa, et de eo vulnere gloriatur dicens : *Quoniam vulnerata dilectionis sum ego :* Nec hoc solum, sed et ipsa fit telum in manibus sagittarii : sinistra quidem caput ad supernum scopum dirigente, dextera vero telum ad se attrahente : ait ergo :

VERS. 6. *Læva ejus sub capite meo et dextera illius amplectetur me.*

Cyrilli. — Sinistra dicitur lex, dextera Evangelium. Vel sinistra intelligenda est præsens vita, dextera autem futura : quæ quidem me complectetur, postquam iis qui a dextris erunt dictum fuerit : « Venite, benedicti Patris mei [31]. »

Gregorii. — Dicit etiam alibi : « Longitudo vitæ et anni vitæ sunt in dextera sapientiæ : in sinistra vero divitiæ et gloria [31]. » Dextera igitur illius divinorum scientia est ex qua æterna vita exsistit ; sinistra vero cognitio rerum humanarum e quibus divitiæ et gloria, ait igitur : Mens mea superat humana et divina cognitio tegetme. Etenim rursus dictum est : Honora illam ut te amplectatur. Ostendit itaque eumdem esse et Sponsum et sagittarium nostrum, et Sponsam ac sagittam esse puram animam. Sicut telum ergo ad bonum dirigit scopum ; sic et Sponsam ad communionem assumit incorruptæ perpetuitatis. Longitudinem vitæ etiam in hac vita per dexteram præbens, et per sinistram divitias bonorum æternorum et Dei gloriam, cujus expertes sunt qui mundi gloriam

A βλέπω πρὸς τὰ τῶν ἀγαθῶν ὑποδείγματα, ἐν τῷ Νυμφίῳ δεικνύμενα · ἐκεῖ γὰρ πραότης, ἐκεῖ τὸ ἀόργητον, ἐκεῖ τὸ πρὸς τοὺς ἐχθροὺς ἀμνησίκακον, καὶ τὸ πρὸς τοὺς λυποῦντας φιλάνθρωπον · ἐκεῖ τὸ ἐγκρατὲς καὶ μακρόθυμον, καὶ τὰ ὅμοια · ἃ κατὰ τάξιν ἐπισυναπτόμενα, χαριεστάτην θέαν ἐργάζεται, πρὸς ὕψος πολιτείας ἐπανάγοντα · μῆλον δὲ ὁ Χριστὸς, διὰ τὸ λευκὸν τῆς σαρκὸς καὶ τὸ ἐρυθρὸν τοῦ αἵματος, καὶ τὴν τοῦ κηρύγματος εὐωδίαν.

Ὠριγένους. — Ὁ Σύμμαχος οὕτως ἐκδέδωκεν· κ. τ. λ. (32).

Ὅτι τετρωμένη ἀγάπης ἐγώ.

Γρηγορίου.—Ταῦτα εἰποῦσα, ἐπαινεῖ τὸν τοξότην τῆς εὐστοχίας ὡς καλῶς ἐπ' αὐτὴν τὸ τέλος ἰθύνοντα· *Τετρωμένη* γὰρ, φησὶν, *ἀγάπης ἐγώ* · δείκνυσι τῷ B λόγῳ τὸ βέλος τὸ τῇ καρδίᾳ βάθους ἐγκείμενον · ὁ δὲ τοξότης τοῦ βέλους, ἡ ἀγάπη ἐστί · τὴν δὲ ἀγάπην τὸν Θεὸν εἶναι παρὰ τῆς Γραφῆς μεμαθήκαμεν, ὃς τὸ ἐκλεκτὸν βέλος τὸν μονογενῆ Υἱὸν ἐπὶ τοὺς σωζομένους ἐκπέμπει, τῷ πνεύματι τῆς ζωῆς τὴν τριπλῆν τῆς ἀκίδος ἀκμὴν περιχρῶσαν · ἀκὶς δὲ ἡ πίστις ἐστὶν · ἵνα ἐν ᾧ ἂν γένηται συνεισαγάγῃ μετὰ τοῦ βέλους καὶ τὸν τοξότην, ὡς φησιν ὁ Κύριος · « Ἐγὼ καὶ ὁ Πατήρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν. » Ὁρᾷ τοίνυν ἡ διὰ τῶν θείων ἀναβάσεων ὑψωθεῖσα ψυχὴ τὸ γλυκὺ τῆς ἀγάπης βέλος ἐν ἑαυτῇ ᾧ ἐτρώθη · καὶ καύχημα ποιεῖται τὴν τοιαύτην πληγὴν λέγουσα·*Ὅτι τετρωμένη ἀγάπης ἐγώ* · οὐ μὴν ἀλλὰ καὶ αὐτὴ γίνεται βέλος ἐν ταῖς χερσὶ τοῦ τοξότου, τῆς μὲν εὐωνύμου τὴν κεφαλὴν πρὸς τὸν ἄνω C σκοπὸν εὐθυνούσης, τῆς δεξιᾶς δὲ πρὸς ἑαυτὴν διαλαμβανούσης τὸ βέλος · φωνὴ οὖν·

ς'. *Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου, καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με.*

Κυρίλλου.— Εὐώνυμος ὁ νόμος, δεξιὰ τὸ Εὐαγγέλιον · ἢ καὶ εὐώνυμος ὁ παρὼν βίος, δεξιὰ ὁ μέλλων· ἤ τις με περιλήψεται, ὅταν τοῖς ἐκ δεξιῶν εἴπῃ · « Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου. »

Λέγει (33) δὲ καὶ ἑτέρωθι μῆκος βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ τῆς σοφίας · ἐν δὲ τῇ ἀριστερᾷ, πλοῦτος καὶ δόξα · δεξιὰ γοῦν αὐτῆς ἡ τῶν θείων ἐπιστήμη · ἐξ ἧς ἡ αἰώνιος ζωὴ · ἀριστερὰ δὲ ἡ τῶν ἀνθρωπίνων γνῶσις, ἐξ ὧν πλοῦτος καὶ δόξα · λέγει τοίνυν ὅτι ὑπερέχει ὁ νοῦς μου τὰ ἀνθρώπινα · καὶ ἡ θεία γνῶσις καλύψει με. Καὶ γὰρ εἴρηται πάλιν · Τίμησον αὐτὴν, ἵνα σε περιλάβῃ. Δείκνυσι τοίνυν, ὅτι ὁ αὐτὸς καὶ Νυμφίος καὶ τοξότης ἡμῶν ἐστι, Νύμφη τε καὶ βέλος ἡ κεκαθαρμένη ψυχή · ὡς βέλος οὖν πρὸς τὸν ἀγαθὸν εὐθύνει σκοπόν · ὡς Νύμφην εἰς κοινωνίαν ἀναλαμβάνει τῆς ἀφθάρτου ἀϊδιότητος · μῆκος βίου καὶ ἔτη ζωῆς, διὰ τῆς δεξιᾶς χαριζόμενος · διὰ δὲ τῆς ἀριστερᾶς, τὸν τῶν αἰωνίων ἀγαθῶν πλοῦτον καὶ τὴν τοῦ Θεοῦ δόξαν, ἧς οἱ τὴν τοῦ κόσμου ζητοῦντες δόξαν ἀμέτοχοι γίνονται · διὰ τοῦτό φησιν, ὅτι, *Εὐ-*

[29] I Joan. IV, 16. [30] Joan. XIV, 23. [31] Prov. III, 26. [32] Matth. XXV, 34.

NOTÆ.

(32) *Patrol.* t. XVII, col. 261.

(33) In C. B. hæc sunt Gregorii, dum in C. V. sub nomine Cyrilli inscribuntur.

Digitized by Google

ὠνυμος αὐτοῦ ἐπὶ τὴν κεφαλήν μου, δι' ἧς εὐθύνεται ὑπὸ τὸν σκοπὸν τὸ βέλος. Ἡ δὲ δεξιὰ αὐτοῦ πρὸς ἑαυτόν με διαλαβοῦσα καὶ ἐφελκυσαμένη, κούφην με πρὸς τὴν ἄνω φορὰν ἀπεργάζεται· κἀκεῖ πεμπομένην, καὶ τοῦ τοξότου μὴ χωριζομένην, μᾶλλον ἐπαναπαύεσθαι· εἶτα πρὸς τὰς θυγατέρας τῆς ἄνω Ἰερουσαλὴμ τρέπει τὸν λόγον· ὁ δὲ λόγος παράκλησίς ἐστιν ἐν ὅρκῳ προσαγομένη, τοῦ πλεονάζειν καὶ ἐπαύξειν ἀεὶ τὴν ἀγάπην· ἕως ἂν ἐνεργὸν ἑαυτοῦ ποιήσῃ τὸ θέλημα, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν.

A quærunt : propterea dicit : *Sinistra ejus sub capite meo*, per quam jaculum dirigitur ad scopum : dextera vero ejus me apprehendens et ad se trahens efficit me levem ut sursum ferar, et illuc mittar, et a sagittario minime separer, adeo ut et simul feratur per jaculationem et a sagittarii manibus non separetur, quin potius in iis conquiescat. Deinde ad filias supernæ Jerusalem convertit orationem. Est autem oratio adhortatio, quæ adhibetur cum adjuratione, ut charitas semper multiplicetur et augeatur, donec ad effectum deduxerit suam voluntatem, qui vult omnes salvos fieri et ad agnitionem venire veritatis [33].

Διὰ (34) μὲν τοῦ εὐωνύμου τὰ τοῦ παρόντος βίου αἰνίττεται. ὡς ἔοικε καλὰ, ὧν τὴν ἀπόλαυσιν ἤδη ἔχει· διὰ δὲ τῆς δεξιᾶς, τὴν τῶν μελλόντων ἐν ἐπαγγελίαις προσδοκίαν· ὧν τὴν χρῆσιν ἐν ἐπαγγελίαις ὡς λέλεκται καὶ ἐλπίσι προσκεῖσθαί φησιν, εὖ δὲ καὶ τὸ φάναι, τῇ μὲν δεξιᾷ περιλαμβάνεσθαι, τῇ δὲ ἀριστερᾷ τὴν κεφαλὴν ἐπαναπαύεσθαι· δεῖ γὰρ τὰ τοῦ παρόντος βίου κἂν πολὺ νομίζηται χρηστὰ καὶ περίβλεπτα, ὑποτετάχθαι τῇ κεφαλῇ τῆς τελείας ψυχῆς, μόνην τὴν ἀναγκαίαν χρείαν παρέχοντα τῷ σώματι, ὡς τὸ προσκεφάλαιον τῇ κεφαλῇ· τὰ δὲ τοῦ μέλλοντος αἰῶνος, ἐπειδὴ θεῖα ὄντα ἐπάνω τῆς ἀνθρωπίνης ἐφέστηκε φύσεως, διὰ τῆς περιλήψεως τὸ ὑπερέχον ἠνίξατο· τάχα δὲ, ἐπειδήπερ αἱ χεῖρες πράξεών εἰσι σύμβολον, αἱ δὲ τῆς ἀριστερᾶς χειρὸς πράξεις, τὰ τοῦ σώματος σημαίνουσιν· αἱ δὲ τῆς δεξιᾶς τὰ τῆς ψυχῆς· δεξιὰ ὄντα τὸν ἀμείνω κλῆρον εἴληχε, περιέχονται τὰς σωματικὰς ἀνάγκας· ὡς γὰρ ἡ περιλαμβάνουσα χεὶρ, καὶ ἐπάνω ἐστὶ καὶ ἐντὸς ἀγκάλην ἔχει τὸ περιληφθὲν, οὕτως αἱ πρὸς τὸν σκοπὸν τῆς μελλούσης ζωῆς ἀποτεταγμέναι πράξεις, πᾶν κίνημα τοῦ σώματος ἄλογον περισφίγγουσαι, εὔτακτον καὶ συνδεδομένην φυλάττουσι τὴν ζωήν· οὐδ' ἑνὸς ἐπιβουλεύειν δυναμένου, τῇ περιληφθείσῃ ὑπὸ τοῦ Νυμφίου ψυχῇ.

Nili. — Per sinistram quidem præsentis, ut solet, vitæ bona innuit quorum jam obtinet fruitionem : per dexteram vero futurorum in promissis exspectationem quorum usum in spebus propositum ait : recte autem dicitur, dextera quidem amplecti, sinistra vero capiti quies impendi. Oportet enim præsentis vitæ bona, quamvis valde utilia et conspicua videantur, subjici seu supponi capiti animæ perfectæ, ut necessarium duntaxat corpori usum præbeant non secus ac capiti cervical : futuri vero sæculi bona, utpote divina, in supremo humanæ naturæ sita per amplexus eminentiam insinuavit. Fortassis vero quia manus actionum sunt symbolum, sinistræ autem manus opera corporis significant, dexteræ vero animæ ; hoc sermone declarante, quod animæ dextera cum sint meliorem sortem obtinuerint corporeas necessitates complectentia : quemadmodum enim manus quæ complectitur et desuper est et in ulnis habet id quod continetur : ita quæ ad futuræ vitæ scopum ordinatæ sunt actiones, omnem motum corporis irrationalem succingentes bene compositam et colligatam vitam servant, sic ut nemo circumvenire possit animam quam Sponsus amplectitur.

B

C

Ζ'. Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλὴμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ· ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως οὗ θελήσῃ.

Vers. 7. *Adjuravi vos, filiæ Jerusalem, in virtutibus et in viribus agri : si suscitaveritis et expergisci faciatis charitatem quoadusque velit.*

Φίλωνος. — Τὰς τῶν ἁγίων ὁρκίζει ψυχὰς κατὰ τῶν θεοσημειῶν ἃς ἔδειξεν ἐν βίῳ Χριστὸς, πρεσβείαις ἐξεγείρειν τὸν πόθον αὐτοῦ πρὸς αὐτήν. Ἀκύλας δὲ φησὶ καὶ Σύμμαχος, καὶ ἡ πέμπτη ἔκδοσις· Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλὴμ, ἐν δορκάσιν, ἢ ἐν ἐλάφοις τῆς χώρας, ἐκδιδάσιν· καὶ ἴσως οἱ μὲν διοπτικοὶ δορκάδες, ἀπὸ τοῦ δέρκειν καὶ βλέπειν· οἱ δὲ γενναῖοι κατὰ τῆς κακίας ἀγωνισταὶ, καὶ ἀβλαβῶς ἀναιροῦντες αὐτῆς τὰ γεννήματα, ἔλαφοι, ἐπεὶ καὶ τὸ ζῶον ὄφεών ἐστιν ἀναιρετικὸν, πρὸς τοῦ τούτων ἰοῦ μὴ βλαπτόμενον· καθ' ὧν ἀρκεῖ τὴν ἀγάπην ἐξεγεῖραι μέχρι θελήσει χρηματίσαι ταύταις ἡ τοῦ Νυμφίου φωνή.

Philonis. — Sanctorum animas adjurat per miracula quæ Christus, dum in hac vita versaretur, divinitus patravit, ut precibus suis interpositis ejus amorem in eam excitent. Aquila autem ac Symmachus et quinta editio sic habent : *Adjuro vos, filiæ Jerusalem, per capreas vel cervos campi.* Et fortassis perspicaces dicuntur capreæ (δορκάδες) a videndo (δέρκειν) et cernendo, ii vero qui fortiter contra improbitatem luctantur ejusque sobolem tollentes nihil detrimenti capiunt, cervi vocantur, siquidem cervus serpentes occidit neque ab eorum veneno læditur ; contra quos charitatem excitare sufficit, donec Sponsi vox illis respondere voluerit.

D

[33] 1 Tim. II, 4.

NOTÆ.

(34) Hæc sancto Nilo vindicat C. B.

Digitized by Google

Gregorii. — Anima in sublime ascendendo, properans discentibus animabus progressum ad id quod perfectum est exponens, per adjurationem eas ad iram virtutis manuducit, dicens : Quod si, o discipulæ animæ, proficitis virtutibus usque dum suscitetis et expergisci faciatis charitatem, quod est jam elevatæ et semper per profectum in majus auctæ, donec ad finem veniat bona ipsius voluntas, ut in carne vivens non amplius secundum carnem vivat, et in agro hujus mundi degens, virtutes intueatur angelicas, per passionum vacuitatem, angelicam puritatem imitando. Virtutes enim et vires agri sive mundi sicut angelicæ virtutes ; affirmo vos angelicum in regeneratione statum habituros. Vis autem est potentia ; si quidem singulariter dicitur, ad divinum numen refertur sensus istius modi vocis ; sin vero pluraliter, angelicam naturam exhibet. Illud autem *adjuravi* pro *adjuro* positum. Juramentum porro est sermo per se veritatem confirmans, dicitur autem juramentum, sive juret quis sive adjuretur.

Nili.—Illud *excitare* manifeste quidem filiabus Jerusalem dictum, sed in quo charitatem, an in seipsis an in sponso, an in ipsa loquente, non liquet : siquidem igitur in illis charitatem excitari vult potest istiusmodi quid dicere : O tardæ et quæ prosint non sentientes, quantum lucri per inscitiam negligitis, quod diligentibus Sponsum ex dilectione obtingit ! Adjuro vos per virtutes agri quæ res mundi gubernant et vires ipsarum quibus adversarios enervant, excitare sopitam in vobis et expergefacere erga Sponsum charitatem et agnoscere voluptatem quam ex ejus experientia capio. Adhortatur autem ipsas illarum lucrum spectans et utilitatem earum considerans : si autem Sponsi charitatem excitari vult, hoc, inquit, adjuro vos, filiæ Jerusalem, ut ad dilectum meum accedatis, meumque affectum ipsi annuntietis, quomodo ipsum diligens domi manere non valeo expellente me desiderio et omnes vias obire cogente, num forte fortuna etiam amato occurram. Subdubitat enim fortassis an revera diligatur, tametsi jam pridem visa sit occurrisse ac sermones a Sponso inaudisse qui dilectionem demonstrent : subducit se namque Sponsus non raro ut majorem excitet amorem et tabescentem resuscitet cupiditatem. In quibusdam autem exemplaribus habetur : *Ne suscitetis neque evigilare faciatis.* Quia non opus habeo mediatore ; scio enim me dignam ipso redditam, unde voluntatem ejus ad dilectionem meam excito : non enim lenocinatur cœlestis amor, sed ipse accedit pulchritudine animæ tractus et operibus virtutum certior factus, non rumoribus gestorum persuasus : si autem florum ne suscitetis erga ipsum dilectionem. Adhuc enim vobis necdum stabilem diligentium statum assecutis opus est, ut hoc tempore ipsi in timore serviatis, ne forsitan intempestive dilationem excitantes lasciviatis, utpote necdum edoctæ ipsius charitate uti recte.

Γρηγορίου. — Ἡ πρὸς τὸ ὕψος ἀναδραμοῦσα ψυχὴ ταῖς μαθητευομέναις ψυχαῖς, τὴν πρὸς τὸ τέλειον πρόοδον ὑφηγουμένη διὰ τοῦ ὁρκισμοῦ πρὸς τὸν κατ' ἀρετὴν χειραγωγεῖ βίον φάσκουσα· ὅτι ἐὰν αἱ μαθητευόμεναι ψυχαὶ προκόπτητε ταῖς ἀρεταῖς μέχρις ἂν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ὅπερ ἐστὶν ὑψουμένης τε καὶ ἀεὶ διὰ προσθήκης πρὸς τὸ μεῖζον ἐπαυξουμένης, καὶ εἰς πέρας ἔλθῃ τὸ ἀγαθὸν αὐτοῦ θέλημα, ὥστε ἐν σαρκὶ ζῶσαν, μηκέτι κατὰ σάρκα ζῇν, καὶ ἐν τῷ ἀγρῷ τοῦ κόσμου διάγουσαν, πρὸς τὰς δυνάμεις βλέπειν τὰς ἀγγελικάς· μιμουμένας δι' ἀπαθείας τὴν ἀγγελικὴν καθαρότητα· δυνάμεις γὰρ τοῦ ἀγροῦ ἤτοι τοῦ κόσμου, ἀγγελικαὶ δυνάμεις· πιστούμεναι ὑμᾶς ἀγγελικὴν ἕξειν ἐν τῇ παλιγγενεσίᾳ κατάστασιν· ἰσχὺς δὲ καὶ δύναμις εἰ μὲν ἐνικῶς λέγεται, πρὸς τὸ Θεῖον ἀναπέμπεται ἡ διάνοια τῆς τοιαύτης φωνῆς· εἰ δὲ πληθυντικῶς, τὴν ἀγγελικὴν φύσιν παρίστησι· τὸ δὲ *ὥρκισα*, ἀντὶ τοῦ *ὁρκίζω*· ὅρκος δέ ἐστι λόγος πιστούμενος δι' ἑαυτοῦ τὴν ἀλήθειαν· ὅρκος δὲ λέγεται, κἂν ὀμνυσί τις κἂν ὁρκωθῇ.

Νείλου. — Τὸ μὲν *διεγεῖραι*, σαφῶς ταῖς θυγατράσιν Ἱερουσαλὴμ εἴρηται· τὴν ἐν τίνι δὲ ἀγάπην, τὴν ἐν αὐταῖς, ἢ τὴν ἐν τῷ νυμφίῳ, ἢ τὴν αὐτῇ λεγούσῃ, ἄδηλον. Εἰ μὲν οὖν τὴν ἐν ἐκείναις ἀγάπην διεγέρθῆναι βούλεται, δύναται τοιοῦτόν τι λέγειν· ὅτι Ὦ βραδεῖς καὶ ἀσυναίσθητοι τῶν συμφερόντων, πόσον κέρδος παρορᾶτε διὰ ἀπειρίαν ! Ὅπερ τοῖς ἀγαπῶσι τὸν Νυμφίον, ἐκ τοῦ ἀγαπᾶν περιγίνεται· ὁρκίζω ὑμᾶς κατὰ τῶν δυνάμεων τοῦ ἀγροῦ, τῶν τὰ τοῦ κόσμου διοικουσῶν, καὶ τῆς ἰσχύος αὐτῶν ᾗ καταργοῦσι τοὺς ἐναντίους, ἐγεῖραι καθεύδουσαν ἐν ὑμῖν, καὶ ἐξεγεῖραι τὴν πρὸς τὸν Νυμφίον ἀγάπην· καὶ γνῶναι τὴν ἡδονὴν τὴν ἐμὴν, ἐκ τοῦ ἐν πείρᾳ γενέσθαι αὐτῆς· παρακαλεῖ δὲ αὐτὰς τὸ ἐκείνων κέρδος σκοποῦσα, καὶ τὴν ὠφέλειαν αὐτῶν λογιζομένη· ἐὰν δὲ τὴν τοῦ Νυμφίου ἀγάπην διεγερθῆναι θέλῃ, τοῦτό φησιν· Ὁρκίζω ὑμᾶς, θυγατέρες Ἱερουσαλὴμ, προσελθεῖν τῷ ὑπ' ἐμοῦ ἠγαπημένῳ, καὶ τὸ ἐμὸν πάθος ἀναγγεῖλαι αὐτῷ· ὅπως αὐτὸν ἀγαπῶσα οἴκοι μένειν οὐ δύναμαι, ἐξελαύνοντός μου τοῦ πόθου, καὶ πάσας ἐπιέναι τὰς ὁδοὺς ἀναγκάζοντος, μήπω καὶ ἐκ τύχης συναντῇ τῷ ποθουμένῳ· ἀμφιβάλῃ γὰρ τάχα, μή ποτε οὐκ ἀληθῶς ἀγαπᾶται· καὶ ἤδη φαίνεται καὶ συντυχοῦσα καὶ λόγον ἀκούσασα παρὰ τοῦ Νυμφίου τὴν ἀγάπην δηλοῦντος· ὑποχωρεῖ γὰρ ὁ Νυμφίος πολλάκις, πλεῖον αὐτῆς τὸν ἔρωτα διεγείρων, καὶ τὸ μαραινόμενον τῆς ἐπιθυμίας ἀναῤῥιπίζων· ἔν τισι δὲ τῶν ἀντιγράφων ἔχει, *Μὴ ἐγείρητε, μηδὲ ἐξεγείρητε*, ἐὰν μὲν τὴν πρὸς ἑαυτὴν τοῦ Νυμφίου, ὅτι οὐ χρείαν ἔχω μεσίτου· οἶδα γὰρ ὅτι ἀξία γενομένη αὐτοῦ, τὸ θέλημα αὐτοῦ πρὸς τὴν ἐμὴν ἀγάπην διεγείρω· οὐ γὰρ μαστροπεύεται ὁ οὐράνιος ἔρως· αὐτὸς δὲ ἐπιφοιτᾷ τῷ κάλλει τῆς ψυχῆς ἑλκόμενος, καὶ τοῖς ἔργοις τῶν ἀρετῶν πληροφορούμενος, οὐχὶ δὲ φήμαις τῶν γινομένων πειθόμενος· ἐὰν δὲ τὴν ἐκείνων μὴ ἐγείρητε τὴν πρὸς αὐτὸν ἀγάπην· ἔτι γὰρ ἡμῖν χρεία καιροῦ τοῦ ἐν φόβῳ δουλεύειν αὐτῷ, οὐκ ἐχούσαις τέως βεβηκυῖαν τὴν τῶν ἀγαπώντων κατάστασιν,

Digitized by Google

μήπως ἀώρως τὴν ἀγάπην κινήσασα καταστηνιάσητε αὐτοῦ· ἅτε μηδέπω μαθοῦσα κεχρῆσθαι τῇ ἀγάπῃ καλῶς.

η'. *Φωνὴ τοῦ ἀδελφιδοῦ μου· ἰδοὺ οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη, διαλλόμενος ἐπὶ τοὺς βουνούς.*

Γρηγορίου. — Ἐν τοσαύταις ἀνάδοις ὑψωθεῖσα δι' ἀγάπης πρὸς τὴν τῶν ἀγαθῶν μετουσίαν ἡ κεκαθαρμένη ψυχή, οὔπω κατειληφέναι δοκεῖ τὸ ζητούμενον· πάσας γὰρ τὰς ἀναβάσεις ἐκείνας, οὐ θεωρίαν τε καὶ κατάληψιν τῆς ἀληθείας, ἀλλὰ φωνὴν τοῦ ποθουμένου κατονομάζει, διὰ τῆς ἀκοῆς χαρακτηριζομένην τοῖς ἰδιώμασιν, οὐ διὰ τῆς κατανοήσεως γινωσκομένην τε καὶ εὐφραίνουσαν· φωνὴ, φησὶν, οὐκ εἶδος, οὐ πρόσωπον, οὐ χαρακτὴρ ἐμφαίνων τοῦ ζητουμένου τὴν φύσιν· ἀλλὰ φωνὴ, στοχασμὸν μᾶλλον ἢ βεβαίωσιν ἐμποιοῦσα περὶ τοῦ φθεγγομένου ὅς τίς ἐστι· τοῦτο δὲ παρίστησι καὶ τὸ ποικίλον τῆς ὀπτασίας· *Ἰδοὺ* γὰρ, φησὶν, *οὗτος ἥκει*, οὐχ ἑστὼς, οὐδὲ περιμένων, ὡς διὰ τῆς ἐπιμονῆς γνωρισθῆναι τῷ ἀτενίζοντι, ἀλλ' ἁρπάζων ἑαυτὸν τῶν ὄψεων, τῷ πηδᾷν καὶ ἁλλεσθαι, καὶ νῦν μὲν δορκάδι, νῦν δὲ νεβρῷ παρεικάζεσθαι· τάχα τοίνυν προβλέπει τὴν πόρρωθεν κηρυχθεῖσαν, ὕστερον δὲ φανερωθεῖσαν, τοῦ Θεοῦ Λόγου διὰ σαρκὸς οἰκονομίαν· μαρτυρεῖται γὰρ τοῖς ἔργοις ἡ θεία φωνὴ, καὶ συνάπτεται τῷ λόγῳ τῆς ἐπαγγελίας ἡ ἔκβασις καθώς φησιν ὁ Δαβίδ· ὅτι, « Καθάπερ ἠκούσαμεν οὕτω καὶ ἴδωμεν. » *Φωνὴ τοῦ ἀδελφιδοῦ μου*, τοὐτέστιν οὗ ἠκούσαμεν, *Ἰδοὺ οὗτος ἥκει*· τοῦτον οὖν τοῖς ὀφθαλμοῖς εἰσδεξάμεθα· γέγονεν οὖν ἡ φωνὴ τοῦ Νυμφίου διὰ τῶν προφητῶν ἐν οἷς ἐλάλησεν ὁ Θεός· καὶ μετὰ τὴν φωνὴν ἦλθεν ὁ Λόγος, ἐπιπηδῶν τοῖς ἀντικειμένοις ὄρεσι, καὶ τῶν βουνῶν καθαλλόμενος, τοὐτέστι καταπατῶν καὶ καταλύων τὰ πονηρὰ τῆς τῶν δαιμόνων κακίας ὑψώματα.

Νείλου. — Ἐπειδὴ Θεὸς ἦν ὁ ἀγαπώμενος, οὐ τεκμηρίοις σωματικοῖς πιστούμενος, διαθέσεως δὲ προσέχων, καὶ λογισμοῖς ἐμβατεύων, εὐθὺς ἐπιφαίνεται παραμυθούμενος τῆς ἀγαπήσης τὸν πόθον· ὡς ἐκείνην αἰσθομένην τοῦ κατὰ τὴν φωνὴν ἰδιώματος, εἰπεῖν ἐκ πολλῆς τῆς περιχαρείας· *Φωνὴ τοῦ ἀδελφιδοῦ μου, ἰδοὺ οὗτος ἥκει*· τὸν γὰρ Ἰωάννην θεασάμενος ὃς ἦν ἡ φωνὴ, καὶ τὸν Λόγον φαντάζεται, καὶ δεικτικῶς φησιν· *Ἰδοὺ οὗτος ἥκει*· Λόγου γὰρ παρουσίαν σημαίνει ἡ φωνὴ· καὶ τὴν ἀκοὴν ἐπιστρέφουσα τῇ ὄψει, δείκνυσι τὸ ἀκουσθέν· τὸ δὲ πηδῶν ἐπὶ τὰ ὄρη, ὑπαλλόμενος ἐπὶ τοὺς βουνοὺς, τοιοῦτόν ἐστι· τῆς μὲν φωνῆς αὐτοῦ πόρρωθεν ἀκήκοα· ἤδη δὲ καὶ αὐτὸν ἐκεῖνον ὁρῶ πηδῶντα ἐπὶ τὰ ὄρη, καὶ διαλλόμενον ἐπὶ τοὺς βουνοὺς, ὅπερ ἐπληροῦτο ἐπὶ τῆς ἐνανθρωπήσεως τοῦ Χριστοῦ· αἱ γὰρ ἐκβάσεις τῶν περὶ αὐτοῦ προφητειῶν, πηδήματα ἦν καὶ ἅλματα· ὄρη δὲ καὶ βουνοὶ οἱ περὶ αὐτοῦ εἰπόντες προφῆται· ἐφ' ὧν διαλλόμενος, καὶ ἀφ' ἑτέρων εἰς ἕτερα πηδῶν, τὴν ἑκάστου προφητείαν ᾠκείου πρὸς τὴν ἑτέραν· ἓν σῶμα τὰς διαφόρους ποιῶν προφητείας, καὶ συνάπτων τοῖς ἅλμασι τῶν νοημάτων, τὰ

A VERS. 8. *Vox fratruelis mei : ecce hic venit saliens supra montes, transiliens supra colles.*

Gregorii. — In tantis sublimata ascensionibus per charitatem ad boni participationem purgata anima nondum comprehendisse videtur id quod quæritur. Omnes enim illas ascensiones, non contemplationem et comprehensionem veritatis, sed vocem ejus qui desideratur appellat, quæ per auditum exprimitur in proprietatibus, non autem mentis comprehensione cognoscitur atque lætificat : Vox, inquit, non forma, non facies, non figura, expressam ostendens naturam ejus, sed vox magis afferens conjecturam quam firmam cognitionem, quis sit is qui loquitur. Hoc autem diversitas probat visionis. *Ecce* enim, inquit, *hic venit*, non stans, non permanens, ut per diuturnam mansionem possit agnosci ab eo qui fixis intuetur oculis, sed se ab oculis subripiens saliendo et subsiliendo et modo quidem capræ, modo autem hinnulo se assimilando. Nempe fortassis prævidet eminus prædicatam, postea vero manifestatam Dei Verbi per carnem dispensationem. Nam de voce divina testimonium ferunt opera, et verbo promissionis conjungitur eventus, sicut dicit David : « Sicut audivimus, sic vidimus [34]. » — *Vox fratruelis mei*, hoc est quod audivimus : *Ecce hic venit*, hoc est quod oculis hausimus. Facta est igitur vox Sponsi per prophetas in quibus locutus est Deus; et post vocem venit Verbum saliens supra montes adversos et colles transiliens, hoc est conculcans et dissolvens perversas nequitiæ dæmonum altitudines.

Nili. — Quia Deus erat dilectus non argumentis corporeis probatus, et affectui attendens et penetrans cogitationes, confestim apparet consolans desiderium dilectionis : sicut illa quæ vocis ejus perceperat proprietatem præ gaudio multo diceret : *Vox fratruelis mei, ecce hic venit.* Nam Joannem præcursorem qui vox erat videns etiam Verbum imaginatur et demonstrative ait : *Ecce hic venit.* Verbi enim præsentiam significat vox et auditum retorquens, visu ostendit quod audiebatur, illud porro *saliens supra montes, transiliens per colles*, est istiusmodi : Vocem quidem ejus eminus audivi, jam autem illum etiam ipsum cerno salientem supra montes et per colles transilientem, id quod impletum est in Christi incarnatione, eventus enim earum quæ de ipso erant prophetiarum saltus erant et saltationes, montes vero et colles prophetæ qui de ipso locuti sunt, per quos transiliens et ab aliis ad alia saltans, uniuscujusque prophetiam ad alteram unum corpus diversas faciens prophetias et connectens saltibus intelligentiarum montes qui distare videbantur dictionum. Montes

[34] Psal. XLVII, 9.

Digitized by Google

autem dici possunt prophetæ qui de ipsius agunt divinitate. Colles vero qui de incarnatione : nam colles licet præ alia terra emineant, terrestre tamen quid habent. Montes autem sunt prærupta rupes, terrestris exsors substantiæ.

διεστάναι δοκοῦντα ὄρη τῶν λέξεων· ὄρη δὲ λέγοιντ' ἂν οἱ τὰ τῆς θεότητος αὐτοῦ λέγοντες προφῆται· βουνοὶ δὲ οἱ κατὰ τῆς οἰκονομίας· οἱ γὰρ βουνοὶ κἂν ὑπερανέχωσι τῆς ἄλλης γῆς, ὅμως ἔχουσί τι γεῶδες· τὰ δὲ ὄρη, λίθος ἐστὶν ἀκραιφνὴς γεώδους οὐσίας ἀμέτοχος.

Origenis. — Hoc nonnulli præcedentibus annectunt, etc.

Ἠκε ad eorum quæ dramatice introducuntur declarationem usque ad illud : *Vox tua dulcis et facies tua decora.* Ac manifestum est animam Verbi Sponsam sive Ecclesiam Christi vocem divinam priusquam intelligat ipsam præcipere. Hoc usu venit fidelibus priusquam intelligant, legales atque propheticas voces ut divinæ gratiæ plenas percipientibus. Tale est illud : *Vox fratruelis mei.* Quod præponitur eminus apparitioni Verbi, quas magnas contemplationes videns assecutum postquam minores non neglexerat, ait igitur : *Ecce hic venit supra montes transiliens per colles.* Per totum autem sermonem quædam quidem tanquam præsentia dicuntur Sponso, tanquam vero de quærente, a Sponsa, quandoquidem etiam in problematis, aliquando quidem quædam quærimus ignorantes solutionem, aliquando autem solutione fruimur, Sponso Verbo corda nostra illuminante. Deinde rursum dubitamus in aliis, ac rursum nobis apparet, idque frequenter donec perfecte Sponso potiamur, non solum ad nos veniente, verum etiam mansionem faciente. Et Ecclesia desiderat quidem in tentationibus derelicta, sed apparet ipsi per gratias : Idcirco ait : *Ecce hic venit saliens supra montes*, venit autem et super retia quæ a maligno juxta Ecclesiam expansa sunt, quæ rumpens, illa contemptius conculcare docet. Ecclesiæ porro omnem hiemem tentationis supergressæ, signa veris ostendit et accessum æstatis, de quo in psalmis illud : « Æstas et ver [35]. » Apparuerunt enim ipsi flores et appropinquavit omnimodo emendatio, tempus putationis nominata.

Ὠριγέ ους. — Τοῦτό τινες τοῖς προλαβοῦσιν ἀπέδωκαν, κ. τ. λ. (35).

Κυρίλλου. — (36) Ταῦτα πρὸς τὴν τῶν δραματικῶς ἐπαγομένων σαφήνειαν; μέχρι τοῦ, *Ἡ φωνή σου ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία·* καὶ δῆλον ὡς ἡ Νύμφη τοῦ Λόγου ψυχή, ἤγουν Ἐκκλησία Χριστοῦ, φωνῆς πρὶν νοῆσαι αὐτὴν ὡς θείας ἀντιλαμβάνεται, ὅπερ πάσχομεν οἱ πιστοὶ, πρὶν νοῆσαι τὰς νομικὰς καὶ προφητικὰς φωνὰς ὡς θείας χάριτος πλήρεις καταπληττόμενοι· τοιοῦτόν ἐστι τὸ φωνὴ τοῦ ἀδελφιδοῦ μου προστεταγμένον τῆς μακρόθεν ἐπιφανείας τοῦ Λόγου· ὃν ἰδοῦσα μεγάλων θεωρημάτων ἁπτόμενον, μετὰ τοῦ μηδὲ τῶν βραχυτέρων καταφρονεῖν, φησίν· *Ἰδοὺ αὐτὸς ἥκει πηδῶν ἐπὶ ὄρη, διαλλόμενος ἐπὶ τοὺς βουνούς.* Δι' ὅλου δὲ τοῦ Λόγου, τινὰ μὲν ὡς παρόντι λέγεται τῷ Νυμφίῳ· τινὰ δὲ ὥσπερ ζητουμένου παρὰ τῆς Νύμφης, ἐπεὶ καὶ τῶν προβλημάτων, ποτὲ μὲν τινὰ ζητοῦμεν ἀποροῦντες τῆς λύσεως· ποτὲ δὲ τῆς λύσεως ἀπολαύομεν, τοῦ Νυμφίου Λόγου καταυγάζοντος ἡμῶν τὰς καρδίας· εἶτα πάλιν ἀποροῦμεν ἐν ἑτέροις, καὶ πάλιν ἡμῖν ἐπιφαίνεται· καὶ τοῦτο πολλάκις, μέχρι τελειωθέντες τοῦ Νυμφίου τύχωμεν οὐ μόνον ἐρχομένου πρὸς ἡμᾶς, ἀλλὰ καὶ μονὴν ποιουμένου. Καὶ ἡ Ἐκκλησία ποθεῖ μὲν ἐγκαταλειπομένη τοῖς πειρασμοῖς, ἐπιφαίνεται δὲ αὐτῇ τοῖς χαρίσμασι· διό φησιν· *Ἰδού*, φησίν, *οὗτος ἥκει πηδῶν ἐπὶ τὰ ὄρη·* ἔρχεται δὲ καὶ ἐπὶ τὰ δίκτυα τὰ πεπετασμένα ὑπὸ τοῦ πονηροῦ πλησίον τῆς Ἐκκλησίας· ἅπερ σχίσας καταφρονητικῶς αὐτῶν ἐπιβαίνειν διδάσκει τῇ ὑπερβάσει Ἐκκλησία πάντα χειμῶνα πειρασμοῦ, τὰ σημεῖα τοῦ ἀέρος δείκνυται, καὶ τὸ ἐγγίζειν τὸ θέρος, περὶ οὗ ἐν Ψαλμοῖς· « Τὸ θέρος καὶ ἔαρ. » Ὤφθη γὰρ αὐτῇ ἄνθη, καὶ ἤγγισεν ἡ παντελὴς κάθαρσις, καιρὸς τῆς τομῆς ὀνομαζομένη.

Ver. 9. *Similis est fratruelis meus capreæ, vel hinnulo cervorum in montibus Bethel.*

Gregorii. — Per hoc significat visus acumen et perspicacitatem ejus qui omnia respicit. Sed et hinnulo cervorum assimilatus est eo quod habitu et coloris proprietate venenatorum fugiet operationem quam montes et colles nominavit, cum inferiorem tum superiorem. Hoc enim collium a montibus differentia insinuat : similiter enim conculcantur leo et draco qui eminent, atque serpens et scorpius qui videntur inferiores. Quin et discipulos perficit in naturam cervorum dicens : « Ecce dedi vobis potestatem calcandi super serpentes et scorpiones [36], » ita ut altitudine virtutis montes fiant Bethel, id est quod vis nominis

Θ'. *Ὅμοιός ἐστιν ἀδελφιδός μου τῇ δορκάδι ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βαιθήλ.*

Γρηγορίου. — Διὰ τοῦτο σημαίνει τὴν ὀξυωπίαν τοῦ τὸ πᾶν ἐπιβλέποντος· ἀλλὰ νεβρῷ ἐλάφων, διὰ τὸ φυγαδεύειν τῷ ἄσθματι καὶ τῇ τοῦ χρωτὸς ἰδιότητι, τὴν τῶν ἰοβόλων ἐνέργειαν, ἣν ὄρη καὶ βουνοὺς ἐπωνόμασεν, τήν τε ὑποδεεστέραν καὶ τὴν προάγουσαν· τοῦτο γὰρ ἡ ἐκ τῶν βουνῶν πρὸς τὰ ὄρη διαστολὴ ὑπαινίττεται· ὁμοίως γὰρ καταπατεῖται ὅ τε λέων καὶ ὁ δράκων τὰ ὑπερέχοντα· καὶ ὄφις καὶ σκορπίος τὰ δοκοῦντα καταδεέστερα· καὶ τοὺς μαθητὰς δὲ πρὸς τὴν τῶν ἐλάφων φύσιν καταρτίζειν εἰπών· « Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, » ὡς τῷ ὕψει τῆς ἀρετῆς, ὄρη γενέσθαι Βαιθήλ· ὅπερ ἡ τοῦ ὀνόματος

[35] Psal. LXXIII, 17. [36] Luc. XXIII, 19.

NOTÆ.

(35) *Patrol. græc.* t. XVII, col. 264.
(36) Ἠκε in C. B. sub nomine Origenis continuantur.

Digitized by Google

ἔμφασις δείκνυσι τὸν ὑψηλὸν καὶ οὐράνιον βίον· ἡ γὰρ λέξις οἶκον σημαίνει Θεοῦ. A

illius declarat nempe cœlestem ac sublimem vitam. Vox enim *Domum Dei* sonat.

Νείλου. — Βαιθὴλ ἐστι, καὶ ἑρμηνεύεται *οἶκος Θεοῦ*· ὄρη δὲ ταύτης οἱ διὰ μέγεθος ἀρετῆς ὄρη χρηματίσαντες· ὡς γὰρ ὑπερανέστηκεν ὕψει καὶ διαφέρει κραταιότητι τῆς λοιπῆς γῆς τὰ ὄρη, οὕτως ἐν τοῖς ἀνθρώποις ὑπερέχουσιν ἅγιοι τῷ ὑψηλῷ τῆς πολιτείας διεγηγερμένοι· τούτοις οὖν ἐπιδιατρίβοντα τὸν ἀδελφιδὸν ἑαυτῆς ἡ Νύμφη βλέπει, ὁμοιούμενον διὰ μὲν τὴν θεωρητικὴν δύναμιν, καὶ τὸ κριτικὸν εἶναι ἐνθυμήσεων καὶ ἐννοιῶν ἀνθρωπίνων, δορκάδι· διὰ δὲ τὴν πρακτικὴν καὶ τὴν πρὸς τὰς ἐναντίας δυνάμεις ἀντιπάθειαν, νεβρῷ ἐλάφων· ἀναιρετικὴ γὰρ τῶν ἰοβόλων ἑρπετῶν ἡ ἔλαφος· διὰ τί δὲ εἶπε νεβρῷ ἐλάφων καὶ οὐκ ἔλαφον; ὅτι οἱ μὲν πολλοὶ τῶν ἀνθρώπων, ἢ πάντες σχεδὸν ἐν τῇ παιδικῇ ἡλικίᾳ, εἰ καὶ μὴ τῶν αἰσχρῶν, ἀλλ' οὖν τινων παθῶν ἡττήθησαν· ὀψὲ καὶ μόλις πρεσβυτικὸν ἀναλαβόντες καὶ σώφρονα λογισμόν· ὁ δὲ Κυριακὸς ἄνθρωπος πρὶν ἢ γνῶναι καλεῖν πατέρα ἢ μητέρα, ἠπείθησε πονηρίαν, τὰς νεωτερικὰς ἐπιθυμίας πρεσβυτικῇ καταπατήσας γνώμῃ. τάχα δορκὰς ἦν, ὅτε ὀξεῖ τῷ βλέμματι τὰς ἐνθυμήσεις ἔλεγεν ὁρῶν τῶν ἀνθρώπων· « Ἵνα τί ὑμεῖς ἐνθυμεῖσθε ἐν ταῖς καρδίαις ὑμῶν πονηρά; » Νεβρὸς δὲ ἐλάφων ὅτε τῷ λεγεῶνι τῶν δαιμόνων ἔλεγεν· « Ἔξελθε ἐκ τοῦ ἀνθρώπου τὸ πνεῦμα τὸ ἀκάθαρτον », ὡς ἐκ χηραμῶν τῶν ἀνθρωπίνων σωμάτων ἐνδομηχοῦντα, ἀνέλκων τὰ τῶν δαιμόνων συνεσπειραμένα συστήματα. B

Nili. — Bethel est, et interpretatur *domus Dei* : montes vero hujus qui ob magnitudinem virtutis montes appellantur : sicut enim montes altitudine superant et fortitudine antecellunt reliquam terram : sic etiam inter homines excellunt sancti sublimi vitæ ratione excitati : in his igitur conversantem fratruelem suum Sponsa vidit, propter contemplandi quidem et humanas etiam cogitationes discernendi vim capreæ assimilatum : propter agendi vero efficacitatem et contra virtutes adversarias antipathiam hinnulo cervorum ; cervus enim venenatos absumit serpentes. At cur ait hinnulo cervorum et non cervo? Quia plurimi quidem homines vel fere omnes in puerili ætate, si non turpibus, attamen aliquibus succubuere passionibus, ac sero et vix senilem ac temperantem assumunt cogitationem. Homo autem Dominicus priusquam nosset vocare patrem vel matrem non paruit malitiæ, juveniles concupiscentias senili mentis sententia conculcans. Fortassis erat caprea quando visus acumine cogitationes hominum cervum dicebat : « Utquid cogitatis mala in cordibus vestris [37]? » Hinnulus vero cervorum quando legioni dæmonum dicebat : « Exi ab homine, spiritus immunde [38], » tanquam e porcinis hominum corporibus nidulantes extrahens simul insertas ipsis dæmonum legiones.

Φίλωνος καὶ Ὠριγένους. — Ἢ καὶ ὄρη τοὺς προφήτας φησὶν ἀρτίους τῷ φρονήματι, τῶν ἀληθινῶν θεωρητάς, οἶμαι δὲ καὶ τοὺς ἀποστόλους· ἐπεὶ κατὰ γενεὰν ἡ σοφία, εἰς ψυχὰς μεταβαίνει· ὄρη δὲ ἐπειδὴ ἀνίσχοντος ἡλίου, πρῶτα καταλάμπονται· βουνοὺς δὲ τοὺς ἔλαττον χωρήσαντας τὴν τοῦ πνεύματος ἐπιφάνειαν· λέγοις δ' ἂν καὶ ὄρη, τὰ ἐν νόμῳ νοήματα· βουνοὺς δὲ τὰ τῶν λοιπῶν προφητῶν· ἢ καὶ θεωρήσας τὸν ἐν Καινῇ Διαθήκῃ λόγον, βλέπει τὰ ὄρη πηδῶντα, ἐπὶ δὲ τοὺς βουνοὺς διαλλόμενον, τὸν ἐν τῷ παλαιῷ γράμματι· νεβρῷ δὲ ἐλάφων ὁ νυμφίος ἀπείκασται, οὐ μόνον ὡς ἀναλίσκων τοὺς ὄφεις, ἀλλ' ὅτι καὶ παιδίον ἐγεννήθη ἡμῖν υἱὸς καὶ ἐδόθη ἡμῖν· καὶ ὅτι ἐταπείνωσεν ἑαυτόν· ἢ γὰρ ἂν ἔλαφος ὑπῆρχε τελεία. C

Philonis. — Vel etiam montes vocat prophetas sensu sublimes veritatum contemplatores : existimo vero etiam apostolos, quandoquidem secundum generationem sapientia in animas transit, montes autem quia oriente sole primi illuminantur, colles vero qui minus capiunt spiritus apparitionem. Quin et montes vocat sensus legales, colles vero cæterorum prophetarum, vel etiam Novi Testamenti sermonem contemplans, videt super montes salientem, per colles vero transilientem in veteri littera. Hinnulo porro cervorum sponsus assimilatur non solum ut serpentes absumens, sed quia etiam puer natus est nobis et filius datus est nobis, et quia humiliavit semetipsum, siquidem cervus erat perfectus.

Ἰδοὺ οὗτος ἕστηκεν ὀπίσω τοῦ τοίχου ἡμῶν παρακύπτων διὰ τῶν θυρίδων ἐκκύπτων διὰ τῶν δικτύων. D

Ecce hic stat post parietem nostrum prospiciens per fenestras, apparens per retia.

Κυρίλλου. — Ἴσως δὲ καὶ τοὺς ἀποστόλους ἐδήλωσε διὰ τῆς ἁλιευτικῆς τέχνης· ταῦτα τοίνυν ἀκούει τοῦ λόγου ἡ Ἐκκλησία διὰ τῶν προφητικῶν θυρίδων καὶ τῶν νομικῶν δικτύων δεχομένη τὴν τῆς ἀληθείας αὐγήν· ἔτι συνεστῶτος τοῦ τυπικοῦ τῆς διδασκαλίας τοίχου, τοῦ νόμου λέγω, τοῦ τὴν σκιὰν ποιοῦντος τῶν μελλόντων ἀγαθῶν, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων δεικνύντος· οὗ ὀπίσω στᾶσα ἡ ἀλήθεια ἐχομένη τοῦ τόπου ὕστερον ἐπιλάμπει.

Cyrilli. — Fortassis vero etiam apostolos declaravit propter piscandi artem. Hos igitur sermones audit Ecclesia per prophetiças fenestras et retia legalia veritatis splendorem percipiens, adhuc constante figurato doctrinæ legis pariete, qui umbram exhibet futurorum bonorum, non ipsam imaginem ostendit, retro quem veritas figuræ vicina consistens, posterius illucescit.

Γρηγορίου. — Κατὰ τὸ ῥητὸν ἔνδον οἰκουροῦσα

Grègorii. — Secundum litteram : Cum Sponsa

[37] Matth. ix, 4. [38] Marc. v, 8. [39] Jerem. ix, 21.

Digitized by Google

intus domum custodiente per fenestras amator disserit, et pariete intermedio utrumque arcente citra ullum impedimentum fit sermonis communicatio, per fenestras quidem se demittente capite, per retia vero quæ sunt in fenestris interius oculo despiciente : via autem et consequentia anagogæ humanam naturam Deo conjunctam reddit oratio : primum quidem ipsam per prophetas quasi per fenestras et per legalium præceptorum connexionem quasi per retia illustrans : sic enim intelligimus fenestras quidem prophetas qui lumen introducunt, retia vero legalium mandatorum nexum, per quæ utraque splendor veri luminis intro subit. Post hæc autem est perfecta lucis illuminatio quando apparuit ipsa lux vera per contemperationem cum nostra natura.

A τῇ Νύμφῃ διὰ τῶν θυρίδων ὁ ἐραστὴς διαλέγεται· καὶ τοῦ τοίχου ἑμφοτέρους κατὰ τὸ μέσον διείργοντος, ἀνεμπόδιστος γίνεται τοῦ λόγου ἡ κοινωνία· διὰ μὲν τῶν θυρίδων τῆς κεφαλῆς παρακυπτούσης, διὰ δὲ τῶν ἐν ταῖς θυρίσι δικτύων πρὸς τὰ ἐντὸς τοῦ ὀφθαλμοῦ διακύπτοντος· ὁδῷ δὲ καὶ ἀκολουθίᾳ τῆς ἀγωγῆς προσοικειοῖ τῷ Θεῷ τὴν ἀνθρωπίνην φύσιν ὁ λόγος· πρῶτον μὲν αὐτὴν διὰ τῶν προφητῶν ὡς διὰ θυρίδων καταυγάζων· καὶ διὰ τῆς τῶν νομικῶν παραγγελμάτων πλοκῆς ὡς διὰ δικτύων· οὕτω γὰρ νοοῦμεν, θυρίδας μὲν τοὺς προφήτας, τοὺς τὸ φῶς εἰσάγοντας, δίκτυα δὲ, τὴν τῶν νομικῶν παραγγελμάτων πλοκήν· δι' ὧν ἀμφοτέρων ἡ αὐγὴ τοῦ ἀληθινοῦ φωτὸς ἐπὶ τὰ ἐντὸς παραδύεται· μετὰ ταῦτα δὲ ἡ B τελεία τοῦ φωτὸς ἔλλαμψις γίνεται· ὅταν ἐπιφανῇ αὐτὸς τὸ φῶς τὸ ἀληθινὸν διὰ τῆς πρὸς τὴν φύσιν ἡμῶν ἀνακράσεως.

Nili. — Parietem corpus vocat hominis Dominici, incarnationem Dei Verbi abscondentis. Videt autem ipsum etiam prospicientem per fenestras sermonum propheticorum, et apparentem per retia prædicationis apostolicæ. Ex parte namque ipsum quasi e fenestra prospicientem prophetici exhibent sermones, totum vero dilucide ostendit doctrina apostolica. Sola igitur hæc ostensa est ex iis quæ de ipso prophetata erat et ex prænuntiatis signis oculo animæ per crassitudinem parietis penetrare et in corpore absconditum videre. Rursus autem paries est lex, retro quem stat sponsus absconditus legem sanciens, et non cognitus ab iis quibus lex ferebatur. Videt autem ipsum Sponsa retro legem stantem, plurimis incomprehensum, quia in hac, ea quæ de ipso sunt obscure et inumbrate dicta sunt. Sic petra Christum, et mare baptisma significabat. Possit vero rursus fenestras quis dicere sensus Sponsæ quos cum haberet puros per eos solem ac vitam suscepit peccatoribus per eosdem mortem intromittentibus, juxta illud : « Ascendit mors per fenestras vestras [39]. » Retia vero tentationes ipsi a Satana in deserto objectas, quando tentator ipsum quasi retiis capere putabat tentationibus, quibus sublimior apparens Dominus et laqueos retiaque conterens, recte directis responsionibus supereminens apparuit per retia divini- D tatis vim perspicaci animæ insinuans. Unde deinceps etiam Sponsa edisserit filiabus Jerusalem, ut præsentibus quidem illis locutus sit Sponsus, sed præter ipsum nemo audiverit quæ subduntur. Quin et sensus dici possint fenestræ, per quas ad peccatores quidem mors transit. Sed ad animam amore Verbi præditam prospicit verbum, cum ad ea quæ decem sensibus utatur, et in superiori ædium parte cancellatas habeat fenestras, ad quas Sponsus adveniens, per illas prospicit Sponsam ad se vocans ab extremis sensibus ad inaspectabilia et

C καὶ ἰδεῖν τὸ κρυπτόμενον ἐν τῷ σώματι· ἔστι δὲ πάλιν τοῖχος ὁ νόμος, οὗ ὄπισθεν ἔστηκεν ὁ Νυμφίος κρυπτόμενος, θεσπίσας τὸν νόμον καὶ οὐ γνωριζόμενος τοῖς νομοθετουμένοις· βλέπει δὲ αὐτὸν ἡ Νύμφη ὄπισθεν ἑστῶτα τοῦ νόμου τοῖς πολλοῖς οὐχ ὁρώμενον, διὰ τὸ σαφῶς ἐν τούτῳ τὰ περὶ αὐτοῦ, καὶ συνεσκιασμένης εἰρῆσθαι· ὡς ἡ πέτρα ἐδήλου Χριστὸν, καὶ θάλασσα τὸ βάπτισμα· δύναται δὲ πάλιν θυρίδας τις λέγειν, καὶ τῆς Νύμφης τὰ αἰσθητήρια· ἅπερ ἔχουσα καθορᾷ ἥλιον δι' αὐτῶν, καὶ ζωὴν ἐδέχετο, τῶν ἁμαρτωλῶν θάνατον δι' αὐτῶν εἰσδεχομένων· κατὰ τό· « Θάνατος ἀνέβη διὰ τῶν θυρίδων ὑμῶν· » δίκτυα δὲ, τοὺς ἐν τῇ ἐρήμῳ προσαχθέντας αὐτῷ παρὰ τοῦ Σατανᾶ πειρασμούς· ὅτε πειράζων αὐτὸν καθάπερ δικτύοις περιέχειν ἐνόμιζε τοῖς πειρασμοῖς· ὧν ἀνώτερος φανεὶς ὁ Κύριος, καὶ συντρίψας τὰς παγίδας καὶ τὰ δίκτυα, καὶ ταῖς εὐθυβόλοις ἀποκρύψεσιν ὑπερκόψας, ἐξέκυπτε διὰ τῶν δικτύων, τὴν τῆς θεότητος δύναμιν ὑποφαίνων τῇ διορατικῇ ψυχῇ· ὅθεν λοιπὸν διηγεῖται ταῖς θυγατράσιν Ἱερουσαλὴμ ἡ Νύμφη· ὃ παρουσίᾳ μὲν ἔλεγεν ἐκείνων ὁ Νυμφίος, ἤκουε δὲ πλὴν ἐκείνης οὐδεὶς τὰ ἐπαγόμενα (37). Λέγοιντο δ' ἂν θυρίδες καὶ τὰ αἰσθητήρια, δι' ὧν ἐπὶ μὲν τῶν ἁμαρτωλῶν θάνατος διαβαίνει· ἐπὶ δὲ τῆς ἐρωτικῶς διακειμένης ψυχῆς πρὸς τὸν Λόγον, παρακύπτει ὁ λόγος εἰς τὰ δέοντα ταῖς αἰσθήσεσι κεχρημένης, καὶ δικτύῳ κατασκευά-

[39] Jerem. IX, 21.

NOTÆ.

(37) Λέγοιντο-ἐλθέ in C. B. Origeni dantur.

Digitized by Google

σματα ἐχούσης ἐν ὑπερῴῳ αὐτῆς ἐφ' ἃ φθάνων ὁ Νυμφίος, δι' αὐτῶν ἐκκύπτει καλῶν τὴν Νύμφην πρὸς ἑαυτὸν ἐπὶ τὰ ἔξω τῶν αἰσθήσεων ἀόρατα καὶ ἀσώματα· τοῦτο τάχα δηλοῦντος καὶ τοῦ ἐπαγομένου ρητοῦ· *Ἀνάστα, ἐλθέ.*

ιγ'. *Ἀποκρίνεται ἀδελφιδός μου καὶ λέγει μοι· Ἀνάστα, ἐλθέ, ἡ πλησίον μου, καλή μου, περιστερά μου· ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν· ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ· τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ· καιρὸς τῆς τομῆς ἔφθακε· φωνὴ τῆς τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν· ἡ συκῆ ἐξήνεγκεν ἀλύνθους αὐτῆς· αἱ ἄμπελοι κυπρίζουσιν, ἔδωκαν ὀσμήν.*

Γρηγορίου. — Τὸ κατὰ φύσιν εὐκίνητον ἀπόλεσαν τὸ τῶν ἀνθρώπων γένος, τῷ τῆς εἰδωλολατρείας ἐπιπήγῃ κρυμῷ· τῷ χαλεπῷ δὲ τούτῳ χειμῶνι, ὁ Ἥλιος τῆς δικαιοσύνης ἐπανέτειλεν, ἵνα διαθερμάνῃ τὸν λιθωθέντα τῷ κρύει, καὶ γένηται πάλιν ὑποθαλφθεὶς τῇ ἀκτῖνι τοῦ λόγου, ὕδωρ ἀλλόμενον εἰς ζωὴν αἰώνιον· διὰ τοῦτο ἐμβοᾷ διὰ τῶν φωταγωγῶν θυρίδων, εἶτ' οὖν προφητικῶν λόγων τῇ Ἐκκλησίᾳ ὁ Νυμφίος ὁ λόγος ὁ ἀνορθῶν τοὺς κατερραγμένους· *Ἀνάστηθι* δηλαδὴ ἐκ τοῦ πτώματος, ἡ συμποδισθεῖσα καὶ πεσοῦσα εἰς γῆν διὰ τοῦ ὄφεως· οὐκ ἀρκεῖ δέ σοι τὸ ἀνορθωθῆναι μόνον, ἀλλὰ καὶ πρόελθε διὰ τῆς τῶν ἀγαθῶν προκοπῆς, τὸν ἐν ἀρετῇ διανύουσα δρόμον. Ἡ δὲ ἅμα τοῦ δέξασθαι τοῦ Λόγου τὴν δύναμιν, ἀνίσταται καὶ παρίσταται τῷ φωτί· καὶ πλησιάζει καὶ καλὴ γίνεται, καὶ περιστερὰ ὀνομάζεται· καὶ πρὸς ὃ βλέπει καὶ σχηματίζεται· καὶ ὅλη γενομένη πνευματική· τῷ γὰρ φωτὶ προσεγγίσασα, φῶς γίνεται· τῷ δὲ φωτὶ τὸ καλὸν τῆς περιστερᾶς εἶδος ἐνεικονίζεται· ἐκείνης λέγω τῆς περιστερᾶς ἧς τὸ εἶδος τὴν τοῦ ἁγίου Πνεύματος παρουσίαν ἐγνώρισεν· οὕτω τοίνυν αὐτῇ προσφωνήσας ὁ Λόγος, καὶ ὀνομάσας αὐτὴν, καλὴν μὲν διὰ τὸ πλησίον, περιστερὰν δὲ διὰ τὸ κάλλος, καὶ τὰ ἑξῆς διέρχεται· οὐκ ἔτι λέγων κρατεῖν τοῦ χειμῶνος τῶν ψυχῶν τὴν κατήφειαν· *Ἰδοὺ*, γάρ, φησὶν, *ὁ χειμὼν παρῆλθεν, ὁ ὑετὸς ἀπῆλθε καὶ ἐπορεύθη ἑαυτῷ.* Πολυώνυμον δὲ ποιεῖ τὸ κακὸν, κατὰ τὰς τῶν ἐνεργημάτων διαφοράς· καὶ χειμὼν λέγεται μὲν διὰ τὴν πολυειδῆ τῶν κακῶν σημασίαν· πάντα γὰρ ἐν αὐτῷ μιμεῖται τὴν τοῦ θανάτου κατήφειαν· φυτά τε ξηραινόμενα, καὶ ζῶα τῆς ὁρμῆς ἀποπαυόμενα καὶ τῆς ἐνεργείας· ἀγριαίνεται δὲ καὶ ἡ θάλασσα· διὰ δὲ τοῦ, *ἐπορεύθη*, ἔμψυχόν πως καὶ προαιρετικὸν ἐμφαίνει τὸν ὑετόν· διὰ τούτων τοίνυν δείκνυσι, πῶς ἐτεθήλει κατ' ἀρχὰς ἡ ἀνθρωπίνη φύσις ἡ ἐν τῷ παραδείσῳ· τοῦ δὲ χειμῶνος τῆς παρακοῆς τῆς ἀθανασίας τὴν ῥίζαν, ἐξ οὗ τὴν φύσιν ὡραΐζων καρποῖς βεβλαστήκει ἀποξηράναντος, ἀπετινάχθη τὸ ἄνθος, καὶ εἰς γῆν ἀνελύθη· καὶ ἐγυμνώθη τοῦ κάλλους τῆς ἀφθαρσίας ὁ ἄνθρωπος· καὶ ἡ τῶν ἀρετῶν πόα κατεξηράνθη τῆς πρὸς Θεὸν ἀγάπης· ὅθεν τὰ ποικίλα παθήματα, ταῖς ἀντικειμέναις δυνάμεσιν ἐν ἡμῖν ἀπεκορυφώθη· δι' ὧν τὰ πονηρὰ ναυάγια τῆς ψυχῆς γίνεται· ἀλλ' ἐλθόντος τοῦ τὸ ἔαρ τῶν ψυχῶν ἡμῖν ἐμποιήσαντος, καὶ τοῖς πνεύμασι καὶ τῇ θαλάσσῃ ἐπιτιμήσαντος, πάντα γέγονε γαλήνης μεστά· καὶ πάλιν ἔρχεται ἀναθάλλειν

A spiritualia et incorporea : hoc forte significant per id quod subdit : *Surge, veni.*

Vers. 10-13. *Respondet fratruelis meus et dicit mihi : Surge, veni, proxima mea, formosa mea, columba mea. Quoniam ecce hiems transiit, imber abiit, recessit sibi. Flores visi sunt in terra, tempus putationis advenit ; vox turturis audita est in terra nostra. Ficus protulit grossos suos, vites florent, dederunt odorem.*

Gregorii. — Genus humanum natura mobile perierat frigore idololatriæ concretum. At asperæ huic hiemi Sol justitiæ exortus est, ut ea quæ gelu B lapidiuerant calefaceret et homo verbi radio rursum fotus aqua fieret saliens in vitam æternam. Propterea per lucem adducentes fenestras sive propheticos sermones Sponsus verbum erigens elisos inclamat Ecclesiæ : *Surge*, scilicet a lapsu quæ es compedita et in terram cecidisti per serpentem. Non autem tibi sufficit a lapsu solum erigi, sed etiam progredere per virtutum profectum, cursum perficiens in virtute. Hæc autem simul atque accepit vim Verbi assurgit et assistit lumini, et accedit et formosa fit, et columba nominatur, et conformatur illi etiam ad quod aspicit, tota facta spiritualis. Luci porro appropinquans lux efficitur. In luce autem pulchra columbæ species effingitur, illius, inquam, columbæ cujus species significavit C adventum Spiritus sancti. Cum ergo sic eum allocutum esset Verbum, et ipsam quidem nominasset pulchram propter propinquitatem, columbam autem propter pulchritudinem ; persequitur ea quæ deinceps sequuntur dicens non amplius dominari hiemis animarum tristitiam. *Ecce enim*, inquit, *hiems transiit, imber abiit et sibi recessit.* Malo multa tribuit nomine, ut quod nominetur ex differentiis operationum. Et hiems quidem dicitur propter multiplicem malorum significationem : omnia enim in ea imitantur mortis tristitiam, tam plantæ arefactæ quam animalia a cantu et operatione cessantia ; quin et mare efferatur. Per illud autem *abiit* animatum quodammodo et libero arbitrio prædi- D tum imbrem insinuat. Per hæc igitur ostendit, quemadmodum in principio humana germinavit natura in paradiso ; sed cum hiems inobedientiæ, immortalitatis radicem, ex qua naturam adornans fructus germinabat, exsiccasset, excussus est flos et in terram resolutus, et pulchritudine nudatus est homo, et exsiccata fuit herba virtutum, refrigerata in Deum charitate, unde variæ affectiones ab adversis potestatibus in nobis sunt in altum excitatæ, per quas fiunt mala animæ naufragia. Sed cum venisset qui ver in nobis animis indidit, et spiritus ac mare increpavit, omnia plena facta sunt quietis et rursus incipiunt repullulare, et propriis floribus natura decoratur, id est, virtutibus, quæ nunc quidem florent, suum autem fru-

Digitized by Google

ctum præbebunt suo tempore. Oportet igitur in varium hoc pratum ingressos ex floribus hisce decerpere, sibique coronas parare. Nam tempus ipsius putationis advenit. Hoc testificatur vox turturis, hoc est vox clamantis in deserto. Joannes enim est turtur, is est præclari hujus veris Præcursor, qui florem de radice Jesse ostendit, Agnum Dei qui tollit peccatum mundi, et docet de malis agendam pœnitentiam et vitam degendam ex virtute. *Audita est*, inquit, *vox turturis in terra nostra*, terram forte nominans eos qui sunt vitio damnati, quos meretrices et publicanos dicit Evangelium, a quibus auditus est sermo Joannis, cum reliqui minime admisissent prædicationem. Quod autem dictum est de ficu, quoniam *protulit grossos suos*, ratione sic intelligamus. Ficus ob calorem prædita est insigni vi attrahendi humoris ex profundo : cum autem multus humor consistat in medulla, necessario natura per humorum concoctionem in planta, expellit e ramis inutilem et terrestrem humorem. Idque sæpe facit donec sincerum et ad nutriendum aptum humorem apto proferat tempore, ab inutili expurgatum qualitate. Quod ergo ante dulcem et perfectum fructum, a ficu instar fructus producitur, grossus dicitur, estque fructus proœmium, non ipse fructus. Qui ergo ea vidit fructum quoque mox futurum exspectat, cum igitur spiritale ver Sponsæ describat oratio : sit autem hoc tempus in confinio tristitiæ hiemalis et fructuum qui colliguntur æstate participationis. Propterea mala quidem præteriisse dilucide annuntiat, perfectos autem fructus virtutis nondum aperte ostendit, sed hos quidem recondit in tempus opportunum, quando æstas institerit, quæ est sæculi consummatio : nunc autem ostendit florentes spes virtutum, quarum fructus apparet in tempore suo. Cum igitur humana natura congruenter ficui, de qua hic fit mentio, per intellectam a nobis hiemem, malum collegerit humorem, recte qui spiritale ver in nobis efficit, primum quidem a natura expellit quidquid est terreum et inutile, ramorum loco per confessionem expellens excrementa. Deinde speratæ beatitudinis quemdam characterem sic per honestiorem vivendi rationem injiciens, veluti quibusdam grossis, ficuum futurarum dulcedinem annuntiat. Sic etiam intellige florentem vitem, cujus quidem vinum cor lætificans implebit aliquando craterem sapientiæ et ad fruendum convivis proponitur : modo nempe vitis per flores vernat. Hæc Sponsæ oratio prius ostendit indicia et notas boni veris animarum, eamque incitat ad eorum quæ proposita sunt fruitionem et verbis eam excitans.

A καὶ τοῖς ἰδίοις ἄνθεσιν ἡ φύσις ὡραΐζεσθαι, εἶτ' οὖν ταῖς ἀρεταῖς· αἱ νῦν μὲν ἀνθοῦσιν, ἰδίῳ δὲ καιρῷ παρέξουσι τὸν καρπόν· δεῖ οὖν ἐν τῷ ποικίλῳ τούτῳ χειμῶνι εἰσελθόντας ἐκ τῶν ἀνθέων τούτων δρέψασθαι, καὶ στεφάνους ἑαυτοῖς κατασκευάσαι· ὁ γὰρ καιρὸς τῆς τομῆς αὐτῶν ἔφθακε· τοῦτό σοι διαμαρτύρεται ἡ τοῦ τρυγόνος φωνή· τουτέστιν ἡ φωνὴ τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ· Ἰωάννης γάρ ἐστιν ὁ τρυγών, ὁ τοῦ φαιδροῦ ἔαρος Πρόδρομος, ὁ τὸ ἐκ ῥίζης Ἰεσσαὶ ἄνθος ὑποδεικνύων τὸν Ἀμνὸν τοῦ Θεοῦ τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ τὴν ἐκ τῶν κακῶν διδάσκων μετάνοιαν, καὶ τὴν κατ' ἀρετὴν πολιτείαν· *Ἠκούσθη* γάρ, φησὶν, *φωνὴ τοῦ τρυγόνος ἐν τῇ γῇ ἡμῶν*· τάχα γῆν, τοὺς κατεγνωσμένους ἐν κακίᾳ κατονομάζων, οὓς πόρνους καὶ τελώνας τὸ Εὐαγγέ- B λιον, ἐν οἷς ἠκούσθη τοῦ Ἰωάννου ὁ λόγος, τῶν λοιπῶν οὐ παραδεξαμένων τὸ κήρυγμα· τὸ δὲ περὶ τῆς συκῆς εἰρημένον ὅτι ἐξήνεγκεν ὀλύνθους αὐτῆς, οὕτωσὶ τῷ λόγῳ κατανοήσωμεν· ἑλκητικὴ τῆς ἐν τῷ βάθει νοτίδος διαφερόντως ὑπὸ θερμότητός ἐστιν ἡ συκῆ· πολλῆς δὲ κατὰ τὰς ἐντειρώνας τῆς ἰκμάδος συνισταμένης, ἀναγκαίως ἡ ῥύσις, διὰ τῆς τῶν ὑγρῶν πέψεως τῆς ἐν τῷ φυτῷ γινομένης, τὸ ἀχρεῖόν τε καὶ γεῶδες τῆς ἰκμάδος, ἐκ τῶν ἀχρημόνων ἀποσκευάζεται· πολλάκις τοῦτο ποιεῖ, ἕως ἂν τὸ εἰλικρινές τε καὶ τρόφιμον ἐν τῷ καθήκοντι καιρῷ προβάλλει κεκαθαρμένον τῆς ἀχρήστου ποιότητος· τὸ τοίνυν πρὸ τοῦ γλυκέος τε καὶ τροφίμου καὶ τελείου ὑπὸ τῆς συκῆς ἐν καρποῖς εἶδος προβαλλόμενον ὄλυνθος λέγεται, ὅπερ τοῦ καρποῦ προοίμιον γίνε- C ται, οὐκ αὐτὸ καρπός· ὁ ταῦτα τοίνυν θεασάμενος καὶ τὸν καρπὸν ὅσον οὔπω ἐκδέχεται· ἐπειδὴ τοίνυν τὸ πνευματικὸν ἔαρ ὑπογράφει τῇ Νύμφῃ ὁ λόγος· ὁ δὲ καιρὸς οὗτος μεθόριός ἐστι, τῆς τε χειμερινῆς κατηφείας, καὶ τῆς ἐν τῷ θέρει τῶν καρπῶν μετουσίας· διὰ τοῦτο τὸ μὲν παρῳχηκέναι τὰ κακὰ, διαῤῥήδην εὐαγγελίζεται, τοὺς δὲ καρποὺς τῆς ἀρετῆς, οὕπω τελείως προδείκνυσιν· ἀλλὰ τούτους μὲν ἐν τῷ καθήκοντι καιρῷ ταμιεύεται, ὅταν ἑνστῇ τὸ θέρος ὅπερ ἐστὶ συντέλεια τοῦ αἰῶνος· νῦν δὲ τὰς ἐλπίδας δείκνυσι διὰ τῶν ἀρετῶν ἀνθούσας, ὧν ὁ καρπὸς ἐν τῷ ἰδίῳ καιρῷ προφαίνεται· τῆς τοίνυν ἀνθρωπίνης φύσεως κατὰ τὴν μνημονευθεῖσαν ἐν- ταῦθα συκῆν, πολλὴν διὰ τοῦ νοηθέντος ἡμῖν χειμῶ- D νος τὴν κακὴν ἰκμάδα συλλεξαμένης· καὶ ὡς τὸ ψυχικὸν ἔαρ ἐργασάμενος, πρῶτον μὲν ἐκβάλει τῆς φύσεως πᾶν ὅσον γεῶδες καὶ ἄχρηστον, ἀντὶ ἀχρημόνων δι' ἐξομολογήσεως ἀποσκευάζων τὰ περιπτώματα, εἶθ' οὕτω χαρακτῆρά τινα τῆς ἐλπιζομένης μακαριότητος διὰ τῆς ἀστειοτέρας ζωῆς ἐπιβάλλων τῷ βίῳ, οἷόν τισιν ὀλύνθοις, τὴν μέλλουσαν γλυκύτητα τῶν συκῶν εὐαγγελίζεται· οὕτω νόησον καὶ τὴν κυπρίζουσαν ἄμπελον· ἧς ὁ μὲν οἶνος ὁ τὴν καρδίαν εὐφραίνων, πληρώσει ποτὲ τὸν τῆς σοφίας κρατῆρα, καὶ προκείσεται τοῖς συμπόταις εἰς ἀπόλαυσιν· νῦν μέν τοι κυπρίζει διὰ τοῦ ἄνθους ἡ ἄμπελος· ταῦτα προδείκνυσι τῇ Νύμφῃ ὁ λόγος τοῦ καλοῦ τῶν ψυχῶν ἔαρος τὰ γνωρίσματα· καὶ ἐπισπεύδει πρὸς τὴν τῶν προκειμένων ἀπόλαυσιν, διεγείρων αὐτὴν τῷ λόγῳ καὶ φησιν.

Nili. — Istud *surge*, vocantis est et excitantis : ab humilibus namque præceptis legalibus ad sublimiores evangelicorum miraculorum disciplinas ipsam excitans vocat. Relinque, inquit, legem

Νείλου. — Τὸ ἀνάστα, καλοῦντός ἐστι καὶ διεγείροντος· ἀπὸ γὰρ τῶν κατὰ τὸν νόμον ταπεινῶν παραγγελμάτων, ἐπὶ τὰ ὑψηλότερα μαθήματα τῶν εὐαγγελικῶν παραδόσεων αὐτὴν διεγείρων καλεῖ·

Digitized by Google

Κατάλιπε, φησὶν, τὸν νηπιώδη νόμον, τὸν τὴν ἐνέργειαν τῶν ἁμαρτημάτων κωλύοντα, καὶ ἐλθὲ ἐπὶ τὴν χάριν τὴν ἐκκόπτουσαν καὶ τὸ φαῦλον ἐνθύμιον· ἀνάστα ἀπὸ τῶν γηΐνων, πρόκοψον ἐπὶ τὰ οὐράνια· ἀνάστα ἀπὸ τῶν τύπων, πορεύθητι ἐπὶ τὴν ἀλήθειαν· ἀνάστηθι ἀπὸ τοῦ στοιχειώδους νόμου, φθάσον ἐπὶ τὴν τελειότητα· χειμῶνα λέγει τὸν τοῦ πάθους καιρὸν, ἐν ᾧ πάντες ἐχειμάσθησαν τῷ τῆς ἀπιστίας πνεύματι· καὶ γὰρ καὶ αἰσθητὸς χειμὼν ἦν κατὰ τὸν καιρὸν ἐκεῖνον· οὗ παρελθόντος ὁ ὑετὸς ὁ προφητικὸς, καὶ ὁ νομικὸς λόγος ἐπαύσατο· τῆς γὰρ φωνῆς τοῦ τρυγόνος ἀκουσθείσης τῆς λεγούσης· « Δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, » οὐκ ἔτι ἦν χρεία τοῦ καταβαίνοντος ὡς ὑετοῦ ἀποφθέγματος νομικοῦ λόγου· καὶ τῶν ἀνθέων ὀφθέντων ἐν τῇ γῇ τῶν ἐν τῷ Χριστιανισμῷ ἁγίων ἀνδρῶν, καιρὸς τῆς τομῆς ἔφθακε τῆς ἀποβολῆς τῶν Ἰουδαίων· καὶ ἡ συκῆ ἦν κόψαι διὰ τὸ μὴ φέρειν καρπὸν ὁ οἰκοδεσπότης ἐκέλευσεν, τοὺς τῆς μετανοίας ἐξήνθησεν ὀλύνθους, μετὰ τὴν ἐπιδημίαν Χριστοῦ, τὰ τῆς ἰδιωτικῆς διδασκαλίας δεξαμένη κόπρια· καὶ ἡ ἄμπελος δὲ ἐκ τῆς ἀληθινῆς ἀμπέλου μεταφυτευθεῖσα ἐκ τοῦ κυπρισμοῦ ἔδωκεν ὀσμὴν, οἱ λέγοντες· *Τοῦ Χριστοῦ εὐωδίαἐσμὲν τῷ θεῷἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις*· καὶ αὐτοὶ γὰρ οἱ ἀπιστοῦντες τῷ Εὐαγγελίῳ, καὶ τὸν λόγον ἐθαύμαζον τοῦ κηρύγματος, καὶ τῶν σημείων ἐξεπλήσσοντο τὴν δύναμιν.

A puerilem quæ peccatorum operationem prohibet, et veni ad gratiam, quæ pravam etiam evellit cogitationem; exsurge a terrenis, profice ad cœlestia: exsurge a primis figuris, accede ad veritatem: exsurge ab elementari lege, grassare ad perfectionem. Hiemem autem dicit tempus passionis, in quo omnes infidelitatis spiritu velut glacie constricti erant: etenim sensibilis quoque hiems erat isto tempore. Et pluvia prophetica sermoque legalis stillaverat: nam voce turturis audita dicentis: « Venite, omnes qui laboratis et onerati estis, et ego reficiam vos [39], » non amplius erat opus legali sermone instar pluviæ sententiose descendente: et floribus, id est viris sanctis, in terra Christianismi apparentibus, tempus putationis advenit, refectionis Judæorum: et ficus quam paterfamilias, quod fructus non ferret, succidi jusserat, pœnitentiæ grossos protulit post adventum Christi, privatæ doctrinæ stercora suscipiens. Quin et vineæ ex vera vite transplantatæ florentes dederunt odorem, dicentes: *Christi bonus odor sumus Deo in iis qui salvi fiunt et in iis qui pereunt* [40]. Nam et ipsi qui non credunt Evangelio, sermonem quoque prædicationis mirabantur et ad signa obstupescebant.

Κυρίλλου. — Ἢ καὶ τὸ τῆς τομῆς ἔφη τοῦ νοητοῦ θερισμοῦ· περὶ οὗ ὁ Σωτὴρ φησιν· « Ὁ μὲν θερισμὸς πολύς. »

Cyrilli. — Vel etiam tempus putationis tempus vocat spiritualis messis de qua Salvator ait: « Messis quidem multa [40*]. »

Ὠριγένους. — *Ἀνάστα*, φησὶν, κ. τ. λ. (38).

Origenis. — *Surge*, inquit, etc.

Ἄλλως. — Καὶ τρυγόνος λέγει τῆς ἀπορρήτου καὶ ἀγνώστου σοφίας· φιλέρημον γὰρ τὸ ζῶον, ἧς ἡ φωνὴ ἀκούεται τοῖς ἔτι γήϊνον σῶμα περικειμένοις· τομῆς καιρὸς, ὁ τῆς τῶν περιττῶν ἀποθέσεως, οὗτος δέ ἐστιν ὁ τῆς αὐτοῦ παρουσίας, ἐν ᾧ δεῖ τὰ σωματικὰ τοῦ νόμου, καὶ τὰς ἐν τοῖς προφήταις ἱστορίας, περιπεφυκότα τοῖς πνευματικοῖς περιτέμνεσθαι καὶ μεῖναι τὰ κρείττονα· καιρὸς δὲ πάλιν καὶ τῆς τῶν ἁμαρτημάτων ἐκκοπῆς καὶ ἀφέσεως διὰ λουτροῦ παλιγγενεσίας· καὶ μὴ θαυμάσῃς εἰ ὁ Νυμφίος ὡς περὶ ἑτέρου λέγει τοῦ τρυγόνος, πολλαχοῦ γὰρ τοῦτο ἔθος τῆς Γραφῆς ἐστι.

Aliter: Vel etiam turturis dicit arcanæ et ignotæ sapientiæ: amans enim solitudinis animal est cujus vox auditur ab his qui adhuc terreno corpore vestiuntur. Putationis tempus est superfluorum depositionis, hoc autem est præsentiæ ipsius in quo nimirum corporalia legis, et quæ in prophetis historiæ adnata erant spiritalibus, præscindenda sunt, ut meliora maneant. Tempus vero rursum etiam excisionis peccatorum et remissionis per lavacrum regenerationis. Neque mireris si Sponsus quasi de alio dicat turture, frequens enim is Scripturæ est usus.

ιδ'. *Ἀνάστα, ἐλθὲ, ἡ πλησίον μου, καλή μου, περιστερά μου· καὶ ἐλθὲ σὺ περιστερά μου ἐν σκέπῃ τῆς πέτρας ἐχόμενα τοῦ προτειχίσματος· δεῖξον μοι τὴν ὄψιν σου, καὶ ἀκούτισόν με τὴν φωνήν σου· ὅτι ἡ φωνή σου ἡδεῖα, καὶ ἡ ὄψις σου ὡραία.*

Vers. 14. *Surge, veni proxima mea, formosa mea, columba mea, et veni tu columba mea in tegmento petræ juxta promurale: ostende mihi faciem tuam, et auditam fac mihi vocem tuam: quia vox tua suavis, et facies tua decora.*

Κυρίλλου. — Ἡ πέτρα ἐστὶν ὁ Χριστός· αὐτὸς γὰρ ἡμῖν τεῖχος γίνεται τοῖς πιστοῖς καὶ σκέπη, καὶ πᾶσα ἀσφάλεια διὰ τοῦ προτειχίσματος δηλουμένη· ἔνθα γενομένη, φησὶ, τεύξῃ πάσης ἐπικουρίας.

Cyrilli. — Petra est Christus. Ipse nobis fidelibus etiam murus fit, et tegumentum, et securitas, per propugnaculum designata, ubi exsistens, inquit, omne auxilium consequeris.

[39] Matth. xi, 28. [40] II Cor. ii, 15. [40*] Luc. x, 2.

NOTÆ.

(38) *Patrol.* t. XVII, col. 264.

Digitized by Google

Apollinarii. — Vel etiam murum vocat hominem interiorem, antemurale vero exteriorem, quod Aquila *in arcanis* edidit, in quo et orationes fieri jubet Christus.

Gregorii. — Nullus neque talis surrectionis, neque talis cursus finis erit ; semper enim surgendum et ad Deum accedentibus nunquam cessandum : quotiescunque igitur dicit : *Surge et veni*, toties ad id quod est melius ascendendi facultatem, ut ex pulchra fiat pulchrior; et juxta Apostolum, ejus imaginem a gloria transformetur in gloriam. Sic ergo cum esset columba iis quæ prius recte gesserat, nihilominus eam rursus jubet fieri columbam, per transformationem in id quod est melius : ait enim : Veni, tu ipsa columba mea, non jam amplius ad trahentium studium intuendo, sed proprium desiderium ad id quod melius est ducem habendo. Veni enim, inquit, per temetipsam propriis cogitationibus confirmans cupiditatem ad id quod est honestum, non ducente necessitate. Domino enim caret virtus et est voluntaria, et ab omni necessitate libera : etsi in lege fuisti exercitata, o anima, et per fenestras propheticas splendores aspexisti, ne maneas amplius sub umbra muri legalis, sed ad petram, id est Evangelium, ab hoc transi. Petra enim propinqua est antemurali, quandoquidem lex fuit antemurale fidei evangelicæ et sibi inter se cohærent dogmata ut quæ virtute sunt propinqua : nisi quod petra quidem est spiritalis, murus autem est terrenus : petra autem evangelica non habet carnale lutum sententiarum, et juxta apostolum lex est spiritualis, nam qui sic legem excepit, spiritualiter sub tegmen petræ Evangelicæ recipitur quæ est proxima corporan propugnaculo. Cum Verbum sic ei acclamasset per fenestras respondet columba splendore intelligentiarum illuminata, et petram intelligens, quæ est Christus, ait : *Ostende mihi faciem tuam*, non amplius per antiqua ænigmata loquens; sed ut possum videre, ita teipsum mihi aperte ostende, ut sim intra te petram Evangelicam, relicto legis antemurali; si enim vox quæ emittitur per fenestras est adeo amabilis, quanto magis ea quæ fit facie ad faciem?

Nili. — In præcedentibus ipsam excitans licet non significaverit locum, ad quem ipsam venire jussit : nunc rursum vocat ipsam etiam, locum declarans : cum enim rogaret Sponsum : *Ubi pascis, ubi cubas?* tunc non respondit : nunc notum ipsa facit locum pascuæ, ne quod ipsa dixit fieret quasi circumdata in gregibus sodalium : Veni, dicens, in tegumento petræ, quod significat Christum, in qua vestigium malitiæ serpens facere non potest, ut in tegumento hujus petræ protecta, nullum ipso capiat in mente vestigium malitiæ virtutum adversariorum : sed et juxta promurale ipsam vocat, ibi audire volens dulcem ejus vocem,

Ἀπολιναρίου. — Ἢ καὶ τεῖχισμα, τὸν ἐντὸς ἄνθρωπον· προτείχισμα δὲ τὸν ἐκτὸς, ὅπερ Ἀκύλας ἐν ἀποκρύφοις ἐκδέδωκεν· ἐν ᾧ καὶ τὰς εὐχὰς ἐνεργεῖσθαι κελεύει Χριστός.

Γρηγορίου. — Οὔτε τῆς τοιαύτης ἀναστάσεως, οὔτε τοῦ τοιούτου δρόμου πέρας ἐστίν· ἀεί τε γὰρ ἀνίστασθαι χρὴ, καὶ μηδέποτε τῷ Θεῷ προσεγγίζοντας παύεσθαι. Ὁσάκις οὖν λέγει τό· *Ἀνάστηθι καὶ ἐλθέ*, τοσαυτάκις τῆς πρὸς τὸ κρεῖττον ἀναστάσεως τὴν δύναμιν δίδωσιν· ὡς ἐκ καλῆς γενέσθαι καλὴν, καὶ κατὰ τὸν Ἀπόστολον τὴν αὐτὴν εἰκόνα ἀπὸ δόξης εἰς δόξαν μεταμορφοῦσθαι· οὕτω τοίνυν περιστερὰν οὖσαν ἐν τοῖς προκατορθωμένοις, οὐδὲν ἧττον περιστερὰν αὐτὴν πάλιν διὰ τῆς πρὸς τὸ κρεῖττον μεταμορφώσεως γενέσθαι διακελεύεται· λέγει γὰρ, δεῦρο σεαυτῇ περιστερά μου, τουτέστι μηκέτι πρὸς τὴν τῶν ἐφελκομένων βλέπειν σπουδὴν, ἀλλ' ὁδηγὸν πρὸς τὸ κρεῖττον τὴν ἰδίαν ἐπιθυμίαν ἔχειν· δεῦρο γὰρ, φησὶ, σεαυτῇ τοῖς ἰδίοις λογισμοῖς τὴν πρὸς τὸ καλὸν προθυμίαν ἐπιῤῥώσασα· οὐκ ἀνάγκης καθηγουμένης· ἀδέσποτον γὰρ ἡ ἀρετὴ καὶ ἑκούσιον, καὶ ἀνάγκης πάσης ἐλεύθερον· καὶ εἰ ἐγυμνάσθης, ὦ ψυχὴ, τῷ νόμῳ, εἰ τὰς διὰ τῶν προφητικῶν θυρίδων αὐγὰς τῇ διανοίᾳ τεθέασαι, μηκέτι ὑπὸ τὴν τοῦ νομικοῦ τοίχου σκιὰν μένε· ἐπὶ δὲ τὴν πέτραν, ἥτις ἐστὶ τὸ Εὐαγγέλιον, ἀπὸ τούτου μετάβηθι· ἔχεται γὰρ ἡ πέτρα τοῦ προτειχίσματος· ἐπειδὴ τῆς εὐαγγελικῆς πίστεως ὁ νόμος προτείχισμα γέγονε, καὶ ἔχεται ἀλλήλων τὰ δόγματα γειτνιῶντα κατὰ τὴν δύναμιν· πλὴν ὅτι πνευματικὴ μὲν ἡ πέτρα, χοϊκὸς δὲ ὁ τεῖχος ᾧ συμπέπλασται τὸ σωματικὸν καὶ γεῶδες· ἡ δὲ εὐαγγελικὴ πέτρα, τὸ σαρκῶδες τῶν νοημάτων πηλὸν οὐκ ἔχει· καὶ κατὰ τὸν ἀπόστολον Παῦλον, ὁ νόμος πνευματικός ἐστιν· ὁ γὰρ οὕτως ἐκλαμβάνων τὸν νόμον πνευματικῶς, ὑπὸ τὴν σκέπην τῆς εὐαγγελικῆς γίνεται πέτρας, τὴν ἐχομένην τοῦ σωματικοῦ προτειχίσματος. Ταῦτα διὰ τῶν θυρίδων τοῦ λόγου ἐμβοήσαντος, ἀποκρίνεται ἡ περιστερὰ ἡ περιλαμφθεῖσα διὰ τῆς τῶν νοημάτων αὐγῆς, καὶ τὴν πέτραν νοήσασα τὸν Χριστὸν, καί φησι· *Δεῖξόν μοι τὴν ὄψιν σου*· μηκέτι διὰ τῶν παλαιῶν αἰνιγμάτων διαλεγόμενος· ὡς δὲ ἰδεῖν δύναμαι, δεῖξόν μοι σαυτὸν ἐμφανῶς ὡς ἂν ἐντός σου γένωμαι τῆς εὐαγγελικῆς πέτρας, καταλιποῦσα τὸ τοῦ νόμου προτείχισμα· εἰ γὰρ ἡ διὰ τῶν θυρίδων φωνὴ οὕτως ἐστὶν ἡδυσμένη, πόσῳ μᾶλλον ἡ κατὰ πρόσωπον;

Νείλου. — Ἐν τοῖς πρὸ τούτων ἀναστήσας αὐτὴν, ἐπεὶ μὴ ἐσήμανε τόπον ἔνθα ἥκειν αὐτὴν ἐκέλευσε, νῦν πάλιν καλεῖ αὐτὴν καὶ τὸν τόπον δηλῶν· ἐπεὶ γὰρ ἦν ἐρωτήσασα τὸν Νυμφίον, *Ποῦ ποιμαίνεις, ποῦ κοιτάζεις*, καὶ οὐκ ἀπεκρίνατο τότε, νῦν γνωρίζει τὸν τόπον αὐτῇ τῆς νομῆς· ἵνα ὅπερ ἐκείνη ἔλεγε γένηται ὡς περιβαλλομένη ἐπ' ἀγέλαις ἑταίρων· Ἐλθὲ λέγων ἐπὶ σκέπῃ τῆς πέτρας τῆς σημαινούσης Χριστόν· ἐφ' ἧς ἴχνος κακίας ὁ ὄφις ποιῆσαι οὐ δύναται· ἵνα σκεπαζομένη ἐν τῇ σκέπῃ ταύτης τῆς πέτρας μηδὲν αὐτῇ δέξηται ἐν τῷ διανοητικῷ παρὰ τῶν ἀντικειμένων δυνάμεων ἴχνος πονηρίας· καὶ ἐχόμενα δὲ τοῦ προτειχίσματος αὐτὴν κα-

Digitized by Google

λεῖ, ἐκεῖ βουλόμενος ἀκοῦσαι διὰ τῆς ἡδείας αὐτῆς φωνῆς, καὶ κατανοῆσαι τὸ ὡραῖον αὐτῆς πρόσωπον. Φωνὴ δὲ ἡδεῖά ἐστιν, ἠθικῶς μὲν, σεμνοὶ λόγοι καὶ χάριν διδόντες τοῖς ἀκούουσι· δογματικῶς δὲ, ἡ τοῦ ἐν σταυρῷ βοῶντος λῃστοῦ, « Μνήσθητί μου, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. » Ὅθεν πρὸς μὲν τὴν Ἐκκλησίαν φησὶν, *Ἡ φωνή σου ἡδεῖα* βοῶσα διὰ τῆς ἀπαρχῆς τοῦ λῃστοῦ τὸ, *Μνήσθητι*· πρὸς δὲ τὴν Συναγωγὴν τὴν λέγουσαν, *Σταύρωσον*, ἣν καὶ μισεῖ, φησὶ διὰ τοῦ προφήτου· *ὄψὲ φωνὴν αὐτῆς* ὠλόλυξε, « Καὶ ἔδωκεν ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς, διὰ τοῦτο ἐμίσησα αὐτήν· » *Ὄψις δέ ἐστιν ὡραία*, ἡ ἐκ τῆς εἰρηνικῆς καταστάσεως γαληνιάζουσα· Δεῖξόν μοι οὖν, φησὶν, τὴν ὄψιν σου, καὶ ἀκούτισόν με τὴν φωνήν σου· καὶ ἦθει καὶ λόγῳ πρὸς ἐμὴν κοσμουμένη ἀρέσκειαν, καὶ κάλλος πράξεων καὶ ἐπιμέλειαν δογμάτων σύμφωνον ἐπιδεικνυμένη εἰ δέ τις εἴπῃ τεῖχος τὸν νόμον, προτείχισμα τὸν φυσικὸν ἐρεῖ νόμον, οὗ ἐχόμενά ἐστιν ἡ πέτρα· μᾶλλον γὰρ τοῦ ῥητοῦ νόμου ὁ φυσικὸς πλησιαίτερος ὤν, τυγχάνει Χριστοῦ· ἐν ᾧ πολιτευσάμενοι οἱ ἅγιοι εὐηρέστησαν τῷ Θεῷ· φυσικαῖς ὁρμαῖς γνῶντες τὸ δίκαιον· καὶ διδάσκαλοι τῶν καθηκόντων αὐτοὶ ἑαυτοῖς γενόμενοι· καὶ ὁ Παῦλος δέ φησι, « Νόμος δὲ παρεισῆλθε, » τὴν ἀρχαίαν καὶ τὴν ὑστάτην μίαν οὖσαν μεσολαβήσας πολιτείαν.

A et decoram ejus faciem cognoscere. Vox autem dulcis moraliter quidem sunt serii sermones et qui gratiam præbent audientibus; dogmatice vero vox latronis in cruce clamantis : « Memento mei, Domine, quando veneris in regnum tuum [41]. » Unde ad Ecclesiam quidem ait : *Vox tua dulcis*, clamans per primitias latronis illud *Memento* : ad Synagogam vero dicentem *Crucifige*, quam et odit, dicens per prophetam : sero vox ejus ululavit, « Et dedit super me vocem suam, ideo odivi eam [42]. » *Facies autem est decora*, quæ ex pacifico statu tranquillo exsistit : Ostende mihi ergo, inquit, faciem tuam, et auditam mihi fac vocem tuam, et moribus et verbis ad placitum meum exornata, et pulchritudinem operum et curam dogmatum consentaneam exhibens; si quis vero dixerit murum legem, antemurale decet esse legem naturalem, juxta quam est petra. Præ lege enim dicta, lex naturalis vicinior est legi Christi, in quo qui vitam suam instituerunt sancti placuerunt Deo, naturalibus instinctibus id quod justum est agnoscentes et ipsimet doctores eorum quæ se decerent facti. Quin et Paulus ait : « Lex autem subintravit [43], » antequam et novissimam quæ una est intercipiens vivendi rationem.

B

Ὠριγένους. — Βούλεται τὴν ψυχὴν, κ. τ. λ. (39).

Origenis. — Vult animam, etc.

ιε'. *Πιάσατε ἡμῖν ἀλώπεκας μικρούς ἀφανίζοντας ἀμπελῶνας· καὶ οἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν.*

VERS. 15. *Capite nobis vulpes parvas quæ demoliuntur vineas; et vineæ nostræ florent.*

Γρηγορίου. — Τὰ προγεγραμμένα τῆς Νύμφης εἰπούσης, καὶ τῆς εὐχῆς αὐτῆς πρὸς τὸν Νυμφίον κατευοδωθείσης. Μέλλων αὐτὸς ἑαυτὸν ἐμφανῆ καθιστᾷν, πρῶτον τοὺς θηρευτὰς παρορμᾷ, εἴτε ἀγγελικάς τινας δυνάμεις, εἴτε καὶ ἀποστόλους, πρὸς τὴν τῶν ἀλωπέκων ἄγραν, αἵ τινές εἰσιν ἀποστατικαὶ δυνάμεις, διὰ τὸ δολερὸν οὕτω κατονομασθεῖσαι· μικροὺς μὲν ὄντας ἤδη τῇ δυνάμει τῆς χάριτος τοῦ Χριστοῦ, ἀφανιστικοὺς δὲ τῶν ἀμπελώνων ὑπάρχοντας· ὡς μηκέτι τὸν ἀμπελῶνα τὴν ἀνθρωπίνην φύσιν δι' αὐτῶν πρὸς κυπρισμὸν καὶ βοτρύων φορὰν ἐμποδίζεσθαι, εἴτ' οὖν τὴν διαγωγὴν τῆς ἐναρέτου πολιτείας· τούτου γὰρ γενομένου, μεταχωρεῖ τὰ δύο εἰς ἄλληλα· ὅ τε γὰρ Θεὸς ἐν τῇ ψυχῇ γίνεται, καὶ πάλιν εἰς τὸν Θεὸν ἡ ψυχὴ μετοικίζεται· εἶδεν οὖν ἐν τῇ δυνάμει τοῦ κελεύσαντος ἑαυτὴν, τῆς ἐκ τῶν θηρίων λύμης τούτων κεκαθαρμένην, ἡ ὡς ἄμπελος εὐθύνουσα Νύμφη, καὶ εὐθὺς δίδωσιν ἑαυτὴν τῷ γεωργῷ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσαντι· οὐκ ἔτι γὰρ τῷ τοίχῳ τοῦ νόμου πρὸς τὴν συνάφειαν τοῦ ποθουμένου διατειχίζεται, ἀλλά φησι (40).

C

Gregorii. — Prædicta sunt Sponsæ loquentis et votum suum ad Sponsum dirigentis. Hic seipsum aperte ostensurus, primum incitat venatores, sive angelicas quasdam virtutes, sive etiam apostolos, ad vulpium venationem (quæ sunt virtutes apostaticæ, propter dolum sic nominatæ, quæ sunt quidem parvæ quoad virtutem gratiæ Christi, demoliuntur autem vineas); ne amplius vinea, humana natura per illos impediatur quo minus floreat et botros ferat; sive ex virtute vitam instituat. Hoc enim facto duo in se invicem transeunt; Deus namque in anima nascitur, et vicissim anima in Deum migrat. Vidit igitur in virtute jubentis semetipsam a noxa ferarum harum expurgatam sponsa, quæ sicut vitis abundans, statim etiam tradit se agricolæ qui sepis intermedium parietem solvit : neque enim amplius arcetur pariete legis, quo minus cum desiderato conjungatur.

D

Τοῖς τῆς Ἐκκλησίας τροφίμοις προτάσσει λοιπὸν τοῖς ἔτι τὸ ἄνθος ἐπιδεικνυμένοις τῆς ἀρετῆς, καὶ δυναμένοις εὐχερῶς ἀδικηθῆναι ὑπὸ τῶν παθῶν· οὐχ οὕτω γὰρ ἀνδρυνθεῖσα βλάπτεται ἡ ἄμπελος ὡς ἐν προοιμίοις ἐπιβουλευομένη· ὡς γὰρ ἡ ἀνθοῦ-

Nili. — Cæterum hæc præcipit Ecclesiæ alumnis, adhuc virtutis florem ostendentibus, et qui a passionibus lædi facile possunt : non enim sic adulta vitis læditur, sicut ea quæ in principiis primis circumvenitur; quemadmodum nempe florens

[41] Luc. XXIII, 42. [42] Jerem. XII, 8. [43] Rom. V, 20.

NOTÆ.

(39) *Patrol.* t. XVII, col. 264, 265.

(40) Quæ sequuntur in C. B. sub nomine Nili inscribuntur.

Digitized by Google

uva si concutiatur, palmitibus adhuc tenellis et infirmis, statim disrumpitur. Sic immatura virtus ab inordinatis affectionibus conquassata, ad culmen perfectionis non pervenit studiosis actionibus quæ efflorescere debebant, antequam ad firmum habitudinis statum pertingant diffluentibus. Vana namque gloria depascere solet florem virtutis, atque jactantia pietatem auspicantibus impedimentum fit profectus, dum tumore excutit correctiones et in flore tabescentem fructum abolet. Hic igitur sermo suadet adhuc parvulas capere vulpeculas, id est tenellas adhuc et imbecilles superare passiones, priusquam habitus mutatu difficilis in mali abeat consuetudinem. Vel hoc igitur est quod dicitur, juxta dictam distinctionem; vel sic distinguentibus legendam, eas quæ parvulas demoliuntur vites subigere oportet ac capere vulpes, dum adhuc parvæ sunt vites: siquidem vites magnas demoliri vulpes nequeunt firmato jam boni habitu, etenim parvulorum est scandalizari: quasi vero intendens ex metu dubitationem ait: et vineæ nostræ florent: non solum enim visus est timuisse, quod delicatæ ac recens plantatæ sint parvæ adhuc vites, sed etiam ad florendum dispositæ, excutientibus florem vulpibus expositæ sint; in quibus istiusmodi excussionem agnoscit Scriptura, de iis dicens: « Ita filii excussorum [44], » quos Paulus ramos fractos olivæ appellat [45], David autem *fenum tectorum* [46], Dominus vero, palmitem extra vitem projectum et infrugiferum [47], eorum quoque insinuans abjectionem.

σα σταφυλὴ ἐὰν τιναχθῇ, ἀφίησι μὲν τὰς ῥάγας ἀσθενῶν ἐπὶ τῶν στεμφύλων ἐξηρτημένων, οὕτως ἄωρος ὑπὸ τῶν παθῶν κλονηθεῖσα ἡ ἀρετὴ, πρὸς ἀκμὴν τῆς τελειότητος οὐκ ἔρχεται· τῶν πεπανθῆναι ὀφειλόντων ἐπιτηδευμάτων διαῤῥυέντων, πρὸ τῆς βεβηκυίας καὶ ἐκτικῆς καταστάσεως· κενοδοξίᾳ γὰρ λυμαίνεσθαι πέφυκε τὸ τῶν ἀρετῶν ἄνθος· καὶ ἀλαζονεία τοῖς ἀρχομένοις τῆς θεοσεβείας ἐμπόδιον γίνεται προκοπῆς, τὰς βελτιώσεις τῇ οἰήσει ἀποτινάσσουσα, καὶ ἐν ἄνθει μαραινόμενον ἐμφανίζουσα τὸν καρπόν· συμβουλεύει τοίνυν ὁ λόγος, ἔτι μικρὰς πιάσαι ἀλώπεκας· τουτέστιν ἁπαλῶν ἔτι κρατῆσαι καὶ ἀσθενῶν τῶν παθῶν, πρὶν ἕξις δυσμετακίνητος τὸ ἔθος γένηται τοῦ κακοῦ· ἢ τοῦτο οὖν ἐστὶ τὸ λεγόμενον κατὰ τὴν εἰρημένην διαίρεσιν, ἢ διαιροῦντας ἀναγνῶναι, μικροὺς ἀφανίζον ἀμπελῶνας· εἶτουν κρατῆσαι καὶ πιάσαι τὰς ἀλώπεκας ἔτι μικρῶν οὐσῶν τῶν ἀμπελώνων· μεγάλους γὰρ ἀφανίζειν ἀμπελῶνας αἱ ἀλώπεκες οὐ δύνανται, ἐν ἕξει τοῦ ἀγαθοῦ γενομένους· καὶ γὰρ τῶν μικρῶν ἴδιον τὸ σκανδαλίζεσθαι· ὥσπερ δὲ ἐπιτείνων τὴν ἐκ τοῦ φόβου ἀπορίαν, φησί· καὶ αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν· οὐ μόνον γὰρ ἔοικε δεδοικέναι, ὅτι τρυφεροὶ καὶ νεόπαγεῖς εἰσιν οἱ ἀμπελῶνες μικροὶ τυγχάνοντες, ἀλλ' ὅτι καὶ πρὸς κυπρισμὸν εὐχείρωτοι ταῖς ἐκτινασσούσαις τὸ ἄνθος ἐν ταῖς ἀλώπεξιν· τοιοῦτον ἐκτιναγμὸν οἶδεν ἡ Γραφή· περὶ ὧν φησιν, « Οὕτως υἱοὶ τῶν ἐκτετιναγμένων· » οὓς Παῦλος κλάδους ἐκκεκλασμένους ἐλαίας καλεῖ· ὁ δὲ Δαβὶδ *χόρτον δωμάτων*· ὁ δὲ Κύριος, κλῆμα ἔξω τῆς ἀμπέλου βεβλημένον, τὸ ἄκαρπον καὶ ἀπόβλητον αὐτῶν αἰνιττόμενος.

Origenis. — Hæc ait amicis Sponsus, etc.

Ὠριγένους. — Ταῦτα τοῖς φίλοις ὁ Νυμφίος, κ. τ. λ. (41).

Vers. 16, 17. *Fratruelis meus mihi et ego illi, qui pascit inter lilia donec perspiret dies et amoveantur umbræ.*

ις', ιζ'. *Ἀδελφιδός μου ἐμοὶ, κἀγὼ αὐτῷ, ὁ ποιμένων ἐν τοῖς κρίνοις, ἕως οὗ διαπνεύσῃ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί.*

Gregorii. — Vidi, inquit, eum facie ad faciem, semper quidem exsistentem, sed propter me ex sorore mea Synagoga in humana natura exorientem, et in eo requiesco et flo ejus habitaculum. Qui non feno pascit gregem, sed puris liliis, id est divinis sermonibus pascit oves, ut qui pura fragrantique hac esca suam animam impinguaverint, cum ab omni fallaci et umbratili imaginatione eorum in quæ studium in hac vita confertur, se abduxerint, quas umbras hic sermo nominavit, ad rerum veram aspiciant substantiam, filii lucis ac diei effecti. Hæc dicit anima quam pascit Verbum, non in spinis quibusdam vel feno, sed in bono odore liliorum pure vivendi rationis, et urget Verbum ut celeriter in opus producat spem bonorum.

Γρηγορίου. — Εἶδον γὰρ αὐτὸν, φησὶν, πρὸς πρόσωπον, τὸν ἀεὶ μὲν ὄντα, δι' ἐμὲ δὲ ἐκ τῆς ἀδελφῆς μου τῆς Συναγωγῆς ἀνθρωπικῶς ἀνατείλαντα· καὶ ἐν αὐτῷ ἀναπαύομαι καὶ γίνομαι αὐτῷ κατοικητήριον· ὃς οὐ χόρτον ποιεῖται τὴν τῶν ποιμνίων νομὴν, ἀλλὰ καθαροῖς κρίνοις τρέφει τὰ πρόβατα, τουτέστι θείοις λογίοις· ὅπως ἂν οἱ τῇ καθαρᾷ τε καὶ εὐπνοούσῃ ταύτῃ τροφῇ τὴν ψυχὴν πιαινόμενοι, πᾶσάν τε καὶ σκιοειδῆ φαντασίαν τῶν κατὰ τὸν βίον τοῦτον σπουδαζομένων ἑαυτῶν ἀποστήσαντες, ἃς σκιὰς ὁ λόγος ὠνόμασε, ταῖς τοῦ Θεοῦ Πνεύματος ἀκτῖσι, πρὸς τὴν ἀληθεινὴν τῶν πραγμάτων ὑπόστασιν διαβλέψωσιν, υἱοὶ φωτὸς καὶ ἡμέρας γενόμενοι· ταῦτα φθέγγεται ἡ ψυχὴ, ἣν ποιμαίνει ὁ λόγος, οὐκ ἐν ἀκάνθαις τισὶν ἢ χόρτοις, ἀλλ' ἐν τῇ εὐοσμίᾳ τῶν κρίνων τῆς καθαρᾶς πολιτείας, καὶ κατεπείγει τὸν λόγον διὰ τάχους εἰς ἔργον προάγειν τῶν ἀγαθῶν τὴν ἐλπίδα.

Soli Sponso se addicit, et Sponsum vicissim sui

Nilli. — (42). Μόνῳ ἑαυτὴν ἀνατίθησι τῷ Νυμ-

[44] Psal. cxxvi, 4. [45] Rom. xi, 20. [46] Psal. cxxviii, 6. [47] Joan. xv, 6.

NOTÆ.

(41) *Patrol.* t. XVII, col. 265.
(42) In C. B. sub nomine Gregorii habentur.

Digitized by Google

φίῳ, καὶ τὸν Νυμφίον πάλιν μόνης ἑαυτῆς λέγει, διὰ τὴν ἐκ τῶν κατορθωμάτων οἰκειότητα. Ἐπειδὴ γὰρ τὸ σῶμα ἑαυτῆς οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ δέδωκε, διὰ τοῦτο καὶ ὁ Κύριος τῷ ἐκείνης σώματι ἐνανθρωπήσας γεγένηται· ποιμαίνοντα δὲ αὐτὸν ἐν τοῖς κρίνοις, τὰς ἀμερίμνους λέγει ψυχὰς ὑπ' αὐτοῦ ποιμαίνεσθαι σημαίνουσα, ὡς τῶν περισπωμένων ὑπὸ τῆς σωματικῆς ἀσχολίας ἔξω τῆς τούτου ποιμαντικῆς ὄντων. Ποιμαίνει δὲ ἐν κρίνοις οὐ διὰ παντὸς, ἀλλ' ἕως τοῦ διαπνεῦσαι τὴν μέλλουσαν ἡμέραν, καὶ κινηθῆναι τὰ σκιὰς τῶν παρόντων πραγμάτων. Ὁ δὲ Σύμμαχος, πεποιηκὼς ὁ ποιμαίνων τὰ ἄνθη δεῖξεν, ὅτι οὐκ ἐν τόπῳ κρίνων, ἀλλ' αὐτὰ τὰ κρίνα ποιμαίνει τὰς ἀμερίμνους ψυχὰς, καὶ τῶν γηΐνων οὐ φροντιζούσας, καθὼς ἀποδέδοται. Ἔφαμεν δὲ ἀνωτέρω ἄνθη λέγεσθαι, τοὺς ἐν τῷ Χριστιανισμῷ ἀνθήσαντας ἁγίους· καὶ ἐνταῦθα οὖν ταῦτα ποιμαίνει τὰ ἄνθη· καὶ τὸ *κινηθῶσι δὲ αἱ σκιαὶ*, τὴν τῶν νομικῶν ἔργων περιαίρεσιν σημαίνει, σκιὰς ὑπὸ τοῦ Παύλου πολλάκις εἰρημένας.

A solius appellat per proborum operum proprietatem. Quia enim corpus suum non fornicationi, sed Domino dederat, propterea etiam Dominus ipsius in incarnatione corpus assumpsit. Pascentem porro ipsum in liliis dicit, animas curarum expertes ab ipso pasci significans, sic ut animæ corporalibus occupationibus distractæ, ab ipso non pascantur. Pascit autem inter lilia non semper, sed donec adspiret futura dies, et umbræ rerum præsentium amoveantur. Symmachus autem eum fecit pascentem flores, ostendit eum non in loco liliorum, sed ipsa lilia pascere, animas nempe curarum expertes et nihil rerum terrenarum satagentes ut expositum est. Diximus autem superius flores dici sanctos in Christianismo florentes : et hic igitur flores hosce B pascit. Atque illud : *Moveantur umbræ*, legalium operum sublationem designat, quæ et a Paulo frequenter umbræ dicuntur.

Ὠριγένους. — Ἡ Νύμφη πρὸς τοὺς ἑταίρους τοῦ Νυμφίου φησίν, κ. τ. λ. (43).

Ἀπόστρεψον, ὁμοιώθητι, σὺ ἀδελφιδέ μου, τῇ δορκάδι ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη τῶν κοιλωμάτων.

Origenis. — Sponsa ad sodales Sponsi verba facit, etc.

Revertere, similis efficere, fratruelis mi, capreæ vel hinnulo cervorum supra montes concavitatum.

Γρηγορίου. — Ἀπόστρεψον τῶν κακῶν τὴν φοράν· ἴδε ὡς δορκὰς ὁ τὰς ἐνθυμήσεις τῶν ἀνθρωπίνων βλέπων· ἀφάνισον τὴν γονὴν τῆς κακίας ὡς νεβρὸς ἐλάφων ἐξαναλίσκων τὸ γένος τοῦ ὄφεως· ὁρᾷς γὰρ τὰ κοῖλα τοῦ ἀνθρωπείου βίου· πᾶν γὰρ τὸ κατὰ τῆς ἀληθείας ὑψούμενον βάραθρόν ἐστι καὶ οὐκ ὄρος, C κοίλωμα, καὶ οὐκ ἀνάστημα· ἐὰν οὖν ἐπιδράμῃς ἐπὶ ταῦτα, φησὶν, πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν τὸ τοιοῦτον ὄρος ταπεινωθήσεται.

Gregorii. — Averte malorum incursum : vide ut caprea tu qui aspicis cogitationes hominum. Dele peccati generationem sicut hinnulus cervorum consumit genus serpentum. Vides concavos vitæ humanæ montes : quidquid enim adversus veritatem extollitur barathrum est, et non mons, concavitas et non assurgens fastigium. Si ergo, inquit, ad hæc accurreris, « omnis vallis implebitur et mons humiliabitur [48]. »

Νείλου. — Πῶς ἤδη εἰποῦσα ὅτι *Ὁμοίος ἐστὶν ὁ ἀδελφιδός μου τῷ δόρκωνι*, καὶ τὰ ἑξῆς, νῦν πάλιν φησὶν, *Ἀπόστρεψον* οὐκ ἐπὶ ὄρη Βαιθὴλ, *ἀλλ' ἐπὶ ὄρη κοιλωμάτων*. Τὸ μὲν ὡς ἤδη γενόμενον εἰποῦσα, τὸ δὲ προστακτικῶς ἀναλαβεῖν αὐτὸν παρακελευσμένη· ἀλλὰ μήποτε ἡ διαφορὰ τῆς τῶν ὀρῶν ὀνομασίας ἐν οἷς γίνεται λύει τὸ ἀπορούμενον; ἐκεῖ γὰρ εἶπεν *ἐπὶ τὰ ὄρη Βαιθὴλ*, ἐνταῦθα δὲ, *ἐπὶ τὰ ὄρη κοιλωμάτων*· τάχα οὖν, τὸ μὲν σημαίνει τὸν περίγειον τόπον, τὸ δὲ τὸν ᾅδην, ἀπὸ τῆς κοιλότητος· ὡς εἶναι τὸ λεγόμενον τοιοῦτον· Ἤδη μὲν φύσει ὡμοιώθης, ὦ Νυμφίε, τῷ δόρκωνι καὶ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη Βαιθὴλ, εὐεργετήσας τοὺς τῇδε, καὶ τὰς ἐναντίας δυνάμεις ὑποτάξας· λείπεται δὲ καὶ τοὺς ἐν καταχθονίῳ τόπῳ κατεχομένους διὰ τὸν ἐπὶ πάντας βασιλεύσαντα θάνατον ἀπολαῦσαι τῆς σῆς εὐεργεσίας, ἔτι δὲ καὶ τὰς ἐκεῖ κρατούσας δυνάμεις τῇ ὀσφρήσει καθάπερ ἔλαφος ἀνιμησάμενος κατάργησον.

Nili. — Cum prius dixisset : *Similis est fratruelis meus capreæ*, etc., nunc iterum ait : *Revertere*, non ad montes Bethel, *sed supra montes concavitatum*. Illud quidem ut pridem factum narrans, hoc autem imperative assumere ipsum jubens. Sed forsitan diversitas denominationis montium in quibus sit, dubium solvit. Ibi enim dixit, *in montibus Bethel, hic supra montes concavitatum*. Fortassis igitur illud significat locum terræ vicinum, hoc vero infernum per concavitatem, ut id quod dicitur sit hujus modi : Jampridem quidem, o Sponse, assimilatus es capreæ hinnuloque cervorum in montibus Bethel, ibi habitantes beneficiis afficiens et contrarias virtutes subigens. Restat autem ut et hi qui in subterraneo loco per mortem in omnes dominantem detinentur, beneficiis tuis perfruantur : vade igitur et virtutes quæ illic imperant odoratu quasi cervus exanimans dele.

Ὠριγένους. — Τὰ πρότερα πρὸς τὰς νεάνιδας εἶπεν ἡ Νύμφη, κ. τ. λ. (44).

Origenis. — Priora ad adolescentulas Sponsa dixerat, etc.

Φίλωνος. — Ἢ καὶ ἀπόστρεψον ἀπὸ τῶν Ἰου-

Philonis. — Vel etiam revertere a Judæis ad gen-

[48] Isa. XL, 4 ; Luc. III, 5.

NOTÆ.

(43) *Patrol.* t. XVII, col. 265, 268.

(44) *Patrol.* t. XVII, col. 316.

Digitized by Google

tes. *Montes* autem justos dixit, propter sublimitatem; *concavitatum* vero propter humilitatem.

Cyrilli. — Rogat ut Sponsus infrugiferam Synagogam relinquat, et veniat ad eos qui ex concava et humiliata olim, atque idololatrica anima ad cœlestem celsitudinem ascenderunt.

CAP. III.

VERS. 1-4. *In cubili meo, in noctibus quæsivi quem dilexit anima mea; quæsivi eum, et non inveni eum; vocavi eum et non audivit me. Exsurgam nunc et circuibo in civitate, in foris et in plateis, et quæram quem dilexit anima mea; quæsivi eum et non inveni eum: vocavi eum et non obaudivit me. Invenerunt me custodes qui circumeunt in civitate: Numquid quem dilexit anima mea vidistis? Quam modicum fuit, cum transivi ab ipsis, quoadusque inveni quem dilexit anima mea. Tenui eum, et non dimisi eum, donec introduxi eum in domum matris meæ et in cubiculum ejus quæ concepit me.*

Gregorii. — Sponsæ narratio philosophica est: per ea quæ de se narrat, statuit ac docet quemadmodum erga divinum numen se gerere debeant supernæ pulchritudinis amatores. Bifariam enim dividitur rerum creatarum natura ex suprema divisione. Nam aliud quidem est et sensile et materiatum; aliud autem quod intelligentia percipitur et est expers materiæ. Rursus autem cum quæ intelligentia percipitur natura bifariam sit divisa, alia quidem est increata et creatrix semper eodem modo se habens; alia vero creata et participatione ejus quod supereminet, in bono semper conservatur et in eo augetur, et in majus mutatur, semper ad id quod melius est se extendens et nunquam a desiderio cessans. Postquam igitur etiam Sponsa tantis ascensibus sublimata, et ex virtute in virtutem profecta, ut summum spei bonorum assecuta esse videatur; boni tamen indigam se vidit, merito lamentatur, et ut quæ necdum habeat diligentiæ propositum angitur et est perplexa, eamque perplexitatem animi narratione sua profert in publicum. Et ubi reperit quem quærebat describit sermone: perfectiorem insuper boni participationem lectum appellat, et noctem dicit tempus concubii: per nomen autem noctis ostendit contemplationem eorum quæ non cadunt sub aspectum, juxta Moysem in caligine versantem, in qua erat Deus, qui « posuit tenebras latibulum suum, » et Propheta canit « In circuitu suo [69]. » In qua cum fuerit tum docetur tantum abesse ut ascenderit ad perfectionem, ut qui ne principium quidem attigerit. Jam enim, inquit, tanquam iis quæ sunt perfecta, dignata, et tanquam in lecto quopiam eorum quæ sunt cognita comprehensionis requiescens, quando eram intra ea quæ non cadunt sub aspectum, relictis sensibus, quando continebar divina nocte quæ-

[69] III, Reg. xx, 12; Psal. xvii, 12.

δαίων εἰς τὰ ἔθνη. Ὄρη δὲ τοὺς δικαίους ἔφη διὰ τὸ ὑψηλόν· κοιλωμάτων δὲ διὰ τὴν ταπεινοφροσύνην.

Κυρίλλου. — Αἰτεῖ τὸν Νυμφίον, τὴν ἄκαρπον ἀπολεῖψαι συναγωγὴν, καὶ ἐλθεῖν ἐπὶ τοὺς τῆς κοίλης καὶ τεταπεινωμένης πάλαι καὶ εἰδωλολατρούσης ψυχῆς ἐπὶ οὐράνιον ὕψος ἀναβάντας.

ΚΕΦΑΛ. Γ'.

α'.-δ'. *Ἐπὶ τὴν κοίτην μου ἐν νυξὶν ἐξεζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐζήτησα αὐτὸν, καὶ οὐχ εὗρον αὐτόν· ἐκάλεσα αὐτὸν, καὶ οὐχ ὑπήκουσέ μου· ἀναστήσομαι δὴ καὶ κυκλώσω ἐν τῇ πόλει, ἐν ταῖς ἀγοραῖς, καὶ ἐν ταῖς πλατείαις· καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐζήτησα αὐτὸν, καὶ οὐχ εὗρον αὐτόν· ἐκάλεσα αὐτὸν, καὶ οὐχ ὑπήκουσέ μου· εὗρόσάν με οἱ τηροῦντες, οἱ κυκλοῦντες ἐν τῇ πόλει· Μὴ ὃν ἠγάπησεν ἡ ψυχή μου ἴδετε; ὡς μικρὸν ὅτε παρῆλθον ἀπ' αὐτῶν, ἕως οὗ εὗρον ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐκράτησα αὐτὸν, καὶ οὐκ ἀφῆκα αὐτόν, ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου καὶ εἰς τὸ ταμιεῖον τῆς συλλαβούσης με.*

Γρηγορίου. — Τὸ τῆς Νύμφης διήγημα, φιλοσοφίας ἐστί· δι' ὧν τὰ περὶ αὐτὴν διεξέρχεται· ὅπως δεῖ περὶ τὸ Θεῖον ἔχειν τοὺς ἐραστὰς τοῦ ὑπερκειμένου κάλλους δογματιζούσης. Διχῇ γὰρ τέτρηται κατὰ τὴν ἀνωτάτω διαίρεσιν ἡ τῶν ὄντων φύσις· τὸ μὲν γάρ ἐστιν αἰσθητὸν καὶ ὑλῶδες, τὸ δὲ νοητὸν καὶ ἄϋλον. Πάλιν δὲ τῆς νοητῆς φύσεως διχῇ διῃρημένης, ἡ μὲν ἄκτιστός ἐστι καὶ ποιητική, πάντοτε ὡσαύτως ἔχουσα· ἡ δὲ κτιστὴ, καὶ τῇ μετουσίᾳ τοῦ ὑπερέχοντος ἐν τῷ ἀγαθῷ διὰ παντὸς συντηρεῖται· καὶ πρὸς αὐτὸ αὔξεται καὶ πρὸς τὸ μεῖζον ἀλλοιοῦται· ἀεὶ πρὸς τὸ κρεῖττον ἐπεκτεινομένη, καὶ μηδέποτε τῆς ἐφέσεως λήγουσα· ἐπεὶ οὖν καὶ ἡ Νύμφη τοσαύταις ἀνόδοις ὑψωθεῖσα, καὶ ἐκ δυνάμεως εἰς ἐνέργειαν πορευομένη, τοῦ ἀκροτάτου τῶν ἀγαθῶν ἐλπίδος τετυχηκέναι ἐδόκει, ἐνδεᾶ δὲ ἑαυτὴν τοῦ ἀγαθοῦ καθεώρα, εἰκότως ἀποδύρεται· καὶ ὡς μήπω σχοῦσα τὸ τῆς προθυμίας προκείμενον ἀμηχανεῖται καὶ δυσχεραίνεται καὶ τὴν τοιαύτην ἀμηχανίαν δημοσιεύει τῷ διηγήματι· καὶ ὅπως εὗρε τὸν ζητούμενον ὑπογράφει τῷ λόγῳ· τὴν μὲν οὖν τελειοτέραν τοῦ ἀγαθοῦ μετουσίαν, κοίτην ὀνομάζει καὶ νύκτα λέγει τὸν τῆς κοίτης καιρόν· διὰ δὲ τοῦ ὀνόματος τῆς νυκτὸς, ἐνδείκνυται τῶν ἀοράτων τὴν θεωρίαν, κατὰ τὸν ἐν τῷ γνόφῳ Μωσέα, ἐν ᾧ ἦν ὁ Θεὸς ὅς, « Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, » κατὰ τὸν Προφήτην, « Κύκλῳ αὐτοῦ· » ἐν ᾧ καταστᾶσα τότε διδάσκεται τοσοῦτον ἀπέχουσα τοῦ ἐπιβῆναι τῆς τελειότητος, ὅσον οἱ μηδὲ τὴν ἀρχὴν ἐγχειρήσαντες· ἤδη γάρ φησιν ὡς τῶν τελείων ἀξιωθεῖσα, καθάπερ ἐπὶ κοίτης τινὸς τῆς τῶν ἐγνωσμένων καταλήψεως ἐμαυτὴν ἀναπαύουσα· ὅτε τῶν ἀοράτων ἐντὸς ἐγενόμην καταλιποῦσα τὰ αἰσθητήρια· ὅτε περιεσχέθην τῇ θείᾳ νυκτὶ, τὸν γνόφῳ κεκρυμμένον ἀναζητοῦσα, τότε μὲν τὴν ἀγάπην πρὸς τὸ ποθούμενον ἔσχον· αὐτὸ δὲ τὸ ἀγαπώμενον, διέπῃ τῶν λογισμῶν τὴν

Digitized by Google

συλλαβήν. ἐζήτουν γὰρ αὐτὸν ἐπὶ τὴν κοίτην μου, ὥστε γνῶναι τίς ἐν νυξὶν ἡ οὐσία, ποθεν ἔρχεται, εἰς τί καταλήγει, ἐν τίνι ἔχει τὸ εἶναι, ἀλλ' οὐχ εὗρον. Εἶτά φησιν, Ἐκάλεσα αὐτὸν τὸν ἀκατανόμαστον ὡς ἐνῆν ὀνομάζουσα καὶ οὐκ ἐπήκουσέ μου· οὐ γὰρ ἦν ὀνόματος ἔμφασις ἡ καθικνουμένη τοῦ ζητουμένου· τότε τοίνυν ἔγνων, ὅτι τῆς μεγαλοπρεπείας τῆς δόξης τῆς ἁγιωσύνης αὐτοῦ οὐκ ἔστι πέρας. Ὅθεν διανίστησιν ἑαυτὴν καὶ περιπολεῖ τῇ διανοίᾳ τὴν ὑπερκόσμιον φύσιν, ἣν ἐκάλεσε πόλιν, ἐν ᾗ ἀρχαὶ καὶ κυριότητες καὶ οἱ ταῖς ἐξουσίαις ἀποτεταγμένοι θρόνοι, ἥ τε τῶν ἐπουρανίων πανήγυρις· ὃ τὸ τῆς πλατείας διασημαίνει ὀνόματι· μὴ εὑροῦσα δὲ ἐν αὐτοῖς τὸ ποθούμενον, καθ' ἑαυτὴν ἐλογίσατο· μὴ ἄρα κἂν ἐκείνοις ληπτόν ἐστι τὸ παρ' ἐμοῦ ἀγαπώμενον· διὰ δὲ τῆς σιωπῆς ἐνδειξαμένου τὸ ἀκατάληπτον, πᾶν τὸ εὑρισκόμενον ἀφεῖσα μόλις ἔγνω τὸ ζητούμενον, ὡς ἐν τῷ μὴ εὑρίσκεσθαί τί ἐστιν, ὅτι ἐστὶ γινώσκεται. Διό φησιν, Ὅτε μικρὸν παρῆλθον ἀπὸ πάσης κτίσεως, πᾶσαν ἀφεῖσα καταληπτικὴν ἔφοδον, τῇ πίστει τὸν ἀγαπώμενον εὗρον· δι' ἧς αὐτὸν καὶ κρατήσω, ἕως ἂν ἐντὸς γένηται τοῦ ἐμοῦ ταμιείου, εἴτουν καρδίας· ἢ τότε γίνεται δεκτικὴ τῆς θείας αὐτοῦ ἐνοικήσεως, ὅταν ἔλθῃ πρὸς τὴν κατάστασιν ἐκείνην ἐν ᾗ τὸ κατ' ἀρχὰς ἦν ὅτε ἐπλάσθην ὑπὸ τῆς συλλαβούσης μητρός· ἥτις ἐστὶν ἡ πρώτη τῆς συστάσεως ἡμῶν αἰτία.

A rens eum qui latebat sub caligine; tunc quidem habebam dilectionem in eum qui desiderabatur; idipsum autem quod diligebatur evolabat ut id apprehendere non possent cogitationes. Quærebam enim ipsum in lecto meo noctu ut nossem quæ sit ejus essentia, unde incipiat, quo desinat, in quonam suam habeat essentiam: sed non inveni. Deinde, Vocavi, inquit, ipsumqui non potest nominari, quoad fieri poterat eum nominans: et non obaudivit me: non enim erat nominis significatio quæ pertingeret usque ad id quod quærebatur. Tum igitur cognovi quod magnificentiæ, gloriæ, sanctitatis ejus non est finis. Unde excitat semetipsam et obit cogitatione super mundanam naturam, quam vocat civitatem, in qua sunt principatus et dominationes, ac potestatibus assignati throni, et cœlestium conventus, quem significat nomine plateæ. Non inveniens ibi dilectum, apud se cogitabat: Num forte etiam in illis comprehendi potest illud quod a me diligitur? Cum autem silentio indicassent captum omnem superare, relicto universo quod inveniebatur, vix cognovit quod quærebatur, quasi in eo quod non inveniretur quid esset, cognosceretur. Propterea dicit: Quando paululum pertransii ab omni creatura omnem dimittens comprehensibilem viam ac rationem, inveni fide dilectum, per quam ipsum etiam tenebo, donec fuerit intra meum conclave, sive cor, quod tunc fit capax divinæ ejus habitationis, quando redierit ad illum statum in quo erat ab initio quando fuit effictum ab ea matre quæ concepit, quæ est prima causa nostræ constitutionis.

B

Νείλου. — Καταστάσεις ἑαυτῆς ἐν αἷς ἐγένετο ἡ Νύμφη διηγεῖται τὸν Λόγον ζητοῦσα καὶ τὴν τελειότητα καὶ τὴν ἐν τελειότητι ἐπομένην· καὶ ταῦτά φησι πρὸς τὴν τῶν λοιπῶν ὠφέλειαν· διδάσκουσι ὅτι οὐκ ἔστι μετὰ ἀναπαύσεως ζητοῦντα τὸ ποθούμενον εὑρεῖν· ἀσκήσει γὰρ τῶν καλῶν, ῥᾳστώνη πολέμιον· τὸ γάρ, *Ἐπὶ τὴν κοίτην μου ἐν νυξὶν ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυχή μου*, τοιοῦτόν ἐστιν, ὡσανεὶ τῆς Νύμφης διηγουμένης ταῖς νεάνισιν, ὅτι ἐνόμισα κοῦφον εἶναι καὶ εὐχερὲς, τὸ κτήσασθαι τὴν ἀρετὴν καὶ τὴν σοφίαν οἰκειώσασθαι· καὶ ἐζήτουν οὐ μετὰ πόνου, ἀλλ' ἀνειμένως καὶ ῥᾳθύμως, καὶ τοῖς σωματικοῖς ὡς κλίνῃ ἐπαναπαυομένη· ἐπειδὴ δὲ ἡ ζήτησις αὕτη τῆς καταλήψεως ἠστόχει, μετέβαλον ἐπὶ τὸ ἐργάζεσθαι τὴν ἀρετήν· διὸ εἶπον, *Ἀναστήσομαι δή*, καὶ τὰ λοιπὰ, καταλιποῦσα τὴν κλίνην, ἐπὶ τῷ δι' ἔργων ποιήσασθαι τὴν ζήτησιν· ἀλλ' οὐδὲ τοῦτό με πρὸς τὴν εὕρεσιν ὡδήγησε. Δέον γὰρ ἐργαζομένης τὰ τῆς ἀρετῆς κρύψαι τὸν πόνον, ἐπιδεικτιῶσα τοῦτον ἐδημοσίευον ἐν πλατείαις, καὶ ἀγοραῖς, τὸν ἀνθρώπων ἔπαινον θηρωμένη. Διὸ οὐδ' οὕτως εὑρεῖν δεδύνημαι· οὐδὲν γὰρ συντελεῖ πρὸς τὴν τῶν ἀγαθῶν κτῆσιν πόνος, ὅταν μετὰ φιλοδοξίας γίνηται. Ἀλλ' ὅταν *εὗρον αὐτὴν οἱ φύλακες οἱ τηροῦντες ἐν τῇ πόλει*· οὗτοι δὲ εἰσὶ λειτουργικὰ πνεύματα διακονοῦντα τῇ σωτηρίᾳ τῶν ἀνθρώπων, ἤτοι διοικήσει τοῦ βίου ἐφεστῶτα· καὶ ἐρωτηθέντες περὶ τοῦ ἀγαπωμένου, σιωπῇ παρῆλθον αὐτὴν ὡς οὐκ ἀξίαν ἀποκρίσεως· ἐκ τῆς ἀποστροφῆς στοχασαμένη ὡς

C

Nili. — Status suos in quibus versata fuit Sponsa commemorat Verbum quærens ac perfectionem, et in perfectione mansionem: atque hæc ad reliquorum dicit utilitatem, docens fieri non posse ut in quiete quærens quis desideratum inveniat. Exercitationi enim virtutum inimica desidia. Illud enim: *In lectulo meo in noctibus quæsivi quem dilexit anima mea*, est istius modi ac si Sponsa diceret adolescentulis: existimabam levem esse ac facilem virtutis possessionem et sapientiæ familiaritatem, et quæsivi non cum labore, sed remisse, ac in rebus corporeis tanquam in lecto quiescens. Sed cum quæsitio ista comprehensione aberrasset, conversa sum ad virtutis operationem: quocirca dixi: *Exsurgam nunc*, etc., relinquens lectum ut per opera instituam inquisitionem: sed nec hoc me ad inventionem adduxit. Decebat enim ea quæ virtutis sunt operantem abscondere laborem; sed hunc ostentans publicavi in plateis, et in foris, laudem hominum venata. Quare nec sic invenire potui: nihil enim confert ad bonorum possessionem labor cum ostentatione factus. Sed quando *invenerunt eam custodes qui circumierunt in civitate*; hi autem sunt administratorii spiritus, qui saluti hominum subveniunt, sive gubernationi vitæ præsunt; et interrogati de dilecto ipsam velut responso indignam silentio pertransierunt, ex hac aversione conjiciens istiusmodi nequaquam illis placere; opportune cogitavit ne inutilia laboraret, neque virtutis asperi-

D

Digitized by Google

tatem sustinens propter quæsitam ab intuentibus laudem, profectu frustraretur, et sic quæsitum invenit, nullius alterius quam boni ipsius causa bonum operata ac juste quod justum est persequens : unde etiam non multo post, sed statim, se invenisse dicit. Modicum enim ut transivi, requirens inveni quem diligit anima mea. Prædictos enim status transeunti et ad perfectionem grassanti absque mora reperitur Deus, dum quasi lucem cooperantem suscipit veritatem ad ejus quod quæritur comprehensionem. Quod enim est lux oculis, hoc illi veritas. Magnum porro encomium Sponsæ quod in sequentibus dicitur: *Tenui eum*, etc., siquidem postulasse cum labore bonum fortasse multorum, sed constantiam conservare paucorum : multi namque cum pervenerint ad id quod studiose quærebant, vel satietatem ejus successu temporis capientes, vel alio studium deflectentes desistunt et paulatim negligentes excidunt ab optimo habitu, plurimum inutilis assumentes laboris. Hæc vero ut laborum experta est bonitatem, non retrocessit, sed æqualem servavit promptitudinem, donec vere familiarem sibi redderet desideratum, usque ad intima penetralia introducens virtutem. Introduxit enim illam non in vestibula, vel atria, sed domus penuarium seu cubile.

αὐτὸν οὐκ ἐν προθύροις ἢ προαυλίοις, ἀλλ' ἐν τῷ ταμιείῳ τοῦ οἴκου.

Origenis. — Cum de mysteriis nuptiarum præviis egisset, etc.

Cyrilli. — Mulieres significat quæ venerunt una Sabbatorum mane diluculo ad monumentum Jesu et non invenerunt eum : quod igitur in lecto vel a lecto ait vel lectum suum Domini monumentum vocat, secundum quod illi consepelimur, sed non reperit ipsum audiens : « Non est hic, surrexit enim [50]; » et invenerunt eam custodes angeli quos etiam interrogat : « Ubi posuistis Dominum? » sed interrogatos transeunti occurrit dicens : Salvete. Propter ea dicit : Quam modicum fuit cum transivi ab ipsis quoadusque inveni. Id est, et inveni et non dimittam eum. Tenuit enim pedes ejus et audivit : « Noli me tangere [51]. » Domum autem matris congregationem apostolorum vocat ad quam abiens, nuntiavit Christi resurrectionem.

οὐκ ἔστιν αὐτῆς εὐάρεστος ὁ τοιοῦτος βίος, ἐλογίσατο δεόντως μὴ ἀνόνητα μοχθεῖν, μηδὲ τὸ τραχὺ τῆς ἀρετῆς ὑπομένουσα, ὑστερίζειν τῆς προκοπῆς διὰ τῶν ὁρώντων ἔπαινον· καὶ οὕτως εὗρε τὸ ζητούμενον· οὐδενὸς ἑτέρου χάριν, ἢ αὐτοῦ τοῦ καλοῦ τὸ ἀγαθὸν ἐργαζομένη· καὶ δικαίως τὸ δίκαιον διώκουσα· ὅθεν καὶ οὐ μετὰ πολὺ, ἀλλ' εὐθέως εὑρηκέναι λέγει. Μικρὸν γὰρ ὡς παρῆλθον ἀπ' αὐτῶν, εὗρον ὃν ἠγάπησεν ἡ ψυχή μου· τῷ γὰρ παρελθόντι τὰς προειρημένας καταστάσεις, καὶ φθάσαντι ἐπὶ τὴν τελειότητα, ἀνυπερθέτως εὑρίσκεται ὁ Θεός· συνεργὸν ὡς φῶς τὴν κατάληψιν τοῦ ζητουμένου. Ὅπερ γάρ ἐστι φῶς ὀφθαλμοῖς, τοῦτο νῷ ἀλήθεια· μέγα δὲ ἐγκώμιον ἐν τοῖς ἑξῆς εἴρηται τῆς Νύμφης, τὸ, *Ἐκράτησα αὐτὸν*, καὶ ἑξῆς· κτήσασθαι μὲν γὰρ πόνῳ τὸ καλὸν, ἴσως πολλῶν· φυλάξαι δὲ τὴν ἐπιμονὴν, ὀλίγων· οἱ μὲν γὰρ πολλοὶ ὅταν φθάσωσιν ἐπὶ τὸ σπουδαζόμενον, ἢ πόρον λαβόντες αὐτοῦ τῷ χρόνῳ, ἢ περὶ ἕτερα τὴν προθυμίαν ἀποκλίναντες, ἀφίστανται· καὶ μικρὸν ἀμελήσουσιν, ἐκπίπτουσι τῆς ἀρίστης ἕξεως, πολὺν ἀχρειοῦντες πόνον· αὕτη δὲ καμάτῳ εὑροῦσα τὸ ἀγαθὸν, οὐκ ἐνόστησεν εἰς τὰ ὀπίσω, ἀλλ' ἴσην ἐτήρησε τὴν προθυμίαν, ἕως γνησίως ᾠκειώσατο τὸ ποθούμενον· μέχρι τῶν ἐνδοτάτων ταμιείων εἰσοικίσασα τὴν ἀρετὴν, εἰσήγαγεν

Ὠριγένους. — Περὶ τῶν πρὸ τοῦ γάμου μυστηρίων εἰπὼν, κ. τ. λ. (45).

Κυρίλλου. — Τὰς γυναῖκας δηλοῖ, τὰς ἐλθούσας μιᾷ Σαββάτων ὄρθρου βαθέως ἐπὶ τὸ μνῆμα τοῦ Ἰησοῦ, καὶ μὴ εὑρούσας αὐτόν· τὸ οὖν ἐπὶ τὴν κοίτην, ἢ ἀπὸ κοίτης φησὶν, ἢ κοίτην ἑαυτῆς τὸ τοῦ Κυρίου μνῆμα καλεῖ, καθὸ συνθαπτόμεθα αὐτῷ· ἀλλ' οὐχ εὗρεν αὐτὸν ἀκούσασα, οὐκ ἔστιν ὧδε· ἠγέρθη γάρ· καὶ εὗρον αὐτὴν οἱ τηροῦντες ἄγγελοι, οὓς καὶ ἐρωτᾷ, « Ποῦ τεθήκατε τὸν Κύριον; » ἀλλὰ παρελθούσῃ τοὺς ἐρωτηθέντας, ὑπήντησε λέγων, Χαίρετε· διό φησιν, Ὡς μικρὸν παρῆλθον ἀπ' αὐτῶν ἕως εὗρον· καὶ οὐκ ἀφήσω αὐτόν· ἐκράτησε γὰρ τοὺς πόδας αὐτοῦ, καὶ ἤκουσε, « Μή μοῦ ἅπτου. » Οἶκον δὲ μητρὸς τὴν συναγωγὴν ἀποστόλων φησὶ, εἰς ἣν ἀπελθοῦσα εὐηγγελίζετο τοῦ Χριστοῦ τὴν ἀνάστασιν.

Vers. 5. *Adjuravi vos, filiæ Jerusalem, in virtutibus et in viribus agri, si suscitaveritis et exsuscitaveritis charitatem quoadusque velit.*

ε'. *Ὥρκισα ὑμᾶς, θυγατέρες Ἰερουσαλὴμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ, ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην, ἕως ἂν θελήσῃ.*

Gregorii. — Rursus propter mutuum amorem discipulas quoque animas alloquitur, quas antea comparatione pulchritudinis Sponsæ, quam lilio assimilaverat, spinas omnino appellaverat, et per adjurationem mundi potestatum facit assurgere ad parem modum charitatis ut voluntas Sponsi sit etiam in eis fortis. Reliqua vero in præcedenti sermone declarata sunt.

Γρηγορίου. — Πάλιν ὑπὸ φιλαλληλίας, καὶ ταῖς μαθητευομέναις ψυχαῖς διαλέγεται· ἃς ἐν τοῖς ἔμπροσθεν συγκρίσει τοῦ τῆς Νύμφης κάλλους τοῦ παρεικασθέντος τῷ κρίνῳ, ἀκάνθας ὁ λόγος ὠνόμασεν· καὶ διὰ τοῦ ὅρκου τῶν ἐν τῷ κόσμῳ δυνάμεων πρὸς τὸ ἴσον τῆς ἀγάπης διανίστησι μέτρον· ὥστε τὸ θέλημα τοῦ Νυμφίου καὶ ἐπ' αὐτὸν ἐνεργὸν γενέσθαι· τὰ δὲ λοιπὰ ἐν τῷ φθάσαντι λόγῳ δεδήλωται.

Nili. — Hoc secundum adjurat filias Jerusalem

Νείλου. — Τοῦτο δεύτερον ὁρκίζει τὰς θυγατέρας

[50] Matth. xxviii, 6. [51] Joan. xx, 17.

NOTÆ.

(45) *Patrol.* t. XVII, col. 268, 269.

Digitized by Google

Ἱερουσαλὴμ ἡ Νύμφη ἐξεγεῖραι τὴν ἀγάπην πάντως καθεύδουσαν· ἡ δὲ ἔννοια δεδήλωται.

ς'. *Τίς αὕτη ἡ ἀναβαίνουσα ἐκ τῆς ἐρήμου ὡς στελέχη καπνοῦ τεθυμιαμένη; σμύρνα καὶ λίβανος ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ;*

Γρηγορίου. — Ἐν ταῖς κατ' ἀρετὴν προκοπαῖς οὐ πάντοτε τῷ αὐτῷ παραμένουσι χαρακτῆρι, οἱ ἀπὸ δόξης εἰς δόξαν διὰ τῆς τῶν ὑψηλοτέρων ἐπιθυμίαν μεταμορφούμενοι· ἀλλὰ πρὸς τὸν λόγον τῆς ἀεὶ κατορθωθείσης ἑκάστῳ διὰ τῆς τῶν ἀγαθῶν τελειότητος, ἴδιός τις χαρακτὴρ τῷ βίῳ ἐπιλάμπει, ἄλλος ἐξ ἄλλου γενόμενός τε καὶ φαινόμενος, διὰ τῆς τῶν ἀγαθῶν ἐπαυξήσεως. Διό μοι δοκοῦσι ξενίζεσθαι πρὸς τὸ φαινόμενον οἱ φίλοι τοῦ Νυμφίου· οἱ πρότερον μὲν αὐτὴν ἐγνωκότες καλὴν, ἀλλ' ὡς ἐν γυναιξὶ καλὴν, μετὰ δὲ ταῦτα δι' ὁμοιότητος χρυσίου μετὰ στιγμάτων ἀργυρίου, τὸ κάλλος αὐτῆς ὡραΐζοντες· νυνὶ δὲ μηδὲν τῶν προλαβόντων σημείων περὶ αὐτὴν καθορῶντες, ἀλλὰ τὸ τῶν ὑψηλοτέρων χαρακτηρίζοντες, θαυμάζουσιν, οὐ μόνον τὴν ἄνοδον, ἀλλὰ καὶ ὅθεν ἀνέδραμε· τοῦτο γάρ ἐστιν ὃ καὶ ἐπίτασιν ποιεῖ τῆς ἐκπλήξεως· ὅπερ μέγιστον τῇ Νύμφῃ ἐγκώμιον, μαρτυροῦν τὴν πρὸς τὸ κρεῖττον παραλλαγὴν καὶ μετάστασιν· μέλαινα γὰρ ἡμῖν, φησὶν, ἐωρᾶτο πρότερον, αὕτη ἡ ἀναβαίνουσα ἐκ τῆς ἐρήμου· καὶ πῶς τὴν σκοτεινὴν μορφὴν ἀπεδύσατο; πῶς αὐτῇ χιονῶδες ἀπαστράπτει τὸ κάλλος; ἡ ἔρημός ἐστιν ὡς ἔοικεν καὶ αἰτία τούτων, ἡ καθάπερ ἔρνος ἀναθάλλειν αὐτὴν εἰς ὕψος ποιήσασα καὶ πρὸς τὸ τοιοῦτον μεταβάλλουσα κάλλος; ἐξ οἰκείων γὰρ πόνων δι' ἐγκρατείας τε καὶ ἐπιμελείας ἐκτήσατο· τοῦτο γὰρ τὸ ἐκ τῆς ἐρήμου ἀναβαίνειν αὐτὴν· οὕτω ποτὲ καὶ ἡ τοῦ προφήτου ψυχὴ διψώδης ἐγένετο τῆς θείας πηγῆς, ἐπειδὴ αὐτῷ ἡ σὰρξ ἄβατός τε καὶ ἔρημος καὶ ἄνυδρος γενομένη, τὸ θεῖον δίψος ἑαυτῷ παρεδέξατο· διὰ πολλῶν τοίνυν ὑποδειγμάτων τὸ κάλλος αὐτῆς ἑρμηνεύουσι· ἐπειδὴ δι' ἑνὸς ἅπαν περιληφθῆναι οὐχ οἷόν τε ἦν· πρῶτον μὲν γὰρ στέλεξι τὴν ὥραν αὐτῆς εἰκάζουσι, καὶ οὐδὲ τοῦτο ἑνί· ἀλλὰ διὰ τοῦ πλήθους τὸ πολυειδὲς καὶ ποικίλον, τῶν ἀρετῶν ὑπογράφουσιν· εἶτα καπνὸς ἐκ θυμιαμάτων, εἰς τὴν εἰκόνα τοῦ κάλλους παραλαμβάνεται· καὶ οὐδὲ οὗτος ἁπλοῦς, ἀλλὰ σμύρνῃ καὶ λιβάνῳ συγκεκραμένος, ὡς μίαν γενέσθαι τῶν ἀτμῶν τὴν χάριν· ὁ τοίνυν μέλλων ἑαυτὸν ἀνατιθέναι τῇ τοῦ Θεοῦ θεραπείᾳ, οὐκ ἄλλος ἔσται λίβανος τοῦ Θεοῦ θυμιώμενος, τοῦτο γὰρ τῇ τοῦ Θεοῦ τιμῇ ἀφιέρωται, εἰ μὴ πρότερον νεκρώσειε τὰ ἐπὶ τῆς γῆς μέλη· ἡ γὰρ σμύρνα πρὸς τὸν ἐνταφιασμὸν τῶν σωμάτων οἰκείως ἔχει· ὧν γενομένων, πᾶν εἶδος τῶν κατ' ἀρετὴν ἀρωμάτων ἐν τῷ κύκλῳ τοῦ βίου, καθάπερ θυείᾳ τινὶ λεπτυνθέντων τὸν ἡδὺν ἐκεῖνον κονιορτὸν, ὃν ἀναλαβὼν ἐν τῷ ἄσθματι εὔπνους γίνεται τοῦ μεμυρισμένου πνεύματος πλήρης γενόμενος.

Ὑρηγένους. — Καλὴ λίαν ἡ ἀναβαίνουσα, κ. τ. λ. (46).

ut exsuscitent dilectionem omnino dormientem, sensus autem declaratus fuit.

VERS. 6. *Quæ est ista quæ ascendit e deserto, tanquam truncus fumi incensa, myrrha, thus ab omnibus pulveribus unguentarii?*

Gregorii. — In virtutis progressibus non semper eamdem retinent formam qui a claritate in claritatem per sublimiorum desideria transformantur, sed pro ratione perfectionis bonorum in quibus se quisque semper exercuit, proprius quidam vitæ illucescit character, alius factus ex alio, et apparens per augmentum bonorum. Quare mihi videntur amici Sponsi tanquam rem novam admirari id quod apparet; qui prius quidem eam cognoverunt pulchram, postea vero auri quoque similitudine cum notis argenti ejus pulchritudinem decorarunt. Nunc autem præcedentium notarum nullam in ipsa intuentes, sed a sublimioribus illam insignientes, mirantur non solum ascensum, sed etiam unde ascenderit. Hoc est enim quod majorem affert stuporem, quod maximum est Sponsæ encomium, testificans ejus in virtute progressum, et id quod melius est mutationem ac transformationem. Quæ enim, inquit, prius videbatur nobis nigra, hæc ascendens de deserto, tenebricosam quodam modo formam exuit et nivea refulget pulchritudine. Num desertum, ut videtur, est causa quod ipsa sicut virgultum assurgat in altum, ipsam in eam mutans pulchritudinem? Ex propriis nempe laboribus per continentiam et diligentiam acquisivit pulchritudinem. Hæc est enim ipsius de deserto ascensio. Ita etiam aliquando Prophetæ anima fuit sitiens divinum fontem [52], postquam caro quæ ei evaserat deserta, et invia, et inaquosa, divinam in se suscepit sitim. Multis igitur exemplis ejus explicant pulchritudinem, quandoquidem uno non poterat universa comprehendi. Nam primum quidem caudicibus seu virgultis ejus assimilant pulchritudinem nec uni solum ex illis, sed per multitudinem ac specierum diversitatem, virtutum varietatem describunt. Deinde fumus ex suffitibus assumitur ad imaginem pulchritudinis, neque hic simplex, sed suffitibus myrrhæ et thuris simul commistis, ut una sit vaporis gratia. Qui ergo se vult Dei dedicare cultui, non aliter erit thus Deo, nisi prius mortificaverit membra quæ sunt super terram. Myrrha enim apta est ad corporum sepulturam: quæ cum facta fuerint, omne genus aromatum ex virtute in vitæ circulo tanquam in aliquo mortario, in subtiles partes comminutorum, suavem illum efficit pulverem quem qui accepit in anhelitu odorus efficitur, plenus spiritu unguenta redolente.

Origenis. — Valde pulchra est anima quæ vita rationeque ascendit, etc.

[52] Psal. XLI, 3.

NOTÆ.

(46) *Patrol.* t. XVII, col. 269.

Digitized by Google

Nili. — Sponsa stuporem movit intuentibus, quod et a deserto ascenderet et sicut truncus fumi incensa foret, nec aliunde incensa quam a myrrha et thure, ac pulvere unguentario. Hæc autem omnia significant recessum a terrenis negotiis. Anima enim a malo abstinens et a pravis cessans actionibus, atque zizaniorum sementem rejiciens in deserto est. In bonis vero operibus proficiens incipit ascendere de deserto sicut truncus fumi incensa. Quemadmodum enim fumus a terra incipiens caudicatur quidem, sed in aere hæret quasi radice cum flamma lignorum implexam habens : at cum inferne materia defuerit, a terra sejunctus omnino secedit, parti commistus et in semetipsum resolutus; sic anima recedens a terrenis, et si proficiat ad cœlestia, non primo in ista perfecte transit quam omnino integre terrena reliquerit. Porro myrrham et thus esse commistam trunco fumi odorem bonum, corporis mortificationem et ex continentia subactionem declarat, cum quibus proficiens velut unguento accedentes imbuit. Sed et aromatum pulvis prædicationis sensui consentit, nam et hic contactu terræ tritus, extenuatus faciei ipsius supernatat; motus vero pedibus transeuntium sublimis tollitur in altum abiens. Item hæretica quidem anima, cum forte bonum propter aliquid et propter se facit, pulvis est aliquantulum a terra elevatus, et rursum facile in proprium descendit locum, per suum ad inferiora affectum : sin ecclesiastica rectaque fide Deo placendi fine sursum germinans pulvis fit unguentarii, quæ sublimi ratione vivendi bonum dogmatum odorem admistum habeat, potest etiam dogmatice dici de Ecclesia. Siquidem hæc de deserto non habente virum ascendit myrrham et thus spirans, eo quod conjuncta sit Christo, quodque pulvere rerum mundanarum prout par est utatur, ut ex his pulverem conficiat unguentarii et per usum rationabilem id quod pulverulentum est in bonum Christi convertat odorem. Nam qui minime consistentia sed a mundanæ auræ ventis delata bona per eleemosynam reddit pretiosa, terræ pulverem facit pulverem unguentarii, laudabili egenorum usu, quod in iis pulverulentum et dissipabile est, commutans in aromaticum odorem suavem et fere amicum Deo.

Νείλου. — Ἔκπληξιν παρέσχε τοῖς ὁρῶσιν ἡ Νύμφη· ὅτι καὶ ἀπὸ ἐρήμου ἀνέβαινε, καὶ ὡς στελέχη καπνοῦ τεθυμιαμένη, καὶ ὅτι οὐκ ἄλλοθεν τεθυμίασται, ἀλλ' ἀπὸ σμύρνης καὶ λιβάνου, καὶ κονιορτῶν μυρεψοῦ· ταῦτα δὲ πάντα σημαίνει τὴν ἀναχώρησιν τῶν γηΐνων· ἡ γὰρ ἀποσχομένη τῆς κακίας ψυχὴ, καὶ τῶν φαύλων πράξεων ἀργίαν ἄγουσα, καὶ τὸν τῶν ζιζανίων σπορέα ἀρνησαμένη ἐν ἐρήμῳ ἐστὶ, προκόπτουσα ἐν τοῖς ἀγαθοῖς ἔργοις δὲ, ἄρχεται ἀναβαίνειν ἀπὸ τῆς ἐρήμου ὡς στελέχη καπνοῦ τεθυμιαμένη· ὡς γὰρ ὁ καπνὸς ἀρξάμενος ἀπὸ τῆς γῆς, στελεχοῦται δὲ ἐπὶ τὸν ἀέρα, ὅμως δέχεται ὡς ῥίζης τῆς συμπεπνιγμένης τοῖς ξύλοις φλογός· ὅταν δὲ ἐκλίπῃ κάτωθεν ἡ ὕλη, διαζευχθεὶς τῆς γῆς, ὅλως ἀναχωρεῖ τῷ ἰδίῳ μέρει συναναμιγνύμενος καὶ ἀναστοιχειούμενος εἰς ἑαυτόν· οὕτως ἡ τῶν γηΐνων ἀναχωροῦσα ψυχὴ, κἂν προκόπτῃ ἐπὶ τὰ οὐράνια, οὐ πρότερον μεθίσταται τελείως ἐπ' αὐτὰ, πρὶν ὁλοσχερῶς ἐκλίπῃ τὰ γήϊνα· τὸ δὲ σμύρναν καὶ λίβανον εἶναι τὴν συναναμεμιγμένην εὐωδίαν τῇ στελέχῃ τοῦ καπνοῦ, τὴν νέκρωσιν τοῦ σώματος, καὶ τὸν ἐξ ἐγκρατείας ὑποπιασμὸν δηλοῖ· μεθ' ὧν προκόπτουσα ἐμύριζε τοὺς παρατυγχάνοντας· καὶ ὁ κονιορτὸς δὲ τῶν ἀρωμάτων, σύμφωνός ἐστι τῷ τοῦ κηρύγματος νοήματι· καὶ γὰρ οὗτος ἀπὸ τριβῆς τῆς παχείας γῆς, λεπτὸς ἐπιπολάζει τῷ προσώπῳ ταύτης· κινούμενος δὲ τοῖς τῶν ὁδοιπορούντων ποσὶ μετέωρος αἴρεται, πρὸς ὕψος χωρῶν. Ἀλλ' ἐὰν αἱρετικὴ ψυχὴ οὖσα τύχῃ, ἢ τὸ καλὸν διά τι ποιοῦσα καὶ τὸ δι' ἑαυτὸν, κονιορτός ἐστι γῆς, ὀλίγον ὑψουμένη, καὶ πάλιν εὐχερῶς πρὸς τὸν οἰκεῖον καταφερομένη τόπον, διὰ τὴν πρὸς τὰ κάτω προσπάθειαν· ἐὰν δὲ ἐκκλησιαστικῇ πίστει σκοπῷ τῆς πρὸς τὸ Θεῖον εὐαρεστήσεως τὸ ἄνω φυτὸν ἔχουσα, κονιορτός ἐστι μυρεψοῦ, τῇ ὑψηλῇ πολιτείᾳ τὴν τῶν δογμάτων εὐωδίαν ἀνακεκραμμένην ἔχουσα· δύναται δὲ καὶ δογματικῶς περὶ τῆς Ἐκκλησίας λέγεσθαι· ἀπὸ ἐρήμου γὰρ τῆς μὴ ἐχούσης ἄνδρα, αὕτη ἀνέβη· σμύρναν καὶ λίβανον πνέουσα διὰ τὸ συντετάφθαι Χριστῷ· καὶ διὰ τὸ τὸν κονιορτὸν τῶν κοσμικῶν πραγμάτων τὸ εἰς δέον χρήσασθαι τούτοις, κονιορτὸν ποιῆσαι μυρεψοῦ· καὶ διὰ τὴν εὔλογον χρῆσιν, τὸ κονιορτῶδες μεταβαλεῖν εἰς εὐωδίαν Χριστοῦ· ὁ γὰρ τὰ μὴ ἐστῶτα, ἀλλὰ φερόμενα ὑπὸ τῶν ἀνέμων τῆς κοσμικῆς αὔρας, διὰ ἐλεημοσύνην ποιῶν τίμια, τὸν κονιορτὸν τῆς γῆς ἐποίησε κονιορτὸν μυρεψοῦ· τῇ εὐλόγῳ χρήσει τῶν δεομένων, τὸ κονιορτῶδες αὐτῶν καὶ ἐσκεδασμένον, μεταβαλὼν εἰς ἀρωματικὴν εὐωδίαν καὶ φίλιον ὄντως Θεοῦ.

Cyrilli. — Myrrha quidem quando consepulta Christo, thus vero quando simul cum ipso resurrexit et divinitatem ejus participavit : et non hisce solis ecclesiastica incensa est anima, verum etiam variis cognitionis contemplationibus; qui enim accurate distinguit, et res etiam obvias minute scrutatur dici possit unguentarius quodammodo esse, cum comminuat et in pulverem odoris suavitatis reducat omnia oracula quæ nunc sponsa dicitur adolevisse. Fortassis vero etiam qui non secundum carnem vivit, sed secundum spiritum, nequaquam corde incrassatus varietatem et omnimodam

Κυρίλλου. — Σμύρνα μὲν, ὅτε συντέθαπται Χριστῷ διὰ τοῦ λιβάνου· λίβανος δὲ, ὅτε συναναστὰς αὐτῷ κεκοινώνηκε τῆς θεότητος αὐτοῦ· καὶ οὐ μόνοις τούτοις ἡ ἐκκλησιαστικὴ τεθυμίασται ψυχὴ, ἀλλὰ καὶ ποικίλοις γνώσεως θεωρήμασιν· ὁ γὰρ ἄκρως διαιρῶν καὶ μέχρι τοῦ τυχόντος λεπτῶς ἐρευνῶν τὰ πράγματα, λέγοιτ' ἂν μυρεψός πως εἶναι, λεπτύνων καὶ εἰς κόνιν ἄγων πάντα τὰ τῆς εὐωδίας λόγια· ἃ νῦν ἡ Νύμφη λέγεται τεθυμίασται. Τάχα δὲ καὶ ὁ μὴ κατὰ σάρκα βιοῦς, ἀλλὰ κατὰ πνεῦμα, μηδαμῶς παχυνθεὶς τὴν καρδίαν τὸ ποικίλον καὶ παντοδαπὸν σῶζον τῆς εὐωδίας, εὐωδίαν ἀπὸ πάντων

Digitized by Google

ποιεῖ τῶν νῦν οὕτως ὀνομαζομένων κονιορτὸν μυρεψοῦ. Λέγει δ' ἄν τις καὶ ὡς ἡ ἁγία καὶ ἐκκλησιαστικὴ ψυχὴ, τὸ τέκνον ποτὲ ἐρήμου Θεοῦ, ἀπὸ συναγωγῆς ἐθνῶν ἀναβαίνει ἀπὸ τῆς ἐρήμου· καταλιποῦσα μὲν δόγματα καὶ λόγους καὶ πράξεις, τὰ ἔρημα Θεοῦ· ἀναβαίνουσα ἐπὶ τὰ τοῦ Θεοῦ.

A odoris servans suavitatem, ex omnibus quæ nunc sunt pulvis nominata facit pulverem unguentarii. Dixerit porro aliquis quomodo sancta et ecclesiastica anima filia quondam desertæ a Deo congregationis gentium, ascendat de deserto, relinquens quidem dogmata et rationes atque opera Deo vacua, ad ea vero quæ Dei sunt ascendens.

ζ', η'. Ἰδοὺ ἡ κλίνη Σαλομών· ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτῆς ἀπὸ δυνατῶν Ἰσραήλ· πάντες κατέχοντες ῥομφαίαν, δεδιδαγμένοι πόλεμον· ἀνὴρ ῥομφαία αὐτοῦ ἐπὶ τὸν μηρὸν αὐτοῦ ἀπὸ θάμβους ἐν νυξίν.

VERS. 7, 8. *Ecce lectus Salomonis : sexaginta potentes in circuitu ejus ex potentibus Israel, omnes tenentes gladium, docti bellum; vir gladius ejus super femur ejus a pavore in noctibus.*

Φίλωνος. — (47) Κλίνην τὸ μνῆμα Χριστοῦ λέγει. Ἑξήκοντα δυνατοὶ, τὸ πλήρωμα τῆς τελειώσεως οἱ τηροῦντες τὸν τάφον· οἱ καὶ τοῦ σεισμοῦ γενομένου, ἐξεθαμβήθησαν καθ' ἣν ἀνέστη ὁ Χριστὸς νύκτα. Δύο δὲ ῥομφαίας ἔχουσιν οἱ τοῦ Χριστοῦ· τὴν μὲν εἴργουσαν τὰ σπερματικὰ, ἥ τίς ἐστιν ἐπὶ μηρῶν, διὰ τὴν τῆς σωφροσύνης ἐγκράτειαν· τὴν δὲ τὰ ψευδῆ διακόπτουσαν δόγματα· ἡ δὲ ῥομφαία, πρὸς τὸ μὴ θαμβεῖσθαι τὸ σκότος.

Philonis. Lectum vocat Christi monumentum. Sexaginta fortes sunt plenitudo perfectionis, qui custodiunt sepulcrum, qui et terræ motu facto exterriti fuerunt ea nocte qua Christus resurrexit. Duo autem gladios habent hi qui sunt Christi : unum quidem seminalia arcentem, qui est super femur propter temperantiæ continentiam, alterum vero falsa dogmata resecantem. Gladius autem adest ne tenebras metuant.

Γρηγορίου. — Μετὰ τὴν ἐπὶ τῷ κάλλει μαρτυρίαν, οἱ φίλοι τοῦ Νυμφίου, καὶ παρασκευασταὶ τοῦ ἁγίου θαλάμου, καὶ τῆς καθαρᾶς Νύμφης προμνήστορες, ὑποδεικνύουσιν αὐτῇ τῆς βασιλικῆς κλίνης τὸ κάλλος ὡς μᾶλλον εἰς ἐπιθυμίαν τὴν Νύμφην ἀγάγοιεν, τῆς θείας τε καὶ ἀχράντου μετ' αὐτοῦ συμβιώσεως. Ὅτι μὲν οὖν ἐκ τῆς ἱστορίας ὁ περὶ τῆς κλίνης λόγος οὐκ ἔστιν, εὔδηλον ἐκ τῶν σωματικῶς περὶ τοῦ Σαλομῶντος ἱστορηθέντων, οὗ καὶ τὰ βασίλεια καὶ τὴν τράπεζαν, καὶ τὰ λοιπὰ, ὁ λόγος ὑπέγραψεν ἀκριβῶς· καινὸν γάρ τι καὶ παρηλλαγμένον περὶ τῆς κλίνης οὐδὲν εἶπεν. Ὥστε ἀνάγκη μὴ παραμεῖναι τῷ γράμματι, ἀλλὰ δι' ἀκριβοῦς κατανοήσεως μεταβαλεῖν τὸν λόγον εἰς πνευματικὴν θεωρίαν, τῆς ὑλικῆς ἐμφάσεως τὸν νοῦν ἀποστήσαντες· ἔοικε τὸ θεῖον κάλλος, ἐν τῷ φοβερῷ τὸ ἐράσμιον ἔχειν, ἀπὸ τῶν ἐναντίων τῷ σωματικῷ κάλλει δεικνύμενον. Ἐπειδὴ γὰρ ἡ ἐμπαθὴς τῶν σωμάτων ἐπιθυμία τοῖς τῆς σαρκὸς μέλεσιν ἐγκαθημένη, καθάπερ τι σύνταγμα λῃστρικὸν ἐνεδρεύει τὸν νοῦν καὶ αἰχμάλωτον ἄγει, πρὸς τὸ ἑαυτῆς βούλημα συναρπάσασα, διὰ τοῦτο ἀκόλουθόν ἐστιν ἐκ τῶν ἐναντίων τῆς σωματικῆς διαθέσεως τὸν θεῖον ἔρωτα γίνεσθαι· ὥστε εἰ ἐκ ταύτης γίνεται λύσις καὶ ἄνεσις καὶ βλακώδης διάθεσις, ἐκεῖ τὴν ἐπὶ φόβον τε καὶ ἀκατάπληκτον ἀνδρείαν, ὕλην τοῦ θείου ἔρωτος γίνεσθαι· τοῦ γὰρ ἀνδρώδους θυμοῦ τὸν τῆς ἡδονῆς λόγον καταπτοήσαντός τε καὶ φυγαδεύσαντος, οὕτω τὸ καθαρὸν τῆς ψυχῆς ἀναφαίνεται κάλλος, μηδενὶ πάθει σωματικῆς ἐπιθυμίας καταῤῥυπούμενον. Οὐκοῦν ἀναγκαίως ἡ νυμφικὴ τοῦ βασιλέως κλίνη, τοῖς ὁπλίταις ἐν κύκλῳ διαλαμβάνεται· ὧν ἡ τοῦ πολεμεῖν ἐμπειρία, καὶ τὸ πρόχειρον ἔχειν ἐπὶ τοῦ μηροῦ τὴν ῥομφαίαν, θάμβος καὶ ἔκπληξιν ἐμποιεῖ τοῖς σκοτεινοῖς λογισμοῖς, τοῖς ἐν νυξί τε καὶ σκοτομήνῃ τοῖς εὐθέσι τῇ

Gregorii. — Post datum de pulchritudine testimonium, amici Sponsi et qui parant thalamum impollutum ac puræ Sponsæ pronubi ostendunt ei regalis lecti pulchritudinem, ut Sponsam majori accendant desiderio divinæ et immaculatæ cum eo vitæ consuetudinis. Atque hunc quidem de lecto sermonem non esse ex historia depromptum, patet ex iis quæ corporaliter de Salomone historiæ mandata sunt, cujus et regalia, et mensam ac reliqua liber Regum accurate descripsit : novi autem et diversi de lecto nihil dixit. Itaque necesse est, non inhærere litteræ, sed per accuratam intelligentiam sermonem hunc ad spiritalem transferre contemplationem, a materiali significatione mentem abducendo; consentaneum est ostendi divinam pulchritudinem in terrore habere quid amabilitatis, ex iis quæ sunt contraria corporeæ pulchritudini. Nam quoniam passionibus obnoxia corporum cupiditas membris carnis insidens, velut quædam prædonum turma menti insidiatur, eam sæpenumero captivam ad suam arripiens voluntatem; propterea est consequens ut divinus amor fiat ex iis quæ sunt contraria corporali cupiditati. Quo fit ut si hujus dux fuerit dissolutio, mollisque et enervata diffusio, illic vehemens et quæ perturbari non potest animi magnitudo sit materia divini amoris; cum enim ira fortis ac virilis insidiantis voluptatis turmas perterruerit, et in fugam verterit, tum apparet pura animæ pulchritudo, nullo motu maculata corporalis cupiditatis. Necessario igitur, nuptialis legis lectus ab armatis circumdatur, quorum belli peritia, eo quod super femur paratum habeant ensem, terrorem affert et stuporem tenebrosis cogitationibus, et iis qui in obscuro insidiantur, et sagittis appetunt rectos corde. Quod enim obscenas voluptates

NOTÆ.

(47) Κλίνην-λέγει, in C. B. Cyrillo tribuuntur; quæ autem sequuntur ab ἑξήκοντα ad τὸ σκότος, sancto Gregorio.

Digitized by Google

delet et perimat, eorum qui lectum ambiunt armatura perspicuum fuerit, et ejus quod est in contextu descriptione, *omnes* enim *periti pugnæ : vir gladius ejus super femur ejus*. Revera enim peritorum est ubi reluctari oportet carni et sanguini, tanquam femori ensem habere accommodatum. Qui ergo temperantiæ gladio accinctus est, hic incorrupto lecto amabilis exsistit, unus ex fortibus Israel, et dignus qui referatur in catalogum sex ginta. Cum autem Israel fiat omnis qui servatur, tanquam mens Deum intelligens; qui enim Deum vident proprie hanc habent denominationem. Proprium est autem istiusmodi nullo sensu aspicere ad peccatum. Ea de causa fit unus lectus regis quidquid servatur. Cum enim sint duodecim tribus Israel, uno quidem de qualibet parte plenitudinis optimatum sumpto, in quinque autem armatos pro numero sensuum hoc uno diviso, duodecim tribus Israel faciunt sexaginta, qui sint una acies, et unus exercitus et unus lectus, id est una Ecclesia et populus unus, et una Sponsa, fient omnes sub uno tribuno militum, et concionatore et Sponso compacti et concinnati in unam corporis conjunctionem, in femoribus ense accincti, sive unicuique sensui accommodatum sibi gladium ad percellendas contrarias cogitationes protendentes. Tot itaque divinam in sensibus induti panopliam cingunt lectum regis, proprium nempe cor in quo Sponsus requiescit : per lectum enim requiem designat, quam tamquam armati custodiunt sine passione et cum puritate, sic ut dæmonas in tenebris ac noctibus insidiantes exterreant. Lectus porro aliter est notitia Dei, in qua quiescit is qui ad ipsum accedit.

A καρδίᾳ λαχῶσι καὶ τοξεύουσιν· ὅτι γὰρ ἀναιρετικὴ τῶν ῥυπαρῶν ἡδονῶν λογισμῶν ἐστιν, ἡ τῶν περιεστοχισμένων τῇ κλίνῃ ἐξόπλισις, δῆλον ἂν γένοιτο διὰ τῆς ὑπογραφῆς τοῦ λόγου· *Πάντες γὰρ δεδιδαγμένοι πόλεμον, ἀνὴρ καὶ ἡ ῥομφαία αὐτοῦ ἐπὶ τὸν μηρὸν αὐτοῦ*. Ἀληθῶς γὰρ εἰδότων ἐστὶν, ὅπως ἀντιστρατεύεσθαι χρὴ τῇ σαρκί τε καὶ τῷ αἵματι· ἐν τῷ τὴν ῥομφαίαν τῷ μηρῷ ἔχειν ἐφηρμοσμένην. Ὁ τοίνυν τῇ τῆς σωφροσύνης ῥομφαίᾳ διεζωσμένος, οὗτός ἐστιν ὁ τῇ ἀφθάρτῳ κλίνῃ ἐράσμιος, εἷς τῶν δυνατῶν Ἰσραὴλ, καὶ τοῦ λόγου τῶν ἑξήκοντα ἄξιος. Ἐπειδὴ δὲ Ἰσραὴλ γίνεται ἅπας ὁ σωζόμενος, ἤτοι νοῦς ὁρῶν τὸν Θεόν· ὅσοι γὰρ βλέπουσι τὸν Θεὸν ἐκ τῆς ἐνεργείας, κυρίως τῇ προσηγορίᾳ ταύτῃ κατονομάζονται. Ἴδιον δὲ τοῦ τοιούτου, B τὸ μηδενὶ τῶν αἰσθητηρίων πρὸς ἁμαρτίαν βλέπειν· τούτου χάριν μία κλίνη λέγεται γίνεσθαι τοῦ βασιλέως πᾶν τὸ σωζόμενον· δώδεκα γὰρ τῶν τοῦ Ἰσραὴλ φυλῶν ὄντων, ἑνὸς μὲν ἀφ' ἑκάστου μέρους λαμβανομένου τοῦ τῶν ἀριστερῶν πληρώματος· εἰς πέντε δὲ ὁπλίτας κατὰ τὸν ἀριθμὸν τῶν αἰσθήσεων, τοῦ ἑνὸς τούτου μεριζομένου, αἱ δώδεκα φυλαὶ τοῦ Ἰσραὴλ ποιοῦσιν ἑξήκοντα· οἵ τινες μία παράταξις, καὶ στρατὸς εἷς· καὶ μία κλίνη, τουτέστιν Ἐκκλησία μία, καὶ λαὸς, καὶ Νύμφη μία οἱ πάντες γενήσονται, ὑφ' ἑνὶ ταξιάρχῃ καὶ ἐκκλησιαστῇ καὶ Νυμφίῳ πρὸς ἑνὸς σώματος κοινωνίαν προσαρμοζόμενοι, διὰ τῶν μηρῶν τὴν ῥομφαίαν προβαλλόμενοι· εἶτ' οὖν ἑκάστη αἰσθήσει τὴν πρόσφορον ἑαυτῇ ῥομφαίαν εἰς C κατάπληξιν τῶν ἐναντίων λογισμῶν προβαλλόμενοι. Τοσοῦτοι τοίνυν οἱ τὴν θείαν ἐν ταῖς αἰσθήσεσιν ἐνδυσάμενοι πανοπλίαν, κυκλοῦντες τοῦ βασιλέως τὴν ἰδίαν δηλονότι καρδίαν, ἐν ᾗ ἀναπαύεται ὁ Νυμφίος· διὰ γὰρ τῆς κλίνης τὴν ἀνάπαυσιν δηλοῖ, ἣν ὁπλῖται φυλάττουσιν ἐν ἀπαθείᾳ καὶ καθαρότητι· ὡς ἐκθαμβεῖν τοὺς ἐν σκότῳ καὶ νυξὶν ἐπηρεάζοντας δαίμονας· κλίνη δὲ ἄλλως ἐπίγνωσις Θεοῦ, δι' ἧς ἐπαναπαύεται τοῖς πρὸς αὐτὸν ἐγγίζουσι.

Nili. — Lectum dixit corpus Dominicum, sexaginta vero fortes, sive quis angelicas dicat virtutes in circuitu hominis Dominici, juxta illud : « Accesserunt et ministrabant illi [83]. » Et : « Angelis mandatum est de te [84]; » sive animas sanctorum, eo quod doctæ sint ad prælium adversus inimicum, sic nominatas, non aberraverit a congruo ; qui et gladium super femur habent, nam et qui agendi facultatem oratione ornant, et passiones ratione D mortificant, jure merito regem cingunt. Sexaginta porro numero appellantur perfecti per omnia effecti qui et constanter ac fortiter vixerunt. Cubus enim et quadratus numerus sexaginta, æqualis omnibus suis undique partibus et inconcussus, ex quatuor quindenis, et sex decadibus, et duodecim quinariis et viginti triadibus constans; atque ex his suam habens firmitatem ac densitatem. Ideo enim qui tales sunt etiam ex fortibus Israel electi sunt tamquam fortibus fortiores. Fortassis vero etiam qui nunc Ecclesiam defendunt et verbo et operibus, pro corpore Christi decertantes in circuitu

Νείλου. — Κλίνην εἴρηκε τὸ Κυριακὸν σῶμα· ἑξήκοντα δὲ δυνατοὺς, εἴτε τις τὰς ἁγίας ἐρεῖ δυνάμεις κύκλῳ τοῦ Κυριακοῦ ἀνθρώπου, κατὰ τὸ, « Προσῆλθον καὶ διηκόνουν αὐτῷ· » καὶ, « Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ· » εἴτε τὰς τῶν ἁγίων ψυχὰς τὰς διὰ τὸ δεδιδάχθαι τὸν πόλεμον τὸν κατὰ τοῦ ἐχθροῦ οὕτως ὠνομασμένας, οὐχ ἁμάρτῃ τοῦ προσήκοντος· οἵ τινες ῥομφαίαν ἐπὶ τοῦ μηροῦ κατέχουσιν· οἱ γὰρ καὶ τὸ πρακτικὸν λόγῳ κοσμήσαντες, καὶ τὸ παθητικὸν λόγῳ νεκρώσαντες, εὐλόγως κυκλοῦσι τὸν βασιλέα. Τῷ ἑξήκοντα δὲ προσαγορεύονται ἀριθμῷ, τέλειοι κατὰ πάντα γεγενημένοι, καὶ βεβηκότες ἑδραίως καὶ παγίως· κύβος γὰρ καὶ τετράγωνος ἀριθμὸς, ὁ ἑξήκοντα, ἴσος πᾶσι τοῖς ἑαυτοῦ πάντοθεν μέρεσι· καὶ ἀσάλευτος, ἐκ τεσσάρων πέντε καὶ δεκάδων, καὶ ἓξ καὶ δεκάδων, καὶ πεντάδων δὲ καὶ δύο, καὶ τριάδων εἴκοσι συνεστὼς, καὶ τούτων ἔχων τὸ εἰρημένον πάγιον. Διὰ τοῦτο γὰρ ὄντες τοιοῦτοι καὶ ἀπὸ δυνατῶν Ἰσραὴλ ἐξελέγησαν ὡς δυνατῶν δυνατώτεροι· τάχα δὲ καὶ οἱ νῦν προασπίζοντες τῆς Ἐκκλησίας, καὶ λόγῳ καὶ πράξεσιν

[83] Matth. IX, 21. [84] Psal. XC, 21.

Digitized by Google

ὑπερμαχοῦντες τοῦ σώματος Χριστοῦ, κύκλῳ εἰσὶ τῆς κλίνης τοῦ Σαλομών· διὰ μὲν τοῦ ἀνθίστασθαι τῷ λόγῳ τοῖς αἱρετικοῖς, ἐν τῇ χειρὶ κατέχοντες ῥομφαίαν· διὰ δὲ τοῦ σωφρόνως καὶ ἐγκρατῶς βιοῦν, ἐπὶ μηροῦ τὴν ῥομφαίαν φοροῦντες διὰ τοὺς νυκτερινοὺς φόβους· Ἀνὴρ γάρ, φησὶ, *ῥομφαία αὐτοῦ ἐπὶ τὸν μηρὸν αὐτοῦ ἀπὸ θάμβους ἐν νυξίν*· οὐ μόνον γὰρ τοὺς φανεροὺς ἐχθροὺς ἔβαλλον τοῖς τῆς ἀληθείας ἐλέγχοις, ἀλλὰ καὶ τὰς λαθραίους δεδοικότες ἐπηρείας, διὰ τοὺς ἐν σκοτομήνῃ τοξεύοντας, καὶ ἐν νυκτὶ ἔμενον ὁπλοφοροῦντες, τὰς ἐφεδρείας τῶν ἐπιβούλων ὑφορώμενοι.

A sunt lecti Salomonis. Quia verbo quidem hæreticis resistunt in manu gladios habentes : at quia temperanter ac continenter vivunt super femur gladium ferentes contra timores nocturnos. *Vir* enim, inquit, *gladius ejus super femur ejus a parore in noctibus.* Non solum enim manifestos inimicos ejecerunt argumentis veritatis, verum etiam clandestinos insultus cum metuerent, propter eos qui sagittas ejaculantur nocte illuni, etiam in nocte manserunt armis induti, insidiantium insultus suspicantes.

θ', ι'. *Φορεῖον ἐποίησεν ἑαυτῷ ὁ βασιλεὺς Σαλομὼν, ἀπὸ ξύλων τοῦ Λιβάνου· στύλους αὐτοῦ ἐποίησεν ἀργύριον, καὶ ἀνάκλιτον αὐτοῦ χρυσίον· ἐπίβασις αὐτοῦ πορφύρα, ἐντὸς αὐτοῦ λιθόστρωτον· ἀγάπην ἀπὸ θυγατέρων Ἰερουσαλήμ.*

Θεοφίλου. — Ξύλον τοῦ Λιβάνου, Ῥοὺθ ἡ Μωαβῖτις, ἐξ οὗ Ἰεσσαί· φορεῖον τοίνυν ἐστὶ τὸ σῶμα τὸ Κυριακόν.

Γρηγορίου. — Ὅτι μὲν οὖν ἐν πολλοῖς Σαλομὼν, εἰς τύπον τοῦ ἀληθινοῦ βασιλέως παραλαμβάνεται, δῆλον καὶ τὸ περὶ τοῦ Κυρίου μυστήριον ἐν ἐκείνῳ τῷ προσώπῳ διαγράφεται· διὰ τῆς τοῦ φορείου τοίνυν κατασκευῆς, ἡ περὶ ἡμῶν οἰκονομία τοῦ Κυρίου διασημαίνεται· πολυτρόπως γὰρ ὁ Θεὸς ἐν τοῖς ἀξίοις ἑαυτοῦ γίνεται· καθὼς ἂν ἕκαστος ἔχῃ δυνάμεώς τε καὶ ἀξίας, οὕτως ἐν ἑκάστῳ γινόμενος· ἢ ἵππος εὐήνιος δεχόμενος ἐφ' ἑαυτοῦ τὸν ἀγαθὸν ἀναβάτην· οὕτως οὖν καὶ ὁ τὸν Θεὸν ἑαυτῷ φέρων, φορεῖον ἂν εἰκότως τοῦ εἰρηνικοῦ βασιλέως ὀνομάζοιτο· Πολλαχοῦ δὲ πάλιν ὁ Λίβανος ἐν τῇ Γραφῇ τὴν ἀντικειμένην ἐνδείκνυται δύναμιν· ὡς ἐν τῷ, *Συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου, καὶ λεπτυνεῖ αὐτὰς*, καὶ τὰ ἑξῆς. Δηλοῦντος τοῦ λόγου, ὅτι οὐ μόνον τὰ ἐκφυέντα παρὰ τῆς ἀντικειμένης δυνάμεως κακὰ, ἀλλὰ καὶ αὐτὸ τὸ ὄρος, ἡ πρώτη τοῦ κακοῦ ῥίζα, τὸ ὑποτρέφον τῶν τοιούτων κέδρων τὴν ὕλην εἰς τὸ μὴ ὂν περιστήσεται. Οὐκοῦν ἡμεῖς ἦμέν ποτε τοῦ Λιβάνου ξύλα, ἕως ἂν ἐκείνῳ ἦμεν ἐριζωμένοι, διά τε τοῦ πονηροῦ βίου καὶ τῆς τῶν εἰδώλων ἀπάτης· ἀλλ' ἐπειδὴ ἐκεῖθεν ὑπὸ τῆς λογικῆς ἀξίνης ἐτμήθημεν, καὶ ἐν ταῖς τοῦ τεχνίτου χερσὶν ἐγενόμεθα, φορεῖον ἡμᾶς ἑαυτοῦ ἐποίησε, μεταστοιχειώσας τοῦ ξύλου τὴν φύσιν, διὰ τῆς παλιγγενεσίας εἰς ἀργύριον καὶ χρυσίον, καὶ εἰς εὐανθῆ πορφύραν, καὶ εἰς τὰς τῶν χαρισμάτων διανομάς· Ὧ *μὲν γὰρ δίδοται*, κατὰ τὸν Ἀπόστολον, *λόγος σοφίας, ἄλλῳ χαρίσματα προφητείας*, ἄλλῳ δὲ ἄλλο τι τῶν ἐνεργημάτων, πρὸς ὃ πέφυκέ τε καὶ δύναται ἕκαστος τὴν χάριν δέξασθαι· ἢ ὀφθαλμὸς τοῦ σώματος τῆς Ἐκκλησίας γενόμενος, ἢ εἰς χεῖρας τασσόμενος, ἢ ἀντὶ ποδὸς ὑποστηρίζων· οὕτω καὶ ἐν τῇ τοῦ φορείου κατασκευῇ, ὁ μέν τις στύλος, ὁ δὲ ἐπίβασις γίνεται, ἕτερος τὸ πρὸς τῇ κεφαλῇ μέρος, ὃ ἀνάκλιτον φησίν. Εἰσὶ τοίνυν ἀργύριον μὲν, οἱ στύλοι τοῦ φορείου· αἱ δὲ τούτων βάσεις, πορφύρα· ἐκ χρυσίου δὲ τὸ ἀνάκλιτον,

Vers. 9, 10. *Ferculum fecit sibi rex Salomon ex lignis Libani. Columnas ejus fecit argentum et reclinatorium ejus aureum ; ascensus ejus purpura, intimum ejus lapidibus stratum, charitatem a filiabus Jerusalem.*

Theophili. — Lignum Libani est Ruth Moabitis quæ peperit Jobed et Jesse. Ferculum igitur est corpus Dominicum.

Gregorii. — In multis quidem regem Salomonem in typum veri regis assumi manifestum est, ac Domini mysterium in ipsius persona describi. Per ferculi igitur constructionem de nobis Domini dispensatio significatur ; multis enim modis est Deus in eis qui sunt se digni, prout fiet uniuscujusque facultas et dignitas, sic in unoquoque exsistens. Fit enim aliquis quidem locus Dei, alius vero domus, alius autem sedes, et alius scabellum. Est etiam aliquis qui effectus sit currus, vel equus qui habenis facile regitur, suscipiens bonum suum sessorem. Sic igitur etiam qui Deum in seipso fert, jure merito ferculum pacifici regis nominetur. Multis rursum locis Libanus in Scriptura indicat adversariam potestatem ut in isto : « Conteret Dominus cedros Libani et comminuet eas [55], etc. » Per Libanum significante sermone, quod non solum mala quæ orta sunt ex adversaria potestate, sed etiam ipse mons prima mali radix qui clam fovet ejusmodi cedrorum sylvam ad nihilum redigetur. Nos igitur fuimus aliquando ligna Libani, dum in illo radices ageremus per malam vitam et per fraudem dæmonum : sed postquam illinc per rationalem securim excisi sumus et fuimus in manibus artificis, is nos suum fecit ferculum, transmutata ligni natura per regenerationem in argentum et aurum, et florentem purpuram, et in splendores gemmarum, nimirum in distributiones gratiarum. Nam *alii quidem*, secundum Apostolum, *datur sermo sapientiæ, alii donum prophetiæ* [56] ; alii vero aliqua alia operationum, prout est unusquisque aptus natura et potest suscipere gratiam ; vel oculus corporis Ecclesiæ factus, vel manuum tenens locum, vel loco pedis fulciens ac stabiliens. Ita etiam in ferculi constructione alius quidem est columna, alius vero ascensus, alius vero est ea pars quæ est ad caput, quod vocavit reclinatorium,

[55] Psal. xxviii, 5, 6. [56] II Cor. xii, 8.

Digitized by Google

in quo caput suum Sponsus, reclinat : gemmis autem et lapidibus pretiosis variatur quidquid est intus. Itaque columnæ quidem intelligendæ pro Ecclesiæ columnis, quibus plane purum et igne examinatum argentum est eloquium regni ad sublimem evehens vitæ rationem. Præcipuum enim regni indicium censetur esse purpura : principatum autem obtinens facultas in qua caput suum reclinet is qui construxit ferculum, est purorum dogmatum aurum. Quæcunque autem latent et non apparent decorantur pura gemmarum conscientia, quibus omnibus constat charitas filiarum Jerusalem. Si quis autem velit ferculum quidem dicere universam Ecclesiam, dividat autem ex differentiis operationum in personas aliquas partes ferculi, sic quoque est facillimum unicuique ordini eorum qui sunt in Ecclesia adaptare partes ferculi : « Posuit enim Deus in Ecclesia primum apostolos, secundum prophetas [57], etc. » Ita ut per hæc nomina quæ ad opificium ferculi pertinent, sacerdotes ac doctores intelligantur, et venerandam esse virginitatem quæ in ferculo virtutum, puritate tanquam radiis quibusdam pretiosorum lapidum coruscet : ac per vitæ puritatem supernæ Jerusalem filias ostendi, in quibus Dei charitas operatur.

A ἐν ᾧ τὴν κεφαλὴν αὐτοῦ κλίνει ὁ Νυμφίος· τοῖς δὲ τιμίοις λίθοις τὸ ἔνδον ἅπαν καταπεποίκιλται. Οὐκοῦν στύλους μὲν νοητέον, τῆς Ἐκκλησίας τοὺς στύλους· οἷς ἀκριβῶς ἀργύριον καθαρὸν καὶ πεπυρωμένον ὁ λόγος ἐστὶν ὁ τῆς βασιλείας, ἐν τῷ ὑψηλῷ τῆς πολιτείας ἐπιβεβηκώς. Ἐξαίρετον γὰρ γνώρισμα τῆς βασιλείας ἡ πορφύρα νομίζεται· τὸ δὲ ἡγεμονικὸν αὐτῶν ἐν ᾧ τὴν κεφαλὴν αὐτοῦ κλίνει ὁ τὸ φορεῖον κατασκευάσας, τὸ τῶν καθαρῶν δογμάτων χρυσίον ἐστίν· ὅσα δὲ ἀφανῆ τε καὶ κρύφια τῇ καθαρᾷ συνειδήσει τῶν τιμίων λίθων ἐνωραΐζεται· δι' ὧν ἁπάντων, ἀγάπη ἀπὸ τῶν θυγατέρων Ἰερουσαλὴμ συνίσταται. Εἰ δὲ βούλοιτό τις, φορεῖον μὲν πᾶσαν λέγει τὴν Ἐκκλησίαν, καταμερίζει δὲ καὶ τὰς τῶν ἐνεργειῶν διαφορὰς εἰς πρόσωπά τινα τοῦ φορείου τὰ B μέλη, πολλὴν καὶ οὕτως εὐχολίαν ὁ λόγος ἔχει, ἑκάστῳ τάγματι τῶν κατὰ τὴν Ἐκκλησίαν τεταγμένων, ἐφαρμόσαι τοῦ φορείου τὰ μέρη· « Ἔθετο γὰρ ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, » καὶ τὰ ἑξῆς· ὡς διὰ τῶν ὀνομάτων τούτων, τῶν πρὸς τὴν τοῦ φορείου κατασκευὴν συντελούντων, ἱερέας νοεῖσθαι, καὶ διδασκάλους, καὶ τὴν σεμνὴν παρθενίαν, τὴν ἐντὸς τοῦ φορείου τῇ καθαρότητι τῶν αὐγῶν, οἷόν τισι λίθων αὐγαῖς ἐναστράπτουσαν· καὶ διὰ τῆς τοῦ βίου καθαρότητος τῆς ἄνω Ἰερουσαλὴμ θυγατέρας δείκνυσθαι, ἐν αἷς ἡ τοῦ Θεοῦ ἀγάπη ἐνεργὸς γίνεται.

Nili. — Ferculum est gestamen sedi simile quod excipit sedentem : hoc autem fortasse Paulus est « vas electionis [58]. » Etenim thronum ipsum vocat sapientia alibi dicens : « Aderam cum secerneret suam sedem super ventos [59]. » Super ventos autem secretus fuit per multitudinem tentationum ac periculorum, et quia ferebat semper ac referebat, vel etiam quia levibus pedibus percurrebat universum orbem studio prædicationis. Ferculum igitur hic est; mentem quidem habens aureum reclinatorium in quo Sponsus requiescit, sermonem vero columnas argenti. Verbo enim apostolico firmatur ecclesiastica prædicatio. Columnæ igitur sunt sermones propter firmitatem et immutabilitatem; argentum vero propter probationem et indeficientiam Apostoli. Quin et ascensus huic est purpura : nam qui per ejus sermones incedunt ad regnum cœlorum perveniunt, præ dignitate quasi purpurati incedentes, D ac cum Paulo dicentes : « Nostra autem conversatio in cœlis est [60]. » Et intimum ejus lapidibus constratum, est pretiosa virtutum et æqualis in arcano cordis affectio, quas, quandoquidem fundamentum est Christus, tamquam lapides pretiosos huic superædificat : quando vero est gressus, hunc ferculi pavimento varium et floridissimum regiis pedibus præparat ascensum et secundum apostolicam traditionem viventibus facilem et planum profectum operatur. Vel etiam ineffabilem et obscurum designat. Nam ejus qui sibi placeat vitæ institutum absconditum esse cupit. Unde etiam per hoc quod

Νείλου. — Τὸ φορεῖον, σκεῦος θρόνῳ παραπλήσιον δεχόμενον τὸν καθεζόμενον· τοῦτο δὲ τάχα ὁ Παῦλός ἐστι τὸ, « Σκεῦος τῆς ἐκλογῆς. » Καὶ γὰρ θρόνον αὐτὸν καλεῖ ἡ σοφία λέγουσα ἀλλαχοῦ· « Συμπαρήμην ἡνίκα ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων· » ἐπ' ἀνέμων δὲ ἀφωρίσθη, διὰ τὸ πλῆθος τῶν πειρασμῶν καὶ τῶν περιστάσεων· ἢ καὶ διὰ τὸ κούφοις ποσὶ περιδραμεῖν τὴν οἰκουμένην τῇ σπουδῇ τοῦ κηρύγματος. Φορεῖον οὖν ἐστιν οὗτος, τὸν μὲν νοῦν ἔχων ἀνάκλιτον χρύσεον, ἐφ' οὗ ἀναπαύεται ὁ Νυμφίος· τὸν δὲ λόγον στύλους ἀργυρίου· τῷ γὰρ ἀποστολικῷ λόγῳ στηρίζεται τὸ κήρυγμα τὸ ἐκκλησιαστικόν. Στύλοι οὖν οἱ λόγοι, διὰ τὸ ἑδραῖον καὶ ἀμετάθετον· ἀργύριον δὲ διὰ τὸ δόκιμον καὶ ἀνεπίληπτον τοῦ Ἀποστόλου· καὶ ἡ ἐπίβασις δὲ τούτων ἐστὶ πορφύρα· οἱ γὰρ διὰ τῶν τούτου λόγων ὁδεύοντες εἰς βασιλείαν φθάνουσιν οὐρανῶν, τῷ ἀξιώματι C ἐπιβαίνοντες ὡς πορφύρα, καὶ λέγοντες μετὰ τοῦ Παύλου, « Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανῷ ὑπάρχει· » καὶ τὸ ἐντὸς αὐτοῦ λιθόστρωτον, ἡ τιμία τῶν ἀρετῶν καὶ καλὴ ἐν ἀπορρήτῳ διάθεσις· ἃς ὅταν μὲν θεμέλιός ἐστιν ὁ Χριστὸς, ὡς λίθους τιμίους τούτῳ ἐποικοδομεῖ· ὅταν δὲ βάσις τῷ τοῦ φορείου ἐδάφει ψηφολογῇ, ποικίλην καὶ εὐανθεστάτην τοῖς βασιλικοῖς ποσὶ κατασκευάζει τὴν ἐπίβασιν· καὶ τοῖς πολιτευομένοις κατὰ τὴν ἀποστολικὴν παράδοσιν, εὐμαρῆ καὶ λείαν τὴν προκοπὴν ἐργαζόμενος· ἢ τάχα καὶ τὸ ἀνεπίφαντον καὶ ἀτράγῳδον δηλοῖ· τὴν γὰρ τοῦ ἐναρέτου πολιτείαν κρυφαίαν εἶναι βούλεται· ὅθεν καὶ διὰ τοῦ ἐντὸς εἰπεῖν, τὸ ἀδημοσίευ-

[57] II Cor. xxi, 20. [58] Act. ix, 15. [59] Prov. viii, 27. [60] Philipp. iii, 20.

Digitized by Google

τον ἐδήλωσε τῆς ἀρετῆς· καὶ ἀγάπην δὲ συγκατασκευάσθαι φησὶ τῇ τοῦ φορείου κατασκευῇ· χωρὶς γὰρ ταύτης οὐδὲν τῶν λοιπῶν ἀρετῶν ὄφελος. Ἀπὸ ξύλων δὲ τοῦ Λιβάνου ἐστὶ τὸ φορεῖον ἐκ τῶν κατὰ σάρκα συγγενῶν αὐτοῦ Ἰσραηλιτῶν· τούτους γὰρ ὁ Λίβανος σημαίνει.

A dixit *intimum*, virtutem minime in vulgus publicandam esse significavit. Quin et charitatem simul cum ferculi structura exstructam esse ait : nam sine hac cæterarum virtutum nulla est utilitas. Ex lignis porro Libani est ferculum, ex iis, inquam, qui secundum carnem cognati sunt Israelitarum : hos enim Libanus significat.

Φορεῖον (48) Σαλομών, οἱ ἅγιοι ἐν οἷς Χριστὸς ἀναπαύεται· ξύλα δὲ Λιβάνου οἱ ἀπὸ Ἰσραὴλ τροπικῶς. Ἀλλ' ὅταν μὲν, « Συντρίβει Κύριος τὰς κέδρους τοῦ Λιβάνου καὶ λεπτύνει αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον, » περὶ τῶν μὴ τηρησάντων λέγει τὴν θεοσέβειαν ἐν ᾗ κατεφυτεύθησαν· περὶ ὧν καὶ Ἡσαΐας· « Ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται· » ὅταν δὲ διὰ τὴν τοῦ ναοῦ κατασκευὴν λέγει τῷ Χειρὰμ B ὁ Σαλομών, « Καὶ νῦν ἔντειλαι, καὶ κοψάτωσάν μοι ξύλα τοῦ Λιβάνου, » περὶ τῶν ἀναφερομένων ὁ λόγος ἐπὶ τὴν πνευματικὴν ἐκ λίθων ζώντων οἰκοδομήν, τοῖς ζῶσι λίθοις ἀναλογούντων ξύλων· ὡς δὲ λόγῳ κεκοσμημένοι ἀργύριον λέγονται. Εἰσὶ δὲ καὶ ἀνάκλιτον τοῦ ἀναπαυομένου λόγου, καὶ ἔχοντος ποῦ τὴν κεφαλὴν κλῖναι· τὸ δὲ χρυσίον ὁ νοῦς. Ὀπηνίκα δὲ τυχὸν ὁ Παῦλος ἀπὸ τῶν ἐν ταῖς περιστάσεσι καμάτων μὴ νικηθῇ, οἱονεί τινι βαφῇ ἑαυτῷ πορίζεται νηχόμενος· πρέπουσαν πορφύραν τῷ ἐν αὐτῷ βασιλεῖ λόγῳ ἐντρυφῶντι τῇ τῶν ἀποστόλων περὶ τὰς περιστάσεις ὑπομονῇ· τὸ δὲ ἐν τοῖς τοῦ φορείου λιθόστρωτον ἔστρωται, ἐξ ὧν ἕκαστος ἑαυτῷ συνάγει λίθων τιμίων ἐποικοδομῶν χρυσὸν ἄργυρον καὶ λίθους τιμίους.

Philonis. — Ferculum Salomonis sunt sancti, in quibus Christus requiescit, ligna vero Libani Israelitæ, per figuram. Sed quandoquidem : « Confringet Dominus cedros Libani et comminuet eas tanquam vitulum Libani [61], de iis qui non servant religionem in qua plantati fuerant. De quibus etiam Isaias ait : « Libanus autem cum excelsis Cedar [62]. » Quando autem propter templi fabricam dicit ad Chiram Salomon : « Et nunc manda, et cædant mihi ligna de Libano [62], » sermo est de iis quæ ad ædificium spirituale ex vivis lapidibus referentur ligna vivis lapidibus proportionata. Sicut autem ratione ornati argentum dicuntur : quin etiam sunt reclinatorium requiescentis Verbi et habentis ubi caput reclinet : aurum autem mens est. Quando autem forte Paulus ne ab æstu in periculis vinceretur, quasi tinctura quadam imbutus comparat sibi purpuram congruentem ad ascensum eorum quæ in se sunt Regi Verbo delicianti in patientia apostolorum in periculis. Internum autem ferculi lapidibus stratum, e quibus unusquisque congregat sibi ad ædificium aurum, argentum et lapides pretiosos.

C

Κυρίλλου. — Ἡ πνευματικὴ δὲ συνάφεια νοείσθω χρυσίον, ἡ τιμία καὶ θεῖα· καὶ τὴν κατὰ τὴν ἔρημον γὰρ κιβωτὸν ἔσωθεν καὶ ἔξωθεν, χρυσίον ὑπέλῃφεν εἰς ἐμφάνειαν τῆς θείας ἑνώσεως· ἐπιβαίνει δὲ πορφύρα τῷ πλήθει τῶν εἰς βασιλείαν κληθέντων. Ἐπ' ἂν δέ τις πιστεύσῃ, δέχεται τῇ καρδίᾳ Χριστὸν, ὅς ἐστι τίμιος μαργαρίτης· ἀλλὰ καὶ τὸ φορεῖόν φησιν ἐκ τῶν θυγατέρων πεποίηται τῆς Ἱερουσαλὴμ διὰ μόνην ἀγάπην· οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν μονογενῆ αὐτοῦ ἀπέστειλεν Υἱὸν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον.

Cyrilli. — Spiritalis porro conjunctio aurum intelligatur, utpote pretiosa et divina. Etenim in deserto arcam intus et foris aurum excipiebat, ad manifestationem divinæ unionis. Supervenit vero purpura multitudini eorum qui ad regnum vocati sunt. Quando autem quis credit, corde Christum accipit, qui est margarita pretiosa : sed et ferculum, inquit, ex filiabus factum Jerusalem, per solam charitatem : « Sic enim Deus dilexit mundum, ut Filium suum unigenitum daret ; ut omnis qui credit in eum non percat, sed habeat vitam æternam [64]. »

ιά'. *Ἐξέλθετε καὶ ἴδετε, θυγατέρες Σιὼν, ἐν τῷ βασιλεῖ Σαλομὼν, ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ, καὶ ἐν ἡμέρᾳ εὐφροσύνης καρδίας αὐτοῦ.* D

Vers. 11. *Filiæ Sion, egredimini et intuemini in regem Salomonem, in corona qua coronavit eum mater ejus, in die desponsationis illius, et in die lætitiæ cordis ejus.*

Κυρίλλου. — Ἐξ ἐθνῶν Ἐκκλησία, φησὶ τὸ, Ἐξέλθετε καὶ ἴδετε· ἡμέραν δὲ νυμφεύσεως, τὴν ἡμέραν τοῦ πάθους καλεῖ· καθ' ἣν ἐνυμφεύσατο τὴν Ἐκκλησίαν διὰ τοῦ αἵματος αὐτοῦ.

Cyrilli. — Quæ ex gentibus est Ecclesia ait illud : Egredimini et intuemini, diem autem desponsationis vocat diem passionis, in qua suo sanguine Ecclesiam sibi desponsavit.

Φίλωνος. — Ἐξέλθετε, φησὶ, τῆς κακίας τοῦ νόμου· ἴδετε Χριστὸν καὶ τὸν ἐξ ἀκανθῶν στέφανον ὃν ἐπέθηκεν αὐτῷ ἡ Συναγωγὴ, ἐξ ἧς τὸ κατὰ σάρκα

Philonis. — Egredimini, inquit, a malitia legis, intuemini Christum ac spineam coronam, quam imposuit ei Synagoga, ex qua secundum carnem

[61] Psal., xxviii, 6. [62] Isa. x, 34. [63] III, Reg. v, 6. [64] Joan. vii, 16.

NOTÆ.

(48) Φορεῖον Σαλομών — λίθους τιμίους sunt Philonis in C. B.

Digitized by Google

Christus. Dies autem lætitiæ, pascha est quando dixit : « Desiderio desideravi hoc pascha manducare vobiscum[66] ».

Gregorii. — Hic sermo continet exhortationem a Sponsa ad filias Sion, ut a carnalibus exeant ; quæ intelligi possint animæ salvandorum. Quousque tandem, inquit, intra vitæ speluncam concludimini? Progredimini extra naturæ velamenta, et admirandum hoc spectaculum aspicite, factæ filiæ Sion, ita ut ab excelsa specula (sic enim Sion interpretatur) possitis videre Sponsum gestantem coronam. Est autem corona ipsius Ecclesia vivis et animatis lapidibus caput ejus undique circumdans. Coronam autem hæc charitas connexuit, quam sive quis dilectionem, sive matrem appellet, non aberrabit. « Deus enim est charitas, » ut Joannes ait[67]. Nullum autem in Deo discrimen dicitur ; neque enim masculus, neque femina numen est ; quomodo enim? cum nec in nobis hominibus hoc perpetuo permansurum sit? Sed quando in Christo omnes unum efficimur, signa discriminis hujus una cum toto veteri homine exuemus. Atque in Evangelio quidam pater filio nuptias facere dicitur[68] : et propheta dicit, « Quia posuisti super caput ejus coronam[69] ; » hic de matre ait quod imposuit Sponso coronam. Quia igitur unæ tantum nuptiæ sunt et una Sponsa, et ab uno corona Sponso imponitur, omnino nihil discriminis est, sive quis Dei Filium unigenam Deum vocet, sive Filium dilectionis ejus, cum eadem potestas utroque nomine significata exornet ipsum ut Sponsum ad cohabitationem nostram. Atqui hac ex corona voluptatem eum capere ait Sponsa mirifice gaudentem ornatu illo sponsalitio. Gratia enim revera conjugem suam faciens Ecclesiam, sibique adaptans et virtutibus quæ in ea eximiæ sunt redimitus lætitia afficitur.

Nili. — Quis quidem hæc dicat, non liquet : fortassis autem amici Sponsi : Verum quisquis fuerit, eos qui ex gentibus sunt vocat : Sion enim horum mater est quæ Christi legem germinavit. Prior enim lex a Sina est, posterior vero ex Sion. Cum igitur in tenebris et umbra mortis sederent gentes, invitat illas fortasse qui hæc dixit propheta dicens : « Populus sedens in tenebris[70]. » *Exite et videte.* Quid? Subdit admirans audax facinus *in corona qua coronavit ipsum mater sua in die desponsationis suæ.* Dies autem desponsationis Christi et dies lætitiæ cordis sui erat dies crucis in qua Ecclesiam ex gentibus accepit tanquam Sponsam sibi per prophetas desponsatam. Videns igitur propheta Synagogam creberrimis affectam beneficiis justas vices Christo non reddere, sed capiti ejus spineam imponere coronam, tali facinore obstupefactus ait : *Egredimini et intuemini in regem Salomonem in corona qua coronavit eum mater ejus.* Vocat autem Christi matrem,

Χριστός· Ἡμέρα μία χαρᾶς, τὸ Πάσχα ἐστὶν, ἐν ᾧ ἔφη « Ἐπιθυμίᾳ ἐπεθύμησα τὸ πάσχα τοῦτο φαγεῖν μεθ' ὑμῶν. »

Γρηγορίου. — Προτροπὴν ὁ λόγος οὗτος περιέχει πρὸς τὰς θυγατέρας Ἱερουσαλὴμ παρὰ τῆς Νύμφης τῶν σαρκικῶν ἐξελθεῖν, αἵ τινες νοοῖντο ἂν καὶ τῶν σωζομένων ψυχαί. Ἕως πότε, φησὶν, ἐν τῷ σπηλαίῳ τοῦ βίου συγκλείεσθε; ἐξέλθετε τῶν προκαλυμμάτων τῆς φύσεως, καὶ ἴδετε τὸ θαυμαστὸν θέαμα, Σιὼν θυγατέρες γινόμεναι, ὥστε ἀπὸ σκοπιᾶς ὑψηλῆς (οὕτω γὰρ ἡ Σιὼν ἑρμηνεύεται), δυνηθῆναι θεάσασθαι στεφανηφοροῦντα τὸν Νυμφίον. Στέφανος δὲ αὐτῷ ἡ Ἐκκλησία γίνεται, διὰ τῶν ἐμψύχων λίθων τὴν κεφαλὴν ἐν κύκλῳ διαλαμβάνουσα· στεφανηπλόκος δὲ τοῦ τοιούτου στεφάνου ἡ ἀγάπη ἐστίν· ἣν εἴτε ἀγάπην, εἴτε μητέρα τις λέγει, οὐχ ἁμαρτήσεται· « Θεὸς γάρ ἐστιν ἀγάπη, » κατὰ τὴν Ἰωάννου φωνήν· οὐδὲν δὲ διαφέρει ἐπὶ Θεοῦ λεγόμενον· οὔτε γὰρ ἄρρεν, οὔτε θῆλυ τὸ Θεῖον. Πῶς γὰρ, ὁπόταν οὐδὲ ἡμῖν τοῖς ἀνθρώποις τοῦτο εἰς τὸ διηνεκὲς παραμένῃ, ἀλλ' ὅταν ἐν Χριστῷ ἓν πάντες γενόμεθα, τὰ σημεῖα τῆς διαφορᾶς ταύτης μετὰ ὅλου τοῦ παλαιοῦ ἀνθρώπου συνεκδυόμεθα· κἀν τῷ Εὐαγγελίῳ ὁ Πατὴρ λέγεται ποιεῖν τῷ Υἱῷ τοὺς γάμους· καὶ ὁ Προφήτης φησὶν, « Ὅτι ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον· » ἐνταῦθα δὲ παρὰ τῆς μητρὸς φησὶ ἐπιτεθεῖσθαι τῷ Νυμφίῳ τὸν στέφανον. Ἐπεὶ οὖν εἷς ἐστιν ὁ γάμος καὶ μία ἡ Νύμφη, καὶ παρ' ἑνὸς ἐπιβάλλεται τῷ Νυμφίῳ στέφανος, οὐδὲν διαφέρει ἢ Υἱὸν Θεοῦ τὸν μονογενῆ λέγειν Θεὸν, ἢ Υἱὸν τῆς ἀγάπης αὐτοῦ· μιᾶς οὔσης καθ' ἑκάτερον ὄνομα τῆς νυμφοστολούσης αὐτὸν ἐπὶ τῇ ἡμετέρᾳ συνοικήσει δυνάμεως. Ἐνευφραίνεσθαι δὲ τούτῳ τῷ στεφάνῳ λέγει αὐτὸν ἡ Νύμφη τῷ νυμφικῷ κόσμῳ ἐναγαλλόμενον· χάριτι γὰρ ὡς ἀληθῶς σύνοικον ἑαυτοῦ τὴν Ἐκκλησίαν ποιησάμενος, ταῖς ἀρεταῖς διαπρεπόντων ἐν αὐτῇ στεφανούμενος εὐφραίνεται.

Νείλου. — Τίς μὲν ὁ ταῦτα λέγων, ἄδηλον· ἴσως δὲ οἱ τοῦ Νυμφίου φίλοι· πλὴν ὅς ἂν ᾖ, τοὺς ἀπ' ἐθνῶν καλεῖ· Σιὼν γάρ ἐστιν ἡ τούτων μήτηρ ἡ τὸν τοῦ Χριστοῦ νόμον βλαστήσασα. Ὁ μὲν γὰρ πρότερος νόμος, ἀπὸ Σινᾶ, ὁ δὲ δεύτερος ἀπὸ Σιών. Ἐπειδὴ τοίνυν ἐν σκότει καὶ σκιᾷ θανάτου ἐκάθητο τὰ ἔθνη, προσκαλεῖται αὐτοὺς τάχα ὁ ταῦτα εἰρηκὼς προφήτης λέγων· « Ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, » ἐξέλθετε καὶ ἴδετε· τί δὲ, ἐπιφέρει θαυμάζων τὸ τόλμημα. *Ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ.* Ἡμέρα δὲ νυμφεύσεως τοῦ Χριστοῦ καὶ ἡμέρα εὐφροσύνης καρδίας αὐτοῦ ἦν, ἡ τοῦ σταυροῦ ἡμέρα, ἐν ᾗ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν ὡς Νύμφην ἔλαβε μεμνηστευμένην αὐτῷ διὰ τῶν προφητῶν. Ὁρῶν οὖν τὴν πολλάκις εὐεργετημένην Συναγωγὴν ὁ προφήτης, οὐ δικαίας ἀμοιβὰς ἀποδιδοῦσαν τῷ Χριστῷ, ἀλλ' ἀκάνθινον ἐπιθεῖσα στέφανον τῇ κεφαλῇ, ἐκπληττόμενος ἐπὶ τῷ τοιούτων παρανομήματι, φησίν· *Ἐξέλθετε καὶ ἴδετε ἐν τῷ βασιλεῖ Σαλομὼν, ἐν τῷ στε-*

[66] Luc. xxii, 15. [67] I Joan. ix, 6. [68] Matth. xxii, 2 seqq. [69] Psal. xx, 9. [70] Isa. ix, 2; Matth. iv, 16.

Digitized by Google

φάτνῃ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ αὐτοῦ· μητέρα δὲ αὐτὴν λέγει Χριστοῦ, ἐπειδὴ ἐξ ἐκείνης κατάγεται καὶ τῇ γενεαλογίᾳ καὶ τῇ κατὰ σάρκα οἰκονομίᾳ. A quia ex eo deducitur ejus genealogia et secundum carnem dispensatio.

ΚΕΦΑΛ. Δ'.

α'. *Ἰδοὺ εἶ καλή, ἡ πλησίον μου, ἰδοὺ εἶ καλή· οἱ ὀφθαλμοί σου περιστεραί, ἐκτὸς τῆς σιωπήσεώς σου.*

Γρηγορίου. — Διὰ τῆς προτροπῆς τῶν προειρημένων τῆς Νύμφης τὴν φιλανθρωπίαν ὁ λόγος ἀποδεξάμενος, ὅτι κατὰ μίμησιν τοῦ Δεσπότου καὶ αὐτὴ θέλει πάντας σωθῆναι καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, ὅλην ἀποσεμνύει, καὶ θαυμάζει τὸ κάλλος, ἐμφιλοχωρῶν τῷ λόγῳ τοῖς καθ' ἕκαστον μέλεσιν· ἴδιον ἑκάστῳ μέλει διὰ συγκρίσεώς τε καὶ ὁμοιώσεως χαριζόμενος τὸ ἐγκώμιον· Καλὴ οὖν, φησὶ, πρὸς αὐτὴν ὁ λόγος, τῇ ἀγαθῇ προαιρέσει τῷ καλῷ προσεγγίσασα· πλησίον δὲ αὐτὴν καλεῖ, διὰ τὸ μιμήσασθαι τὴν αὐτοῦ φιλανθρωπίαν, καὶ ἐγκελεύσασθαι ταῖς λοιπαῖς ψυχαῖς καταλιπεῖν τὰ πρόσκαιρα, καὶ ἐξελθοῦσαν ἰδεῖν τὸν Νυμφίον στεφανηφοροῦντα· διὰ δὲ τῆς ἐπαναλήψεως τοῦ ἐπαίνου τὸ ἄψευστον τῆς μαρτυρίας ἐνδείκνυται· ἐν γὰρ τῇ διπλῇ μαρτυρίᾳ βεβαιοῦσθαι τὴν ἀλήθειαν ὁ θεῖος ἀποφαίνεται λόγος. Ἐπειδὴ δὲ ἓν σῶμα ἡ Ἐκκλησία, ἐν δὲ τῷ ἑνὶ σώματι μέλη πολλὰ, οὐ τὴν αὐτὴν ἔχοντα πρᾶξιν, τούτου χάριν ὁ ἀκριβὴς τοῦ κάλλους δοκιμαστὴς, τῶν ἀρεσάντων αὐτῷ μελῶν ἐξ ὅλου σώματος, ἴδιόν τε καὶ πρόσφορον ἑκάστου ποιεῖται τὸν ἔπαινον· ἄρχεται δὲ ἀπὸ τῶν ὀφθαλμῶν· οὗτοι δ' ἂν εἶεν, οἷον ὁ Σαμουὴλ, ὁ βλέπων γὰρ ὀνομάζετο· καὶ ὁ Ἰεζεκιὴλ, ὁ σκοπεύειν ὑπὸ Θεοῦ τεταγμένος ἐπὶ τῇ τῶν φυλασσομένων παρ' αὐτοῦ σωτηρίᾳ· καὶ Μιχαίας ὁ ὁρῶν, καὶ Μωσῆς ὁ θεώμενος, καὶ διὰ τοῦτο Θεὸς ὠνομασμένος· ὀφθαλμοὶ πάντες ἐκεῖνοι οἱ εἰς ἡδηγίαν τοῦ λαοῦ τεταγμένοι, οἳ καὶ ὁρῶντες ὠνομάζοντο· καὶ νῦν δὲ οἱ τῆς Ἐκκλησίας προεστῶτες, οἱ τὸν αὐτὸν ἐκείνοις τρόπον ἐπέχοντες, καὶ πρὸς τὸ φῶς τῆς ἀληθείας τὸ λοιπὸν σῶμα καθοδηγοῦντες. Περιστεραὶ δὲ, φησὶν, εἴτουν πνευματικοὶ καὶ πρὸς οὐδὲν βλέποντες ὑλικόν· ἢ καὶ τὴν ἀκεραιότητα διὰ τούτων ἠνίξατο. Ἡ δυὰς τῶν ὀφθαλμῶν ἐπαινεῖται ὡς ἂν ὁ λόγος γένοιτο ἐν ἐπαίνῳ ὁ ἄνθρωπος ὁ φαινόμενός τε καὶ νοούμενος· διὰ γὰρ τοῦτό φησιν, *Ἐκτὸς τῆς σιωπήσεώς σου*· τοῦ γὰρ ἀγαθοῦ βίου, τὸ μὲν ἀνθρώποις πρόδηλον, τὸ δὲ μόνῳ Θεῷ· μαρτυρεῖ τοίνυν ὁ τὰ κρυπτὰ βλέπων πλέον εἶναι τοῦ ὁρωμένου τὸ σιωπώμενον. B C D

Νείλου. — *Ἐκτὸς τῆς σιωπήσεως* προσέθηκε· τὰ γὰρ πνευματικὰ θεωροῦσα, μᾶλλον ἂν ἦν καλὴ καὶ λέγουσα αὐτά· Σιωπῶσα δὲ ἐξ ἡμισείας εἶ καλὴ, τὰ πρὸς ὠφέλειαν τῶν πολλῶν ἡσυχάζουσα, κἂν μετριάζουσα τοῦτο ποιῇς· κρύπτειν μὲν γὰρ ἔργον ἀρετῆς καλὸν, ὅταν ἡ πρόθεσις ῥέπῃ ἐπὶ τὸ φιλόδοξον· λόγον δὲ τοὺς ἀκούοντας οἰκοδομεῖν δυνάμενον, οὐχ ἡσυχαστέον, κἂν πρὸς ἔπαινον οὐ δεόντως ὁ τοῦ λέγοντος βλέπῃ σκοπός.

CAP. IV.

Vers. 1. *Ecce es pulchra, proxima mea, ecce es pulchra : oculi tui columbæ extra taciturnitatem tuam.*

Gregorii.—Per prædictorum exhortationem Sponsæ benignitatem verbum excipiens, quod ea Domini ad imitationem velit etiam omnes salvos fieri et ad cognitionem veritatis pervenire, totam concelebrat et admiratur propter pulchritudinem sermone singulis ejus membris inhærens, et unicuique membro per comparationem ac similitudinem encomium tribuens. Pulchra igitur, inquit, es, ad ipsam verbum postquam bono animi proposito ad pulchritudinem accessisti. Proximam autem ipsam vocat, quod ipsius erga homines amorem imitatur et jusserit reliquas animas deserere temporalia et egressas videre Sponsum corona redimitum. Per laudis autem repetitionem, minime falsum hoc testimonium esse demonstrat : nam testimonio duplici veritatem confirmari divina lex pronuntiat. Quia vero Ecclesia unum corpus est, et in hoc uno corpore membra multa sunt non eumdem actum habentia, idcirco accuratus illius pulchritudinis explorator membris singulis quæ ex toto corpore illi placuerunt, peculiarem quamdam et convenientem laudem tribuit. Orditur autem ab oculis. Hi autem fuerint sicut Samuel, videns enim appellabatur, et Ezechiel qui a Deo in specula collocatus erat ob salutem illorum qui ab ipso custodiebantur, et Michæas ille videns, et Moyses ille spectans, et ob eam causam Deus appellatus, oculi omnes illi qui ad populum ducendum ordinati sunt et videntes nominati. Quin et hoc tempore Ecclesiæ præsules qui eumdem cum illis locum obtinent, et ad lumen veritatis corpus reliquum deducent. Columbæ autem, inquit, id est spirituales et ad nihil materiatum aspicientes : vel etiam innocentiam per hoc insinuavit. Ambo autem oculi laudantur, ut nimirum totus homo, tam is qui apparet, quam qui mente concipitur laudis compos exsistat. Idcirco enim ait illud *extra taciturnitatem tuam.* Probæ namque vitæ aliud quidem hominibus patet, aliud vero soli Deo. Testatur ergo is qui occulta videt, id quod tacetur esse plus illo quod videtur.

Nili. —Apposuit illud, *extra taciturnitatem :* nam spiritalia contemplans magis pulchra fuerit etiam ; dicens illa : Tacens autem ex media parte pulchra es, ea quæ plurimis utilia sint reticens, tametsi modestiæ causa id facias. Nam abscondere quidem virtutis opus est bonum quando intentio ad vanam gloriam vergit ; sed sermo qui audientes ædificare possit non reticendus, quamvis ad laudem secus quam deceat dicentis spectet intentio.

Digitized by Google

Cyrilli. — Silentium ipsius significat obedientiam ad omnia, juxta illud : « Tace et audi, Israel. »

Κυρίλλου. — Ἡ σιωπὴ αὐτῆς σημαίνει τὴν εἰς ἅπαν ὑπακοὴν κατὰ τὸ, « Σιώπα καὶ ἄκουε, Ἰσραήλ. »

Comæ tuæ sicut greges caprarum quæ sunt reversæ de monte Galaad.

Τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀνέβησαν ἀπὸ τοῦ Γαλαάδ.

Gregorii. — Per hæc virtuti consentanea vivendi ratio laudatur : nam per crines omnis vitalis sensus expertes, insinuat eos qui rebus spiritalibus dant operam, nullo rerum mundanarum sensu moveri, neque vanam gloriam, neque divitias, neque quidquam aliud hujus vitæ attonitos admirari. Capillitium enim pro velamento mulieribus datum, juxta Apostolum[71-73], et verecundia pudicitiaque intelligitur una cum mortificatione quæ in mundo est. Capillus enim sensus expers est. Quod autem propter capillorum excellentiam, cum gregibus caprarum de Galaad revelatis comparetur, ita statuendum est ex conjectura. Nempe sicut de Libani lignis in aurum et argentum purpuramque commutatis ferculum sibi rex confecit, ita bonum pastorem acceptis caprarum gregibus nosse caprilia montis Galaad in ovilia commutare : atqui hoc exteri montis nomen est talem gratiam revelantis, et illi qui ex gentibus bonum illum pastorem secuti sunt, in ornatu sponsæ capillorum nomine censeantur, per quos pudicitia et pudor, et continentia corporis intelligitur. Fortassis autem et Elias aliquid nobis ad hanc caprarum considerationem conferet, qui longo tempore versatus in monte Galaad insignia vitæ continentis exempla præbuit : forma squalidus, capillis hirsutus, pelle capræ tectus. Itaque omnes quotquot ad exemplum prophetæ illius vitam suam instituunt, ornamentum Ecclesiæ fiunt juxta philosophandi morem qui jam invaluit, virtutem in conversatione mutua colentes. Quod autem de Galaad hujusmodi greges revelentur, id miraculum auget, nimirum quod ex ethnica vita ad veram Dei philosophiam conversi simus. Nec enim a Sion monte sancto ejus factum est hujusmodi vitæ initium, sed addicta simulacris natio tantopere vitam suam immutavit, ut præclaris virtutibus Sponsæ caput exornet.

Γρηγορίου. — Διὰ τούτων τὴν ἐνάρετον πολιτείαν ἐν ἐπαίνῳ ποιεῖται ὁ λόγος· διὰ γὰρ τῶν ἀναισθήτων τριχῶν, τὴν πρὸς τὰ κοσμικὰ ἔργα ἀναισθησίαν· τῶν τὴν πνευματικὴν ἐργασίαν μετιόντων τοῦ βίου πεπόδισμένων· τρίχωμα γὰρ, τὸ ἀντὶ περιβολαίου δεδομένον ταῖς γυναιξὶ κατὰ τὸν Ἀπόστολον· αἰδῶς τε καὶ σωφροσύνη νοεῖται μετὰ τῆς ἐν κόσμῳ νεκρώσεως· ἀναίσθητον γὰρ ἡ θρίξ· διὰ δὲ τοῦ πλεονεκτήματος τῶν τριχῶν, ἀγέλαις αἰγῶν παραβάλλεσθαι ταῖς ἀπὸ τοῦ Γαλαὰδ ἀνακαλυφθείσαις· οὕτω χρὴ στοχάζεσθαι, ὅτι ὥσπερ τὰ ξύλα τοῦ Λιβάνου, εἰς χρυσόν τε καὶ πορφύραν μεταποιήσας, φορεῖον ἑαυτῷ ὁ βασιλεὺς κατεσκεύασεν, οὕτως οἶδεν ὁ ποιμὴν ὁ καλὸς, αἰγῶν ἀγέλας παραλαβὼν, εἰς ποίμνια μεταβαλεῖν τὰ αἰπόλια τοῦ ὄρους Γαλαάδ· ἀλλοφύλου δὲ ὄρους ὄνομα τοῦτο, τοῦ τὴν τοιαύτην χάριν ἀνακαλύπτοντος, ὥστε τοὺς ἐξ ἐθνῶν τῷ καλῷ ποιμένι ἀκολουθήσαντας, εἰς τὸ τρίχωμα συντελέσαι τοῦ τῆς Νύμφης κάλλους· δι' ὧν σωφροσύνη τε καὶ αἰδὼς, καὶ ἐγκράτεια, καὶ ἡ τοῦ σώματος νέκρωσις διασημαίνεται· ἢ τάχα συμβάλλεταί τι πρὸς τὴν τῶν αἰγῶν θεωρίαν, καὶ ὁ Ἠλίας τῷ ὄρει τῷ Γαλαὰδ ἐμφιλοσοφήσας χρόνον πολὺν, ὃς μάλιστα τοῦ κατ' ἐγκράτειαν καθηγήσατο βίου· αὐχμηρὸς τὸ εἶδος, λάσιος τὴν τρίχα, δέρματι αἰγὸς σκεπαζόμενος. Πάντες οὖν οἱ κατ' ἐκεῖνον τὸν ἑαυτῶν κατορθοῦντες βίον, κόσμος γίνονται τῆς Ἐκκλησίας, ἀγεληδὸν κατὰ τὸν νῦν ἐπικρατοῦντα τῆς φιλοσοφίας τύπον, τὴν ἀρετὴν μετ' ἀλλήλων ἐμπονοῦντες. Τὸ δὲ ἐκ τοῦ Γαλαὰδ τὰς τοιαύτας ἀποκαλυφθῆναι ἀγέλας, μείζονα τοῦ θαύματος τὴν ὑπερβολὴν ἔχει· ὅτι ἐκ τοῦ ἐθνικοῦ βίου γέγονεν ἡμῖν, ἡ πρὸς τὴν κατὰ Θεὸν φιλοσοφίαν μετάβασις. Οὐ γὰρ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ τῆς τοιαύτης καθηγήσατο πολιτείας, ἀλλὰ τὸ τοῖς εἰδώλοις ἀνακείμενον ἔθνος εἰς τοσαύτην ἦλθε τοῦ βίου μεταβολὴν, ὥστε κοσμῆσαι τὴν κεφαλὴν τῆς Νύμφης τοῖς κατ' ἀρετὴν πλημμελήμασιν.

Nili. — Quod attinet ad litteram, nil commune continet hæc comparatio. Quid enim simile capillitio cum gregibus caprarum? Quoad intelligentiam vero magna est consensio. Sive enim anima sit perfecta ad quam hæc dicuntur, sive Ecclesia gloriosa, quemdam ordinem habet contemplatio textus. Etenim perfectæ animæ quasi rejectamina et superflua quæ sunt res necessariæ quæ corpore peraguntur quando hæ decenter et cum convenienti ornatu fiunt, assimilantur gregi caprarum compositio ac bene munito, nihil hiulcum aut intercisum habenti, eo quod cohæreant naturæ rectæ rationis a qua etiam decenter gubernantur. Quando enim incontinens deliciarum luxus ad usum necessita-

Νείλου. — Ὡς μὲν πρὸς τὸ ῥητὸν, οὐδὲν ἔχει κοινὸν ἡ σύγκρισις· τί γὰρ ὅμοιον τρίχωμα καὶ ἀγέλαι αἰγῶν; Ὡς δὲ πρὸς τὴν ἔννοιαν, πολλή τίς ἐστιν ἡ συμφωνία· εἴτε γὰρ ψυχή ἐστι τελεία πρὸς ἣν ταῦτα εἴρηται, εἴτε ἡ ἔνδοξος Ἐκκλησία, ἔχει τινὰ ἀκολουθίαν ἡ θεωρία τῆς λέξεως· καὶ γὰρ τῆς τελείας ψυχῆς τὰ οἱονεὶ ἀποβλήματα καὶ περιττὰ, ἅ τινά ἐστι τὰ διὰ τοῦ σώματος ἐπιτελούμενα χρειώδη πράγματα, ἐπειδὴ καθηκόντως γίνεται, καὶ μετὰ τοῦ πρέποντος κόσμου, ἀγέλῃ αἰγῶν ὁμοιοῦται συντεταγμένῃ καὶ εὖ πεφραγμένῃ καὶ οὐδὲν ἐχούσῃ διατετμημένον, διὰ τὸ ἔχεσθαι τοῦ τῆς φύσεως ὀρθοῦ λόγου, καὶ ἡγεμονεύεσθαι ὑπ' αὐτοῦ δεόντως. Ὅταν γὰρ τὸ κεχυμένον τῆς ἀτόπου τρυφῆς εἰς τὸ χρειῶ-

[71-73] I Cor. II, 5 seqq.

Digitized by Google

δὲς καὶ ἀναγκαῖον στέλληται, ἔσται ἀγέλη αἰγῶν τὸ λεγόμενον τρίχωμα παραπλήσιον· τὰ τοίνυν σωματικὰ, ἐν μὲν τοῖς ἀδιαφόροις ἀδιάφορα, ἐν δὲ τοῖς ἐπιμελεστέροις σπουδαῖα καὶ χρήσιμα· ἐὰν δὲ ἡ Ἐκκλησία ἐστὶ πρὸς ἣν λέγεται ταῦτα, τρίχωμα αὐτῆς εἰσιν οἱ μετανοοῦντες ἐπὶ τοῖς ἁμαρτήμασι· διὸ καὶ ἀγέλῃ αἰγῶν, ἀλλ' οὐ προβάτων, παραβάλλονται· ἀπεκαλύφθησαν δὲ ἀπὸ τοῦ Γαλαὰδ τοῦ μετοικήσαντος ἀπὸ τῶν Ἰουδαίων ἐπὶ τὰ ἔθνη λόγου· Γαλαὰδ γὰρ μετοικία μαρτυρίας ἑρμηνεύεται· ὅτε μὲν γὰρ τῷ Ἰουδαϊκῷ ἔλεγεν ἔθνει· Ὑμεῖς λαός μου καὶ πρόβατα τῆς κληρονομίας μου, ἐκείνων ἦν ἡ μαρτυρία· ὅτε δὲ τὰ ἔθνη λαὸν ἐξελέξατο ἑαυτῷ, τούτῳ γέγονε μαρτύριον, μετοικῆσαν ἀπ' ἐκείνων ἐπὶ τούτου.

A temque restringitur, tum dictum capillitium simile erit gregi caprarum. Itaque res corporeæ in indifferentibus quidem indifferentes sunt, in sedulioribus autem bonæ et utiles. Sin Ecclesia sit ad quam hæc dicuntur, capillitium ejus sunt qui pœnitentiam agunt de peccatis, quapropter etiam gregi caprarum et non ovium assimilantur. Revelatæ autem sunt de Galaad, transmigrante a Judæis ad gentes verbo. Galaad enim transmigratio testimonii interpretatur. Quando enim Judaicæ genti dixit, Vos populus meus et oves hæreditatis meæ, ipsorum erat testimonium. Quando autem gentes sibi in populum elegit, tunc ab illis ad has testimonium transmigravit.

β'. *Ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων αἱ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ· αἱ πᾶσαι διδυμεύουσαι, καὶ ἄτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς.*

B Vers. 2. *Dentes tui sicut greges tonsarum, quæ ascenderunt de lavacro, quæ omnes geminantes et infecunda non est in eis.*

Γρηγορίου. — Πρῶτον λέγει περὶ ὀδόντων, παραδραμὼν τοῦ στόματος καὶ τῶν χειλέων τὰ ἐγκώμια· καὶ εἶθ' οὕτω περὶ χειλῶν· πρῶτον γάρ τις ἐστιᾶται τὰ πνευματικὰ μαθήματα, καὶ οἷον καταλεαίνει ὥσπερ τὴν τροφὴν τοῖς σωματικοῖς ὀδοῦσι, καὶ τότε λέγει περὶ αὐτῶν· ἅπερ τις ψυχικὴ δύναμις λεπτοποιεῖ ἐπιτήδεια, πρὸς τὸ παραπεμφθῆναι τοῖς οἱονεὶ σπλάγχνοις παρασκευάζουσα· τοὺς τοίνυν κριτικούς τε καὶ διαιρετικοὺς τῶν δογμάτων καθηγητάς, οἳ τὰ θεῖα μυστήρια διὰ σαφεστέρας ἐξηγήσεως λεπτοποιοῦσιν, ὡς εὐπαράδεκτον τὴν C πνευματικὴν ταύτην τροφὴν γενέσθαι τῷ σώματι τῆς Ἐκκλησίας, ὀδόντας ἐκάλεσεν ὁ λόγος, οὓς καὶ βούλεται παντὸς ἄχθους ὑλικοῦ γεγυμνωμένους· τοῦτο γὰρ τὸ κεκαρμένον· καὶ λουτρῷ τῆς συνειδήσεως παντὸς μολυσμοῦ σαρκὸς καθαρεύοντας· καὶ πρὸς τούτοις ἀεὶ διὰ προκοπῆς ἀναβαίνοντας· καὶ μηδέποτε εἰς τὸ ἔμπαλιν κατασυρομένους εἰς τὸ βάραθρον· καὶ διδυμεύειν τῇ μὲν ψυχῇ τὴν ἀπάθειαν, τῷ δὲ σωματικῷ βίῳ τὴν εὐσχημοσύνην γεννῶντας, καὶ ὅλως ἐν μηδενὶ τῶν καλῶν ἐπιτηδευμάτων ἀτονεῖν.

Gregorii. — Primum de dentibus agit, oris ac labiorum encomiis omissis; ac sic deinceps de labiis. Primum enim quis comedit spiritales disciplinas et quasi comminuit non secus ac cibum dentibus corporeis: et tunc ait de iis, quæ animalis quædam vis extenuat idonea reddens, ut quasi ad viscera transmittantur. Illos igitur doctores, qui doctrinas cum judicio tradunt ac partiuntur, ac divina mysteria per clariorem extenuant expositionem, ita ut spiritualis hicce cibus corpori sumptu facilis exsistat, Ecclesiæ dentes appellavit hic sermo. Quos etiam omni materiato pondere nudatos cupit (hoc enim est esse tonsos et lavacro conscientiæ esse puros ab omni inquinamento carnis et spiritus); præterea semper per profectum ascendere, ac nunquam retro trahi ad barathrum, nec non gemellos parere animæ quidem passionum vacuitatem, vitæ autem corporali procreantes honestatem, et in nullo omnino genere bonarum actionum deficere.

Νείλου. — Ὁμοίως καὶ τοῦτο, κατὰ τὴν λέξιν ἀδιανόητον· πρὸς δὲ διάνοιαν γέγραπται περὶ ψεκτῶν ὀδόντων· « Ὀδόντας ἁμαρτωλῶν συνέτριψας, » καὶ, « Ἐκεῖ ἔσται ὁ βρυγμὸς τῶν ὀδόντων· » περὶ D δὲ ἐπαινετῶν, « Ὀδόντες αὐτοῦ γάλα· » καὶ τὸ παρὸν ῥητόν· τάχα δ' ἂν εἶεν δυνάμεις ψυχῆς, δι' ὧν προτρέφεται λόγῳ αὕτη, τὴν διάκρισιν τοῦ λόγου πεπιστευμέναι καὶ λεπτοποιοῦσαι, καὶ οἱονεὶ μηρυκιζόμεναι, τὸν τέως ἀδρυμερέστερον διὰ τῆς ἀκοῆς παραδεχθέντα λόγον· συντρίβονται δὲ οὗτοι οἱ ὀδόντες, ὅταν αἱρετικῆς διδασκαλίας φάγωσιν ὄμφακας· ὠμοδιάστατοι γὰρ, ἄχρηστοι γίνονται τὸ λεῖναι τὴν ἀληθῆ τροφήν· ἀγέλῃ οὖν κεκαρμένων ὁμοιοῖ τοὺς ὀδόντας τῆς Νύμφης· διὰ τὸ μηδὲν ἔχειν τοιοῦτον, οἷον οἱ προειρημένοι εἶχον ὀδόντες τῶν ἀσεβῶν· ἀλλὰ καὶ περιαιρεῖσθαι πάντα ῥῦπον διὰ τὸ λουτρὸν,

Nili. — Similiter et hoc quoad litteram sensum occultum continet: quoad intelligentiam autem scriptum de dentibus vituperio dignis: « Dentes peccatorum contrivisti [73.68]; » et: « Ibi erit strider dentium [69]. » De laudabilibus vero: « Candidi dentes ejus ut lac [70], » et præsens dictum. Fortassis vero fuerint facultates animæ per quas nutritur ipsa verbo, quibus concredita sit verbi discretio et masticatio, et quasi ruminatio, ejus, inquam, verbi quod tanquam vinum crassum sit auribus exceptum. Conteruntur porro hi dentes quando hæreticæ doctrinæ agrestam comedunt; obstupescentes enim inepti fiunt ad verum cibum comminuendum. Grex igitur tonsarum refert dentes Sponsæ, quia nihil habent eorum quæ prædicti dentes impiorum habebant; sed sordes omnes per lavacrum abster-

[73.68] Psal. III, 8. [69] Matth. XXIII, 42. [70] Gen. XLIX, 12.

Digitized by Google

serunt, et quod superfluum erat per tonsionem abstulerunt. Hi porro dentes pariunt gemellos quando et præsenti vitæ utilia prospiciunt et futuræ intellectilia geminationi operum adjicientes fecunditatem. Nam infecunda non est in eis, id est, sterilis bonarum actionum nulla est ac sine prole. Quia et hi qui in Ecclesia laborant in verbo ac doctrina et universo corpori alimentum distribuunt propter concordiam et animorum consensionem gregi assimilati sunt, propter levitatem autem et incuriam possessionum omnem divitiarum materiam abradentes tonsi nominantur : a lavacri vero ascensu sunt geminantes, cum minime sterilem sed fecundam virtuosorum operum vulvam habeant, et utrique sæculo, præsenti, inquam, et futuro congruis gemellos pariant meditationibus : fortassis vero dentes ut grex tonsarum gemellos pariunt, quia non amplius supersunt crines, peccatorum onere detonso.

Origenis. — Aliter autem gemellos pariunt propter duplicem cum litteræ tum spiritus intelligentiam.

Philonis. — Vel etiam quod cum solæ in aquam mysticam descenderint, cum Spiritu sancto ascendant.

VERS. 3. *Sicut funiculus coccineus labia tua et eloquium tuum decorum.*

Gregorii. — Coccineum filum est fides per charitatem perfecta. Laudat igitur Ecclesiæ conjunctionem et consensionem, et simul confessionem qua pro se cruci affixum confitetur, secundum quam Ecclesia consentiens, unum fit labium et vox una, ex diversis verbis ejusdem sensus catenæ in morem contexta : coccineum autem dicendo docet ore proferendum esse confessionem ejus qui nos sanguine redemit suo. Nam per utraque hæc labris Ecclesiæ completus constat suus decor, quando et fides prælucet confessioni et charitas cum fide contexitur. Itaque per filum declaravit charitatem, per coccinum autem fidem, et sic loquela Sponsæ speciosa fit per verbum fidei quod prædicamus ut divinus ait Apostolus : « Si confessus fueris ore tuo Dominum Jesum, et credideris in corde tuo quod Deus illum suscitavit a mortuis, salvus eris [71]. »

Nili. — Labia frequenter sermonem vocat Scriptura juxta illud : « Disperdat universa labia dolosa [72], » et : « Diffusa est gratia in labiis tuis [73]. » Sive igitur anima perfecta, sive hi qui in Ecclesia sunt doctores, quando vivum sermonem habent et qui auditorem sic alligare valeat ut cum semel audierit non amplius possit discedere : labia ejus

καὶ περίττωμα διὰ τὴν κουράν· διδυμεύουσι δὲ οὗτοι οἱ ὀδόντες, ὅταν καὶ πρὸς τὸν παρόντα βίον χρήσιμα σκέπτονται, καὶ πρὸς τὸν μέλλοντα τῇ πρὸς τὰ νενοημένα διδυμοτοκίᾳ, τὴν αὐτῶν ἔργων προστιθέντες εὐτεκνίαν· ἀτεκνοῦσα γὰρ οὐκ ἔστιν ἐν αὐταῖς· ἀντὶ τοῦ, στεῖρα καλῶν πράξεων καὶ ἄγονος οὐδὲ μία ἐστί· καὶ οἱ ἐν τῇ Ἐκκλησίᾳ δὲ κοπιῶντες ἐν λόγῳ καὶ διδασκαλίᾳ, καὶ τὴν τροφὴν παντὶ παραπέμποντες τῷ σώματι διὰ τὸ σύμφωνον καὶ ὁμόψυχον, ἀγέλῃ ὁμοιοῦνται· διὰ δὲ τὸ κοῦφον καὶ ἀμέριμνον τῆς ἀκτημοσύνης, πᾶσαν ὕλην πλούτου ἀποκειράμενοι, κεκαρμένοι ὀνομάζονται· καὶ ἀπὸ τῆς τοῦ λουτροῦ δὲ ἀναβάσεως, εἰσὶ διδυμεύοντες, οὐκ ἄτεκνον, ἀλλὰ καρποφόρον τὴν τῶν ἐναρέτων ἔργων ἐσχηκότες μήτραν, καὶ τοῖς καταλλήλοις ἑκάστῳ αἰῶνι, τῷ τε παρόντι καὶ τῷ μέλλοντι, θεωρήμασι διδυμεύσαντες· ἴσως δὲ διὰ τοῦτο ὀδόντες, ἀγέλῃ κεκαρμένων παραπλήσιοι, οἳ διδυμεύουσιν· ἐπεὶ δὲ οὐκ ἔτι εἰσὶ τρίχες, τὸ τῶν ἁμαρτημάτων ἄχθος ἀποκειράμεναι.

Ὠριγένους. — Διδυμεύουσαι δὲ ἄλλως, διὰ τὸ διττὸν τῆς νοήσεως τῆς τε ῥητῆς καὶ πνευματικῆς (49).

Φίλωνος. — Ἢ ὅτι μόναι κατελθοῦσαι εἰς τὸ ὕδωρ τὸ μυστικὸν σὺν ἁγίῳ ἀνέβησαν Πνεύματι.

γ'. *Ὡς σπαρτίον κόκκινον χείλη σου, καὶ ἡ λαλιά σου ὡραία.*

Γρηγορίου. — Κόκκινον σπαρτίον ἐστὶ πίστις δι' ἀγάπης ἐπιτελουμένη· ἐπαινεῖ τοίνυν τῆς Ἐκκλησίας τὸν σύνδεσμον, καὶ τὴν ὁμογνωμοσύνην ἅμα καὶ τὴν ὁμολογίαν, δι' ἧς ὁμολογεῖ τὸν ὑπὲρ αὐτῆς σταυρωθέντα· καθ' ἣν ἡ Ἐκκλησία συμφωνοῦσα ἓν γίνεται χεῖλος, καὶ μία φωνὴ ἐκ διαφόρων τοῦ ἐρίου τοῦ νοητοῦ συγκεκλωσμένη καθάπερ σειρά· διὰ δὲ τοῦ εἰπεῖν κοκκίνου διδάσκεται τὴν ὁμολογίαν διὰ στόματος φέρειν, τοῦ ἐξαγοράσαντος ἡμᾶς διὰ τοῦ ἰδίου αἵματος· δι' ἀμφοτέρων γάρ ἐστι πληρουμένη τοῖς Ἐκκλησίας χείλεσιν ἡ εὐπρέπεια· ὅταν καὶ ἡ πίστις τῇ ὁμολογίᾳ προλάμπῃ, καὶ ἀγάπη τῇ πίστει συμπλέκηται. Διὰ μὲν οὖν τοῦ σπαρτίου ἐδήλωσε τὴν ἀγάπην· διὰ δὲ τοῦ κοκκίνου τὴν πίστιν· καὶ οὕτως ἡ λαλιὰ τῆς νύμφης γίνεται ὡραία, τοῦ ῥήματος τῆς πίστεως ὃ κηρύσσομεν, ὡς φησιν ὁ θεῖος Ἀπόστολος· « Ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ. »

Νείλου. — Χείλη πολλάκις τὸν λόγον ὀνομάζει ἡ Γραφή, ὡς τὸ, « Ἐξολοθρεύσαι Κύριος πάντα τὰ χείλη τὰ δόλια. » Καὶ, « Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου. » Εἴτε οὖν ἡ τελεία ψυχή, εἴτε οἱ ἐν τῇ Ἐκκλησίᾳ διδάσκαλοι, ὅταν ζῶντα τὸν λόγον ἔχωσι καὶ δεσμεῖν τὸν ἀκροατὴν δυνάμενον, ὡς μηκέτι τὸν ἅπαξ ἀκούοντα ἀναχωρεῖν δύνασθαι, σπαρτίον κό-

[71] Rom. x, 8. [72] Psal. II, 2. [73] Psal. XLIV, 3.

NOTÆ.

(49) διδυμεύουσαι — πνεύματι C. B. sancto Nilo tribuit.

Digitized by Google

κινον ἔχουσι τὰ χείλη· σπαρτίον μὲν διὰ τὸ δεσμεῖν, κόκκινον δὲ διὰ τὸ ζωτικὸν τῆς τούτων δυνάμεως καὶ πεπυρωμένον· τοιαύτη γὰρ καὶ ζῶσα σὰρξ, τὴν ἐρυθρότητα μάρτυρα τῆς ζωῆς ἐπιφερομένη· τοῦτο δηλῶν ὁ Κύριος ἔλεγεν· « Οἱ ἐμοὶ λόγοι, πνεῦμά εἰσι καὶ ζωή· » διὰ μὲν τοῦ πνεύματος τὸν δεσμὸν τοῦ σπαρτίου, διὰ δὲ τῆς ζωῆς τὸ κόκκινον σημαίνων· καὶ ἡ λαλιὰ δὲ τούτων ὡραία, πολὺ μετὰ τοῦ ὠφελίμου καὶ τὸ τερπνὸν ἔχουσα. A

Ὠριγένους. — Ἤγουν ἔστω διάπυρος ἡ τοῦ λόγου παρασκευή, κ. τ. λ. (50).

Ὡς λέπυρον τῆς ῥόας μῆλόν σου ἐκτὸς σιωπήσεώς σου.

Γρηγορίου (51). — Ἀρέσκεται κατὰ τὴν τοῦ στόματος ὥραν ὁ Νυμφίος, τῷ τῆς παρθενίας ἐρυθήματι, ὅπερ μῆλον καλεῖ ἡ συνήθεια· καὶ προσεικάζει αὐτὸ λέπυρον τῆς ῥόας· αἰδοῖ γὰρ ἐρυθραίνεται καὶ σωφροσύνῃ· ὡς γὰρ τῆς ῥόας ὁ καρπὸς ὑπὸ στρυφνοῦ τε καὶ ἀβρότου τῆς ἐπιφανείας φυλάττεται, οὕτω καὶ ὁ στύφος τε καὶ ἐγκρατὴς καὶ κατεσκληκὼς βίος, φύλαξ γίνεται τῶν τῆς σωφροσύνης καλῶν· ἐπαινεῖ δὲ καὶ τὴν προφανῆ καὶ τὴν ἔνδον ἁγνείαν· διπλοῦς γὰρ καὶ ἐνταῦθα ἔπαινος διά τε τῶν προφαινομένων κατὰ τὸν εὐσχήμονα βίον, καὶ διὰ τῶν ἐν τῇ τῆς ψυχῆς ἀπαθείᾳ κατορθουμένων· ἃ μόνῳ καθορᾶται τῷ εἰς τὰ κρύφια βλέποντι· διὰ τοῦτο φησίν, *Ἐκτὸς τῆς σιωπήσεώς σου.* B

Νείλου. — Ἐπὶ μὲν τῆς ψυχῆς, τὸ αὐστηρὸν τοῦ βίου καὶ τοῖς πάθεσιν ἀπρόσιτον, μῆλόν ἐστι παρειᾶς λεπύρῳ ῥόας διὰ τὴν στυφότητα παραπλήσιον· τούτῳ γὰρ μάλιστα τῷ μέρει κρίνεται ἡ κατάστασις, τοῦ μὲν σώφρονος σκυθρωπάζουσα, καὶ τοῖς ἀκολάστοις ὀφθαλμοῖς τῷ ἀμειδεῖ σχήματι, τὸ ἄγευστον σημαίνουσα τῆς ὄψεως· τοῦ δὲ διακεχυμένου, ὡσανεὶ ὑπομειδιῶσα καὶ κεχαλασμένη καὶ λίχνους προσκαλουμένη πόρρωθεν ὀφθαλμούς· καὶ τὸ τῆς ἡδονῆς αὐτοῖς πάθος εὐαγγελιζομένη, τῇ φαιδρότητι· ἐπὶ δὲ τῆς Ἐκκλησίας τὸ τῶν παρθενευόντων τάγμα καὶ ἀσκουμένων τὴν σεμνότητα, αὐχμηροτέραν καὶ δυσέντευκτον τοῖς αἱρετικοῖς ἐρασταῖς δεικνυόντων τὴν ὄψιν τῆς Νύμφης· καὶ οὐδὲν ἔχουσα τῇ ἐκείνων γεύσει ἐφώδιμον· λέπυρον γὰρ ῥόας, τοὺς μὲν ἔξωθεν γενομένους ἀποσοβεῖ, ἀποτρόπαιον ἔχον τῇ γεύσει ποιότητα· κρύπτει δὲ τὸν ἔσω καρπὸν ἀσφαλῶς· λαώδης δὲ καὶ παραπλήσιος πανηγύρει πλήθους ἀγάπῃ συνδεδεμένου, ὁ τῆς ῥόας καρπός· οὐ μόνον ἔρκει κραταιῷ τῷ ἔξω φλοιῷ φρουρούμενος, ἀλλὰ καὶ ὑμέσι λεπτοῖς εἰς διάφορα διῃρημένος συστήματα· καὶ μιμούμενος τὰ τάγματα τῆς ἐκκλησιαστικῆς ἀκολούθου τάξεως· τοσοῦτον διῃρημένα, ὅσον μὴ συγκεχῦσθαι τὸν Ἐκκλησίᾳ πρέποντα κόσμον, καὶ λαῷ Θεοῦ καθήκουσαν κατάστασιν φυλάττεσθαι· ἀξιώμασιν ἀρετῆς καὶ λειτουργίαις ἱερατικαῖς οἰκονομικῶς μεριζόμενα, καὶ οὐ κεχωρισμένα διαθέσει, ἀλλ' ἀγάπῃ συνδεδεμένα· καὶ ἐντὸς δὲ τῆς σιωπήσεως τοιαύτη ἐστὶν ἡ παρειὰ τῆς Νύμφης, πολὺ τὸ σεμνὸν μετὰ αὐστηρᾶς κατέχουσα τῆς καταστολῆς. C D

[75] Joan. VI, 64.

filum habent coccineum; filum quidem quia ligant, coccineum vero propter vivificam eorum et ignitam virtutem. Nam istiusmodi etiam caro viva est, quæ ruborem vitæ testem præ se fert: id quod significans Dominus ait: « Verba mea spiritus et vita sunt [75]; » per spiritum quidem filii vinculum, per vitam vero coccinum designans. Loquela porro illorum decora, cum utilitate delectationem continens.

Origenis. — Nempe ignitus est verbi apparatus, etc.

Sicut cortex mali punici gena tua extra taciturnitatem tuam.

Gregorii. — Post oris venustatem genarum rubore sponsus delectatur, id quod consuetudo malas vocat et assimilat ipsi cortici mali punici. Quemadmodum enim mali punici fructus sub austeritate et acerbitate corticis custoditur, sic etiam gravis et continens et austera vivendi ratio custos fit bonorum continentiæ. Laudat autem publicam et internam castitatem. Duplex namque hinc laus excolit, cum propter vitam in iis quæ apparent bene compositam, tum propter ea quæ in anima passionum experte geruntur recte, quæ soli patent illi qui arcana introspicit. Quamobrem ait illud: *Extra taciturnitatem tuam.*

Nili. — Propter animæ quidem austeritatem vitæ passionibus inaccessam malum sunt genæ cortici mali punici ob austeritatem non absimiles. Hoc namque membro potissimum judicatur animi status temperantis quidem subtristis, et incontinentibus oculis severitate gestus ac vultus indicans displicentiam; effusi vero quasi subridens et effrenis ac lascivos eminus alliciens oculos et affectum voluptatis amœnitate vultus ipsis annuntians. In Ecclesia vero virginitatem colentium ordo est, et austeram gravitatem et inaccessum hæreticis amatoribus vultum Sponsæ ostendentium, et nihil quod ad illorum gustum sit habentem. Cortex enim mali punici deforis quidem ipsum gustantes repellit, quod qualitatem habeat gustui contrariam, sed interiorem fructum secure custodit. Cæterum popularis et panegyri multitudinis non absimilis est mali punici fructus charitate colligatus, non firmo solum septo externo cortice custoditus, verum etiam tenuioribus intermediis in diversas series distributus, ecclesiasticæ distributionis ordines imitatur eatenus divisos, ne decens Ecclesiam ornatus confundatur ac populo Dei conveniens status custodiatur, virtutum dignitatibus et sacerdotalibus ministeriis, dispensatione congrua sic distributis ut affectu minime separentur, sed charitate colligentur. Quin et extra taciturnitatem talis est Sponsæ habitus, qui cum austeritate multum habeat majestatis.

NOTÆ.

(50) *Loc. cit.* col. 269-272.

(51) Hoc scholium in C. B. Procopii nomen habet.

Digitized by Google

Origenis. — Laudi temperantiæ adjungit, etc.

VERS. 4. *Sicut turris David collum tuum, quæ ædificata est in Thalpioth, mille clypei pendent super eam, omnia jacula potentium.*

Gregorii. — Ex his discimus ea quæ a sanctis fiebant typum quemdam exstitisse ac doctrinam eorum quæ recte fiunt ex virtute, ut nuptiæ quibus virtutum convictus nobis per ænigmata proponitur. Migratio autem virtuosæ vitæ institutionem denotat: ædificiorum exstructiones nos in virtutis structuram studium ac diligentiam impendere jubent bellum adversus alienigenas, docet nos fortiter gerere adversus iniquitates. Sic igitur etiam insignis illa turris David, in qua opima spolia suspendit, ad Ecclesiæ profectum spectat, dum per illam divinos quosdam esse doctores insinuat, qui in populo colli locum obtinent, ac verum caput Christum in semetipsis portant, nutriendi vi præditi, nempe per doctrinam qua corporis Ecclesiæ vires conservantur; cumque spiritus capaces sint qui cor reddit igneum et calefacit, et per sonoram vocem deserviant sermoni et concinnum vertebrarum situm per vinculum pacis in populo efficiant et inclinent se humilibus condescendendo, ac rursus erigant ea quæ sursum sunt sapiendo et ad latera se facile obliquando convertant in declinandis et cavendis variis diaboli insidiis, ostendentes qualis quoque fuerit beatus Paulus, qui Christi nomen portavit cum esset vas electionis et sonora arteria Evangelium prædicaret, et Christum haberet in se loquentem ac disserentem. Tale ergo collum vere fuit a Davide ædificatum. Intellige autem Davidem regis Patrem in conspicuo et excelso quodam loco (hoc enim sibi vult Thalpioth) qui ab initio constituit hominem ut esset turris et non vi caderet, et per gratiam eum rursus ædificavit multis munitum clypeis et hastis potentium, non in terra jacentibus, sed in aere suspensis quæ fuerint angelicæ custodiæ, ut inimicorum insultibus non facile amplius posset invadi, verum etiam terrorem ipsis inciterent, adeo ut ne omnino quidem auderent turrim invadere. Numerus autem millenarius sumitur ad indicandam multitudinem. Per humeros autem quibus hocce collum est adnatum, intellige studia agendi et operandi per quæ nostra brachia suam operantur salutem. Quando igitur turris regis evaserit, conscenderit autem sublimem vivendi rationem, tunc impletur id quod dictum est a Domino: « Non potest abscondi civitas supra montem posita [75] » intellige autem turrim pro civitate.

Nili. — In præcedentibus quidem sponsæ collum

Ὠριγένους. — Προστίθησι τῷ τῆς σωφροσύνης ἐπαίνῳ, κ. τ. λ. (52).

δ'. *Ὡς πύργος Δαβὶδ τράχηλός σου, ὁ ᾠκοδομημένος ἐν Θαλπιώθ· χίλιοι θυρεοὶ κρέμανται ἐπ' αὐτόν· πᾶσαι βολίδες τῶν δυνατῶν.*

Γρηγορίου. — Ἐκ τούτων μανθάνομεν ὅτι τὰ παρὰ τῶν ἁγίων γινόμενα, τύπος τις καὶ διδασκαλία τῶν εἰς ἀρετὴν κατορθουμένων ἐγίνοντο· οἷον οἱ γάμοι, δι' ὧν τὴν τῶν ἀρετῶν συνοίκησιν ἡμῖν δι' αἰνιγμάτων ὑποτίθενται· ἡ ἀποικία, καὶ γὰρ τοῦ ἐναρέτου βίου τὸν οἰκισμὸν ὑποβάλλει· αἱ τῶν οἰκοδομημάτων κατασκευαὶ, τὴν γὰρ δι' ἀρετῆς οἰκοδομουμένην ἐπιμέλειαν ποιεῖσθαι διακελεύεται· ὁ κατὰ τῶν ἀλλοφύλων πόλεμος, διδάσκων κατὰ τῆς ἀδικίας ἡμᾶς ἀνδρίζεσθαι· οὕτω τοίνυν καὶ ὁ παρὰ τοῦ Δαβὶδ περιφανὴς πύργος, ἐν ᾧ τὰ ἀκροθίνια τῶν λαφύρων ἀνέθηκε, πρὸς τὴν προκοπὴν τῆς Ἐκκλησίας βλέπει· διὰ τούτου παρεμφαίνων θείους τινὰς εἶναι τοὺς ἐν τῷ λαῷ τὸν τραχήλου τόπον ἔχοντας διδασκάλους, οἵτινες τὴν ἀληθινὴν κεφαλὴν τὸν Χριστὸν βαστάζοιεν ἐφ' ἑαυτῶν· ἔχοντες καὶ τὴν θρεπτικὴν ἐνέργειαν, φημὶ δὴ τὴν διδασκαλίαν· δι' ἧς τῷ σώματι τῆς Ἐκκλησίας συντηρεῖται ἡ δύναμις· δεκτικοί τε τοῦ Πνεύματος ὄντες, τοῦ τὴν καρδίαν πυροειδῆ ποιοῦντος καὶ ἐκθερμαίνοντος, καὶ διὰ τῆς εὐήχου φωνῆς ὑπηρετοῦντες τῷ λόγῳ, καὶ τὴν ἐναρμόνιον τῶν σπονδύλων θέσιν, διὰ τοῦ συνδέσμου τῆς εἰρήνης φέρεσθαι, καὶ ἀνορθούμενον πάλιν ἐν τῷ τὰ ἄνω φρονεῖν, καὶ πρὸς τὰ πλάγια μεταστρεφόμενον εὐκόλως· ἐν ᾧ τὰς ποικίλας τοῦ διαβόλου μεθοδίας ἐκκλίνειν καὶ ἀσφαλίζεσθαι δεικνύντες, οἷος ἦν καὶ ὁ μακάριος Παῦλος, ὃς τὸ ὄνομα τοῦ Χριστοῦ ἐβάστασε, σκεῦος ἐκλογῆς γενόμενος, καὶ εὐήχῳ ἀρτηρίᾳ κηρύττων τὸ Εὐαγγέλιον, καὶ τὸν Χριστὸν ἔχων λαλοῦντά τε καὶ φθεγγόμενον· ὁ τοιοῦτος οὖν τράχηλος, ὄντως παρὰ τὸν Δαβὶδ ᾠκοδόμηται· νόει δὲ διὰ τοῦ Δαβὶδ, τὸν τοῦ βασιλέως πατέρα, ἐν περιόπτῳ τινὶ τόπῳ καὶ ὑψηλῷ· τοῦτο γὰρ τὸ Θαλπιώθ· ὃς ἐξ ἀρχῆς τὸν ἄνθρωπον κατεσκεύασεν εἶναι πύργον, καὶ οὐχὶ σύμπτωμα· καὶ διὰ τῆς χάριτος αὐτοῦ πάλιν ᾠκοδόμησεν, ἀσφαλισάμενος τοῖς πολλοῖς θυρεοῖς, καὶ ταῖς βολίσι τῶν δυνατῶν, οὐ κειμένοις ἐπὶ γῆς, ἀλλὰ διαερίοις κρεμαμένοις, οἵτινες εἶεν ἀγγελικαὶ φρουραὶ, ὡς μηκέτι τῶν πολεμίων ἐφόδοις ἐπίβουλον γίνεσθαι, ἀλλὰ καὶ φόβον ταύταις ἐμποιεῖν, τοῦ μηδὲ τὴν ἀρχὴν ἐγχειρῆσαι καταδραμεῖν· τὸ δὲ, χίλιοι, εἰς ἔνδειξιν πλήθους λαμβάνεται· ὤμους δὲ νοήσεις, οἷς πέφυκεν οὗτος ὁ τράχηλος, τὰς πρακτικάς τε καὶ ἐνεργητικὰς σπονδὰς, δι' ὧν οἱ βραχίονες ἡμῶν τὴν σωτηρίαν αὐτῶν κατεργάζονται· ὅταν τοίνυν τις βασιλέως μὲν πύργος ᾖ, ἐπὶ δὲ τῆς ὑψηλῆς πολιτείας βεβηκὼς τύχῃ, τότε πληροῦται τὸ παρὰ τοῦ Κυρίου λεγόμενον· « Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· » νόει δέ μοι τὸν πύργον ἀντὶ τῆς πόλεως.

Εἰ μὲν τοῖς ὀπίσω ὁ τράχηλος τῆς Νύμφης, ὡς

[75] Matth. v, 14.

NOTÆ.

(52) *Patrol.* t. XVII, *cit.* col. 272.

Digitized by Google

ὁρμίσκος (53) *διὰ τὸ καμπύλον* ἐλέγετο, νῦν δὲ ὡς *πύργος Δαβίδ*, διὰ τὸ ὄρθιον καὶ ἀνεστηκός· ἀλλὰ τῷ μὲν καμπύλῳ τὸ ὄρθιον ἐναντίον· ἡ δὲ ὡς ὁρμίσκος κατάστασις, τῇ ὡς πύργῳ διάφορος μέν, οὐ μὴν ἐναντία· ὅτε μὲν γὰρ τὸ πρὸς τοὺς ἀσθενεστέρους συγκαταβατικὸν αὐτῆς, καὶ τὴν ἐπὶ ταῖς ἀρεταῖς ταπεινοφροσύνην βούλεται δηλοῦν ὁ λόγος, ὁρμίσκον τὸν τράχηλον αὐτῆς ὀνομάζει, τῷ μετρίῳ κεκαμμένην φρονήματι· ὅτε δὲ τὸ πρὸς τὰ πάθη καὶ τὰς ἀντικειμένας δυνάμεις ὑπεράνεχον καὶ διανεστηκὸς, πύργον Δαβὶδ ἀπρόσιτον δηλαδὴ τοῖς πολεμίοις· *Χίλιοι δὲ θυρεοὶ κρέμανται ἐπ' αὐτὸν, καὶ πᾶσαι βολίδες τῶν δυνατῶν*, αἱ τῶν πρὸς αὐτὴν ἀγωνιζομένων δυνάμεων· ἃς χειρωσαμένη καὶ ἐξόπλους ποιήσασα τοῦ ἑαυτῆς ἐξήρτησε τραχήλου, σημεῖον τοῦ παρ' αὐτῆς νενικημένου πλήθους ἐσομένας· οὐδὲν ὑπολιπομένη τοῖς ἐχθροῖς βέλος, ᾧ πάλιν βαλεῖν δυνήσονται κατ' αὐτῆς· οὐ γὰρ ἀριθμὸν βολίδων, ἀλλὰ πάσας ἔχει λαβοῦσα παρ' ἑαυτῇ· οὕτω καὶ ὁ Νυμφίος αὐτῆς ἐκένωσε τοῦ ἐχθροῦ πολεμοῦντος τὴν δύναμιν· ἔστι δὲ θυρεοὺς καὶ τὰς περικοπὰς τῆς πίστεως εἰπεῖν· τὸ δὲ Θαλπιὼθ, *ἐν ἐπάλξεσιν*, ἑρμηνεύεται· ἐπάνω οὖν τῶν πειρασμῶν ᾠκοδομῆσθαι τὸν πύργον φησίν.

Ὡριγένους. — Ἀκύλας τὸ *Θαλπιὼθ, ἐπάλξεις* ἐκδέδωκεν, κ. τ. λ. (54).

ε', ς'. *Δύο μαστοί σου, ὡς δύο νεβροὶ δίδυμοι δορκάδος οἱ νεμόμενοι ἐν τοῖς κρίνοις· ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα καὶ κινηθῶσιν αἱ σκιαί.*

Γρηγορίου. — Δίδυμός ἐστιν ὁ ἄνθρωπος, ὅ τε ἔξωθεν καὶ φαινόμενος, καὶ ὁ ἔσωθεν καὶ κρυπτὸς, κατὰ ταυτὸν ἀλλήλοις συνεπιδημοῦντες τῷ βίῳ· οὔτε γὰρ προϋπάρχει τοῦ σώματος ἡ ψυχὴ, οὔτε προκατασκευάζεται τῆς ψυχῆς τὸ σῶμα· ἀλλ' ὁμοχρόνως ἐν τῇ ζωῇ γίνονται· τροφὴ δὲ τούτοις, κατὰ φύσιν μὲν ἡ καθαρότης καὶ ἡ εὐωδία, ὧν ἐφορῶσιν αἱ ἀρεταί· ἔστι δὲ ὅτε τὸ δηλητήριόν τισιν, ἀντὶ τοῦ τροφίμου σπουδάζεται, οἳ οὐχὶ τὰ ἄνθη τῶν ἀρετῶν ἐπιβόσκονται, ἀλλ' ἀκάνθαις καὶ τριβόλοις ἐπιτέρπονται. Ἐπεὶ τοίνυν διακριτικῶς χρεία ὀφθαλμῶν τῶν δυναμένων ἐν ἀκριβείᾳ διαγνῶναί τὸ κρίνον τε καὶ τὴν ἄκανθαν, καὶ τὸ μὲν σωτήριον προελέσθαι, τὸ δὲ φθοροποιὸν ἀποπέμψασθαι, διὰ τοῦτο τὸν καθ' ὁμοιότητα Παύλου μαζὸν τοῖς νηπίοις γινόμενον, καὶ γαλακτοτροφοῦντα τοὺς ἀρτιγενεῖς τῆς Ἐκκλησίας, διὰ δὲ μαζῶν ἀλλήλοις συγγενηθέντων, τῶν τοῖς νεβροῖς τῆς δορκάδος ὠνομασμένων ὁ λόγος ἀπείκασεν· διὰ πάντων μαρτυρῶν τῷ τοιούτῳ μέλει τῆς Ἐκκλησίας τὸ δόκιμον· ὅτι καθ' ἑκάτερον εὐοδοῦται πρὸς τὴν τῶν καθαρῶν κρίνων νομήν· ὀξὺ δεδορκὼς, καὶ διακρίνων τοῦ τροφίμου τὴν ἄκανθαν· καὶ ὅτι περὶ τὸ ἡγεμονικὸν ἀναστρέφεται· οὗ σύμβολον ἡ καρδία ἐστὶν, ἡ δι' ἑαυτῆς τοὺς μαζοὺς ὑποτρέφουσα· καὶ ἔτι πρὸς τούτοις, ὅτι οὐκ ἐν ἑαυτῷ κατακλείει τὴν χάριν, ἀλλ' ἐπιχεῖ τοῖς δεομένοις τοῦ λόγου τὴν θηλήν· ἕως, φησὶ, μηκέτι αἱ σκιαὶ κρατῶσι τῆς περὶ τὸν βίον

propter flexuram *quasi redimiculum* dicebatur, nunc autem *sicut turris David*, propter rectitudinem et erectionem. Atqui flexuræ quidem rectitudo, status autem redimiculo similis sui sicut turri adversatur : diversus quidem non tamen contrarius. Quando enim ipsius erga infirmiores condescensionem et in virtutibus humilitatem declarare sermo cupit, redimiculum et collum ejus moderatione animi inflexum appellat; quando autem contra passiones et adversarias virtutes præminentiam et erectionem, turrim David propter altitudinem inimicis inaccessam. *Mille* autem *clypei pendent super eam et omnia jacula fortium :* quæ sunt virtutum adversus ipsam pugnantium, quas subigens et exarmans, earumdem arma de collo suo suspendit in signum multitudinis a se devictæ nullum relinquens inimicis telum, quo ipsam iterum impetere valeant; non enim certum jaculorum numerum, sed omnia penes se habet accepta. Sic etiam Sponsus ejus inimici pugnantis virtutem evacuavit. Liceat quoque clypeos vocare fidei profectus : illud autem Thalpioth *in propugnaculis* interpretatur, itaque supra mœnia turrim ædificatam ait.

Origenis — Aquila Thalpioth *propugnacula* exposuit, etc.

Vers. 5, 6. *Duo ubera tua sicut gemelli hinnuli capreæ, qui pascuntur in liliis, donec aspiret dies et amoveantur umbræ.*

Gregorii. — Geminus est homo, scilicet exterior seu apparens et interior seu occultus : cum ipsi simul inter se conjuncti veniant in vitam. Nam neque anima est ante corpus neque ante animam corpus construitur, sed eodem tempore in vita simul exsistunt. Alimentum autem eis secundum naturam quidem est puritas et bonus odor quorum fertiles sunt virtutes : quidam autem nonnunquam tenentur majore studio veneni quam nutrimenti, qui virtutum floribus non pascuntur, sed spinis delectantur et tribulis. Cum igitur opus sit oculis discernendi vi præditis qui exacte possint dignoscere lilium et spinam et quod quidem salutare est eligere, quod vero exitiale est amandare; propterea eum qui ad similitudinem Pauli nutricis instar est infantibus, et lacte nutriet eos qui recens nati sunt Ecclesiæ, duo ubera simul congenita, et capreæ hinnulis assimilata hic sermo nominavit, per omnia testificans ejuscemodi membri Ecclesiæ præstantiam quod per utrumque recte deducatur ad pascua purorum liliorum accurate discernens spinam a nutrimento quodque circa partem animæ principalem versetur, cujus symbolum est cor, quod per se alit ubera : atque insuper non in semetipso gratiam concludit, sed indigentibus verbi mamillam porrigit donec, inquit, non amplius umbræ prævaleant ipsi ea quæ ad

NOTÆ.

(53) Ἐ μὲν τοῖς — πύργον φησίν. Hæc sancto Nilo vindicat C. B; dum in C. V. Gregorii nomen retinent.
(54) *Patrolog.* t. XVII, col. 272.

Digitized by Google

vitam conducant satagenti, sed luce ubique lucente irradietur, dum dies sive Spiritus sancti lumen omnia quæcunque voluerit perspirat.

Nili. — Parvulos in Christo et adhuc lactis alumnos ubera vocat caprarum hinnulis similia : quoniam etiam dum Deum colere incipiunt propter fidei nobilitatem acumen hinnulorum obtinentes, perspicaces sunt spe futura et in promissis reposita tanquam præsentia cernentes. Quin et in liliis pascuntur hinnuli, dum possessionibus eurisque vacantes floridis Ecclesiæ fructibus aluntur. Ad similem namque zelum pertingere desiderantes, voluptate rei desideratæ nutriuntur, quasi in prelo exsultantes eorum quæ prosunt institutione. Hoc autem faciunt, dum præsentia quæ umbra dicuntur submota fuerint, aspirante ac illucescere incipiente die qui ex intellectili sole exsistit. Gemelli autem recte dicuntur hinnuli, utpote ex uno eodemque ventre ac partu simul tempore in lucem editi; Ecclesiæ namque parvuli uno partu per gratiam geniti sunt.

Origenis. — Quantum ad sponsam ubera sunt principalis animæ portio, etc.

Cyrilli. Vel etiam duo hinnuli sunt doctrina moralis et dogmatica, quæ sunt duo sponsæ ubera, quibus enutriti acute quid cernunt quoad Deum : lilia vero vocat apostolicorum et evangelicorum sermonum suaveolentiam quibus pascimur usque ad consummationem sæculi.

Ibo mihi ad montem myrrhæ et ad collem thuris.

Gregorii. — Cum membratim laudasset Sponsam, deinceps totius corporis laudes prosecuturus et integrum simul facturus encomium, causam inseruit cur talis esset, dicens : *Ibo mihi*, etc.; per myrrham quidem passionem, per thus vero divinitatis gloriam insinuans : cum dixit autem *mihi ipsi*, declaravit quoniam nemo ab ipso tollit animam, sed habet potestatem ponendi eam et habet potestatem rursum accipiendi : per montem autem mysterii magnitudinem sublimitatemque declarat.

Nili. — Deinde subjunxit : quandoquidem tam pulchram vidit esse Sponsam, sive animam, sive etiam Ecclesiam, festinat deinceps ad mortem ut sibi ipsi hanc sistat non habentem maculam neque rugam nec quid simile, utque ipsam lavacro aquæ in verbo mundaret. Cæterum haud invita sed sponte procedit : mons namque mortem declaravit ; collis vero resurrectionem et ad cœlos ascensionem esse : mons quidem mortem propter horrorem, collis vero resurrectionem, quia mortis gravitatem spe reddit leviorem. Cum autem sigillatim membra Sponsæ collaudavit per id quod subjicitur, totam ipsam celebrat encomiis, immaculatam totamque pulchram appellans.

A σπουδαζομένης ἀπάτης· ἀλλ' ἤδη τοῦ φωτὸς πανταχῆ διαλάμψαντος, καταυγασθῇ τὰ πάντα τῆς ἡμέρας τῆς ὅπου θέλει διαπνεούσης, ἤγουν τοῦ παναγίου Πνεύματος τὸ φῶς.

Νείλου. — Τοὺς νηπίους ἐν Χριστῷ καὶ γαλακτοτροφουμένους ἔτι, ἔτι μαζοὺς ὀνομάζει νεβροῖς δορκάδων παραπλησίους· ἐπειδὴ καὶ οἱ ἀρχόμενοι τῆς θεοσεβείας διὰ τὴν τῆς πίστεως εὐγένειαν, τὸ τῶν δορκάδων ἔχοντες ὀξυδερκὲς, διορατικοὶ τυγχάνουσι, τῇ ἐλπίδι βλέποντες ὡς παρόντα τὰ μέλλοντα καὶ ἐν ἐπαγγελίαις κείμενα· καὶ ἐν κρίνοις δὲ νέμονται οἱ νεβροὶ, τῷ τῶν ἀκτημόνων τῆς Ἐκκλησίας καὶ ἀφροντίδων ἀνθηρῷ τρεφόμενοι· πρὸς γὰρ τὸν ὅμοιον ζῆλον φθᾶσαι ποθοῦντες, τρέφονται τῇ ἡδονῇ τοῦ ποθουμένου, ὡς ἐν λειμῶνι σκιρτῶντες τῇ τῶν ὠφελούντων B πολιτείᾳ· τοῦτο δὲ ποιοῦσιν ἕως τὰ παρόντα σκιὰ εἰρημένα κινηθῇ· διαπνευσάσης καὶ ὑποφαίνειν ἀρξαμένης τῆς ἐκ τοῦ νοητοῦ ἡλίου γινομένης ἡμέρας· δίδυμοι δὲ οἱ νεβροὶ καλῶς εἴρηνται, μιᾶς κοιλίας καὶ ὠδῖνος ὄντες σύγχρονοι· καὶ γὰρ οἱ τῆς Ἐκκλησίας νήπιοι, μιᾷ ὠδῖνι διὰ τῆς χάριτος ἀπεκυήθησαν.

Ὠριγένους. — Τὸ ἡγεμονικὸν, κ. τ. λ. (55).

Κυρίλλου. — Ἢ καὶ δύο νεβροὶ, ἡ ἠθικὴ καὶ δογματικὴ διδασκαλία, οἱ δύο τῆς Νύμφης μαστοί· ἐξ ὧν οἱ τρεφόμενοι ὀξύτητι βλέπουσι πρὸς Θεόν· κρίνα δὲ τῶν ἀποστολικῶν καὶ εὐαγγελικῶν λόγων τὴν εὐωδίαν, ἅπερ νεμόμεθα μέχρι συντελείας.

C

Πορεύσομαι ἐμαυτῷ πρὸς τὸ ὄρος τῆς σμύρνης, καὶ πρὸς τὸν βουνὸν τοῦ λιβάνου.

Γρηγορίου. — Κατὰ μέρος ἐπαινέσας τὴν Νύμφην, εἶτα μέλλων ὁλοσώματον ποιεῖσθαι τὸν ἔπαινον, καὶ ὅλην ὑφ' ἓν ἐγκωμιάζειν, μεταξὺ τὴν αἰτίαν τοιαύτην εἶναι παραβέβληκε λέγων· *Πορεύσομαι ἐμαυτῷ*, καὶ τὰ ἑξῆς· διὰ μὲν οὖν τῆς σμύρνης, τὸ πάθος· διὰ δὲ τοῦ λιβάνου, τὴν δόξαν τῆς θεότητος ἐνδειξάμενος· εἰπὼν δὲ, *ἐμαυτῷ*, παρέστησεν ὅτι οὐδεὶς αἴρει τὴν ψυχὴν αὐτοῦ ἀπ' αὐτοῦ· ἀλλ' ἐξουσίαν ἔχει θεῖναι αὐτὴν, καὶ ἐξουσίαν ἔχει πάλιν λαβεῖν αὐτήν· διὰ δὲ τοῦ ὄρους, τὸ μέγα δείκνυσι τοῦ μυστηρίου καὶ ὑψηλόν.

Νείλου. — Εἶτα ἐπήγαγεν· ἐπειδὴ οὕτω καλὴν τὴν D Νύμφην, εἴτε ψυχὴν, εἴτε καὶ τὴν Ἐκκλησίαν, σπεύδει λοιπὸν ἐπὶ τὸν θάνατον· ἵνα παραστήσῃ ἑαυτῷ ταύτην, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἢ τοιοῦτον· καὶ ἵνα καθαρίσῃ τῷ λουτρῷ τοῦ ὕδατος ἐν ῥήματι· πορεύσεται δὲ οὐχ ἄκων, ἀλλ' ἑκών· ὄρος γὰρ τὸν θάνατον ἐδήλωσε· μεθ' ὃν βουνὸν τὴν ἀνάστασιν, καὶ τὴν εἰς οὐρανοὺς ἀνάληψιν· ὄρος μὲν τὸν θάνατον, διὰ τὸ φοβερόν· βουνὸν δὲ τὴν ἀνάστασιν, διὰ τὸ τῇ ἐλπίδι τοῦ θανάτου τὸ δεινὸν ἐπελαφρίζειν· κατὰ μέρος δὲ ἐπαινέσας τὰ μέλη τῆς Νύμφης, διὰ τοῦ ἐπαγομένου ὅλην αὐτὴν ἐγκωμιάζει, ἄμωμον καὶ ὅλην καλὴν προσαγορεύων.

NOTÆ.

(55) *Patrolog.* t. XVII, col. 272.

Digitized by Google

ζ'. Ὅλη καλὴ εἶ, ἡ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί.

Γρηγορίου. — Οὐ γὰρ ἔστιν ἄλλως καθαρθῆναι τοῦ μώμου τὴν ἀνθρωπίνην φύσιν, μὴ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, πᾶσαν δι' ἑαυτοῦ ἐξαφανίσαντος τὴν κακίαν, καταργῆσαι διὰ τοῦ θανάτου τὸ κράτος ἔχοντα τοῦ θανάτου, καὶ πάλιν ἑαυτὸν ἐπαναγαγεῖν πρὸς τὴν ἰδίαν δόξαν τῆς θεότητος, ἣν εἶχεν ἀπ' ἀρχῆς πρὸ τοῦ τὸν κόσμον εἶναι· διό φησιν· Ἀνέξομαι θάνατον, ὅπως αὐτὴν καθάρω. Ὁ τοίνυν συμμετασχὼν τῆς σμύρνης, εἴτουν τοῦ θανάτου, συμμεθέξει πάντως καὶ τοῦ θανάτου· ὁ γὰρ συμπάσχων, καὶ συνδοξάζεται. Ὁ δὲ ἅπαξ ἐν τῇ θείᾳ δόξῃ γενόμενος, ὅλος γίνεται καλὸς, ἔξω τοῦ ἀντικειμένου μώμου γενόμενος.

η'. Δεῦρο ἀπὸ Λιβάνου, Νύμφη, δεῦρο ἀπὸ Λιβάνου· ἐλεύσῃ καὶ διελεύσῃ ἀπ' ἀρχῆς πίστεως· ἀπὸ κεφαλῆς Σανεὶρ καὶ Ἀερμών· ἀπὸ μανδρῶν λεόντων· ἀπὸ ὀρέων παρδάλεων.

Κυρίλλου. — Διδάσκει ἡμᾶς πόθεν ἡ Νύμφη, καὶ ὅτι ἐξ εἰδωλολατρείας ἔρχεται· κατείδωλον γὰρ ὄρος ὁ Λίβανος· ὅθεν, Ἐλεύσῃ, φησίν· διελεύσῃ δὲ διὰ τοῦ νόμου· ἀγνοοῦσα γὰρ αὐτὸν, τὸ Χριστοῦ κατηχήθης μυστήριον.

Γρηγορίου. — Εἰπὼν γὰρ, ὅτι «Καλὴ εἶ, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί·» ὡς ἂν μὴ τῇ μαρτυρίᾳ ταύτῃ ἐκχαυνωθεῖσα, πρὸς τὴν τῶν μειζόνων ἄνοδον ἐμποδισθεῖσα, πάλιν διὰ τῆς προτρεπτικῆς ταύτης φωνῆς ἐπὶ τὴν τῶν ὑπερκειμένων ἀναβῆναι παρακελεύεται. Καλῶς, φησὶν ἐν τοῖς φθάσασιν, ἠκολούθησας· ἦλθες μετ' ἐμοῦ πρὸς τὸ ὄρος τῆς σμύρνης· συνετάφης γάρ μοι διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· συνανῆλθές μοι καὶ ἐπὶ τὸν βουνὸν τοῦ λιβάνου· συνανέστης γὰρ καὶ ὑψώθης ἐν τῇ τῆς θεότητος κοινωνίᾳ· ἀνάβηθι καὶ ἀπὸ τούτων ἐπὶ ἕτερα ὄρη προκόπτουσα καὶ ὑψουμένη διὰ τῆς ἐνεργοῦς γνώσεως· ἀρχὴ γάρ σοι πίστεως καὶ ἐπὶ τῆς πρὸς τὰ ὑψηλὰ πορείας, οὗτος ὁ λίβανος γέγονεν, οὗ μετέσχες διὰ τῆς ἀναστάσεως, οὐκ ἔτι μνηστὴ, ἀλλὰ Νύμφη γινομένη· ἀπὸ τοίνυν τῆς ἀρχῆς ταύτης, ἥτις ἐστὶν ἡ πίστις, Ἐλεύσῃ καὶ διελεύσῃ· τουτέστι καὶ νῦν ἥξεις, καὶ εἰς ἀεὶ διερχομένη διὰ τῶν τοιούτων ἀνόδων οὐκ ἀπολήξεις. Ἀπὸ κεφαλῆς Σανεὶρ καὶ Ἀερμών. Διὰ τούτων δὲ, τὸ τῆς ἄνωθεν γεννήσεως ὑποφαίνει μυστήριον· ἐντεῦθεν γὰρ, φησὶ, τὰς τοῦ Ἰορδάνου πηγὰς, ὧν ὑπέρκειται τοῦτο τὸ ὄρος, δύο λοχίαις μεριζόμενον, αἷς ταῦτα ἐπίκειται ὀνόματα· τὸ δὲ ἀπὸ λεόντων τε καὶ παρδάλεων, ἀπὸ διαβολικῶν εἱρκτῶν καὶ ποικίλων ἁμαρτημάτων, ἀφ' ὧν ψυχὴ καταστίζεται· ἀνέμνησε δὲ τῶν λυπηρῶν, διὰ τῶν θηρίων τούτων, ἡδίω ποιῶν τὰ εὐφραίνοντα· καὶ ἵνα μᾶλλον ἐντρυφῶν τοῖς παροῦσι καλοῖς· μανθάνουσα διὰ τῆς παραθέσεως οἷα ἀνθ' ὧν ἠλλάξατο, καὶ ἅμα τῇ ἀποστροφῇ τῶν χειρόνων τὸ ἀκλινές τε καὶ ἀπαράτρεπτον ἐν τοῖς ἀγαθοῖς κατορθώσειεν.

Νείλου. — Πάλιν προσκαλεῖται μέν τις τὴν Νύμφην· ὁ δὲ προσκαλεσάμενος σεσιώπηται· εἴτε δὲ αὐτὸς ὁ Νυμφίος ἐστὶν, εἴτε οἱ τοῦ Νυμφίου φίλοι, ἢ

A VERS. 7. *Tota pulchra es, proxima mea, et macula non est in te.*

Gregorii. — Non aliter enim humana natura purgari potest a macula nisi agnus qui tollit peccata mundi, per se omne vitium deleverit, per mortem suam illum qui mortis imperium habet abolendo, ac rursus semetipsum reducendo ad propriam divinitatis gloriam quam habuit ab initio priusquam mundus esset. Propterea, inquit, sustinebo mortem ut ipsam e medio tollam. Qui igitur cum ipso fuerit myrrhæ particeps omnino etiam erit particeps thuris; qui enim compatitur, etiam conglorificabitur; qui autem semel fuerit in gloria divina, totus fit pulcher, remotus ab omni macula adversa.

B VERS. 8. *Veni a Libano, Sponsa, veni a Libano: venies et transibis a principio fidei, a capite Sanir et Ermon, a latibulis leonum, a montibus pardorum.*

Cyrilli. — Docet nos unde sponsa, nempe ab idololatria veniat. Libanus enim mons idololatricus, unde, inquit; *venies*, *transibis* autem per legem, cum enim Christum ignoraret ejus mysterium edocta es.

Gregorii. — Cum dixisset quoniam pulchra es et macula non est in te, ne hoc testimonio elata et facta insolentior impediretur quominus ascenderet ad majora, per hanc adhortandi vocem ad rerum supernarum desiderium ascendere admonetur. Recte secuta es, inquit in præcedentibus, venisti C mecum in montem myrrhæ: consepulta enim fuisti mecum per baptismum in mortem, simul mecum etiam ascendisti in collem thuris; nam consurrexisti et in altum fuisti sublata in communione divinitatis: ascende etiam ab his ad alios montes proficiens et in altum evecta per evidentem cognitionem. Fidei namque tibi et ad sublimiora profectionis principium fuit hocce thus, cujus per resurrectionem particeps exstitisti, non amplius ad nuptias petita sed jam sponsa effecta: ab hoc ergo principio, quod est fides, *venies et transibis*: hoc est, et nunc venies et non cessabis semper transire per hujusmodi ascensiones *a capite Sanir et Ermon*. Per hoc autem subindicat mysterium su- D pernæ nativitatis: hinc enim dicent manare fontes Jordanis, super quos situs est hic mons; qui dividitur in duo cacumina quibus imposita sunt hæc nomina: a leonibus et pardis, a diabolicis carceribus et variis peccatis a quibus anima suffocatur. Meminit autem tristium per feras hasce ut suaviora redderet ea quæ delectant et ut in præsentibus bonis majorem capiat voluptatem, discens per comparationem quænam quibuscum mutavit: et simul ut per aversionem ab iis quæ sunt deteriora, in bonis stabilitatem et immutabilitatem obtineret.

Nili. — Rursum adhortatur quis Sponsam, monitor autem silet, sive ipsemet Sponsus sit, sive hujus amici qui a profano loco ipsum avocant vel

Digitized by Google

ab ethnico vivendi instituto; cum enim scirent Libanum leonum ac pardorum esse habitaculum, suadent illi ut ipsum deserat : cumque, ut par est, vdissent eam recedere incipientem et cum omni diligentia proficientem ex animi alacritate profectum conjicientes aiunt : omnino *venies et transibis :* nam fidei principium et in exordiis diligentia futuri transitus indicat velocitatem, spem multam suppeditans studiose quæsitum scopum assequendi; venies igitur a Libano harum ferarum regione, transibis autem feras illas illæsa. Incipiens enim proficisci *a capite fidei et a capite Sanir*, quod interpretatur *via lucernæ*, et *Ermon*, quod translatum est *lucrum* et *ros*, merito tentationes omnes transit, et virtutum adversariarum insidias evadit via lucernæ illustrata, et insidiantium machinationes eludens, rore autem mitigans itineris laborem. Quocirca etiam latibula actioni insidiantium leonum, ac montes contemplationi adversantium pardorum pertransiens obstupefecit adhortatores suos in celeritate. Fortassis vero etiam boves ac pardos vocat pristinos ethnicorum mores; montes vero erroneum ipsorum idololatriæ in excelsis cultum, et latibula rectam naturæ legem a qua moti naturaliter cognoscebant bonum. Mandra enim ovium pastarum caula est, non autem ferarum diversorium. Leones porro ac pardi, cum sint solitaria et ejusdem generis animalia, per eos utique gentes designat quæ cultum quidem impium per errorem frequentabant, sed vivendi rationem etsi non omnino rationi conformem, ovium tamen more directu facilem habebant, et non Judæorum, sed Christianorum vivendi instituto convenientem. Sponsa igitur, a fide iter suum ad sponsum auspicata, per ea quæ dicta sunt proficiscens multos secum Sponso exhibuit, cum muncra sponsalia dotemque suam Christo obtulit,

A ἀπὸ τοῦ περιγείου τόπου καλοῦσιν αὐτὴν, ἢ ἀπὸ τῆς ἐθνικῆς διαγωγῆς· οἰκητήριον γὰρ λεόντων καὶ παρδάλεων εἰδότες τὸν Λίβανον, ἀπολιπεῖν αὐτὸν αὐτὴν συμβουλεύουσιν· καὶ ὡς ἔοικεν ἀρξαμένην ἀναχωρεῖν ἐωρακότες, καὶ προβαίνουσαν μετὰ πάσης σπουδῆς, ἐκ τῆς προθυμίας τὴν προκοπὴν στοχασάμενοι, λέγουσιν· Ὄντως *ἐλεύσῃ καὶ διελεύσῃ*· ἡ γὰρ τῆς πίστεως ἀρχὴ, καὶ ἡ ἐν προοιμίοις σπουδὴ, τὸ τάχος σημαίνει τῆς μελλούσης διαβάσεως, ἐλπίδα πολλὴν ὑποτιθεμένη τῆς πρὸς τὸν σπουδαζόμενον σκοπὸν ἀφίξεως· Ἐλεύσῃ οὖν ἀπὸ Λιβάνου τοῦ τῶν θηρίων χωρίου· *διελεύσῃ* δὲ αὐτὰ τὰ θηρία ἀβλαβῶς. Ἀπὸ *κεφαλῆς γὰρ πίστεως* ὁδεύειν ἀρξαμένη, *καὶ ἀπὸ κεφαλῆς Σανεὶρ*, ὅπερ ἑρμηνεύεται *ὁδὸς λύχνου*· *καὶ Ἑρμὼν*, ὅπερ μεταληφθέν ἐστι *κέδρος* ἢ *δρόσος*,

B εἰκότως πάντα τὰ πειράζοντα διαβαίνει· καὶ τὰς ἐνέδρας τῶν ἀντικειμένων δυνάμεων παρέρχεται τῇ ὁδῷ τοῦ λύχνου φωτιζομένη· καὶ καταφόρους τὰς τῶν ἐπιβούλων μηχανὰς ποιουμένη, τῇ δὲ δρόσῳ παραμυθουμένη τὸν ἐπὶ τῇ πορείᾳ κάματον· διὸ καὶ τὰς μάνδρας τῶν τῇ πρακτικῇ ἐπιβουλευόντων λεόντων, καὶ τὰ δρη τῶν τῇ θεωρίᾳ ἐναντίων παρδάλεων παρελθοῦσα, ἔκπληξιν παρέσχε τοῖς προσκαλουμένοις αὐτὴν ἐν τῷ τάχει· ἴσως δὲ καὶ λέοντας καὶ παρδάλεις, τά ποτε τῶν ἐθνικῶν ἤθη λέγει· ὄρη δὲ τὴν πεπλανημένην αὐτῶν τῆς εἰδωλολατρείας ἐπὶ τῶν ὑψηλῶν θρησκείαν· καὶ μάνδρας, τὸ τῆς φύσεως εὔνομον· ἀφ' οὗ κινούμενοι φυσικῶς ἐπεγίνωσκον τὸ καλόν· μάνδρα γὰρ προβάτων ποιμαινομένων αὐλὴ,

C οὐχὶ δὲ θηρίων καταγώγιον· λέοντες δὲ καὶ παρδάλεις, μονωτικὰ, καὶ σύννομα· τὰ ἔθνη οὖν διὰ τούτων δηλοῖ, θρησκείαν μὲν ἀσεβῆ, διὰ πλάνην μετερχόμενα· πολιτείαν δὲ ἴσως εἶχον, εἰ καὶ μὴ λογικῶν, ἀλλὰ προβάτων τέως εὐτακτον καὶ συμβαίνουσαν, οὐ τῇ Ἰουδαίων, ἀλλὰ τῇ Χριστιανῶν διαγωγῇ· ἀπὸ πίστεως οὖν ἀρξαμένη ὁδεύειν πρὸς τὸν Νυμφίον ἡ Νύμφη, καὶ διὰ τῶν εἰρημένων ὁδεύσασα πολλοὺς μεθ' ἑαυτῆς παρέστησε τῷ ἡρμοσμένῳ, ἕδνα καὶ φερνὴν αὐτῆς προσαγαγοῦσα τῷ Χριστῷ.

Vers. 9. *Cor indidisti nobis, soror mea, Sponsa, cor indidisti nobis uno ex oculis tuis in uno serto colli tui.*

Cyrilli. — Nempe in tui nos desiderium adduxisti uno verbo confessionis, quod habuisti recte videns oculis tuis interioribus : subacta enim torque

D colli tui confessionem fecisti.

Θ'. *Ἐκαρδίωσας ἡμᾶς, ἀδελφή μου Νύμφη· ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου ἐν μιᾷ ἑνθέματι τραχήλου σου.*

Κυρίλλου. — Ἤγουν εἰς πόθον ἡμᾶς ἤγαγες σεαυτῆς, ἑνὶ ῥήματι τῆς ὁμολογίας· ὅπερ ἔσχες ὀρθῶς ὁρῶσα τοῖς ἔνδον ὀφθαλμοῖς σου· ὑποταγεῖσα γὰρ ἐνθέματι τοῦ τραχήλου σου, τὴν ὁμολογίαν ἐποίησας (56).

Gregorii. — Hæc ab amicis Sponsi, angelicis, unquam, virtutibus dicuntur ad Sponsam. Nam cum sit duplex videndi operatio, et altera quidem videat veritatem, altera vero decipiatur rebus vanis (quandoquidem circa solam boni naturam apertus est Sponsæ oculus, alter autem plane otiosus est : idcirco uni oculorum amici laudem tribuunt, sororem quidem ipsam appellantes propter impatibilitatis cognationem; Sponsam vero propter ejus

Γρηγορίου. Ταῦτα παρὰ τῶν φίλων τοῦ Νυμφίου, ἀγγελικῶν, φημὶ, δυνάμεων, λέγεται πρὸς αὐτήν· διττῆς γὰρ οὔσης τῆς ὀπτικῆς ἐνεργείας, καὶ τῆς μὲν τὴν ἀλήθειαν ὁρώσης, τῆς δὲ ἑτέρας περὶ τὰ μάταια πλανωμένης, ἐπειδὴ περὶ μόνην τοῦ ἀγαθοῦ τὴν φύσιν ἀνέῳκται τῆς Νύμφης ὁ καθαρὸς ὀφθαλμὸς, ἀργεῖ δὲ ὁ ἕτερος· τούτου χάριν ἑνὶ τῶν ὀφθαλμῶν προσάγουσιν οἱ φίλοι τὸν ἔπαινον· ἀδελφὴν μὲν αὐτὴν καλοῦντες, διὰ τῆς ἀπαθείας συγγένειαν· Νύμφην δὲ, διὰ

NOTÆ.

Quæ sequuntur in C. B. Gregorii nomen præ se ferunt.

Digitized by Google

τὴν πρὸς τὸν Λόγον συνάφειαν. Ἐπεὶ οὖν, φησὶν, ὁ ὀφθαλμός σου εἷς ἐν τῷ πρὸς τὸ ἓν βλέπειν, καὶ ψυχὴ μία διὰ τὸ μὴ πρὸς διαφόρους διαθέσεις μερίζεσθαι· καὶ ἡ θέσις τοῦ τραχήλου σου τὸ τέλειον ἔχει τὸν θεῖον ζυγὸν ἐφ' ἑαυτῆς ἁρμένη (τοῦτο γὰρ τὸ, *Ἐνθέματι τραχήλου σου*· εἶτ' οὖν ὁ τοῦ Κυρίου ζυγός)· τούτου χάριν ὁμολογοῦμεν ὅτι τοῖς θαύμασιν ἡμᾶς ἐκαρδίωσας· ὅπερ ἐστὶ ψυχήν τινα καὶ διάνοιαν πρὸς τὴν τοῦ φωτὸς κατανόησιν δι' ἑαυτῆς ἡμῖν ἐνεποίησας· καὶ γὰρ ἐν σοὶ τὸν τῆς δικαιοσύνης ἥλιον ὡς ἐν κατόπτρῳ κατανοοῦμεν· διὰ δὲ τῆς δευτερώσεως ἀξιοπιστίαν προτιθέασι τῷ λεγομένῳ.

Νείλου. — Ὁ Νυμφίος ἐκ προσώπου παντὸς τοῦ χοροῦ ταῦτά φησιν· τὴν μὲν ἔκπληξιν ἐπὶ πάντας φέρων, τὴν δὲ οἰκειότητα τῆς Νύμφης, ἐπὶ μόνον ἑαυτὸν, *Ἀδελφή μου*, λέγων, *Νύμφη*, καὶ οὐχ ἡμῶν· κἂν γὰρ διαφέρουσι κατὰ τὴν οὐσίαν ἄγγελοι τῆς ψυχῆς, ἐλαττοῦνται τῷ ἀξιώματι τῆς ἡρμοσμένης Χριστῷ, καὶ ἀπ' ἀρχῆς γινομένης τοῦ ἡμετέρου φυράματος· καὶ τῆς ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καθέδρας ἠξιωμένης· καὶ διὰ τοῦτο τοῦ Νυμφίου ἀδελφὴ ὀνομάζεται· καὶ ὁμαίμων αὐτῷ κατὰ τὴν τῆς σαρκὸς οἰκονομίαν γενομένη καὶ ὁμογάστριος· ἐκαρδίωσε δὲ αὐτοὺς ἑνὶ ἀπὸ ὀφθαλμῶν, ὡς τὰ θεῖα κατανοοῦντι πράγματα· οἱ γὰρ ὀφθαλμοὶ, ὁ μὲν ἀριστερὸς τοῖς σωματικοῖς προσέχει, καλῶς ταῦτα διατιθείς· ὁ δὲ ἕτερος τοῖς νοητοῖς ἐνατενίζει, καὶ τοῖς μέλλουσι προσέχει, ὃς καὶ ἐκαρδίωσε τοὺς ἑταίρους τοῦ Νυμφίου· περιεσκεμμένως καὶ μετὰ πολλῆς νήψεως παρελθὼν τὰς τῇ θεωρίᾳ λυμαινομένας παρδάλεις, καὶ τὸ οἰκεῖον κάλλος τηρήσας· καὶ ἐν μιᾷ ἐνθέματι τραχήλου τῆς Νύμφης ἐκαρδιώθησαν· ὅπερ οἱ λοιποὶ, *Ἐν ἑνὶ ὁρμίσκῳ τράχηλός σου*, πεποιήκασι· τάχα οὖν ἐπὶ ἀνωτέρω, *Τράχηλός σου*, λέγων, *ὡς ὁρμίσκοι*, τὴν ἐπὶ πάσαις ταῖς ἀρεταῖς ταπεινοφροσύνην ἐπῆνει· νῦν ἐφ' ἑνὶ ὁρμίσκῳ τοῦ τραχήλου ἐκπλήττεται ταύτην· ὅτι καὶ Νύμφη γενομένη τοῦ βασιλέως, τὴν αὐτὴν κατάστασιν τῆς ταπεινώσεως σώζει.

Ὠριγένους. — Τὸ *ἔνθεμα* εἴρηται παρὰ τὸ ἐντίθεσθαι καὶ ἐνορμᾶσθαι τῷ τραχήλῳ τῆς Νύμφης, κ. τ. λ. (57).

ι'. *Τί ἐκαλλιώθησαν οἱ μαστοί σου, ἀδελφή μου Νύμφη; τί ἐκαλλιώθησαν μαστοί σου ἀπὸ οἴνου; καὶ ὀσμὴ ἱματίων σου ὑπὲρ πάντα τὰ ἀρώματα.*

Γρηγορίου. — Ἐπισφραγίζει τῆς Νύμφης ὁ Νυμφίος τὸ παρὰ τῶν φίλων ἐγκώμιον, ἐπαινῶν αὐτὴν ἐν ταῖς τῶν ἀγαθῶν διδαγμάτων πηγαῖς, οἰνονάλλ' οὐκ ἔτι γάλα προχεούσαις· δι' οὗ ταῖς τελειωτέραις καρδίαις ἡ εὐφροσύνη· ἡ δὲ τῶν ἀρετῶν εὐωδία πᾶν ἄρωμα, φησὶν, νενίκηκε νομικὸν, μυρεψούμενον τοῖς εὐαγγελικοῖς ἐπιτάγμασιν· ὅμοια δὲ τὰ τοῦ Νυμφίου, τοῖς ἐν ἀρχῇ παρὰ τῆς Νύμφης πρὸς ἑαυτὸν εἰρημένοις· *Ὅτι ἀγαθοὶ οἱ μαστοί σου ὑπὲρ οἶνον, καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα*· τοιοῦτον γὰρ τὸ θεῖον ἔργον, ἐὰν ὁμοίους ἑαυτοὺς αὐτῷ

A cum Verbo conjunctionem. Cum igitur, inquiunt, oculus tuus unus sit, eo quod ad unum respiciat, et anima tua una, quod ad diversas affectiones minime dividatur et situs colli tui perfectionem habeat quod divinum jugum sustulerit; hoc enim sibi vult illud *in serto colli tui*, nempe jugum Christi. Propterea confitemur quod tuis miraculis cor nobis indidisti, id est animum quemdam ac intellectum ad luminis receptionem per te nobis indidisti, siquidem in te velut in speculo justitiæ solem cognoscimus. Per repetitionem autem dicto suo dignam fidem conciliant.

Nili. — Sponsus ex persona chori universi hæc ait, stuporem quidem omnibus afferens : familiaritatem vero Sponsæ sibi soli reservans, dum ait : B *Soror mea Sponsa*, et non nostra. Licet enim angeli quoad substantiam animi præstent, dignitate tamen inferiores sunt illa quæ Christo adaptata fuit, et nostræ massæ primitias tulit, et super omnem principatum ac potestatem ac virtutem digniorem sedem accepit, et propterea Sponsi soror nominatur, ipsi consanguinea secundum carnis dispensationem et couterina effecta. Cordificavit autem ipsos uno ex oculis quo res divinas percepit. Nam oculorum animæ sinister quidem res corporeas attendit, eas recte disponens; alter vero ad spiritualia intendit, et futuris inhæret qui soda'es Sponsi diserte cordificavit, et cum multa cautela pardos contemplationi officientes pertransiit, propriamque pulchritudinem servavit. In uno serto C colli Sponsæ cordificati sunt; quod reliqui verterunt *in uno monili colli tui*. Fortassis vero superius dicens : *Collum tuum sicut monilia*, in omnibus virtutibus humilitatem laudavit : nunc in uno monili colli eam obstupescit quod etiam Sponsa regis facta, eumdem humilitatis tenorem servet.

Origenis. — Ἔνθεμα dicitur quod inditum et insertum est collo Sponsæ, etc.

VERS. 10. *Quam pulchra facta sunt ubera tua, soror mea sponsa! quam pulchra facta sunt ubera tua a vino! Et odor vestimentorum tuorum super* D *omnia aromata.*

Gregorii. — Sponsus ab amicis Sponsæ datum encomium subsignat, laudans ejus in bonorum dogmatum fontibus vinum, sed non amplius lac profundentibus, unde perfectioribus cordibus oritur lætitia. Bonus autem virtutum odor est omne aroma. Cæterum hæc sponsi similia sunt iis quæ in principio a Sponsa ad ipsum dicta sunt : *Quoniam bona ubera tua super vinum, et odor unguentorum tuorum super omnia aromata.* Istiusmodi enim est divinum opus, si similes nosmetipsos illi per liberi arbitrii electionem ostenderimus. Quam-

NOTÆ.

(57) *Patrolog* t. XCVII, col. 274.

Digitized by Google

orem etiamnum Sponsa simile accipit responsum in melius transmutata, unde et sororem ipsam vocat, eo quod eadem qua ipse ratione vinum scaturiat.

Nili. — Emendationem ac profectum uberum sponsæ edisserit, ut ait prius quidem in liliis sicut duo hinnuli capreæ gemelli pascebantur, nimirum a Domino et in loco pascuæ morabantur, quod ovium haberent statum. Nunc autem quando a vino pulchritudinem acceperunt, eo pervenerunt ut parata ratione præditis mensa et inebriante calice fruantur. Non enim idem lac quod vinum est; illud namque infantium, hoc perfectorum est nutrimentum. Cum igitur cibis matris assimiletur lac, et alumnos convenienti nutriat qualitate, tum a vino Sponsæ ubera pulchra fiunt, quando eos qui verbo erudiendi sunt, perfecta ad lætitiam spiritalem erudierint doctrina, mystico sanguine confirmando, sensus familiarium ad eorum quæ vulgo conducunt cognitionem. Odor autem vestimentorum Sponsæ sunt (homines) practici et virtutum operibus fragrantes. Vestimenta enim sunt virtutes morales, quemadmodum et Paulus ait : « Induite benignitatem, humilitatem [76] »; actio enim ad salutem opportunior est contemplatione.

διὰ τῆς προαιρέσεως δείξωμεν· διὸ νῦν ἡ Νύμφη τὴν ὁμοίαν ἀπόκρισιν δέχεται πρὸς τὸ κρεῖττον ἀλλοιωθεῖσα· ὅθεν καὶ ἀδελφὴν αὐτὴν καλεῖ διὰ τὸ οἶνον πηγάζειν ὁμοίως αὐτῷ.

Νείλου. — Βελτίωσιν καὶ προκοπὴν τῶν μαστῶν διηγεῖται τῆς Νύμφης· πρότερον μὲν ὅτε ἐν κρίνοις δύο νεβροὶ δίδυμοι δορκάδος ἐνέμοντο· τάχα τῶν ποιμαινομένων ὑπὸ τοῦ Κυρίου, καὶ εἰς τόπον χλόης κατασκηνούντων, προβάτων τὴν κατάστασιν ἐχόντων· νῦν δὲ ὅτε ἀπὸ οἴνου ἐκαλλιώθησαν, εἰς τὸ τῆς ἡτοιμασμένης τοῖς λογικοῖς τραπέζης, καὶ τοῦ μεθύσκοντος ποτηρίου ἀπολαύειν φθασάντων· οὐ ταυτὸν γὰρ γάλα καὶ οἶνος· τὸ μὲν γὰρ νηπίων, τὸ δὲ τελείων τροφή· ἐπεὶ οὖν τοῖς σιτίοις τῆς μητρὸς ἐξομοιοῦται τὸ γάλα, καὶ τοὺς τιθηνομένους τρέφει καταλλήλῳ πιότητι, τότε ἀπὸ οἴνου τῆς Νύμφης οἱ μαστοὶ καλλιοῦνται, ὅτε τοὺς μαθητευομένους τῷ λόγῳ τελείαν πρὸς εὐφροσύνην πνευματικὴν παιδεύωσι διδασκαλίαν, τῷ μυστικῷ τοιοῦντες αἵματι τὰ αἰσθητήρια τῶν γνωρίμων, πρὸς τὴν τῶν συμφερόντων ἐπίγνωσιν· *Ὀσμὴ δὲ ἱματίων σου*, τῆς Νύμφης εἰσὶν οἱ πρακτικοὶ, καὶ τοῖς ἔργοις τῶν ἀρετῶν εὐωδιάζοντες· ἱμάτια γὰρ, αἱ ἠθικαὶ ἀρεταί· ὡς καὶ Παῦλος, « Ἐνδύσασθε, λέγων, χρηστότητα, ταπεινοφροσύνην· » πρᾶξις γὰρ πρὸς σωτηρίαν, θεωρίας ἐπιτηδειοτέρα.

Vers. 11. *Favum distillant labia tua, Sponsa; mel et lac sub lingua tua.*

ια'. *Κηρίον ἀποστάζουσι χείλη σου, Νύμφη· μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου.*

Philonis. — Mel Evangelium, lac vero lex.

Φίλωνος. — Μέλι τὸ Εὐαγγέλιον, γάλα ὁ νόμος.

Gregorii. — Cor tuum, inquit, factum est plenum favis omnis generis eruditionis; unde profers ex bono thesauro cordis suaves sermonum stillas, adeo ut oratio tibi sit mel cum lacte mistum. Non enim unius generis utilitatem præbes auditoribus, sed viribus eorum qui suscipiunt congruentem, adeo ut et perfectioribus conveniat, et infantibus : perfectis quidem mel, infantibus vero lac exsistens.

Γρηγορίου. — Πλήρης σοι, φησὶ, γέγονεν ἡ καρδία τῶν τῆς παντοδαπῆς παιδεύσεως κηρίων· ὅθεν προσφέρεις ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας τὰς μελιχρὰς τῶν λόγων σταγόνας, ὡς εἶναι μέλι τὸν λόγον συναναμεμιγνύμενον τῷ γάλακτι· οὐ γὰρ μονοειδῆ τοῖς ἀκούουσι τὴν ὠφέλειαν παρέχεις, ἀλλὰ καταλλήλως πρὸς τὴν τῶν δεχομένων δύναμιν· ὡς καὶ τοῖς τελειοτέροις καὶ τοῖς νηπιάζουσιν οἰκείως ἔχειν, τοῖς μὲν τελειοτέροις μέλι, τοῖς δὲ νηπιάζουσι γάλα γίνεσθαι.

Nili. — Cum utilis doctrina pro omni statu conservando Sponsæ insit, mel et lac nuncupatur; vel ab effectu favus dicitur; hic enim stillat omnibus in prolatione sermonis significatus. Latet autem sub lingua omnes reliquos præter Sponsum, qui cum illa communicat. Qualitas namque oris mel sub lingua lingentis in osculo discernitur ex linguæ alterius communione; et cordis affectiones dignoscuntur ab eo qui arcana explorat. Quoniam autem « ex abundantia cordis os loquitur [77], » ex favo de Sponsæ labiis stillante, pulchritudinis cogitationum ejus capere licet conjecturam. Odor autem vestimentorum ejus paulo ante quidem super omnia aromata, nunc vero non super thus, sed sicut odor thuris dicitur, pro superlativo significatus. Rursus autem rerum practicarum virtutem, eo quod ad Deum dirigitur, incensuum odori assimilavit,

Νείλου. — Τῆς καθ' ἕξιν ὑπαρχούσης πρὸς πᾶσαν κατάστασιν ὠφελίμου διδασκαλίας τῇ Νύμφῃ, μέλιτος καὶ γάλακτος ὀνομαζομένης, ἡ κατ' ἐνέργειαν κηρίον εἴρηται· αὕτη γὰρ ἀποστάζει πᾶσιν, ἐν προφορᾷ τοῦ λόγου δηλουμένη· ἐκείνη δέ ἐστιν ὑπὸ τὴν γλῶσσαν λανθάνουσα, πλὴν τοῦ κοινωνοῦντος αὐτῇ Νυμφίου, τοὺς λοιποὺς ἅπαντας· ποιότης γὰρ στόματος ἐν φιλήματι κρίνεται, τοῦ ὑπὸ τὴν γλῶτταν μέλιτος ἐλεγχομένου· κοινωνία γλώττης ἑτέρας καὶ καρδίας διάθεσις, γνώσει τοῦ τὰ κρυπτὰ δοκιμάζοντος καταλαμβάνεται· ἐπειδὴ δὲ, « ἐκ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ, » στοχάσασθαι ἔστι τὸ κάλλος τῶν νοημάτων τῆς Νύμφης, ἐκ τοῦ ἀποστάζοντος τῶν χειλέων αὐτῆς κηρίου· ὀσμὴ δὲ ἱματίων αὐτῆς πρὸ μικροῦ μὲν ὑπὲρ πάντα τὰ ἀρώματα, νῦν δὲ οὐχ ὑπὲρ λίβανον, ἀλλ' ὡς ὀσμὴ λιβάνου· ἀντὶ τοῦ ὑπερβολικοῦ, συγκριτικῷ ὀνόματι δηλουμένη·

[76] Galat. v, 22. [77] Matth. xii, 34.

Digitized by Google

πάλιν δὲ τὴν τῶν πρακτικῶν ἀρετὴν, τῇ τῶν θυμιαμάτων ὀσμῇ, διὰ τὸ πρὸς Θεὸν κατευθύνεσθαι, ὁμοίωσεν· ὀσμὴν λιβάνου, τὴν τῶν ἔργων εὐωδίαν εἰρηκώς.

A odorem thuris appellans suavem operum odorem.

Καὶ ὀσμὴ ἱματίων σου ὡς ὀσμὴ λιβάνου.

Et odor vestimentorum tuorum sicut odor thuris.

Γρηγορίου (58). — Ἤγουν κεκόσμησαι θεολογίας πνέουσιν ἱματίοις· ἐπείπερ οὐ μονοειδής τίς ἐστιν, οὐδὲ μονότροπος ἡ κατ' ἀρετὴν πολιτεία, ἀλλ' ὥσπερ ἐπὶ τῆς τῶν ὑφασμάτων κατασκευῆς, διὰ τῶν πολλῶν νημάτων ἡ ὑφαντικὴ τέχνη τὴν ἐσθῆτα ποιεῖ, οὕτω καὶ ἐπὶ τῆς ἐναρέτου ζωῆς πολλὰ χρὴ συνδραμεῖν, δι' ὧν ὁ ἀστεῖος ἐξυφαίνεται βίος· ἅπερ καὶ ἀπαριθμεῖται ὁ θεῖος Ἀπόστολος· « Χαρὰν, εἰρήνην, μακροθυμίαν, » καὶ τὰ τοιαῦτα· τούτου χάριν ἀποδέχεται τὸν ἐν ἐσθῆτι κόσμον τῆς Νύμφης, ὡς τῷ λιβάνῳ κατὰ τὴν ὀσμὴν ὁμοιούμενον· καί φησιν· ὅτι Σοι, ὦ Νύμφη, τῶν ἀρετῶν ἡ περιβολὴ, τὴν θείαν μιμεῖται μακαριότητα, διὰ καθαρότητος καὶ ἀπαθείας τῇ ἀπροσίτῳ φύσει ὁμοιουμένη· τοιαύτη γὰρ ἡ τῶν ἱματίων ὀσμὴ, ὡς πρὸς τὸν λίβανον ἐμφερῶς ἔχειν τὸν ἀντικείμενον εἰς τὴν τοῦ Θεοῦ τιμήν.

B

Gregorii. — Nempe ornata es theologiæ fragrantibus vestimentis. Quandoquidem non est unius formæ, neque unius modi vita quæ ex virtute ducitur; sed quomodo in tela seu panni textura per multa fila texendi ars vestem conficit, ita etiam in vita quæ ex virtute agitur, multa oportet concurrere, per quæ bona vita texitur, quæ et divinus Apostolus recenset « gaudium, pacem, longanimitatem, » et quæ sunt hujusmodi. Propterea capit eum qui in veste sponsæ est ornatum, utqui odore similis sit thuri, et ait: Tuum, o Sponsa, virtutum indumentum imitatur divinam beatitudinem, per puritatem et impatibilitatem assimilata naturæ ad quam non patet aditus; talis est enim odor tuorum vestimentorum ut sit similis thuri, quod Dei honori est dicatum.

ιβ'. *Κῆπος κεκλεισμένος, ἀδελφή μου Νύμφη· κῆπος κεκλεισμένος, πηγὴ ἐσφραγισμένη.*

Vers. 12. *Hortus conclusus, soror mea, sponsa, hortus conclusus, fons signatus.*

Ἀπολιναρίου. — Κῆπος δὲ ἄλλως κεκλεισμένος ἡ Νύμφη, διότι πλείονα τοῦ φαινομένου κατὰ διάνοιαν ἔχει.

Apollinarii. — Hortus porro aliter conclusus est Sponsa, quoniam plura quam appareant in mente habet.

Κυρίλλου. — Κέκλεισται μὲν τῷ κόσμῳ, τῷ δὲ ἐπουρανίῳ Νυμφίῳ ἠνέῳκται· ἡ δὲ πηγὴ τῷ ἁγίῳ Πνεύματι ἐσφράγισται ᾧ χριόμεθα μετὰ τὸ βάπτισμα.

Cyrilli. — Conclusa quidem est mundo, sed aperta cœlesti sponso: fons autem Spiritu sancto signatus est, quo post baptismum inungimur.

Γρηγορίου. — Διὰ τούτων πάλιν μανθάνομεν, πῶς ἂν τις γένοιτο τοῦ Κυρίου ἀδελφὴ καὶ ὁμόζυγος. Νύμφη μὲν γὰρ γίνεται, διὰ τοῦ προσκολληθῆναι τῷ Κυρίῳ· ἀδελφὴ δὲ, διὰ τοῦ τὸ θέλημα αὐτοῦ κατεργάζεσθαι· ὁ δὲ τοιοῦτος κῆπος εὐθαλὴς γενέσθω· πάντων ἔχων ἐν ἑαυτῷ τῶν φυτῶν τὴν ὥραν καὶ καρπὸν, προβαλλέσθω τοῦ Πνεύματος· κεκλεισμένος δὲ τοῖς ἐχθροῖς τῷ τῶν ἐντολῶν περιφράγματι· ὡς μηδὲ μίαν καθ' ἑαυτοῦ παρασχεῖν τῷ κλέπτῃ καὶ τοῖς θηρίοις τὴν πάροδον· ἀλλὰ τῷ κήπῳ τούτῳ καὶ πηγῆς ἐστι χρεία, ὡς ἂν εὐθαλὲς διαμένει τὸ κάλλος τῷ ὕδατι, εἰς τὸ διηνεκὲς πιαινόμενον· διὰ τοῦτο συνέζευξεν ἐν τοῖς ἐπαίνοις τὴν πηγὴν τῷ κήπῳ· αὕτη δ' ἂν εἴη ἡ διανοητικὴ τῆς ψυχῆς ἡμῶν δύναμις· ἡ παντοίους ἐν ἡμῖν λογισμοὺς βρύουσά τε καὶ πηγάζουσα· ἀλλὰ τὸ ἡμέτερα γίνεται ἡ πηγὴ, κατὰ τὸ, « Ἡ πηγὴ τοῦ ὕδατος ἔστω σοι ἰδία· » ἤγουν τὸ τῆς διανοίας ἡμῶν κίνημα ὅταν πρὸς τὰ συμφέροντα ἡμῖν κινεῖται, πᾶσαν συνέργειαν πρὸς τὴν τῶν ἀγαθῶν κτῆσιν παρεχόμενον, καὶ μὴ πρὸς ἀλλοτρίους καὶ πονηροὺς λογισμοὺς ἐκχεόμενον, ἐξ ὧν φύονται ἄκανθαι· ἐπεὶ δὲ καὶ ἡ σφραγὶς τὸ ἄσυλον σημαίνει, τὴν ἀκροτάτην ἔοικεν ἀρετὴν μαρτυρεῖν τῇ Νύμφῃ, ὅτι ἀνέπαφος αὐτῆς μένει τοῖς ἐχθροῖς ἡ διάνοια, ἐν καθαρότητι καὶ ἀπαθείᾳ φυλαττομένη τῷ ἰδίῳ Δεσπότῃ, ἢ καὶ μὴ τοῖς σωματικοῖς ἐνασχολεῖσθαι, ἀλλὰ τὴν τῆς ψυχῆς ἐπιμέλειαν δι' ἀρετῆς ποιεῖσθαι παρακελεύεται.

C

D

Gregorii. — Per hæc rursum discimus quemadmodum fiat quis soror et conjux Domini; nam Sponsa quidem fit per hoc quod conjungatur Domino; soror autem propterea quod ejus faciat voluntatem; qui vero est hujusmodi fiat hortus bene germinans, omnium habens in se plantarum pulchritudinem et fructum spiritus producat; conclusus vero inimicis mandatorum sepimento, ut furibus et bestiis nullum ad se præbeat aditum. Sed ejusmodi horto opus est etiam fonte ut bene germinans permaneat pulchritudo aqua perenni irrigata: propterea in laudibus horti adjunxit fontem. Hic autem sit animæ nostræ facultas cogitandi quæ omnis generis ratiocinationes in nobis scatere et emanare facit. Tunc autem fit fons noster (juxta illud: « Fons aquæ sit tibi proprius »), nempe motus nostræ cogitationis, quando omnis nostra operatio movetur ad ea quæ sunt nobis utilia et bonorum exhibent possessionem, nec ad alienas et pravas cogitationes effunditur, e quibus oriuntur spinæ; cum autem signaculum etiam integritatem designat, videtur Sponsæ de summa virtute ferre testimonium, quod ab inimicis intacta ei maneat cogitatio: in puritate et impatibilitate suo Domino custodita. Vel etiam rebus corporeis minime vacare, sed animæ diligentiam per virtutem adhibere adhortatur.

NOTÆ.

(58) Ἤγουν — ἱματίοις. Origenis sunt in C. B. et ad versiculum præcedentem pertinent.

Digitized by Google

Nisi. — Sæpe olera carnibus præferenda, quando præsertim hæc ecclesiastica condescensione sunt infirmorum utilis exhortatio; carnes vero hæreticæ doctrinæ crudæ ac digestu difficiles. Cum igitur sponsa sit hortus omnigenorum virtutis fructuum, horum quoque olerum hortus, et infirmorum solatium exsistit : quin et amicitiæ gratiæque causa proponitur. Oportebat enim Sponsæ hortum etiam olera continere, ne dum infantes lac habent, et perfecti pane ac vino nutriuntur ac deliciantur sermonibus divinarum intelligentiarum melle sensibili guttur dulcorantibus, soli infirmi congruo frustrentur alimento. Est autem hic hortus conclusus propter transeuntes et propter suem de silva vastantem ea quæ non sunt septo munita. Sed et fons signatus est ne in promptu sit indignis haurire conantibus. Cum enim Sponsam hæreticorum oculis et adversariis virtutibus intactam esse velit, fontem ipsum vocat conclusum : signaculo quo insidiis minime exposita significetur.

Origenis. — Secundo repetitur illud *hortus conclusus*, etc.

Vers. 13-15. *Emissiones tuæ paradisus malorum punicorum cum fructu nucum. Cypri cum nardis, nardus et crocus, calamus et cinnamomum, cum omnibus lignis Libani : myrrha et aloe cum omnibus primis unguentis. Fons hortorum puteus aquæ viventis et cum strepitu fluentis a Libano.*

Gregorii. — Vide ascensum, in tantum enim in majus incrementis elevata est, ut etiam *ex ore suo germinaret paradisus.* Sic enim Hebraicum habet pro : *Emissiones tuæ paradisus malorum punicorum.* Ait igitur : Quoniam sermo tuus, qui per os tuum emittitur, est paradisus malorum punicorum. Mala vero punica producunt omne genus fructuum; omnes autem arbores fructus sunt, cyprus et nardus, etc. Quis autem sermo nisi fidei qui in suscipientibus fit paradisus, per auditum cordibus insitus : malis vero punicis plenum dicit, quoniam justus in amaris hujus vitæ periculis potissimum fructum fert, et in eis habet dulcedinem ac nutrimentum, sicut malum punicum intra acerbitatem edulium. Propterea igitur videtur malorum punicorum paradisum efficere sermo qui a Sponsa in auditorum animis inmittitur, ut discamus per ea quæ dicuntur, non per dissolutionem aliquam et delicias in vita præsenti emolliri et enervari, sed per continentiam vitam duram et asperam eligere. Ita enim ad fructum virtutis furibus non patebit aditus, ut qui austero continentiæ ambitu sit obseptus. Oportet porro etiam animæ paradisum ferre omnem odorem bonum per multifariam aromatum naturam quæ in pomorum istorum fructibus reperitur : ac in primis *cypros cum nardis*, quæ calorem cum odore bono continent, ut fiat quis Spiritu

Νείλου. — Ἔστι λάχανα πολλάκις κρεῶν προκρινόμενα, ὅταν μάλιστα μὲν ταῦτα ἐκκλησιαστικῇ συγκαταβάσεως ᾖ· τῶν ἀσθενῶν παραίνεσις πρόσφορος· τὰ δὲ κρέα, αἱρετικῆς διδασκαλίας ὠμὰ καὶ ἀκατέργαστα· μετὰ ταῦτα εἶναι καρπῶν παντοίων ἀρετῆς κῆπος ἡ Νύμφη· καὶ τούτων τῶν λαχάνων ἐστὶ κῆπος, κἂν ἀσθενούντων ἐστὶ παραμυθία, ἀλλὰ καὶ πρὸς φιλίαν καὶ χάριν παρατίθενται· ἔδει γὰρ καὶ λάχανα τὸν τῆς Νύμφης ἔχειν παράδεισον· ἵνα μὴ τῶν νηπίων ἐχόντων γάλα, καὶ τῶν τελείων ἄρτῳ καὶ οἴνῳ τρεφομένων, καὶ τῶν ἐντρυφώντων τοῖς λόγοις μέλιτι γλυκαινόντων, τὸν τῶν θείων νοημάτων αἰσθόμενον λάρυγγα μόνοι οἱ ἀσθενοῦντες ἀποστερῶνται τῆς καταλλήλου τροφῆς· κεκλεισμένος δέ ἐστιν οὗτος διὰ τοὺς παραπορευομένους καὶ διὰ τὸν λυμαινόμενον τὰ ἀπερίφρακτα ὗν ἐκ δρυμοῦ· καὶ πηγὴ δέ ἐστιν ἐσφραγισμένη, ἵνα μὴ πρόχειρος ᾖ τοῖς ἀναξίοις ἀντλεῖν ἐπιχειροῦσιν· αἱρετικῶν γὰρ ὀφθαλμοῖς καὶ δυνάμεων ἀντικειμένων ἄβατον εἶναι θέλων τὴν Νύμφην, πηγὴν αὐτὴν καλεῖ ἐσφραγισμένην, τῇ σφραγῖδι τὸ ἀνεπιβούλευτον σημαίνων.

Ὠριγένους. — Δεύτερον τὸ, *κῆπος κεκλεισμένος*, κ. τ. λ. (59).

ιγ'-ιε'. *Ἀποστολαὶ παραδείσου ῥοῶν μετὰ καρποῦ ἀκροδρύων· κύπροι μετὰ νάρδων· νάρδος, καὶ κρόκος, καὶ κάλαμος, καὶ κινάμωμον, μετὰ πάντων ξύλων τοῦ Λιβάνου· σμύρνα, ἀλόη, μετὰ πάντων πρώτων μύρων· πηγὴ κήπων φρέαρ ὕδατος ζῶντος καὶ ῥοιζοῦντος ἀπὸ Λιβάνου.*

Γρηγορίου. — Ὅρα τὴν ἄνοδον· εἰς τοσοῦτον γὰρ ὑψώθη τῆς ἐπὶ τὸ μεῖζον αὐξήσεως, *ὡς ἐκ στόματος αὐτῆς βλαστάνειν παράδεισον*· οὕτω γὰρ τὸ Ἑβραϊκὸν ἀντὶ τοῦ, *Ἀποστολαί σου, ἐκ στόματός σου, παράδεισος ῥοῶν*, ἔχει· φησὶν οὖν, ὅτι Ὁ λόγος σου ὁ διὰ τοῦ στόματός σου ἀποστελλόμενος παράδεισός ἐστι ῥοῶν· αἱ δὲ ῥοαὶ, παγκαρπίαν τινὰ τῶν ἀκροδρύων ἐκφύουσι, τὰ ἄκρόδρυα, κύπρος καὶ νάρδος καὶ τὰ ἑξῆς· τίς δὲ ὁ λόγος, ἢ ὁ τῆς πίστεως; ὃς ἐν τοῖς ὑποδεχομένοις παράδεισος γίνεται διὰ τῆς ἀκοῆς ταῖς καρδίαις ἐμφυτευόμενος; ῥοῶν δὲ πλήρη φησὶν, ἐπειδήπερ ὁ δίκαιος ἐν ταῖς πικραῖς τοῦ βίου περιστάσεσιν, μάλιστα καρποφορεῖ, καὶ ἐν αὐταῖς ἔχει τὸ γλυκὺ καὶ τρόφιμον, ὥσπερ ἡ ῥόα, ἔνδον τοῦ στρυφνοῦ τὸ ἐδώδιμον· διὰ τοῦτο τοίνυν δίκην ῥοῶν παραδείσου ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς ὁ ἀποστελλόμενος παρὰ τῆς Νύμφης λόγος ἐργάζεται· ἵνα μάθωμεν διὰ τῶν λεγομένων, μὴ διά τινος ἐκλύσεως καὶ τρυφῆς κατὰ τὴν παροῦσαν ζωὴν μαλακίζεσθαι, ἀλλὰ τὸν κατεσκληκότα διὰ τῆς ἐγκρατείας αἱρεῖσθαι βίον· οὕτω γὰρ ἂν ἀπρόσιτος γένοιτο τοῖς κλέπταις ὁ τῆς ἀρετῆς καρπὸς, τῇ στυφῇ τῆς ἐγκρατείας περιβολῇ πεφραγμένος· χρὴ δὲ καὶ πᾶσαν εὐωδίαν τὸν τῆς ψυχῆς φέρειν παράδεισον, διὰ τῆς πολυειδοῦς τῶν ἀρωμάτων φύσεως, ἐν τοῖς ἀκροδρύοις εὑρισκομένοις· καὶ πρῶτον μὲν, *κύπροι μετὰ νάρδων*, τὸ θερμὸν καὶ εὐῶδες ἔχοντες, ἵνα γένηται

NOTÆ.

(59) *Patrolog.* t. XVII, col 272, 273.

Digitized by Google

τῷ ἁγίῳ Πνεύματι ζέων· ἔπειτα δὲ κρόκος, ὃς παρηγορεῖ τὰς ὀδύνας, μέσως τε ψύξεως ἔχων καὶ θερμότητος· οὕτω γὰρ αἱ ἀρεταὶ μέσως ἔχουσιν ὑπερβολῆς τε καὶ ἐλλείψεως· ἢ τὸν τῆς πίστεως λόγον διὰ τούτου παρεμφαινει, τὴν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ὁμολογίαν, διὰ τὴν τριπλόην τὴν εὑρισκομένην ἐν τοῖς ἄνθεσι τούτοις· καὶ ἓν τὰ τρία ὑπάρχοντα κατά τε εὐχροιαν καὶ εὐπνοιαν· εἶτα *κάλαμος καὶ κινάμωμον*, τὰ ἀκρόδρυα τὰ ἐκ τῶν βλῶν τοῦ παραδείσου καρποφορούμενα· ἀλλὰ κάλαμος μὲν τοσοῦτον εὐπνοιαν ὑπερέχει, ὡς πρὸς τὸ ἱερατικὸν θυμίαμα ὑπὸ τοῦ νόμου παραλαμβάνεσθαι· τὸ δὲ κινάμωμον ποικίλην ἐνέργειαν διά τινος φυσικῆς δυνάμεως ἐπαγγέλλεται· καὶ γὰρ ἐν τοῖς θερμοῖς ἐκβαλλόμενον ἀποψύχει· δεικνύντος τοῦ λόγου, ὅτι ὅταν τις δι' ἐπιθυμίαν ζέων ἢ ἢ τῷ θυμῷ πυρακτούμενος, τῷ λογισμῷ χρὴ κατασβεννύειν τὰ πάθη· ἔστι δὲ καὶ ἄλλως καὶ αὐτὸ μέρος τοῦ ἐλαίου τοῦ χρίσματος· ὁ πρὸς τοῦτο δὲ φθάσας τοῦ βίου τὸ μέτρον, διὰ πάντων ἐν ἑαυτῷ τοὺς θείους δείκνυσι χαρακτῆρας· ὅπερ ἐμφαίνει τὸ, *ἀπὸ πάντων ξύλων τοῦ Λιβάνου*· οὐ γὰρ μονοειδὲς τὸ ξύλον τοῦ Λιβάνου ὅθεν λιβανωτὸς ἀπορρεῖ, ἀλλ' ἔστι τις ἐν τοῖς ξύλοις διαφορὰ τὸ τοῦ ἀρώματος σχῆμα, τῷ εἴδει τοῦ ξύλου συνεξαλλάττουσα· ὁ τοίνυν ἐπισημαίνων ἐν οἷς πράττει τῶν τοῦ Λιβάνου ξύλων τὸ κάλλος, οὗτος ἐν ᾧ τὸ θεῖον εἶδος χαρακτηρίζεται· οὐδεὶς δὲ τῆς θείας δόξης κοινωνὸς γίνεται, μὴ σύμμορφος πρότερον τῷ ὁμοιώματι τοῦ θανάτου γενόμενος· διὸ ἐπάγεται *σμύρνα καὶ ἀλόη*, τὴν ταφὴν ἐνδεικνύμενα· πρῶτον δὲ μῦρόν φησιν τὸ ἀμιγὲς ἁπάσης καπηλείας ἐμφαίνων καὶ καθαρὸν τῶν δογμάτων· ἡ δὲ πηγὴ ἕτοιμος πρὸς πόσιν παντὶ τῷ αἰτοῦντι λόγον· τὸ δὲ φρέαρ, τὸ βάθος τοῦ πλούτου δηλοῖ· οὗ δὲ ἡ πηγὴ καὶ τὸ ζωτικὸν φρέαρ ἀπὸ Λιβάνου, τουτέστι θεόθεν εἰς ἑαυτὴν ὀξὺ καθέλκει τὸ ῥεῖθρον.

Κυρίλλου. — Αἱ γὰρ ἀρεταὶ μὲν, διὰ τῶν ἀρωμάτων σημαίνονται· ξύλα δὲ τοῦ Λιβάνου, τοὺς προφήτας φησίν· διὰ δὲ τῆς σμύρνης καὶ τῆς ἀλόης, ὅτι ἐνταφιασθεὶς ὁ Χριστὸς ἐκοινώνησε τοῖς προλαβοῦσιν ἁγίοις· κατελθὼν γὰρ εἰς ᾅδου τούτους ἀνήγαγεν.

Νείλου. — Τὰ δῶρα τῆς Νύμφης παράδεισον ὀνομάζει Χριστὸς, διὰ τὸ πάντα ἔχειν τὰ παρὰ ἀνθρώποις τίμια· ἔχει δὲ οὗτος ὁ παράδεισος, ῥόας μὲν, τοὺς τῷ αὐστηροτέρῳ βίῳ τὸ ἐδώδιμον τῆς ἀρετῆς ἐγκρύπτοντας, τάχα τοὺς τὸν μοναδικὸν καὶ ἐγκρατῆ τρόπον ἐπαγγελλομένους· καρποὺς δὲ ἀκροδρύων, τοὺς τῷ καρπῷ κομῶντας τοῦ πνεύματος, ἀγάπῃ, χαρᾷ, εἰρήνῃ, μετὰ τοῦ ἐναρέτου καὶ τὸ μειλίχιον ἔχοντας· οἱ μὲν γὰρ τῇ ῥόᾳ ὁμοιούμενοι, ἔχουσι τὸ ἀστεμφὲς καὶ αὐχμηρὸν σκυθρωπάζοντες· οἱ δὲ τοῖς ἀκροδρύοις παραπλήσιοι, τὸ πρὸς πάντας προσηνές· ἀγάπη γὰρ καὶ χαρὰ καὶ εἰρήνη, τούτων ὁ καρπὸς, ὧν χρηστότερον οὐδὲν, φαιδρᾷ διαθέσει δεξιουμένων τοὺς ἐντυγχάνοντας· ἔχει δὲ καὶ κύπρους μετὰ νάρδων, τοὺς τῇ ἀκμῇ τῆς θεοσεβείας τὸ θερμὸν καὶ διάπυρον τοῦ ζήλου κεκτημένους· νάρδος δὲ καὶ κρόκος καὶ κάλαμος καὶ κινάμωμον, ἐπειδὴ συν-

A sancto fervens. Deinde vero *crocus* qui mitigat dolores cum medium inter frigus et calorem obtineat; nam sic etiam virtutes medium tenent inter excessum et defectum, vel etiam fidei rationem per hoc insinuat, scilicet in Patrem et Filium et Spiritum sanctum confessionem propter triplam in his floribus repertam, cum et tria unum sint, secundum coloris præstantiam atque fragrantiam. Deinde *calamus et cinnamomum* sunt fructus qui producuntur ex malis punicis paradisi Sponsæ; sed calamus quidem in tantum bono odore excellit, ut a lege assumatur ad suffitum sacerdotalem. Cinnamomum vero variam operationem per quamdam naturalem facultatem promittit. Etenim in res calidas injectum, refrigerat, oratione hoc declarante, ut si quis cupiditate ferveat, vel ira succendatur, ratione restinguendas esse istiusmodi passiones. Cæterum etiam aliter ipsum est mensura unctionis olei. Qui autem ad hanc vitæ mensuram pervenit, divinos in semetipso characteres ostendit: id quod insinuat illud: *Ex omnibus lignis Libani.* Non enim uniforme est lignum Libani unde thus fluit, sed est quædam in lignis differentia quæ figuram aromatis simul variat, cum forma ligni. Qui ergo in iis quæ agit lignorum Libani pulchritudinem exhibet, hic est in quo divina forma exprimitur. Nemo autem fit divinæ gloriæ particeps, qui non fuerit primum conformis similitudini mortis. Quapropter subjungitur *myrrha et aloe* quæ sepulturam designant. Primum autem unguentum dicit quod sinceritatem ab omni cauponaria mistione alienam et dogmatum puritatem insinuat. Porro fons ad potandum paratus omni petenti rationem; puteus autem profundum divitiarum indicat. Denique fons et puteus vitalis, de Libano, hoc est a Deo in ipsam veloci fluxu descendit.

Cyrilli. — Virtutes quidem per aromata significantur; ligna vero Libani prophetas appellat; per myrrham autem et aloe, quando sepultus est Christus, communicavit cum præcedentibus sanctis; descendens enim in infernum hos reduxit.

Nili. — Munera Sponsæ paradisum appellat Christus, quia habet omnia quæ apud homines in pretio sunt: habet autem hic paradisus mala quidem punica, scilicet illos qui austeriori vita virtutis edulium abscondunt, fortassis qui solitariam et continentem vivendi rationem tenent: fructus vero omnis generis arborum eos qui fructu spiritus ornantur, charitate, gaudio, pace, una cum virtute suavitate præditi; nam qui malo quidem punico assimilantur, austeritatem et acerbitatem cum tetrica severitate præ se ferunt; qui autem omnis generis arborei fructum referunt, omnibus sunt affabiles, siquidem charitas et gaudium et pax sunt horum fructus, quibus nihil suavius est, cum omnes obvios sereno vultu excipiant. Habet porro etiam cypros cum nardis, nempe illos qui in vigore pietatis fervorem et ardorem istius ligni

Digitized by Google

Nili. — Sæpe olera carnibus præferenda, quando præsertim hæc ecclesiastica condescensione sunt infirmorum utilis exhortatio; carnes vero hæreticæ doctrinæ crudæ ac digestu difficiles. Cum igitur sponsa sit hortus omnigenorum virtutis fructuum, horum quoque olerum hortus, et infirmorum solatium exsistit : quin et amicitiæ gratiæque causa proponitur. Oportebat enim Sponsæ hortum etiam olera continere, ne dum infantes lac habent, et perfecti pane ac vino nutriuntur ac deliciantur sermonibus divinarum intelligentiarum melle sensibili guttur dulcorantibus, soli infirmi congruo frustrentur alimento. Est autem hic hortus conclusus propter transeuntes et propter suem de silva vastantem ea quæ non sunt septo munita. Sed et fons signatus est ne in promptu sit indignis haurire conantibus. Cum enim Sponsam hæreticorum oculis et adversariis virtutibus intactam esse velit, fontem ipsum vocat conclusum : signaculo quo insidiis minime exposita significetur.

Origenis. — Secundo repetitur illud *hortus conclusus*, etc.

VERS. 13-15. *Emissiones tuæ paradisus malorum punicorum cum fructu nucum. Cypri cum nardis, nardus et crocus, calamus et cinnamomum, cum omnibus lignis Libani : myrrha et aloe cum omnibus primis unguentis. Fons hortorum puteus aquæ viventis et cum strepitu fluentis a Libano.*

Gregorii. — Vide ascensum, in tantum enim in majus incrementis elevata est, ut etiam *ex ore suo germinaret paradisus.* Sic enim Hebraicum habet pro : *Emissiones tuæ paradisus malorum punicorum.* Ait igitur : Quoniam sermo tuus, qui per os tuum emittitur, est paradisus malorum punicorum. Mala vero punica producunt omne genus fructuum; omnes autem arbores fructus sunt, cyprus et nardus, etc. Quis autem sermo nisi fidei qui in suscipientibus fit paradisus, per auditum cordibus insitus : malis vero punicis plenum dicit, quoniam justus in amaris hujus vitæ periculis potissimum fructum fert, et in eis habet dulcedinem ac nutrimentum, sicut malum punicum intra acerbitatem edulium. Propterea igitur videtur malorum punicorum paradisum efficere sermo qui a Sponsa in auditorum animis immittitur, ut discamus per ea quæ dicuntur, non per dissolutionem aliquam et delicias in vita præsenti emolliri et enervari, sed per continentiam vitam duram et asperam eligere. Ita enim ad fructum virtutis furibus non patebit aditus, ut qui austero continentiæ ambitu sit obseptus. Oportet porro etiam animæ paradisum ferre omnem odorem bonum per multifariam aromatum naturam quæ in pomorum istorum fructibus reperitur : ac in primis *cypros cum nardis*, quæ calorem cum odore bono continent, ut fiat quis Spiritu

Νείλου. — Ἔστι λάχανα πολλάκις κρεῶν προκρινόμενα, ὅταν μάλιστα μὲν ταῦτα ἐκκλησιαστικῆς συγκαταβάσεως ᾖ· τῶν ἀσθενῶν παραίνεσις πρόσφορος· τὰ δὲ κρέα, αἱρετικῆς διδασκαλίας ὠμὰ καὶ ἀκατέργαστα· μετὰ ταῦτα εἶναι καρπῶν παντοίων ἀρετῆς κῆπος ἡ Νύμφη· καὶ τούτων τῶν λαχάνων ἐστὶ κῆπος, κἂν ἀσθενούντων ἐστὶ παραμυθία, ἀλλὰ καὶ πρὸς φιλίαν καὶ χάριν παρατίθενται· ἔδει γὰρ καὶ λάχανα τὸν τῆς Νύμφης ἔχειν παράδεισον· ἵνα μὴ τῶν νηπίων ἐχόντων γάλα, καὶ τῶν τελείων ἄρτῳ καὶ οἴνῳ τρεφομένων, καὶ τῶν ἐντρυφώντων τοῖς λόγοις μέλιτι γλυκαινόντων, τὸν τῶν θείων νοημάτων αἰσθόμενον λάρυγγα μόνοι οἱ ἀσθενοῦντες ἀποστερῶνται τῆς καταλλήλου τρυφῆς· κεκλεισμένος δέ ἐστιν οὗτος διὰ τοὺς παραπορευομένους καὶ διὰ τὸν λυμαινόμενον τὰ ἀπερίφρακτα ὗν ἐκ δρυμοῦ· καὶ πηγὴ δέ ἐστιν ἐσφραγισμένη, ἵνα μὴ πρόχειρος ᾖ τοῖς ἀναξίοις ἀντλεῖν ἐπιχειροῦσιν· αἱρετικῶν γὰρ ὀφθαλμοῖς καὶ δυνάμεων ἀντικειμένων ἄρτιον εἶναι θέλων τὴν Νύμφην, πηγὴν αὐτὴν καλεῖ ἐσφραγισμένην, τῇ σφραγῖδι τὸ ἀνεπιβούλευτον σημαίνων.

Ὠριγένους. — Δεύτερον τὸ, *κῆπος κεκλεισμένος*, κ. τ. λ. (59).

ιγ'-ιε'. *Ἀποστολαί παραδείσου ῥοῶν μετὰ καρποῦ ἀκροδρύων· κύπροι μετὰ νάρδων· νάρδος, καὶ κρόκος, καὶ κάλαμος, καὶ κινάμωμον, μετὰ πάντων ξύλων τοῦ Λιβάνου· σμύρνα, ἀλόη, μετὰ πάντων πρώτων μύρων· πηγὴ κήπων φρέαρ ὕδατος ζῶντος καὶ ῥοιζοῦντος ἀπὸ Λιβάνου.*

Γρηγορίου. — Ὅρα τὴν ἄνοδον· εἰς τοσοῦτον γὰρ ὑψώθη τῆς ἐπὶ τὸ μεῖζον αὐξήσεως, ὡς *ἐκ στόματος αὐτῆς βλαστάνειν παράδεισον*· οὕτω γὰρ τὸ Ἑβραϊκὸν ἀντὶ τοῦ, *Ἀποστολαί σου, ἐκ στόματός σου, παράδεισος ῥοῶν*, ἔχει· φησὶν οὖν, ὅτι Ὁ λόγος σου ὁ διὰ τοῦ στόματός σου ἀποστελλόμενος παράδεισός ἐστι ῥοῶν· αἱ δὲ ῥοαί, παγκαρπίαν τινὰ τῶν ἀκροδρύων ἐκφύουσι, τὰ ἀκρόδρυα, κύπρος καὶ νάρδος καὶ τὰ ἑξῆς· τίς δὲ ὁ λόγος, ἢ ὁ τῆς πίστεως; ὃς ἐν τοῖς ὑποδεχομένοις παράδεισος γίνεται διὰ τῆς ἀκοῆς ταῖς καρδίαις ἐμφυτευόμενος; ῥοῶν δὲ πλήρη φησὶν, ἐπειδήπερ ὁ δίκαιος ἐν ταῖς πικραῖς τοῦ βίου περιστάσεσιν, μάλιστα καρποφορεῖ, καὶ ἐν αὐταῖς ἔχει τὸ γλυκὺ καὶ τρόφιμον, ὥσπερ ἡ ῥόα, ἔνδον τοῦ στρυφνοῦ τὸ ἐδώδιμον· διὰ τοῦτο τοίνυν δίκην ῥοῶν παραδείσου ἐν ταῖς τῶν ἀκουόντων ψυχαῖς ὁ ἀποστελλόμενος παρὰ τῆς Νύμφης λόγος ἐργάζεται· ἵνα μάθωμεν διὰ τῶν λεγομένων, μὴ διά τινος ἐκλύσεως καὶ τρυφῆς κατὰ τὴν παροῦσαν ζωὴν μαλακίζεσθαι, ἀλλὰ τὸν κατεσκληκότα διὰ τῆς ἐγκρατείας αἱρεῖσθαι βίον· οὕτω γὰρ ἂν ἀπρόσιτος γένοιτο τοῖς κλέπταις ὁ τῆς ἀρετῆς καρπός, τῇ στυφῇ τῆς ἐγκρατείας περιβολῇ πεφραγμένος· χρὴ δὲ καὶ πᾶσαν εὐωδίαν τὸν τῆς ψυχῆς φέρειν παράδεισον, διὰ τῆς πολυειδοῦς τῶν ἀρωμάτων φύσεως, ἐν τοῖς ἀκροδρύοις εὑρισκομένοις· καὶ πρῶτον μὲν, *κύπροι μετὰ νάρδων*, τὸ θερμὸν καὶ εὐῶδες ἔχοντες, ἵνα γένηται

NOTÆ.

(59) *Patrolog.* t. XVII, col 272, 275.

Digitized by Google

τῷ ἁγίῳ Πνεύματι ζέων· ἔπειτα δὲ κρόκος, ὃς παρηγορεῖ τὰς ὀδύνας, μέσως τε ψύξεως ἔχων καὶ θερμότητος· οὕτω γὰρ αἱ ἀρεταὶ μέσως ἔχουσιν ὑπερβολῆς τε καὶ ἐλλείψεως· ἢ τὸν τῆς πίστεως λόγον διὰ τούτου παρεμφαίνει, τὴν εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα ὁμολογίαν, διὰ τὴν τριπλόην τὴν εὑρισκομένην ἐν τοῖς ἄνθεσι τούτοις· καὶ ἓν τὰ τρία ὑπάρχοντα κατά τε εὐχροιαν καὶ εὐπνοιαν· εἶτα *κάλαμος καὶ κιννάμωμον*, τὰ ἀκρόδρυα τὰ ἐκ τῶν βοῶν τοῦ παραδείσου καρποφορούμενα· ἀλλὰ κάλαμος μὲν τοσοῦτον εὐπνοιαν ὑπερέχει, ὡς πρὸς τὸ ἱερατικὸν θυμίαμα ὑπὸ τοῦ νόμου παραλαμβάνεσθαι· τὸ δὲ κινάμωμον ποικίλην ἐνέργειαν διά τινος φυσικῆς δυνάμεως ἐπαγγέλλεται· καὶ γὰρ ἐν τοῖς θερμοῖς ἐκβαλλόμενον ἀποψύχει· δεικνύντος τοῦ λόγου, ὅτι ὅταν τις δι' ἐπιθυμίαν ζέων ἢ ἢ τῷ θυμῷ πυρακτούμενος, τῷ λογισμῷ χρὴ κατασβεννύειν τὰ πάθη· ἔστι δὲ καὶ ἄλλως καὶ αὐτὸ μέρος τοῦ ἐλαίου τοῦ χρίσματος· ὁ πρὸς τοῦτο δὲ φθάσας τοῦ βίου τὸ μέτρον, διὰ πάντων ἐν ἑαυτῷ τοὺς θείους δείκνυσι χαρακτῆρας· ὅπερ ἐμφαίνει τὸ, *ἀπὸ πάντων ξύλων τοῦ Λιβάνου*· οὐ γὰρ μονοειδὲς τὸ ξύλον τοῦ Λιβάνου ὅθεν λιβανωτὸς ἀπορρεῖ, ἀλλ' ἔστι τις ἐν τοῖς ξύλοις διαφορὰ τὸ τοῦ ἀρώματος σχῆμα, τῷ εἴδει τοῦ ξύλου συνεξαλλάσσουσα· ὁ τοίνυν ἐπισημαίνων ἐν οἷς πράττει τῶν τοῦ Λιβάνου ξύλων τὸ κάλλος, οὗτος ἐν ᾧ τὸ θεῖον εἶδος χαρακτηρίζεται· οὐδεὶς δὲ τῆς θείας δόξης κοινωνὸς γίνεται, μὴ σύμμορφος πρότερον τῷ ὁμοιώματι τοῦ θανάτου γενόμενος· διὸ ἐπάγεται *σμύρνα καὶ ἀλόη*, τὴν ταφὴν ἐνδεικνύμενα· πρῶτον δὲ μῦρόν φησιν τὸ ἀμιγὲς ἁπάσης καπηλείας ἐμφαίνων καὶ καθαρὸν τῶν δογμάτων· ἡ δὲ πηγὴ ἕτοιμος πρὸς πόσιν παντὶ τῷ αἰτοῦντι λόγον· τὸ δὲ φρέαρ, τὸ βάθος τοῦ πλούτου δηλοῖ· οὗ δὲ ἡ πηγὴ καὶ τὸ ζωτικὸν φρέαρ ἀπὸ Λιβάνου, τουτέστι θεόθεν εἰς ἑαυτὴν ὀξὺ καθέλκει τὸ ῥεῖθρον.

Κυριλλου. — Αἱ γὰρ ἀρεταὶ μὲν, διὰ τῶν ἀρωμάτων σημαίνονται· ξύλα δὲ τοῦ Λιβάνου, τοὺς προφήτας φησίν· διὰ δὲ τῆς σμύρνης καὶ τῆς ἀλόης, ὅτι ἐνταφιασθεὶς ὁ Χριστὸς ἐκοινώνησε τοῖς προλαβοῦσιν ἁγίοις· κατελθὼν γὰρ εἰς ᾅδου τούτους ἀνήγαγεν.

Νείλου. — Τὰ δῶρα τῆς Νύμφης παράδεισον ὀνομάζει Χριστὸς, διὰ τὸ πάντα ἔχειν τὰ παρὰ ἀνθρώποις τίμια· ἔχει δὲ οὗτος ὁ παράδεισος, ῥόα; μὲν, τοὺς τῷ αὐστηροτέρῳ βίῳ τὸ ἐδώδιμον τῆς ἀρετῆς ἐγκρύπτοντας, τάχα τοὺς τὸν μοναδικὸν καὶ ἐγκρατῆ τρόπον ἐπαγῃρημένους· καρποὺς δὲ ἀκροδρύων, τοὺς τῷ καρπῷ κομῶντας τοῦ πνεύματος, ἀγάπῃ, χαρᾷ, εἰρήνῃ, μετὰ τοῦ ἐναρέτου καὶ τὸ μειλίχιον ἔχοντας· οἱ μὲν γὰρ τῇ ῥόᾳ ὁμοιούμενοι, ἔχουσι τὸ ἀστεμφὲς καὶ αὐχμηρὸν σκυθρωπάζοντες· οἱ δὲ τοῖς ἀκροδρύοις παραπλήσιοι, τὸ πρὸς πάντας προσηνές· ἀγάπη γὰρ καὶ χαρὰ καὶ εἰρήνη, τούτων ὁ καρπὸς, ὧν χρηστότερον οὐδὲν, φαιδρᾷ διαθέσει δεξιουμένων τοὺς ἐντυγχάνοντας· ἔχει δὲ καὶ κύπρους μετὰ νάρδων, τοὺς τῇ ἀκμῇ τῆς θεοσεβείας τὸ θερμὸν καὶ διάπυρον τοῦ ζήλου κεκτημένους· νάρδος δὲ καὶ κρόκος καὶ κάλαμος καὶ κινάμωμον, ἐπειδὴ συν-

A sancto fervens. Deinde vero *crocus* qui mitigat dolores cum medium inter frigus et calorem obtineat; nam sic etiam virtutes medium tenent inter excessum et defectum, vel etiam fidei rationem per hoc insinuat, scilicet in Patrem et Filium et Spiritum sanctum confessionem propter triplam in his floribus repertam, cum et tria unum sint, secundum coloris præstantiam atque fragrantiam. Deinde *calamus et cinnamomum* sunt fructus qui producuntur ex malis punicis paradisi Sponsæ; sed calamus quidem in tantum bono odore excellit, ut a lege assumatur ad suffitum sacerdotalem. Cinnamomum vero variam operationem per quamdam naturalem facultatem promittit. Etenim in res calidas injectum, refrigerat, oratione hoc declarante, ut si quis cupiditate ferveat, vel ira succendatur, ratione restinguendas esse istiusmodi passiones. Cæterum etiam aliter ipsum est mensura unctionis olei. Qui autem ad hanc vitæ mensuram pervenit, divinos in semetipso characteres ostendit: id quod insinuat illud: *Ex omnibus lignis Libani.* Non enim uniforme est lignum Libani unde thus fluit, sed est quædam in lignis differentia quæ figuram aromatis simul variat, cum forma ligni. Qui ergo in iis quæ agit lignorum Libani pulchritudinem exhibet, hic est in quo divina forma exprimitur. Nemo autem fit divinæ gloriæ particeps, qui non fuerit primum conformis similitudini mortis. Quapropter subjungitur *myrrha et aloe* quæ sepulturam designant. Primum autem unguentum dicit quod sinceritatem ab omni caponaria mistione alienam et dogmatum puritatem insinuat. Porro fons ad potandum paratus omni petenti rationem; puteus autem profundum divitiarum indicat. Denique fons et puteus vitalis, de Libano, hoc est a Deo in ipsam veloci fluxu descendit.

Cyrilli. — Virtutes quidem per aromata significantur; ligna vero Libani prophetas appellat; per myrrham autem et aloe, quando sepultus est Christus, communicavit cum præcedentibus sanctis; descendens enim in infernum hos reduxit.

Nili. — Munera Sponsæ paradisum appellat Christus, quia habet omnia quæ apud homines in pretio sunt: habet autem hic paradisus mala quidem punica, scilicet illos qui austeriori vita virtutis edulium abscondunt, fortassis qui solitariam et continentem vivendi rationem tenent: fructus vero omnis generis arborum eos qui fructu spiritus ornantur, charitate, gaudio, pace, una cum virtute suavitate præditi; nam qui malo quidem punico assimilantur, austeritatem et acerbitatem cum tetrica severitate præ se ferunt; qui autem omnis generis arborei fructum referunt, omnibus sunt affabiles, siquidem charitas et gaudium et pax sunt horum fructus, quibus nihil suavius est, cum omnes obvios sereno vultu excipiant. Habet porro etiam cypros cum nardis, nempe illos qui in vigore pietatis fervorem et ardorem istius ligni

Digitized by Google

continent. Nardus vero et crocus et calamus et cinnamomum, quandoquidem simul composita conficiunt sanctum in lege incensum, sicut hi qui in oratione perseverant. Prima vero unguenta sunt qui de Trinitate notitiam acceperunt. Porro myrrha et aloe sunt qui membra sua mortificant et consepulti sunt Christo; fons autem hortorum est verbum quod potat infirmiores, et puteus aquæ vivemis, qui profundiora et multis inaspectabilia tradit mysteria. Fontem porro istum de Libano cum strepitu fluentem, vel puteum dixit, eo quod Ecclesiæ præceptores ex genere Judaico manarint, hos enim Libanus designat, et fontis strepitum ostendit Paulus Atheniensibus concionans et flumina verborum emittens proprio sermonis fluxu. Hæc paradisum nuncupavit, cum sint munera sponsalia, quæ Sponso ante nuptias Sponsa obtulit, vel misit, solemnem etiam in hoc virginitatis statu morem observant. Emissiones enim hoc significant, quod domi manens et in thalamo se continens digna Sponso munera obtulerit.

A τιθέμενα ποιεῖ τὸ ἅγιον τῷ νόμῳ θυμίαμα, οἱ τῇ προσευχῇ προσκαρτεροῦντές εἰσιν· πρῶτα δὲ μῦρα, οἱ τὴν περὶ Τριάδος γνῶσιν εἰληφότες· σμύρνα δὲ καὶ ἀλόη, οἱ τὰ μέλη νεκρώσαντες καὶ συνταφέντες Χριστῷ· πηγὴ δὲ κήπων, ὁ τοὺς ἀσθενεστέρους ποτίζων λόγος· καὶ φρέαρ ὕδατος ζῶντος, ὁ τὰ βαθύτερα τοῖς πολλοῖς ἀσύνοπτα παραδιδοὺς μυστήρια· ῥοιζοῦσαν δὲ αὐτὴν ἀπὸ τοῦ Λιβάνου εἶπεν τὴν πηγὴν ἢ τὸ φρέαρ, διὰ τὸ τοὺς διδασκάλους τῆς Ἐκκλησίας ἀπὸ τοῦ Ἰουδαϊκοῦ ὁρμᾶσθαι γένους· τούτους γὰρ σημαίνει ὁ Λίβανος, καὶ τὸ ῥοίζωμα τῆς πηγῆς, δείκνυσιν ὁ Παῦλος Ἀθηναίοις δημηγορῶν, καὶ ποταμοὺς λόγων ἀναστέλλων τῷ οἰκείῳ ῥείθρῳ τοῦ λόγου· ταῦτα παράδεισον ὁ λόγος ὠνόμασεν, ἔδνα τῆς Νύμφης ὄντα· οὓς αὐτῷ πρὸ γάμου προσήνεγκεν ἢ ἀπέστειλε, τὸ σεμνὸν καὶ ἐν τούτῳ τῆς παρθενικῆς φυλάττουσα καταστάσεως· αἱ γὰρ ἀποστολαὶ τοῦτο σημαίνουσι· ὅτι οἴκοι μένουσα καὶ θαλαμευομένη, αἰδημόνως τὰ δῶρα δι' ὧν ἄξιον ἦν, τῷ Νυμφίῳ προσήνεγκεν.

B

Vers. 16. *Exsurge, aquilo, et veni, auster, et perfla hortum meum, et fluant aromata mea.*

ις'. *Ἐξεγέρθητι, βορρᾶ, καὶ ἔρχου, νότε· διάπνευσον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματά μου.*

Gregorii. — Etiam Sponsa imitatur Sponsum excitatum et ventos increpantem. Verum non jubet quiescere, sed secedere ac fugere imperat, ut absque impedimento fluat auster, nullo adverso flatu ipsius impetum retardante. Quem autem dicat aquilonem, nisi principem potestatis tenebrarum tristitiæ hiemis spiritalis opificem, qui in Proverbiis durus nominatur, quia mollem animarum naturam instar aquæ concrescere facit, ac lapidis instar duram reddit. Cur autem hoc nomine expressus est? Eo quod locus ille lucis expers et frigidus perpetuo maneat, ut qui a radiis solaribus neque illuminetur, neque foveatur, quia motus solis ab australi parte cursum suum facit ad occidentem. Hæc igitur quæ contra passiones et adversariam virtutem potestatem obtinuit, pro imperii sui auctoritate, frigidum spiritum repellit, accersit autem ventum meridianum et calidum quem austrum vocat, per quem fluit torrens deliciarum, adeo ut violento spiritu, sicut in cœnaculo discipulis contigisse audivimus, in plantas incidens animatas moveat Dei plantationem et aromatum productionem, et efficiat ut per os fluat odorifera prophetia, et salutaria fidei dogmata. Talis fluvius aromatum ex horto Ecclesiæ fluens, per spiritum erat magnus Paulus, cujus fluentum erat Christi bonus odor. Talis alius fuit Joannes, Lucas et reliqui.

C

D

Γρηγορίου. — Καὶ ἡ Νύμφη μιμεῖται τὸν ἐγερθέντα Νυμφίον, καὶ τοῖς ἀνέμοις ἐπιτιμήσαντα, καὶ οὐχ ἥμερον ἐπιτάσσειν, ἀλλ' ἀποχωρεῖν καὶ φεύγειν διακελεύεται, ὡς ἂν ἀκωλύτως ὁ νότος ῥέῃ, μηδὲ μιᾶς ἀντιπνοίας ἐμποδιζούσης αὐτοῦ τὴν φοράν· τί δ' ἂν λέγοι βορρᾶν; ἢ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ σκότους τὸν τῆς κατηφείας τοῦ χειμῶνος τοῦ νοητοῦ ἐργάτην, ὃς ἐν ταῖς Παροιμίαις σκληρὸς ὀνομάζεται, διὰ τὸ τῶν ψυχῶν ἁπαλὸν φύσει, ὑδατοδίκην ἀπολιθοῦν διὰ τῆς πήξεως καὶ σκληρὸν ἀπεργάζεσθαι· διὰ τί δὲ τούτῳ τῷ ὀνόματι παρωμοίωται; διὰ τὸ ἐκεῖνον τόπον ἀφεγγῆ τε εἶναι καὶ κατεψυγμένον εἰς ἀεὶ διαμένειν· μήτε λαμπόμενον ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων, μὴ θαλπόμενον, διὰ τὸ τὴν κίνησιν τοῦ ἡλίου τῷ νοτιαίῳ μέρει πρὸς τὰς δυσμὰς ποιεῖσθαι· αὕτη τοίνυν ἡ κατὰ τῶν παθῶν καὶ τῆς ἀντικειμένης δυνάμεως τὸ κράτος ἀναδυσαμένη, κατ' ἐξουσίαν τῆς ἰδίας ἀρχῆς τὸ ψυχρὸν πνεῦμα ἀποδιώκει· προσκαλεῖται δὲ τὸν μεσημβρινὸν καὶ θερμὸν, ὅπερ ὀνομάζει νότον· δι' οὗ τῆς τρυφῆς ὁ χειμάρρους ῥεῖ, ὥστε τῇ βιαίᾳ πνοῇ, καθάπερ ἐν τῷ ὑπερῴῳ τοῖς μαθηταῖς τοῖς ἐμψύχοις φυτοῖς ἐπιπεσόντα, κινῆσαι τοῦ Θεοῦ τὴν φυτείαν, πρὸς τὴν τῶν ἀρωμάτων φοράν· καὶ παρασκευάσαι διὰ στόματος ῥεῖν τὴν εὐῴδη προφητείαν καὶ τὰ σωτήρια τῆς πίστεως δόγματα· τοιοῦτος γὰρ ποταμὸς ἀρωμάτων ἦν, ἐκ τοῦ κήπου τῆς Ἐκκλησίας ῥέων διὰ τοῦ πνεύματος ὁ μέγας Παῦλος· οὗ τὸ ῥεῖθρον Χριστοῦ εὐωδία. Ἀντοιοῦτος ἄλλος, ὁ Ἰωάννης, ὁ Λουκᾶς, καὶ οἱ λοιποί.

Nili. — Prædictarum plantarum generositatem ac probitatem ostendere volens Sponsa spiritus tentationum, accersit, et aquilonem quidem subactum, amandat, austrum vero ad certamen advocat Vel omnes simul vocat, freta virtute quæ illi aderat ab exercitatione et cooperatione Dei,

Νείλου. — Τῶν προειρημένων φυτῶν δεῖξαι βουλομένη τὸ εὐγενὲς καὶ δόκιμον ἡ Νύμφη, τῶν πειρασμῶν προσκαλεῖται τὰ πνεύματα· καὶ τὸν μὲν βορρᾶν ἡττηθέντα ἀποπέμπεται· τὸν δὲ νότον ἀγωνισόμενον προσκαλεῖται· ἢ πάντας ἅμα καλεῖ θαῤῥοῦσα τῇ ἐκ γυμνασίας καὶ συνεργείας Θεοῦ προ-

Digitized by Google

ώσῃ αὐτῇ δυνάμει· οὐκ ἄλλως γὰρ τῶν ἀρετῶν τὸ δόκιμον φαίνεται, εἰ μὴ πλῆθος πειρασμῶν τῇ καρτερίᾳ προσβαλὼν, τὰ τῆς ὑπομονῆς κρουνηδὸν εἰς τοὐμφανὲς ἐξαγάγῃ. δίκην ῥεύματος, ἀρώματα, καὶ φανεροὺς αὐτοὺς πᾶσι δεῖξαι ἀοιδίμους αὐτοὺς ἀπεργάσηται· μετὰ τοῦτο οὖν εἰς τὸν κῆπον παρακαλεῖ καταβῆναι τὸν Νυμφίον· τῆς ὁσμῆς τῶν ἀρωμάτων ἀντιλῃψόμενον, καὶ βρωσόμενον καρπὸν ἀκροδρύων· βρῶσις γὰρ ἀληθὴς τοῦ Νυμφίου, ἀγάπη, χαρὰ, εἰρήνη, καὶ οἱ τοὺς πτωχοὺς δὲ τρέφοντες, βρῶσιν ἑτοιμάζουσι τῷ Χριστῷ· ὅσοι δὲ παρορῶσι πένητα, σκῆ εἰσιν ἄκαρπος καὶ ξηρά.

A non aliter enim virtute præditorum probitas apparet nisi multitudo tentationum constantiæ ingruens, patientiæ aromata torrentis instar per verba fluentia in apertum educat, et omnibus ipsos reddens manifestos efficiat sempiternos. Postea igitur Sponsum hortatur, ut in hortum descendat, odore aromatum fruiturus, et esculento omnis generis arborei fructu. Cibus namque verus Sponsi est charitas, gaudium, pax; sed et qui pauperes pascunt cibum Christo parant: qui vero pauperes negligunt sunt ficulnea infrugifera et arida.

Ὠριγένους. — Ἔοικεν ἐπιτιμᾶν ἡ Νύμφη τῷ βοῤῥᾷ, κ. τ. λ. (60).

Origenis. — Sponsa hoream increpare visa est, etc.

ΚΕΦΑΛ. Ε'.

CAP 7.

B

α'. Καταβήτω ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ.

Vers. 1. *Descendat fratruelis meus in hortum suum, et comedat fructum pomorum suorum.*

Γρηγορίου. — Πεπαῤῥησιασμένη φωνῇ, πᾶσι τοῖς οὖσι τὴν ζωὴν ἐκ τῆς ἰδίας πηγῆς ἐπιῤῥέουσαν ἡ Νύμφη προστίθησι τράπεζαν, κῆπον διὰ τῶν ἐμψύχων δένδρων πεφυτευμένον· ἡμεῖς δὲ τὰ δένδρα· εἴπερ δὴ καὶ ἡμεῖς οἱ τροφὴν αὐτῷ προτεθέντες τὴν τῶν ψυχῶν ἡμῶν σωτηρίαν· κατὰ τὸ, « Ἐμὸν βρῶμά ἐστιν ἵνα ποιῶ τὸ θέλημα τοῦ Πατρός μου· » καρπὸς δὲ ἡμῶν ἡ προαίρεσις· ἐπειδὴ οὐκ ἔστιν ἡμᾶς ἄλλως ἀναληφθῆναι πρὸς τὸν Ὕψιστον, εἰ μὴ πρὸς τὸ χθαμαλώτερον ἐπικλιθείη ὁ ἀναλαμβάνων πραεῖς Κύριος· εὐκτικῶς τὸ, *καταβήτω*, φησὶν, ἐπιδεικνυμένη τῷ Θεῷ τῶν τῆς ἀρετῆς ἀκροδρύων τὴν εὐφορίαν.

Gregorii. — O vocem liberam confidenter prolatam ad illum qui ex proprio fonte ad omnia quæ sunt vitam facit emanare. Hinc Sponsa proponit mensam, scilicet hortum propter arbores animatas plantatum. Nos autem sumus arbores, quandoquidem nos quoque sumus qui cibum ei apponimus salutem animarum nostrarum, juxta illud: « Meus cibus est, ut faciam voluntatem Patris mei[79]. » Fructus autem noster est liberi arbitrii electio. Quoniam autem fieri non potest ut aliter assumamur ad Altissimum, nisi inclinetur ad humilitatem ac depressionem qui mansuetos assumit Dominus, C optando dicit ut descendat: ostendens Deo virtutis omnis generis pomorum fertilitatem.

Εἰσῆλθον εἰς κῆπον, ἀδελφή μου, Νύμφη· ἐτρύγησα σμύρναν μετὰ ἀρωμάτων μου· ἔφαγον ἄρτον μου· ἔπιον οἶνόν μου μετὰ γάλακτός μου· φάγετε, οἱ πλησίον μου, καὶ πίετε καὶ μεθυσθήσεσθε, ἀδελφιδοί μου.

Introivi in hortum meum, soror mea, Sponsa, messui myrrham meam cum aromatibus meis, manducavi panem meum cum melle meo, bibi vinum meum cum lacte meo. Comedite, proximi mei, et bibite, et inebriamini, fratres mei.

Γρηγορίου. — Ἥρμοσε καὶ νῦν τὸ, « Ἔτι σοῦ λαλοῦντος, ἰδοὺ πάρειμι· » γεγονὼς γὰρ εὐθὺς ἐν τῷ κήπῳ τῶν τῆς ἀρετῆς ἀκροδρύων ἐνεφορήθη· καὶ διήγημα τὴν εὐωχίαν ποιεῖται· εἴ τι δὲ καλὸν παρ' ἑαυτοῦ, καὶ τοὺς μακαρίους κήπους, τοιαῦτα φέρειν παρασκευάζει φυτά· τῷ μὲν γὰρ τῆς εὐωδίας τρυφῶντι σμύρνα γίνεται μετὰ ἀρωμάτων, διὰ τῆς τῶν ἐπιγείων μελῶν νεκρότητος, τὸν καθαρὸν καὶ εὐώδη μυρεψοῦντι βίον, τὸν ἐκ ποικίλων τε καὶ διαφόρων D τῶν τῆς ἀρετῆς ἀρωμάτων συγκεραννύμενον· τῷ δὲ τὴν τελειοτέραν ἐπιζητοῦντι τροφὴν, ἄρτος γίνεται, οὐκ ἔτι ἐπὶ πικρίδων ἐσθιόμενος, ἀλλ' ὄψον ἑαυτοῦ τὸ μέλι ποιούμενος· ὅταν ἐν τῷ ἰδίῳ καιρῷ ὁ καρπὸς τῆς ἀρετῆς καταγλυκαίνει τὰ τῆς ψυχῆς αἰσθητήρια· τῷ διψῶντι δὲ κρατὴρ γίνηται πλήρης οἴνου καὶ γάλακτος· πάντως δὲ οὐκ ἀγνοοῦμεν πῶς δένδρον ἦν σμυρνηφόρον ὁ Παῦλος· νεκρῶν ὁσημέραι τὰ μέλη, καὶ δι' ἀταθείας ἀρωματίζων ὀσμὴν τοῖς σωζομένοις ζωῆς· πῶς δὲ σιτοποιεῖ τῷ Θεῷ τὰ ἔμψυχα τοῦ κή-

Gregorii. — Congruit etiamnum illud: « Te adhuc loquente dicam, ecce adsum[80]: » statim enim ut adfuit in horto impletus fuit pomis virtutis et narratio fit convivium. Si quid autem pulchri sit, a seipso etiam beatos hortos istiusmodi plantas proferre facit. Ei enim, cui bonus odor in deliciis est, fit myrrha cum aromatibus per terrenorum membrorum mortificationem puram et benevolentem unguenti instar excoquenti vitam ex variis et diversis virtutis aromatibus contemperatam. Perfectius autem nutrimentum quærenti fit panis, qui non amplius comeditur cum lactucis agrestibus, sed obsonium ipsi mellis efficitur, quando suo tempore fructus virtutis sensus animi afficit dulcedine. Sitienti vero fit crater vino ac lacte plenus. Omnino autem non ignoramus quemadmodum arbor myrrham ferens erat Paulus quotidie sua membra mortificans, et per passionum vanitatem aromatizans odorem vitæ iis qui salvi fiunt. Quodammodo

[79] Joan. IV, 34. [80] Isa. LII, 6.

NOTÆ.

(60) *Patrolog.* t. XVII, col. 273.

Digitized by Google

autem animatæ horti plantæ Deo panem faciunt, juxta illud : « Esurivi et dedistis mihi manducare [79]. » Panis autem lætitiæ est beneficentia præcepti melle conditus. Rursus quodammodo vinum fundunt florentes horti plantæ, quibus hoc dicit : Sitivi et dedistis mihi potum lacte vinum miscentes, scilicet humanæ naturæ alimento quod purum et simplex est, et vere infantile ac sine dolo, et ab omni mala causa expurgatum. Cauponum autem est vinum aqua miscere. Quod autem hic verbo amicis commendavit, hoc in Evangelii operibus perfecit, per divinum illum cibum atque potum. Ait igitur his qui per virtutem facti sunt sacrificium illa Evangelii mysteria proponens : « Comedite, proximi mei, et bibite, et inebriamini, » de tali cibo ac potu locutus ; per cujus ebrietatem a seipso quis ad diviniora excedit. Fratres autem vocat quia quicunque facit ejus voluntatem, frater et soror et mater nominatur [80].

Nili. — Audiverat Sponsus invitationem ; istius modi enim erat quæ invitabat ut non assequeretur, et ait : *Introivi in hortum meum* et quæ sequuntur. Illo namque ad descendendum invitaverat, modestiæ curam gerens, vel potius invitati attendens dignitatem, et introitum descensum, appellans propter sponsi sublimitatem. Hic autem non descendisse, sed se ingressum esse dicit, descensum honorans nomine æqualitatem designante, propter ejus erga eam affectum ac dilectionem. Hortum autem præ modestia paradisum suum vocat. Non enim habuisset fructum omnis generis pomorum si hortus fuisset, paradisi enim et non horti hoc est. Merito autem sponsus cum Deus esset, ea quæ sponsæ videbantur magna, sui ipsius comparatione humilia judicans hortum vocat : recte autem non in hortum tuum, sed *in hortum meum* dixit, ipsius paradisum hortum faciens. Res enim humanæ, etsi inter se mensuratæ luceant, cum divinis tamen ac spiritalibus comparatæ obscurantur. Per myrrham autem et aromata, passionem ac mortem, resurrectionemque describit. Myrrha enim mors est, aromata vero divinitatis efficacitas quæ resurrectionem et odoris suavitatem operata est ; cæterum illud : *manducavi panem meum*, et declarat passionis voluptatem et infantilem mansuetudinem quibus flagra et opprobria cum illuderetur excepit. « Desiderio enim, inquit, desideravi manducare pascha [81] » per crucem : hoc significat illud : *Manducavi panem cum melle meo :* illud vero : *Bibi vinum cum lacte meo* colaphis cæsum, illusum, arundine percussum tranquillo et æquo animo tulisse. *Comedite, proximi*, etc., fortassis ad discipulos ait, quando ipsos ad sacramentorum communionem invitavit, dicens : Comedite corpus meum, et bibite meum sanguinem.

Vers. 2. *Ego dormio et cor meum vigilat.*

Gregorii. — Ebrietatem consequenter somnus sequitur, ut per concoctionem detur convivis fa-

που φυτά, κατὰ τὸ, « Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν· » ἄρτος δὲ εὐφροσύνης ἐστὶν ἡ εὐποιία, τῷ μέλιτι τῆς ἐντολῆς γλυκαινόμενος· πῶς δὲ πάλιν οἰνοχοεῖ τὰ εὐέρνη τοῦ κήπου φυτά ; πρὸς τοῦτο φησὶν, ὅτι « Ἐδίψησα, καὶ ἐποτίσατέ με, » γάλακτι τὸν τὸν οἶνον κεράσαντες, τῇ τῆς ἀνθρωπίνης φύσεως τροφῇ, ἥτις καθαρὰ καὶ ἁπλῆ καὶ νηπιώδης ὄντως καὶ ἄδολος καὶ πάσης πονηρᾶς αἰτίας κεκαθαρμένη· καπήλων δὲ ἡ πρὸς τὸν οἶνον μίξις τοῦ ὕδατος· ὅπερ δὲ ἐνταῦθα λόγῳ τοῖς φίλοις παρεκελεύσατο, τοῦτο ἐν τοῖς Εὐαγγελίοις διὰ τῶν ἔργων ἐποίησεν, διὰ τῆς θείας ἐκείνης βρώσεώς τε καὶ πόσεως. Φησὶν οὖν τοῖς δι' ἀρετὴν γεγονόσι πλησίον, τὰ τοῦ Εὐαγγελίου μυστήρια παρατιθέμενος· « Φάγετε, οἱ πλησίον μου, καὶ πίετε, καὶ μεθύσθητε, » λέγων, ἐκ τῆς τοιαύτης βρώσεώς τε καὶ πόσεως, δι' ἧς μέθης αὐτὸς ἑαυτοῦ τις ἐξίσταται πρὸς τὰ θειότερα· ἀδελφοὺς δὲ καλεῖ, ὅτι ὁ ποιῶν τὸ θέλημα αὐτοῦ, ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ὠνόμασται.

Νείλου. — Ἦκουσεν ὁ Νυμφίος τῆς παρακλήσεως· τοιαύτη γὰρ ἦν ἡ παρακαλέσασα, ὡς μὴ παρακουσθῆναι, καί φησιν· *Εἰσῆλθον εἰς κῆπόν μου*, καὶ τὰ ἑξῆς· ἐκείνη μὲν γὰρ καταβῆναι παρεκάλεσεν, ἢ μετριοφρονοῦσα, ἢ μᾶλλον πρὸς τὴν ἀξίαν ὁρῶσα καὶ τὸ ὕψος τοῦ Νυμφίου· οὗτος δὲ οὐ καταβεβηκέναι, ἀλλ' εἰσεληλυθέναι λέγει· τὴν κατάβασιν τῷ τῆς ἰσοτιμίας σεμνύνων ὀνόματι, διὰ τὴν πρὸς αὐτὴν διάθεσιν καὶ ἀγάπην· καὶ κῆπον δὲ τοῦ παραδείσου ἑαυτῆς, ταπεινοφρονοῦσα καλεῖ· οὐ γὰρ ἂν εἶχε ἀκροδρύων, εἰ κῆπος ἐτύγχανεν ὤν· παραδείσου γὰρ καὶ κήπου τὰ ἀκρόδρυα· αὐτὸς δὲ αὐτὸν κῆπον λέγει εἰκότως Θεὸς ὤν· καὶ τὰ παρ' αὐτοῖς δοκοῦντα μεγάλα, ταπεινὰ κρίνων τῇ ἑαυτοῦ παραμετρήσει· εὖ δὲ τὸ οὐκ εἰς κῆπόν σου, ἀλλ', *εἰς κῆπόν μου*, τὸν ἑαυτῆς παράδεισον αὐτοῦ κῆπον ποιεῖ· τὰ γὰρ ἀνθρώπινα πράγματα, εἰ καὶ αὐτὰ παραμετρούμενα λάμπει, ἀλλὰ τοῖς θείοις καὶ νοητοῖς παραβαλλόμενα, ἀμβλύνεται· διὰ δὲ τῆς σμύρνης καὶ τῶν ἀρωμάτων τὸ πάθος καὶ τὸν θάνατον καὶ τὴν ἀνάστασιν ὑπογράφει· σμύρνα γὰρ ὁ θάνατος· ἀρώματα δὲ, ἡ τῆς θεότητος ἐνέργεια, ἡ τῆς ἀναστάσεως τὴν εὐωδίαν ἐνεργήσασα· τὸ δὲ, *Ἔφαγον ἄρτον*, καὶ τὰ ἑξῆς, τὴν ἡδονὴν τοῦ πάθους καὶ τὴν νηπιώδη ἐπιείκειαν, μεθ' ὧν τὰς μάστιγας καὶ τὴν χλεύην ἤνεγκε κωμῳδούμενος, δηλοῖ· *Ἐπιθυμίᾳ* γάρ, φησὶν, *ἐπεθύμησα φαγεῖν τὸ Πάσχα*· διὰ τὸν σταυρὸν, τὸ, *Ἔφαγον ἄρτου μετὰ μέλιτός μου*, δηλοῖ· τὸ δὲ, *ῥαπιζόμενον*, ἐμπαιζόμενον, καλάμῳ τυπτόμενον ἐπιεικῶς φέρειν, ἔπιον οἶνον μετὰ γάλακτός μου· *Φάγετε, οἱ πλησίον μου*, καὶ τὰ ἑξῆς· τάχα τοὺς μαθητὰς λέγων, ὅτε αὐτοὺς ἐπὶ τὴν τῶν μυστηρίων ἐκάλει μετουσίαν, Φάγετε, λέγων, τὸ σῶμά μου, καὶ πίετε τὸ αἷμά μου.

β'. *Ἐγὼ καθεύδω, καὶ ἡ καρδία μου ἀγρυπνεῖ.*

Γρηγορίου. — Ἀκολούθως διαδέχεται τὴν μέθην ὁ ὕπνος, ὡς ἂν διὰ τῆς πέψεως ἀναδοθείη τοῖς δαι-

[79] Matth. xxv, 35. [80] Matth. xii, 50. [81] Luc. xxii, 15.

Digitized by Google

τυμόσιν εἰς εὐεξίαν ἡ δύναμις· διὰ τοῦτο μετὰ τὴν πανδαισίαν ἐκείνην, ἐν τῷ ὕπνῳ ἡ Νύμφη γίνεται· ξένος δέ τις ὁ ὕπνος, καὶ τῆς φυσικῆς συνηθείας ἀλλότριος· ἐφ' ὧν γὰρ ὁ νοῦς μόνῃ τῇ θεωρίᾳ τοῦ ὄντος εὐφραίνεται, οὐδενὶ τῶν αἰσθητηρίων παρενοχλούμενος, ὡς ὕπνῳ τινὶ πάρετος ἡ τοῦ σώματος γίνεται φύσις πάσης σαρκικῆς κατακοιμισθείσης κινήσεως· διττὴς γὰρ οὔσης ἡμῖν ἡδονῆς, τῆς μὲν ἐν ψυχῇ δι' ἀπαθείας, τῆς δὲ διὰ ἀπαθοῦς ἐν σώματι, ἥνπερ ἂν ἡ προαίρεσις ἕληται, αὕτη κατὰ τῆς ἑτέρας ἔχει τὸ κράτος· διὰ τοῦτο ἡ ψυχὴ, ὅταν μόνῃ τῇ θεωρίᾳ τοῦ ὄντως εὐφραίνηται, πρὸς οὐδὲν ἐγρήγορε τῶν ἐνεργουμένων καθ' ἡδονὴν δι' αἰσθήσεως· ἀλλὰ πᾶσαν σωματικὴν κατακοιμίσασα κίνησιν, γυμνῇ τε καὶ καθαρᾷ τῇ διανοίᾳ τῆς θείας ἐγρηγόρσεως, δέχεται τοῦ Θεοῦ τὴν ἐμφάνειαν. A B

cultas ad bonam habitudinem. Propterea post illud epulum Sponsa tenetur somno. Est autem alienus quidam hic somnus, et a consuetudine naturali remotus. In quibus enim mens sola contemplatione ejus quod est delectatur, a sensibus minime perturbata, tanquam somno quodam tenetur corporis natura, omni carnali motu sopito; nam cum in nobis duplex sit voluptas, altera quidem in anima per impatibilitatem, altera vero per affectionem in corpore, quantacunque liberum arbitrium elegerit, ea dominatur in alteram. Propterea quando anima delectatur sola ejus quod est contemplatione, ad nihil vigilat eorum quæ ad voluptatem fiunt per sensum, sed omni corporeo motu sopito, nuda et pura mente per divinam vigiliam Dei suscipit apparitionem.

(61) Τὸν ἐν τοῖς σωματικοῖς εἶναι πειρασμοῖς, καθεύδειν λέγει· ὡς γὰρ ὁ βαπτισθεὶς τῷ ὕπνῳ, ἀγρυπνοῦσαν ἔχειν τὴν καρδίαν οὐ δύναται, οὕτως ὁ ἐμβαθύνας ταῖς σωματικαῖς ἀσχολίαις, αἰσθησιν τῆς φωνῆς τοῦ Νυμφίου λαμβάνει. Εἰς γὰρ πολυμέριμνον ψυχὴν φωνὴ οὐ φθάνει Θεοῦ· αὕτη δὲ οὕτως ἐκάθευδεν ὡς αἰσθέσθαι τῆς τοῦ Νυμφίου φωνῆς· τὸ ἐπιπόλαιον γὰρ καὶ χρειῶδες τῆς σωματικῆς ἀσχολίας ἑαυτῇ ἐμφαίνει· μνήμη γὰρ Θεοῦ, νηφάλιον ποιεῖ· καὶ μετρία ἐστὶ τῶν ἀναγκαίων φροντὶς· φωνεῖ δὲ ὁ λόγος, ὅταν ὥσπερ ἠχός τις ἀδιόρθωτος προσπέσῃ τῇ ψυχῇ νόημα· κρούει δὲ ἐπὶ τὴν θύραν, ὅταν ἡ ἐπαπόρησις τὴν λύσιν εὐαγγελίζεται· εἰσέρχεται δὲ ὅταν σαφῶς θεωρηθῇ τὸ ἀπορηθὲν, καὶ τρανὸν δέξηται τὸ νόημα τὸν τύπον. C

Nili. — In corporalibus versari tentationibus hoc vocat dormire, quemadmodum enim somno immersus non potest habere cor vigilans; sic qui corporeis immersus est occupationibus sensum vocis Sponsi non accipit. Nam in animam multis curis intricatam vox Dei non pervenit. Hæc autem sic dormiebat ut sponsi vocem perciperet. Perfunctoriam enim et necessitate tenus corpoream suam insinuat occupationem. Memoria enim Dei sobrium reddit, moderata rerum necessariarum cura: sonat autem sermo cum velut echo quædam inarticulata, incidit animo sensus. Pulsat vero ad ostium quando dubitatio solutionem annuntiat. Intrat vero quando id quod dubium erat clare fuerit perspectum et sensus perspicuam figuram acceperit. C

Κυρίλλου καὶ Φίλωνος. — Ἐν τῷ σταυρῷ φησι τὸν ὑπὲρ ἀνθρώπων ἀναδεχόμενος θάνατον· ἀγρυπνεῖ δὲ ἡ καρδία, καθὸ ὡς Θεὸς τὸν ᾅδην ἐσκύλευσεν.

Cyrilli. — Dormit in cruce pro hominibus mortem suscipiens: cor vero vigilat, in quantum ut Deus infernum spoliavit.

Φωνὴ τοῦ ἀδελφιδοῦ μου κρούει ἐπὶ τὴν θύραν.

Vox fratruelis mei pulsat ad ostium.

Γρηγορίου. — Ἡ μαρτυρηθεῖσα τοσαῦτα ὅσα ἐν τοῖς φθάσασιν ἐπῆνεσεν ὁ λόγος, καὶ γνοῦσα πολλάκις ἤδη τὸν Νυμφίον, ὡς νῦν αὐτῇ πρῶτον ἐμφανιζομένου διάκειται. Εἰ γὰρ καὶ ἔγνων ὅσον κατείληφεν, ἀλλ' ἀπειροπλάσιον τὸ μήπω κατειλημμένον· ὥσπερ γὰρ εἴ τις πλησίον γένοιτο πηγῆς, θαυμάσειε μὲν τὸ ἄπειρον ὕδωρ, οὐ μὴν εἴπῃ ὅλον ἑωρακέναι τὸ ὕδωρ· πῶς γὰρ τὸ ταῖς λαγόσι τῆς γῆς κρυπτόμενον; ὥστε κἂν ἐπὶ πολὺ παραμείνει τῷ βρύοντι, ἀεὶ ἐν ἀρχαῖς ἐστι τῆς θεωρίας τοῦ ὕδατος· οὐ γὰρ παύεται τὸ ὕδωρ ἀεί τε ῥέον καὶ ἀεὶ τοῦ βρύειν ἀρχόμενον. Οὕτως ὁ πρὸς τὸ θεῖον ἐκεῖνο καὶ ἀόριστον κάλλος βλέπων, ἐπειδὴ τὸ πάντοθεν εὑρισκόμενον, καινότερόν τε καὶ παραδοξότερον πάντως παρὰ τὸ ἤδη κατειλημμένον ὁρᾶται, θαυμάζει μὲν τὸ ἀεὶ προφαινόμενον, οὐδέποτε δὲ ἵσταται τῆς ἰδεῖν ἐπιθυμίας διὰ τὸ πάντως τοῦ ἐωραμένου, μεγαλοπρεπέστερον εἶναι τὸ προσδοκώμενον· ὅθεν εἰ καὶ ὤφθη, ὡς μήπω φανείς, διὰ φωνῆς ἑαυτοῦ τὴν ἐμφάνειαν ἐπαγγέλλεται. D

Gregorii. — Quæ tot testimonia acceperat quæ in præcedentibus oratio insinuavit; et jam sæpe Sponsum agnoverat, ita se gerit ac si jam primum ipsi appareret. Etsi enim agnoverit quantum comprehendit, sed infinitiplicitas nondum comprehensa est. Quemadmodum enim si quis fonti proximus sit, mirabitur quidem infinitam aquam, non tamen dixerit se totam aquam conspexisse; quomodo enim viderit quod est occultum in lumbis terræ? Adeo ut etiamsi diu maneat ad aquam salientem, est semper in principiis contemplationis aquæ. Non enim cessat aqua, et semper fluens et incipiens scaturire. Sic qui ad illam divinam et non aspectabilem aspicit pulchritudinem, quandoquidem quod jugiter invenitur, recentius et admirabilius omnino cernitur quam id quod est jam comprehensum, miratur quidem id quod semper apparet; nondum autem desistit a desiderio videndi, quia quolibet quod cernitur est magnificentius quod exspectatur.

NOTÆ.

(61) Hæc in C. V. Gregorii nomen retinent dum in C. B. sancto Nilo inscribuntur.

Digitized by Google

Unde licet visus sit, quasi necdum apparuisset, per vocem suam apparitionem annuntiat. Itaque tanquam vocem emittenti et pulsanti ad obediendum assurgit.

Philonis. — Indulgens autem auditui quietem, audit per vocem adsonans verbum, quando resurgens astitit discipulis januis clausis.

Aperi mihi, soror mea, proxima mea, columba mea, perfecta mea, quia caput meum repletum est rore et cincinni mei guttis noctis.

Gregorii. — Magno Moysi per lucem primum apparuit Deus in rubo, deinde per nubem cum eo loquitur. Denique cum jam esset sublimior Deum videt in caligine. Quod autem per hoc discimus est hujusmodi : Primus recessus a falsis et errantibus de Deo opinionibus, est transitus a tenebris ad lucem. Propinquior autem occultorum consideratio, quæ per ea quæ apparent manuducit animam ad inaspectabilem naturam, est veluti quædam nubes adumbrans quidem quidquid cernitur; sed ad id quod absconsum est videndum manuducens. Anima autem quæ per hæc quoad fas est naturæ humanæ inferioribus relictis tendit ad superna, versatur in adytis divinæ cognitionis, divina caligine undique intercepta : in qua quolibet quod cernitur et comprehenditur foris relicto, animæ contemplationi solum restat id quod inaspectabile et incomprehensibile exsistit; in quo est Deus. Erat igitur aliquando etiam Sponsa nigra obscuris dogmatibus obtenebrosa : sed fonti lucis per mysticum osculum os admovere desiderans, pulchra fit et ignorantiæ nigredinem aqua abluit. Deinde velut equa currens, et tanquam columba volans, prius quidem cum desiderio sub umbra mali quiescit, malum pro nube nominans id quod obumbrat. Nunc autem a divina nocte jam circumitur, in qua Sponsus quidem accedit, sed minime apparet, ut præsentiæ suæ sensum aliquem anima præbet. Nam verbum tangit conjecturalem arcanorum cogitationem, hoc enim ostium est per quod introducitur id quod quæritur : effugit autem evidentem mentis comprehensionem inaspectabilitate naturæ apertum. Stans ergo extra naturam nostram veritas, per cognitionem ex parte, sicut dicit Apostolus, in figuratis quibusdam locutionibus et ænigmatibus mentis nostræ pulsat ostium dicens : *aperi;* et cum adhortatione suggerit modum quo oporteat aperire ostium, veluti præbens quasdam claves, nempe pulchra hæc nomina, per quæ aperitur id quod est clausum. Claves enim plane sunt horum nominum significationes, quæ occulta aperiunt. Nempe soror et proxima, et columba, et perfecta. Si vis enim, inquit, aperiri ostium et attolli portas animæ tuæ ut rex gloriæ ingrediatur,

Ὡς οὖν φωνοῦντος καὶ κρούοντος πρὸς τὴν ὑπακοὴν διανίσταται.

(62) Ἐνδοῦσα δὲ ταῖς ἀκοαῖς ἡσυχίαν, ἀκούει τοῦ διὰ τῆς φωνῆς προσηχήσαντος λόγου, ὅτε ἀναστὰς ἐπέστη τοῖς μαθηταῖς τῶν θυρῶν κεκλεισμένων.

Ἄνοιξόν μοι, ἀδελφή μου, πλησίον μου, περιστερά μου, τελεία μου, ὅτι ἡ κεφαλή μου ἐπλήσθη δρόσου, καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός.

Φίλωνος (63). — Τῷ μεγάλῳ Μωσεῖ διὰ φωτὸς πρότερον ἐνεφανίσθη Θεὸς ἐπὶ βάτου· εἶτα διὰ νεφέλης αὐτῷ διαλέγεται· εἶτα ὑψηλότερος ἤδη γενόμενος, ἐν γνόφῳ Θεὸν βλέπει· ὃ δὲ διὰ τούτων μανθάνομεν, τοιοῦτόν ἐστιν. Ἡ πρώτη ἀπὸ τῶν ψευδῶν καὶ πεπλανημένων περὶ Θεοῦ ὑπολήψεων ἀναχώρησις, ἡ ἀπὸ τοῦ σκότους εἰς φῶς ἐστι μετάστασις· ἡ δὲ προσεχεστέρα τῶν κρυπτῶν κατανόησις, ἡ διὰ τῶν φαινομένων χειραγωγοῦσα τὴν ψυχὴν πρὸς τὴν ἀόρατον φύσιν, οἷόν τις νεφέλη γίνεται, τὸ φαινόμενον μὲν ἅπαν ἐπισκιάζουσα, πρὸς δὲ τὸ κρύφιον βλέπειν τὴν ψυχὴν χειραγωγοῦσα· ἡ δὲ διὰ τούτων ὁδεύουσα πρὸς τὰ ἄνω ψυχή, ὅσον ἐφικτόν ἐστι τῇ ἀνθρωπίνῃ φύσει, καταλιποῦσα ἐντὸς τῶν ἀδύτων τῆς θεογνωσίας γίνεται· τῷ θείῳ γνόφῳ πανταχόθεν διαληφθεῖσα, ἐν ᾧ τοῦ φαινομένου τε καὶ καταλαμβανομένου παντός, ἔξω τοῦ καταλειφθέντος, μόνον ὑπολείπεται τῇ θεωρίᾳ τῆς ψυχῆς, τὸ ἀόρατόν τε καὶ ἀπατάληπτον ἐν ᾧ ἐστιν ὁ Θεός· ἦν οὖν ποτε καὶ ἡ Νύμφη μέλαινα τοῖς ἀφωτίστοις δόγμασιν, τῇ δὲ πηγῇ τοῦ φωτὸς διὰ τοῦ μυστικοῦ φιλήματος προσαγαγεῖν τὸ στόμα ποθήσασα, καλὴ γίνεται, καὶ τὸ μέλαν τῆς ἀγνοίας ἀπέκλυσεν ὕδατι. Εἶτα ὡς ἵππος δραμοῦσα, καὶ ὡς περιστερὰ διαπτᾶσα, πρότερον μὲν τῇ σκιᾷ τοῦ μήλου μετ' ἐπιθυμίας ὑπαναπαύεται, μῆλον ἀντὶ νεφέλης τὸ ἐπισκιάζον κατονομάζουσα. Νῦν δὲ ἤδη ἀπὸ τῆς θείας νυκτὸς περιέχεται· καθ' ἣν ὁ Νυμφίος παραγίνεται μέν, οὐ φαίνεται δέ· ἀλλ' αἴσθησίν τινα τῆς παρουσίας δίδωσι τῇ ψυχῇ· ἅπτεται δὲ τῆς σωματικῆς τῶν ἐναρέτων διανοίας ὁ λόγος· αὕτη γὰρ θύρα δι' ἧς εἰσοικίζεται τὸ ζητούμενον· ἐκφεύγει δὲ τὴν ἐν ἀρχῇ κατανόησιν, τῷ ἀοράτῳ τῆς φύσεως κρυπτόμενος. Ἔξω τοίνυν ἑστῶσα τῆς φύσεως ἡμῶν ἡ ἀλήθεια, διὰ τῆς ἐκ μέρους γνώσεως, καθά φησιν ὁ Ἀπόστολος, ἐν ὑπονοίαις τισὶ καὶ αἰνίγμασι, θυροκρουτεῖ τὴν διάνοιαν, *Ἄνοιξον*, λέγουσα· καὶ μετὰ τῆς προτροπῆς ὑποτιθεμένη τὸν τρόπον, ὅπως ἀνοιγῆναι προσήκει τὴν θύραν, οἷόν τινας [κλεῖδας] ὀρέγουσα τὰ καλὰ ταῦτα ὀνόματα, δι' ὧν τὸ κεκλεισμένον ἀνοίγεται· κλεῖδες γάρ εἰσιν ἄντικρυς αἱ τῶν ὀνομάτων ἐμφάσεις τὰ κρυπτὰ διανοίγουσαι. Ἀδελφὴ καὶ πλησίον καὶ περιστερὰ τελεία· εἰ γὰρ βούλει σὺ, φησίν, ἀνοιγῆναι τὴν θύραν, καὶ ἐπαρθῆναι τῆς ψυχῆς σου τὰς πύλας ἵνα καὶ εἰσέλθῃ ὁ βασιλεὺς τῆς

NOTÆ.

(62) Hæc Gregorio dat C. V., Philoni autem tribuit C. B.

(63) C. B. Γρηγορίου.

Digitized by Google

δόξης, χρή σε ἀδελφήν μου γενέσθαι ἐν τῷ τὰ θελήματά μου ποιεῖν. Χρὴ δὲ καὶ προσεγγίσαι καὶ πλησίον γενέσθαι, καὶ ἐν τῇ φύσει τῆς περιστερᾶς ἔχειν τὸ τέλειον· τοῦτο δέ ἐστι, τὸ ἀνελλιπῆ καὶ πεπληρωμένην εἶναι πάσης κακίας [ita cod. Vat.; C. B. ἀκακίας] καὶ καθαρότητος· ταῦτα δὲ γενομένη ἔσται σοι κέρδος ἐκ τοῦ εἰσδέξασθαι· ἡ ἐκ τῆς κεφαλῆς μου δρόσος, ἧς πλήρης εἰμὶ, ἥτις ἔσται, κατὰ τὸν Προφήτην· καὶ *αἱ ψεκάδες τῆς νυκτός*· ἐπεὶ μὴ δυνατὸν τὸν ἐντὸς τῶν ἀδύτων γενόμενον, ὄμβρῳ τινὶ τῆς γνώσεως ἐντυχεῖν· ἀλλ' ἀγαπητὸν εἰ λεπταῖς τισι καὶ ἀμυδραῖς διανοίαις ἐπιψεκάζει τὴν γνῶσιν αὐτῷ ἡ ἀλήθεια τῆς λογικῆς σταγόνος ἀποῤῥεούσης· βοστρύχους γὰρ αὐτοῦ τῆς κεφαλῆς ἀπαιωρῆσθαί φησι, προφήτας, ἀποστόλους, εὐαγγελιστάς· οἵτινες ὅσον ἐχώρουν, ἐκ τῶν σκοτεινῶν τε καὶ ἀποκρύφων καὶ ἀοράτων θησαυρῶν ἀρυόμενοι, ἡμῖν μὲν ποταμοὶ γίνονται πλήρεις ὑδάτων, ὡς δὲ πρὸς τὴν ὄντως ἀλήθειαν δροσώδεις εἰσὶ ψεκάδες.

Νείλου. — Δρόσον καὶ ψεκάδας νυκτὸς, τάχα τὰς ἀπὸ τῆς Ἰουδαϊκῆς ἀγνοίας ἐπ' αὐτὸν ἐρχομένας καλεῖ. Εἰ γὰρ καὶ ἐπαινεῖται ἡ δρόσος ἐν τῇ Γραφῇ, ἀλλὰ μετὰ προσθήκης τῆς ἀπὸ τοῦ ἀνθρώπου· ἧς πλησθεῖσαν τὴν ἑαυτοῦ κεφαλὴν ὁ Νυμφίος ἀπομάξαι ζητεῖ ἐν τῷ οἴκῳ τῆς Νύμφης γενόμενος· οἶκος δὲ τῆς Νύμφης, ἢ τὸ ἑκάστου τῶν ποιημάτων ἡγεμονικὸν, ἢ αὐτὴ ἡ Ἐκκλησία· εἰ δέ τις ἰδεῖν βούλεται πῶς ἀπὸ τῆς Ἰουδαϊκῆς βλάβης ψεκάδας ἀπομάσσει τῆς κεφαλῆς τοῦ Νυμφίου ἡ Νύμφη, βλεπέτω τὸν λῃστὴν πῶς μετὰ τὰ ὀνείδη τῶν ἀρχιερέων καὶ γραμματέων βοᾷ τὸ *Μνήσθητι*· θεραπευτικὴ γὰρ ἡ δόξα αὕτη τῆς δυσφημίας ἐκείνης.

Ὡριγένους. — Ἀναγκαίως ἡ τοῦ, *μοι*, προσθήκη, κ. τ. λ. (64).

γ'. Ἐξεδυσάμην τὸν χιτῶνά μου, πῶς ἐνδύσομαι αὐτόν; ἐνιψάμην τοὺς πόδας μου, πῶς μολυνῶ αὐτούς;

Γρηγορίου. — Καλῶς ἤκουσεν τοῦ κελεύσαντος ἀδελφὴν αὐτὴν καὶ πλησίον καὶ τελείαν καὶ περιστερὰν γενέσθαι· ἵνα διὰ τούτων εἰσοικισθῇ τῇ ψυχῇ ἡ ἀλήθεια. Ἐποίησε γὰρ ἅπερ ἤκουσεν, ἐκδυσαμένη τὸν δερμάτινον χιτῶνα, ὃν μετὰ τὴν ἁμαρτίαν περιεβάλετο· καὶ ἀπονιψαμένη τῶν ποδῶν τὸ γεῶδες ᾧ ἐνειλήθη, ἀπὸ τῆς ἐν παραδείσῳ διαγωγῆς εἰς γῆν ἀναλύσασα, διὰ τούτων ἤνοιξεν ἐπὶ τὴν ψυχὴν τῷ λόγῳ τὴν εἴσοδον. Οὐκοῦν ὁ τὸν παλαιὸν ἀπεκδυσάμενος ἄνθρωπον, ὅ ἐστιν ἡ ἁμαρτία καὶ ὁ θάνατος, καὶ διὰ τοῦ βαπτίσματος περιελὼν τῆς καρδίας τὸ κάλυμμα, τῶν τε ψυχικῶν βάσεων ἀποκλείσας τὸν ῥύπον ἤνοιξε τῷ λόγῳ τὴν εἴσοδον, ὃν ἔνδον γενόμενον ἐνδύεται· Ἰησοῦς δέ ἐστι τὸ ἔνδυμα· ἡ δὲ περὶ τοῦ μηκέτι τὸν ἀποβληθέντα χιτῶνα πάλιν ἐπαναλαβεῖν, εἶτ' οὖν μὴ ἐπιστρέψαι εἰς τὰ πρώην τῆς Νύμφης, ὁμολογία, ἀνοίγει τῷ Νυμφίῳ τὴν θύραν πρὸς εἴσοδον τοῦ ἁγιασμοῦ· καὶ μηδὲ δύο χιτῶνας ἔχειν, ἀρκεῖσθαι δὲ τῷ ἑνὶ, κατὰ τὸν δοθέντα νόμον τοῖς μαθηταῖς· ὃν διὰ τῆς ἄνωθεν γεννήσεως ἀνακαινισθεῖσα, μετημφιάσ-

A oportet te sororem meam fieri voluntates meas faciendo. Sed et oportet appropinquare ac proximam fieri, et habere in natura columbæ perfectionem: hoc autem est nulla in re deficere, et esse plenam omni innocentia et puritate. Hæc autem effecta, ex eo quod me admiseris et introduxeris, lucrifacies rorem ex capite meo quo sum plenus (quia est curatio secundum prophetam) et *guttas noctis*; quia fieri non potest ut qui ingressus fuerit adita, imbre quopiam cognitionis potiatur, sed præclare cum eo agetur. Si exilibus quibusdam et obscuris sententiis cognitionem ejus veritas irroret, per viros sanctos et divinos defluente gutta rationis. Cincinnos enim ab ejus lapide pendentes dicit prophetas, apostolos, evangelistas; qui quantum B capere poterant ex obscuris, occultis et inaspectabilibus thesauris haurientes, nobis quidem fiunt fluvii pleni aquis: si rei autem spectetur veritas sunt guttæ roris.

Nili. — Roris guttas noctis forte vocat, eas quæ ignorantia Judaica ad ipsum veniunt. Etsi enim in Scriptura ros laudetur, attamen cum appositione de cœlo, quo cum repletum haberet caput suum Sponsus, abstergere illud quærit in domo Sponsæ exsistens. Domus autem Sponsæ vel uniuscujusque fidelium, mens est, vel ipsa Ecclesia. Si quis vero videre velit quomodo Judaicæ noxæ guttas a Sponsi capite abstergat Sponsa, aspiciat latronem quomodo post principum sacerdotum et scribarum opprobria C clamet illud *Memento*. Hæc ipsa namque gloria infamiam illam curabat.

Origenis. — Istud *mihi* necessario appositum fuerit verbo *aperi*, etc.

Vers. 3. *Exui tunicam meam, quomodo induam illam? Lavi pedes meos, quomodo inquinabo illos?*

Gregorn. — Recte audivit cum qui jussit eam fieri sororem, et proximam, et perfectam, et columbam, ut veritas per hæc ad animam introducatur. Fecit enim quæ audivit, ut quæ exuerat pellicéam illam tunicam quam induerat post peccatum, et a pedibus abluerit terrenas illas sordes quibus erat involuta, ex quo a vita quam in para- D diso egerat, in terram reversa fuit, propterea verbo aditum ad animam aperuit. Itaque qui veterem hominem, id est peccatum et mortem exuit, et per baptismum abstulit cordis velum et animæ pedum sordes abluit, is verbo ingressum aperuit, quod intus exsistens induit. Jesus autem est indumentum. Cæterum illa Sponsæ professio de rejecta tunica non amplius resumenda, sive quod ad pristina non esset reversura, ostium Sponso aperit ad ingressum sanctimoniæ; quodque non sit habitura duas tunicas, unica contenta congruenter legi datæ discipulis, quam per regenerationem renovata induit, et nequaquam peccati tunicam de-

NOTÆ.

(64) *Patrol.* t. XVII, col. 273.

Digitized by Google

super indutura sit. Quæ est enim societas obscuro et tenebricoso indumento cum luminoso et experti materiæ? sed neque postquam pedes lavit rursus, et incessu terrenas sordes admittit. Neque enim Moyses in ascensu Terræ sanctæ, cum pedes mortuo pellium indumento exuisset, narratur illud amplius resumpsisse, neque postquam vestem sacram, juxta figuram sibi in monte ostensam, affabre construxisset, ullum ornamentum adhibuit pedibus. Sed sacerdotalis pedis ornamentum erat nuditas. Oportet enim sacerdotem semper ingredi super terram sanctam, quam cum pellibus mortuis ascendere nefas est. Idcirco etiam Dominus discipulis interdicit calceos [82], quando eos jubet non ire in viam gentium, sed per viam sanctam incedere. Non igneres autem viam sanctam, per quam discipuli currere jubentur, cum didiceris ab eo qui dicit : « Ego sum via [83], » quam non licet tangere cum qui mortui hominis non solvit indumentum. Quia igitur hanc viam ingressa est Sponsa, in qua ambulantibus pedes aqua Dominus abluit, et extergit linteo quo cinctus est. Est autem Domini cingulum vis quædam purificans. Idcirco pedes abluta semetipsam in via regia custodit, neque ad dexteram neque ad sinistram deflectens, ne alterutram ad partem exorbitans, luto pedem suum inquinet. Intelligis autem quid per hoc significetur, nimirum animam quæ semel per baptismum calceos solverit. Proprium enim baptizantis opus est calceamentorum corrigiam solvere, id quod Joannes in solo Domino se facere non posse protestabatur. Quomodo enim solvisset eum qui ne in principium quidem corrigiæ peccati se induerat? Hæc igitur pedes abluit, una cum calceamentis omnes terrenas sordes abjiciens : itaque servat in via erratica pedes suos impollutos.

Nili. — Non recusat solvi secundum moralem intelligentiam, sed considerat laborem quem sustinuit ut a sollicitudinibus mundanis tunicam suam solveret, utque contractas ex terrenis conversationibus animæ sordes, ratiocinandi vi deponeret, et inquinari rursum tergiversatur; solvi quidem cupiens, sed eos pedes qui a terra recesserant inquinari non sustinens. Cæterum periculis quoque non vacat cunctatio solutionis ut sequentia declarant, quando enim bonum fit, sed oscitanter, non est expers reprehensionis, non diligenter operanti tarditatem deputans damnationi.

VERS. 4. *Fratruelis meus misit manum suam per foramen, et venter meus conturbatus est super eum.*

Philonis. — Dicit autem de conspectu : Dixit etenim Dominus Thomæ : « Mitte digitos tuos in vestigium clavorum [84]. » Digiti autem myrrhæ pleni : sciebant idem corpus quod sepultum est surrexisse.

σατο· καὶ μηδαμῶς ἐπενδύσασθαι τὸν τῆς ἁμαρτίας χιτῶνα· τίς γὰρ κοινωνία τῷ σκοτεινῷ ἐνδύματι, πρὸς τὸ φωτοειδές τε καὶ ἄϋλον; οὐδὲ τοὺς πόδας νιψαμένη πάλιν τῇ βάσει τὸν ἐκ τῆς γῆς μολυσμὸν παραδέχεται. Οὐδὲ γὰρ Μωσῆς ἐν τῇ τῆς ἁγίας γῆς ἐπιβάσει τὴν δερματίνην νέκρωσιν τῶν ποδῶν ἐκβαλὼν, ἀνειληφέναι ταύτην αὖθις ἱστόρηται· οὐδὲ γὰρ τὴν ἱερὰν ἐσθῆτα, κατὰ τὸν ἐν τῷ ὄρει δειχθέντα τύπον φιλοτεχνήσας, τοῖς ποσί τινα κόσμον ἐπετεχνήσατο· ἱερατικοῦ δὲ ποδὸς ἡ γυμνότης γέγονε κόσμος· χρὴ γὰρ ἀεὶ βαίνειν ἐπὶ τῆς ἁγίας γῆς τὸν ἱερέα, ἧς μετὰ νεκρῶν δερμάτων ἐπιβατεύειν οὐ θέμις· διά τοι τοῦτο καὶ τοῖς μαθηταῖς ὁ Κύριος ἀπαγορεύει τὰ ὑποδήματα· ἐπειδὴ κελεύει αὐτοὺς εἰς ὁδὸν ἐθνῶν μὴ πορεύεσθαι, ἀλλὰ διὰ τῆς ἁγίας ὁδοῦ προΐέναι. Οὐκ ἀγνοεῖς δὲ πάντως τὴν ἁγίαν ὁδὸν, δι' ἧς οἱ μαθηταὶ τρέχειν κελεύονται, μαθὼν παρὰ τοῦ εἰπόντος· « Ἐγώ εἰμι ἡ ὁδός· » ἧς οὐκ ἔστιν ἅψασθαι, μὴ ὑπολυσάμενον τὴν τοῦ νεκροῦ περιβολήν. Ἐπεὶ οὖν ἐν ταύτῃ ἐγένετο τῇ ὁδῷ ἡ Νύμφη, ἐν ᾗ τῶν δι' αὐτῆς περιπατούντων ὁ Κύριος νίπτει τοὺς πόδας τῷ ὕδατι, ἐκμάσσει τῷ λεντίῳ ᾧ διεζώσατο· δύναμις δέ ἐστι καθαρτικὴ τὸ τοῦ Κυρίου διάζωσμα. Διὰ τοῦτο καθαρθεῖσα τοὺς πόδας ἐπὶ τῆς ὁδοῦ τῆς βασιλικῆς ἑαυτὴν φυλάττει, οὐκ ἐκκλίνουσα εἰς δεξιὰ ἢ ἀριστερὰ, ἵνα μὴ καθ' ἕτερον ἔξω τῆς ὁδοῦ παρενεγκοῦσα τὸ ἴχνος, μολύνῃ τῷ πηλῷ τὸν πόδα. Νοεῖς δὲ πάντως τὸ διὰ τῶν εἰρημένων δηλούμενον, ὅτι ἅπαξ διὰ τοῦ βαπτίσματος ὑπολυσαμένη τὰ ὑποδήματα (διον γὰρ τοῦ βαπτίζοντος ἔργον, τὸ λύειν τοὺς ἱμάντας τῶν ὑποδημάτων· ὅπερ Ἰωάννης ἐπὶ μόνου τοῦ Κυρίου μὴ δύνασθαι ποιῆσαι διεμαρτύρατο· πῶς γὰρ ἂν ἔλυσε τὸν μηδὲ τὴν ἀρχὴν τῷ ἱμάντι τῆς ἁμαρτίας ἐνδεδεμένον;) αὕτη τοὺς πόδας ἐνίψατο, πάντα γῆϊνον ῥύπον συναποβαλοῦσα τοῖς ὑποδήμασι· φυλάσσει τοίνυν ἐπὶ τῆς ὁδοῦ τῆς πεπλανημένης τὴν βάσιν ἀμόλυντον.

Νείλου. — Οὐ τὸ ἀνοῖξαι παραιτεῖται κατὰ τὴν ἠθικὴν ἔννοιαν· ἀλλ' ἐννοεῖ τὸν πόνον ὃν ὑπέστη, ἵνα ἀποδύσηται τὸν τῆς κοσμικῆς μερίμνης χιτῶνα· καὶ ἵνα τὸν ἐκ τοῦ ἐπιπορεύεσθαι τοῖς γηΐνοις προσγενόμενον τῷ λόγῳ ῥύπον τῆς ψυχῆς ἀπόθηται· καὶ μολυνθῆναι πάλιν ὀκνεῖ, ἀνοῖξαι μὲν βουλομένη, μολῦναι δὲ τοὺς ἅπαξ τῆς γῆς ἀναχωρήσαντας οὐ καταδεχομένη πόδας. Ὅμως οὐκ ἀκίνδυνος πρὸς τὸ ἀνοῖξαι ἡ μέλλησις, ὡς δηλοῖ τὰ ἐπιφερόμενα· κἂν γὰρ γένηται τὸ καλὸν, μεθ' ὑπερθέσεως δὲ, οὐκ ἔξω ἐστὶ μέμψεως· κατάγνωσιν τὸν ὄκνον, τῷ μὴ σπουδαίως ἐνεργήσαντι ψηφιζόμενον.

δ'. *Ἀδελφιδούς μου ἀπέστειλε χεῖρα αὐτοῦ ἀπὸ τῆς ὀπῆς· καὶ ἡ κοιλία μου ἐθορύβη ἐπ' αὐτόν.*

Φίλωνος. — * Λέγει δ' ἂν ἀπὸ τῆς ὀπῆς· ἐπειπερ ἔλεγε τῷ Θωμᾷ, « Βάλε τὸν δάκτυλόν σου εἰς τοὺς τύπους τῶν ἥλων· » δάκτυλοι μὲν σμύρναν πλήρεις· ἔγνων ὅτι τὸ σῶμα τὸ ταφὲν, αὐτὸ καὶ ἀνέστη.

[82] Matth. x, 10. [83] Joan. xiv, 6. [84] Joan. xx, 27.

Digitized by Google

Γρηγορίου. — Πάλιν ὑπερκειμένης ἀναβάσεως ἅπτεται ἡ καθαρθεῖσα ψυχή· μηκέτι φωνῆς τὴν καρδίαν θυροκρουστούσης, ἀλλ' αὐτῆς τῆς θείας χειρὸς ἐπὶ τὰ ἐντὸς παρεισδυείσης· ἀνοίγει τὴν θύραν περιελομένη τὸ τῆς καρδίας κάλυμμα· διέσχισε τὰς θύρας τὸ τῆς σαρκὸς παραπέτασμα· πᾶσα ἠνοίγη τῆς ψυχῆς ἡ πύλη, ἵνα εἰσέλθῃ ὁ βασιλεὺς τῆς δόξης· ἀλλ' ἀπεδείχθη τῆς ψυχῆς ἡ εὐρυχωρία μικρά τις ὀπή, δι' ἧς οὐκ αὐτὸς ὁ Νυμφίος, ἀλλ' ἡ χεὶρ αὐτοῦ μόγις ἐχώρει· ὥστε δι' αὐτῆς ἐπὶ τὰ ἐντὸς γενέσθαι, καὶ ἅψασθαι τῆς ἐπιθυμούσης τὸν Νυμφίον ἰδεῖν· ἡ τοσοῦτον ἐκέρδανε μόνον, ὅσον γνῶναι ὅτι ἡ χεὶρ· οὕτω δὲ σκοπήσωμεν. Ἡ ἀνθρωπίνη ψυχή, δύο φύσεων οὖσα μεθόριος, ὧν ἡ μὲν ἀσώματός ἐστι καὶ νοερά, ἡ δὲ ἑτέρα σωματικὴ καὶ ὑλώδης καὶ ἄλογος, ἐπειδὴ ἂν τάχιστα τῆς πρὸς τὸν παχὺν καὶ γεώδη βίον σχέσεως ἐκκαθαρθεῖσα δι' ἀρετῆς, ἀναβλέψῃ πρὸς τὸ συγγενὲς καὶ θειότερον, οὐ παύεται διερευνωμένη καὶ ἀναζητοῦσα τὴν τῶν ὄντων ἀρχήν. Πάντα δὲ περιεργαζομένη, ὥστε ἀπολαύειν τὸ ζητούμενον, ὅρον ποιεῖται τῆς καταλήψεως τοῦ Θεοῦ τὴν ἐνέργειαν, τὴν μέχρις ἡμῶν κατιοῦσαν, ἧς διὰ τῆς ζωῆς ἡμῶν αἰσθανόμεθα· οἷον ὁρᾷ τὸ κάλλος τοῦ οὐρανοῦ, τῶν ἀστέρων τὴν ποικιλίαν, τὰς πολυειδεῖς τῶν ζώων φύσεις, τάς τε τῶν φυτῶν ἰδέας, καὶ τὰ λοιπὰ πάντα, ἵνα μὴ καθ' ἕκαστον λέγω, δι' ὧν ἡ ἐνέργεια τοῦ Θεοῦ δείκνυται. Ταῦτα τοίνυν ὁρῶσα διὰ τοῦ θαύματος τῶν φαινομένων, ἀναλογίζεται τῇ διανοίᾳ τὸν διὰ τῶν ἔργων νοούμενον· ἴσως γὰρ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα ἑτέρως γνωσόμεθα τὴν τοῦ ἀγαθοῦ φύσιν, καὶ τρανοτέρως καταληψόμεθα τὸ εἶδος τῆς ἀφθάρτου μακαριότητος· τέως δὲ ἀγαπητὸν τῇ ψυχῇ, ἡ ἐμφαινομένη τοῖς οὖσιν ἐνέργεια· ἥτις ἑρμηνεύεται χεὶρ τροπικῶς, ἣν ἀπέστειλε διὰ τῆς ὀπῆς· οὐ γὰρ ἐχώρει ἡ ἀνθρωπίνη πενία τὴν ἀόρατον καὶ ἀπερίληπτον φύσιν ἐν ἑαυτῇ δέξασθαι· πᾶσα δὲ αὐτῆς ἡ διανοητικὴ δύναμις, ἥτις ἐστὶ κοιλία, ἐθροήθη συγκινηθεῖσα πρὸς τὸ θαῦμα τῶν διὰ τῆς θείας χειρὸς ἐνεργουμένων· ὧν ἡ κατανόησις ὑπερκειμένη τῆς ἀνθρωπίνης δυνάμεως, τὸ ἀκατάληπτον τῆς τοῦ ἐνεργοῦντος φύσεως δι' ἑαυτῆς ἑρμηνεύει· πᾶσα γὰρ ἡ τῶν ὄντων κτῆσις τῆς χειρὸς ἐκείνης ἔργον ἐστὶ, κατὰ τὸ, « Ἡ χείρ μου ἐποίησε ταῦτα πάντα. » Εἰ οὖν τὰ τῆς ἐνεργείας ἐκείνης καταλαβεῖν ἔργα οὐ χωρεῖ, πῶς τὴν ὑπερκειμένην τούτων καταλήψεται φύσιν; Τάχα δὲ καὶ τοῦτο δηλοῖ, ὅτι ἡ τῶν πάντων ποιητικὴ χεὶρ διὰ σαρκὸς ἡμῖν ἐπιφανεῖσα, θρόησιν ἐποίησε καὶ ξενισμὸν ταῖς ψυχαῖς· πῶς Θεὸς ἐν σαρκί; πῶς λόγος, σάρξ; πῶς ἐν παρθενίᾳ τόκος; καὶ τὰ λοιπά. Ὅτε γὰρ ἐπὶ γῆς ὤφθη ὁ Κύριος καὶ τοῖς ἀνθρώποις συνανεστράφη, τότε καθαρόν τε καὶ ὅλον τοῦ Νυμφίου κάλλος, διὰ τῆς τῶν ἐνεργειῶν χειρὸς, ἤγουν τῆς τῶν θαυμάτων δυνάμεως ἐγνωρίσαμεν.

Gregorii. — Rursum anima purgata superiorem attingit gradum ascensionis; non jam amplius voce ostium cordis pulsante, sed ipsa manu divina per foramen ad interiora penetrante. Aperit enim ostium ablato cordis operculo, disrumpit ostium, id est carnis velamentum, aperta fuit tota animæ porta, ut introiret Rex gloriæ. Sed patens portæ latitudo ostensa est parvum quoddam foramen, per quod non ipse Sponsus, sed ejus manus vix adeo processit, ut per ipsum ingressa sit, et videndi Sponsum tetigerit desiderium, quo vix tantum lucri fecit, ut cognosceret illam esse manum desiderati. Quæ autem sit manus ista consideramus. Anima humana cum sit in confinio duarum naturarum quarum altera quidem est incorporea et intelligens, altera vero corporea et materialis et expers rationis, quando primum purgata ab ea quæ est ad crassam et terrenam vitam habitudine aspexerit per virtutem ad id quod est cognatum et divinum, non cessat perscrutari et inquirere eorum quæ sunt principium. Cum autem curiose laboravit ut quæsito fruatur, terminum comprehensionis Dei facit illam operationem quæ ad nos usque descendit, quam per vitam nostram sentimus; verbi gratia, videt cœli pulchritudinem, astrorum varietatem, multiformes animalium naturas et plantarum species, cæteraque omnia, ne recenseam singula per quæ operatio Dei ostenditur. Hæc igitur aspiciens per miraculum eorum quæ apparent, mente versat et considerat eum qui ex operibus quod sit, intelligitur; forte autem in futuro sæculo aliter boni naturam cognoscemus, et incorruptæ beatitudinis speciem clarius perspiciemus. Interim accepta est animæ illa quæ in rebus apparet operatio quam tropice manum interpretamur quam misit per foramen. Non enim potuerit tenuitas humana inaspectabilem et incomprehensibilem in se recipere naturam. Omnis autem ejus facultas intelligendi, quæ venter est, commovebatur ad miraculum eorum quæ per manum divinam aguntur, quorum consideratio humanam superans facultatem per se interpretatur comprehendi et capi non posse naturam ejus qui operatur. Nam universa eorum quæ sunt creatura est opus manus ejus, juxta illud: « Manus mea fecit hæc omnia [85]. » Si ergo opera illius operationis comprehendere non valet, quomodo comprehendet naturam hisce superiorem? Fortassis vero etiam hoc declarat, nempe manum conductricem omnium per carnem nobis apparentem consternationem quamdam et admirationem rei novæ in animis excitasse qui Deus in carne sit; qui Verbum caro factum; qui partus in virginitate, et reliqua exsistant. Quo enim tempore conspectus in terra Dominus et inter homines versatus est, puram et immaterialem sponsi pulchritudinem, per manum operationum sive miraculorum virtutem cognovimus.

(65) Ταῦτα πάσχει, ἐπεὶ μὴ προθύμως ὑπήκουσε *Nili.* — Hæc patitur quia non prompte obedivit

[85] Isa. xviii, 66.

NOTÆ.

(65) Hæc in C. V. Gregorii nomen retinent, in C. B. autem Nilo tribuuntur.

Digitized by Google

verbo: ut ostendatur etiam esse quantivis pretii Deo, cum remissionem sectans et excidens despiciatur et pœnæ capiat experimentum. Misit enim, inquit, manum correctricem immorigerorum et perculit me, ita ut anxietate venter conturbaretur. Quamobrem quoque post disciplinæ sensum diligentius virtutem solvi, et quia non ex libera electione, sed ex necessitate hoc faciebam, manus meæ stillabant myrrham, id est mortuam, ut sic dicam, operationem. Quidquid enim involuntarie fit mortuum, et vivificæ voluntatis expers est. Potest autem fieri ut quis prospere agens negligat mandata; quando autem experimentum cœperit disciplinæ, statim Deum quærat. Verum is qui non ad ea quæ fiunt, sed facientis affectum attendit, pertransiit et declinavit. Quapropter benevole excepit eam ut quæ omnia administret: tum quia ab urbis custodibus vulnerata, deserta esset, tum quia virginalis pudicitiæ velamen quod operimentum appellat, amisisset.

Vers. 5. *Surrexi ego aperire fratrueli meo; manus meæ stillaverunt myrrham, et digiti mei myrrham plenam.*

Gregorii. — Accepi, inquit, vim resurrectionis, ex eo quod mortificaverim membra mea quæ sunt super terram istam, eamque membrorum mortificationem sponte mea instituerim. Stillaverunt enim manus meæ myrrham, id est, animæ motiones effectrices ex sese stillant myrrham, non aliunde accipientes, sed ex libera mea electione: ita ut in omnibus meis virtuti consentaneis conatibus quos digitos vocavit, hæc animi affectio indeficiens conspiciatur: sic ut non moriatur quidem intemperantiæ, vivat autem superbiæ, aut iracundiæ, aut avaritiæ vel alicui istiusmodi. Non potest is qui male vivit digitos suos myrrha refertos ostendere. Non enim elucet in omnibus studiis et actionibus extinctio mali: cum enim sit in nobis alia quidem vita cassa et materialis et gravis; alia vero spiritalis ac levis; in medio stans libera nostra electio, cuicunque tandem parti sese adjunxerit, illi adversus alteram victoriam largitur, et si in una vixerit, alteri omnino moritur.

Super manus pessuli [Vers. 6.], *aperui ego fratrueli meo.*

Gregorii. — Ad tantam magnitudinem evecta nondum cognovit quemadmodum oportet nosse, neque se comprehendisse arbitratur, sed adhuc ad superiora currit, ad anteriora sese extendens [88]. Etenim quæ myrrha plena facta est, omnibus vitæ studiis mortificatum in se malum indicans et spontaneum virtutis cultum ea ipsa re demonstrans, quod ex se manus ipsius myrrham distillent, manus suas claustrum attigisse ait, sive opera sua prope accessisse ad angustam illam et arctam viam, cujus clavem Verbum ipsum tradit eis qui Petro similes sunt. Aperit autem sibi regni ostium,

A τῷ λόγῳ· ἵνα δειχθῇ, ὅτι καὶ ὁ πολυτίμιος Θεῷ. ἄνεσιν διώκων, καὶ ἀναπεπτωκώς, καταφρονεῖται, καὶ τιμωρίας πεῖραν λαμβάνει. Ἀπέστειλε γάρ, φησὶ, τὴν παιδεύσουσαν τοὺς ἀπειθεῖς χεῖρα, καὶ κατέφλεξεν ὡς ἐκ τῆς ἀγωνίας θροηθῆναι τὴν κοιλίαν. Διὸ καὶ σπουδαιότερον μετὰ τὴν τῆς παιδείας αἴσθησιν ἀνέστην ἀνοῖξαι· καὶ διὰ τὸ μὴ ἐκ προαιρέσεως, ἀλλ' ἐξ ἀνάγκης τοῦτο ποιῆσαι, αἱ χεῖρές μου ἔσταξαν σμύρναν, τὴν νεκράν, ὡς εἰπεῖν, ἐνέργειαν· πᾶν γὰρ τὸ ἀπροαιρέτως γινόμενον, νεκρόν ἐστι καὶ θελήματος ζωτικοῦ ἄμοιρον· ἔστι γὰρ εὐοδούμενόν τινα καταφρονεῖν τῶν ἐντολῶν, ὅταν δὲ πεῖραν λάβῃ παιδείας, εὐθὺς ζητεῖ τὸν Θεόν. Ἀλλ' ὁ προσέχων οὐ τοῖς γινομένοις, ἀλλὰ τῇ ποιούσῃ διαθέσει, παρῆλθε καὶ ἐξέκλινεν ἐκ μεταμελείας, τῇ προθέσει παρών·
B οὐκοῦν ἐδεξιώσατο ὡς πάντα περιελθοῦσαν αὐτήν· καὶ διὰ τὸ ἐγκαταλειφθῆναι τραυματισθεῖσαν ὑπὸ τῶν φυλασσόντων τὴν πόλιν δυνάμεων, καὶ τὴν καλύπτραν τῆς παρθενικῆς αἰδοῦς, ὅπερ θέριστρον ὀνομάζει, ἀφαιρεθεῖσαν.

ε'. *Ἀνέστην ἐγὼ ἀνοῖξαι τῷ ἀδελφιδῷ μου· χεῖρές μου ἔσταξαν μύρα, δάκτυλοί μου σμύρναν πλήρη.*

Γρηγορίου. — Ἔλαβον, φησὶν, δύναμιν ἀναστάσεως διὰ τοῦ νεκρῶσαί μου τὰ μέλη τὰ ἐπὶ τῆς γῆς ἑκουσίως μοι τῆς τῶν μελῶν ἐνεργηθείσης νεκρώσεως· ἀπέρρεον γὰρ αἱ χεῖρες σμύρναν, αἵτινές εἰσιν αἱ ἐνεργητικαὶ τῆς ψυχῆς κινήσεις, ἀφ' ἑαυτῶν στάζουσαν τὴν σμύρναν, καὶ οὐκ ἄλλοθεν, ὑποδεξάμεναι, ἀλλ' ἐκ τῆς ἐμῆς προαιρέσεως· ὡς ἐν
C πᾶσι τοῖς κατ' ἀρετὴν ἐπιτηδεύμασιν, ἅπερ δακτύλους ὠνόμασεν, ἀνελλιπῆ τὴν τοιαύτην ἐνορᾶσθαι διάθεσιν· ὡς μὴ τεθνάναι μὲν ἀκολασίᾳ τυχὸν, ζῆν δὲ τύφῳ ἢ θυμῷ, ἢ φιλοχρηματίᾳ, ἤ τινι τούτῳ· οὗ κακῶς ζῶντος οὐκ ἔστι πλήρεις τοὺς δακτύλους ἐπιδεῖξαι τῆς σμύρνης. Οὐ γὰρ διὰ πάντων φαίνεται τῶν ἐπιτηδευμάτων ἡ τοῦ κακοῦ νέκρωσις· οὔσης γὰρ διπλῆς ἐν ἡμῖν τῆς ζωῆς, τῆς μὲν παχείας καὶ ὑλικῆς καὶ βαρείας, τῆς δὲ νοερᾶς καὶ κούφης, μέσον ἀμφοῖν ἑστῶσα ἡ αὐτεξούσιος ἡμῶν προαίρεσις, ἐν ᾧ ἂν μέρει γένηται, τούτῳ δίδωσι κατὰ τοῦ ἄλλου τὰ νικητήρια· καὶ ἐν ᾗ ἂν ζῇ, τῇ ἑτέρᾳ πάντως ἀποθνήσκει.

Ἐπὶ χεῖρας τοῦ κλείθρου, [ς'.] *ἠνοιξα ἐγὼ τῷ*
D *ἀδελφιδῷ μου.*

Γρηγορίου. — Πρὸς τοσοῦτον μέγεθος ἐπαρθεῖσα, οὔπω ἔγνω καθὼς δεῖ γνῶναι· οὐδὲ λογίζεται καθ' ἑαυτὴν κατειληφέναι, ἀλλ' ἔτι πρὸς τὸ ὑπερκείμενον τρέχει, τοῖς ἔμπροσθεν ἑαυτὴν ἐπεκτείνουσα. Ἡ γὰρ πλήρης γενομένη τῆς σμύρνης, πᾶσι τοῖς τοῦ βίου ἐπιτηδεύμασι τὴν πρὸς τὸ κακὸν ἐπισημαίνουσα νέκρωσιν· καὶ τὸ ἑκούσιον τῆς ἀρετῆς διὰ τὸ οἰκοθεν ἀποστάξαι τῶν χειρῶν τὴν σμύρναν· ἅψασθαι, φησὶ, τὰς χεῖρας αὐτῆς τοῦ κλείθρου, ἤγουν τὰ ἔργα αὐτῆς ἐγγίσαι τῇ στενῇ καὶ τεθλιμμένῃ ὁδῷ ἧς τὸ κλεῖθρον ἐγχειρίζει τοῖς κατὰ Πέτρον ὁ λόγος· ἀνοίγει τοίνυν ἑαυτῇ τῆς βασιλείας τὴν θύραν, διά τε τῶν

[88] Ephes. III, 13.

Digitized by Google

γειρῶν ἃ τὰ ἔργα δηλοῦσι, καὶ διὰ τοῦ κλείθρου τῆς πίστεως· δι' ἀμφοτέρων γὰρ τούτων ἡ κλεὶς τῆς βασιλείας τοῦ λόγου ἐν ἡμῖν κατασκευάζεται.

Ἀδελφιδός μου παρῆλθε· ψυχή μου ἐξῆλθεν ἐν λόγῳ αὐτοῦ.

Γρηγορίου.— (66) Ὅτε ἤλπισε κατὰ Μωσέα γνωστῶς ἰδεῖν τὸν ποθούμενον, τότε παρῆλθε τὴν κατάληψιν αὐτῆς ὁ ζητούμενος· παρῆλθε δὲ, οὐ καταλιπὼν τὴν ἐπομένην αὐτῷ ψυχὴν, ἀλλὰ πλέον αὐτὴν ἑλκόμενος· ἡ γὰρ ἀπὸ τοῦ ἐν ᾧ ἐσμεν ἔξοδος, τῶν ὑπερκειμένων ἀγαθῶν εἴσοδος γίνεται. Αὐτὴν οὖν ἐξῆλθεν ἡ ψυχὴ τὴν ἔξοδον, ὁδηγῷ κεχρημένη τῷ Λόγῳ εἰπόντι, ὅτι· « Ἐγώ εἰμι ἡ θύρα καὶ ἡ ὁδός· καὶ ὅτι δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, διελεύσεται καὶ ἐξελεύσεται. »

Ὠριγένους. — Ἡνίκα ἔφθασεν ἡ Νύμφη τὸ κλεῖθρον, κ. τ. λ. (67).

Ἐζήτησα αὐτὸν, καὶ οὐχ εὗρον· ἐκάλεσα αὐτὸν, καὶ οὐχ ὑπήκουσέ μου.

Ὠριγένους. — Συνεχῶς ἡ ψυχὴ, κ. τ. λ. (68).

Γρηγορίου. — Ὅτε ἀνέστη διὰ τοῦ θανάτου, ὅτε ἐπληρώθη τῆς σμύρνης, ὅτε προσήγαγε τῷ κλείθρῳ διὰ τῶν ἔργων τὰς χεῖρας, καὶ εἰσοικίσασθαι τὸν ποθούμενον ἤλπισε, τότε ὁ μὲν παρέρχεται, ἡ δὲ ἐξέρχεται, οὐκ ἔτι μένουσα ἐν οἷς ἦν· οὐδὲ γὰρ ἐν τῷ καταλαμβάνεσθαι τὸ μέγεθος τῆς θείας γνωρίζεται φύσεως, ἀλλ' ἐν τῷ παρεῖναι πᾶσαν καταληπτικὴν φαντασίαν καὶ δύναμιν· ἡ γὰρ ἐκβᾶσα ἤδη τὴν φύσιν ψυχὴ, ὡς ἂν μηδενὶ τῶν συνήθων πρὸς τὴν γνῶσιν τῶν ἀοράτων κωλύοιτο, οὔτε ζητοῦσα τὸ μὴ εὑρισκόμενον ἵσταται, οὔτε καλοῦσα τὸ ἀνεκφώνητον παύεται· πῶς γὰρ ἂν καὶ εὑρεθείη, ὃν μηνύει τῶν εὑρεθέντων οὐδέν; οὐ τόπος, οὐ σχῆμα, οὐ χρῶμα, οὐ ποσότης, οὐ περιγραφή, ἀλλὰ πάσης καταληπτικῆς ἐφόδου ἐστὶν ἐξώτερον· ἐζήτησα τοίνυν αὐτὸν διὰ τῶν εὑρετικῶν τῆς ψυχῆς δυνάμεων· ἐν λογισμοῖς καὶ νοήμασι, καὶ πάντων ἐξώτερον ἦν, τὸν προσεγγισμὸν τῆς διανοίας διαδιδράσκων· καὶ ἐκάλουν ὅση δύναμις, ἐπινοοῦσα φωνὰς ἐνδεικτικὰς τῆς ἀφράστου μακαριότητος· ὁ δὲ κρείττων ἦν τῆς τῶν σημαινομένων ἐνδείξεως.

A nempe per manus quæ opera significant et per claustrum fidei; nam per utraque hæc clavis regni in nobis a sermone paratur.

Fratruelis meus transiit; anima mea egressa est in sermone ejus.

Gregorii. — Cum ad exemplum Moysis speraret videre desideratum, tum perceptionem ejus præteriit is qui quærebatur. Præteriit autem non deserens sequentem se animam, sed magis ipsam attrahens. Nam egressio ex eo in quo sumus, ingressio est ad bona supra nos posita. Hanc igitur egressionem egressa anima Verbo usa duce quod dixit: « Ego sum ostium et via, et per me si quis introierit, ingredietur et egredietur [66]. »

Origenis. — Quando perveniet Sponsa ad pessu-
B lum, etc.

Quæsivi eum et non inveni eum, vocavi eum et non obaudivit me.

Origenis. — Perpetuo anima Sponsi verbum quærit, etc.

Gregorii. — Posteaquam per mortem surrexit, posteaque per opera manus claustro admovit, seque intromissuram desideratum speravit, tum demum ille quidem præterit, hæc vero egreditur, non amplius manens in iis in quibus erat; non enim in percipiendo divinæ cognoscitur naturæ magnitudo, sed in prætereundo omnem comprehendendi imaginationem ac facultatem. Nam anima quæ extra naturam suam jam egressa est, ne ab
C ulla re consueta impediatur in cognitione rerum sub aspectum non cadentium neque inquirendi hoc quod non inveniebat finem facit, neque vocare desinit quod cæteroqui nullius efferri voce potest. Nam quo pacto inveniri posset quem nihil eorum quæ reperta sunt indicat, non locus, non figura, non color, non quantitas, non circumscriptio, sed est extra omnem comprehendendi viam ac modum: quæsivi ergo eum per illas facultates quæ inveniendi vi præditæ sunt, per ratiocinationes et cogitationes. At extra hæc omnia positus erat, accessum mentis propiorem effugiens: et vocavi quantum potui excogitando voces quibus ineffabilis illa beatitudo commonstraretur, sed major erat omni indicio significationum.

ζ'. Εὕροσάν με φύλακες οἱ κυκλοῦντες ἐν τῇ πόλει· ἐπάταξάν με, ἐτραυμάτισάν με, ἦραν τὸ θέριστρον ἀπ' ἐμοῦ φύλακες τῶν τειχέων.

Γρηγορίου (69). — Ταῦτα ἴσως δόξει τισὶν ὀδυρομένης μᾶλλον, ἢπερ εὐφραινομένης εἶναι τὰ ῥήματα· οὐκ ἔστι δὲ, ἀλλ' ἢ μᾶλλον ἐγκαυχωμένης. Εἰ μὲν γὰρ κίνδυνοι ᾅδου εὗρον αὐτὴν, ἢ λῃσταῖς αὐτὴν εὑρῆσθαι λέγει, χαλεπὸν ἦν τὸ τῶν τοιούτων αὐτὴν εὕρεμα γίνεσθαι· εἰ δὲ οἱ φύλακες αὐτὴν εὗρον οἱ κυκλοῦντες ἐν τῇ πόλει, μακαριστή ἐστι τῆς εὑρέσεως· ἡ γὰρ ἀπὸ τῶν φυλάκων εὑρεθεῖσα ψυχὴ, ἄτινά ἐστι λειτουργικὰ πνεύματα, φρουροῦν-

VERS. 7. *Invenerunt me custodes qui circumeunt in civitate, percusserunt me, vulneraverunt me, abstulerunt peplum a me custodes murorum.*

D *Gregorii.* — Videbuntur hæc fortassis nonnullis esse lugentis potius verba quam lætantis, ut non sunt, sed potius gloriose jactantis. Quod si enim inferni pericula eam invenissent, vel a latronibus inventam diceret, grave profecto foret illam a talibus inveniri. At si custodes eam invenerint qui circumeunt in civitate, omnino talem ob inventionem beata prædicari debet. Nam anima quæ a custodibus reperta est (qui sunt admini-

[66] Joan. x, 9.

NOTÆ.

(66) Scholium hoc anonymum in C. B.
(67) *Patrol.* XVII, col. 273.
(68) *Patrol.* t. XVII, col. 273.
(69) Anonyma in C. B.

Digitized by Google

stratorii spiritus custodientes civitatem quæ est anima Dei habitaculum) a latronibus per furtum subduci nequit. Porro virga illa divina quæ per ipsam verberationem efficaciter sanat, spiritus est cujus fructus et institutio vitæ virtuti consentaneæ temperantia est : de talibus autem plagis etiam Paulus gloriando ait : « Stigmata Christi in corpore meo circumfero [87]. » indicans imbecillitatem in omni malo suam, unde etiam dixit : « Nam virtus mea secundum Christum in infirmitate perficitur. » Per tale vulnus peplum illi ademptum fuit, quo intelligitur omnis dubia et ambigua vacillansque cogitatio, ita ut jam animæ pulchritudo sit revelata, non amplius offundente illi caliginem amictu, sed pure cernat veritatem. Unde autem peplum illi quæ veterem pridem tunicam abjecerat coram iis qui humanæ animæ vias custodiunt? Manifestum utique quod a profectu. Tantum enim profecerat ut antea necdum veterem tunicam exuisse videretur : ejus enim qui semper ascendit, id quod præcesserat crassius apparet. Est autem peplum sponsale pallium quod una cum capite faciem ejus obvelat. Hoc enim etiam de Rebecca historiæ traditum est ; bonum autem quod ex ejus ablatione exsistit, declaravit Paulus dicens : « Cum autem conversus fuerit ad Dominum, auferetur velamen [88]. » Porro bonum quoque est reperiri a custodibus civitatis sicut a bono illo pastore ovis et per lucernam drachma reperta est, ob quam lætantur amici et vicini omnes. Cæterum sic etiam dicere possis : quod quærens quem non reperit et vocans ineffabilem docentur a custodibus adamari ab ea quod consequi non possit, a quibus vulneratur ac verberatur desperatione desiderati. Sed tristitiæ peplum hoc ei aufertur, dum discit veram desiderati fruitionem esse semper in quærendo proficere, neque unquam in progressu cessare. Postquam hoc modo desperationis peplum ademptum fuit, infinitamque ac nullis descriptam terminis dilecti venustatem vidit, quæ per omnem sæculorum æternitatem semper major ac major esse deprehenditur : vehementiori desiderio inflammatur et cordis sui affectionem per filias Jerusalem dilecto suo indicat ac dicit.

A τα τὴν πόλιν, ἥτις ἐστὶ ψυχή, τὸ τοῦ Θεοῦ οἰκητήριον, ὑπὸ λῃστῶν κλαπῆναι οὐ δύναται· ἡ δὲ θεία ῥάβδος ἡ διὰ τοῦ πατάσσειν ἐνεργοῦσα τὴν ἴασιν, τὸ πνεῦμά ἐστιν, οὗ καρπὸς καὶ ἡ παιδαγωγία τῆς ἐναρέτου πολιτείας ἐγκρατής. Ἐπεὶ δὲ ταῖς τοιαύταις πληγαῖς καὶ Παῦλος ἐγκαυχώμενος ἔλεγε· « *Τὰ στίγματα τοῦ Χριστοῦ ἐν τῷ σώματί μου περιφέρω* · δεικνὺς τὴν ἐν παντὶ κακῷ ἀσθένειαν· διὸ καὶ λέγειν εἶχεν· Ἡ γὰρ κατὰ Χριστὸν δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται, εἶτ' οὖν ἐν ἀρετῇ, διὰ τοῦ τοιούτου τραύματος, ἡ τοῦ θερίστρου γέγονεν αὐτῇ ἀφαίρεσις· ἥτις νοοῖτο ἂν πᾶσα διστάζουσά τε καὶ κραδαινομένη διάνοια, ὡς ἀνακαλυφθῆναι τῆς ψυχῆς τὸ κάλλος, μὴ ἐπισκοτοῦντος ἔτι τοῦ ἐπιβλήματος, ἀλλὰ καθαρῶς πρὸς τὴν ἀλήθειαν βλέπειν. Πόθεν B δὲ τὸ θέριστρον τῇ ἀποβαλούσῃ τὸν παλαιὸν ἤδη χιτῶνα, πρὸς τῶν ἐπιτηρούντων τὰς ἀνθρωπίνης ψυχῆς τὰς διόδους; δῆλον ὡς ἀπὸ τῆς προκοπῆς. Καθήρθη γὰρ τοσοῦτον, ὡς πρὸ τούτου δοκεῖν, οὔπως ἀποδεδύσθαι τὸν παλαιὸν χιτῶνα· τοῦ γὰρ κατὰ Θεὸν ἀναβαίνοντος ἀεὶ πρὸ τοῦ παχύτερον. Τὸ δὲ θέριστρον, περιβόλαιον νυμφικὸν, συγκαλύπτον αὐτοῦ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον· τοῦτο γὰρ καὶ περὶ Ῥεβέκκας ἱστόρηται· τὸ δὲ ἐκ τοῦ ἀφαιρεθῆναι αὐτῆς, ἔδειξε λέγων ὁ Παῦλος· *Ὅταν δὲ ἐπιστραφῇ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα*. Καλὸν δὲ καὶ ὑπὸ τοῦ καλοῦ ποιμένος πρόβατον· καὶ ἡ δραχμὴ ἐπὶ τοῦ λύχνου, ἐφ' ᾗ χαίρουσι πάντες οἱ φίλοι καὶ γείτονες. Εἴποις δ' ἂν καὶ οὕτως, ὡς ζητοῦσα δν οὐχ εὗρε καὶ καλοῦσα τὸν ἄῤῥητον, διδάσκεται διὰ τῶν φυλάκων, ὡς τοῦ ἀνεφίκτου ἐρᾷ· δι' C ὧν πλήσσεται καὶ τραυματίζεται τῇ τοῦ ποθουμένου ἀνελπιστίᾳ. Ἀλλὰ περιαιρεῖται τῆς λύπης τὸ θέριστρον τῷ μαθεῖν ὅτι προκόπτει ἀεὶ διὰ τοῦ ζητεῖν· καὶ τὸ μηδέποτε τῆς ἀνόδου παύεσθαι, τοῦτό ἐστιν ἡ ἀληθὴς τοῦ ποθουμένου ἀπόλαυσις. Ὡς οὖν περιείλατο τῆς ἀνελπιστίας τὸ θέριστρον, καὶ εἶδε τὸ ἀόριστόν τε καὶ ἀπερίγραπτον τοῦ ἠγαπημένου κάλλος, ἐν πάσῃ τῇ ἀϊδιότητι τῶν ἀνθρώπων κρεῖττον ἀεὶ εὑρισκόμενον, σφοδροτέρῳ γίνεται πόθῳ καὶ μηνύει τῷ ἀγαπωμένῳ διὰ τῶν τῆς Ἱερουσαλὴμ θυγατέρων, τὴν τῆς καρδίας διάθεσιν, καί φησιν·

Vers. 8. *Adjuravi vos, filiæ Jerusalem, in virtutibus et viribus agri, si inveneritis fratruelem meum, quid annuntiabitis ei? quoniam vulnerata charitatis ego sum.*

D η'. *Ὥρκισα ὑμᾶς, θυγατέρες Ἱερουσαλὴμ, ἐν ταῖς δυνάμεσι καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ· ἐὰν εὕρητε τὸν ἀδελφιδόν μου, τί ἀπαγγέλητε αὐτῷ; ὅτι τετρωμένη ἀγάπης ἐγώ εἰμι.*

Gregorii. — Hæc non alia esse ab iis quæ in Evangeliis monentur, « Non jurare omnino, sed, Est, est, Non, non [89] : » hinc patet quoniam reperitur in alia editione : Adjuravi vos per capreas et cervos, et per hæc docemur in quibus mundi hujus robur et vis consistat quæ ad confirmationem veritatis in juramento adhibentur. Duo nimirum nos cum Deo familiariter conjungunt, recta fides ac vitæ modus. Nam caprea quidem sine errore cernit,

Γρηγορίου. — Ὅτι οὐχ ἕτερα παρὰ τὰ ἐν Εὐαγγελίοις εἰρημένα τὸ, « Μὴ ὀμόσαι ὅλως, ἀλλὰ τὸ, Ναὶ, ναὶ, καὶ τὸ, Οὔ, οὔ · » δῆλον ἂν γένοιτο ἐκ τούτων· ἐν ἑτέρᾳ γὰρ ἐκδόσει, « Ὥρκισα ὑμᾶς κατὰ τῶν δορκάδων καὶ τῶν ἐλάφων, » εὑρέθη· καὶ διδασκόμεθα διὰ τούτων, ἐν τίσιν ἡ τοῦ κόσμου τούτου ἰσχύς τε καὶ δύναμις· ἃ πρὸς βεβαίωσιν τῆς ἀληθείας δι' ὅρκου παρείληπται· δύο τοίνυν ἡμᾶς οἰκειοῖ τῷ Θεῷ, πίστις ὀρθὴ καὶ τρόπος ζωῆς· δορκὰς μὲν γὰρ

[87] II Cor. IV, 10. [88] II Cor. III, 15. [89] Matth. V, 34.

Digitized by Google

ἁπλανῶς ὁρᾷ, ἔλαφος δὲ τῶν ἰοβόλων ἐστὶν ἀναιρετική· ὑποτίθεται τοίνυν ταῖς νεάνισιν ἡ Νύμφη κάθαρσιν καὶ ἀλήθειαν· οὕτω γὰρ τὸ ἀμετάθετον ἡμῖν βεβαιοῦται ὁ καὶ τὴν ἀλήθειαν πιστούμενος ὅρκος, ἐν ᾧ πᾶς ὁ ὁμνύων ἐπαινεῖται κατὰ τὴν τοῦ προφήτου φωνήν. Ἀληθῶς γὰρ ὁ ἐν τοῖς δυσὶ τούτοις, τὸ ἀσφαλὲς ἐν ἑαυτῷ κατορθώσας, ἔν τε τῷ λόγῳ τῆς πίστεως, ὅταν ἁπλανῶς πρὸς τὴν ἀλήθειαν βλέπῃ, καὶ ἐν τῷ τρόπῳ τῆς ζωῆς, ὅταν παντὸς καθαρεύῃ τοῦ ἐκ πονηρίας μολύσματος· οὗτος ὄμνυσι τῷ Κυρίῳ μὴ ἀναβῆναι ἐπὶ κλίνης στρωμνῆς, μὴ δοῦναι ὕπνον τοῖς ὀφθαλμοῖς, ἕως οὗ εὕρῃ τόπον τῷ Κυρίῳ, σκηνώματα τῷ ἐν αὐτῷ οἰκοῦντι γενόμενος. Μάθωμεν οὖν καὶ ἡμεῖς ἐκ τῆς νύμφης, εἰ τέκνα τῆς Ἱερουσαλὴμ ἐσμεν, ὅπως ἔστιν ἰδεῖν τὸν ποθούμενον· ἐὰν γὰρ ὅρκιον ἑαυτῆς ποιήσωμεν τόν τε πρακτικὸν καὶ θεωρητικὸν βίον, ὀψόμεθα καθαρῶς τὸν Νυμφίον τῆς ἀγάπης τοξότην· ὃς διὰ βάθους ἐντίθησι τὸ ἑαυτοῦ βέλος, τὴν τῆς θεότητος, φημί, κοινωνίαν τῇ ψυχῇ διὰ τῆς κατὰ τὴν πίστιν ἀκίδος γινομένην.

A cervus autem bestias venenatas e medio tollit. Itaque sponsa juvenculis proponit purgationem ac veritatem. Sic enim firmitas in nobis stabilitur et juramentum fidem astruit veritati, in quo omnis qui jurat laudatur juxta prophetæ vocem. Vero enim is qui in duobus his certitudinem sibi comparat, nimirum in verbo fidei quando sine errore respicit ad veritatem, et in ratione vivendi, quando ab omni pravitatis inquinatione purus est; hic vero jurat Domino se non ascensurum in lectum sibi stratum neque somnum oculis suis concessurum, donec inveniat loeum Domino, factus tabernaculum ipsi in se habitanti. Discamus igitur et nos ex Sponsa, si filii Jerusalem sumus, qui desideratum cernere possimus; nam si hoc jurejurando nosmetipsi astrinxerimus tam ad vitam quæ in actione quam quæ in contemplatione versatur, videbimus pure Sponsum qui dilectionem ejaculatur et profunde telum, divinitatis inquam, suæ communionem animæ infigit acumine fidei exacutum.

Νείλου. — Εἶδε τὸ σφάλμα ἑαυτῆς, καὶ τὴν ἀγανάκτησιν ἐπέγνω τοῦ ποθουμένου ἐκ πολλῆς ἀποστροφῆς, καὶ ζητεῖ ὅτῳ δήποτε τρόπῳ γνωσθῆναι τούτῳ, ποθοῦσα καὶ τὴν ὀδύνην οὐ φέρουσα τοῦ χωρισμοῦ· ὅθεν ἐκείνης ἀντιλαβοῦσα παρακαλεῖ πρεσβεῦσαι πρὸς τὸν Νυμφίον, καὶ δηλῶσαι τὰ παρ' αὐτῆς ἐκείνῳ· αἷς πρὸ ὀλίγου σεμνυνομένη τῷ ἀξιώματι, ἔλεγεν· *Εἰσήγαγέ με ὁ βασιλεὺς εἰς τὸ ταμεῖον αὐτοῦ*, δεικνὺς πῶς μέγα συνείδησις πεπαρρησιασμένη, καὶ πῶς πάλιν ταπεινὸν παῤῥησίας ἀφαίρεσις.

B

Philonis. — Fiducialiter agit Ecclesia sancta in filiis suis martyribus, in quibus vulnerata est, atque hæc dicit apostolis et prophetis.

C

Φίλωνος. — Παῤῥησιάζεται ἡ ἁγία Ἐκκλησία ἐν τοῖς ἑαυτοῖς τέκνοις τοῖς μάρτυσι, δι' ὧν ἐτρώθη· καὶ φησιν τοῖς ἀποστόλοις ταῦτα καὶ προφήταις.

θ'. *Τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ἡ καλὴ ἐν γυναιξίν;*

Vers. 9. *Quid fratruelis tuus a fratrueli, pulchra in mulieribus?*

Νείλου. — Ἀποροῦσιν αἱ νεάνιδες ὁρκισθεῖσαι, τίς ἄρα εἴη καὶ ποταπὸς ὁ ἀγαπώμενος, ὅτι τοιούτῳ ὠρκίσθησαν ὅρκῳ· ὅθεν καὶ οὕτως ἀναπτερωθεῖσας αὐτὰς ἰδοῦσα ἡ Νύμφη, διαγράφει τὸν ζητούμενον χωρίζουσα τὸ κάλλος αὐτοῦ τῆς τῶν ἄλλων κοινωνίας, ἵνα μὴ τῶν πολλῶν εἷς λογίζεται ἁγίων, δεικνύουσα τὴν διαφορὰν τοῦ ἑαυτῆς ἀδελφιδοῦ, καὶ τῶν ἀδελφιδῶν τῶν νεανίδων.

D

Nili. — Quærunt adolescentulæ adjuratæ quis tandem et qualis sit dilectus, quia tali jurejurando adactæ sunt: unde etiam sic alatas ipsas videns sponsa describit quæsitum, illius pulchritudinem ab aliorum communione segregans, ne unus e multis sanctis censeretur, declarans differentiam fratruelis sui a cæteris fratruelibus et adolescentulis.

Κυρίλλου. — Ἤγουν τί πεποίηκεν ὁ ἀδελφιδός σου, ἢ τί ἀπὸ ἀδελφιδοῦ σου ἔχεις;

Cyrilli. — Nimirum quid fecit fratruelis tuus? vel quid a fratrueli habes?

Τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ, ὅτι οὕτως ὡρκισας ἡμᾶς;

Quid fratruelis tuus a fratrueli, quia sic adjurasti nos?

Γρηγορίου. — Αἱ ὁρκισθεῖσαι θυγατέρες Ἱερουσαλὴμ, πυνθάνονται ὁποῖος ὁ χαρακτὴρ τοῦ Νυμφίου, ὡς εἰ περιτύχωσιν αὐτῷ ἐπίγνωσιν αὐτὸν ἐκ τῶν περὶ αὐτοῦ δοθησομένων σημείων. Διὸ καὶ χαρακτῆρα παραδίδωσιν· οὐχ ὃ ἦν ἀρχή· ἄῤῥητος γὰρ οὐχ οἷός τε δυνάμει λόγων φανερωθῆναι· ἀλλὰ πρὸς τὴν διὰ σαρκὸς ἐπιφάνειαν χειραγωγεῖ τὰς παρθένους, ὥσπερ καὶ πεποίηκεν Ἰωάννης· « Ὃ μὲν ἦν ἀπ' ἀρχῆς, » σιωπήσας· « Ὃ δὲ ἑωράκαμεν καὶ

Gregorii. — Filiæ Jerusalem adjuratæ sciscitantur quale sit signum distinctivum Sponsi, ut si in ipsum inciderint, in notitiam ejus ex signis de ipso traditis pervenire valeant. Quare et signum tradit non quod erat in principio, hoc enim ineffabile, nec vi orationis manifestari potest; sed virgines ad apparitionem in carne manuducit, prout etiam Joannes fecit silens quidem « Quod erat ab initio, » commemorans vero studiose illud « quod

Digitized by Google

vidimus et audivimus, et manus nostræ contrectaverunt de Verbo vitæ [90]. »

VERS. 10. *Fratruelis meus candidus et rubicundus, electus ex millibus.*

Philonis. — Candidus quidem propter impeccantiam, rubicundus vero propter sanguinem pro Ecclesia fusum.

Origenis. — Vel *candidus* quoniam Deus verus, rubicundus vero propter incarnationem.

Gregorii. — Anima perfecta etiam animabus virginibus desiderati et quæsiti indicia describit, per ea quæ pro salute nostra patefacta sunt nobis, et universam Ecclesiam quasi unum Sponsi corpus efficiens, peculiarem quemdam sensum, de quolibet membro in pulchritudinis descriptione ostendit : quibus universis singulatim consideratis, elegantia corporis tota conformatur et absolvitur. Itaque a corpore instructionem auspicatur, quemadmodum et Matthæus fecit. Ne quis autem secundum carnem nativitatem audiens in naturæ affectiones cogitatione impingat, idcirco illum qui carne et sanguine nobiscum communicavit, corpore quidem candidum et rubicundum esse dicit, per utraque naturam insinuans, non tamen consimili prorsus ratione in lucem editum, qua communiter homines gignuntur. Habere enim hoc eximium quod non ex concubitu natus sit, ideoque *electus*, *ex millibus* autem ex quibus homines orti sunt, et quousque veluti fluendo natura succedentium sibi per partum progredietur. Neque enim proprie partitudinis vocabulum usurpari potest de illa quæ conjugium non est experta, cujus conceptio quidem a conjunctione duorum profecta non est, partus vero minime inquinatus, parturigo doloris expers, thalamus Altissimi virtus, quasi quædam nubes virginitatem inumbrans : fax nuptialis Spiritus sancti splendor, cubile vero impatibilitas, et nuptiæ incorruptio, hujus generatio sine partitudine est, sicut et consistentia sine conjugio. Cui ad nascendum natura minime cooperata est, sed subserviit. Quinimo nec ex aqua generatio partitudinis passionem excepit, neque illa ex mortuis regeneratio, neque divinæ hujus creationis primogenitura, sed in hisce omnibus purus est a partitudine partus.

Nili. — Superius quidem membra Sponsæ descripsit, quæ diversis Ecclesiæ ordinibus congruunt: nunc autem illa Sponsi delineat, quæ nullum habent obscuritatis, siquidem Deus Verbum in his describitur. Divinæ virtutes erunt omnino in istis membris delineatæ ; neque enim membrorum compositione figuratur id quod incorporeum est ; sed spiritalibus actionibus quodam modo corporatum ; quia sensus humanus non aliter capere divina potest. Nam quis Dei oculos aliud esse cogitet quam intuendi vim ; et manus, quam creandi et efficiendi

[90] I Joan. I, 1.

A ἀκηκόαμεν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ Λόγου τῆς ζωῆς, » τοῦτο μετ' ἐπιμελείας διηγησάμενος.

ι'. *Ἀδελφιδός μου λευκὸς καὶ πυῤῥὸς, ἐκλελοχισμένος ἀπὸ μυριάδων.*

Φίλωνος. — Λευκὸς μὲν, διὰ τὸ ἀναμάρτητον · πυῤῥὸς δὲ, διὰ τὸ αἷμα τὸ ὑπὲρ τῆς Ἐκκλησίας χυθέν.

Ὠριγένους. — Ἡ *λευκός*, ἐπειδὴ ὁ Θεὸς ἀληθινὸς, *πυῤῥὸς* δὲ διὰ τὴν σάρκωσιν.

Γρηγορίου. — Ἡ τελεία ψυχὴ ταῖς παρθένοις ὑπογράφει ψυχαῖς, τοῦ ποθουμένου καὶ ζητουμένου τὰ γνωρίσματα, διὰ τῶν ἐπὶ σωτηρίᾳ φανερωθέντων ἡμῖν · καὶ πᾶσαν τὴν Ἐκκλησίαν ἓν σῶμα τοῦ Νυμφίου ποθήσασα, ἴδιόν τι νόημα δι' ἑκάστου τῶν μελῶν ἐν τῇ ὑπογραφῇ τοῦ κάλλους ἐνδείκνυται · δι' ὧν ὅλος ἐκ τῶν κατὰ μέρος θεωρουμένων τὸ τοῦ σώματος κάλλος συμπαρεικάζεται. Ἐκ τοῦ σώματος τοίνυν τῆς κατηχήσεως ἄρχεται, καθὰ καὶ Ματθαῖος πεποίηκεν. Ἵνα δὲ μὴ τὴν κατὰ σάρκα τις ἀκούων γένεσιν, πρὸς τὰ τῆς φύσεως πάθη κατολισθήσειε τῇ διανοίᾳ, τούτου χάριν τὸν κοινωνήσαντα ἡμῖν σαρκὸς καὶ αἵματος, λευκὸν μὲν εἶναί φησι καὶ πυῤῥὸν, τὴν τοῦ σώματος δι' ἀμφοτέρων φύσιν αἰνιττομένη · οὐ μὴν ὁμοιότροπον αὐτοῦ τὴν λοχείαν τῷ κοινῷ τόκῳ · ἔχειν γὰρ κατ' ἐξαίρετον τὸ μὴ ἐκ λέχους γεγενῆσθαι · τοῦτο γὰρ τὸ *ἐκλελοχισμένος* · ἀπὸ μυριάδων δὲ τῶν ἀφ' ὧν γεγόνασιν ἄνθρωποι, καὶ εἰς ὃ προελεύσεται ῥέουσα, διὰ τοῦ τόκου τῶν ἐπιγενομένων ἡ φύσις. Ἐπὶ γὰρ τῆς ἀπειρογάμου τὸ τῆς λοχείας ὄνομα, οὐκ ἔστι κυρίως εἰπεῖν · οὗ γὰρ ἀσυνδύαστος μὲν ἡ κυοφορία, ἀμόλυντος δὲ ἡ λοχεία, ἀνώδινος δὲ ἡ ὠδὶν, θάλαμος δὲ ἡ τοῦ Ὑψίστου δύναμις, οἷόν τις νεφέλη τὴν παρθενίαν ἐπισκιάζουσα · πυρσὸς δὲ γαμήλιος, ἡ τοῦ ἁγίου Πνεύματος ἔλλαμψις · κλίνη δὲ ἡ ἀπάθεια, καὶ γάμος ἡ ἀφθαρσία · τούτου χωρὶς λοχείας ἡ γένεσις ὥσπερ καὶ χωρὶς γάμου ἡ σύστασις · ᾧ οὐχὶ συνῆργησε πρὸς τὸ γενέσθαι ἡ φύσις, ἀλλ' ὑπηρέτησεν · οὐ μὴν δὲ ἀλλὰ καὶ ἡ ἐκ τοῦ ὕδατος γένεσις τὸ τῆς λοχείας πάθος οὐ παρεδέξατο · καὶ ἡ ἐκ τῶν νεκρῶν παλιγγενεσία, καὶ ἡ τῆς θείας ταύτης κτίσεως πρωτοτοκία, ἀλλ' ἐν πᾶσι τούτοις καθαρεύει τῆς λόχου ὁ τόκος.

Νείλου. — Ἀνωτέρω μὲν τὰ μέλη τῆς Νύμφης προέγραψεν, ἅτινα τοῖς τῆς Ἐκκλησίας ἐφήρμοσται διαφόροις τάγμασι · νῦν δὲ τὰ τοῦ Νυμφίου σκιαγραφεῖ, πολλὴν ἔχοντα τὴν ἀσφάλειαν. Εἰ μὲν οὖν ὁ Θεὸς Λόγος ἐν τούτοις διαγράφεται, θεῖαι δυνάμεις ἔσονται πάντως ἐν τοῖς μέλεσιν ἐκείνοις χαρακτηριζόμεναι · οὐ γὰρ μελῶν συνθέσει σχηματίζεται τὸ ἀσώματον · ἐνεργείαις δὲ νοηταῖς ὡσανεὶ σῶμα τὸ ποιούμενον, διὰ τὸ ἄλλως τὰ περὶ Θεοῦ παραδέχεσθαι, τὴν ἀνθρωπίνην οὐ πεφυκέναι αἴσθησιν. Ὀφθαλμοὺς γὰρ, τί ἄλλο ὑπολάβοι Θεοῦ, ἢ τὴν ἐποπ-

Digitized by Google

τικὴν δύναμιν; καὶ κοιλίαν ἣν λέγει γεννᾶν, τὸ γνήσιον τῆς ὠδῖνος; πόδας καὶ πορείαν ἐπίσημον, τὴν προνοητικὴν ἐνέργειαν; ὡς ἐν ἴχνεσι τρανῶς τοῖς κηδεμονικῶς συμβαίνουσιν ἑκάστῳ κατ' οἰκονομίαν τοῦ κρείττονος θεωρουμένην· ὁμοίως ἐπὶ τῶν λοιπῶν· εἰ δὲ ὁ Κυριακὸς ἄνθρωπος σημαίνοιτο, εἴη ἂν κεφαλὴ, χρυσίῳ Κεφὰς παρεικασμένη, ὅπερ ἑρμηνεύεται πέτρα, ὁ κορυφαιώτατος τῶν ἀποστόλων Πέτρος· καὶ τὴν οἰκοδομὴν τῆς Ἐκκλησίας ἐπὶ τῇ ὁμολογίᾳ τῆς πίστεως οἰκοδομηθῆναι παρασκευάσας· κοιλία ὁ Παῦλος, ὁ τοὺς ἐν Χριστῷ μορφουμένους ὠδίνων· στύλοι μαρμάρινοι περὶ ὧν φησι Παῦλος, « Οἱ δοκοῦντες στύλοι εἶναι· » καὶ ἕκαστος κατὰ τὴν διαφορὰν τῶν λοιπῶν χαρισμάτων· ὁ μὲν σιαγόνων ἐπέχει τόπον φυουσῶν μυρεψικὰ, ὁ δὲ χειλέων κρίνοις ὁμοιουμένων στάζουσι τὴν σμύρναν πλήρη· οἳ τὸ χρειῶδες καὶ ἐγκρατὲς παραινοῦντες τοῖς ὑπηκόοις, καὶ νεκροῦν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς. Εἶεν δ' ἂν βόστρυχοι, οἱ τὸν ὀνειδισμὸν φέροντες τῶν Χριστοῦ παθημάτων· καὶ ὀφθαλμοὶ πάλιν οἱ τὸ τοῦ βαπτίσματος φυλάσσοντες δώρημα, καὶ ἐπὶ τὸ πλήρωμα τῶν ὑδάτων ἀγρύπνως καθήμενοι· νηπιάζουσι δὲ, παιδικὴ ἡλικία. Λελουμένοι γάρ εἰσιν ἐν γάλακτι καὶ καθήμενοι ἐπὶ πληρώματα ὑδάτων· καὶ τὸ ἀκέραιον τῆς περιστερᾶς, καὶ τὸ ἄκακον τῆς γαλακτοτροφουμένης ἔχοντες ἡλικίας· λευκὸς δέ ἐστι διὰ τὸν ἐν ἀρχῇ Θεὸν Λόγον φῶς λεγόμενον τοῦ κόσμου· πυῤῥὸς δὲ δι' ὃν ἀνείληφεν ἄνθρωπον, ἐκ γῆς πλασθέντα πυῤῥᾶς· εἶδος δὲ ὑποφαίνων, καὶ τὴν ὀσμὴν τῆς γνώσεως φανερὰν τοῖς ἀποστόλοις δεικνύων τοῖς τύποις τῶν ἥλων καὶ τῇ τῆς λόγχης ὀπῇ· καὶ ἐκλεκτός ἐστιν ὡς κέδρος· περὶ ὧν ἔλεγε· « Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται· » τὸν γὰρ φάρυγγα ἔχει γλυκασμὸν οὐ γλυκαινόμενον, ἀλλὰ γλυκαίνοντα· οὐ γὰρ ποιοῦται, ἀλλ' αὐτὸ ποιότης ἐστίν· ἐπὶ πᾶσι δέ ἐστιν ὅλος ἐπιθυμία, οὐ μετέχων τῆς ἕξεως, ἀλλ' αὐτὸ ἕξις τυγχάνων. Ταῦτα δέ φησιν ἡ Νύμφη, ἵνα δείξῃ δικαίως ἐρῶσαν ἑαυτὴν· ἀπολογίαν τοῦ πάθους, τὸ κάλλος τοῦ ἀγαπωμένου προβαλλομένη.

potentiam; et ventrem, partus sinceritatem; pedes et incessum, insignem Providentiæ operationem, quasi in vestigiis perspicue sedulitatem significantibus; unicuique secundum dispensationem ejus quod melius est contemplandam. Similiter etiam in cæteris. Si autem Dominicus homo significetur, caput auro assimilatum fuerit Cephas, quod petra interpretatur, summus apostolorum Petrus qui et Cephas nominatur, et Ecclesiæ ædificium in confessione fidei ædificare paravit. Venter, Paulus qui in Christo formatos parturiebat, columnæ marmoreæ de quibus Paulus ait: « Qui videbantur columnæ esse [91]. » Et unusquisque secundum reliquarum gratiarum differentiam, alius quidem locum tenet maxillarum gignentium unguentaria: alii vero labiorum liliis assimilatorum stillant myrrham plenam, qui nimirum ad id quod utile et continens est hortantur auditores, utque mortificent membra quæ sunt super terram. Fuerint autem cincinni qui opprobrium ferunt passionum Christi; et rursum oculi qui baptismatis donum custodiunt, et super plenitudinem aquarum vigilanter sedentium ætas infantilis ac puerilis. Nam in lacte loti sunt et sedent super plenitudinem aquarum, atque columbæ simplicitatem, et ætatis quæ adhuc lacte nutritur innocentiam obtinent. Candidus porro est propter Verbum quod in principio erat apud Deum, et lux mundi appellatur: rubicundus vero, in quantum assumpsit hominem de terra rufa formatum. Species autem insinuat odorem cognitionis manifestum cum apostolis ostendit loca clavorum, et lanceæ foramen. Et electus est sicut cedri, de quibus dixit: *Justus sicut palma florebit et sicut cedrus quæ in Libano est multiplicabitur.* Guttur ejus habet dulcedinem, non dulcoratam sed dulcorantem; non enim qualificatur, sed ipsa per se qualitas est: in omnibus autem est totum desiderium, non particeps habitus, sed ipsemet per se habitus exsistens. Hæc autem Sponsa dicit, ut ostendat se jure merito amare, excusationem affectui ipsam dilecti pulchritudinem prætexens.

ια'. *Κεφαλὴ αὐτοῦ, χρυσίον κεφάζ· βόστρυχοι αὐτοῦ, ἐλάται, μέλανες ὡς κόραξ.*

Γρηγορίου. — Ἡ μὲν κεφαλὴ τοῦ σωματος τῆς Ἐκκλησίας, ἡ πάσης τῆς φύσεως ἡμῶν ἀπαρχὴ Χριστὸς, τὸ καθαρόν τε καὶ πάσης ἀμιγὲς κακίας χρυσίον ἐστί· τοῦτο γὰρ τὸ Κεφάζ· βόστρυχοι δὲ οἵ ποτε ζοφώδεις κατὰ τοὺς κόρακας· οἷς ἔργον ἐστὶ τὸ τοὺς ὀφθαλμοὺς ἐκκόπτειν, ὡς ἡ Παροιμία φησίν· οὗτοι ἐλάται, τὰ ὑψηλά τε καὶ οὐρανομήκη δένδρα γενόμενοι, διὰ τοῦ ἀναδραμεῖν ἐκ γῆς πρὸς τὸ οὐράνιον ὕψος, προσθήκη τοῦ κάλλους γίνονται τοῦ Νυμφίου τῆς θείας κεφαλῆς ἐξαρτήσαντες ἑαυτοὺς, καὶ τῇ τοῦ Πνεύματος ἄρᾳ περισοβούμενοι· δι' ὧν οἶμαι δηλοῦσθαι τοὺς ἀποστόλους, ὧν τινες ζοφώδεις ἐν οἷς ἔπραττον ἦσαν, ὁ τελώνης, ὁ λῃστὴς,

Vers. 11. *Caput ejus aurum cephas, cincinni ejus elatæ, nigri tanquam corvus.*

Gregorii. — Caput corporis Ecclesiæ, totius naturæ nostræ primitiæ, Christus, purum et nulla malitia mistum aurum est. Hoc enim est illud *Cephas.* Cincinni vero tenebricosi aliquando nigri instar corvorum, quorum opus est oculos eruere, ut in Proverbio est, hi elatæ facti, id est sublimes et in cœlum tendentes arbores, sic dictæ quod e terra ad cœli celsitudinem pergant. Venustatem Sponsi accessione quadam augent, dum divino ejus capiti sese adaptant, et spiritus aura circumaguntur, per quos existimo apostolos significari quorum nonnulli ob instituta vitæ suæ caliginosi erant, ut publicanus, latro, persecutor, consimi-

[91] Galat. II, 9.

Digitized by Google

lis nigro et carnivoro atque oculorum vastatori, principi potestatis tenebrarum,

Origenis. — Cincinni propter densitatem, etc.

VERS. 12. *Oculi ejus sicut columbæ super plenitudines aquarum lotæ in lacte, sedentes super plenitudines.*

Gregorii. — Oculi sint Ecclesiæ duces. Hujusmodi autem oculorum pulchritudo ac laus est expers malitiæ simplicitas, quæ in illos cadit qui nondum a vita carnali polluti sunt, sed vivunt et ambulant spiritu. Etenim spiritualis et immunis a rebus crassis vita, per columbæ speciem exprimitur, eo quod Spiritus sanctus in specie columbæ apparuerit in Jordane. Quare illum qui a Deo ordinatus est, ut Ecclesiæ corporis sit oculi loco, siquidem pure speculatoris et inspectoris munere fungi velit, omnem vitiositatis glumam aqua abluere oportet. Multas autem esse ait plenitudines aquarum, quibus istiusmodi sordes expurgentur. Quot enim virtutes, totidem sunt expiantium aquarum fontes, qui oculos semper reddant puriores, verbi gratia, temperantia lustralis aquæ fons quidam est : alius fons est humilitas, et veritas, et justitia, et fortitudo, atque istiusmodi aquæ, ex uno quidem illo fonte, sed diversis quasi fluentis in unum collectis quædam sunt plenitudo, per quam oculi ab omni vitiosa lippitudine repurgantur. Cæterum illi oculi, qui ob simplicitatem et innocentiam columbis comparantur, sunt super aquarum plenitudines : sed earum lavacrum lac esse dicit, quia solum hoc inter res humidas simulacrum aliquod et similitudinem non recipit. Neque enim Ecclesia præter veritatem vanum quid et erroneum quodque minime subsistat, in semetipsa repræsentat. Quod vero subjungitur, quasi lex quædam est auditoribus in quas res oculos oporteat habere intentos. Nimirum perpetuam velut assiduitatem attentionis circa disciplinas denotat illud : *Sedentes super plenitudines aquarum;* juxta similitudinem ligni « quod plantatum est secus decursus aquarum [93]. » Sic enim quando fructus in tempore suo producetur, etiam ramus semper germinans conservabitur. Tales hic sermo vult esse inspectores ac speculatores, quos quidem munitos esse oportet divinorum dogmatum certitudine; tegere autem humilitate, veluti quodam vallo vitæ suæ puritatem ac splendorem, ne trabs arrogantiæ in pupillæ puritatem illapsa visui sit impedimento.

Philonis. — Si corpus Christi sit Ecclesia, utique quodlibet ejus membrum erit quilibet ordo qui est in Ecclesia. Ac primum quidem patriarchæ ex quibus secundum carnem Christus est, fide illorum propter fortitudinem valido cuidam auro

ὁ διώκτης, κατὰ τὸ μέλαν τε καὶ σαρκοβόρον· καὶ τῶν ὀφθαλμῶν ἀφανιστικὸν, τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ σκότους.

Ὠριγένους. — Οἱ βόστρυχοι διὰ τὴν πυκνότητα, κ. τ. λ. (70).

ιβ'. *Οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ ἐπὶ πληρώματα ὑδάτων, λελουμέναι ἐν γάλακτι, καθήμεναι ἐπὶ πληρώματα ὑδάτων.*

Γρηγορίου. — Εἶεν ἂν ὀφθαλμοὶ οἱ τῆς Ἐκκλησίας καθηγούμενοι· καὶ ὃς δὲ τῶν τοιούτων ὀφθαλμῶν καὶ ἔπαινος ἡ ἀκακία· ἣν κατορθοῦσι, μηκέτι τῷ σαρκώδει βίῳ ἐμμολυνόμενοι, ἀλλὰ ζῶντες καὶ στοιχοῦντες τῷ πνεύματι. Ὁ γὰρ πνευματικός τε καὶ ἄϋλος βίος, τῷ τῆς περιστερᾶς εἴδει χαρακτηρίζεται, διὰ τὸ ἅγιον Πνεῦμα ἐν εἴδει ὀφθῆναι περιστερᾶς ἐν τῷ Ἰορδάνῃ. Χρὴ τοίνυν τὸν ἀντὶ ὀφθαλμοῦ τῷ σώματι τῆς Ἐκκλησίας ὑπὸ Θεοῦ τεταγμένον, εἰ μέλλοι καθαρῶς ἐπισκοπεῖν καὶ ἐφορᾶν πᾶσαν τὴν ἀπὸ τῆς κακίας λύμην ἀποκλύζειν τῷ ὕδατι· πολλὰ δὲ τῶν ῥυπτικῶν ὑδάτων εἶναι, φησὶ, τὰ πληρώματα. Ὅσαι γὰρ ἀρεταὶ, τοσαῦται καθαρσίων ὑδάτων πηγαὶ, καὶ καθαρωτέρους ἀεὶ ποιοῦσαι τοὺς ὀφθαλμούς· οἷον πηγὴ καθαρσίων ὑδάτων, ἡ σωφροσύνη· ἄλλη πηγὴ ταπεινοφροσύνης, ἡ ἀλήθειά τε καὶ δικαιοσύνη καὶ ἀνδρεία, καὶ τὰ τοιαῦτα, ἅτινα ὕδατά ἐστιν, ἐκ μιᾶς μὲν πηγῆς, διαφόρων δὲ ῥείθρων εἰς ἓν ἀθροιζόμενα πλήρωμα· δι' ὧν πάσης ἐμπαθοῦς λύπης γίνεται τοῖς ὀφθαλμοῖς τὰ καθάρσια· Ἀλλ' εἰσὶ μὲν ἐπὶ τὰ πληρώματα τῶν ὑδάτων οἱ ὀφθαλμοὶ, διὰ τῆς ἀκεραιότητός τε καὶ ἀκακίας, ταῖς περιστεραῖς ὡμοιωμένοι· τὸ δὲ γάλα τούτων εἶναι λουτρόν φησι, ὅτι μόνον ἐν ὑγροῖς τοῦτο εἰδώλου τινὸς ἀνεπίδεκτον καὶ ὁμοιώματος. Οὐδὲ γὰρ ἡ Ἐκκλησία μάταιόν τι καὶ πεπλανημένον καὶ ἀνυπόστατον ἐν ἑαυτῇ σκιαγραφεῖ παρὰ τὴν ἀλήθειαν· τὸ δὲ ἐπαγόμενον, νόμος ἐστὶ τοῖς ἐπαΐουσι· περὶ ἃ χρὴ τοὺς ὀφθαλμοὺς ἔχειν. Τὴν διηνεκῆ γὰρ προσεδρείαν τῆς περὶ τὰ μαθήματα προσοχῆς, τὸ, *Καθήμεναι ἐπὶ πληρώματα ὑδάτων*, δηλοῖ· καθ' ὁμοιότητα τοῦ ξύλου τοῦ *παρὰ τὰς διεξόδους τῶν ὑδάτων πεφυτευμένου*· οὕτω γὰρ ὅ τε καρπὸς ἐπὶ τοῦ ἰδίου καιροῦ προβληθήσεται, καὶ ὁ κλάδος ἀειθαλὴς φυλαχθήσεται· τοιούτους εἶναι βούλεται τοὺς ὁρῶντας καὶ ἐπισκοποῦντας ὁ λόγος· ὧν χρὴ προβεβλῆσθαι μὲν τὴν τῶν θείων δογμάτων ἀσφάλειαν, ἐπικαλύπτεσθαι δὲ τῇ ταπεινοφροσύνῃ, καθάπερ τινὶ περιβολῇ τὸ καθαρόν τε καὶ στίλβον τῆς πολιτείας· μήποτε ἡ τῆς οἰήσεως δοκὸς ἐμπεσοῦσα τῷ καθαρῷ τῆς κόρης, ἐμποδὼν γένηται πρὸς τὴν ὅρασιν.

Φίλωνος. — Εἰ σῶμα τοῦ Χριστοῦ ἡ Ἐκκλησία, εἴη ἂν αὐτοῦ ἕκαστον μέλος. Ἕκαστον τάγμα τῶν ἐν τῇ Ἐκκλησίᾳ· καὶ πρῶτόν γε οἱ πατριάρχαι, ἐξ ὧν τὸ κατὰ σάρκα Χριστὸς, τῆς πίστεως αὐτῶν διὰ τὸ ἰσχυρὸν, ἀπεικαζόμενοι χρυσίῳ τινὶ ἰσχυρῷ· κεφαζ

[93] Psal. I, 3.

NOTÆ.

(70) *Patrol.* t. XVII, col. 273, 276.

Digitized by Google

γὰρ, *πέτρα* ἑρμηνεύεται. Εἶτα τοὺς ἀποστόλους, ἐλάτας λέγων καὶ μέλανας, τὴν κακοπάθειαν αὐτῶν σημαίνων· καὶ ἑπταόφθαλμος δὲ τοῦ ἁγίου Πνεύματος δύναμις ἐφορῶσα τὴν Ἐκκλησίαν, ὀφθαλμοὶ αὐτοῦ εἴρηνται· πληρώματα δὲ τῶν ὑδάτων τούτων ἡ ἀγάπη· ἢ ἵνα τὸ πλήρωμα τοῦ λουτροῦ τῆς παλιγγενεσίας δείξῃ καὶ ἐν τῇ τῆς κακίας λευκότητι, ἐπὶ πληρώμασι τῶν Ἐκκλησιῶν καθεζομένους τοὺς ἱερεῖς.

A assimilata. Cephas enim *petra* interpretatur. Deinde apostolos vocat elatos et nigros afflictionem eorum significans. Cæterum septoculata Spiritus sancti virtus Ecclesiam aspiciens, oculi ejus dicuntur; plenitudines autem aquarum, horum dilectio : vel ut plenitudinem lavacri regenerationis ostendat, et in candore innocentiæ super plenitudinibus Ecclesiarum sedentes sacerdotes.

ιγ'. *Σιαγόνες αὐτοῦ, ὡς φιάλαι τοῦ ἀρώματος, φύουσαι μυρεψικά.*

Γρηγορίου. — Ἀκολούθως ἐπαινοῦνται μετὰ τοὺς ὀφθαλμοὺς αἱ σιαγόνες· ὧν ἔργον ἐστὶ, τὸ λεπτύνειν τὴν θείαν Γραφήν· δι' ἧς ἡ τοῦ σώματος τῆς Ἐκκλησίας συντηρεῖται δύναμις· ὡς εἶναι πάντα τηλαυγῆ καὶ νηπίοις κατάδηλα, καὶ δίχα τινὸς δολερᾶς κοιλότητος. Τοῦτο γὰρ ἡ φιάλη αἰνίττεται· μήτε ἄγαν βαθυνομένου τοῦ σχήματος αὐτῆς, μήτε δι' εὐθείας ἐξυπτιάζοντος· ὡς μήτε κοῖλον ἀκριβῶς εἶναι δοκεῖν, μήτε ἐπίπεδον. Εἰ οὖν τοιαῦταί εἰσιν αἱ φιάλαι τοῦ λόγου, οὐκ ἐκ γηΐνης ὕλης δηλονότι συστήσονται, ἀλλ' ἐκ τοῦ ἀρώματος αὐτῆς ἔσται ἡ φύσις ἐκείνου τοῦ ὑπὲρ πάντα τὰ ἀρώματα, καθὼς ἐν προοιμίοις φησὶν ἡ Νύμφη.

B

Vers. 13. *Maxillæ ejus sicut phialæ aromatis germinantes unguentaria.*

Gregorii. — Consequenter post oculos laudantur maxillæ quarum munus est divinam communire Scripturam, per quam corporis Ecclesiæ vires conservantur, ut sint omnia perspicua et infantibus manifesta absque ulla fraudulenta concavitate. Hoc enim phiala insinuat cum figura ipsius non nimis profunda sit, neque se in rectum quasi resupinet, ne accurate concava videatur, neque plana. Si ergo istiusmodi sint verbi phialæ, nequaquam utique terrena constabunt materia, sed natura illis erit ex aromate, quod excellet omnia aromata ut sub initium Sponsa dicit.

Ὠριγένους. — Σιαγόνας Χριστοῦ τοὺς διακονουμένους λόγῳ Θεοῦ καὶ τροφῇ πνευματικῇ νοητέον, κ. τ. λ. (71).

Origenis. — Maxillæ intelligi debent hi qui verbo Dei ac cibo spiritali ministrant, etc.

Χείλη αὐτοῦ, κρίνα στάζοντα σμύρναν.

Γρηγορίου. — Ἐπαινεῖται μετὰ τὰς σιαγόνας τὰ χείλη, δι' ὧν ὁ λόγος ἀρωματίζων προέρχεται. Δύο δὲ κατὰ ταυτὸν μαρτυρεῖ ἀρετὰς τῷ λόγῳ διὰ τοῦ διπλοῦ ὑποδείγματος· ὧν μὲν γάρ ἐστιν ἡ ἀλήθεια λαμπροτέρα τε καὶ φωτοειδὴς, ἐν τοῖς λεγομένοις θεωρουμένη ὥσπερ κρίνον, ἑτέρων δὲ, τὸ μόνην τὴν νοητὴν καὶ ἄϋλον ζωὴν ὑπὸ τῆς διδασκαλίας προδείκνυσθαι, διὰ τῆς τῶν νοητῶν θεωρίας, ἀπονεκρουμένης τῆς κάτω ζωῆς, τῆς διὰ σαρκός τε καὶ αἵματος ἐνεργουμένης. Ἡ γὰρ ἀπορρέουσα τοῦ στόματος σμύρνα, καὶ τὴν δεχομένην πληροῦσα ψυχὴν, ἐμφαίνει τὴν τοῦ σώματος νέκρωσιν· ὁ τοίνυν τέλειος καὶ καθαρὸς ὀφθαλμὸς ὁ τὴν σιαγόνα φιάλην ποιῶν τὴν τὰ μύρα ἐξ ἑαυτῆς πηγάζουσαν, οὗτος ἀνθεῖ τὰ κρίνα τῶν λόγων διὰ τοῦ στόματος, τῶν τῇ θείᾳ κεκαλλωπισμένων λαμπρότητι· οὕτω γὰρ τοὺς δι' ἀρετῆς εὐπορουῦντας ὀνομάζει ὁ λόγος· ἀφ' ὧν γίνεται ἡ τῆς σμύρνης σταγὼν, ἀνελλιπῶς πληροῦσα τὴν τῶν δεχομένων διάνοιαν· ὅπερ ἐστὶν ἡ τῆς ὑλικῆς ὑπεροψία, διὰ τὴν τῶν ὑπερκειμένων ἀγαθῶν ἐπιθυμίαν, ἀνενεργήτων τε καὶ νεκρῶν γενομένων.

C

Labia ejus lilia stillantia myrrham plenam.

Gregorii. — Post maxillas laudantur labia, per quæ verbum aromatizans profertur. Duas autem virtutes verbo simul tribuet gemino exemplo, quorum alterum quidem veritas est, quæ in dictis et splendida et illustris conspicitur instar lilii : alterum vero quod sola intelligibilis est immaterialis vita explicetur a doctrina per contemplationem rerum quæ mente intelliguntur, exstincta vita hac inferiori, cujus in carne ac sanguine vis sese exerit. Etenim ex ore distillans myrrha quæ recipientem animum replet, mortificationem carnis clare denotat. Quare perfectus ac purus oculus, qui de maxilla phialam efficit, unguenta ex eo scaturientem, hic sermonum lilia profert per os illorum qui divino splendore sunt ornati. Nam sic appellat illos qui ex virtute fragrantiam quamdam spirant, quique myrrham distillant quæ sine defectu mentem recipientium eam replet : estque vitæ hujus corporeæ contemptus propter supernorum bonorum cupiditatem.

D

Κυρίλλου. — (72) Τὰ στάζοντα σμύρναν λέγει, τὰ ὁμολογοῦντα χείλη τὸν θάνατον.

Ἀπολιναρίου. — Αὐτὸς μὲν οἷα κρίνον ἀκμάζει, ἡμῖν δὲ τὴν διὰ θανάτου πρὸς ζωὴν εἰσηγεῖται μετάθεσιν.

Apollinarii. — Stillantia myrrham vocat labia mortem confitentia : ipse quidem liliorum instar floret, nobis autem per mortem ad vitam adducit translationem.

ιδ'. *Χεῖρες αὐτοῦ τορευταὶ, χρυσαῖ, πεπληρωμέναι θαρσείς.*

Vers. 14. — *Manus ejus tornatæ, aureæ, implctæ Tharsis.*

NOTÆ.

(71) *Patrol.* t. XVII, col. 276.

(72) In C. B. hæc sub nomine Apollinarii inscribuntur cum sequente scholio.

Digitized by Google

Philonis. — Tornatæ ac perforatæ manus aureæ sunt propter impeccantiam repletæ conversione gentium : Tharsis enim est *conversio gaudii.*

Gregorii. — Esse quidem oculi beneficium imperfectum in Ecclesiæ corpore, si manuum ab eo ministerium sit disjunctum, ab Apostolo clare didicimus, qui ait : *Non potest oculus dicere manui : Opera tua non indigeo* [92]. Nam tum maxime vis oculorum conspicitur, cum ipsa opera oculorum acumini testimonium perhibent ; per studium præclararum rerum egregie se duci declarantium, a quibus igitur capitis forma laudatur ; per eadem quoque manuum laus absolvitur. Caput autem Christum intelleximus, aurum a sacro sermone nominatum, propterea quod extra omne peccatum sit. Itaque aureas quoque manus dicit, per quas puritatem et impeccantiam et ab omni vitiositate alienationem ac remotionem insinuat. Manum autem intelligimus omnino eam quæ communia Ecclesiæ bona, ad usus præceptorum administrat ; cujus hæc propria laus est, ut capitis naturæ similis fiat, secundum puritatem et peccati vacuitatem. Tum enim manus fit pura, cum tornando totum illud abraserit quod elegantiæ impedimento est : v. gr. studium placendi hominibus, sui ipsius amorem inordinatum, avaritiam atque similia. Cæterum cum vox *Tharsis* aliquando quidem in malum sumatur, juxta illud : « Conteret naves Tharsis [93], » aliquando autem ad id quod beatum ac bonum est, ut in Ezechiele : « Et species ejus sicut species Tharsis [94], » in meliori usurpatum est significatione, voce illa indicante, id quod colorum corporisque sit expers, ac mentis intelligentia percipiatur. Tunc igitur fiunt manus aureæ plenæ Tharsis, quando a semetipsis omne supervacaneum atque corporeum sponte sua quasi tornando deterentes, ad sortem divinam ac spiritalem transeunt, omni crassa et gravi erga res vitæ hujus affectione excussa.

Φιλωνος. — Τορευται αἱ διατρηθεῖσαι χεῖρες· χρυσαῖ διὰ τὸ ἀναμάρτητον· πεπληρωμέναι τῆς ἐπιστροφῆς τῶν ἐθνῶν· Θαρσεὶς γὰρ ἐπιστροφὴ χαρᾶς.

Γρηγορίου. — Ὅτι μὲν ἀτελής ἐστιν ἐπὶ τοῦ σώματος τῆς Ἐκκλησίας ἡ τοῦ ὀφθαλμοῦ χάρις, τῆς τῶν χειρῶν ὑπουργίας διαζευγμένη, σαφῶς παρὰ τοῦ Ἀποστόλου μεμαθήκαμεν λέγοντος· *Οὐ δύναται ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, Χρείαν σου οὐκ ἔχω.* Τότε γὰρ μάλιστα τῶν ὀφθαλμῶν ἡ ἐνέργεια δείκνυται, ὅταν τὰ ἔργα μαρτυρεῖ τὴν ὀξυωπίαν τῷ ὄμματι, διὰ τῆς ἐπὶ τὰ καλὰ σπουδῆς τὴν ὁδηγίαν ἐπισημαίνοντα· οἵστισιν οὖν τὸ τῆς κεφαλῆς εἶδος ἐγκωμιάζεται, διὰ τῶν αὐτῶν καὶ ταῖς χερσί· κεφαλὴν δὲ τὸν Χριστὸν ἐνοήσαμεν, χρυσίον παρὰ τοῦ λόγου κατονομασθέντα, διὰ τὸ πάσης ἁμαρτίας ἐκτὸς εἶναι· χρυσᾶς οὖν καὶ τὰς χεῖρας δι' ὧν τὸ καθαρόν τε καὶ ἀναμάρτητον, καὶ πάσης κακίας ἀμιγές τε καὶ ἀπαράδεκτον ἐμφαίνει. Χεῖρα δὲ νοοῦμεν πάντως, τὴν τὰ κοινὰ τῆς Ἐκκλησίας εἰς τὰς τῶν ἐντολῶν χεῖρας διαχειρίζουσαν· ἧς ἔπαινος τὸ ὁμοιωθῆναι τῇ τῆς κεφαλῆς φύσει κατὰ τὸ καθαρόν τε καὶ ἀναμάρτητον· καθαρὰ γίνεται ἡ χεὶρ ὅταν διὰ τῆς τορείας ἀποξύσηται τὸ ἐμποδίζον ἅπαν τῷ κάλλει· οἷον τὸ ἀνθρωπάρεσκον, τὸ φίλαυτον, τὸ φιλοκερδὲς, καὶ τὰ ὅμοια· τῆς δὲ Θαρσεὶς λέξεως, ποτὲ μὲν λαμβανομένης ἐπὶ κακοῦ, ὡς τό· « Συντρίψει πλοῖα Θαρσείς· » ποτὲ δὲ ἐπὶ τοῦ μεμακαρισμένου καὶ ἀγαθοῦ, ὡς τὸ ἐν Ἰεζεκιὴλ [Ἰεζεκιὴλ] καὶ τό· « Εἶδος αὐτοῦ, ὡς εἶδος Θαρσείς· » τῇ τοῦ ἐπὶ τοῦ κρείττονος ἐχρήσατο σημασίᾳ, δηλούσης τῆς λέξεως τὸ ἀχρωμάτιστον καὶ νοητὸν καὶ ἀσώματον. Τότε οὖν γίνονται αἱ χεῖρες χρυσαῖ πλήρεις Θαρσεὶς, ὅταν ἀκριβῶς ἀφ' ἑαυτῶν πᾶν τὸ περιττὸν καὶ σωματοειδὲς ἀποτορεύσασαι ἐκ προαιρέσεως, πρὸς τὸ θεῖόν τε καὶ νοητὸν μεταβαίνουσι, τὴν ὑλώδη πᾶσαν καὶ βαρεῖαν περὶ τὰ πράγματα σχέσιν ἐκτιναξάμεναι.

Venter ejus pyxis eburnea super lapidem sapphirum.

Gregorii. — Venter est cogitandi et ratiocinandi vis animæ in qua, utpote pura, et lævis, et fulgida, reponitur tanquam pyxide eburnea, ut ei clara minimeque confusa divinorum oraculorum Scriptura imprimatur. Cæruleus autem sapphirus symbolum est cordis nostri disciplinas hasce excipientis, ut ea quæ sursum sunt sapiat et ubi thesaurus reponitur istic etiam spe quietis oculos oblectet, ita ut divina præcepta attendendo non fatigetur ; spe cœlesti eam quæ animi oculis inest cernendi facultatem recreante. Quemadmodum tradunt hunc lapidem per cæruleum colorem fatigatum oculum recreare.

Origenis. — Venter sunt illi qui capaces sunt Verbi mysteriorum, etc.

Κοιλία αὐτοῦ πυξίον ἐλεφάντινον, ἐπὶ λίθου σαπφείρου.

Γρηγορίου. — Κοιλία, τὸ διανοητικὸν καὶ λογιστικὸν τῆς ψυχῆς, ἐν ᾧ ἀποτίθεται καθαρῷ τε ὄντι καὶ λείῳ καὶ στίλβοντι· καθάπερ τὸ πυξίον τὸ ἐλεφάντινον· ὥστε τρανήν τε καὶ ἀσύγχυτον τὴν τῶν θείων λογίων ἐντυποῦσθαι Γραφήν. Ὁ οὐρανοειδὴς δὲ σάπφειρος, σύμβολον τοῦ τὴν καρδίαν ἡμῶν ταῦτα δεξαμένην τὰ μαθήματα τὰ ἄνω φρονεῖν, ὅπου τὸν θησαυρὸν ἐναποτίθεται· κἀκεῖ τὰς ὄψεις τῇ ἐλπίδι προσαναπαύειν· ὥστε μὴ κάμνειν ἐν τῇ προσοχῇ τῶν θείων παραγγελμάτων· τῆς οὐρανίας ἐλπίδος τὸ ὀπτικὸν τῶν τῆς ψυχῆς ὀμμάτων ἀναπαυούσης· ὥσπερ φασὶ τὴν λίθον ταύτην διὰ τοῦ κυανέου χρώματος προσαναπαύειν τὸν ὀφθαλμὸν κάμνοντα.

Ὠριγένους. — Κοιλία ἐστὶ τοῦ λόγου, οἱ χωρητικοὶ τῶν μυστηρίων, κ. τ. λ. (73).

[92] I Cor. XII, 21. [93] Psal. XLVII, 8. [94] Ezech. I, 16.

NOTÆ.

(73) *Patrol.* t. XVII, col. 276.

Digitized by Google

Κυρίλλου. — Εἶεν δ' ἂν οὗτοι καὶ βάσεις· οἱ γὰρ οἰκοδομούμενοι ἐποικοδομοῦνται τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν.

ιε'. *Κνῆμαι αὐτοῦ, στύλοι μαρμάρινοι, τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσᾶς.*

(74) Ἀκολούθως τὰς κνήμας μετὰ τὴν κοιλίαν ἐπαινεῖ, ἃς φησι στύλους εἶναι μαρμαρίνους τεθεμελιωμένους ἐπὶ βάσεις χρυσᾶς· στύλοι δὲ τῆς Ἐκκλησίας, οἷον Πέτρος καὶ Ἰωάννης, οἱ θεμέλιον τὸν Χριστὸν χρυσὸν λεχθέντες· μαρμάρινοι δὲ, οὗσπερ εἶπε Παῦλος ἑδραίωμα· διὰ τὸ ἑδραῖον καὶ ἀσάλευτον, καὶ τῷ λαμπρῷ βίῳ καὶ τῷ ὑγιαίνοντι λόγῳ τὸ κοινὸν σῶμα τῆς Ἐκκλησίας βαστάζοντές τε· καὶ τὸ τὸν Θεὸν ἀγαπᾷν ἐξ ὅλης τῆς καρδίας, καὶ τὸν πλησίον ὡς ἑαυτὸν, ὡς διὰ στύλων μαρμαρίνων, τὸ κοινὸν σῶμα τῆς Ἐκκλησίας βαστάζειν. Ὁ γὰρ ἐν ταῖς δυσὶ ταύταις τελειωθεὶς ἐντολαῖς, στύλος καὶ ἑδραίωμα τῆς Ἐκκλησίας κατασκευάζεται· ὥστε τοῖς δυσὶ τούτοις κατορθώμασιν, ὅλον τὸ σῶμα τῆς Ἐκκλησίας, καθάπερ κνήμαις τισὶν ἐπερείδεσθαι τοῦ χρυσοῦ θεμελίου τῆς κατὰ πίστιν βάσεως τὸ ἀκλινὲς καὶ ἀμετάθετον· καὶ τῷ ἐν παντὶ ἀγαθῷ πάγιον τοῖς λογισμοῖς ἐμποιοῦντος.

ις'. *Εἶδος αὐτοῦ ὡς Λίβανος ἐκλεκτὸς, ὡς κέδροι· φάρυγξ αὐτοῦ γλυκασμὸς καὶ ὅλος ἐπιθυμία· οὗτος ἀδελφιδός μου, καὶ οὗτος πλησίον μου, θυγατέρες Ἰερουσαλήμ.*

Γρηγορίου. — Μετὰ τοὺς κατὰ τὸ μέρος ἐπαίνους, καθάπερ κεφαλαιουμένη ὅλον τοῦ Νυμφίου τὸ κάλλος, ταῦτά φησι· δηλοῦσα, ὡς οἶμαι, ὅτι περὶ τὸ βλεπόμενον κάλλος τοῦ Νυμφίου ἐστὶν ὁ ἔπαινος· ἐκεῖνό φημι τὸ βλεπόμενον· ὃ διὰ τὸν καθ' ἕκαστον μελῶν τῶν συμπληρούντων τὴν Ἐκκλησίαν σωματοποιεῖ ὁ Ἀπόστολος. Ἓν γὰρ εἶδος αὐτοῦ, φησὶν εἶναι τὰς μυριάδας τῶν κέδρων, αἷς διείληπται πανταχόθεν ὁ Λίβανος· δηλοῦσα διὰ τῶν λεγομένων ὅτι οὐδὲν ταπεινὸν καὶ χαμαίζηλον συντελεῖ πρὸς τὴν εὐμορφίαν τοῦ σώματος, ἐὰν μή τι κατὰ τὴν κέδρον ὑψηλὸν ᾖ καὶ πρὸς τὰ ἄνω τῇ ἀρετῇ ἐπειγόμενον. Ὁ Λίβανος δὲ ὄρος ἐστὶ περιφανές τε καὶ λάσιον· καὶ ἐπειδὴ πολλάκις καὶ ὁ διάβολος Λίβανος ὀνομάζεται, καὶ κέδροι οἱ δαίμονες, ὡς τό· « Καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου· » νῦν ἡ Νύμφη τῷ ἐκλεκτῷ Λιβάνῳ τὸ εἶδος τοῦ Νυμφίου παρείκασεν, ἐπὶ τὸ κρεῖττον ἐκλαμβάνουσα τὴν ὀνομασίαν· ὡς ἐν τῷ, « Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. » Διὰ τί δέ ποτε μὲν ἐπὶ καλοῦ λαμβάνεται ὁ Λίβανος ἅμα τοῖς κέδροις, ποτὲ δὲ ἐπὶ τοῦ ἐναντίου; Ἐπειδὴ πέφυκε παρυφίστασθαι τῇ ἀρετῇ ἡ κακία, καὶ ἐξομοιοῦσθαι αὐτῇ· ὅθεν καὶ, *Ὡς Λίβανος ἐκλεκτὸς*, φησίν· ἐκλογὴ δὲ πάντως διὰ τῆς τοῦ ἐναντίου παραθέσεως γίνεται· διὸ ὁμώνυμόν ἐστι τὸ ἀγαθὸν, ἐπί τε τοῦ ὄντως ὄντος τοιοῦτον, καὶ ἐπὶ τοῦ ὄντος μὲν, ὑποκρινομένου δὲ δι' ἀπάτης καὶ δοκοῦντος εἶναι ὃ οὐκ ἔστιν. Ὁ μὴ διά-

Cyrilli. — Utique bi fuerint etiam bases. Nam ædificantes ædificant supra fundamentum apostolorum et prophetarum.

Vers. 15. *Crura ejus columnæ marmoreæ super aureas.*

Gregorii. — Consequenter post ventrem laudat crura, quæ dicit columnas esse marmoreas fundatas super bases aureas. Columnæ autem Ecclesiæ sunt, v. gr., Petrus et Joannes, qui fundamentum habebant Christum aurum dictum; marmoreæ vero (quas Paulus vocavit firmamentum propter firmitatem quæ commoveri non possit), ut qui illustri vita et sana doctrina commune corpus Ecclesiæ gestent atque fulciant. Sed et hoc, nempe Deum diligere ex toto corde et proximum sicut seipsum, tanquam per duas columnas marmoreas, commune corpus Ecclesiæ sustentat. Qui enim in duobus istis præceptis perfectus est columna et firmamentum veritatis efficitur : adeo ut duobus istis præclare gestis universum Ecclesiæ corpus quasi quibusdam cruribus innitatur aureo basis illius fundamento, quæ fides est, immobilitatem non mutabilem et constantiam in omni bono animis indente.

Vers. 16. *Species ejus ut Libanus, electus sicut cedri : guttur ejus dulcedines et totus desiderium. Hic fratruelis meus et hic proximus meus, filiæ Jerusalem.*

Gregorii. — Post laudes particulares, quasi ad caput revocans, universam Sponsi pulchritudinem ista dicit, significans, ut arbitror, versari hoc encomium ipsius in ea Sponsi pulchritudine quæ sub aspectum cadit. Id autem intelligo per hoc quod sub oculos cadit, de quo quasi quoddam corpus constituit Apostolus, collectis membris singulis quæ integram Ecclesiam absolvunt. Ait enim unam ipsius speciem esse infinitas illas cedros, quibus undique cinctus est Libanus ; istis verbis significans nihil humile neque abjectum ad venustatem corporis illius conferre, nisi sublime sit instar cedri ac vertice suo sursum tendat. Cæterum mons Libanus illustris est ac densus, et quia sæpenumero etiam diabolus vocatur Libanus et cedri dæmones, ut in isto : « Et conteret Dominus cedros Libani [95]; » modo sponsa electo Libano sponsi speciem assimilavit in meliorem partem accipiens denominationem, ut in isto : « Justus ut palma florebit, sicut cedrus quæ in Libano est multiplicabitur [96]. » Cur autem aliquando quidem in bonum Libanus una cum cedris, aliquando vero in contrarium accipitur? Quia nimirum virtuti vitium a propinquo adnosci, ipsique assimilari solet. Unde etiam *sicut Libanus electus* ait. Electio autem omnino fit per contrarii collationem. Itaque cum una boni appellatio diversa significet ac simul de eo usurpetur, quod revera bonum est, et quod tale

[95] Psal. xxviii, 5. [96] Psal. xci, 13.

NOTÆ.

(74) Hæc in C. B. Gregorii nomen præ se ferunt.

Digitized by Google

non est, sed per fraudem esse se bonum simulat : idque videtur esse quod non est. Qui in boni dijudicatione non fallitur, quod eximie selecteque bonum est erroneo et fallaci præfert. Quare cum Christi corpus per membra singula fiat integrum et membra multa corpus unum sint, secundum Apostolum [97], eam ipsam ob causam totam Sponsi venustatem Libanum electum appellavit, discrimen hujus et ejus qui reficitur per vocem electi constituens. Cæterum cum favus mellis sint boni sermones, vocis autem ortus sit ex gutture in quo spiritus sonat, per hoc ministros et interpretes sermonis in quibus Deus loquitur significare videtur mel divinum e gutture suo, velut e quodam fonte promentes. Propriis porro quibus foverat nobis desideratum designans, tunc demonstrando ait : Hic est ille qui quod frater noster factus sit ex Juda nobis exortus proximus exstitit.

A

B

Vers. 17. *Quo abiit fratruelis tuus, pulchra in mulieribus ? quo respexit fratruelis tuus, et quæremus eum tecum.*

Primum quidem de eo quidnam esset instituunt sermones hæ virgines animæ, id quod didicerunt ex indiciis quibus ipsam descripserat. Idcirco statim de eo ubi sit interrogant, ut cognito quidem ubi sit adorent in loco ubi steterunt pedes ejus [98] ; ubi autem respexerit, sic semetipsas constituant, ut et ab ipsis ejus gloria conspiciatur, cujus apparitio salutem affert aspicientibus. Præbet igitur se ducem illis, ut quem quærebant assequantur, quemadmodum Philippus cum Nathanaeli dixit : « Veni et vide [99], pro isto *vide* locum indicans in quo sit is qui quæritur et quo respiciat.

C

Nili. — Sponsa persuasit illis exponens Sponsi pulchritudinem et posuit prout voluit, unde quoque verbo suffragatæ fuerunt amori Sponsæ et rebus ipsis desiderium confirmant, et amanti compatiuntur, et ex narratione erga ipsum amatorio quodam motu afficiuntur. Istius modi enim a revera pulchra et conspecta in sui rapiunt desiderium, et audita trahunt in affectum, quare in posterum una cum illa student ipsum quærere.

Apollinarii. — Ubique quidem adest Sponsus Verbum, in paratum autem vires exerit et operatur, uti prius in Israel, ita nunc in Ecclesia totum præstat, præsentia Salvatoris, excellenter autem in sanctis. Hic igitur per symbola ostendit, ipsum conversantem, tempus insinuans quo dixerat cæsum ac vulneratum et amictu spoliatum iri.

D

CAP. VI.

1. *Fratruelis meus descendit in hortum suum ad phialas aromatis pascere in hortis et colligere lilia.*

Utique hæc quasi quædam corporea et externa

μαρτάνων τοίνυν τῆς τοῦ καλοῦ κρίσεως, τὸ ἐξειλεγμένον ἀγαθὸν, ἀντὶ τοῦ ἡπατημένου προσείλετο. Ἐπειδὴ τοίνυν τὸ σῶμα Χριστοῦ διὰ τῶν καθ' ἕκαστον πληροῦται μελῶν, καὶ τὰ πολλὰ μέλη ἓν σῶμα γίνεται κατὰ τὸν Ἀπόστολον, τούτου χάριν ὅλον τοῦ Νυμφίου τὸ κάλλος τὸν ἐκλεκτὸν ὠνόμασε Λίβανον, τὴν πρὸς τὸν ἀπόβλητον διαφορὰν τῷ ἐκλεκτῷ διαστείλασα· ἐπειδὴ δὲ κηρία μέλιτος οἱ καλοὶ εἰσι λόγοι, ἡ δὲ τῆς φωνῆς γέννησις ἐκ τοῦ φάρυγγος, ἐν ᾧ τὸ πνεῦμα προσπίπτον ἐκ τῆς ἀρτηρίας ἦχεῖ· ἔοικε δὲ διὰ ταύτης τοὺς ὑπηρέτας τοῦ λόγου δηλοῦν, ἐν οἷς λαλεῖ ὁ Θεὸς, τὸ μέλι, τὸ λεῖον διὰ τοῦ φάρυγγος τοῦ ἰδίου πηγάζοντας· χαρακτηρίσασα δὲ δι' ὧν ἠδύνατο τὸν ποθούμενον, τότε δεικτικῶς, Οὗτός ἐστι, φησὶν, ὃς διὰ τοῦ ἀδελφὸς γενέσθαι ἐξ Ἰούδα ἡμῖν ἀνατείλας πλησίον ἐγένετο.

ιζ'. *Ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου, ἡ καλὴ ἐν γυναιξί ; ποῦ ἀπέβλεψεν ὁ ἀδελφιδός σου ; καὶ ζητήσομεν αὐτὸν μετὰ σοῦ.*

Γρηγορίου (75). — Πρῶτον μὲν περὶ τοῦ, τί ἐστιν, ἐποιήσαντο τὸν λόγον αἱ παρθένοι ψυχαὶ, ὅπερ ἐδιδάχθησαν δι' ὧν αὐτὸν ὑπέγραψε. Διὸ ἀρτίως περὶ τοῦ ποῦ πυνθάνονται, ἵνα ὅπου μέν ἐστι μαθοῦσαι, προσκυνήσωσιν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ· ὅπου δὲ ἀπέβλεψεν, οὕτως ἑαυτὰς στήσωσιν, ὥστε καὶ αὐταῖς ἐποφθῆναι τὴν δόξαν αὐτοῦ, οὗ ἡ ἐπιφάνεια σωτηρία τῶν ἐποφθέντων γίνεται· καθηγεῖται τοίνυν αὐτῶν πρὸς τὴν τοῦ ζητουμένου κατάληψιν· καθάπερ Φίλιππός ποτε τῷ Ναθαναὴλ, « Ἔρχου καὶ ἴδε· » ἀντὶ τοῦ, Ἴδε, τὸν τόπον ὑποδεικνύουσα ἐν ᾧ ἐστιν ὁ ζητούμενος, καὶ ὅπου βλέπει.

Νείλου. — Ἔπεισεν αὐτὰς ἐξηγουμένη τὸ κάλλος τοῦ Νυμφίου, καὶ διέθηκεν ὡς ἐβούλετο· ὅθεν καὶ τῷ λόγῳ συνεψηφίσαντο τῷ τῆς Νύμφης ἔρωτι, καὶ τοῖς ἔργοις βεβαιοῦσι τὸν πόθον· καὶ τῇ ἐρώσῃ συμπάσχουσαι, καὶ ἐρωτικὸν παθοῦσαί τι πρὸς αὐτὴν ἐκ τῆς διηγήσεως. Τοιαῦτα γὰρ τὰ ὄντως καλὰ, καὶ ὁρώμενα χειροῦται πρὸς πόθον, καὶ ἀκουόμενα ἐφέλκεται πρὸς διάθεσιν· διὸ καὶ ζητεῖν αὐτὸν μετ' αὐτῆς λοιπὸν σπουδάζουσιν.

Ἀπολλιναρίου. — Πανταχῆ μὲν πάρεστιν ὁ Νυμφίος Λόγος· πρὸς δὲ τὸ ἐπιτήδειον ποιεῖται τὰς ἐνεργείας, ὡς ἐν τῷ Ἰσραὴλ πρότερον, καὶ νῦν ἐν τῇ Ἐκκλησίᾳ τὸ ὅλον τοῦ Σωτῆρος ἡ παρουσία, ἐξαιρέτως δὲ ἐν τοῖς ἁγίοις· ἐνταῦθα τοίνυν διὰ τῶν συμβόλων δείκνυσιν αὐτὸν διατριβόντα· τὸν καιρὸν αἰνιξαμένη καθ' ὃν ἔφη πατάσσεσθαι, καὶ τραυματίζεσθαι, καὶ τὴν περιβολὴν ἀφαιρεῖσθαι.

ΚΕΦΑΛ. Ϛ'.

α'. *Ἀδελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ· εἰς φιάλας τοῦ ἀρώματος ποιμαίνει ἐν κήποις, συλλέγειν κρίνα.*

Γρηγορίου. — (76) Αὕτη μὲν ἡ σημαντικὴ τοῦ

[97] I Cor. xii, 12. [98] Psal. cxxxi, 7. [99] Joan. i, 26.

NOTÆ.

(75) Anonyma in C. B.

(76) Anonyma in C. B.

Digitized by Google

λόγου πρὸς τὰς νεάνιδάς ἐστιν ὁδηγία· δι' ὧν μανθάνουσι καὶ ὅπου ἐστὶ, καὶ ὅπου βλέπει· διὰ τούτων δὲ τὸ εὐαγγελικὸν μυστήριον μανθάνομεν. *Ἀδελφιδὲς* γὰρ παρ' αὐτῆς ὀνομάζεται, διὰ τὸ ἀδελφιδοῦς ὑπάρχειν τῶν τε ἐξ ἐθνῶν λαῶν, καὶ τῶν ἐξ Ἰουδαίων· τὸ δὲ *κατέβη* διὰ τὸν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχὼ καταβάντα, καὶ γενόμενον ἐν λῃσταῖς. Κατέβη γὰρ ἐκ τῆς ἀῤῥήτου μακαριότητος φανερωθὲν ἐν σαρκὶ, τοῦ ποιῆσαι πάλιν κῆπον τὴν ἔρημον, τῇ τῶν ἀρετῶν φυτείᾳ καλλωπιζόμενον. Ἀναφυτεύει γὰρ τὸ ἑαυτοῦ γεώργιον ὁ ἀληθινὸς γεωργὸς ἡμᾶς τοὺς ἀνθρώπους. Ἡμεῖς γάρ ἐσμεν αὐτοῦ γεώργιον· αἱ δὲ τοῦ ἀρώματος φιάλαι, ἐν μὲν τῇ τοῦ κάλλους ὑπογραφῇ πρὸς τὸ τῶν σιαγόνων ἐγκώμιον παρελήφθησαν· ἐνταῦθα δὲ τόπος εἶναι τοῦ Νυμφίου καὶ ἐνδιαίτημα παρὰ τοῦ Λόγου μηνύεται· τοῦτο μανθανόντων ἡμῶν, ὅτι οὔτε ἐν ἐρήμῳ τῶν ἀρετῶν ψυχῇ ὁ Νυμφίος λόγος αὐλίζεται· ἀλλ' εἴ τις φιάλη ἀρώματος γένοιτο σύσσωμα μυρεψικὰ, ὁ τοιοῦτος κρατὴρ τῆς σοφίας γενόμενος, δέχεται ἐν ἑαυτῷ τὸν θεῖον ἀκήρατον οἶνον· δι' ὧν γίνεται τῷ δεξαμένῳ εὐφροσύνη. Νομὴν δὲ νέμεται τοῦ Νυμφίου τὸ ποίμνιον, οὐκ ἐν ἐρήμοις ἀκάνθας, οὐδὲ πόαν χορτώδη, τὰ δὲ ἐκ τῶν κήπων ἀρώματά τε καὶ κρίνα, ἅτινά ἐστιν ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα προσφιλῆ, ὅσα εὔφημα· εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος· ἅπερ εἰς τροφὴν αὐτῆς ὁ καλὸς συλλέγει ποιμήν· τὰ μὲν γὰρ κρίνα τοῦ λαμπροῦ καὶ καθαροῦ τῆς διανοίας αἴνιγμα γίνεται, ἡ διὰ τῶν ἀρωμάτων εὐπνοια, τοῦ πάσης ἁμαρτιῶν δυσωδίας ἀλλοτρίως ἔχειν.

A est pro adolescentulis manuductio, unde intelligunt et ubi sit et quo respiciat : per hæc autem Evangelii mysterium discimus. *Fratruelis* enim ab ipsa nominatur, quia populus ex gentibus et ex Judæis fratres sunt. Illud autem *descendit*, significat illum qui a Jerusalem in Jericho descendit et incidit in latrones. Descendit enim ab ineffabili beatitudine, quando apparuit in carne, ut ex deserto iterum faceret hortum virtutum plantatione ornatum. Verus enim agricola de integro plantat arvum suum, nempe nos homines. Etenim nos arvum ipsius sumus. Phialæ autem aromatis hactenus in descriptione pulchritudinis Sponsi, ad maxillarum encomium fuerunt accommodatæ : hic autem a Verbo insinuantur esse B locus in quo Sponsus degat, discentibus ex eo nobis, non versari Sponsum in ea anima ubi virtutum quædam sit solitudo ; sed si quis aromatis sit phiala et unguenta proferat, is deinceps sapientiæ crater factus divinum et incorruptum vinum in se recipit, quo bibens exhilaratur. Pascuum porro Sponsi grex pascit, non in desertis spinas, neque herbam gramineam, sed ex hortis aromata liliaque quæ sunt quæcunque honesta, quæcunque justa, quæcunque amabilia, quæcunque boni nominis : si qua virtus et si qua laus, hæc in alimentum ipsius pastor bonus colligit : nam lilia quidem splendoris et puritatis mentalis quoddam symbolum sunt ; aromatum vero fragrantia significat affectionem ab omni fetore peccatorum abhorren- C tem.

Νείλου. — Ὅσην μὲν ἐπὶ τῇ λέξει ζηλοτυπίαν ἔχει τὸ ῥητὸν· διακρούεται γὰρ τὰς μετ' αὐτὴν ζητεῖν βουλομένας, ἀπεληλυθέναι λέγουσα αὐτὸν, ὅπου δυσχερὲς ἢ ἀδύνατον ἐκείνας καταβῆναι· ἡ δὲ διάνοια δηλοῖ, ὅτι καταβέβηκεν ὁ Νυμφίος εἰς κῆπον οἰστικὸν λαχάνων, ἃ ἐστι ἀσθενῶν τροφὴ καὶ ὀλιγοπίστων ἔδεσμα· τάχα οὐκ ἂν καταβὰς, εἰ παράδεισος ὁ κῆπος ἐτύγχανεν ὤν. Εἰσέρχεται γὰρ εἰς τὰ τελειότερα· ὡς ἐπιπέδοις ὁμαλῶς ἐπιβαίνων τοῖς ἰσοτίμοις· καταβαίνει δὲ εἰς τὰ ὑποδεέστερα, τὴν τῆς συγκαταβάσεως οἰκονομίαν ὀνομάζων κατάβασιν· καὶ τοῦ ποιμαίνειν δὲ ἐν κήποις τὴν πρὸς τοὺς ποιμαινομένους συγκατάβασιν δηλοῖ· οὐ δυνηθέντας προβῆναι διὰ ἀσθένειαν τοῖς δρεσι τῆς φυσικῆς καὶ ἀρχαίας D εὐδιαγώγου νομῆς, πρὶν ὁ ποιμὴν πρὸς αὐτοὺς καταβῇ· ἐκεῖ διὰ φιλανθρωπίαν γενόμενος, ὅπου αὐτοὶ κατέπεσον δι' ἀμέλειαν· ποιμαίνων δὲ τοὺς ἀσθενεστέρους, ἐν τοῖς τῆς συγκαταβάσεως κήποις, εἴπου εὕρῃ κρίνα ἀνθεῖν ὀρξαμένους τὸ τῆς ἐπὶ Θεὸν πεποιθήσεως ἄνθος· καὶ τὴν μέριμναν τῆς σωματικῆς ἀνάγκης ἐπιῤῥίψαντα ἐπ' αὐτόν. Συλλέγει δὲ ταῦτα μεταφυτεύων ἐν ἐπιτηδειοτέρῳ τόπῳ πάντως καὶ τάγματι· κρίνων γὰρ ἐπιτήδειον τούτοις τὴν ἐν κήποις διαγωγὴν· ἵνα μὴ καὶ τοῦ ἔθνους ἐπὶ τὴν ἀρχαίαν ἦθος κατάστασιν, καὶ τῆς πρὸς τοὺς τοιούτους πολλῆς κοινωνίας ἐρεθιζούσης πρὸς ζῆλον μιμήσεως, ἐπὶ τὴν παλαιὰν κατενεχθῶσι συνήθειαν.

Nili. — Quantum quidem ad textum litteræ attinet, zelotypiam continet hæc sententia : repellit enim secum quærere volentes, dicens ipsum eo abivisse, quo illas descendere difficile sit aut impossibile. Sensus autem significat Sponsum descendisse in hortum fertilem olerum, quæ sunt cibus infirmorum, et edulium eorum qui modicæ sunt fidei, forte non descensurum, si hortus iste fuisset paradisus. Ingreditur enim in ea quæ perfectiora sunt, quasi cum æqualibus de plano æqualiter incedens : ad inferiora vero descendit, condescensionis dispensationem nominans descensum : sed et pascere in hortis erga eos qui pascuntur condescensionem denotat, utpote qui præ infirmitate ad montes naturalis pascuæ et antiquæ bonæ deductionis, pervenire non valeant, priusquam pastor ad ipsos descendat, ibi per humanitatem exsistens, ubi ipsi per socordiam corruerant. Cæterum infirmiores in condescensionis hortis pascens sicubi lilia reperiat, id est eos qui fiduciæ in Deum florem producere incipiant et corporeæ necessitatis sollicitudinem in ipsum projiciant. Hæc utique colligit in opportuniorem omnino locum, ordinemque transplantans, quod iis in hortis commorationem judi et ipsis minime consentaneam, ne assuetudine ad pristinum statum trahente, ac multa cum similibus communicatione ad zelum imitationis irritante, ad veterem consuetudinem reducantur.

Digitized by Google

Cyrilli. — Descendit in infernum ad animas justorum : hæ namque phialæ sunt aromatis, si quidem patriarchæ primi spirarunt fidem in Christum, et post resurrectionem pascit singulas ecclesias ; colligit vero lilia, nempe viros probos, sive sermonem confessionis ipsorum.

VERS. 2. *Ego fratrueli meo, et fratruelis meus mihi qui pascit inter lilia.*

Hic canon et terminus est perfectionis in virtute. Nam ex his discimus nihil oportere nos habere præter Deum, neque animæ purificatæ ad quidquam aliud respiciendum esse, sed ita semetipsam ab omni crassa re et cogitatione expurgare debere, ut omnino tota transformata ad spiritalem et immaterialem primævæ pulchritudinis imaginem quam exactissime ipsa se componat. Profert igitur hanc vocem Sponsa quasi speculum voluntatis electione præditum et animatum, quasi dicat : Cum ego toto orbe mei fratruelis faciem intueor, per hoc ipsum tota formæ ipsius pulchritudo in me conspicitur. Talis erat Paulus cum diceret : « Mihi vivere Christus est [1]. » Nihil nempe materialium et humanarum affectionum in ipso vivebat, non tristitia, non ira, non timor, non trepidatio, non fastus, non audacia, non vana gloria, non aliud quidquam eorum quæ animam quadam erga se affectione polluunt, sed solus ille mihi super est qui nihil est horum, sed sanctificatio et puritas, et incorruptio, et lumen, et veritas, et hujusmodi alia quæ animam meam pascunt, non in graminibus vel virgultis, sed in splendoribus sanctorum. Et sicut in vas vitreum quodcunque injicitur pellucidum fit : sic nutritur anima liliis, id est virtutibus, quibus qui recta vivendi ratione satiatus est, is vita sua conspicuum se reddit, dum moribus suis cujuslibet virtutis speciem exprimit.

Nili. — Adhuc zelotypiam hic textus formatus est : ne enim existimarent ipsum omnibus esse communem, etiam iis qui necdum tali amore digni sunt, se solum soli illi attribuit. Quomodo autem nunc in liliis pascet, qui prius pascebat in hortis, nisi omnino proficientibus iis qui pascebantur :

Sicut « corpus non fornicationi, sed Domino [2] ; » sic et Sponsa Sponso. Et vice versa, si quis autem flos speciosus in animabus hominum, illum colligens, tanquam cura pastorali sua diguum, pascit.

Philonis. — Scilicet ego ipsi opera, et ipse mihi mercedem.

Apollinarii. — Ne quis autem existimet hortum ipsius differre a Sponsi in eo conversatione, ostendit semetipsam esse quæ ab ipso pascatur, eamdemque esse lilia. Hæc cum dixisset, Sponsus

Φίλωνος (77).— Κατέδη πρὸς τὰς ἐν ᾅδου τῶν δικαίων ψυχάς· φιάλαι γὰρ αὗται τοῦ ἀρώματος· πρῶτον γὰρ οἱ πατριάρχαι τὴν εἰς Χριστὸν ἔπνευσαν πίστιν· καὶ μετὰ τὴν ἀνάστασιν τὰς κατὰ τόπον ἐκκλησίας ποιμαίνειν· συλλέγειν δὲ κρίνα τοὺς ἀγαθοὺς ἄνδρας, ἢ τὸν λόγον τῆς ὁμολογίας αὐτῶν.

β'. *Ἐγὼ τῷ ἀδελφιδῷ μου· ἀδελφιδός μου ἐμοὶ ὁ ποιμαίνων ἐν τοῖς κρίνοις.*

Γρηγορίου (78).— Κανὼν καὶ ὅρος τῆς κατ' ἀρετὴν τελειότητός ἐστιν οὗτος. Μανθάνομεν γὰρ διὰ τούτων τὸ μὴ δεῖν πλὴν τοῦ Θεοῦ μηδὲν ἔχειν, μηδὲ πρὸς ἄλλο τι βλέπειν τὴν κεκαθαρμένην ψυχήν, ἀλλ' οὕτως ἑαυτὴν ἐκκαθᾶραι παντὸς ὑλικοῦ πράγματός τε καὶ νοήματος, ὡς ὅλην δι' ὅλου μετατεθεῖσαν πρὸς τὸν νοητόν τε καὶ ἄϋλον, ἐναργεστάτην εἰκόνα τοῦ ἀρχετύπου κάλλους ἑαυτὴν ἀπεργάσασθαι. Λέγει οὖν τὴν φωνὴν ταύτην ἡ Νύμφη τὸ προαιρετικόν τε καὶ ἔμψυχον κάτοπτρον· ὅτι Ἐπειδὴ ὅλῳ τῷ κύκλῳ ἐγὼ τὸ τοῦ ἀδελφιδοῦ πρόσωπον βλέπω, διὰ τοῦ ὅλου τῆς ἐκείνου μορφῆς τὸ κάλλος ἐν ἐμοὶ καθορᾶσθαι· οἷος ἦν Παῦλος ὁ εἰπών· « Ἐμοὶ τὸ ζῆν Χριστός. » Οὐδὲν γὰρ τῶν ὑλικῶν καὶ ἀνθρωπίνων μαθημάτων ἐν αὐτῷ ζῇ, οὐ λύπη, οὐ θυμός, οὐ φόβος, οὐ δειλία, οὐ τύφος, οὐ θράσος, οὐ φιλοδοξία, οὐκ ἄλλο τι τῶν τὴν ψυχὴν διά τινος σχέσεως κηλιδούντων· ἀλλ' ἐκεῖνός μοι μόνος ἐστὶν, ὃς οὐδὲν τούτων ἐστὶν, ἀλλ' ἡ ἁγιασμὸς καὶ ἀφθαρσία, καὶ φῶς, καὶ ἀλήθεια, καὶ τὰ τοιαῦτα, ὅσα ποιμαίνει ψυχὴν, οὐκ ἐν χόρτοις ἢ φρυγάνοις, ἀλλ' ἐν ταῖς λαμπρότησι τῶν ἁγίων. Καὶ ὥσπερ ἐπὶ ὑελίνου σκεύους, οἷον ἂν ᾖ τὸ ἐμβαλλόμενον, διαφανὲς γίνεται· οὕτω τρέφεται μὲν ψυχὴ τοῖς κρίνοις, εἶτ' οὖν ταῖς ἀρεταῖς· ὧν ὁ τῆς ἀγαθῆς πολιτείας ἐμφορηθεὶς, ἐπίδηλον ποιεῖ διὰ τοῦ βίου ἑκάστης ἀρετῆς τὸ εἶδος, διὰ τοῦ ἤθους ἐπιδεικνύμενος.

Νείλου.— Ὅτι ζηλοτύπως ἡ λέξις ἐσχημάτισται· ἵνα γὰρ μὴ νομίσωσι κοινὸν εἶναι πασῶν, καὶ οὕτω τέως ἀξίων τὸν πρὸς τῶν τοιούτων ἔρωτα, μόνην μόνῳ ἑαυτῷ ἀνατίθησι. Πῶς δὲ νῦν ἐν κρίνοις ποιμαίνει; ποιμαίνων ἐν κήποις πρότερον ἢ πάντων προκοψάντων τῶν ποιμαινομένων.

(79) Ὥσπερ « τὸ σῶμα, οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ, » οὕτω καὶ ἡ Νύμφη τῷ Κυρίῳ· (80) καὶ ἔμπαλιν· εἰ δέ τι ἄνθος ὡραῖον ἐν ἀνθρωπίναις ψυχαῖς, ἐκεῖνο συλλέγων ὡς ἄξιον τοῖς ἑαυτοῦ ποιμέσι ποιμαντικῆς.

Φίλωνος. — Ἤγουν ἐγὼ τὰ ἔργα αὐτῷ, καὶ αὐτὸς ἐμοὶ τὸν μισθόν.

Ἀπολιναρίου. — Ὡς ἂν μή τις νομίσῃ διεστάναι τὸν κῆπον αὐτῆς, καὶ τὴν ἐκεῖ τοῦ Νυμφίου διατριβὴν, δείκνυσιν ἑαυτὴν εἶναι τὴν ὑπ' αὐτοῦ νεμομένην· καὶ αὐτὴν εἶναι τὰ κρίνα. Ταῦτα εἰπούσης, ὁ Νυμ-

[1] Philipp. I, 21. [2] I Cor. VI, 13.

NOTÆ.

(77) Scholium hoc in C. B. Cyrillo ascribitur.
(78) Anonyma in C. B.
(79) Hæc in C. B. ut verba Nili continuantur.
(80) Quæ sequuntur Origeni dat C. B.

Digitized by Google

φίος ἐπιφαίνεται, ἐγκώμιά τε λέγων αὐτῆς, καὶ τὸ εὐδοκεῖν ἐν αὐτῇ, κατὰ τὸ « Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ. »

Κυρίλλου. — Ἐγὼ αὐτῷ τὴν πίστιν, καὶ αὐτὸς ἐμοὶ τὴν βασιλείαν· ποιμαίνει δὲ ἐν τῇ καθαρότητι τῶν Γραφῶν καὶ τῶν ἁγίων δογμάτων.

γ'. Καλὴ εἶ ἡ πλησίον μου, ὡς εὐδοκία· ὡραία, ὡς Ἱερουσαλήμ· θάμβος, ὡς τεταγμέναι.

Γρηγορίου. — (81) Ἀναθεῖσα ἑαυτὴν τῷ ἀδελφιδῷ, καὶ δεξαμένη τοῦ ἀγαπηθέντος τὸ κάλλος ἐν τῇ ἰδίᾳ μορφῇ, οἷον ἀξιοῦται παρ' αὐτοῦ; Τί δέ ἐστιν ὃ φησιν, ἐνδείκνυται ὁ λόγος τὸ διὰ τῆς κατορθουμένης ἀνόδου μέχρις ἐκείνου τὴν ψυχὴν ὑψωθῆναι, ὡς πρὸς τὰ τοῦ Δεσπότου θαύματα ἑαυτὴν ἀποκλῖναι. Εἰ γὰρ ὁ ἐν κόλποις τοῦ Πατρὸς ὑπὲρ τῆς ἡμῶν ἐνηνθρώπησεν εὐδοκίας, ἵνα γένηται ἐπὶ γῆς εἰρήνη, δηλονότι τὸ κάλλος ἑαυτῆς πρὸς τὴν εὐδοκίαν ὁμοιώσασα τὴν αὐτοῦ, Χριστὸν μιμουμένη τοῖς κατορθώμασι, γίνεται τοῖς ἄλλοις ὅπερ ὁ Χριστὸς τῇ ἀνθρώπων γέγονε φύσει. Καὶ λέγεται Ἱερουσαλὴμ πόλις τοῦ μεγάλου Θεοῦ εἰς οἴκησιν καὶ περίπατον· χωρήσασα τὸν ἀχώρητον, καὶ τῇ τοῦ ἐνοικοῦντος ὡραιότητι καλλωπιζομένη, καὶ πάντα εὐσχημόνως καὶ κατὰ τάξιν ποιοῦσα κατὰ μίμησιν τῶν ἄνω δυνάμεων, αἵ τινες ὑπὸ Θεοῦ εἰσι τεταγμέναι, μηδὲ μιᾶς κακίας ἀνατρεπούσης αὐτῶν τὴν εὐταξίαν· ὡς κοινῶν ἐφ' ἑαυτῆς τὸ θαῦμα καὶ τὴν ἔκπληξιν. Τοῦτο γὰρ ἑρμηνεύει τὸ θάμβος τοιοῦτον· οἷον ἐν ταῖς τεταγμέναις ἐστίν.

Ὠριγένους. — Ὅσον πλησίον γίνεται τοῦ Νυμφίου, κ. τ. λ. (82).

δ'. Ἀπόστρεψόν τοὺς ὀφθαλμούς σου ἀπεναντίον μου, ὅτι αὐτοί ἀνεπτέρωσάν με.

Γρηγορίου (83). — Τινὲς μὲν παρὰ τοῦ Δεσπότου πρὸς τὴν καθαρὰν ταῦτα εἰρῆσθαι ψυχὴν λέγουσιν, ἐγὼ παρὰ τῆς Νύμφης τοῦτο οἶμαι εἰρῆσθαι. Ἐπεὶ γὰρ ἀποῤῥήτως τῇ Γραφῇ πτέρυγας εἶναι περὶ τὴν θείαν εἴρηται φύσιν, κατὰ τὸ ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με· καὶ διεῖς τὰς πτέρυγας αὐτοῦ ἐδίξατο αὐτούς· ὁ δὲ ἄνθρωπος ἐγένετο κατ' εἰκόνα Θεοῦ καὶ ὁμοίωσιν· πτερωτὴν συμβαίνει λέγεσθαι καὶ τοῦ ἀνθρώπου τὴν φύσιν, ἐν ᾧ τὸ κατ' εἰκόνα ἐφυλάττετο. Ἀπεγύμνωσε δὲ αὐτὸν τῶν τοιούτων πτερῶν ἡ κακία δυνάμεώς τε, φημὶ, καὶ μακαριότητος, καὶ ἀφθαρσίας τούτων νοουμένων· ἀλλ' ἐπεφάνη ὁ Χριστὸς ἵνα δι' ὁσιότητος καὶ δικαιοσύνης αὖθις πτεροφυήσωμεν· ὁμοῦ τε γὰρ φιλανθρώποις ἡμᾶς οἶδεν ὀφθαλμοῖς ὁ Θεὸς, καὶ κατὰ τὴν ἀρχαίαν φύσιν ἀνεπτερώθημεν. Ὅταν οὖν οἱ ὀφθαλμοί σου ἐπ' ἐμὲ ἐπιβλέπωσιν, ἀποστρέφονται ἀπὸ τοῦ ἐναντίου· οὐ γὰρ ὄψονταί τι ἐν ἐμοὶ τῶν ἐναντιουμένων τῷ πτέρυγας περιστερᾶς ἀναλαβεῖν διὰ τῶν ἀρετῶν, καὶ πετασθῆναι καὶ καταπαῦσαι.

apparet, encomia ipsius recensens, sibique in ea complacere dicens, juxta illud : « Ego diligentes me diligo [3]. »

Cyrilli. — Ego illi fidem, et ipse mihi regnum : pascit autem in puritate Scripturarum et dogmatum sanctorum.

VERS. 3. *Pulchra es proxima mea, sicut beneplacitum, decora sicut Jerusalem ; pavor, ut ordinatæ acies.*

Quæ semetipsam fratrueli tradidit ac dilecti pulchritudinem in sua forma recepit, qualia consequitur ab illo? Quid autem est quod dicit : declarat hoc verbum nempe animam præclaro conscendendi conatu usque adeo in sublime evectam esse, ut jam ad ipsa Domini miracula enitatur. Nam si is qui est in sinu Patris, pro suo in nos beneplacito factus est homo, ut in terra pax oriretur, planum est illa quæ ad hoc beneplacitum præclaris operibus Christum imitando suam pulchritudinem conformavit, aliis id fieri quod Christus humanæ factus est naturæ. Et dicitur Jerusalem civitas magni Dei ad inhabitandum et inambulandum capiens enim qui capi non potest, et inhabitantis pulchritudine exornata et omnia decenter et secundum imitationem virtutum supernarum, quæ sub Deo sunt ordinatæ, nulla malitia pulchrum earum ordinem evertente, ita ut ad sui moveat admirationem ac stuporem. Hoc enim sibi vult illud pavor sive stupor qualis nimirum in virtutibus istis ordinatis exsistit.

Origenis. — Quanto proximior fit Sponso, etc.

VERS. 4. *Averte oculos tuos e regione mei, quia ipsi avolare fecerunt me.* Nonnulli quidem hæc a Domino ad puram animam dici aiunt ; ego vero existimo hoc a Sponsa dictum. Cum enim arcano sensu a Scriptura divinæ naturæ alæ tribuantur juxta illud : « In tegmine alarum tuarum proteges me [4]. » Et : « *Expandens alas suas suscepit eos* [5]. » Homo autem factus est ad imaginem Dei et similitudinem ; itaque alatam dicere convenit humanam naturam, in quo id quod secundum imaginem est servabatur. Nudavit autem ipsum malitia istiusmodi alis virtutisne dicam an beatitatis et incorruptionis, his ita intellectis ; sed apparuit Christus, ut per sanctitatem et justitiam iterum alis instrueremur ; nam simul etiam nos benignis oculis aspexit Deus, et juxta primævam naturam alati evasimus. Quando igitur oculi tui super me respiciunt, avertuntur a contrario. Non enim videbunt quidquam eorum in me quæ mihi adversantur, eo quod alas columbæ assumpserim per virtutes et evolem et requiescam.

[3] Prov. VIII, 17. [4] Psal. XVI, 8. [5] Deut. XXXII, 11.

NOTÆ.

(81) Anonymi sunt in C. B.
(82) *Patrol.* t. XVII, col. 276.
(83) Anonyma in C. B.

Digitized by Google

Ecclesia specie sua, etc.

Nili. — Magnam Sponsæ fiduciam ac libertatem declarat ex eo quod intrepide Sponsum intueatur. Si vero Verbum sit Sponsus, alas induit, et ita magis ascendit in altum contemplationis procedens, ubi reperit animam contemplationi deditam quæ ipsum intelligendo assequi possit, et ut sic dicam, sine verecundia ad res omnes contemplandas fixos oculos intendere. Cæterum sollicite hortatur ne semper istiusmodi fixum oculum habeamus, et aliquando ipsum avertamus et conniveamus, ne dum multis alis instruitur et fixe tuetur, ad conscensum non sufficiat, dumque supra vires quid attentat, ad reliqua etiam intelligenda fiat obtusior.

Philonis. — Id est custodiantur oculi qui vias meas avertunt : nam hoc in me tui excitat desiderium.

Cyrilli. — A non parentibus tibi averte oculos tuos et ad me illos inclina : nam illi, inquit, dilectionem tui excitaverunt.

Vers. 5. *Capillamentum tuum sicut greges caprarum quæ apparuerunt e Galaad. Dentes tui sicut greges tonsarum, quæ ascenderunt de lavacro omnes geminantes, et sterilis non est in eis.*

Soli corporis capilli sensus expertes sunt, quos mulieribus ornamento esse dixit Paulus, capiti decorem afferentes. Docet nimirum illos qui in capite Sponsæ esse intelliguntur per quos Ecclesiæ gloria accedit, habere sensus in potestate sua per sapientiam occultando sensum, juxta illud Proverbiorum : « Quoniam sapientes abscondunt sensum [6], » qui non ex aspectu de bono judicium faciunt, non gustatu bonum explorant, non odoratui, non tactui, non alterius sensus organo æstimationem boni permittunt : sed mortificatis, inquit, sensibus, per solum animum oblata menti bona amplectuntur et expetunt : atque hoc modo mulierem illam quæ est Ecclesia, gloria quadam exornant, non honoribus intumescentes, neque per abjectionem animi rebus tristibus in angustum coacti, sed in adversis casibus capillorum instar se sensus expertes declarantes. Capras autem adduxit in exemplum, vel quod a natura hirsutæ sint, vel quod hoc animal summa cacumina conscendens non impingat in petras, id quod apte quadrat in eos qui præclare asperam virtutis viam conficiunt ; vel quia hoc animal ad multa legalia sacrificia assumptum fuit, ad capitis encomium conducit. Sed et in Proverbiis inter quatuor illa quæ bene incedunt numeratus est hircus ducens caprarum gregem. Dicendum itaque quemadmodum aliquod vitæ institutum ab aliquo inventum per multos deinde propagatum,

[6] Prov. x, 14.

A *Ὡριγένους.* — Ἡ Ἐκκλησία τῇ ὡραιότητι, κ. τ. λ. (84).

Νείλου. — Πολλὴν τῆς Νύμφης παῤῥησίαν δηλοῖ, ἐκ τοῦ ἐνατενίζειν ἀδεῶς τῷ Νυμφίῳ (85). Εἰ δὲ ὁ Λόγος ἐστὶν ὁ Νυμφίος, ἀναπτεροῦται καὶ ἐπὶ πλεῖον οὗτος ἀναβαίνει πρὸς ὕψος θεωρίας χωρῶν, ὅταν εὕρῃ θεωρητικὴν ψυχήν, τῇ νοήσει παρακολουθῆσαι δυναμένην, ἵν' οὕτως εἶπω, ἀναιδῶς πᾶσιν ἐνατενίζειν τοῖς θεωρουμένοις. Ἀλλὰ παραινῶν κηδεμονικῶς, μὴ ἀτενὲς ἔχειν πάντοτε τὸ τοιοῦτον ὄμμα· καί ποτε δὲ ἀποστρέφειν αὐτὸ καὶ καμμύειν· ἵνα μὴ πολὺ πτερωθέντος τοῦ ἀτενιζομένου ἀτένισῃ πρὸς τὴν συνανάβασιν καὶ τῶν ὑπὲρ φύσιν ἐφιεμένη· καὶ πρὸς τὰ λοιπὰ νοήματα, ἀμβλυωπέστερα γένηται.

B

Φίλωνος. — Ἴγουν τὰς ἐμὰς ὁδοὺς οἱ μεταστραφέντες τηρείτωσαν ὀφθαλμοί· τὸν σὸν γάρ μοι τοῦτο πόθον ἐργάζεται.

Κυρίλλου. — Ἀπὸ τῶν ἀπειθούντων σοι τοὺς σοὺς ἀπόστρεψον ὀφθαλμοὺς, καὶ εἰς ἐμὲ κλῖνον· αὐτοὶ γὰρ, φησὶν, τὴν ἀγάπην ἐξήγειράν σε.

ε'. *Τρίχωμά σου ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀνέβησαν ἀπὸ τοῦ Γαλαάδ· ὀδόντες σου, ὡς ἀγέλαι τῶν κεκαρμένων αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ· αἳ πᾶσαι διδυμεύουσαι, καὶ ἄτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς.*

Γρηγορίου (86). — Μόναι τοῦ σώματός εἰσι τρίχες ἀμοιροῦσιν αἰσθήσεως· ἃς γυναιξὶν εἶναι κόσμον εἶπεν ὁ Παῦλος, ὡραΐζούσας τὴν κεφαλήν. Διδάσκει τοίνυν ὅτι χρὴ τοὺς περὶ τὴν κεφαλὴν τῆς Νύμφης θεωρουμένους, δι' ὧν ἡ Ἐκκλησία δοξάζεται, κρείττους τῶν αἰσθήσεων εἶναι· κρύπτοντας διὰ τῆς σοφίας τὴν αἴσθησιν κατὰ τὴν Παροιμίαν· « Ὅτι σοφοὶ κρύπτουσιν αἴσθησιν· » οἷς οὐχ ὅρασις τοῦ καλοῦ κριτήριον γίνεται, οὐ γεύσει τὸ ἀγαθὸν δοκιμάζεται, οὐκ ὀσφρήσει, οὐχ ἁφῇ· νεκρώσαντες γὰρ, φησὶ, τὰς αἰσθήσεις, ἐφάπτονται διὰ μόνης τῆς ψυχῆς τῶν κατ' ἔννοιαν ἀγαθῶν ὀρεγόμενοι· καὶ οὕτω δοξάζουσι γυναῖκα τὴν Ἐκκλησίαν, οὔτε τιμαῖς διογκούμενοι, οὔτε μικροψυχίαις πρὸς τὰ λυπηρὰ συστελλόμενοι, ἀλλ' ἐν τῇ πείρᾳ τῶν τριχῶν ἀναισθησίαν ὑποκρινόμενοι. Εἴληφε δὲ τὰς αἶγας εἰς παραβολὴν, ἢ διὰ τὸ φύσει δασὺ, ἢ ὅτι τῶν ἄκρων ἐπιβαίνον τὸ ζῶον, οὐ περιολισθαίνει ταῖς πέτραις· ὅπερ τοῖς τὴν τραχεῖαν τῶν ἀρετῶν ὁδὸν κατορθοῦσι, προσφυῶς ἁρμόζεται· ἢ διὰ τὸ πρὸς πολλὰ τῆς νομικῆς ἱερουργίας παρειλῆφθαι συντελεῖν πρὸς ἐγκώμιον τῇ κεφαλῇ· κἀν ταῖς Παροιμίαις δὲ ἐν τοῖς τέσσαρσι τοῖς εὐοδουμένοις, ὁ τράγος ἠρίθμηται, τοῦ αἰπολίου ἡγούμενος. Λεκτέον οὖν ὥσπερ εὑρεθὲν ἐπιτήδευμα, διὰ πολλῶν τῶν ἑφεξῆς διατρέχον, ἐπὶ τὸν εὑρετὴν ἀναφέρεται· ὡς ἐπὶ τὸν Θοβὲλ ἡ χαλκευτικὴ, καὶ ἡ ποιμαντικὴ ἐπὶ τὸν Ἄβελ, καὶ ἡ γεωργικὴ ἐπὶ τὸν Κάϊν, καὶ ἡ ἀμπελουργικὴ ἐπὶ τὸν Νῶε· οὕτως

NOTÆ.

(84) Hæc in C. B. anonymi sunt, C. V. ea Origeni vindicat, exstant *Patrol.* t. XCVII, col. 276, 277.

(85) Πολλὴν — τῷ νυμφίῳ anonyma sunt in C. B.

(86) Anonyma in C. B.

Digitized by Google

ἐπειδὴ τοῦ θείου ζήλου διαφερόντως Ἠλίας καθηγήσατο, ὅσοι μετ' ἐκεῖνον τοῖς ἑαυτοῦ ἴχνεσιν ἐπηκολούθησαν, τὸν ἐκείνου μιμησάμενοι βίον, αἱπόλιον γέγονασι τοῦ ἡγησαμένου τῆς τοιαύτης ζωῆς· οἵ τινες δόξα καὶ ἔπαινος τῆς Ἐκκλησίας γίνονται, εἰς τὸν τῶν τριχῶν καταγέντες κόσμον, ὃν ἡ αἰσθητικὴ ζωὴ κεχώρισταί τε καὶ ἠλλοτρίωται· διὰ δὲ τῶν αὐτῶν, καὶ τοὺς τρέφοντας τὸ σῶμα τῆς Ἐκκλησίας ὀδόντας ἐπαινεῖ, οὓς εἶναι βούλεται διὰ παντὸς, ὡς ἀπὸ λουτροῦ καθαροὺς, καὶ τὰς τρίχας ἔχειν ἀπερίττους ὡς ἀπὸ προσφάτου κουρᾶς· καὶ κατὰ τὸν τόκον τῶν ἀρετῶν διδυμεύοντας, τῆς διπλῆς καθαρότητος γίνεσθαι πατέρας· τῆς τε κατὰ ψυχὴν καὶ τῆς κατὰ σῶμα θεωρουμένης· καὶ μηδὲν ἔχει ἀγονοῦν ἐν τῷ κρείττονι.

A inventori primo acceptum refertur, ut ars ferraria Thobelo et pastoritia Abelo, agricultura Caino, vitium cultura Noemo. Ita cum in divino zelo excellenter quasi dux aliis præluxerit Elias, quicunque post illum vestigia ejus secuti sunt per vitæ imitationem veluti quidam grex caprarius illius facti sunt qui princeps talis vitæ auctor exstitit. Iidem laus et gloria fiunt Ecclesiæ, selecti ut capillorum sint ornamentum, cum sensuum vita locum in eis nullum habeat. Propterea quoque dentes laudat, qui scilicet Ecclesiæ corpus alunt. Hos vult semper tanquam a lavacro esse puros, et minime superfluos habere crines quasi recens tonsos, et virtutum interim fecunditate geminis fœtibus insignes et duplicis puritatis parentes fiant, tum quæ in animo tum quæ in corpore conspiciatur: et nihil habeant sterile in boni fetificatione.

Ὠριγένους. — Εἴρηται, δεύτερον ταῦτα τῇ Νύμφῃ, κ. τ. λ. (87).

B *Origenis.* — Secundo hæc dicta sunt ipsi Sponsæ, etc.

ς'. *Ὡς σπαρτίον κόκκινον χείλη σου· καὶ ἡ λαλιά σου ὡραία· ὡς λέπυρον τῆς ῥόας, μῆλόν σου· ἐκτὸς τῆς σιωπήσεώς σου.*

Γρηγορίου (88). — Μέτρου ὄνομα τὸ σπαρτίον· τὴν μὲν οὖν μεμετρημένην τοῦ λόγου διακονίαν δηλοῖ, ἣν ὁ ψαλμῳδὸς φυλακὴν καὶ θύραν περιοχῆς ὠνόμασε· τότε δὲ μάλιστα τυγχάνει τοῦ μέτρου ὁ λόγος, ὅταν τῷ τοῦ Σωτῆρος περικέχρηται αἵματι· ὁ τοίνυν λαλοῦντα ἔχων ἐν ἑαυτῷ τὸν Χριστὸν, αὐτὸς ἔχει τὸ σχοινίον ἐπὶ τοῦ σώματος τὸ γεωμετρικὸν, τῷ τοῦ λυτρωτοῦ καλλωπιζόμενον αἵματι· λαλιὰν δὲ ὡραίαν ὀνομάζει τὸ σπαρτίον τὸ κόκκινον, δι' οὗ πάλιν σημαίνει τὸ καθαρὸν καὶ ἔμμετρον· τὸ γὰρ ἀκριβῶς ὡραῖον ἐν τῷ ἰδίῳ καιρῷ τῆς ἀκμῆς προσφερόμενον, οὔτε ἄωρόν ἐστιν, οὔτε ἐξέωρον· τῷ δὲ λεπύρῳ τῆς ῥόας τὸ μῆλον τῆς παρειᾶς ὡραΐζων, μεγάλην τινὰ προσμαρτυρεῖ τῇ Νύμφῃ τὴν ἐν τοῖς ἀγαθοῖς τελειότητα· σημαίνει γὰρ μὴ ἐν ἄλλῳ τινὶ τὸν θησαυρὸν αὐτῇ παρασκευάσθαι, ἀλλ' αὐτὴν εἶναι θησαυρὸν ἑαυτῆς, παντὸς ἀγαθοῦ παρασκευὴν ἐν ἑαυτῇ περιέχουσαν. Ὡς γὰρ τῷ λεπύρῳ περιέχεται τῆς ῥόας τὸ ἐδώδιμον, οὕτως ἐνδείκνυται τῷ φαινομένῳ κάλλει τοῦ βίου, τὸν ἔνδον αὐτῆς θησαυρὸν περιέχεσθαι. Οὗτος οὖν ἐστιν ὁ κρυπτὸς θησαυρὸς τῶν ἐλπίδων, ὁ ἴδιος καρπὸς τῆς ψυχῆς, τῷ ἐναρέτῳ βίῳ καθάπερ τινὶ ῥόας λεπύρῳ κρατούμενος· τὸ δὲ *ἐκτὸς τῆς σιωπήσεώς σου* τοιοῦτόν ἐστιν, ὅτι ὁ ἔπαινος οὐκ ἐκτῶν φαινομένων τοσοῦτόν ἐστι ὅσα τῷ λόγῳ μηνύεται, ἀλλὰ μᾶλλον ὅσα τῇ σιωπῇ ἀποκρύπτεται, τὴν τοῦ λόγου διαφεύγοντα μήνυσιν· ὥσπερ γὰρ τὸ ἐκτὸς τοῦ λόγου σιωπὴ νοεῖται, οὕτω καὶ τὸ ἐκτὸς σιωπήσεως, τὸν λόγον νοήσεις. Ἐκεῖνο γὰρ σιωπῶμεν ὃ διὰ τῶν λόγων ἐξαγγέλειν ἀδυνατοῦμεν· φησὶν οὖν ὅτι καλὰ μὲν καὶ μεγάλα τῷ λόγῳ φανῆναι δυνάμενα ἐκτός ἐστι τῆς σιωπήσεως· τὰ δὲ τοῦ λόγου ἐκτὸς τὰ τῇ σιωπῇ καλυπτόμενα, τὰ ἄῤῥητά τε καὶ ἀνεκφώνητα, μείζω πάντως καὶ θαυμασιώτερα τῶν ἐκφαινομένων ἐστίν.

Vers. 6. *Sicut funiculus coccineus labia tua, et eloquium tuum decorum: sicut cortex mali punici gena tua, extra taciturnitatem tuam.*

Funiculus mensuræ nomen est: itaque mensura quadam circumscriptam sermonis usurpationem designat: quam Psalmista[7] custodiam et ostium circumstantiæ nominavit. Tunc autem potissimum sermo mensura circumscribitur quando tingitur sanguine Servatoris. Qui igitur habet Christum in se loquentem, is etiam funiculum illum geometricum habet in ore Salvatoris sanguine decoratum. Eloquium porro decorum nominat funiculum coccineum. Nam quod vere elegans nunquam indecorum est, cum vero deinde per mali punici corticem genas ornat, insignem quamdam in bonis perfectionem Sponsæ tribuit. Significat enim non in alio quopiam ipsi situm esse thesaurum ipsius, sed ipsam sui ipsius thesaurum esse, quippe quæ omnis boni apparatum in se contineat. Nam ut cortice continetur id quod in malo punico esculentum est; sic etiam demonstrat contineri thesaurum ejus interiorem pulchritudine illa vitæ quæ sub aspectum cadit. Hic igitur est occultus ille spei thesaurus proprius animæ fructus, qui vita virtuti consentanea quasi quodam mali punici cortice continetur: quod autem additur. *Extra taciturnitatem tuam* est ejusmodi: scilicet laudem hanc non tam ex apparentibus quæ sermone indicantur æstimandam quam ex iis quæcunque silentio teguntur ut verbis indicari nequeunt. Sicut enim id quod extra sermonem est, silentium intelligitur, sic id quod est extra taciturnitatem, sermonem intelliges. Nam id reticemus, quod verbis enuntiare non possumus. Ait igitur præclara quidem et magna quæ indicari oratione possint, esse extra silentium. Quæ vero extra sermonem silentio tecta et ineffabilia sunt omnibus modis majora et admirabiliora esse iis quæ oratione proferantur.

[7] Psal. CXL, 3.

NOTÆ.

(87) *Patrol.* t. XVII, col. 277.

(88) Anonyma in C. B.

Digitized by Google

VERS. 7,8. *Sexaginta sunt reginæ et octoginta concubinæ et adolescentulæ quarum non est numerus. Una est columba mea, perfecta mea, una est matri suæ; electa est ei quæ peperit ipsam. Viderunt eam filiæ et beatificabunt eam reginæ et concubinæ, et laudabunt eam.*

Dogma quoddam cultioris philosophiæ in hisce verbis per laudes Sponsæ proponitur, nempe non eadem ratione atque ordine ea quæ sunt creari ac recreari. Nam cum a principio per divinam virtutem producta est creatura, in re qualibet una cum principio absque mora finis etiam perfectioque rei conjungebatur, quando universa de nihilo producta simul cum principio perfectionem etiam suam consequebantur. Est autem humana quoque natura in prima sui exstantia perfectioni conformata. Ad imaginem enim Dei et similitudinem factus est homo, quibus verbis id quod summum et perfectissimum est significatur. Quid enim Dei similitudine perfectius? Itaque in prima creatione sine ullo temporis intervallo una cum principio finis etiam apparuit, et a perfectione cœpit naturam suum esse. Postquam autem, propter vitiositatem, morti tradita fuit, non derepente iterum recuperat perfectionem, sed via quadam et ordine ad majus progreditur, dum paulatim affectionem ad contraria proclivem exstinguit, per honestius vitæ institutum, cognatam circumradens pravitatem. Unde multas etiam mansiones apud Patrem illum esse accepimus, dum pro ratione propensionis ad bonum, et abscessus a malo, cuique merces parata est. Alius enim est adhuc in primo melioris vitæ initio, ut qui recens a fundo vitæ vitiosæ ad veritatis fruitionem emerserit : alius studioso conatu jam boni quadam accessione et incremento auctus est; alius quasi medium iter conscensionis ad illa sublimia confecit : alius etiam medium hoc cursu præteriit. Nonnulli et hos superarunt, quos rursus alii sunt prætergressi. Contendentibus item aliis supra hos quoque ad celsiora. Denique Deus omnino pro varietate industriæ singulorum suo quemlibet ordine recipit, cuique vices retribuens. Hanc propositis in verbis philosophiam tradi existimamus, quæ discrimen animarum Sponsum intuentium in jam dictis designet. Illi enim qui non ita pridem velut ex alvo quodam in imo siti erroris prodierunt, et quasi recens nati necdum sermonis articulati capaces sunt, propter dilatationem fidei non satis a ratione confirmatam numero cernuntur infinito : qui salutarem quidem sermonem mysterii sacri esse crediderunt, non tamen per scientiam quamdam et certitudinem ab ipso sermone, quasi solido nixam fundamento veritatem in se habent. Atque hæ sunt illæ nominatæ adolescentulæ, quod

ζ', η'. *Ἑξήκοντά εἰσι βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαὶ, καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός. Μία ἐστὶ περιστερά μου τελεία μου· μία ἐστὶ τῇ μητρὶ αὐτῆς· ἐκλεκτή ἐστι τῇ τεκούσῃ αὐτήν· εἶδοσαν αὐτὴν θυγατέρες, καὶ μακαριοῦσι· βασίλισσαι καὶ παλλακαὶ, καὶ αἰνέσουσιν αὐτήν.*

Γρηγορίου (89). — Δόγμα ἐστὶ τῶν ἀστειοτέρων ἐν τοῖς ῥητοῖς τούτοις, φιλοσοφίαν διὰ τῶν ἐπαίνων τῆς Νύμφης παρατίθεται· ὅτι οὐ μετὰ τῆς αὐτῆς τάξεως καὶ ἀκολουθίας κτίζεται τὰ ὄντα καὶ ἀνακτίζεται. Ὅτε μὲν γὰρ κατ' ἀρχὰς διὰ τῆς θείας δυνάμεως παρήχθη ἡ κτίσις, ἐφ' ἑκάστου τῶν ὄντων ἀδιαστάτως τῇ ἀρχῇ συναπηρτίσθη τὸ πέρας· πᾶσι τοῖς ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγενομένοις, ὁμοῦ τῇ ἀρχῇ συνανισχούσης τῆς τελειότητος· ἐν δὲ τῶν κτισθέντων καὶ ἀνθρωπίνη φύσις ἀπὸ τῆς πρώτης ὑπάρξεως συμπλασθεῖσα τῇ τελειότητι. Κατ' εἰκόνα γὰρ Θεοῦ ἐγένετο ὁ ἄνθρωπος καὶ ὁμοίωσιν· δεικνύντος τοῦ λόγου τὸ ἀκρότατον καὶ τελειότατον· τί γὰρ ὑπέρτερον τῆς πρὸς Θεὸν ὁμοιότητος; ἐπὶ μὲν οὖν τῆς πρώτης κτίσεως ἀδιαστάτως τῇ ἀρχῇ συνανεφάνη τὸ πέρας, καὶ ἀπὸ τῆς τελειότητος ἡ φύσις τοῦ εἶναι ἤρξατο, ἐπεὶ δὲ διὰ κακίας θανάτῳ παρεδόθη, οὐκ ἀθρόαν πάλιν ἐπαναλαμβάνει τὴν τελειότητα, ἀλλ' ὁδῷ τινὶ καὶ τάξει πρόεισιν ἐπὶ τὸ μεῖζον, κατ' ὀλίγον ἀποσκευαζομένη τὴν πρὸς τὰ ἐναντία προσπάθειαν, δι' ἀστειοτέρας διαγωγῆς περιξυομένη τὴν συμφυΐαν τοῦ χείρονος· ὅθεν καὶ πολλὰς μονὰς εἶναι παρὰ τῷ Πατρὶ μεμαθήκαμεν, κατὰ ἀναλογίαν τῆς ἑκάστῳ πρὸς τὸ καλὸν σχέσεως καὶ τῆς τοῦ χείρονος ἀποστάσεως, ἑτοιμαζομένης πᾶσι τῆς ἀντιδόσεως. Ὁ μὲν γάρ τις ἐν ἀρχῇ τῆς τοῦ βελτίονός ἐστι βιώσεως· ἄρτι καθάπερ ἐκ βυθοῦ τινος τοῦ κατὰ κακίαν βίου, πρὸς τὴν μετουσίαν τῆς ἀληθείας ἀνανηξάμενος· τῷ δέ τις γέγονεν ἤδη δι' ἐπιμελείας καὶ προσθήκη τοῦ κρείττονος· ἄλλος ἐπὶ πλεῖον διὰ τῆς ἐπιθυμίας τῶν ἀγαθῶν ἐπηυξήθη· ὁ δὲ μέσως ἔχει τῆς τῶν ὑψηλῶν ἀναβάσεως· ἕτερος καὶ τὸ μήπου παρέδραμεν. Εἰσὶ δέ τινες οἱ καὶ τούτων ὑπεράραντες· ἄλλοι κἀκείνους παρῆλασαν· καὶ ὑπὲρ τούτους ἕτεροι πρὸς τὸν ἄνω δρόμον συντείνονται· καὶ ὅλως κατὰ τὴν ποικίλην τῶν προαιρέσεων διαφορὰν ἕκαστον ὁ Θεὸς ἐν τῷ ἰδίῳ προσδέχεται τάγματι, τὰς οἰκείας ἑκάστῳ ἀμοιβὰς ἀποδιδούς. Ταῦτα διὰ τῶν προκειμένων ῥητῶν φιλοσοφεῖν τὸν λόγον ὑπενοήσαμεν, τὴν διαφορὰν τῶν ψυχῶν, οἳ πρὸς τὸν Νυμφίον ὁρῶσιν, ἐν τοῖς εἰρημένοις ἡμῖν διαστείλαντα· οἱ μὲν γὰρ ἄρτι καθάπερ νηδύος τινὸς, τῆς ἐν βάθει κειμένης ἀπάτης ἔξω γινόμενοι, ἀρτιγενεῖς ὄντες, καὶ οὕπω διηρθρωμένον τὸν λόγον ἐν ἑαυτοῖς χωρήσαντα, τῇ ἀλογωτέρᾳ συγκαταθέσει τῆς πίστεως ἐν ἀπείρῳ θεωροῦντες πλήθει· σωτήριον μὲν εἶναι πεπιστευκότες τοῦ μυστηρίου τὸν λόγον· οὐ μὴν ἐπιστήμῃ τινὶ καὶ τῇ διὰ τοῦ λόγου πληροφορίᾳ

NOTÆ.

(89) Anonyma in C. B.

Digitized by Google

κάθυδρημένην ἔχοντες ἐν ἑαυτοῖς τὴν ἀλήθειαν. Αὗται εἰσιν αἱ ὀνομασθεῖσαι νεάνιδες, διὰ τὸ ἔτι νέαν ἄγειν τὴν πνευματικὴν ἡλικίαν· αἱ γεννηθεῖσαι μὲν τῷ λόγῳ τῆς πίστεως, οὔπω δὲ διὰ τῆς προσηκούσης αὐξήσεως τοιαῦται γεγόνασιν ὡς ἐπὶ γάμον ἀκμὴν προελθεῖν, καὶ φθᾶσαι εἰς ἄνδρα τέλειον, εἰς μέτρον γαμικῆς ἡλικίας, ὥστε τῷ φόβῳ τοῦ Κυρίου δύνασθαι κυοφορῆσαι, καὶ Πνεῦμα σωτηρίας παιδοποιήσασθαι. Πλὴν καὶ οὗτοι τῶν σωζομένων· τῶν δὲ διὰ τῆς καθηκούσης ἐπιμελείας αὐξηθέντων τῇ διανοίᾳ, καὶ καταλελοιπότων ἤδη τὴν νηπιότητα, διπλῆν ὑπὸ τοῦ Λόγου τὴν διαφορὰν διδασκόμεθα. Γίνονται μὲν γὰρ αἱ ψυχαὶ σύσσωμοι τῷ Λόγῳ, καὶ αὗται κἀκεῖναι· ἀλλ' αἱ μὲν ἐρωτικαί, τινὶ διαθέσει προσκολλῶνται· αἵ τινες διὰ τῆς τελειοτέρας διαθέσεως ἀνακραθεῖσαι τῇ τοῦ Θεοῦ καθαρότητι, βασίλισσαι ὀνομάζονται, διὰ τὴν τῆς βασιλείας κοινωνίαν· οἵα ἦν ἡ τοῦ Δαβὶδ λέγουσα· « Ἐμοὶ δὲ τῷ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι· » καὶ ἡ τοῦ Παύλου· « Οὐδείς ἡμᾶς χωρήσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ. » Αἱ δὲ φόβῳ κολάσεως τὰς μοιχικὰς ἀποφεύγουσαι πείρας, μένουσαι καὶ αὗται ἐν ἀφθαρσίᾳ καὶ ἁγιασμῷ, ἀλλὰ φόβῳ μᾶλλον ἢ πόθῳ παιδαγωγούμεναι, αἵ τινες παλλακαὶ ἀπὸ τοῦ λόγου κατονομάζονται· οὔπω γάρ τις αὐτῶν μήτηρ βασιλέως, καὶ κοινωνὸς τῆς ἀξίας δυνατῶς ἔχει· διὰ τὸ μὴ ἀναλαβέσθαι τὸ ἀδέσποτον καὶ αὐτοκρατὲς τοῦ ἐναρέτου φρονήματος· ἡ δὲ κατὰ τὸν ἀριθμὸν διαφορὰ τῆς τῶν δύο ταγμάτων διαστολῆς, τοιοῦτόν μοι δοκεῖ νοῦν ἔχειν.

Γρηγορίου. — Ἓξ εἰσιν ἐντολαὶ δι' ὧν ἡ βασιλεία τοῖς δεξιοῖς ὀνομάζεται. Λογισώμεθα τούτων ἑκάστην, τὸ δεσποτικὸν εἶναι τάλαντον· προσήκει δεκαπλασιασθῆναι παρὰ τοῦ πιστοῦ οἰκέτου παρὰ τῆς ἐργασίας. Εἰ τοίνυν διὰ τῶν ἓξ τούτων ἐντολῶν, ἡ τῆς βασιλείας γίνεται κοινωνία τῇ ψυχῇ· τὸ δὲ τέλειον τῆς ἐργασίας ἐφ' ἑκάστης ἐστὶ, τὸ δεκαπλασιάσαι τὴν ἐντολήν, καθὼς φησιν ὁ ἀγαθὸς δοῦλος ἐκεῖνος, ὅτι ἔδωκάς μοι δέκα τάλαντα τὸ ἓν σου τάλαντον ἐποίησεν, εὑρίσκομεν ἐκ τοῦ ἀκολούθου τὴν μίαν βασίλισσαν εἰς ἑξήκοντα πλατυνομένην· τὴν διὰ τοῦ δεκαπλασιασμοῦ τῶν ἑξήκοντα ἐντολῶν εἰς κοινωνίαν τῆς βασιλείας παραδεχθεῖσαν· ὡς πολλὰς εἶναι τὴν μίαν, τῷ πολυτρόπῳ χαρακτῆρι τῶν ἐντολῶν ἐμμερισθεῖσαν, καὶ ἑκάστῳ τῶν κατορθωμάτων ἰδιαζόντως ἐμμορφωθεῖσαν· ἀκολούθως καὶ διὰ τῶν ὀγδοήκοντα, τὸ τῆς ὀγδόης μυστήριον παραδηλοῦσθαι φαμεν· πρὸς ἣν βλέποντες οἱ φόβῳ παιδαγωγούμενοι, τῆς τῶν κακῶν κοινωνίας ἀπείργονται. Οὕτω γὰρ ἐν ταῖς ψαλμῳδίαις ἐμάθομεν, ἐν αἷς προτέτακται διὰ τῆς ἐπιγραφῆς ἡ ὀγδόη. Μαστιγουμένων γὰρ ἄντικρυς αἱ φωναὶ τῷ φόβῳ τῶν ἐλπιζομένων εἰς ἔλαιον ἐπικάμπτουσαι τὴν ἀκοήν· φησὶ γὰρ πρὸς τὸν κριτὴν ὁ πρὸς τὴν ὀγδόην βλέπων· « Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με· ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι· » Ἔστι τοίνυν καὶ ἐπὶ τοῦτο ἀναλόγως τῆς ἐντολῆς, ἡ

A primam adhuc ætatem spiritualem agant, quæ per fidei quidem sermonem genitæ sed necdum conveniente incremento ejusmodi factæ sunt, ut ætatem nuptiis maturam attigerint, et ex Dei metu ferre uterum possint et spiritum salutis gignere. Verumtamen et hi sunt de numero salvandorum juxta illud : « Homines et jumenta salvabis, Domine [8], » jumenta vocans eorum qui servantur partem propius nonnihil accedentem ad bruta. Cæterum illorum, in quibus conveniente studio mens aucta est, quique infantiam reliquerunt, duplex hic discrimen discimus. Etenim animæ quidem illæ concorporantur Verbo, tam hæ quam illæ : verum aliquæ quidem per amatoriam quamdam affectionem cum eo conglutinantur, quæ propter perfectio-
B rem illam affectionem Dei puritate attemperatæ, ob regni societatem reginæ nominantur : qualis erat Davidis anima dicens : « Mihi autem adhærere Deo bonum est [9]; » et Pauli : « Nemo nos separabit a charitate Christi [10]. » Aliæ autem supplicii metu adulterii tentationes vitant, quæ et ipsæ manent in incorruptione ac sanctificatione ; sed metu magis quam desiderio adductæ, concubinæ in hoc sermone nominantur ; neque enim illarum ulla mater regis ac dignitatis particeps fieri potest, quia necdum hoc consecuta est, ut nullius dominio subjecta sit. Neque virtute præditi sensus, tenent principatum. Hæc autem secundum numerum differentia distinctionis ordinum duorum talem mihi videtur habere sensum :

C Sex omnino sunt præcepta per quæ regnum paratur iis qui ad dexteram collocantur. Statuamus apud animam quodlibet horum esse talentum illud herile, quod negotiando effici a bono ac fideli servo decuplo amplius convenit. Si ergo per hæc sex præcepta regni anima fit particeps, et in quolibet horum quæstus ac negotiatio perfecta est, mandatum ipsum quasi decuplicare, quemadmodum bonus ille servus ait, unum heri sui habentem decem aliorum talentorum lucrum acquisivisse ; consentanea ratione quadam reperimus, in sexaginta reginas unam illam excrescere, per decuplationem sex mandatorum in regni societatem venerit ; ita ut multæ sint, una illa per multiplicem mandatorum
D characterem divisa et in quolibet opere præclaro peculiariter velut expressa. Consimiliter etiam per octoginta mysterium octavæ dicimus declarari, ad quam respicientes illi qui metu ducti, a malorum societate arcentur. Hoc enim in psalmis animadvertimus, quibus præfigitur in inscriptione vox *octava*. Voces autem ipsæ sunt prorsus eorum qui metu futurorum malorum quasi flagellantur ad commiserationem aures flectunt. Ait enim ad judicem is qui ad octavam respicit : « Domine, ne in furore tuo arguas me, neque in ira tua corripias me. Miserere mei, Domine, quoniam infirmus sum [11]. » Erunt igitur etiam in his pro ratione præcepti de-

[8] Psal. xxxv, 7. [9] Psal. lxxii, 28. [10] Rom. viii, 39. [11] Psal. vi, 2, 3.

Digitized by Google

cuplo incremento aucti octoginta concubinæ, quæ secundum a regina ordinem obtinent, quod metu servili et non amore sponsali ad bonum accedant. Verumtamen si dilectio plane tandem metum ejiciat, mutatusque metus dilectio fiat : tum demum unitas reperitur id quod salutem consequitur, omnibus inter se unitis in conglutinatione cum uno soloque bono, per illam quæ in columba est perfectionem, ut sicut in Evangelio ait : « Unum sint, sicut nos unum sumus [11]. » Hujus autem unitatis nexus est Spiritus sanctus. Quamobrem is qui de puero in virum perfectum augescendo evasit, ad mensuram ætatis spiritualis pervenit, e mancipio, et concubina regiæ dignitatis particeps effectus. Denique capax gloriæ Spiritus sancti factus per impassibilitatem ac puritatem, hic est perfecta columba. Hujus porro matrem dicit columbam illam quæ de cœlo ad Jordanem devolavit. Nam in filio genitoris omnino natura conspicitur. Hanc igitur animam felicem prædicant adolescentulæ, hanc concubinæ, hanc reginæ laudant. Etenim communis animalibus omnibus ad beatitudinem talem cursus propositus est. Omnes autem hi a natura comparati sunt, ut cupiditate animi ad id quod beatum est atque laudabile contendant. Quamobrem si columbam hanc filiæ beatam prædicant, omnino et ipsæ fieri columbæ cupiunt. Itidem quod a concubinis et reginis columba laudatur, argumento est has quoque studiosas illius esse quod prædicatur, donec tandem iis omnibus unum factis, qui ad eamdem desiderii metam respiciunt et nulla in ullo vitiositate superante, omnia Deus in omnibus fiat, quotquot per unitatem inter se in boni societate coalescunt.

Nili. — Sexaginta reginas forte dicit eos qui in Judaismo sunt. Erant enim aliquando regnum et sacerdotum et gens sancta : octoginta vero pellices illas hæreses quæ quidem per mysterium resurrectionis octavæ denario annumerantur, sed minime legitimum cum illo conjugium habeant quod sensu spirituali per concubinas significantur. Adolescentulas porro vocat gentes a Deo alienas et a lege Spiritus extraneas quas ne numero quidem dignas censuit ; non enim propter multitudinem, is qui stellarum multitudinem annumerat, ipsas non numeravit, sed quod non dignæ essent numero. Illa namque numero digna censet quæ ordinem eximium et fide dignum obtinent. Unam autem columbam vocat Ecclesiam, quæ cum dormiverit inter medios cleros, columba facta est perfecta. Quæ alas habeat deargentatas, et posteriora dorsi in pallore auri, propter perfectionem habitus virtutis, perfecto Patri qui in cœlis est assimilatam, et electam existentem matri suæ sapientiæ, quæ ipsam genuit in doctrinis veritatis, quam nunc quidem viderunt filiæ reginæ et concubinæ ; sed non intel-

[11] Joan. XVII, 22.

A ἐπὶ τὸ δεκαπλάσιον αὔξησις, γενόμεναι ὀγδοήκοντα παλλακαί, τὴν δευτέραν τάξιν ἔχουσαι μετὰ τὴν βασίλισσαν· αἱ φόβῳ δουλικῷ καὶ οὐχὶ ἔρωτι νυμφικῷ τῷ ἀγαθῷ προσεγγίζουσι. Πλὴν εἰ ἔξω βάλλει τελείως ἡ ἀγάπη τὸν φόβον, καὶ μεταποιηθεὶς ὁ φόβος ἀγάπη γένοιτο, τότε εὑρίσκεται μονὰς τὸ σωζόμενον, ἐν τῇ πρὸς τὸν μόνον ἀγαθὸν συμφυΐᾳ· πάντων ἀλλήλοις ἑνωθέντων, διὰ τῆς κατὰ τὴν περιστερὰν τελειότητος· ἵνα καθὼς φησιν ἐν Εὐαγγελίοις· « Ἕν ὦσι, καθὼς ἡμεῖς ἕν ἐσμεν· » τὸ δὲ συνδετικὸν τῆς ἑνώτητος ταύτης τὸ Πνεῦμα τὸ ἅγιον· ὁ τοίνυν ἐκ μὲν νηπίου εἰς ἄνδρα τέλειον ἀναδραμὼν διὰ τῆς αὐξήσεως, καὶ φθάσας εἰς τὸ μέτρον τῆς νοητῆς ἡλικίας, ἐκ δὲ τῆς δούλης τε καὶ παλλακίδος τὴν τῆς βασιλικῆς ἀξίαν μεταλαβὼν, δεκτικὸς δὲ τῆς τοῦ Πνεύματος δόξης B γενόμενος δι' εὐπαθείας καὶ καθαρότητος, οὗτός ἐστιν ἡ τελεία περιστερά. Μητέρα δὲ αὐτοῦ λέγει εἶναι τὴν περιστερὰν ἐκείνην, τὴν ἐπὶ τῷ Ἰορδάνῃ ἐκ τοῦ οὐρανοῦ καταπτᾶσαν· τῷ γὰρ τέκνῳ πάντως, ἡ τοῦ γεγεννηκότος ἐπιθεωρεῖται φύσις· ταύτην τὴν ψυχὴν μακαριοῦσιν αἱ νεάνιδες· ταύτην αἰνοῦσι παλλακαὶ καὶ βασίλισσαι· κοινὸς γὰρ ἐπὶ παντὸς τάγματος πάσαις ψυχαῖς ὁ δρόμος, πρὸς τὴν τοιαύτην μακαριότητα· φύσις δέ ἐστι πᾶσι πρὸς τὸ μακάριόν τε καὶ ἐπαινουμένοις τῆς ἐπιθυμίας συντείνεσθαι· ὥστε εἰ μακαρίζουσι τὴν περιστερὰν αἱ θυγατέρες, ἐπιθυμοῦσι πάντως γενέσθαι περιστεραὶ καὶ αὗται· καὶ τὸ αἰνεῖσθαι παρὰ τῶν παλλακίδων καὶ βασιλίδων, τεκμήριόν ἐστι τοῦ καὶ αὐτὰς πρὸς τὸν ἐπαινούμενον τὴν σπουδὴν ἔχειν· ἕως ἂν πάντων ἐν γενομένων τῶν πρὸς τὸν αὐτὸν τῆς ἐπιθυμίας βλεπόντων C σκοπόν, μηδὲ μιᾶς ἐν μηδενὶ κακίας ὑπολειφθείσης, γένηται ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι τοῖς διὰ τῆς ἑνότητος ἐν τῇ τοῦ ἀγαθοῦ κοινωνίᾳ συγκεκραμένοις.

Νείλου. — Ἑξήκοντα βασίλισσαι, τάχα τοὺς ἐν τῷ Ἰουδαϊσμῷ λέγει. Βασίλειον γὰρ ἦσάν ποτε ἱεράτευμα καὶ ἔθνος ἅγιον· ὀγδοήκοντα δὲ παλλακὰς, τὰς διὰ μὲν τὸ τῆς ἀναστάσεως μυστήριον τῇ ὀγδόῃ δεκάδι ἀριθμουμένας· διὰ δὲ τὸ μὴ γνησίαν τὴν πρὸς αὐτὸν ἔχειν συζυγίαν, τῷ τῶν παλλακίδων ὀνόματι σημαινομένας αἱρέσεις. Νεάνιδας δὲ, ἃς οὔτε ἀριθμοῦ ἠξίωσε, τὰ ἔθνη τὰ ἀπηλλοτριωμένα τοῦ Θεοῦ, καὶ ξένα τῶν διαθηκῶν τοῦ πατρός· οὐ γὰρ διὰ πλῆθος D αὐτὰς ὁ τὸ πλῆθος τῶν ἄστρων ἀριθμῶν οὐκ ἠρίθμησεν, ἀλλὰ διὰ τὸ ἀνάξιον τοῦ ἀριθμοῦ. Ταῦτα γὰρ ἀξιοῖ ἀριθμεῖν, ὅσα τὴν τάξιν ἐλλόγιμον ἔχει καὶ ἀξιόπιστον· μίαν δὲ περιστερὰν λέγει τὴν Ἐκκλησίαν, ἥ τις διὰ τὸ κεκοιμῆσθαι ἀνὰ μέσων τῶν κλήρων, περιστερὰ γέγονε τελεία, τὰς πτέρυγας ἔχουσα περιηργυρωμένας, καὶ τὰ μεταφρενα ἐν χλωρότητι χρυσίου· διὰ τὸ τέλειον τῆς κατ' ἀρετὴν ἕξεως ὁμοιωθεῖσα τῷ ἐν οὐρανοῖς τελείῳ Πατρὶ, καὶ ἐκλεκτὴν οὖσαν τῇ μητρὶ αὐτῆς, τῇ ἐν τοῖς τῆς ἀληθείας δόγμασιν αὐτὴν τεκούσῃ σοφίᾳ ἣν νῦν μὲν εἶδοσαν θυγατέρες βασίλισσαι καὶ παλλακαὶ, οὐκ ἐνόησαν δὲ, οὐδὲ συνῆκαν τὸ περὶ αὐτὴν οἰκονομηθὲν μυστήριον· αἱ

Digitized by Google

νέσουσι δὲ ἐν τῷ καιρῷ τῆς ἀνταποδόσεως· ἐξιωμένην τὴν πρὸς τὸν Χριστὸν συνάφειαν. Τὸ μὲν γὰρ, ἐπὶ τοῦ παρελθόντος· τὸ δὲ *μακαριοῦσι* καὶ *αἰνέσουσι* ἐπὶ τοῦ μέλλοντος.

A lexerunt neque cognoverunt mysterium quod circa ipsam dispensatum fuit. In tempore autem remunerationis laudabunt eam quod Christi conjunctione intima digna sit habita. Illud quidem ad præteritum, hoc vero quod ait *beatificabunt* et *laudabunt* ad futurum refertur.

Φίλωνος. —Ἢ ἑξήκοντα βασίλισσαι, τὰς ἐκ τῶν δώδεκα φυλῶν ταῖς πέντε καθαρευούσαις αἰσθήσεσι ψυχάς. Περιστερὰ δὲ ἡ ἄκακος Ἐκκλησία Χριστοῦ· τῇ δὲ μητρὶ αὐτῆς ἐστι μία τῇ ἐπ' οὐρανίῳ σοφίᾳ, τῇ σαρκὶ Χριστοῦ ἐκλεκτῇ οὔσῃ, ἐν τῷ ἀναγεννᾶσθαι αὐτήν· ἣν αἱ θυγατέρες μακαριοῦσι· « Πολλοὶ γὰρ προφῆται καὶ βασιλεῖς ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον. »

Philonis. — Vel etiam sexaginta reginas intelligit a duodecim tribubus animas quinque sensibus purificatas. Columba vero pura Christi Ecclesia quæ est unica matri suæ cœlesti sapientiæ, carni Christi electæ exsistenti in ejus regeneratione, quam filiæ beatificabunt. « Multi enim prophetæ et reges voluerunt videre quæ videtis, et non viderunt [12]. »

Ἀπολιναρίου.— Καὶ ἄλλως· τὸ τελειότατον αὐτῆς ἐν τῇ πρὸς Θεὸν οἰκειώσει δηλοῦται, παραβαλλομένης τῆς τελείας Ἐκκλησίας τοῖς τε ἐκ τῆς προτέρας κλήσεως ἐπιφανεστάτοις, καὶ τοῖς νῦν δευτέροις μετ' αὐτήν. Κοσμικὴ δὲ ἡ τοῦ προτέρου λαοῦ κλῆσις, καὶ τῇ ἑξάδι σύστοιχος τῇ κοσμογόνῳ· ἡγεμονικὴ δὲ αὕτη καὶ ἡ ἐπὶ βασιλείᾳ κειμένη· τηρεῖται δὲ τῷ γένει τῷ Ἰσραηλιτικῷ τὸ βασιλικὸν ἀξίωμα παρὰ Χριστοῦ κατὰ τὰς προφητείας, τὸν τοῦ Δαβὶδ ἐπαγγελλομένας θρόνον, καὶ τὸν τούτου κατορθωτὴν Χριστὸν, κατὰ τὸ ἐν Εὐαγγελίοις· καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας· τὰς δὲ τῆς Νέας Διαθήκης, ὀγδοήκοντα δείκνυσιν ἀριθμός.

Apollinarii. — Aliter etiam id quod perfectissimum est in ejus cum Deo familiaritate declaratur, dum Ecclesiæ perfectio cum eminentissimis quibusque prioris vocationis comparatur, et modo posterioribus post ipsam. Mundana porro illa prioris populi vocatio etiam sextenario quo mundus hic creatus est coelementalis exsistit, eademque principalis et in regno sita. Servatur autem generi israelitico dignitas regalis in Christo secundum prophetias quæ promittunt thronum David, et ejus directorem Christum, juxta Evangelia librosque Regum in domo Jacob in sæcula : Novi denique Testamenti fœdera numerus indicat octogenarius.

Ἡσιδώρου. — Τί ἐστιν, *ἑξήκοντά εἰσι βασίλισσαι*, καὶ τὰ ἑξῆς, ἄκουε· ἐχέτω μὲν ἡ ἀμώμητος καὶ παρθένος Ἐκκλησία, ἡ ὀρθὴν καὶ περὶ τὸν θεῖον πίστιν ἔχουσα τὰ πρωτεῖα, καὶ αὕτη καλείσθω περιστερὰ τελεία, ὅλων τῶν ταγμάτων ὑπερβαίνουσα τὴν ἀξίαν. Εἰ δὲ καὶ εἰς πράξεις αὐτὸ ἐκλαβεῖν χρὴ, λελέχθω καὶ τάδε· *ἑξήκοντά εἰσι βασίλισσαι*, αἱ τῆς βασιλείας ἕνεκεν εὖ πράττουσαι ψυχαί· καὶ *ὀγδοήκοντα παλλακαί*, αἱ φόβῳ τῆς κολάσεως ἀπεχόμεναι κακοῦ· *καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμὸς*, αἱ διά τινας προφάσεις κοσμικὰς σωφρονοῦσαι, καὶ τὸ δίκαιον διώκουσαι· δι' ὧν οὔτε πόθῳ τῆς βασιλείας, οὔτε φόβῳ τῆς κρίσεως τὸ δέον πράττουσαι, ἀλλ' ἵνα πλούτου ἢ δόξης ἢ τινος μὴ στερηθῶσι. *Μία ἐστὶ περιστερὰ τελεία* ἡ τὸ καλὸν πράττουσα, τῶν ἄκρων ἀγίων σύνοδος, ἡ οὔτε διὰ μισθὸν, οὔτε διὰ τιμωρίαν, οὔτε διὰ πρόφασίν τινα βιωτικὴν, ἀλλὰ διὰ τὸ τῷ Θεῷ φίλον πράττουσα τὸ δέον.

Isidori. — Audi quid sibi velit illud : *Sexaginta sunt reginæ*, etc. Teneat quidem primas immaculata et virgo Ecclesia, quæ et rectam de divino numine fidem habet, et ipsa vocetur columba perfecta, omnium ordinum dignitatem transcendens. Si vero etiam ad actiones hoc referre oportet, dicantur et hæc : *Sexaginta sunt reginæ*, scilicet animæ quæ regni causa bene agunt : *et octoginta concubinæ*, quæ metu supplicii abstinent a malo. *Et adolescentulæ quarum non est numerus*, quæ propter respectus aliquos mundanos sese continent et sectantur justitiam, a quibus, neque regni desiderio, neque judicii timore, id quod decet agitur, sed ne divitiis, vel gloria, vel honore aliquo priventur. *Una est columba mea*, perfecta, quæ bonum agat : nempe sublimium sanctorum congregatio quæ neque propter mercedem, neque propter supplicium, neque ob alium quempiam respectum temporalem, sed quia Deo placeat, bonum agit.

Ὠριγένους. — Αἱ νεάνιδες ἀριθμὸν οὐκ ἔχουσαι, κ. τ. λ. (90).

Origenis. — Adolescentulæ numerum non habent, etc.

(91) Αἴτιος οὖν γενοῦ τῆς ἀγαλλιάσεως· αἴτιος οὖν γενοῦ τοῦ δραμεῖν αὐτὸν ἐπὶ σέ· θέλει γάρ σε προεσπάσασθαι, θέλει προλαβεῖν (92).

Fias igitur causa exsultationis; fias occasio ejus ad te occursus : vult enim te attrahere, vult assumere.

[12] Luc. x, 24.

NOTÆ.

(90) *Patrol.* t. XVII, col. 277.

(91) S. Gregorii Nysseni sermo 15, sive postremus, in Cantica desinit in cap. v, 8. Neque deinceps in codice Vaticano, unde hanc Patrum Catenam edimus, nomen Gregorii legitur. Quare judicent eruditi lectores, utrum de auctore Procopio, an de quovis alio cogitandum sit, ubi loci occurrunt ἀδέσποτοι. Mihi quidem otium ad hanc inquisitionem non suppetit.

(92) Αἴτιος — προλαβεῖν. Hæc in C. B. Origeni ascribuntur.

Digitized by Google

VERS. 9. *Quæ est ista quæ progreditur quasi aurora, pulchra ut luna, electa ut sol, pavor ut acies ordinatæ?*

Origenis. — Considera Sponsam multas Sponsi laudes reveritam recessisse; conferens autem cum ipsa reliquarum accedentium animas Sponsus admiratur absentis perfectionem, ob quam filiæ quæ pulchritudinem ejus contemplabantur, ipsam prædicant beatam, et concubinæ et reginæ tanquam diviniorem laudant. In quibus Sponsa quasi sub splendidissimo tabernaculo existens appareat, et Sponsus ea quæ hic proponuntur ad cæteros de illa dicat. Anima enim de tenebris promicans cum aurora primum comparatur, quia tunc recens incipit dies illucescere. Cum autem de mundo rebusque mundanis emerserit, fit tanquam electa, id est plena luna, non habens in se partem quæ a Sole justitiæ non illuminetur. Cæterum quia luna in potestatem noctis posita est, ea vero quæ perfecta anima, vel macula rugisque carentes Ecclesiæ sunt exemplo lunæ minime continentur; idcirco juxta Isaiam [15], erit luna sicut sol, lumen vero ejus ita percellet, ut in stuporem etiam agantur inferiores, tanquam spectaculorum ejus et ex eisdem operationum multitudo æquivalcat toti multitudini eorum quæ in hoc universo collocata sunt. Fortassis vero ex eo quod intelligatur Verbum, cum ex qui sermonibus est et rerum omnium ordinem assumpsisse, figuræ rerum ordinatarum ipsi insitæ faciunt ipsam ad instar ordinatarum in hoc universo virtutum.

Nili.—Cœleste ipsius vitæ institutum obstupescentes amici sponsi percellebantur et confitentur stuporem suum actionum ejus aspicientes lucere coram hominibus : ita ut omnia decenter et secundum ordinem faciens composita sit acies, nihil delicti, nihilque confusi in se continens. Pulchra vero est ut luna et electa ut sol, quandoquidem tam in die quam in nocte versantes illuminat, unicuique statui prout commodum est utiliter sese adaptans. Cæterum sicut aurora quoque a statu proprio per condescensionem progreditur, non totam semetipsam ostendens iis qui illam totam videre non poterant, sed per partes promicans pro ratione facultatis intuentium, et sicut aurora progrediens non sicut meridies, nec sicut splendor diurnus, siquidem solari radio perfrui necdum poterant, sed caliginoso statu relicto, matutina et blandiori luce utebantur, ne repentinus solaris radii fulgor, oculum in tenebris versatum, ita subito illuminatum læderet.

Apollinarii. — Qui et pro diversis facultatibus, diversis rebus assimilatur. Nam habet quidem lunæ blanditiem, solis vero puritatem.

Philonis. — Quandoquidem enim morte paula-

[15] Isa. xxx, 26.

Θ'. *Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ἥλιος, θόμβος ὡς τεταγμέναι ;*

(95) Νόει τὴν Νύμφην ἀνακεχωρηκέναι τοῦ Νυμφίου, τοὺς πολλοὺς αἰδουμένην ἐπαίνους· παρατιθεὶς δὲ ταύτην τὰς τῶν ἄλλων τῶν προσεληλυθότων ψυχὰς ὁ Νυμφίος, θαυμαζέτω τῆς ἀπούσης τὴν τελειότητα, ἐφ' οἷς αἱ θεωροῦσαι θυγατέρες αὐτῆς τὸ κάλλος, μακαρίζουσιν αὐτήν· καὶ αἱ παλλακαὶ καὶ βασίλισσαι ὡς θυγατέρα αἰνοῦσιν· ἐφ' οἷς ἡ Νύμφη καθάπερ ἐπὶ σκηνῆς λαμπροτάτη γενομένη φαινέσθω· καὶ τοῖς ἑτέροις ὁ Νυμφίος, τὰ προκείμενα λεγέτω περὶ αὐτῆς. Ἡ προκύπτουσα γὰρ ἐκ σκότους ψυχὴ, ὄρθρῳ πρώτον εἰκάζεται, διὰ τὸ ἄρτι ἀρχομένας ἡμέρας καταυγάζεσθαι· ἐκκύψασα δὲ τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ, γίνεται ὡς ἐκλεκτὴ σελήνη τουτέστιν ἡ πανσέληνος, μὴ ἔχουσα ἐν ἑαυτῇ μέρος ἀφώτιστον τοῦ τῆς δικαιοσύνης Ἡλίου. Ἀλλ' ἐπεὶ ἡ σελήνη εἰς ἀρχὰς τέτακται τῆς νυκτὸς, οὐχ ἵσταται δὲ τὰ τῆς ἀμώμου καὶ ἀσπίλου Ἐκκλησίας, κατὰ τὸ τῆς σελήνης παράδειγμα, διὰ τοῦτο κατὰ τὸ παρ' Ἡσαΐᾳ, ἔσται ἡ σελήνη ὡς ὁ ἥλιος· τὸ δὲ φῶς αὐτῆς οὕτω καταπληκτικὸν, ὡς ἐκθαμβηθῆναι τοὺς ὑποδεεστέρους· ἴσον δύνασθαι τῶν ἐν αὐτῇ θεωρημάτων τὸ πλῆθος καὶ τῶν ἐκ τούτων ἔργων, ὅλῳ τῷ πλήθει τῶν ἐν τῷ παντὶ τεταγμένων. Τάχα δὲ ἐκ τοῦ νενοηκέναι τὴν ἐν τοῖς λόγοις τάξιν καὶ πάντων ἀνειληφέναι τὸν λόγον, τύποι ἐγγινόμενοι αὐτοὶ τῶν τεταγμένων ποιοῦσιν αὐτὴν εἶναι ὡς τὰς τεταγμένας ἐν τῷ παντὶ δυνάμεις.

Νείλου. — Τὸ ἐπουράνιον αὐτῆς πολίτευμα καταπλαγέντες οἱ φίλοι τοῦ Νυμφίου ἐθαμβήθησαν, καὶ ὁμολογοῦσι τὴν ἔκπληξιν, τὸ φῶς τῶν πράξεων αὐτῆς βλέποντες λάμπον ἔμπροσθεν τῶν ἀνθρώπων· ὅπως πάντα εὐσχημόνως καὶ κατὰ τάξιν ποιοῦσα, τεταγμένη ἐστὶ τῇ καταστάσει, οὐδὲν ἔχουσα πλημμελὲς, οὐδὲ συγχεχυμένον. Καλὴ δέ ἐστιν ὡς σελήνη, καὶ ἐκλεκτὴ ὡς ἥλιος· ἐπειδὴ καὶ τὰς ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ φωτίζει ἑκάστῃ καταστάσει τῶν ὠφελουμένων προσφόρως ἁρμοζομένη· καὶ ὡς ὄρθρος δὲ ἐκκύπτει τῆς οἰκείας ἕξεως συγκαταβατικῶς· οὐχ ὅλην δὲ αὐτὴν δεικνύουσα τοῖς ὅλην ἰδεῖν οὐ δυναμένοις, ἀλλὰ μερικῶς ἐκκύπτουσα πρὸς τὴν ἀναλογίαν τῆς τῶν ὁρώντων δυνάμεως· καὶ ἐκκύπτουσα ὡς ὄρθρος, οὐχ ὡς μεσημβρία οὐδὲ ὡς φέγγος ἡμερινόν· διὰ μὲν τὸ ἔτι τυγχάνειν ἀγεύστους τῆς ἀπολαύσεως, δυναμένους ἡλιακῆς εὐθέως μετέχειν ἀκτῖνος· διὰ δὲ τὸ παρεληλυθέναι τὴν ζοφώδη κατάστασιν, χρῄζοντας ὀρθρινοῦ καὶ προσηνεστέρου φωτός· ὥστε μὴ ἀθρόᾳ ἡλιακῆς ἀκτῖνος αἴγλῃ καταλαμφθέντα ἀδικηθῆναι τὸν ἐν τῷ σκότει ἐνόντα ὀφθαλμόν.

Ἀπολιναρίου. — Καὶ κατὰ διαφόρους δὲ δυνάμεις, διαφόροις ἀπεικάζεται πράγμασιν· ἔχει γὰρ τῆς μὲν σελήνης τὸ προσηνὲς, τοῦ δὲ ἡλίου τὸ καθαρόν.

Φίλωνος. — Ἐπειδὴ γὰρ ὤφθη πρὸς μικρὸν τῷ

NOTÆ.

(95) Scholium hoc Origeni vindicat C.B.

Digitized by Google

ἀνάτῳ ὡς σελήνη, καὶ ἀνανεοῦται τῇ ἀναστάσει ὡς ἥλιος διὰ τὴν τῆς ἀρετῆς λαμπρότητα, θάμβους ἐστὶν ἀξία, ὡς ἀγγέλοις γενομένη ὁμοδίαιτος.

ι', ια'. *Εἰς κῆπον καρύας κατέβην ἰδεῖν ἐν γενήματι τοῦ χειμάρρου· ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος, εἰ ἤνθησαν αἱ ῥόαι. Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί· οὐκ ἔγνω ἡ ψυχή μου· ἔθετό με ἅρματα Ἀμιναδάβ.*

Ὠριγένους. — Κατά τι παράδειγμα οἱ δίκαιοι, κ. τ. λ. (94).

Νείλου. — Ἡ Νύμφη διηγεῖται ὡς καταβᾶσα εἰς κῆπον καρύας πρὸς τοὺς ἐπ' ἁμαρτήμασι παιδευομένους, οὐ τῇ τυχούσῃ ῥάβδῳ, ἀλλὰ καρυΐνῃ, πολὺ τὸ πικρὸν ἐχούσῃ καὶ ἐπίπονον, ἰδεῖν τὸν ἀπὸ τῆς παιδείας καρπὸν, ἰδεῖν ποῖον γέννημα γεωργοῦσιν. Οἱ ἐν τῷ χειμάρρῳ τῶν πειρασμῶν καταλελειμμένοι, εὐχαρίστως φέρουσι τὰ τῆς παιδείας δεινὰ, ἢ δυσαναχετοῦσι καὶ δυσφημίας καρποὺς ἀποδιδόασι τῷ ἰατρικῶς, ἀλλ' οὐ τιμωρητικῶς παιδεύοντι· ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος, ἢ ῥόα· οἱ ἐκ μεγάλων κατορθωμάτων διὰ ῥᾳθυμίας μικρᾶς, εὐκόλως ἁμαρτίᾳ ἁλόντες· καὶ εἰ ἤνθησαν οὗτοι οἱ παρελθόντες τὸ τοῦ χειμάρρου ἀνυπόστατον ὕδωρ, μὴ παρασυρέντες πρὸς βλάσφημον ἔννοιαν· εἶτά φησι, *Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί*· τοὺς ἔτι τὸ τῆς νηπιότητος ἔχοντας γάλα· ἵνα βελτιωθῶσιν ἀπὸ οἴνου τῆς σῆς διδασκαλίας. Καὶ ἐπεὶ ἐβελτιώθη ὀξέως, τὸ τάχος θέλουσα εἰπεῖν τῆς μεταβολῆς· *Οὐκ ἔγνω*, φησὶν, *ἡ ψυχή μου*, πῶς ἐγενόμην ἅρματα Ἀμιναδάβ, τοῦ ἑρμηνευομένου ἄρχων λαοῦ μου. Λελυθότος γὰρ ἡ μὲν νηπιώδης ὑπέρρευσε παρελθοῦσα κατάστασις· ὄχημα δὲ γέγονε τοῦ ἄρχοντος τοῦ λαοῦ μου, ὅς ἐστι Χριστός· ἀμαξήλατον λοιπὸν τρέχουσα καὶ ἱππήλατον τὴν τῆς ἀληθείας ὁδὸν· ταῖς ἁρματοτροχίαις ἐνσημαινομένη τῆς ἀγαθῆς πολιτείας τὰ σύμβολα, καὶ ἴχνη καταλιμπάνουσα τοῖς ὁδεύουσι τὸν βίον, πρεπούσης θεοσεβεῖν ἐθέλουσα ζωῆς.

Φίλωνος. — Τὴν Συναγωγὴν κῆπον καρύας παρὰ τοῦ Νυμφίου λελέχθαι φησίν· ἔνθα ἡ ῥάβδος Ἀαρὼν ἡ καρυΐνη· καὶ τὸ κατέβην ἐν τὸ καιρῷ τοῦ πάθους, εἰ ἤνθησεν ἡ ἄμπελος ἡ τῶν Ἰουδαίων, εἰ ἤνθησαν αἱ ῥόαι, αἱ διαφόρως ἐπ' αὐτῆς ἐπενεχθεῖσαι παιδεῖαι· διὰ τὴν ἔξωθεν στύψιν, καὶ τὸν ἔνδον εἰρηνικὸν καὶ τεταγμένον καρπόν.

Τοῦ αὐτοῦ. — Εἶτά φησιν ἡ Νύμφη, *Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί*· τὰς δύο Διαθήκας τετελεσμένας ἐν ἔργῳ καὶ λόγῳ προσοίσω σοι· *Οὐκ ἔγνω ἡ ψυχή μου*· ἐν ἀγνοίᾳ, φησὶν, ἦμην τὸ πρότερον, ἕως οὗ ἔθετό με ἅρματα ἡ τοῦ Πατρὸς εὐδοκία· οὕτω γὰρ Ἀμιναδὰβ ἑρμηνεύεται· λέγει γὰρ Ἀββακούμ· «Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου· καὶ ἡ ἱππασία σου σωτηρία. »

ιβ'. *Ἐπίστρεφε, ἐπίστρεφε, ἡ Σουλαβίτις· ἐπίστρεφε, ἐπίστρεφε· καὶ ὀψόμεθά σε.*

tim deficit sicut luna, et innovatur resurrectione sicut sol[15], propter virtutis splendorem admiratione digna est, utpote angelis facta contubernalis.

VERS. 10, 11. *In hortum nucis descendi videre in genimina torrentis; videre si floruit vitis, efflo-ruerunt mala punica. Ibi dabo ubera mea tibi: non novit anima mea. Posuit me currus Aminadab.*

Origenis. — Fortassis secundum quamdam similitudinem justi sunt nuces, etc.

Nili. — Sponsa recenset quomodo descendit in hortum nucis ad eos qui ob peccata castigabantur, non qualibet virga, sed nucea quæ multum habet amaroris et molestiæ, ad videndum fructum disciplinæ. Quale nimirum germen excolant qui in torrente tentationum derelicti, disciplinæ molestias cum gratiarum actione sustinent; vel iniquo animo ferunt maledicta, quales inquam fructus reddant ei qui medici et non vindicis more castigat. Ad videndum an floruerit vitis et malum punicum, qui scilicet ex magnis præclarisque facinoribus, propter parvas negligentias facile corripiuntur peccato: et an floruerint si qui pertranseuntes torrentis aquam intolerabilem minime ad blasphemam distorquentur cogitationem. Deinde ait: *Ibi dabo ubera mea tibi*, adhuc habentia lac juventutis, ut et doctrinæ tuæ vino emendentur. Et quia celeriter emendationem acceperunt mutationis celeritatem ostendere volens: *Non novit*, inquit, *anima mea*, qui evaserim currus Aminadab, quod interpretatur princeps populi mei. Sensim quidem infantilis transiens effugit status, vehiculum autem facta sum, principis populi mei qui est Christus rhedariam in posterum et equestrem decurrens viam curruum orbitis insignitam probæ vitæ institutionis symbola et vestigia relinquens iis qui eo quo Deum decet cultu vitam transigant.

Philonis. — Synagogam hortum nucis a Sponsa nuncupari dicit. Ibi virga Aaron nucea, et in eum de-cendit tempore passionis videre si floruit vitis Judæorum, si floruerint mala punica, quæ sunt disciplinæ diversimode ipsi traditæ, per extremam astrictionem, et interiorem, pacificum ac bene ordinatum fructum.

Deinde Sponsa dicit: *Ibi dabo ubera mea tibi*, duo scilicet Testamenta opere ac sermone perfecta offeram tibi. *Non novit anima mea.* In ignoratione, inquit, versabar prius, donec Patris beneplacitum posuit me currus. Sic enim Aminadab interpretatur: ait enim ad Habacuc: « Quia ascendes super equos tuos, et equitatio tua salus[16]. »

VERS. 12. *Convertere, convertere, Sunamitis, convertere, convertere, et videbimus in te.*

[15] Isa. xxx, 26. [16] Habac. III, 8.

NOTÆ.

(94) *Patrol.* t. XVII, col. 280.

Digitized by Google

CAP. VII.

VERS. 1. *Quid videbitis in Sunamitide, quæ venit sicut chori castrorum? ascendit enim ex lavacro tanquam acies angelorum* [17].

Philonis. — Alia lectio habet *Odolamitis*, id est cœlestis : et videbimus Christum dicentem : « Inhabitabo in eis et inambulabo [18]. »

Aquila et quinta editio, etc.

Quid speciosi facti sunt gressus tui in calceamentis filia Aminadab?

Sponsæ profectus approbat, quos gressus vocat, in calceamentis autem evangelicis ait oraculis. Regressus porro quos gressus dixerat, Apostolus vocat *opitulationes*, *gubernationes* [19]. Condescendens autem inferioribus subligare dicitur gressus dum ip is modo magis corporeo apparet. Aminadab vero *princeps* sive *dux*, vel *sponte offerens* interpretatur cujus filia est Sponsa. Fuerit autem princeps qui dicit : Audi, filia, idem vero sponte offerens, si quidem omnia Deo sunt spontanea.

Nili. — Admonet ipsam emolumenti quod exstitit ex condescensione cum iis qui ejus opera indigebant, simulque segnitiem ejus subinsinuant quando dicebat : *Lavi pedes meos, quomodo inquinabo illos?* Nequaquam utique speciosi facti fuissent gressus ejus in calceamentis, nisi intempestivam illam ignaviam solvisset congrua conclusione et propter indigentium utilitatem a proprio statu exivisset. Nam quod ad illum dicitur est istiusmodi : Cum, inquit, stans in loco sancto et soluto calceamento propter opis tuæ indigentes rursus ipsum gestaveris, puros pedes inquinari sustinens; modo autem revertaris cum proficientibus simul proficere apparens, idcirco *speciosi facti sunt gressus tui*, sicut evangelizantium pacem [20].

VERS. 2 5. — *Moduli femorum similes torquibus, opus manuum artificis. Umbilicus tuus crater tornatilis non deficiens misto. Venter tuus acervus frumenti vallatus in liliis. Duo ubera tua sicut duo hinnuli gemelli capreæ. Collum tuum sicut turris eburnea. Oculi tui tanquam stagna in Hesebon in portis filiæ multorum. Naris tua sicut turris Libani prospiciens faciem Damasci. Caput tuum super te sicut Carmelus, et plexus capitis tui, sicut purpura Rex ligatus in transcursibus.*

Nili. — Modulos femorum bene ordinatam vocat proficientium motionem : similes autem sunt torquibus opus manuum artificis. Non enim elata mente aderat proficientibus, sed humili et instar torquis inclinata; quia vero hoc scite facie-

ΚΕΦΑΛ. Ζ'.

α'. Τί ὤψεσθε ἐν τῇ Σουλαβίτιδι; Ἡ ἐρχομένη ὡς χοροὶ τῶν παρεμβολῶν· ἀνέβη γὰρ ἐκ τοῦ λουτροῦ, ὡς τὰ ἀγγελικὰ τάγματα.

Φίλωνος. — Ἑτέρα γραφὴ Ὀδολομίτις ἔχει, τουτέστιν ἡ οὐρανία· καὶ ὀψόμεθα Χριστὸν τὸν λέγοντα, « Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω. »

Ὠριγένους. — (95-96) Ἀκύλας καὶ ἡ πέμπτη ἔκδοσις, κ. τ.λ. (97).

Τί ὡραιώθησαν διαβήματά σου ἐν ὑποδήμασί σου, θύγατερ Ἀμιναδάβ;

(98) Τῆς Νύμφης τὰς προκοπὰς ἀποδέχεται, ἃς φησι διαβήματα· ὑποδήμασι δὲ, τοῖς βασιλικοῖς λέγει θεσπίσμασι· καθόδους δὲ ἔφη τὰ διαβήματα, ὡς καὶ ὁ Ἀπόστολος, *ἀντιλήψεις, κυβερνήσεις*· συγκατιὼν δὲ τοῖς ὑποδεεστέροις, ὑποδεδέσθαι λέγει τὰ διαβήματα, σωματικώτερον αὐτοῖς φαινόμενος· Ἀμιναδὰβ δὲ *ἄρχων*, ἤγουν *ἡγεμὼν* ἢ *ἑκουσιαζόμενος* ἑρμηνεύεται· οὗ θυγάτηρ ἡ Νύμφη· εἰ δ' ἂν ἄρχων, ὁ λέγων, ἄκουσον, θύγατερ· ὁ δὲ αὐτὸς ἑκουσιαζόμενος· ἑκούσια γὰρ πάντα Θεῷ.

Νείλου. — Ὑπομιμνήσκουσιν αὐτὴν τοῦ κέρδους τοῦ γενομένου ἐκ τοῦ πρὸς τοὺς χρῄζοντας αὐτῆς συγκαταβάσεως· ἅμα καὶ τὸν ὄκνον παρεμφαίνοντες ὅτε ἔλεγεν, *Ἐνιψάμην τοὺς πόδας μου, πῶς μολύνω αὐτούς;* οὐκ ἂν ὡραιώθησαν διαβήματα αὐτῆς; ἐν ὑποδήμασιν, εἰ μὴ τὸν ἄκαιρον ἐκεῖνον ὄκνον λύσασα, ὃν ἐπὶ λογισμῷ συμφέροντι, καὶ ἔξω γενομένη τῆς οἰκείας καταστάσεως διὰ τὴν τῶν δεομένων ὠφέλειαν. Τὸ γὰρ πρὸς αὐτὴν λεγόμενον τοιοῦτόν ἐστιν· Ἐπειδὴ, φησὶν, ἐστῶσα ἐν τόπῳ ἁγίῳ, καὶ ὑπολυσαμένη τὸ ὑπόδημα διὰ τὴν τῶν χρῃζόντων σου βοήθειαν, πάλιν ἐφόρεσα τοῦτο, μολῦναι τοὺς καθαροὺς καταδεξαμένη πόδας· ἐπανέρχῃ δὲ νῦν συγκύπτειν δοκοῦσα τοῖς προκόπτουσι· διὰ τοῦτο *ὡραιώθη διαβήματά σου*· ὡς τοῦ τῶν εὐαγγελιζομένων εἰρήνην ἡγουμένου.

β'-ε'. Ῥυθμοὶ μηρῶν σου ὅμοιοι ὁρμίσκοις, ἔργον χειρῶν τεχνίτου· ὀμφαλός σου, κρατὴρ τορνευτὸς, μὴ ὑστερούμενος κράμα· κοιλία σου, θημωνία σίτου περφραγμένη ἐν κρίνοις· δύο μαστοί σου, ὡς δίδυμοι δύο νεβροὶ δορκάδος· τράχηλός σου ὡς πύργος ἐλεφάντινος· ὀφθαλμοί σου ὡς λίμναι ἐν Ἐσεβὼν, ἐν πύλαις θυγατρὸς πολλῶν· μυκτήρ σου, ὡς πύργος τοῦ Λιβάνου σκοπεύων πρόσωπον Δαμασκοῦ· κεφαλή σου ἐπὶ σὲ ὡς Κάρμηλος καὶ πλόκιον κεφαλῆς σου ὡς πορφύρα βασιλεὺς δεδεμένος ἐν παραδρομαῖς.

Φίλωνος. — (99) Ῥυθμοὺς μηρῶν λέγει τὴν εὐτακτον μὴν τῶν προκοπτόντων κίνησιν· ὅμοιοι δέ εἰσιν ὁρμίσκοις, ἔργον χειρῶν τεχνίτου· οὐ γὰρ ἐπηρμένην φρονήματι συνῆν τοῖς προκόπτουσιν, ἀλλὰ ταπεινῷ καὶ συγκεκραμμένῳ δίκην ὁρμίσκου·

[17] Ephes. v, 26. [18] Levit. xxvi, 12; II Cor. vi, 16. [19] I Cor. xii, 28. [20] Isa. lii, 7; Rom. x, 15.

NOTÆ.

(95-96) Anonyma in C. B.
(97) *Patrol.* t. XVII, col. 280, 281.
(98) Anonyma in C. B. et in C. V.
(99) Scholium illud C. B. sancto Nilo vindicat.

Digitized by Google

καὶ δὲ τὸ ἐπιστημόνως τοῦτο ποιεῖν ἔργου χειρῶν τεχνίτου εἶναι λέγεται· καὶ τὸ διανοητικὸν δὲ, τὸ πάντοτε πεπληρωμένον νοημάτων τελείων κεκραμένων, πρὸς τὴν τῶν μανθανόντων ἐπιτηδειότητα· πᾶσαν δὲ τετορευμένην ἔννοιαν αἰσχρὰν, ὀμφαλός ἐστι τορευτὸς, οὐχ ὑστερούμενος κρᾶμα· ἡ δὲ τῶν θείων βρωμάτων δεκτικὴ κοιλία μὲν τοῦ τροφίμου τὸ εὐανθὲς ἔχουσα, *θημωνία σίτου πεφραγμένη ἐν κρίνοις* λέγεται· τάχα δὲ καὶ ἡ ἀμέριμνος διάνοια, καὶ τὴν βασιλικὴν μορφὴν αἰτοῦσα, θημωνία ἐστὶ σίτου πεφραγμένη ἐν κρίνοις· ὁ δὲ τράχηλος, ὅτε μὲν ἐπὶ ταπεινοφρωσύνης ἐπῃνεῖτο, ὁρμίσκος ἐλέγετο· ὅτε δὲ τοῖς πολεμίοις ἦν ἀπρόσιτος, πύργος Δαβίδ· νῦν δὲ πύργος ἐλεφάντινος λεῖός τις ὤν, καὶ μηδὲ μίαν ἔχων ἀντιλαβὴν, καὶ πᾶσι πτηνοῖς καὶ ἑρπετοῖς ἀπροσπέλαστος, ἡλίῳ μόνῳ βατός· τοιοῦτον γὰρ τὸ εὐσεβὲς φρόνημα, οὐ πάθεσι καμπτόμενον, οὐ δόγμασιν εἶκον αἱρετικοῖς, ἀλλὰ μόνῳ Χριστῷ ἐναχείμενον· καὶ τὸ θεωρητικὸν δὲ ἐκ πολλῆς μαθήσεως βελτιωθὲν, λίμναι εὐσεβῶν πλημμυρούσαις τὸ τῶν ἐναρέτων λογισμοὺς ὕδωρ παραβάλλεται. Ἐσεβὼν γὰρ ἑρμηνεύεται *λογισμοὶ* ἐν πύλαις θυγατρὸς πολλῶν· ὅσοι γὰρ προφῆται καὶ ἀπόστολοι, τοσοῦτων θυγάτηρ ἡ Νύμφη· καὶ ὁ μυκτὴρ δ' αὐτοῦ ὡς πύργος τοῦ Λιβάνου σκοπεύων πρόσωπον Δαμασκοῦ, ἥτις ἑρμηνεύεται, *αἱμα πίνουσα*. Ὁ οὖν καὶ τῇ πολιτείᾳ ὑψηλὸς, καὶ δόγμασιν ἐπιβεβηκὼς διεγηγερμένοις, καὶ προγινώσκων τὰς προβολὰς τῶν παθῶν, καὶ τὰς ἐφόδους τῶν ἐναντίων δυνάμεων, καὶ τὴν δυσωδίαν αὐτῶν εὐκόλως ἀντιλαμβανόμενος, μυκτὴρ ἐστι τῆς Νύμφης· αὐτὸς σκοπεύων τὸ πρόσωπον Δαμασκοῦ, καὶ τὴν προσβολὴν ὡς κεφαλὴν τοῦ ὄφεως φυλαττόμενος· τῷ Καρμήλῳ δὲ τὴν κεφαλὴν αὐτὸς ὡμοίωσεν, ἐπειδὴ κεφαλή ἐστι τῆς Ἐκκλησίας ὁ Χριστός. Ὁ δὲ Κάρμηλος τῶν προφητῶν ἦν ἐνδιαίτημα τῶν περὶ τῆς κεφαλῆς μαρτυρούντων, καὶ τῷ πλοκίῳ τῶν λόγων τῶν βασιλικῶν, τὸν παραδραμεῖν ἐπειγόμενον δεσμούντων· ὅταν γάρ τις χλευάζων τὰ πάθη τοῦ Χριστοῦ παρατρέχῃ τὸ δόγμα ὡς μωρὸν καὶ χλεύης ἄξιον· εἶτα ᾧ μὴ πέπονθεν ἕκαστον εὗρῃ μηνύματι προφητικῷ μαρτυρούμενον, ὡς σπαρτίῳ δεσμούμενος, τῷ θείῳ λόγῳ παραμένει οὐκ ἰδιώτου τάξιν ἔχων, ἀλλὰ βασιλέως λαχόντος αἰώνιον βασιλείαν οὐρανῶν καὶ πόλεως ἀπορθήτου τῆς ἄνω Ἱερουσαλήμ· καὶ οἱ τοῦ Χριστοῦ δὲ λόγοι διδάσκοντες τὰ οὐράνια, καθάπερ πλοκῇ τὸν παρατρέχοντα δεσμεύουσιν.

A bat, dicitur opus manuum artificis. Sed et vis intelligendi semper perfectis referta erat cogitationibus et pro dicentium capacitate temperatis. Omnis porro detornata cogitatio turpis umbilicus est tornatilis non deficiens misto. Venter vero divinorum ciborum capax, una cum nutrimento suaveolentiam continens dicitur *acervus frumenti vallatus in liliis*. Fortassis vero etiam mens expers curarum ac regiam formam postulans acervus frumenti sit vallatus in liliis. Collum autem quandoquidem ab humilitate laudabatur, torques dicebatur ; quando vero hostibus erat inaccessum, turris David : nunc autem turris eburnea, quod et lævis sit nec ullam ansam habeat, et volucribus serpentibusque inaccessa, unico soli pervia sit. B Istius modi enim est sensus pius, non passionibus inflexus, neque doctrinis hæreticis cedens, sed soli Christo addictus. Quin et facultas meditandi multa doctrina emendata, stagnis Esebon cum probarum cogitationum aquis exundantibus, comparatur. Esebon enim interpretatur *cogitationes*, in portis filiæ multorum : quot enim sunt prophetæ et apostoli, totidem filia est Sponsa. Sed et nares ejus sicut turris Libani prospiciens faciem Damasci, quod interpretatur sanguinem bibens. Qui igitur et vivendi ratione sublimis, et collectis doctrinis præstans, passionum quoque impressiones atque adversariarum præcognovit insultus potestatum, earumque fetorem facile percipit, ipse naris est Sponsæ prospiciens faciem Damasci, C et incursum quasi caput serpentis observans. Carmelo autem caput ejus assimilavit, quandoquidem Ecclesiæ caput Christus est. Carmelus vero hospitium erat prophetarum, testimonium de capite perhibentium et prætercurrere satagentem regalium sermonum plexu illigantium. Quando enim quispiam passiones Christi irridens tanquam stultum ac risu dignum hoc dogma prætercurrit, deinde singula quæ perpessus est prophetica insinuatione testificata repererit, divino sermone quasi funiculo illigatus permanet, non idiotæ ordinem tenens, sed regis æternum cœlorum regnum sortiti, et inexpugnabilis civitatis supernæ Jerusalem. Quin et Christi sermones cœlestia docentes ad instar nexus præter currentem irretiunt D vinciuntque.

Ὠριγένους. — Πολλαχοῦ τάττει τοὺς μηροὺς ἐπὶ τῆς Γενέσεως ἡ Γραφὴ, κ. τ. λ. (1).

Origenis. — Scriptura sæpe femora ponit in Genesi, etc.

Κυρίλλου. — Τεχνίτην δὲ τὸν Δημιουργὸν ὀνομάζει Χριστός· ὡς γὰρ ὑπήκοος γέγονεν, οὕτως ἡ Ἐκκλησία.

Cyrilli. — Artificem autem vocat creatorem Christum : sicut enim ipse factus est obediens, sic et Ecclesia.

Φίλωνος. — Δηλοῖ δὲ τὸ τεταγμένον καὶ ἡρμοσμένον καὶ ἀδιάλυτον τῆς παρθενίας, ἐν ᾗ ὁ τεχνίτης ᾠκοδόμησε τὸν ναὸν ἑαυτῷ.

Philonis. — Declarat autem ordinationem et aptitudinem, atque indeficientiam virginitatis, in qua artifex ipse sibi templum fabricatus est.

Κυρίλλου. — Λέγει δὲ καὶ τὴν σωφροσύνην αὐτῆς

Cyrilli. — Dicit autem illius temperantiam atque

NOTÆ.

(1) *Patrol.* t. XXII, col. 281.

Digitized by Google

subjectionem : animam quidem ipsius fidei, corpus vero temperantiæ subditum.

Origenis. — Ad umbilicum autem seu craterem sapientia invitat dicens, etc.

Cyrilli. — Declarat autem ejus sacerdotium dicens : *Non deficiens misto*, videlicet Christi sanguine : hic enim sacerdotibus in manibus est.

Philonis. — Sed et congregatio multitudinis quæ animarum consensione munita est, liliis suaveolentibus Dei oraculis assimilatur.

Origenis. — Lilia quoque fuerint flores gratiæ Dei e medio spinarum hujus vitæ collecti.

Cyrilli. — Collum autem ejus Christi diaconos vocat, qui Christum Ecclesiæ caput gestant. Gestant enim sanctum ejus corpus in conscientia pura mysterium ipsius confitentes, quamobrem eburneum dixit, quales Paulus diaconos ait : « Pudicos, non vino multo deditos [21]. »

Origenis. — Turres autem vocati sunt, etc.

Philonis. — Quin et vis intelligendi ejus piis cogitationibus repleantur. Esebon enim interpretatur *cogitationes*.

Cyrilli. — Stagnis autem assimilat oculos intellectuales : flumina enim commorantur in ventribus eorum qui Verbum excipiunt.

Origenis. — Qui autem puram habet exspirationem, etc.

VERS. 6, 7. — *Quam pulchra et quam suavis facta es : charitas in deliciis tuis. Hæc magnitudo tua : similis facta es palmæ, et ubera tua botris.*

Philonis. — Plexus autem capitis floridam Ecclesiæ multitudinem designat ad ornatum Sponsæ dilectione plexam. Hic porro plexus sicut purpura dictus est, quia multitudo ista Christi sanguine tincta est; et veluti regali vestimento undique amicta nempe ornatus multitudinis sacro sanguine tinctus est, sicut rex in pompis purpura indutus. Coronatus enim mortis victoria virtutes exuens triumphavit.

Cyrilli. — Vel etiam aliter vinculum dilectionis populorum ait adducere ad regale sacerdotium.

Hæc adhuc dicit Sponsus admirans in melius commutationem, etc.

Nili. — Fortassis quidem nomen illi imposuit a charitate, qua pulchra facta sit, dicens ipsam quoque suavem factam in deliciis : in divinis enim sermonibus deliciæ ac pulchritudo splendidiorem ostendunt et conversationem reddunt suaviorem. Fortassis vero beatam ejus pulchritudinem admiratur.

καὶ τὴν ὑποταγὴν τῆς ψυχῆς ταύτης ὑποτεταγμένης τῇ πίστει, τοῦ δὲ σώματος τῇ σωφροσύνῃ.

Ὠριγένους. — Ἐπὶ τὸν ὀμφαλὸν δὲ τὸν κρατῆρα ἡ σοφία συγκαλεῖ λέγουσα, κ. τ. λ. (2).

Κυρίλλου. — Δηλοῖ δὲ καὶ τὸ ἱερατεῖον αὐτῆς λέγων· *Μὴ ὑστερούμενος κράματι*, δηλονότι τῷ τοῦ Χριστοῦ αἵματι· τοῦτο γὰρ τοῖς ἱερεῦσιν ἐν χερσίν.

Φίλωνος. — Ἀλλὰ καὶ ἡ συναγωγὴ τοῦ πλήθους ἡ ἐξ ὁμονοίας, πέφρακται κρίνοις τοῖς εὐωδέσι λογίοις τοῦ Θεοῦ.

Ὠριγένους. — Κρίνα δ' ἂν εἴη καὶ τὰ ἄνθη τῆς χάριτος τοῦ Θεοῦ, ἃ συνελέξατο ἀπὸ μέσου τοῦ βίου ἀκανθῶν.

Κυρίλλου. — Τράχηλον δὲ αὐτῆς, τοὺς διακόνους τοῦ Χριστοῦ λέγει, διὰ τὸν Χριστὸν βαστάζειν τῆς Ἐκκλησίας τὴν κεφαλήν· βαστάζουσι γὰρ αὐτοῦ τὸ ἅγιον σῶμα, ἐν καθαρᾷ συνειδήσει, ὁμολογοῦντες αὐτοῦ τὰ μυστήρια· διόπερ ἐλεφάντινον εἴρηκεν, ὁποίους ὁ Παῦλός φησιν διακόνους, « Σεμνοὺς, μὴ οἴνῳ πολλῷ προσέχοντας. »

Ὠριγένους. — Πύργοι δὲ ἐκλήθησαν, κ. τ. λ. (3).

Φίλωνος. — Ἀλλὰ καὶ τὸ διανοητικὸν αὐτῆς πιπλῃρῶσθαι, φησὶν, εὐσεβῶν λογισμῶν· Ἐσσεβὼν γὰρ ἑρμηνεύεται *λογισμοί*.

(4) Ἀπεικάζει δὲ λίμνας τοὺς νοεροὺς ὀφθαλμούς· ποταμοὶ γὰρ ἀναβλύζουσιν ἐκ τῆς κοιλίας τῶν δεχομένων τὸν λόγον.

Ὠριγένους. — Ὁ δὲ καθαρὰν ἔχων τὴν διαπνοὴν, κ. τ. λ. (5).

ς', ζ'. *Τί ὡραιώθης καὶ τί ἡδύνθης, ἀγάπη ἐν τρυφαῖς σου! τοῦτο μέγεθός σου ὡμοιώθης τῇ φοίνικι, καὶ οἱ μαστοί σου τοῖς βότρυσι.*

Φίλωνος. — Πλόκιον δὲ τῆς κεφαλῆς, πολυάνθιον πλῆθος τῆς Ἐκκλησίας δηλοῖ, τῇ ἀγάπῃ πεπλεγμένον εἰς κόσμον τῆς Νύμφης. Ὡς πορφύρα δὲ τὸ πλόκιον εἴρηται, διὰ τὸ βεβάφθαι τὸ πλῆθος ἐν αἵματι Χριστοῦ· καὶ τοῦτο καθάπερ ἐσθῆτα περιβεβλῆσθαι βασιλικὴν, ἤγουν ὁ κόσμος τοῦ πλήθους ὁ βαφεὶς τῷ ἁγίῳ αἵματι, ὡς νίκῃ ἐθριάμβευσεν ἀπεκδυσάμενος τὰς ἀρχάς.

Κυρίλλου. — Ἢ καὶ ἄλλως, σύνδεσμον τῆς τῶν λαῶν ἀγάπης ἄγεσθαι φησὶν εἰς βασίλειον ἱεράτευμα.

Ὠριγένους. — Ὅτι ταῦτά φησιν ὁ Νυμφίος ἀποθαυμάζων αὐτῆς τὴν ἐπὶ τὸ κρεῖττον μεταβολὴν, κ. τ. λ. (6).

Νείλου. — Τάχα μὲν ὄνομα αὐτῷ διατίθεται, τὸ ἀγάπη, ὡραιῶσθαι λέγων αὐτὴν ἐν ταῖς τρυφαῖς. Ἡ γὰρ ἐν τοῖς θείοις λόγοις τρυφὴ, καὶ τὸ κάλλος φαιδρότερον δεικνύει, καὶ τὴν συνουσίαν ἡδίω ἐργάζεται· τάχα δὲ τὸ μακάριον αὐτῆς κάλλος θαυμάζει· ἐν δὲ τὸ μακάριον αὐτῆς κάλλος θαυμάζει· ἐν δὲ

[21] I Tim. III, 8.

NOTÆ.

(2) *Patrol.* t. XVII, col. 281.
(3) *Patrol.* t. XVII, col. 281.
(4) S. Cyrillo in C. B. ascribuntur.
(5) *Patrol.* t. XVII, col. 281, 284.
(6) *Patrol.* t. XVII, col. 284.

Digitized by Google

ταῖς τρυφαῖς αὐτῆς, αὔξεσθαι τὴν ἀγάπην λέγει. Διὰ δὲ τοῦ ἐξῆς δηλοῖ τὸ ἐπὶ λόγοις σωματικοῖς ταύτῃ ἐρηρεισμένον ὕψος τῶν ἀρετῶν· ἀναγκαίως δὲ καὶ οἱ μασθοὶ αὐτῆς τοῖς βότρυσιν ὁμοιοῦνται, διὰ τὴν κατὰ Θεὸν ἀγάπην συνδεδεμένοι· τέως δὲ τοὺς μασθοὺς ἀπογαλακτώδους πιότητος εἰς μελιτώδη μεταβεβληκέναι ἡδονὴν λέγει. Πλεῖον γάρ τι μετ' ὀλίγον αὐτῆς μαρτυρήσει· ἀπὸ ταύτης τῆς κατασταστάσεως ἐπὶ τὸ μεῖζον προκόψασιν.

A In deliciis porro illius augeri charitatem asserit. Per præpositionem vero *in*, declarat in verbis corporis hujus stabilitam esse virtutum celsitudinem. Cæterum quoque necessario ubera ejus botris assimilantur, per Dei charitatem colligata. Demum ubere quoque a lactea qualitate in melleam voluptatem ait esse commutata. Sensim enim amplius ipsis præbet testimonium ab hoc statu ad majorem promotio.

Κυρίλλου. — Ἢ καὶ ἐν τρυφῇ σου, τῇ ἀγάπῃ σου, διὰ τό τινα καὶ αὐτῶν τῶν δικαίων νομίζεσθαι· τοῖς δὲ βότρυσιν οἱ μασθοὶ ἀπεικάζονται· τοῖς ἔχουσι τὴν πνευματικὴν εὐφροσύνην.

Cyrilli. — Vel etiam in deliciis tuis, in charitate tua, quia ipse quoque censetur esse aliquis justorum. Porro ubera assimilantur botris spiritalem lætitiam continentibus.

Ὠριγένους. — Ἤγουν τὰ νοήματά σου, φησὶν, τρόφιμά τε καὶ πότιμα, καὶ οὐδαμῶς ὀμφακίζοντα.

Origenis.— Nempe sensus tui, inquit, esculenti et potabilis, et nequaquam acetosi sunt.

B

Φίλωνος. — Ἢ τοῖς τῶν φοινίκων ἀπεικάζονται βότρυσι πρὸς τὸ εὐῶδές τε καὶ πεπληθυσμένον.

Philonis. — Vel palmarum botris assimilantur pro sua fragrantia et multiplicatione.

ιγ', ιδ'. *Εἶπα· Ἀναβήσομαι ἐν τῷ φοίνικι· κρατήσω τῶν ὕψεων αὐτοῦ· καὶ ἔσονται δὴ μασθοί σου ὡς βότρυες ἀμπέλου· καὶ ὀσμὴ ῥινός σου ὡς μῆλα· καὶ λάρυγξ ὡς οἶνος ἀγαθὸς, πορευόμενος τῷ ἀδελφιδῷ μου εἰς εὐθύτητα ἰκανούμενος ἐν χείλεσί μου ὀδοῦσιν.*

VERS. 8, 9. *Dixi : Ascendam in palmam, tenebo cacumina ejus : et erunt nunc ubera tua sicut botri vitis, et odor nasi tui sicut poma. Et guttur tuum sicut vinum bonum, vadens fratrueli meo in rectitudinem, sufficiens labiis meis et dentibus.*

Φίλωνος. — Ἐκ προσώπου δὲ τοῦ Νυμφίου νοούμενα δηλοῖ· ὡς ἐὰν κρατήσῃ τοὺς δικαίους ὁ Κύριος, ἄπτωτα τούτων μένῃ τὰ ὕψη· καὶ ὡς βότρυες θλιβέντες εὐφροσύνης οἷον προχέουσιν· οὕτως ἐν ταῖς θλίψεσι εὐφραίνουσιν οἱ δίκαιοι τὸν Χριστόν· ῥὶς δὲ αὐτῆς ὁ Ἀπόστολος γεγονὼς εὐωδίας ὀσμὴ τῷ Χριστῷ ὡς μῆλον, βρῶσιν παρέχων καὶ πόσιν τῶν τοῦ Χριστοῦ μυστηρίων.

Philonis. — Quæ autem ex persona Sponsi intelliguntur, significant quod sicut si tenuerit justos Dominus, eorum cacumina manent inconcussa, et ut botri contriti lætitiæ vinum profundunt, sic in tribulationibus justi Christum lætificent; nasus autem ejus Apostolus effectus est in odorem suavitatis Christo [22], tanquam pomum quoque escam ac potum præbens mysteriorum Christi.

C

Ὠριγένους (6*).— Ἀπεικασθεῖσα φοίνικι, κ. τ. λ.(7).

Assimilata palmæ, etc.

(8) Ἐπειδὴ ἐπαπορητικῶς ἔλεγεν ὁ Νυμφίος· *τί ὡραιώθης καὶ τί ἡδύρθης, καὶ τὸ μέγεθός σου ὡμοιώθη τῷ φοίνικι*, τὴν αἰτίαν τοῦ πρὸς ὕψος ἐκτετακέναι ἑαυτὴν λέγει· ἐπειδὴ γάρ, φησιν, σὺ ὁ Νυμφίος φοίνιξ εἶ, παραπεφύτευμαι δὲ κἀγώ σοι τῷ φοίνικι, τῷ σῷ ὕψει ἀναβαίνουσα, εἰκότως ὑψοῦμαι, ἐγγίσαι τῷ σῷ ὕψει ἐπιθυμοῦσα, ἵνα κρατήσω τοῦ σοῦ ὕψους, καὶ γένωμαι μιμουμένη σε, ὅπερ εἰ σὺ τῇ ἀπραξίᾳ τῆς φύσεως· διὰ τοῦτο γὰρ κατέβης ἵνα ἐγὼ ἀνέλθω καὶ ἴδω τοὺς σοὺς μασθοὺς, ὡς βότρυας τῆς ἀληθινῆς ἀμπέλου, ποτίζοντας ἐὰν θλασθῶσιν εὐφροσύνην, τοὺς τὰ αἰσθητήρια γεγυμνασμένα ἔχοντας· εἰς τοῦτο γὰρ ἀπὸ τῆς νηπιότητος ἔφθασαν, κατ' ὀλίγον προκόψαντες, καὶ τῆς ὀσμῆς τῶν ῥινῶν σου ἀντελάβοντο ὡς μήλων, τὴν τῆς θεότητος εὐωδίαν, ἐν τῷ ἀνθρώπῳ νοοῦσα· ἣν κεκρυμμένην διὰ τῆς ῥινὸς ἀναπέμπει τὸ ἄσμα Παλαιᾶς καὶ Νέας Γραφῆς. *Καὶ λάρυγξ σου*, φησὶν, *ὡς οἶνος ἀγαθός*· ὁ εὐθύνων πρὸς σὲ τοὺς ἀφεστηκότας σου λόγος· ἱκανὸς ἐν χείλεσι καὶ ὀδοῦσιν, οὐκ ἐν τῇ γεύσει μόνον, ἀλλὰ καὶ ἐν τῇ χρήσει τὴν ἱκανότητα παρέχων· χείλη

Nili. — Quoniam addubitanter Sponsus dixerat : *Quam pulchra et quam suavis facta es : et magnitudo tua similis facta est palmæ*, causam dicit ob quam in altum sese extenderit : Quia enim, inquit, tu, Sponse, palma es, ego autem tibi quoque palmæ complantata sum, tua celsitudine ascendens merito extollar ad tuam altitudinem accedere desiderans, ut teneam tuam sublimitatem et illud in te imiter, quod tu naturæ dignitate exsistis. Propterea enim descendisti, ut ego ascenderem, et viderem ubera tua tanquam botros veræ vitis, cum confracti fuerint lætitia potantes eos qui sensus habent exercitatos. Ad hoc enim a juventute sensim proficientes pervenerunt, et odorem narium tuarum susceperunt tanquam pomum suavem, divinitatis odorem in homine absconsum per nasum percipiens, novæ ac veteris Scripturæ halitum emittit. *Et guttur tuum*, inquit, *sicut vinum bonum*, dirigens ad te illos qui defecerant. Sermo tuus sufficiens in labiis atque dentibus, non solum in gustu, verum etiam in usu sufficientiam præbens.

[22] Ephes. v, 2.

NOTÆ.

(6*) Anonyma in C. B.
(7) *Patrol.* t. XVII, col. 284.
(8) Anonyma in C. V.

Digitized by Google

Labia namque gustum, dentes vero uberem fruitionem denotant. Si autem Sponsus hæc Sponsæ dicat, plurima quidem similiter dixerit; illud vero *Dixi : Ascendam*, etc.,est istius modi quale est Christi Domini gratiis omne studium humanum vincentis, non ut jam teneat, et attingat et apprehendat, sed ut ascendere et eminere et altitudine prævalere intelligatur. Quantumcunque enim vis humana retributionibus Dei magnificentiam conata fuerit adæquare, et probarum laboribus actionum præcedentes gratias exsolvere, omnino immensis Dei beneficiis superata succumbet.

A γὰρ τὴν γεῦσιν, ὀδόντες δὲ τὴν πλουσίαν ἀπόλαυσιν δηλοῦσιν. Εἰ δὲ ὁ Νυμφίος ταῦτα λέγει τῇ Νύμφῃ, τὰ μὲν πλεῖστα εἴρηται ὁμοίως· τόδε *Εἶπα· Ἀναβήσομαι* καὶ τὰ ἑξῆς, τοιοῦτον· ὡς τοῦ Δεσπότου Χριστοῦ νικῶντος πᾶσαν τὴν ἀνθρωπίνην σπουδὴν ταῖς χάρισιν οὐκ ἐπὶ τοῦ κρατῆσαι, ἐπὶ τοῦ ἅψασθαι δὲ ἢ δράξασθαι· ἐπαναβῆναι δὲ καὶ ὑπερκύψαι καὶ πλεονεκτῆσαι τῷ ὕψει νοουμένου. Ὅσον γὰρ ἂν ἐκταθῇ δύναμις ἀνθρωπίνη περισωθῆναι ταῖς ἀμοιβαῖς φιλονεικοῦσα, τῇ μεγαλοδωρεᾷ, καὶ πόνοις κατορθωμένων ἐκτίσαι τὰς προϋπηργμένας χάριτας, ἡττηθήσεται πάντως, ταῖς ὑπερβαλλούσαις νικωμένη τοῦ Θεοῦ εὐεργεσίαις.

Vers. 10. *Ego fratrueli meo, et super me conversio ejus.*

Nili.—Tertio igitur ad ipsum ait apponens illud : *Super me conversio ejus*, quasi dicat : Quoniam ego memetipsam illi addixi, persuasum habeo quod licet modicum abstractus fuerit ad oves quæ perierant domus Israel, ad me denuo convertetur.

Cyrilli. — Vel quoniam ego confessionem illi offero, ad me etiam conversio ejus in secundo adventu, vel a populo Judæorum.

ι'. *Ἐγὼ τῷ ἀδελφιδῷ μου· ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ.*

Νείλου. — Ἐκ τρίτου τοίνυν τὸ αὐτὸ, φησὶν, προσθεῖσα τὸ ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ· ἀντὶ τοῦ, ἐπειδὴ ἐγὼ ἀνεθέμην αὐτῷ ἐμαυτὴν, πέπεισμαι ὅτι κἂν περισπασθῇ μικρὸν ἐπὶ τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραὴλ, ἐπ' ἐμὲ ἐπιστρέψει.

Κυρίλλου. — Ἢ ὅτι ἐγὼ τὴν ὁμολογίαν προσάγω, καὶ ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ· ἢ ἐν τῇ παρουσίᾳ τῇ δευτέρᾳ, ἢ καὶ ἀπὸ τοῦ λαοῦ τῶν Ἰουδαίων.

Philonis. — Vel etiam agrum vocat hunc mundum, castella vero Ecclesias, vites autem animas frugiferas. Illud vero *diluculo surgamus*, id est ignorantiam expulimus : florere autem vineam id est prædicationem : propaginem vero vocat in baptismate dealbatos. Loquitur autem ad Ecclesias vel fidelium animas, vel etiam videtur in ubertate confidere, sed sibimetipsi judicium minime tribuere.

Φίλωνος.— Ἢ καὶ ἀγρὸν τὸν κόσμον καλεῖ, κώμας δὲ τὰς Ἐκκλησίας, ἀμπελῶνας δὲ τὰς εὐκάρπους ψυχάς, τὸ δὲ, *ὀρθρίσωμεν*, τὴν ἄγνοιαν ἀπελάσωμεν· ἀνθῆσαι δὲ ἄμπελον τὸ κήρυγμα, τὸν κυπρισμὸν δὲ τοὺς λευκαυθέντας ἐν τῷ βαπτίσματι· πρὸς δὲ τὰς Ἐκκλησίας ἢ τῶν πιστῶν τὰς ψυχὰς, εἰ καὶ φαίνεται ἐπὶ καρποφορίαν θαῤῥοῦσα, ἀλλὰ τὸ κρίνειν οὐκ ἀποδίδωσιν ἑαυτῇ.

Origenis. — Est sermo jam perfectæ, quoniam nullibi omnino quietem ullam reperiet, quocunque se converterit, sicut apud me.

Ὠριγένους.— Τελειωθείσης ὁ λόγος, ὅτι μηδαμοῦ παντοδαπῆ ἀνάπαυσιν εὑρήσει, ὅπου ἑαυτὸν ἐπιστρέψει ὡς παρ' ἐμοί.

Vers. 11, 12. *Veni, fratruelis mi, exeamus in agrum, requiescamus in castellis. Diluculo surgamus in vineas, videamus si floruit vitis, floruit propago, floruerunt mala punica.*

ια', ιβ'. *Ἐλθὲ, ἀδελφιδέ μου· ἐξέλθωμεν εἰς ἀγρόν· αὐλισθῶμεν ἐν κώμαις· ὀρθρίσωμεν εἰς ἀμπελῶνας· ἴδωμεν εἰ ἤνθησεν ἡ ἄμπελος, ἤνθησεν ὁ κυπρισμὸς, ἤνθησαν αἱ ῥόαι.*

Origenis. — Pro inferioribus Sponsa intercedit, etc.

Ὠριγένους. — Περὶ τῶν ὑποδεεστέρων ἡ Νύμφη παρακαλεῖ, κ. τ. λ. (9).

Nili. — A corporea specie spiritalem describit, agrum et villas, ac matutinum ad vineas egressum Sponso proponens. Agrum itaque dicit hunc mundum, villæ seu castella dici possunt Ecclesiæ, vel animæ verbi capaces. Ilæ namque vites dicuntur, et mala punica florentia, quæ sunt diversæ hujus virtutes, quarum aliæ quidem per tribulationes vinum vitis factæ sunt : aliæ vero mala punica propter spem patientia munitam. Ibi porro iterum promittit daturum se ubera quæ transitum præbeant ad perfectionem et a lactatione ad vini copiam. Quin et mandragoras ait dedisse odorem suum, fortassis eos qui ex Christi imitatione bonorum operum spirant suavcolentiam. Mandragora nam-

Νείλου. — Ἀπὸ τῆς σωματικῆς ὥρας διαγράφει τὴν πνευματικήν· ἀγρὸν καὶ κώμας καὶ ὀρθρινὴν ἐπὶ τοὺς ἀμπελῶνας ἔξοδον, τῷ Νυμφίῳ ὑποθεμένη· ἀγρὸν τοίνυν φησὶ τὸν κόσμον, κῶμαι δὲ δύνανται λέγεσθαι αἱ Ἐκκλησίαι καὶ αἱ χωρητικαὶ τοῦ λόγου ψυχαί· αὗται γὰρ ἄμπελοι λέγονται, καὶ ῥόαι ἀνθοῦσαι διάφοροι ταύτης αἱ ἀρεταὶ, αἱ διὰ μὲν τῶν θλίψεων, οἶνος γενόμεναι ἀμπέλου· αἱ δὲ τὴν ἐλπίδα δι' ὑπομονῆς ἀσφαλίζουσαι ῥόαι. Ἐκεῖ δὲ πάλιν ἐπαγγέλλεται δώσειν τοὺς μασθοὺς, ἐπὶ τὴν τελειότητα μεταβληθησομένους, καὶ ἐπὶ οἰνότητα ἀπὸ γαλακτότητος· λέγει δὲ καὶ τοὺς μανδραγόρας δεδωκέναι ὀσμήν· τάχα τοὺς ἀπὸ μιμήσεως τοῦ Χριστοῦ τὸ εὐῶδες τῶν καλῶν ἔργων πνέοντας· καὶ γὰρ ὁ μανδραγόρας μιμεῖται τὸ

NOTÆ.

(9) *Patrol.* t. XVII, col. 284.

Digitized by Google

τοῦ μήλου σχῆμα καὶ τὴν εὐωδίαν· τοιοῦτος ἦν Παῦλος, ὡς μανδραγόρας κατ' ἀμφότερα τὸ μῆλον Χριστὸν μιμούμενος. Εἴποις δ' ἂν καὶ τοὺς συναναστάντας Χριστῷ εἶναι μανδραγόρας, ἐκ τοῦ τὴν ῥίζαν εἶναι ἀνδρεικελον, δι' ἧς σημαίνεται ἡ νεκρότης· καὶ ἐπὶ θύραις δὲ ὄντα τὰ ἀκρόδρυα, εἰκότως καὶ ἀκολούθως εὐαγγελίζεται νέα πρὸς παλαιοῖς τετηρηκέναι λέγουσα· ἐπὶ θύραις γὰρ ὄντως καὶ πλησίον ἐν χερσὶ τὰ ἀγαθὰ τῶν τῆς εὐαγγελικῆς πολιτείας καρπῶν· φησὶν οὖν, Πρὸς τῇ φυλακῇ μὲν τῶν νέων παραγγελμάτων, καὶ τὰς παλαιὰς ἐντολὰς τετήρηκα.

A que pomi speciem ac suavem odorem imitatur. Talis erat Paulus, qui tanquam mandragora in utroque Christum imitabatur. Dixeris quoque illos qui simul una cum Christo resurgunt esse mandragoras, eo quod radicem habeant viri similitudine præditam, qua significatur mortificatio. Sed et in ostiis cum sint omnes arborei fructus, merito ac consequenter narratur nuces novas ad veteres servasse. Nam cum ait ostiis, utique propinqua et in manibus bona erant fructuum evangelicæ politiæ. Ait igitur : Quoniam ad novorum præceptorum custodiam antiqua quoque mandata servavi.

Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί.

Ibi dabo ubera mea tibi.

Τοῖς γὰρ πιστοῖς τὰ βάθη τῶν δύο Διαθηκῶν ἀποκαλύπτεται· ἐπαγγέλλεται τοίνυν τὰ ἐν ταύταις νοήματα τῷ Νυμφίῳ ἀνατιθέναι.

Fidelibus enim profunda duorum Testamentorum revelat. Promittit igitur sensus qui in iis sunt Sponso deferre. B

ιγ'. *Οἱ μανδραγόραι ἔδωκαν ὀσμήν.*

VERS. 13. *Mandragoræ dederunt odorem.*

Οἱ μανδραγόραι ὑπὸ γῆν οὐρανομόρφους ἔχουσι ῥίζας. Οἱ νεκρώσαντες οὖν ἑαυτοὺς διὰ Χριστὸν, ἔδωκαν εὐωδίαν ἔργων ἀγαθῶν· ἢ οἱ νεκροὶ τῆς Χριστοῦ παρουσίας αἰσθανόμενοι, τῆς ἀναστάσεως δέδωκαν τὴν ὀσμήν.

Mandragoræ sub terra radices habent humana specie. Qui igitur semetipsos propter Christum mortificant, suavem dederant proborum operum odorem : vel mortui adventum Christi sentientes dederunt odorem resurrectionis.

Καὶ ἐπὶ θύραις ἡμῶν πάντα τὰ ἀκρόδρυα· νέα πρὸς παλαιὰ, ἀδελφιδέ μου, ἐτήρησά σοι.

Et in ostiis nostris omnes nuces novas ad veteres, fraterne mi, servavi tibi.

Τὰ ἤδη καρποφοροῦντα πρὸς ταῖς θύραις φησίν· δηλοῖ δὲ τοὺς κατὰ τὴν Παλαιὰν καὶ Νέαν ἀνθοῦντας.

Quæ jam fructificant, inquit, præ foribus sunt, significat autem illos qui in veteri et nova lege florent.

Φίλωνος. — Ἤγουν κεῖσθαί φησιν ἐν τοῖς αἰσθητηρίοις ἡμῶν τὰς ἀρετὰς καὶ κακίας· καὶ ὅτι τὴν Παλαιὰν ἡ Καινὴ Διαθήκη ἐπισφραγίζει.

Philonis. — Nempe in sensibus nostris virtutes et vitia consistere asserit, et Novum Testamentum Vetus obsignare. C

ΚΕΦΑΛ. Η'.

CAP. VIII.

α'. *Τίς δώσει, ἀδελφιδέ μου, θηλάζοντα μαστοὺς μητρός μου ;*

VERS. 1. *Quis det te, fraterne mi, sugentem ubera matris meæ?*

(10)Τῆς ἄνω Ἱερουσαλὴμ, φησὶν, ἧς σύμβολον ἡ ἐπὶ γῆς κειμένη, ῥεούσης γάλα καὶ μέλι, ἐν ᾗ βούλεται τῷ Νυμφίῳ συνεστιᾶσθαι· γάλα δὲ νῦν, ἡ ἄδολος καὶ τρυφητικὴ τροφή.

Origenis. — Supernæ, inquit, Jerusalem cujus symbolum est hæc terrestris quæ in terra sita est fluente melle et lacte, in qua vult cum Sponso convivari. Lac autem nunc est doli expers et deliciosum edulium.

Κυρίλλου. — Ἁγιάζεται τοίνυν ἡ τροφὴ τῆς Νύμφης, συνευωχουμένου Χριστοῦ· ἤγουν εὔχεται τὴν ἐπιδημίαν τοῦ Σωτῆρος εἰς τὴν Ἰουδαίαν ἡ Ἐκκλησία γενέσθαι, κατὰ πρόνοιαν τοῦ διδόντος αὐτὸν τοῖς ἀνθρώποις, ἵνα θηλάσῃ τὴν Θεοτόκον.

Cyrilli. — Sanctificatur itaque Sponsæ cibus convivante Christo. Optat nimirum Ecclesia ut adventus Salvatoris in Judæam fiat juxta providentiam ipsius Patris dantis ut Deiparam lactet.

Φίλωνος. — Ἐν γὰρ τοῖς ἀρτιγεννήτοις ὑπὸ τοῦ Πνεύματος μορφούμενος ὁ Χριστὸς, θηλάζει τὴν σοφίαν δι' αὐτῶν. D

Philonis. — Nam in recens genitis a Spiritu formatus Christus sugit per ipsos sapientiam.

Νείλου. — Τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν ἐπιθυμεῖν ἡ Νύμφη ἔοικεν· ἐν ᾗ συγκαταβαίνων διὰ τὸ ἀνθρωποπαθὲς, εὔληπτος αὐτῆς ἔσται, καὶ τῆς οἰκείας καταστάσεως ἔξω εὑρεθεὶς, μένων ὅ ἦν, μετὰ παῤῥησίας αὐτὴν κατασκευάσει, γνησίων καὶ ἡδονὴν ἔνθεον κινούντων ἀπολαῦσαι λόγων. Ἐπὶ τούτοις γὰρ τοῖς φιλήμασιν οὐκ ἐξουδενοῦται, ἔπαινον ἔχουσιν, οὐ κατάγνωσιν· παραλήψεται δὲ αὐτὸν αὐτὴ, ἐπειδὴ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· εἰσάξει δὲ καὶ εἰς οἶκον μητρὸς αὐτῆς καὶ εἰς ταμιεῖον τῆς συλλαβούσης· αὐτὴν τῆς ἀνθρωπίνης σοφίας· ἔδει γὰρ αὐτὸν ἄνθρω-

Nili. — Ipsius in carne præsentiam visa est Sponsa desiderare, in qua per humanitatis affectionem condescendens ipsi captu facilis erit, et extra proprium statum repertus manens quod erat cum fiducia faciet eam veris et divinam voluptatem moventibus frui sermonibus. Propter hæc enim oscula quæ non vitio sed laudi dantur minime contemnitur ; sed ipsa ipsum suscipiet quando quidem sui eum non receperunt. Introducet autem ipsum in domum matris suæ et in cubiculum concipientis ipsam humanæ sapientiæ. Oportebat enim ipsum

NOTÆ.

(10) Hæc sunt Origenis in C. B.

Digitized by Google

cuplo incremento aucti octoginta concubinæ, quæ secundum a regina ordinem obtinent, quod metu servili et non amore sponsali ad bonum accedant. Verumtamen si dilectio plane tandem metum ejiciat, mutatusque metus dilectio fiat : tum demum unitas reperitur id quod salutem consequitur, omnibus inter se unitis in conglutinatione cum uno soloque bono, per illam quæ in columba est perfectionem, ut sicut in Evangelio ait : « Unum sint, sicut nos unum sumus [12]. » Hujus autem unitatis nexus est Spiritus sanctus. Quamobrem is qui de puero in virum perfectum augescendo evasit, ad mensuram ætatis spiritualis pervenit, e mancipio, et concubina regiæ dignitatis particeps effectus. Denique capax gloriæ Spiritus sancti factus per impassibilitatem ac puritatem, hic est perfecta columba. Hujus porro matrem dicit columbam illam quæ de cœlo ad Jordanem devolavit. Nam in filio genitoris omnino natura conspicitur. Hanc igitur animam felicem prædicant adolescentulæ, hanc concubinæ, hanc reginæ laudant. Etenim communis animalibus omnibus ad beatitudinem talem cursus propositus est. Omnes autem hi a natura comparati sunt, ut cupiditate animi ad id quod beatum est atque laudabile contendant. Quamobrem si columbam hanc filiæ beatam prædicant, omnino et ipsæ fieri columbæ cupiunt. Itidem quod a concubinis et reginis columba laudatur, argumento est has quoque studiosas illius esse quod prædicatur, donec tandem iis omnibus unum factis, qui ad eamdem desiderii metam respiciunt et nulla in ullo vitiositate superante, omnia Deus in omnibus fiat, quotquot per unitatem inter se in boni societate coalescunt.

Nili. — Sexaginta reginas forte dicit eos qui in Judaismo sunt. Erant enim aliquando regnum et sacerdotum et gens sancta : octoginta vero pellices illas hæreses quæ quidem per mysterium resurrectionis octavæ denario annumerantur, sed minime legitimum cum illo conjugium habeant quod sensu spirituali per concubinas significantur. Adolescentulas porro vocat gentes a Deo alienas et a lege Spiritus extraneas quas ne numero quidem dignas censuit ; non enim propter multitudinem, is qui stellarum multitudinem annumerat, ipsas non numeravit, sed quod non dignæ essent numero. Illa namque numero digna censet quæ ordinem eximium et fide dignum obtinent. Unam autem columbam vocat Ecclesiam, quæ cum dormiverit inter medios cleros, columba facta est perfecta. Quæ alas habeat deargentatas, et posteriora dorsi in pallore auri, propter perfectionem habitus virtutis, perfecto Patri qui in cœlis est assimilatam, et electam existentem matri suæ sapientiæ, quæ ipsam genuit in doctrinis veritatis, quam nunc quidem viderunt filiæ reginæ et concubinæ ; sed non intel-

[12] Joan. XVII, 22.

Ἐπὶ τὸ δεκαπλάσιον αὔξησις, γενόμεναι ὀγδοήκοντα παλλακαὶ, τὴν δευτέραν τάξιν ἔχουσαι μετὰ τὴν βασίλισσαν· αἳ φόβῳ δουλικῷ καὶ οὐχὶ ἔρωτι νυμφικῷ τῷ ἀγαθῷ προσεγγίζουσι. Πλὴν εἰ ἔξω βάλλει τελείως ἡ ἀγάπη τὸν φόβον, καὶ μεταποιηθεὶς ὁ φόβος ἀγάπη γένοιτο, τότε εὑρίσκεται μονὰς τὸ σωζόμενον, ἐν τῇ πρὸς τὸν μόνον ἀγαθὸν συμφυΐᾳ· πάντων ἀλλήλοις ἑνωθέντων, διὰ τῆς κατὰ τὴν περιστερὰν τελειότητος· ἵνα καθὼς φησιν ἐν Εὐαγγελίοις· « Ἕν ὦσι, καθὼς ἡμεῖς ἕν ἐσμεν· » τὸ δὲ συνδετικὸν τῆς ἑνώτητος ταύτης τὸ Πνεῦμα τὸ ἅγιον· ὁ τοίνυν ἐκ μὲν νηπίου εἰς ἄνδρα τέλειον ἀναδραμὼν διὰ τῆς αὐξήσεως, καὶ φθάσας εἰς τὸ μέτρον τῆς νοητῆς ἡλικίας, ἐκ δὲ τῆς δούλης τε καὶ παλλακίδος τὴν τῆς βασιλικῆς ἀξίαν μεταλαβών, δεκτικὸς δὲ τῆς τοῦ Πνεύματος δόξης γενόμενος δι' εὐπαθείας καὶ καθαρότητος, οὗτός ἐστιν ἡ τελεία περιστερά. Μητέρα δὲ αὐτοῦ λέγει εἶναι τὴν περιστερὰν ἐκείνην, τὴν ἐπὶ τῷ Ἰορδάνῃ ἐκ τοῦ οὐρανοῦ καταπτᾶσαν· τῷ γὰρ τέκνῳ πάντως, ἡ τοῦ γεγεννηκότος ἐπιθεωρεῖται φύσις· ταύτην τὴν ψυχὴν μακαριοῦσιν αἱ νεάνιδες· ταύτην αἰνοῦσι παλλακαὶ καὶ βασίλισσαι· κοινὸς γὰρ ἐπὶ παντὸς τάγματος πάσαις ψυχαῖς ὁ δρόμος, πρὸς τὴν τοιαύτην μακαριότητα· φύσις δέ ἐστι πᾶσι πρὸς τὸ μακάριόν τε καὶ ἐπαινουμένοις τῆς ἐπιθυμίας συντείνεσθαι· ὥστε εἰ μακαρίζουσι τὴν περιστερὰν αἱ θυγατέρες, ἐπιθυμοῦσι πάντως γενέσθαι περιστεραὶ καὶ αὗται· καὶ τὸ αἰνεῖσθαι παρὰ τῶν παλλακίδων καὶ βασιλίδων, τεκμήριόν ἐστι τοῦ καὶ αὐτὰς πρὸς τὸν ἐπαινούμενον τὴν σπουδὴν ἔχειν· ἕως ἂν πάντων ἐν γενομένων τῶν πρὸς τὸν αὐτὸν τῆς ἐπιθυμίας βλεπόντων σκοπὸν, μηδὲ μιᾶς ἐν μηδενὶ κακίας ὑπολειφθείσης, γένηται ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι τοῖς διὰ τῆς ἑνότητος ἐν τῇ τοῦ ἀγαθοῦ κοινωνίᾳ συγκεκραμένοις.

Νείλου. — Ἑξήκοντα βασίλισσαι, τάχα τοὺς ἐν τῷ Ἰουδαϊσμῷ λέγει. Βασίλειον γὰρ ἦσάν ποτε ἱεράτευμα καὶ ἔθνος ἅγιον· ὀγδοήκοντα δὲ παλλακὰς, τὰς διὰ μὲν τὸ τῆς ἀναστάσεως μυστήριον τῇ ὀγδόῃ δεκάδι ἀριθμουμένας· διὰ δὲ τὸ μὴ γνησίαν τὴν πρὸς αὐτὸν ἔχειν συζυγίαν, τῷ τῶν παλλακίδων ὀνόματι σημαινομένας αἱρέσεις. Νεάνιδας δὲ, ἃς οὔτε ἀριθμοῦ ἠξίωσε, τὰ ἔθνη τὰ ἀπηλλοτριωμένα τοῦ Θεοῦ, καὶ ξένα τῶν διαθηκῶν τοῦ πατρός· οὐ γὰρ διὰ πλῆθος αὐτὰς ὁ τὸ πλῆθος τῶν ἄστρων ἀριθμῶν οὐκ ἠρίθμησεν, ἀλλὰ διὰ τὸ ἀνάξιον τοῦ ἀριθμοῦ. Ταῦτα γὰρ ἀξιοῖ ἀριθμεῖν, ὅσα τὴν τάξιν ἐλλόγιμον ἔχει καὶ ἀξιόπιστον· μίαν δὲ περιστερὰν λέγει τὴν Ἐκκλησίαν, ἥ τις διὰ τὸ κεκοιμῆσθαι ἀνὰ μέσων τῶν κλήρων, περιστερὰ γέγονε τελεία, τὰς πτέρυγας ἔχουσα περιηργυρωμένας, καὶ τὰ μετάφρενα ἐν χλωρότητι χρυσίου· διὰ τὸ τέλειον τῆς κατ' ἀρετὴν ἕξεως ὁμοιωθεῖσα τῷ ἐν οὐρανοῖς τελείῳ Πατρὶ, καὶ ἐκλεκτὴν οὖσαν τῇ μητρὶ αὐτῆς, τῇ ἐν τοῖς τῆς ἀληθείας δόγμασιν αὐτὴν τεκούσῃ σοφίᾳ ἣν νῦν μὲν εἶδοσαν θυγατέρες βασίλισσαι καὶ παλλακαὶ, οὐκ ἐνόησαν δὲ, οὐδὲ συνῆκαν τὸ περὶ αὐτὴν οἰκονομηθὲν μυστήριον· αἱ

Digitized by Google

νέσουσι δὲ ἐν τῷ καιρῷ τῆς ἀνταποδόσεως· ἐξιωμένην τὴν πρὸς τὸν Χριστὸν συνάφειαν. Τὸ μὲν γὰρ, ἐπὶ τοῦ παρελθόντος· τὸ δὲ *μακαριοῦσι* καὶ *αἰνέσουσι* ἐπὶ τοῦ μέλλοντος.

A lexerunt neque cognoverunt mysterium quod circa ipsam dispensatum fuit. In tempore autem remunerationis laudabunt eam quod Christi conjunctione intima digna sit habita. Illud quidem ad præteritum, hoc vero quod ait *beatificabunt* et *laudabunt* ad futurum refertur.

Φίλωνος. —Ἢ ἑξήκοντα βασίλισσαι, τὰς ἐκ τῶν δώδεκα φυλῶν ταῖς πέντε καθαρευούσαις αἰσθήσεσι ψυχάς. Περιστερὰ δὲ ἡ ἄκακος Ἐκκλησία Χριστοῦ· τῇ δὲ μητρὶ αὐτῆς ἐστι μία τῇ ἐπ' οὐρανίῳ σοφίᾳ, τῇ σαρκὶ Χριστοῦ ἐκλεκτῇ οὔσῃ, ἐν τῷ ἀναγεννᾶσθαι αὐτήν· ἣν αἱ θυγατέρες μακαριοῦσι· « Πολλοὶ γὰρ προφῆται καὶ βασιλεῖς ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον. »

Philonis. — Vel etiam sexaginta reginas intelligit a duodecim tribubus animas quinque sensibus purificatas. Columba vero pura Christi Ecclesia quæ est unica matri suæ cœlesti sapientiæ, carni Christi electæ exsistenti in ejus regeneratione, quam filiæ beatificabunt. « Multi enim prophetæ et reges voluerunt videre quæ videtis, et non viderunt [13]. »

Ἀπολιναρίου.— Καὶ ἄλλως· τὸ τελειότατον αὐτῆς ἐν τῇ πρὸς Θεὸν οἰκειώσει δηλοῦται, παραβαλλομένης τῆς τελείας Ἐκκλησίας τοῖς τε ἐκ τῆς προτέρας κλήσεως ἐπιφανεστάτοις, καὶ τοῖς νῦν δευτέροις μετ' αὐτήν. Κοσμικὴ δὲ ἡ τοῦ προτέρου λαοῦ κλῆσις, καὶ τῇ ἑξάδι σύστοιχος τῇ κοσμογόνῳ· ἡγεμονικὴ δὲ αὕτη καὶ ἡ ἐπὶ βασιλείᾳ κειμένη· τηρεῖται δὲ τῷ γένει τῷ Ἰσραηλιτικῷ τὸ βασιλικὸν ἀξίωμα παρὰ Χριστοῦ κατὰ τὰς προφητείας, τὸν τοῦ Δαβὶδ ἐπαγγελλομένας θρόνον, καὶ τὸν τούτου κατορθωτὴν Χριστὸν, κατὰ τὸ ἐν Εὐαγγελίοις· καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας· τὰς δὲ τῆς Νέας Διαθήκης, ὀγδοήκοντα δείκνυσιν ἀριθμός.

Apollinarii. — Aliter etiam id quod perfectissimum est in ejus cum Deo familiaritate declaratur, dum Ecclesiæ perfectio cum eminentissimis quibusque prioris vocationis comparatur, et modo posterioribus post ipsam. Mundana porro illa prioris populi vocatio etiam sextenario quo mundus hic creatus est coelementalis exsistit, eademque principalis et in regno sita. Servatur autem generi israelitico dignitas regalis in Christo secundum prophetias quæ promittunt thronum David, et ejus directorem Christum, juxta Evangelia librosque Regum in domo Jacob in sæcula : Novi denique Testamenti fœdera numerus indicat octogenarius.

Ἡσιδώρου. — Τί ἐστιν, *ἑξήκοντά εἰσι βασίλισσαι*, καὶ τὰ ἑξῆς, ἄκουε· ἐχέτω μὲν ἡ ἀμώμητος καὶ παρθένος Ἐκκλησία, ἡ ὀρθὴν καὶ περὶ τὸν θεῖον πίστιν ἔχουσα τὰ πρωτεῖα, καὶ αὕτη καλείσθω περιστερὰ τελεία, ὅλων τῶν ταγμάτων ὑπερβαίνουσα τὴν ἀξίαν. Εἰ δὲ καὶ εἰς πράξεις αὐτὸ ἐκλαβεῖν χρὴ, λελέχθω καὶ τάδε· *ἑξήκοντά εἰσι βασίλισσαι*, αἱ τῆς βασιλείας ἕνεκεν εὖ πράττουσαι ψυχαί· καὶ *ὀγδοήκοντα παλλακαί*, αἱ φόβῳ τῆς κολάσεως ἀπεχόμεναι κακοῦ· *καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμὸς*, αἱ διά τινας προφάσεις κοσμικὰς σωφρονοῦσαι, καὶ τὸ δίκαιον διώκουσαι· δι' ὧν οὔτε πόθῳ τῆς βασιλείας, οὔτε φόβῳ τῆς κρίσεως τὸ δέον πράττουσαι, ἀλλ' ἵνα πλούτου ἢ δόξης ἢ τινος μὴ στερηθῶσι. *Μία ἐστὶ περιστερὰ τελεία* ἡ τὸ καλὸν πράττουσα, τῶν ἄκρων ἁγίων σύνοδος, ἡ οὔτε διὰ μισθὸν, οὔτε διὰ τιμωρίαν, οὔτε διὰ πρόφασίν τινα βιωτικὴν, ἀλλὰ διὰ τὸ τῷ Θεῷ φίλον πράττουσα τὸ δέον.

Isidori. — Audi quid sibi velit illud : *Sexaginta sunt reginæ*, etc. Teneat quidem primas immaculata et virgo Ecclesia, quæ et rectam de divino numine fidem habet, et ipsa vocetur columba perfecta, omnium ordinum dignitatem transcendens. Si vero etiam ad actiones hoc referre oportet, dicantur et hæc : *Sexaginta sunt reginæ*, scilicet animæ quæ regni causa bene agunt : *et octoginta concubinæ*, quæ metu supplicii abstinent a malo. *Et adolescentulæ quarum non est numerus*, quæ propter respectus aliquos mundanos sese continent et sectantur justitiam, a quibus, neque regni desiderio, neque judicii timore, id quod decet agitur, sed ne divitiis, vel gloria, vel honore aliquo priventur. *Una est columba mea*, perfecta, quæ bonum agat : nempe sublimium sanctorum congregatio quæ neque propter mercedem, neque propter supplicium, neque ob alium quempiam respectum temporalem, sed quia Deo placeat, bonum agit.

Ὠριγένους. — Αἱ νεάνιδες ἀριθμὸν οὐκ ἔχουσαι, κ. τ. λ. (90).

Origenis. — Adolescentulæ numerum non habent, etc.

(91) Αἴτιος οὖν γενοῦ τῆς ἀγαλλιάσεως· αἴτιος οὖν γενοῦ τοῦ δραμεῖν αὐτὸν ἐπὶ σέ· θέλει γάρ σε προασπάσασθαι, θέλει προλαβεῖν (92).

Fias igitur causa exsultationis; fias occasio ejus ad te occursus : vult enim te attrahere, vult assumere.

[13] Luc. x, 24.

NOTÆ.

(90) *Patrol.* t. XVII, col. 277.

(91) S. Gregorii Nysseni sermo 15, sive postremus, in Cantica desinit in cap. v, 8. Neque deinceps in codice Vaticano, unde hanc Patrum Catenam edimus, nomen Gregorii legitur. Quare judicent eruditi lectores, utrum de auctore Procopio, an de quovis alio cogitandum sit, ubi loci occurrunt ἀδέσποτοι. Mihi quidem otium ad hanc inquisitionem non suppetit.

(92) Αἴτιος — προλαβεῖν. Hæc in C. B. Origeni ascribuntur.

Digitized by Google

VERS. 9. *Quæ est ista quæ progreditur quasi aurora, pulchra ut luna, electa ut sol, pavor ut acies ordinatæ?*

Origenis. — Considera Sponsam multas Sponsi laudes reveritam recessisse; conferens autem cum ipsa reliquarum accedentium animas Sponsus admiratur absentis perfectionem, ob quam filiæ quæ pulchritudinem ejus contemplabantur, ipsam prædicant beatam, et concubinæ et reginæ tanquam diviniorem laudant. In quibus Sponsa quasi sub splendidissimo tabernaculo existens appareat, et Sponsus ea quæ hic proponuntur ad cæteros de illa dicat. Anima enim de tenebris promicans cum aurora primum comparatur, quia tunc recens incipit dies illucescere. Cum autem de mundo rebusque mundanis emerserit, fit tanquam electa, id est plena luna, non habens in se partem quæ a Sole justitiæ non illuminetur. Cæterum quia luna in potestatem noctis posita est, ea vero quæ perfecta anima, vel macula rugisque carentes Ecclesiæ sunt exemplo lunæ minime continentur; idcirco juxta Isaiam [15], erit luna sicut sol, lumen vero ejus ita percellet, ut in stuporem etiam agantur inferiores, tanquam spectaculorum ejus et ex eisdem operationum multitudo æquivalcat toti multitudini eorum quæ in hoc universo collocata sunt. Fortassis vero ex eo quod intelligatur Verbum, eum ex qui sermonibus est et rerum omnium ordinem assumpsisse, figuræ rerum ordinatarum ipsi insitæ faciunt ipsam ad instar ordinatarum in hoc universo virtutum.

Nili.—Cœleste ipsius vitæ institutum obstupescentes amici sponsi percellebantur et confitentur stuporem suum actionum ejus aspicientes lucere coram hominibus : ita ut omnia decenter et secundum ordinem faciens composita sit acies, nihil delicti, nihilque confusi in se continens. Pulchra vero est ut luna et electa ut sol, quandoquidem tam in die quam in nocte versantes illuminat, unicuique statui prout commodum est utiliter sese adaptans. Cæterum sicut aurora quoque a statu proprio per condescensionem progreditur, non totam semetipsam ostendens iis qui illam totam videre non poterant, sed per partes promicans pro ratione facultatis intuentium, et sicut aurora progrediens non sicut meridies, nec sicut splendor diurnus, siquidem solari radio perfrui necdum poterant, sed caliginoso statu relicto, matutina et blandiori luce utebantur, ne repentinus solaris radii fulgor, oculum in tenebris versatum, ita subito illuminatum læderet.

Apollinarii. — Qui et pro diversis facultatibus, diversis rebus assimilatur. Nam habet quidem lunæ blanditiem, solis vero puritatem.

Philonis. — Quandoquidem enim morte paula-

[15] Isa. xxx, 26.

θ'. *Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ἥλιος, θόμβος ὡς τεταγμένα;*

(95) Νόει τὴν Νύμφην ἀνακεχωρηκέναι τοῦ Νυμφίου, τοὺς πολλοὺς αἰδουμένην ἐπαίνους· παρατιθεὶς δὲ ταύτην τὰς τῶν ἄλλων τῶν προσεληλυθότων ψυχὰς ὁ Νυμφίος, θαυμαζέτω τῆς ἀπούσης τὴν τελειότητα, ἐφ' οἷς αἱ θεωροῦσαι θυγατέρες αὐτῆς τὸ κάλλος, μακαρίζουσιν αὐτήν· καὶ αἱ παλλακαὶ καὶ βασίλισσαι ὡς θυγατέρα αἰνοῦσιν· ἐφ' οἷς ἡ Νύμφη καθάπερ ἐπὶ σκηνῆς λαμπροτάτη γενομένη φαινέσθω· καὶ τοῖς ἑτέροις ὁ Νυμφίος, τὰ προκείμενα λεγέτω περὶ αὐτῆς. Ἡ προκύπτουσα γὰρ ἐκ σκότους ψυχὴ, ὄρθρῳ πρώτον εἰκάζεται, διὰ τὸ ἄρτι ἀρχομένας ἡμέρας καταυγάζεσθαι· ἐκκύψασα δὲ τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ, γίνεται ὡς ἐκλεκτὴ σελήνη τουτέστιν ἡ πανσέληνος, μὴ ἔχουσα ἐν ἑαυτῇ μέρος ἀφώτιστον τοῦ τῆς δικαιοσύνης Ἡλίου. Ἀλλ' ἐπεὶ ἡ σελήνη εἰς ἀρχὰς τέτακται τῆς νυκτὸς, οὐχ ἵσταται δὲ τὰ τῆς ἀμώμου καὶ ἀσπίλου Ἐκκλησίας, κατὰ τὸ τῆς σελήνης παράδειγμα, διὰ τοῦτο κατὰ τὸ παρ' Ἡσαΐᾳ, ἔσται ἡ σελήνη ὡς ὁ ἥλιος· τὸ δὲ φῶς αὐτῆς οὕτω καταπληκτικὸν, ὡς ἐκθαμβηθῆναι τοὺς ὑποδεεστέρους· ἴσον δύνασθαι τῶν ἐν αὐτῇ θεωρημάτων τὸ πλῆθος καὶ τῶν ἐκ τούτων ἔργων, ὅλῳ τῷ πλήθει τῶν ἐν τῷ παντὶ τεταγμένων. Τάχα δὲ ἐκ τοῦ νενοηκέναι τὴν ἐν τοῖς λόγοις τάξιν καὶ πάντων ἀνειληφέναι τὸν λόγον, τύποι ἐγγινόμενοι αὐτοὶ τῶν τεταγμένων ποιοῦσιν αὐτὴν εἶναι ὡς τὰς τεταγμένας ἐν τῷ παντὶ δυνάμεις.

Νείλου. — Τὸ ἐπουράνιον αὐτῆς πολίτευμα καταπλαγέντες οἱ φίλοι τοῦ Νυμφίου ἐθαμβήθησαν, καὶ ὁμολογοῦσι τὴν ἔκπληξιν, τὸ φῶς τῶν πράξεων αὐτῆς βλέποντες λάμπον ἔμπροσθεν τῶν ἀνθρώπων· ὅπως πάντα εὐσχημόνως καὶ κατὰ τάξιν ποιοῦσα, τεταγμένη ἐστὶ τῇ καταστάσει, οὐδὲν ἔχουσα πλημμελὲς, οὐδὲ συγχεχυμένον. Καλὴ δέ ἐστιν ὡς σελήνη, καὶ ἐκλεκτὴ ὡς ἥλιος· ἐπειδὴ καὶ τὰς ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ φωτίζει ἑκάστῃ καταστάσει τῶν ὠφελουμένων προσφόρως ἁρμοζομένη· καὶ ὡς ὄρθρος δὲ ἐκκύπτει τῆς οἰκείας ἕξεως συγκαταβατικῶς· οὐχ ὅλην δὲ αὐτὴν δεικνύουσα τοῖς ὅλην ἰδεῖν οὐ δυναμένοις, ἀλλὰ μερικῶς ἐκκύπτουσα πρὸς τὴν ἀναλογίαν τῆς τῶν ὁρώντων δυνάμεως· καὶ ἐκκύπτουσα ὡς ὄρθρος, οὐχ ὡς μεσημβρία οὐδὲ ὡς φέγγος ἡμερινόν· διὰ μὲν τὸ ἔτι τυγχάνειν ἀγεύστοις τῆς ἀπολαύσεως, δυναμένους ἡλιακῆς εὐθέως μετέχειν ἀκτῖνος· διὰ δὲ τὸ παρεληλυθέναι τὴν ζοφώδη κατάστασιν, χρῄζοντας ὀρθρινοῦ καὶ προσηνεστέρου φωτός· ὥστε μὴ ἀθρόᾳ ἡλιακῆς ἀκτῖνος αἴγλῃ καταλαμφθέντα ἀδικηθῆναι τὸν ἐν τῷ σκότει ἐνόντα ὀφθαλμόν.

Ἀπολιναρίου. — Καὶ κατὰ διαφόρους δὲ δυνάμεις, διαφόροις ἀπεικάζεται πράγμασιν· ἔχει γὰρ τῆς μὲν σελήνης τὸ προσηνὲς, τοῦ δὲ ἡλίου τὸ καθαρόν.

Φίλωνος. — Ἐπειδὴ γὰρ ὤφθη πρὸς μικρὸν τῷ

NOTÆ.

(95) Scholium hoc Origeni vindicat C.B.

Digitized by Google

ἐνάτῳ ὡς σελήνη, καὶ ἀνανεοῦται τῇ ἀναστάσει ὡς ἥλιος διὰ τὴν τῆς ἀρετῆς λαμπρότητα, θάμβους ἐστὶν ἀξία, ὡς ἀγγέλοις γενομένη ὁμοδίαιτος.

ι', ια'. *Εἰς κῆπον καρύας κατέβην ἰδεῖν ἐν γευνήματι τοῦ χειμάρρου· ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος, εἰ ἤνθησαν αἱ ῥόαι. Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί· οὐκ ἔγνω ἡ ψυχή μου· ἔθετό με ἅρματα Ἀμιναδάβ.*

Ὠριγένους. — Κατά τι παράδειγμα οἱ δίκαιοι, κ. τ. λ. (94).

Νείλου. — Ἡ Νύμφη διηγεῖται ὡς καταβᾶσα εἰς κῆπον καρύας πρὸς τοὺς ἐπ' ἁμαρτήμασι παιδευομένους, οὐ τῇ τυχούσῃ ῥάβδῳ, ἀλλὰ καρυΐνῃ, πολὺ τὸ πικρὸν ἐχούσῃ καὶ ἐπίπονον, ἰδεῖν τὸν ἀπὸ τῆς παιδείας καρπόν, ἰδεῖν ποῖον γέννημα γεωργοῦσιν. Οἱ ἐν τῷ χειμάρρῳ τῶν πειρασμῶν καταλελειμμένοι, εὐχαρίστως φέρουσι τὰ τῆς παιδείας δεινὰ, ἢ δυσανασχετοῦσι καὶ δυσφημίας καρποὺς ἀποδιδόασι τῷ ἰατρικῶς, ἀλλ' οὐ τιμωρητικῶς παιδεύοντι· ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος, ἢ ῥόα· οἱ ἐκ μεγάλων κατορθωμάτων διὰ ῥᾳθυμίας μικρᾶς, εὐκόλως ἁμαρτίᾳ ἁλόντες· καὶ εἰ ἤνθησαν οὗτοι οἱ παρελθόντες τὸ τοῦ χειμάρρου ἀνυπόστατον ὕδωρ, μὴ παρασυρέντες πρὸς βλάσφημον ἔννοιαν· εἶτά φησι, *Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί*· τοὺς ἔτι τὸ τῆς νηπιότητος ἔχοντας γάλα· ἵνα βελτιωθῶσιν ἀπὸ οἴνου τῆς σῆς διδασκαλίας. Καὶ ἐπεὶ ἐβελτιώθη ὀξέως, τὸ τάχος θέλουσα δεῖξαι τῆς μεταβολῆς· *Οὐκ ἔγνω*, φησὶν, *ἡ ψυχή μου, πῶς ἐγενόμην ἅρματα Ἀμιναδάβ*, τοῦ ἑρμηνευομένου ἄρχων λαοῦ μου. Λελυθότος γὰρ ἡ μὲν νηπιώδης ὑπέῤῥευσε παρελθοῦσα κατάστασις· ὄχημα δὲ γέγονε τοῦ ἄρχοντος τοῦ λαοῦ μου, ὅς ἐστι Χριστός· ἁμαξήλατον λοιπὸν τρέχουσα καὶ ἱππήλατον τὴν τῆς ἀληθείας ὁδὸν· ταῖς ἁρματοτροχίαις ἐνσημαινομένη τῆς ἀγαθῆς πολιτείας τὰ σύμβολα, καὶ ἴχνη καταλιμπάνουσα τοῖς ὁδεύουσι τὸν βίον, πρεπούσης θεοσεβεῖν ἐθέλουσα ζωῆς.

Φίλωνος. — Τὴν Συναγωγὴν κῆπον καρύας παρὰ τοῦ Νυμφίου λελέχθαι φησίν· ἔνθα ἡ ῥάβδος Ἀαρὼν ἡ καρυΐνη· καὶ τὸ κατέβην ἐν τὸ καιρῷ τοῦ πάθους, εἰ ἤνθησεν ἡ ἄμπελος ἡ τῶν Ἰουδαίων, εἰ ἤνθησαν αἱ ῥόαι, αἱ διαφόρως ἐπ' αὐτῆς ἐπενεχθεῖσαι παιδεῖαι· διὰ τὴν ἔξωθεν στύψιν, καὶ τὸν ἔνδον εἰρηνικὸν καὶ τεταγμένον καρπόν.

Τοῦ αὐτοῦ. — Εἶτά φησιν ἡ Νύμφη, *Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί*· τὰς δύο Διαθήκας τετελεσμένας ἐν ἔργῳ καὶ λόγῳ προσοίσω σοι· *Οὐκ ἔγνω ἡ ψυχή μου*· ἐν ἀγνοίᾳ, φησὶν, ἤμην τὸ πρότερον, ἕως οὗ ἔθετό με ἅρματα ἡ τοῦ Πατρὸς εὐδοκία· οὕτω γὰρ Ἀμιναδὰβ ἑρμηνεύεται· λέγει γὰρ Ἀββακούμ· « Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου· καὶ ἡ ἱππασία σου σωτηρία. »

ιβ'. *Ἐπίστρεφε, ἐπίστρεφε, ἡ Σουλαβίτις· ἐπίστρεφε, ἐπίστρεφε· καὶ ὀψόμεθά ἐν σοί.*

A tim deficit sicut luna, et innovatur resurrectione sicut sol[15], propter virtutis splendorem admiratione digna est, utpote angelis facta contubernalis.

VERS. 10, 11. *In hortum nucis descendi videre in genimina torrentis; videre si floruit vitis, efflo-ruerunt mala punica. Ibi dabo ubera mea tibi: non novit anima mea. Posuit me currus Aminadab.*

Origenis. — Fortassis secundum quamdam similitudinem justi sunt nuces, etc.

Nili. — Sponsa recenset quomodo descendit in hortum nucis ad eos qui ob peccata castigabantur, non qualibet virga, sed nucea quæ multum habet amaroris et molestiæ, ad videndum fructum disci-
Quando rata habenda sunt verba desponsationis, volunt addere sorori quæ desunt ipsi ad perfectionem. Si enim, inquiunt, murus est, Ecclesia tanquam columna et firmamentum veritatis, adimpleamus ipsi rationales refectiones quas et propugnacula vocarunt. Janua autem est firmitas descripta, non atramento, sed Spiritu Dei viventis. Tanquam super januas vero etiam tabulam aiunt figuratam ad januæ perfectionem. Cedrina porro incorruptum designat Spiritus amictum; hic enim humanam astringit imbecillitatem. Interrogant igitur sancti, de recens illuminatis et responsum accipiunt. Si quidem solida petra evasit et fide firma, addamus oracula divina. Si vero janua est motu facilis et ex synagoga credidit, subscribamus

NOTÆ.

(19) *Patrol.* t. XVII, col. 285.

Digitized by Google

ipsi imputribilem patriarcharum politiam, et constringamus ipsam propugnaculis turrium.

VERS. 10. *Ego murus et ubera mea sicut turres; ego eram in oculis eorum tanquam inveniens pacem.*

Vos quidem arbitramini me ubera non habere, etc. Ego autem plurima in me Sponsi gratia et mea desponsatione ad magnitudinem opus esse sentiens, etiam consecuta sum aliis securitatem in multitudine contemplationum, sic ut duabus turribus assimilarer, quæ designant de sensibilibus sermonem et de intellectilibus scientiam. Et quoniam quæsivi pacem et persecuta sum eam istiusmodi quædam eram in oculis Sponsi; hoc etiam a Spiritu didiceram, eos qui ipsum recte quæsierunt, reperisse pacem quæ est Christus.

Nili. — Solvit ambiguitatem, minime sustinens existimari prout suspicabantur. Nimirum, inquit, latent vos divitiæ spiritales. Ego autem in oculis Sponsi mei perfecta sum, siquidem in oculis ejus inveni pacem: qui autem recte quærunt ipsum, inveniunt pacem. Murus sum expugnatu difficilis, propter quam pacem non metuo belli insultum. Cum autem audiat murus et janua, illud quidem suscepit; ut autem vocetur janua per silentium perfecit, istiusmodi appellationem Sponso servans. Illic enim solus paternæ cognitionis introitus.

VERS. 11. *Vinea facta est Salomoni in Beelamon: dedit vineam suam iis qui servant, vir ferat in fructu ejus mille argenti.*

Nili. — Vinea etiam in cornu facta est dilecto, qui est Christus. In Beelamon autem est in multitudinibus. Vinea porro in multitudinibus est Ecclesiæ omnium ferax congregatio. Dedit itaque hanc vineam iis qui servant, doctoribus Ecclesiæ, quos et agricolas et stabularios vocavit. Quisquis igitur in his vir repertus fuerit ferat fructum ei mille argenti, perfectum subditorum in fructibus pietatis profectum.

Cyrilli. — Spiritali Salomoni vinea facta est, dicit autem Ecclesiam. Illud in Beelamon autem in fidelibus interpretatur. Quinam vero credide-runt nisi qui præcepta ejus susceperunt?

Christus est dictus Salomon, qui medium parietem maceriæ solvens inimicitiam in carne sua facit pacem [28]. Nemo igitur quærat extra Beelamon, id est cœtum multitudinis in nomine Jesu Christi congregatæ, frugiferam vineam Verbi et Christi, quam custodiendam tradidit ne vastaret ipsam aper de silva et fera singularis depasceret, neque vindemiarent illam qui prætergrediuntur viam. Et talis vinea est quæ fructum suum ferat

A πτον τῶν πατριαρχῶν πολιτείαν, καὶ περισφίγξωμεν αὐτὴν ἐπάλξεις πύργων.

ι'. *Ἐγὼ τεῖχος· καὶ μασθοί μου ὡς πύργοι· ἐγὼ ἤμην ἐν ὀφθαλμοῖς αὐτῶν ὡς εὑρίσκουσα εἰρήνην.*

Ὑμεῖς μὲν νομίζετε μή με μασθοὺς ἔχειν, καὶ τὰ ἑξῆς· ἐγὼ δὲ τῆς πολλῆς εἰς ἐμὲ χάριτος τοῦ Νυμφίου, καὶ τῆς ἐμῆς μνηστείας αἰσθανομένη πρὸς μέγεθος ἐδέησα περιποιουμένη καὶ ἄλλοις εἰς ἀσφάλειαν καὶ εἰς πλῆθος θεωρημάτων, ὡς διττοῖς ἀπεικάζεσθαι πύργοις· δηλούντων τὸν περὶ τῶν αἰσθητῶν λόγον, καὶ τὴν περὶ τῶν νοητῶν ἐπιστήμην. Καὶ ἐπεὶ ἐζήτησα τὴν εἰρημένην καὶ ἐδίωξα αὐτὴν, τοιαύτη τις ἤμην ἐν ὀφθαλμοῖς τοῦ Νυμφίου· μαθοῦσα καὶ τοῦτο ἀπὸ τοῦ Πνεύματος, ὅτι οἱ ὀρθῶς ζητήσαντες αὐτὸν, B εὗρον εἰρήνην, ἥτις ἐστὶ Χριστός.

(20) Λύει τὴν ἀμφιβολίαν τοῦτο, οὐκ ἀνεχομένη νομισθῆναι ὡς ὑποπίπτουσαν λανθάνει, φησὶν, ὑμᾶς εἰκότως τὰ κατὰ τὴν ψυχὴν πλεονεκτήματα· ἐγὼ δὲ ἐν ὀφθαλμοῖς τοῦ Νυμφίου τετελείωμαι· εἰ γάρ εἰμι ἐν ὀφθαλμοῖς αὐτοῦ εὑρίσκουσα εἰρήνην, οἱ δὲ ὀρθῶς ζητοῦντες αὐτὸν, εὑρίσκουσιν εἰρήνην. Τεῖχός εἰμι δυσκαταμάχητον, δι' ἣν εἰρήνην οὐ δέδοικα πολέμου ἔφοδον· τεῖχος δὲ καὶ θύρα ἀκούσασα, τὸ μὲν κατεδέξατο· πρὸς δὲ τὸ κληθῆναι θύρα διὰ τῆς σιωπῆς ἀνένευσε· τὴν τοιαύτην προσηγορίαν τῷ Νυμφίῳ τηρήσασα· μόνος γὰρ οὗτος τῆς πατρικῆς γνώσεως εἴσοδος.

ια'. *Ἀμπελὼν ἐγενήθη τῷ Σαλομὼν ἐν Βεελαμών· ἔδωκε τὸν ἀμπελῶνα αὐτοῦ τοῖς τηροῦσιν· C ἀνὴρ οἴσει ἐν τῷ καρπῷ αὐτοῦ χιλίους ἀργυρίους.*

Νείλου. — Ὁ ἀμπελὼν, καὶ ἐν κέρατι ἐγενήθη τῷ ἠγαπημένῳ, ὅ ἐστι Χριστός. Ἐν Βεελαμὼν δέ ἐστιν, ἐν πλήθεσιν, ἀμπελὼν δὲ ἐν πλήθεσιν ἡ τῆς Ἐκκλησίας πάμφορος ὁμήγυρις. Ἔδωκεν οὖν τὸν ἀμπελῶνα τοῦτον τοῖς τηροῦσι, τοῖς ἡγουμένοις τῆς Ἐκκλησίας, οὓς καὶ γεωργοὺς καὶ πανδοχέας ἐκάλεσεν. Ὃς ἂν οὖν ἀνὴρ ἐν τούτοις εὑρεθῇ, οἴσει καρπὸν αὐτῷ χιλίους ἀργυρίους, τὴν τελείαν τῶν ὑποτεταγμένων προκοπὴν τῆς ἐν τῇ θεοσεβείᾳ καρποφορίας.

Κυρίλλου. — Τῷ πνευματικῷ Σαλομὼν ἀμπελὼν ἐγενήθη· λέγει δὲ τὴν Ἐκκλησίαν· τὸ δὲ ἐν Βεελαμὼν, D ἐν τοῖς πεπιστευκόσιν ἑρμηνεύεται. Τίνες δὲ πεπιστεύκασιν, ἢ οἱ τὰς ἐντολὰς αὐτοῦ δεξάμενοι;

(21) Χριστὸς ὁ εἰρημένος Σαλομὼν ὁ τὸ μεσότειχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ ποιῶν εἰρήνην. Μηδεὶς οὖν ζητείτω ἔξω τοῦ Βεελαμὼν, τουτέστι τοῦ ἔχοντος πλῆθος ἀθροίσματος, ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ συναγομένου τὸν καρποφόρον ἀμπελῶνα τοῦ Λόγου καὶ Χριστοῦ· ὃν καὶ παρέδωκε φυλάξειν, ἵνα μὴ λυμήνηται αὐτὸν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατανεμήσεται αὐτὸν, μηδὲ τρυγήσωσιν αὐτὸν οἱ παραπορευόμενοι τὴν ὁδόν·

[28] Ephes. II, 14.

NOTÆ.

(20) Hæc S. Nilo vindicat C. B.
(21) Hæc in C. B. ut verba S. Cyrilli continuantur.

Digitized by Google

καὶ τοιοῦτος ὁ ἀμπελὼν, ὡς τὸν καρπὸν αὐτοῦ φέρεσθαι, ὑπὸ κατηργηκότος ἀνδρὸς τὰ τοῦ νηπίου· καὶ εἶναι ἄξιον ἀργυρίου χιλίων. Λόγου γὰρ τιμίου καὶ πολλοῦ ἀξίου καὶ θαυμασίου, ὃς ἀργύριον εἴρηται, τοῦ ἀμπελῶνος ἄξιος καρπός· ὁ δὲ τῶν χιλίων ἀριθμὸς, ἔχει πρὸς τὴν μονάδα συγγένειαν, διὸ καὶ παρείληπται. Φύλακες δὲ τοῦ ἀμπελῶνος οἱ ἄγγελοι. A

ιβ'. *Ὁ ἀμπελών μου ἐμὸς, ἐνώπιόν μου· οἱ χίλιοι Σαλομὼν καὶ οἱ διακόσιοι τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ.*

Ταῦτα, εἴτε τῆς Ἐκκλησίας, εἴτε τῆς Νύμφης τοῦ λόγου ψυχῆς, ἐφ' ἑκατέρας ἀμπελὼν καρποφόρος νοεῖται· καὶ οἶνος εὐφραίνων καρδίαν ἀνθρώπου· ἤδη δὲ καὶ Σωτῆρος τοῦ ἀληθῶς εἰρηνικοῦ. Λέγει οὖν ἐν τοῖς Κριταῖς πρὸς τὰ ξύλα ἡ ἄμπελος· Ἀφεῖσα τὸν οἶνόν μου τὴν εὐφροσύνην Θεοῦ καὶ ἀνθρώπων, πορευθήσομαι ἄρχειν τῶν ξύλων; οὐκοῦν ἀκόλουθον καὶ τὸν Χριστὸν ἀπὸ καρποῦ τῆς τοιαύτης ἀμπέλου λαμβάνειν, δηλοῖ τὸ *Οἱ χίλιοι τοῦ Σαλομών*. Εἰκὸς δὲ καὶ τοὺς φύλακας ἀγγέλους μεταλαμβάνειν τοῦ τῆς Νύμφης ἀμπελῶνος, ὅταν παρίσταται, διὰ τοῦ καὶ, *Οἱ διακόσιοι τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ*· οὐ γὰρ μόνον τίς φυτεύει, ἀλλὰ τίς καὶ τηρεῖ ἀμπελῶνα, καὶ οὐ φάγεται τὸν καρπὸν αὐτοῦ; Τὰ περὶ Θεοῦ δόγματα τοίνυν, οἱ χίλιοί εἰσι συγγενῶς ἔχοντες τῇ μονάδι, τῷ Σαλομὼν ἀνακείμενοι· τὰ δὲ περὶ τὴν ὕλην καὶ τὰ αἰσθητὰ, τοῖς διακονουμένοις ἐν τῇ ὕλῃ διακοσίοις, πρὸς τὴν δυάδα συγγένειαν ἔχουσι· περὶ ὧν τὸ, *Τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα*· ματαιότης γὰρ ἡ ὕλη καὶ τὰ σωματικά· οἱ δὲ καρποὶ τοῦ ἀμπελῶνος, ἀφ' ὧν οἱ χίλιοι καὶ οἱ διακόσιοι δίδονται, οἱ ὑπὲρ τῶν ληνῶν εἰσι ψαλμοὶ, ἡνίκα οἱ καρποὶ τοῦ ἀμπελῶνος ἐκπιεζόμενοι, τὸν εὐφραίνοντα Θεὸν καὶ ἀνθρώπους, καὶ τοὺς τηροῦντας οἶνον ποιήσουσιν. B C

Ἀπολιναρίου. — Ἐν ἀρχῇ μὲν οὖν ἔλεγον· *Αἱ ἄμπελοι ἡμῶν κυπρίζουσιν*· ἐν δὲ τῷ τέλει τοῦ βιβλίου τέλειον εἰσήγαγε τὸν καρπόν· καὶ τῷ γῆς βασιλεῖ πολλὴν τὴν ἐκ τοῦ οἴνου τιμὴν καὶ τοῖς φύλαξιν· ὅτε δοξάζεται μὲν ἐπιδημῶν ὁ Δεσπότης, Παύλου λέγοντος· « Ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ· » καὶ φύλαξ, τοῦ ἀμπελῶνος αὖθις φησι· « Καύχημά ἐσμεν εἰς ἡμέραν Χριστοῦ. » Ἀλλ' ἐπεὶ Χριστοῦ χάριτι κατορθοῦται τὸ πᾶν, αὐτῷ πλέον ἀνήκει τέλειον· πολὺ δὲ καὶ τὸ τῶν ὑπηρετῶν, καθὸ διὰ παραβολῶν ἔφη περί τε τοῦ διπλασιάσαντος τὴν μνᾶν, καὶ τοῦ πενταπλασιάσαντος· πόλεσιν ἐπιστησαμένων εἰσαριθμῶν τῷ πολυπλασιασμῷ. Καθόλου δέ φησι Ματθαῖος Ἐπὶ πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ, καταστήσει τὸν ἀγαθὸν οἰκέτην καὶ πιστὸν οἰκονόμον· εἰ δὲ μὴ ἔστιν ἀμφοτέρων διαφορὰ, τῶν χιλίων εἰς τοὺς ὑπηρέτας διανέμησις γίνεται· ὅτι τὰ τοῦ Κυρίου λαμβάνουσιν ἀνὰ διακοσίους πενταχῆ διαιρούμενα· ὅτι καὶ πέντε παρθένους ὁ Κύριος ἀπεικάζει τοῖς ἀπαντησομένοις τῶν ἁγίων. Ἐμὸς οὖν ὁ ἀφιερωμένος ἀμπελὼν, καὶ ἡ τούτου καρποφορία μεριζομένη D

per virum qui evacuavit ea quæ sunt parvuli, et millibus argenti digna sit. Verbi enim pretiosi, et plurimæ dignitatis quod argentum dicitur, vineæ hujus dignus fructus. Numerus autem millenarius habet cum unitate affinitatem, quamobrem etiam comprehensus est. Custodes porro hujus vineæ sunt angeli.

Vers. 12. *Vinea mihi mea in conspectu meo; mille Salomoni et ducenti servantibus fructum ejus.*

Hæc sive sint Ecclesiæ, sive Sponsæ Verbi animæ, in utrisque vinea frugifera intelligitur et vinum lætificans cor hominis: quin et Servatoris vero pacifici. Hoc igitur in libris Judicum ad ligna dicit vitis: Nunquid derelinquens vinum meum Dei hominumque lætitiam, ibo ut in ligna principatum accipiam? Itaque consentaneum est ut et Christus de fructu istiusmodi vitis accipiat, id quod designat illud: *Mille Salomoni.* Par vero etiam est ut custodes angeli participes sint vineæ Sponsæ, id quod declaratur per illud: *Et ducenti servantibus fructum ejus*, quis enim ubi plantavit et coluit vineam nolet ejus fructus edere? Itaque dogmata de Deo sunt mille, qui numerus cum monade affinitatem habet Salomoni assignatur. Quæ vero materiata et sensilia concernunt ducentis in materia ministrantibus, cum dualitate cognationem habentibus, de quibus est istud: « Vanitati enim creatura subjecta est non volens, sed propter eum qui subjecit eam [29]. » Materia namque ac res corporeæ vani as sunt: at fructus vineæ a quibus mille et ducenti dantur, qui sunt psalmi torcularium, quando fructus vineæ exprimuntur, qui Deum hominesque vinum servantes recreabunt.

Apollinarii. — Itaque in principio quidem dixit· *Vineæ nostræ florent* [30]; in fine vero libri perfectum fructum introduxit; et regi atque custodibus multum e vino honoris attribuit, siquidem adveniens Dominus honoratur, Paulo dicente: « Cum venerit glorificari in sanctis suis [31], » et vineæ custodibus iterum ait: « Gloriatio nostra in diem Christi [32]. » Sed quia Christi gratia totum perficitur, ad ipsum pertinet plena perfectio; quin et ad ministros, prout per parabolas dixit de illo qui in unam duplicaverat, et qui pari cum duplicatione numero quinque præfectus est civitatibus. Universim autem Matthæus ait, servum bonum ac fidelem dispensatorem super omnia bona ipsius constitutum iri. Si autem non sit utrorumque differentia, millium distributio fit in ministros, quoniam ea quæ sunt Domini accipiunt per ducenta, quintupliciter divisa, unde et quinque virginibus sibi occurrentibus Dominus assimilat ea quæ sanctorum sunt. Mea igitur vinea considerata, ejusdemque fructificatio secundum meam participationem, per-

[29] Rom. VIII, 20. [30] Cant. II, 15. [31] II Thes. I, 10. [32] Philipp. II, 16.

Digitized by Google

fectis ex æquo in quinque ordines distributa, apostolos, prophetas, doctores, doctos, martyres complectitur etsi quoque segmenta sint iidem et agricolæ et rectores. Multis enim modis iidem distribuuntur.

Nili. — Veri Salomonis vox est totam vineæ custodiam sibi vindicantis. Gens enim humana in ipso tuta redditur contra lubricam inflationem, præsertim rectorum, qui ob primatus dignitatem facile inflantur, ne typho atque superbia sibi vindicent Dei excellentias, vineæ custodiam suæ ascribentes diligentiæ. Cum enim, inquit, vinea sit a conspectu meo et oculi mei semper eam aspiciant, inde etiam diligentia servantium robur suum obtinet, atque insidiatores oculum meum semper in vineam intentum reformidant. Per illud autem *ducenti servantibus*, non ait vineam simul dividi, sed majores quam contulerant recepere retributiones.

A τοῖς τελείοις ἐξ ἴσου, κατὰ τὴν ἐμὴν μετουσίαν, εἰς τάγματα πέντε, ἀποστόλους, προφήτας, διδασκάλους, διδασκομένους, μάρτυρας, εἰ καὶ κλήματα [C. B. κλίμακα] οἱ αὐτοὶ καὶ γεωργοὶ καὶ ἐπιστάται· πολυτρόπως γὰρ οἱ αὐτοὶ δηλοῦνται.

(22) Τοῦ ἀληθινοῦ Σολομῶντός ἐστιν ἡ φωνὴ τὸ ὅλον τῆς φυλακῆς τοῦ ἀμπελῶνος ἑαυτῷ μαρτυροῦντος. Εἰδὼς γὰρ τὸ τῶν ἀνθρώπων περὶ αὐτὸν ἀσφαλίζεται τὸ πρὸς τὴν οἴησιν ὀλισθηρόν· μάλιστα ἡγουμένων εὐχερῶς, ἐπὶ τῷ ἀξιώματι τῆς ἀρχῆς φυσωμένων· ὥστε μὴ σφετερίζεσθαι τύφῳ καὶ ἀπονοίᾳ τὰ τοῦ Θεοῦ πλεονεκτήματα, τὴν φυλακὴν τοῦ ἀμπελῶνος τῇ ἑαυτῶν σπουδῇ ἐπιγράφοντας. Ἐπειδὴ γάρ, φησὶν, ἐνώπιόν μού ἐστιν ὁ ἀμπελὼν, καὶ οἱ ὀφθαλμοί μου διὰ παντὸς ἐπιβλέπουσιν B ἐπ' αὐτὸν, διὰ τοῦτο καὶ ἡ σπουδὴ τῶν τηρούντων ἰσχύει· καὶ οἱ ἐπίβουλοι φεύγουσι τὸ ἐμὸν ὄνομα ἀτενῶς τῇ ἀμπέλῳ προσέχον φρίττοντες· διὰ δὲ τοῦ, *διακόσιοι τοῖς τηροῦσι*, τὸν ἀμπελῶνα οὐ συμμερίζεσθαί φησιν, ἀλλὰ μείζονας ὧν προτήνεγκαν τὰς ἀμοιβὰς δεχόμενοι.

Vers. 13, 14. *Qui sedet in hortis, amici sunt intendentes voci tuæ; vocem tuam insinua mihi. Fuge, fraterne mi! et similis esto capreolæ, aut hinnulo cervorum super montes aromatum.*

Nili. — Hæc vox est vocantis: Qui sedet in hortis et sedenti otium significantis. Quod enim dicitur est istiusmodi: Haudquam, inquit, qui sedet in hortis et cibo infirmorum oleribus immoratur, is vineam custodit. Amici enim sunt qui hanc attendunt, qui et ipsi semper stant intento studio C et non hortos olerave, sed fructum perfectum vitis custodiunt. Nam sessio custodientis negligentiam designat. Hortus autem significat eorum qui custodiuntur imbecillitatem. Fortassis vero etiam propter custodientis sessionem hortus fuerunt hi qui custodiebantur. Illud porro, *vocem tuam insinua mihi*, a Sponso ad Sponsam dicitur, quod animæ sensum ex voce vellet cognoscere an possit etiam resurrectionis nosse mysterium, cum illud ex scripturisticis prophetiis antea didicisset. Quamobrem expedite respondet, dicens: *Fuge*, etc. Siquidem primum assimilatus es istis animalibus in montibus Bethel, homo factus saliens super montes domus Dei. Deinde assimilatus es ipsis D quæ in inferno sunt animabus descendens ad prædicandum ibidem libertatem in montibus concavitatum. Modo quoniam tempus est elevandi magnificentiam tuam supra cœlos, et sedendi in dextera magnificentiæ in excelsis. Fuge, et rursum talibus assimilatus es super montes aromatum. Montes aromatum vocat sanctos illos qui in superna sunt Jerusalem, qui quod in securitate versentur con-

ιγ', ιδ'. *Ὁ καθήμενος ἐν κήποις, ἑταῖροι προσέχοντες τῆς φωνῆς σου· ἀκούτισόν με· φύγε, ἀδελφιδέ μου, καὶ ὁμοιώθητι τῇ δορκάδι, ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ ὄρη ἀρωμάτων*

(23) Καλοῦντός ἐστι φωνὴ, τὸ, Ὁ καθήμενος ἐν κήποις· καὶ σημαίνοντος τὴν ἀργίαν τῷ καθημένῳ. Τὸ γὰρ λεγόμενον τοιοῦτόν ἐστιν· Οὐχ ὁ καθήμενος ἐν κήποις, φησὶν, καὶ ἀσθενῶν, τροφῇ, λαχάνοις παραμένων, φυλάσσει τὸν ἀμπελῶνα· ἑταῖροι γάρ εἰσιν C οἱ προσέχοντες τούτῳ, οἳ καὶ αὐτοὶ διὰ παντὸς ἑστῶτες συντόνῳ σπουδῇ, καὶ οὐ κήπους ἢ λάχανα, ἀλλὰ καρπὸν τέλειον ἀμπέλου φυλάττοντες. Τὸ μὲν γὰρ καθῆσθαι, τὴν τοῦ φυλάσσοντος ἀμέλειαν δηλοῖ· ὁ δὲ κῆπος σημαίνει τὴν τῶν φυλασσομένων ἀσθένειαν. Τάχα καὶ διὰ τὸ καθῆσθαι τὸν φύλακα, κῆπος οἱ φυλασσομένοι γεγόνασι· τὸ δὲ, *Τὴν φωνήν σου ἀκούτισόν με*, παρὰ τοῦ Νυμφίου πρὸς τὴν Νύμφην λέγεται, βουλομένου ἐκ τῆς φωνῆς γνῶναι τὸ φρόνημα τῆς ψυχῆς, εἰ δύναται καὶ τὰ τῆς ἀναλήψεως εἰδέναι μυστήρια, προμαθοῦσα Γραφικαῖς προφητείαις αὐτά· διόπερ ἑτοίμως ἀποκρίνεται λέγουσα· *Φύγε*, καὶ τὰ ἑξῆς· ὁμοιώθης μὲν γὰρ πρῶτον τοῖς ζώοις τούτοις ἐπὶ ὄρη Βαιθὴλ, ἐνανθρωπήσας· πηδῶν ἐπὶ τὰ ὄρη τοῦ οἴκου τοῦ Θεοῦ. Δεύτερον ὡμοιώθης αὐταῖς ταῖς ἐν ᾅδου ψυχαῖς, κατιὼν κηρύξαι τὴν ἐκεῖθεν ἐλευθερίαν· ἐπὶ ὄρη κοιλωμάτων νῦν, ἐπειδὴ καιρὸς ἐπαρθῆναι τὴν μεγαλοπρέπειάν σου ὑπεράνω τῶν οὐρανῶν, καὶ καθίσαι ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. Φύγε καὶ ὁμοιώθητι αὐτοῖς πάλιν ἐπὶ τὰ ὄρη τῶν ἀρωμάτων· ὄρη τῶν ἀρωμάτων, τοὺς ἐν τῇ ἄνω Ἱερουσαλὴμ ὄντας ἁγίους λέγει· τοὺς βεβαίαν διὰ τὸ ἐν ἀσφαλείᾳ εἶναι ἔχοντας τὴν τῶν

NOTÆ.

(22) Huic Scholio præponit C. B.: « *Philonis.* Vinea mihi mea in conspectu meo. Oculi enim Domini super justos, et aures ejus in preces eorum. Mille Salomoni est perfectum judicium Filio, partiale apostolis duorum testamentorum centurias servantibus. » Vid. hujus *Patrol.* t. XL, col. 151.

(23) Nili sunt hæc in C. B.

Digitized by Google

κατορθωμάτων εὐωδίαν, ἣν ἐκτήσαντο ἐν τῇ ζωῇ ταύτῃ τοῖς πάθεσι μαχόμενοι, καὶ ὑπὲρ τῆς ἄνω κλήσεως ἀγωνιζόμενοι. Ἐν τρισὶ δὲ χωρίοις γενόμενος, τῷ περιγείῳ, τῷ καταχθονίῳ, τῷ ἐπουρανίῳ, δορκάδι δὲ καὶ νεβρῷ ὁμοιοῦται, δρεσιν ἐπιδιατρίβων τοῖς καθ' ἕκαστον χωρίον ἁγίοις, ἵνα πᾶν γόνυ κάμψῃ αὐτῷ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων.

Φίλωνος. — Ἐπικάθηται γὰρ ταῖς Ἐκκλησίαις ἐφορῶν ταῦτα ὁ Κύριος· οἱ δὲ ὑποτεταγμένοι τῷ ἀρχιερεῖ λειτουργοὶ, προσέχουσι τὴν Ἐκκλησίαν παιδεύοντες· εἶτά φησιν ὁ Κύριος καὶ ἡ Ἐκκλησία πρὸς ἕνα πιστόν· *Φύγε, ἀδελφιδέμου*· ὁ γὰρ κατὰ Θεὸν ἄνθρωπος, ὀξέως τε ὁρᾷ καὶ φεύγει τὴν ἁμαρτίαν· ὄρη δὲ ἀρωμάτων, ὁ ὑψωθεὶς τυχὸν Ἰωσὴφ ἐν σωφροσύνῃ, καὶ Δαβὶδ, πρὸς οὓς ἔστι φευκτέον. Φύγε οὖν ἀπὸ τῶν γηΐνων καὶ κοσμικῶν πρὸς τοὺς ἐναρέτους ἄνδρας· ὑπὸ τούτων ὁδηγούμενος, μέτοχος γενήσῃ τῆς βασιλείας τῶν οὐρανῶν.

Κυριλλου. — Ὁ μὲν καθήμενος ἐν κήποις τὰς Ἐκκλησίας ἐπισκοπεῖ, οἱ ἑταῖροι δὲ προσέχουσιν οὐδὲ κρίνουσιν, ἀλλὰ τὴν κρίσιν πᾶσαν ὁ Υἱὸς ποιεῖ. Ἐπιθυμεῖ δὲ ἡ Νύμφη ἀκοῦσαι, « Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου· » ἀξιοῖ δὲ αὐτὸν καὶ τοὺς πονηροὺς ἐκβαλεῖν, *Φύγε*, λέγουσα ἐπὶ τοὺς ἁγίους ἐλθεῖν.

Ὠριγένους. — Εἶδεν ἡ Νύμφη τὸν Νυμφίον, κ. τ. λ. (24)

(25) Τῇ φωνῇ καὶ αὐτὸν αὐτῇ παρορμῶντα παρασκευάσαι τὰ τῆς ἀκοῆς ἄξια τῆς αὐτοῦ, τὰ δὲ τελευταῖα παρὰ τῆς Νύμφης, τὸ *Φύγε*, ὡς ἂν ἕπεσθαι, καὶ τῇ αὐτῇ διὰ τὸ τέλειον δυναμένῃ.

(26) Τὸ δὲ, *φύγε*, τὴν αἰφνίδιον ἔδειξεν ἄνοδον, καὶ τὴν εἰς ἀπέραντον ἀναχώρησιν ὄρη λέγουσα· εἰς ἅπερ ἂν φεύγουσιν ἔλαφοι καὶ δορκάδες, ταῖς τῶν διωκόντων ὄψεσιν ἄληπτοι γίνονται, τῶν ἀρωμάτων δηλούντων τὸ εὐῶδες τῶν οὐρανίων καὶ καθαρόν (27).

A stantem habent proborum operum fragrantiam, cum in hac vita cum passionibus pugnaverint et pro superna vocatione decertaverint. Cæterum, ut qui in tribus regionibus exstiterit, nempe terrena, infernali atque cœlesti, capreolæ hinnuloque cervorum assimilatur in montibus conversans in qualibet regione sanctis, ut ipsi omne genu flectatur, cœlestium, terrestrium et inferorum.

Philonis. — Insidet enim Ecclesiis qui intuetur eas Dominus : qui autem sub principe sacerdotum constituti sunt ministri, attendunt Ecclesiam erudientes. Deinde Dominus et Ecclesia ad omnem fidelem ait : *Fuge*, *fraterne mi.* — Nam homo secundum Deum acute videt ac fugit peccatum. Montes vero aromatum sunt, v. gr. Joseph, sublimis B continentia, David in mansuetudine, ad quos fugiendum est. Fuge igitur a terrenis et mundanis ad viros virtute præditos, ab his enim institutus, particeps fies regni cœlorum.

Cyrilli. — Qui quidem sedet in hortis Ecclesias inspicit, amici vero attendunt, non enim judicant, sed omne judicium facit Filius. Desiderat autem Sponsa audire : « Intra in gaudium Domini tui [25]. » Rogat porro ipsum ut pravos ejiciat, dicens : *Fuge*, ad sanctos vero veniat.

Origenis. — Vidit Sponsa Sponsum, etc.

Illumque hac voce ipsum excitantem ut auditu suo digna pararet : postrema vero a Sponsa, scilicet C *fuge*, ita ut sequatur et ipsam propter perfectionem potentem.

Illud porro *fuge*, repentinum declaravit ascensum, et recessum in infinitum, montes dicens in quos refugiunt cervi atque capreolæ ut persequentium oculos effugiant; aromatum vero rerum cœlestium suaveolentiam ac puritatem significantium.

[25] Joan. xxv, 21.

NOTÆ.

(24) *Patrol.* t. XVII, col. 285, 287.

(25) Hæc in C. B. ut verba Origenis continuantur.

(26) Anonyma sunt in C. B.

(27) In C. B. hic designantur personæ ut sequitur :

Personæ.

Sponsus	Christus
Sponsa	Ecclesia
Sodales	Angeli et sancti.

Adolescentulæ, quæ tanquam inferiores Ecclesiam sequuntur.

Digitized by Google

EJUSDEM PROCOPII (*)

FRAGMENTA ALIA IN CANTICUM.

(Ex alio codice edid. Ang. Mai *Class. Auct.* t. VI, 348.)

CAP. VI.

VERS. 8. *Una est columba perfecta matri suæ, electa illi quæ peperit eam.* Sane talis est anima quæ jam in Deum credens, et timore minarum ejus purificata, spe vero promissionum illuminata, affectuose erga bonum disponitur, nullo extraneo momento illud habens in pretio, sed in seipso diligens ut natura suapte pulchrum. Una est enim hæc, habitu unita uni unicoque Deo, et apud illum immota permanens; columba vero est, ut spiritualis et perfecta coram rerum universarum generatrici sapientia; ut huic gradatim per singulas virtutes conjuncta, huic dico sapientiæ quæ in ista talem progressum operata est, ab uniuscujusque virtutis principio; cui sapientiæ electa est inter servas et mercenarias, ab illa adoptata et deificata per gratiam.

Viderunt eam filiæ, et beatissimam prædicabunt eam; reginæ et concubinæ laudabunt illam. Nimirum, in tentandis præclare illius gestis totæ fuerunt unice fideles discipulæ, quas in lavacro peperit regenerationis, et una laude illam exaltabunt, aliæ per actionum et justitiæ splendorem regnum Dei affectantes; aliæ pœnarum metu ab omnibus malis abstinentes se, actionibus suis illam laudabunt; gloria enim magistræ splendor et emundatio discipularum. De illa etiam dicent:

VERS. 9. *Quæ est ista faciem detegens sicut aurora, pulchra ut luna, electa ut sol, stupefaciens ut acies ordinata.* Plane admiratione digna est magistra nostra, quæ aliis quidem purificatis et ab operibus tenebrarum abstinentibus se, nondum vero justitiæ agentibus opera, per lumen doctrinæ magistram se præbuit, velut aurora quædam, incomprehensibilia adhuc illis mysteria tegens, comprehensibilia vero revelans, et futurarum pœnarum comminatione ad obedientiam astringens; aliis autem, veritatis prædicationi fide quidem adhibita, sed nondum ab operibus tenebrarum nequitiæ purificatis, etiam bonam se præbet; suis enim ad pœnitentiam documentis, veluti lunæ cujusdam lu-

ΚΕΦΑΛ. Ϛ'.

η'. *Μία ἐστὶ περιστερὰ τελεία τῇ μητρὶ αὐτῆς, ἐκλεκτὴ τῇ τεκούσῃ αὐτήν.* Εἴτουν ἡ μετὰ τὸ πιστεῦσαι Θεῷ, καὶ φόβῳ μὲν τῶν ἀπειλῶν καθαρθῆναι, ἐλπίδι δὲ τῶν ἐπαγγελιῶν φωτισθῆναι, ἀγαπητικῶς διατεθεῖσα [a] περὶ τὸ ἀγαθόν· καὶ μηδ' ἕτερόν τε ποιοῦσα αὐτὸ, ἀλλὰ δι' αὐτὸ ὡς φύσει καλόν. Λύτη γὰρ μία μέν ἐστιν, ὡς κατὰ θέσιν ἑνωθεῖσα τῷ ἑνὶ καὶ μόνῳ Θεῷ, καὶ παρ' αὐτῷ ἀκίνητος μένουσα· περιστερὰ δὲ, ὡς πνευματικὴ καὶ τελεία τῇ πανταιτίᾳ σοφίᾳ, ὡς πρὸς ταύτην ἀνατατικῶς δι' ἑκάστης ἀρετῆς συναχθεῖσα, τὴν ἐν αὐτῇ ποιησαμένην τὴν πρόοδον, κατὰ τὴν ἑκάστης ἀρετῆς γένεσιν· ἥτινι σοφίᾳ καὶ ἐκλελεγμένη ἐστὶν ἀπὸ τῶν δουλίδων καὶ μισθωτῶν, ὡς υἱοθετησαμένῃ ταύτην κατὰ τὴν ἐν χάριτι θέωσιν.

Εἶδοσαν αὐτὴν θυγατέρες, καὶ μακαριοῦσιν αὐτὴν, βασίλισσαι καὶ παλλακαὶ αἰνέσουσιν αὐτήν. Δηλονότι ἐν πείρᾳ τῶν κατορθωμάτων αὐτῆς γεγόνασιν αἱ μόνον πισταὶ ταύτης μαθήτριαι, ἃς ἐν τῷ λουτρῷ τῆς παλιγγενεσίας ἀπέτεκε, καὶ μόνῳ λόγῳ αὐτὴν ἐκθειάσουσιν. Αἱ δὲ διὰ φωτισμοῦ ἔργων καὶ δικαιοσύνης, τῆς τοῦ Θεοῦ βασιλείας ἀντιποιούμεναι, καὶ αἱ διὰ φόβον τῶν κολάσεων παντοίων κακῶν ἀπεχόμεναι· καὶ δι' ἔργων ἐπαινέσουσιν αὐτὴν, ἐπειδήπερ δόξα τῆς διδασκάλου ἐστὶ τῶν μαθητριῶν ὁ φωτισμὸς καὶ ἡ κάθαρσις· περὶ ἧς καὶ ἐροῦσι·

θ'. *Τίς αὕτη ἐκκαλύπτουσα* [b] *ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη, ἐκλεκτὴ ὡς ἥλιος, θάμβος ὡς τεταγμέναι;* Δηλαδὴ θαυμασία τίς ἐστιν [ἡ] διδάσκαλος ἡμῶν, ὡς ταῖς μὲν ἀποστάσαις τῶν ἔργων τοῦ σκότους διὰ καθάρσεως, μήπω δὲ τὰ ἔργα τῆς δικαιοσύνης καταλαβούσαις, διὰ φωτισμοῦ γνώσεως συγκαταβαίνουσα διδασκαλικῶς, ὥστε ἐωθινὸν φῶς ἐν τῷ τὰ μὲν τέως ἀχώρητα ταύταις μυστήρια κρύπτειν, παραδηλοῦν δὲ τὰ χωρητὰ, καὶ ταῖς ἀπειλαῖς τῶν μελλουσῶν κολάσεων πρὸς ὑπακοὴν ἐπιστύφειν· ταῖς δὲ πιστευσάσαις μὲν τῷ τῆς ἀληθείας κηρύγματι, μήπω δὲ καθαρθείσαις τῶν τοῦ σκότους τῆς κακίας ἔργων, ἀγαθή ἐστιν· ὡς ταῖς πρὸς μετάνοιαν διδασκαλίαις, καθάπερ τι σεληνιακὸν φῶς, τὴν νύκτα

VARIÆ LECTIONES

[a] Nempe ψυχή. [b] Aliter ἐκκλύπτουσα. Vulg ἐκκύπτουσα.

NOTÆ.

(*) Quoniam opus est acephalum, ideirco desideratur auctoris nomen: verumtamen hic Commentarius scribitur in codice eadem manu qua Procopii alter Commentarius in Proverbia, eique proxime attexitur. Porro in Canticum Salomonis scripsisse Procopium, multo exploratissimum est; eaque lucubratio in aliis procul me codicibus integra, ut puto, servatur.

Digitized by Google

τῆς ἀγνείας τούτων καταφαιδρύνουσα· ταῖς δ' ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατούσαις ἐναρέτοις ψυχαῖς, ἐκλελεγμένη ἐστὶν, οἵαπερ τις ἥλιος, τῶν λοιπῶν κατ' οὐρανὸν φώτων αἴγλῃ τε καὶ μεγέθει διαφανέστερος· ὡς ἀνατέλλουσα ταύταις φῶς ἀληθοῦς γνώσεως, κἀντεῦθεν ἐκπλήττουσα τὰς ὁρώσας αὐτὴν καθάπερ ἐπιφάνειά τις ἀγγελικῶν τάξεων· καὶ ταῦτα μὲν αἱ μαθήτριαι περὶ τῆς διδασκάλου εἰρήκασι· τάδε δ' αὕτη περὶ τούτων πρὸς τὸν Νυμφίον φησίν. A men, noctem ignorantia dissipat. Sunt etiam generosæ animæ, ut in die honeste ambulantes, et inter istas electa est, quemadmodum sol cætera cœli lumina splendore ac magnitudine vincit : his veræ doctrinæ lumen oriri fecit, et deinde contemplantes stupefecit, siçuti angelicorum ordinum manifestatio. — Talia quidem de magistra dixerunt discipulæ; de illis autem ipsa Sponso suo dicit :

ι'. *Εἰς κῆπον καρύας κατέβην ἰδεῖν ἐν γενήματι τοῦ χειμάρρου· ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος, εἰ ἤνθησαν αἱ ῥόαι.* Ἤτοι συγκατέβην ἐκ τοῦ ὕψους τῆς μυστικῆς θεωρίας, ταῖς γεωργούσαις ψυχαῖς, οἵοναί καρύα, κατὰ μὲν τὸ ἐκτὸς λέπυρον πικρὰ, κατὰ δὲ τὸ ἐντὸς σκληρά· κατ' αὐτὸν δὲ τὸν ἔνδον τῶν τριούτων λεπύρων καρπὸν, ἡδέα· τὴν τῇ πικρίᾳ τῶν ἀκουσίων πεφυλαγμένην γλυκύτητα τῶν ἀρετῶν, ἀπό τε τῶν κατ' ἔλλειψιν αὐτῶν, καὶ τῶν καθ' ὑπερβολὴν παθῶν, ὥστε θεάσασθαι ἐν τῇ ὑπομονῇ αὐτῶν κύημά τι οὖσῃ τῆς ῥεούσης θλίψεως, ἐκ τοῦ χειμῶνος τῶν πειρασμῶν· ἡ θλῖψις γὰρ ὑπομονὴν κατεργάζεται· εἴτε εὐχαριστία, εἴτε δυσφημία προσάγεταί σοι τῷ ἰατρικῶς, ἀλλ' οὐ τιμωρητικῶς παιδεύοντι. Θεάσασθαι δὲ πάλιν, ἐάν τε αὐτὸς ὁ ἐν Εὐαγγελίοις εἰρηκὼς, ὅτι « Ἐγώ εἰμι ἡ ἄμπελος, » ἐν τῇ ὑπομονῇ ταύτῃ προδείκνυσαι ὡς ἄνθος βότρυος ποιοῦντος οἶνον, τὸν φύσεως ἐκστατικὸν κατὰ τὴν τῆς θεώσεως χάριν. Ὁ γὰρ ἐν ὑπομονῇ καὶ αὐτῆς τῆς ἰδίας φύσεως ὑπερορῶν, τὴν ὑπὲρ φύσιν τῆς θεώσεως δέχεται χάριν· καὶ ἐὰν αἱ δίκην ῥοιῶν τῷ μὲν φαινομένῳ λεπύρῳ στυφουσῶν, τῷ δ' ἐντὸς τούτου κεκρυμμένῳ καρπῷ, τοὺς γευομένους γλυκαινουσῶν· πεφυλαγμέναι μὲν τῷ τοῦ φόβου σου στυπτικῷ, εὐφραίνουσαι δὲ τοὺς γευσαμένους τῇ τῆς εἰς σὲ ἐλπίδος γλυκύτητι ἀρεταὶ, δηλαδὴ ἡ φρόνησις καὶ ἡ ἀκεραιότης, δίκην ἀνθοῦντος καρποῦ ἐδείχθησαν ἐν τῇ ὑπομονῇ· ἡ μὲν φρόνησις, τὴν εἰς σὲ πίστιν, ὥς τινα κεφαλὴν ἀπὸ τοῦ ἐχθροῦ φυλάττουσα ἄτρωτον· ἡ δ' ἀκεραιότης, τὴν εἰς τὸν πλησίον ἀγάπην ἀσάλευτον ἐν ταῖς τῶν πειρασμῶν ποικίλαις ἐπαγωγαῖς· καθὼς αὐτὸς ἐν τοῖς Εὐαγγελίοις εἴρηκας· « Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡσεὶ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. » B

Ἐκεῖ δώσω τοὺς μαστούς μου σοί. Πάντως ἐν τῷ προειρημένῳ κήπῳ τῶν ἀρετῶν, ὅς ἐστιν ἐν ταύταις πεφυτευμέναι μαθήτριαι, αἳ τὴν εἰς αὐτὰς ἠθικὴν καὶ φυσικὴν διδασκαλίαν μου, οἵαπερ γάλακτι, φυσικῇ καὶ καταλλήλῳ τροφῇ ταύτας τρέφουσι, προσάξω σοι τῷ Νυμφίῳ ὡς ἐντεῦθεν τὸ σὸν ποιοῦσα θέλημα· καὶ σοὶ τὰς μαθητευομένας μοι προσάγουσα, οἱονεὶ, φησὶ, πρὸς αὐτὰς, ὅτι εἰ καὶ συγκατέβην ὑμῖν ἐκ τοῦ μυστικώτερον ὁρᾷν ἐν ἑαυτῇ τὸν Νυμφίον μου, εἰς τὸ θεάσασθαι αὐτὸν καὶ ἐν ὑμῖν ὡς εἴρηκα. D *Hic dabo tibi ubera mea.* Prorsus in prædicto virtutum horto, in meis scilicet discipulabus in virtutibus genitis, afferam tibi Sponso meo doctrinam meam ad illas, sive physicam, sive ethicam, quibus, ut lacte, nutriunt istæ virtutes naturali et convenienti cibo, sic tuam adimplens voluntatem et meas ad te discipulas adducens. Illas ad Sponsum adducit eo quod: Licet, ait illis, ab altiori in me dilecti contemplatione devenerim ad vos, ut illum et in vobis contemplarer, dicere debui :

ια'. *Οὐκ ἔγνων, ψυχή μου.* Δηλαδὴ οὕπω ἐθεασάμην αὐτὸν ἐν ὑμῖν, ὡς μὴ τελειωθείσης ἔτι κατὰ Χριστόν. Οὗτος δ' ἐντεῦθεν

Vers. 10. *In hortum nucis descendi ut viderem fructus torrentis, ut viderem si floruisset vinea, si floruissent mala punica.* Profecto descendi ex altitudine mysticæ contemplationis ad animas quæ, nucum similes quarum cortex exterior amarus, interior vero durus, sed fructus intra hos cortices jucundus, dulcedinem virtutis colunt, invitarum passionum, sive per defectum, sive per excessum virtutis, amaritudine custoditam; descendi scilicet ut viderem harum patientiam veluti fructum tribulationis ex hieme tentationum defluentis; tribulatio enim patientiam operatur [1]; sive benedictio, sive maledictio tibi imputatur, medici, non vero vindicantis more, castiganti; descendi etiam ut viderem an tu ipse, qui in Evangelio dixisti : « Ego sum vitis [2], » in hac patientia præmonstreris ut in flore uva faciens vinum, vinum a natura abalienans secundum gratiam deificationis; qui enim in patientia propriam naturam ipsam despicit, supernaturalem deificationis accipit gratiam; ut viderem etiam an, quemadmodum mala punica exteriori cortice gustantes astringunt, fructu vero in hoc cortice condito edulcant, virtutes, defensæ quidem timore tuo veluti quadam vi astringente, delectantes vero dulcedine spei quam in seipsis habent gustantes illas, prudentia scilicet et simplicitas, tanquam florentes fructus in patientia apparuerint : prudentia quidem in se fidem servans ut ab hoste quoddam caput inoffensum, simplicitas vero charitatem erga proximum inconcussam servans, inter varios tentationum aggressus, ut tu ipse in Evangelio dixisti : « Ecce mitto vos in medio luporum, estote ergo prudentes sicut serpentes, et simplices sicut columbæ [3]. » C

Vers. 11. *Non novi, anima mea.* Videlicet non contemplatus sum illum in vobis, nondum in Christo perfectis. Hic ergo

[1] Rom. v, 3 [2] Joan. xv, 5. [3] Matth. x, 16.

Digitized by Google

Posuit me currus Aminadab. Scilicet fecit me currus suos; documentis enim meis in memetipsa illum ad vos fero diverso ac convenienti vobis modo. Aminadab enim *ducem populi mei* interpretantur, qui est Christus, dux salutis nostræ. Illæ autem huic dicunt:

VERS. 12. *Revertere, revertere, Sulamitis, revertere, revertere, et intuebimur in te.* Nimirum, descende ab altitudine mysticæ contemplationis, ad præbendam nobis, per quatuor generales virtutes moralem institutionem quadrifariam, juxta prædictas virtutes, nos in cupiditatum adhuc tumultu degentes moderans, tu quæ, illarum expers, in pace degis; Sulamitem enim *in pace virentem* interpretantur; et intuebimur in te quæ in nobis nondum vidimus, propter imperfectionem nostram.

CAP. VII.

VERS. 1. *Quid videbitis in Sulamite, progrediens ut chori castrorum?* Ad me quidem non jam præliantis et luctantis more, in actionibus et corpore secretum mentis affectum ostentantem, sed ratione et intelligentia veris inhærentem bonis ob perfectionem ex luctamine adversus concupiscentias, o turba, accurritis, sicuti chori quondam a bello redeuntium triumphales hymnos celebrantes; generose enim in certamine adversus concupiscentias, juxta virtutum normas, debellastis, et nunc ut triumphales hymnos, illarum rationes spiritualiter canitis. Istæ autem illius laudem redintegrantes dicunt:

Quam pulchri facti sunt gressus tui in calceamentis, filia Nadab! Videlicet mirabiliter pulchri nobis apparent tui ad nos per virtutes descensus, in practicis illarum nobis tradendis regulis; quas practicas regulas ut calceamenta induisti, ut sensibiles nobis fiant, et ad virtutem tuo exemplo informemur, o filia Dei. Filia Dei es, audis enim vocem ejus tanquam patris omnibus quidem, etiam invitis, imperantis, sed ultro et amanter tibi ducem se præbentis: Nadab enim interpretatur *principem*, seu *ducem ultro se offerentem*: sic pulchri sunt tui per virtutes gressus.

Moduli femorum tuorum similes parvis monilibus, quæ fabricata sunt manu artificis. Nimirum, bene juxta rationem ordinati motus facultatum tuarum, circa res ortum et interitum habentes practice versantium, concupiscentiæ scilicet et ardoris, dum ratione, veluti a purissimo fabro, a mortalibus et perituris ad superiora flectuntur, similes fiunt parvis monilibus, affabre factis, flexibili forma.

VERS. 2. *Et umbilicus tuus crater tornatus, non indigens temperamento.* Prorsus, sensum tuum quo, sicut per umbilicum nutritur infans in utero matris, naturalem et sensibilem rerum nutris contemplationem, comprehensa ab omnium matre sapientia, etiam dum vitio infantiliter ageres, vas

A *Ἔθετό με ὄρματα Ἀμιναδάβ.* Εἴτουν πεποίηκέ με ὀχήματα ἑαυτοῦ, ὡς ταῖς διδασκαλίαις φέρουσαν αὐτὸν ἐφ' ἑαυτῆς πρὸς ὑμᾶς, διαφόρως καὶ καταλλήλως ὑμῖν· Ἀμιναδὰβ γὰρ, *ἄρχων λαοῦ μου*, ἑρμηνεύεται, ὅς ἐστι Χριστὸς ὁ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν· αἱ δὲ φασι πρὸς αὐτήν·

ιβ'. *Ἐπίστρεφε, ἐπίστρεφε, ἡ Σουλαμῖτις, ἐπίστρεφε, ἐπίστρεφε, καὶ ὀψόμεθά ἐν σοί.* Ἤτοι, Συγκατάβαινε ἀπὸ τοῦ ὕψους τῆς μυστικῆς θεωρίας, πρὸς τὴν διὰ τῶν τεσσάρων γενικῶν ἀρετῶν ἠθικὴν διδασκαλίαν ἡμῶν· συμμετριάζουσα κατὰ τὰς εἰρημένας ἀρετὰς τετραχῶς, ταῖς ἔτι ὑπὸ τῶν παθῶν ὀχλουμέναις ἡμῖν, ἡ δι' ἀπάθειαν εἰρηνεύουσα· ἡ Σουλαμῖτις γὰρ, *εἰρηνεύουσα*, ἑρμηνεύεται· καὶ θεασόμεθα ἐν σοὶ, ἃ μήπω ἐν ἑαυταῖς ἐωράκαμεν, διὰ τὴν ἡμετέραν ἀτέλειαν· ἐρωτᾷ δ' αὐτὴ αὐτάς.

B

ΚΕΦΑΛ. Ζ'.

α'. *Τί ὄψεσθε ἐν τῇ Σουλαμίτιδι, ἡ ἐρχομένη, ὡς χοροὶ τῶν παρεμβολῶν;* Ἤγουν, Τί ἐν ἐμοὶ θεάσεσθε, τῇ εἰρηνευούσῃ; ὡς μηκέτι πολεμικῶς καὶ ἀγωνιστικῶς, κατὰ τὴν πρᾶξιν τὴν κεκρυμμένην μου διάθεσιν φανερούσῃ διὰ τοῦ σώματος, ἀλλὰ λογιστικῶς καὶ γνωστικῶς τοῖς ἀληθῶς ἀγαθοῖς ἐμμενούσῃ διὰ τελειότητα, ἡ ἐκ τοῦ κατὰ τῶν παθῶν πολέμου ἐπανερχομένη πληθὺς, ὥσπερ τινὲς ἐπινικίους ᾄδοντες ὕμνους χοροὶ τῶν ἐκ πολέμου ἐπανερχομένων. Γενναίως γὰρ ἐν τῷ κατὰ τῶν παθῶν πολέμῳ ἀγωνισάμεναι κατὰ τοὺς τρόπους τῶν ἀρετῶν, ὡς ἐπινικίους ὕμνους, τοὺς τούτων λόγους ᾄδετε γνωστικῶς· αἱ δὲ τὸν ταύτης ἔπαινον ποιεῖσθαι ἀπαρχόμεναι, φασίν·

C

Τί ὡραώθησαν διαβήματά σου ἐν ὑποδήμασι, θύγατερ Ναδάβ! Δηλονότι Θαυμάσιον κάλλος ἐνδείκνυνται αἱ κατὰ τὰς ἀρετὰς συγκαταβατικαὶ πρὸς ἡμᾶς πορεῖαί σου, ἐν τοῖς τούτων κατὰ πρᾶξιν τρόποις· οὓς οἱάπερ ὑποδήματα, ὑποδέδενται· ἵνα διὰ σώματος δείχθῶσι ταῖς ἀτελέσιν ἡμῖν, καὶ τυπωθῶμεν πρὸς ἀρετὴν, τῷ κατὰ σὲ παραδείγματι, θύγατερ Θεοῦ, ὡς ἀκούοντα τὸν λόγον αὐτοῦ οἷα πατρὸς ὃς πάντων μὲν, κἂν μὴ θέλωσιν, ἄρχει, σοῦ δὲ καὶ ἑκουσίως· Ναδὰβ γὰρ, *ἄρχων* ἢ *ἡγεμὼν ἑκουσιαζόμενος* ἑρμηνεύεται· οὕτω δέ εἰσιν αἱ κατὰ ἀρετὴν πορεῖαί σου ὡραῖαι. Ὅτι

D

Ῥυθμοὶ μηρῶν σου, ὅμοιοι ὁρμίσκοις, ἔργα χειρῶν τεχνίτου. Δηλαδὴ αἱ κατὰ λόγον εὔτακτοι κινήσεις, τῶν περὶ τὰ ἐν γενέσει καὶ φθορᾷ καταγινομένων πρακτικῶν σου δυνάμεων, τῆς ἐπιθυμίας, λέγω, καὶ τοῦ θυμοῦ, ὡς ὑπὸ τοῦ τεχνίτου λόγου, ἀπὸ τῶν γεννητῶν καὶ φθαρτῶν πρὸς τὰ ὑπὲρ ταῦτα καμπτόμεναι, παρεικάζονται ὁρμίσκοις εἰργασμένοις ὑπὸ χειρῶν τεχνίτου, καμπτοῖς τῷ σχήματι.

β'. *Καὶ ὀμφαλός σου κρατὴρ τορευτὸς, μὴ ὑστερούμενος κράσεως.* Πάντως τὸ αἰσθητικόν σου, δι' οὗ ὡς δι' ὀμφαλοῦ τὸ ἐν μήτρᾳ βρέφος τρέφει φυσικῶς τὴν κατ' αἴσθησιν θεωρίαν τῶν ὄντων, συλληφθεῖσα ὑπὸ τῆς πάντων μητρὸς σοφίας, καὶ τῇ κακίᾳ νηπιάζουσα, δοχεῖόν ἐστι τῆς φυσικῆς τῶν ὁρατῶν

Digitized by Google

γνώσεως, καλῶς τῇ μαχαίρᾳ τοῦ Πνεύματος ἐξεσμέ- A est naturalis visibilium rerum cognitionis, optime
νον, καὶ τῆς ἀπάτης ἀπηλλαγμένον· κάντεῦθεν ὡς gladio spiritus emundatum, et fallaciæ vacuum;
μὴ ἀλόγως αἰσθητῶν ἀντιλαμβανόμενον, οὐ ψιλὰς τὰς quod vas, jam non irrationabiliter sensibilia reci-
ἐπιφανείας τῶν ὁρατῶν ἐπιφέρεται, ἀλλὰ πάσας τοῖς piens, visibilium manifestationes non viles, sed
πνευματικοῖς τούτων λόγοις κεκερασμένας. spiritualibus semper rerum rationibus immistas
et temperatas affert.

Ἡ δὲ κοιλία σου, θημωνία σίτου, πεφραγμένη ἐν κρίνοις. Ἤτοι τὸ φανταστικόν σου, ὅπερ οἷα κοιλία σὺν τοῖς περιττώμασι, τοὺς ἐκ τῶν βρωμάτων χυμοὺς ἀδιακρίτους τούτων ἐπιφερομένη, ἅμα ταῖς ἐμφανείαις τῶν ὁρατῶν, τοὺς τούτων ἐπιφέρεται λόγους· ἀπόθεσίς ἐστι καὶ διαμονή, ὅπερ τὸ θημωνία δηλοῖ τοῦ ἔνδοθεν τῶν φανθεισῶν ἐπιφανειῶν, ὡς ὑπὸ ἀσταχύων σίτου περικαλυπτομένου τῆς ἐν ὅλοις ἀληθείας λόγου, ἄχρις ἂν μετ' ἐπιστήμης διακρίνασα, ἐφελκύσηται αὐτὸν ἡ διάνοια, καὶ γυμνὸν παντὸς ἐπικαλύμματος καὶ προβλήματος παραπέμψῃ τῷ νῷ· πεφυλαγμένη δέ ἐστιν ἡ ὑπόθεσις αὕτη, ἐν τῇ διὰ τῶν κρίνων τοῦ ἀγροῦ παραδειγματιζομένῃ ἐν Εὐαγγελίοις ἀμεριμνίᾳ· ἵνα μὴ ὑπὸ τῶν τοῦ βίου διαφθαρῇ μεριμνῶν, καὶ τοῦ ἐν ταύτῃ πνευματικοῦ καρποῦ ὁ καλὸς γεωργὸς στερηθῇ· καὶ οὕτω μὲν κοιλία σου.

Venter tuus acervus tritici, septus in liliis. Nempe phantasia tua, quæ cum speciebus rerum visibilium earumdem rerum rationes menti affert, quemadmodum venter partes cibi nutritivas excrementis mistas continet, depositam ipsa habet et servat (quod per acervum significatur) universalis veritatis rationem intra species visibilium absconditam, ut granum frumenti sub tegumento suo, donec cogitatio, sapienter discernens, hanc extraxerit, et B omni velamine et involucro nudam menti obtulerit. Hoc vero depositum custoditur in securitate per lilia agri in Evangelio figurata, ne vitæ sollicitudinibus corrumpatur nec illius spiritali fructu bonus agricola careat. Talis est venter tuus.

γ'. Οἱ δὲ δύο μαστοί σου ὡς δύο νεβροὶ δίδυμοι δορκάδος. Ἤγουν Ἡ φυσικὴ καὶ ἡ ἠθικὴ διδασκαλία σου, δι' ὧν τὰς ἀτελεῖς τρέφεις ἡμᾶς, οἷάπερ γάλακτι, τοῖς φυσικοῖς λόγοις καὶ τρόποις, πρὸς τὴν ἐν Χριστῷ τελειότητα, ἅμα ἐκ σοῦ κατὰ μὲν θεωρίαν ἐξυδερκῶς, κατὰ δὲ πρᾶξιν ἄλγον[a] ἐπιδεικνυμένης. Πρὸς τούτοις δὲ,

Vers. 3. *Duo ubera tua sicut duo hinnuli gemelli capreæ.* Nimirum duo ubera sunt sive physica, sive ethica doctrina tua, quibus nos imperfectos, ut lacte, nutris, naturalibus rationibus et normis ad Christi perfectionem informans. Simul et in contemplando acrem oculorum (ut caprea) aciem habes, et in agendo (ut lactens) laboras. Insuper his,

δ'. Τράχηλός σου, ὡς πύργος ἐλεφάντινος. Εἴτουν τὸ συνάπτον τῷ νῷ τὴν αἴσθησιν λογικόν σου, καθάπερ τράχηλος τῇ κεφαλῇ τὸ λοιπὸν σῶμα, οἷα μὲν πύργος αἴρεται κατ' ἀρετὴν ἀπὸ τῶν σαρκικῶν, καὶ πρὸς τὰ πνευματικὰ καὶ οὐράνια· οἷα δ' ἐλεφάντινος, λεῖον ὑπάρχει καὶ καθαρὸν, διὰ τὸ ἀπηλλάχθαι τῆς κατ' ἔλλειψιν ἀρετῆς καὶ ὑπερβολὴν, μολυντικῆς τῆς ψυχῆς ἀνισότητος. C

Vers. 4. *Collum tuum sicut turris eburnea.* Nempe facultas rationalis, quæ sensum intelligentiæ connectit, quemadmodum collum cæteras corporis partes conjungit capiti, sicut turris, a carnalibus per virtutem ad spiritualia et cœlestia erigitur, et, sicut ebur, levis et pura est, quia nulla deformatur, sive per defectum, sive per excessum virtutis, mentis inæqualitate.

Καὶ ὀφθαλμοί σου ὡς λίμναι ἐν Ἐσσεβών, ἐν πύλαις θυγατρὸς πολλῶν. Δηλαδὴ αἱ θεωρητικαὶ τῆς ψυχῆς σου οἷάπερ λίμναι συναγωγοὶ τῶν ἐκ ταύτης εἰστρεόντων ὑδάτων, συνάγουσιν ἐν τῇ αὐξήσει τῆς κατ' ἀρετὴν θείας καρποφορίας, ὅπερ τὸ Ἐσσεβὼν ἑρμηνεύεται, διὰ μέσων τῶν αἰσθήσεων, δι' ὧν ὥς τινων πυλῶν εἰς νεαρὰν ψυχὴν ἡ τῶν ὅλων γνῶσις εἰσιέναι πέφυκε, τὴν τικτομένην κατὰ θεωρίαν γνῶσιν ἐκ τῆς διαφόρου φύσεως τῶν ὄντων. Πρὸς δὲ τούτοις, D

Oculi tui ut piscinæ in Essebon, in portis filiæ multorum. Scilicet vires contemplativæ animæ tuæ similes sunt piscinis in quibus colliguntur notiones ex anima tua, sicut pluviæ decurrentes. Colligunt enim in augmentum divinæ per virtutem fructificationis (quod per Essebon interpretantur), theoricam cognitionem ex multimoda entium natura partam; ad hoc autem sensus inserviunt, per quos, veluti per portas quasdam, recentem in animam omnium rerum notitia introduci solet. Insuper his,

Μυκτήρ σου, ὡς πύργος τοῦ Λιβάνου, σκοπεύων πρόσωπον Δαμασκοῦ. Δηλονότι τὸ οἷάπερ εὐωδίαν ἀπὸ δυσωδίας διαχωρίζον, τὰς ὑποθήκας τῶν εἰς διακονίαν ἀποστελλομένων διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν λειτουργικῶν πνευμάτων, ἀπὸ τῶν ὑποβολῶν τῶν τῆς πονηρίας πνευμάτων διακριτικόν σου· οἱονεὶ πύργος ὑψηλοτάτου κατὰ τὸν Λίβανον ὄρους, ἀποβλέπον κατὰ πρόσωπον τῆς πόλεως Δαμασκοῦ· καὶ τὰς ἐκεῖθεν τῶν ἐχθρῶν ἐφόδους τῷ

Nasus tuus sicut turris Libani, prospiciens faciem Damasci. Nempe judicium tuum, quemadmodum nasus fragrantiam inter et fetorem discernit, sic illud inter admonitiones ministratoriorum spirituum, in ministerium missorum ob illos qui salutis hæreditatem sunt adepturi, et nequitiæ spirituum fraudes distinguere valet. Sicut turris, in altissimo Libani jugo, intuens in faciem urbis Damasci, et inde hostium egressus Israeli indicans, sic ab omni

VARIÆ LECTIONES.

[a] ἄλγος? λόγον?

Digitized by Google

istorum spirituum noxa intactam te servat judicium tuum.

VERS. 5. *Caput tuum super te ut Carmelus.* Prorsus Christus sponsus tuus, sermo vivens et efficax, pertingens usque ad divisionem animæ et spiritus, agnitio est in te circumcisionis, quæ Carmelus nominatur. Circumcidit enim gladio spiritus velamen cupiditatum a generatione tua originem ducentium. Ex hoc oculus cogitationis tuæ manifeste cernere potest inimicorum spiritualium fraudes, nulla illum obtenebrante libidine. Igitur

Coma plexilis capitis tui ut purpura. Nempe doctrina ipsius Christi, rationibus et regulis contexta, ut regia vestis, tuam circumplectitur intelligentiam. Tali veste indutus, Christus dominator est concupiscentiarum, et fit

Rex vinctus in cursibus. Non sane alicui concupiscentiæ subjacens, sed vinculo prædictæ divinæ doctrinæ suæ ligatus in transitu vitæ præsentis, ne in lubrico temporalium et sensibilium rerum cadat. Propter igitur hæc omnia,

VERS. 6. *Quam pulchra facta es, et quam jucundata es!* Circumdabaris mira pulchritudine, scilicet per similitudinem cum archetypo; ideo Sponso tuo copulata et illo fruens, inenarrabili impleta es voluptate. Etenim

Amor in deliciis tuis. Sane in virtutis deliciis. Gustans enim et videns quia Christus est Dominus, non jam sancto ejus amore oblectaris, sed perfecta in illum charitate devinciris, quæ charitas foras mittit timorem. Inde

VERS. 7. *Statura tua assimilata est palmæ.* Plane elevatio tua in virtute palmæ comparatur, quæ non altas in terra radices agit, sed valde in altum se subjicit. Ipsa enim vix extremis cogitationibus, propter corporis necessitatem, attingens terrestria, cœlestia ipsa contingis, quæ ad mensuram ætatis plenitudinis Christi perveneris.

Et ubera tua botris. Disciplinæ tuæ sive ethica, sive physica, quibus parvulas adhuc nos lactasti, per illas ad Dei cultum nos introducens, nunc palmæ botris similes fiunt, quæ nobis, ad perfectionem progressis, diviniorem doctrinam, ut melleam palmæ botrorum suavitatem, gustandam præbent. Igitur tua, o magistra, altitudine palmæ altitudini comparata, addit erudita a te turba :

VERS. 8. *Dixi : Ascendam in palmam; apprehendam ramos ejus et erunt ubera tua sicut botri vitis.* Scilicet in me reputans dixi: Ascendam per imitationem ad magistræ meæ perfectionem in virtute, et apprehendam intelligentia altissima illius præcepta; et doctrinæ ejus naturaliter, sicut ubera, nutrientes me, omnino mihi erunt ut veræ vitis Christi uvæ, deificationem in gratia mihi præbentes; hæc enim deificatio, vini inebriantis instar,

A Ἰσραὴλ μηνύων, ἀνέπαφόν τε τῆς παρ' αὐτῶν βλάβης διατηρεῖ· τοιοῦτον δέ σού ἐστι τὸ διακριτικόν.

ε'. *Κεφαλή σου ἐπὶ σὲ ὡς Κάρμηλος.* Πάντως Χριστὸς ὁ Νυμφίος σου, ὁ ζῶν καὶ ἐνεργὴς λόγος, καὶ διῖκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἐπίγνωσίς ἐστιν ἐν σοὶ περιτομῆς, ὅπερ Κάρμηλος ὀνομάζεται, περιελών σου τὸ ἀπὸ γενέσεως τῶν παθῶν κάλυμμα, τῇ μαχαίρᾳ τοῦ Πνεύματος· κάντεῦθεν τὸ ὄμμα τῆς διανοίας σου καθαρῶς ὁρᾷν δύναται τὰς μηχανὰς τῶν νοητῶν ἐχθρῶν, μή τινος πάθους ἐπισκοτοῦντος αὐτῷ. Διόπερ

Καὶ πλόκιον κεφαλῆς σου, ὡς πορφύρα. Ἤτοι, Ἡ διὰ λόγων καὶ τρόπων πλεχθεῖσά σοι διδασκαλία αὐτοῦ Χριστοῦ, οἷα βασιλείας ἔνδυμά ἐστι τοῦ νοός σου περιβολή, ἐν ᾗ οὗτος παθῶν γίνεται αὐτοκράτωρ, B καὶ ὑπάρχει

Βασιλεὺς δεδεμένος ἐν παραδρομαῖς. Ἤγουν μή τινι ὑποκείμενος πάθει, ἀλλὰ τῇ σχοίνῳ τῆς εἰρημένης θείας διδασκαλίας δεδεσμημένος ἐν παρόδοις τῆς παρούσης βιοτῆς, ἵνα μὴ καταπέσῃ τῷ κατ' αἴσθησιν τῶν προσκαίρων ὀλισθηρῷ. Διὰ γοῦν ταῦτα πάντα,

ς'. *Τί ὡραιώθης! καὶ τί ἡδύνθης!* Εἴτουν θαυμάσιον περιεβάλου κάλλος, δηλαδὴ τὸ καθ' ὁμοίωσιν τοῦ ἀρχετύπου, καθ' ὃ τῷ Νυμφίῳ συγγινομένη, καὶ ἀπολαύουσα τούτου, ἐπλήσθης σωματικῆς[d] ἀφράστου ἡδονῆς· καὶ γὰρ

Ἀγάπη ἐν τρυφαῖς σου. Δηλονότι ταῖς κατ' ἀρετήν· γευσαμένη γὰρ καὶ θεασαμένη ὅτι Χριστὸς ὁ Κύριος, οὐκ ἔτι φόβῳ τῷ ἀγαθῷ ἐντρυφᾷς, ἀλλ' ὅλης C τῆς ἀγάπης τούτου ἐξήρτησαι, ἥτις ἔξω βάλλει τὸν φόβον. Ὅθεν,

ζ'. *Τὸ μέγεθός σου ὡμοιώθη τῷ φοίνικι.* Πάντως τὸ κατ' ἀρετὴν ὕψος σου, παρείκασται τῷ τῇ μὲν γῇ οὐκ εἰς βάθος ἐρριζωμένῳ, εἰς ὕψος δ' ἱκανῶς ἀνατρέχοντι φοίνικι· καὶ γὰρ καὶ αὐτὴ τῶν γηΐνων διὰ τὴν ἀνάγκην τοῦ σώματος ἄκροις τοῖς λογισμοῖς ἐπιψαύουσα, αὐτῶν ἅπτῃ τῶν οὐρανίων, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ φθάσασα.

Καὶ οἱ μαστοί σου τοῖς βότρυσιν. Ἤγουν ἡ ἠθικὴ καὶ ἡ φυσικὴ διδασκαλία σου· δι' ὧν ἡμᾶς ἔτι νηπίας οὔσας, γάλα ἐπότισας, εἰσαγωγικῶς πρὸς θεοσέβειαν ἐκπαιδεύουσα· νῦν ὁμοιοῦνται τοῖς τοῦ φοίνικος βότρυσιν, ἐν τῷ ἑστιᾷν ἡμᾶς προκοψάσας εἰς τελειότητα, τὴν θειοτέραν διδασκαλίαν, ὡς μελιτώδη γλυκύτητα τῶν βοτρύων τοῦ φοίνικος· τὸ γοῦν μέγεθός σου τῆς διδασκάλου, τῷ φοίνικι παρεικάσασα ἡ μαθητευομένη σοι πληθύς.

η'. *Εἶπα· Ἀναβήσομαι ἐπὶ τῷ φοίνικι· κρατήσω τῶν ὑψεων αὐτοῦ, καὶ ἔσονται δή μαστοί σου ὡς βότρυες τῆς ἀμπέλου.* Δηλαδὴ ἐν ἐμαυτῇ βουλευτικῶς ἔφην· Ἀνελεύσομαι μιμητικῶς ἐπὶ τὴν κατ' ἀρετὴν τῆς διδασκάλου μου τελειότητα, καὶ τὰ κατὰ γνῶσιν ὑψηλότατα αὐτῆς καταλήψομαι θεωρήματα· καὶ αἱ φυσικῶς οἷα μαζοὶ τρέφουσαί με διδασκαλίαι σου, ὑπάρξουσι πάντως ὡς βότρυες τῆς ἀληθινῆς ἀμπέλου Χριστοῦ, χορηγοῦσαί μοι τὴν κατὰ χάριν

VARIÆ LECTIONES.

[d] πνευματικῆς ?

Digitized by Google

θέωσιν· ἤτις δίκην οἴνου, φύσεως τὸν νοῦν ἐξιστᾷ, καὶ πρὸς τὰ ὑπὲρ φύσιν μεθίστησιν. Ἐντεῦθεν δὲ

Καὶ ὀσμὴ ῥινός σου, ὡς μῆλα. Εἴτουν, Ἡ πληροῦσά με νοητῆς εὐωδίας τοῦ παναγίου Πνεύματος χάρις· ἣν αὐτὴ μὲν εἰσέπνευσας, ἀπὸ τοῦ Νυμφίου ταύτης μεταλαβοῦσα· ἐμοὶ δὲ ταύτην ἐνέπνευσας, μεταδοῦσά μοι αὐτῆς, οἷάπερ μῆλα, τὴν ὥραν μὲν εὐπρεπῆ, εὐώδη δὲ τὴν ὀσμὴν, καὶ τὴν γεῦσιν ἡδέα· εὐπρεπὴς μὲν κατὰ τοὺς τρόπους τῶν ἀρετῶν, εὔπνους δὲ κατὰ τοὺς λόγους αὐτῶν, καὶ γλυκεῖα κατὰ τὴν πεῖράν μοι ἔσεται.

θ'. *Καὶ ὁ λάρυγξ σου ὡς οἶνος ἀγαθὸς, πορευόμενος τῷ ἀδελφιδῷ μου εἰς εὐθύτητας· ἱκανούμενος χείλεσί μου καὶ ὀδοῦσιν.* Ἤτοι ὁ διδασκαλικὸς λόγος σου, οἷάπερ οἶνος κάλλιστος, καρδίας εὐφραντικὸς ὑπάρξει μοι, προφερόμενος αὐτῷ ἀγαπητῷ μου· οὗ μοι αὐτὴ τὸν πόθον ἐνέσταξας, εἰς ἁπλανεῖς κατ' ἀρετὴν ὁδοὺς ἐν τῷ ἕχεσθαι τούτου ὡς ἀληθείας, καὶ μὴ συγχωρεῖν με εἰς τὰ κατ' ἔλλειψιν τῆς ἀρετῆς πάθη ἢ καθ' ὑπερβολὴν πλαγιάζειν· πρὸς δὲ καὶ ἀρχῶν ταῖς τε ὀρεκτικαῖς μου δυνάμεσι, δι' ὧν οἷα χειλέων, πᾶν ἀσπάζομαι τὸ κατὰ βούλησιν· καὶ ταῖς διανοητικαῖς, δι' ὧν ὥς τινων ὀδόντων πρὸς βρῶσιν πνευματικὴν, τὸ δυσχερὲς τῶν νοημάτων καταλεαίνω· τῆς γοῦν πληθύος τῶν μαθητευομένων, ἀπαιτησάσης τὸν διδάσκαλον, ἐπιστρέψαι ἀπὸ τοῦ ὕψους τῆς μυστικῆς θεωρίας, καὶ συγκαταβῆναι κατὰ τὴν ἠθικὴν φιλοσοφίαν αὐταῖς, ὥστε θεάσασθαι ἐν αὐτῇ τὰ εἰρημένα ταύτης πνευματικὰ κάλλη, καὶ συναναβῆναι ταύτῃ διὰ μιμήσεως. Πρὸς τσύτας αὖτη φησίν·

ι'. *Ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ἐπ' ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ.* Ἤγουν, Ἐγὼ τῷ ἀγαπητῷ μου τὴν ὑπὲρ ὑμῶν δέησιν προσαγάγω, ἡ ἀναθεμένη ἐμαυτὴν ὅλην αὐτῷ, καὶ χωρὶς αὐτοῦ μηδὲν ποιεῖν βουλομένη· καὶ ἐπ' ἐμὲ τὴν οὕτω φρονοῦσαν, ἡ ἀπὸ τῆς ἰδίας περιωπῆς ἐπιστροφὴ αὐτοῦ ἔσται, ἐπακούοντος τῆς ὑπὲρ ὑμῶν δεήσεώς μου, καὶ δι' ἐμοῦ ὑμῖν ἐπικαμπτομένου τε καὶ ὁρωμένου τοῦ ἀοράτου· ἀναφέρουσα δὲ αὐτῷ τὴν ὑπὲρ ὑμῶν αἴτησιν. Καί φησιν·

ια'. *Ἐλθὲ, ἀδελφιδέ μου, ἐξέλθωμεν εἰς ἀγρόν.* Εἴτουν, Δεῦρο, ἀγαπητέ μου, ἐξέλθωμεν ἐγώ τε ἡ μυστικῶς θεωροῦσά σε, καὶ αὐτὸς οὕτω μοι θεωρούμενος, πρὸς τὸν χορὸν τῶν μαθητευομένων μοι· ὃν ὥσπερ ἀγρόν τινα τριβόλων καὶ ἀκανθῶν τῶν συμπνιγουσῶν αὐτὸν τοῦ βίου μεριμνῶν καὶ λογισμῶν ἐμπαθῶν, ἐξεκάθηρα· ἐξέλθωμεν δὲ, φανερώσοντες αὐτῷ τὴν πνευματικὴν συνάφειαν ἡμῶν, ἐν τοῖς κατὰ πρᾶξιν τρόποις τῶν ἀρετῶν· ἐξιόντες δ', ὡς εἴρηται,

Αὐλισθῶμεν ἐν κώμαις. Ἤγουν κατασκηνώσωμέν σου ἐν ψυχαῖς, ταῖς ἐν τῷ ὀνόματί σου πάσας τὰς θεωρητικὰς καὶ τὰς ὀρεκτικὰς δυνάμεις αὐτῶν, καὶ τὰς αἰσθήσεις ἐπὶ τὸ αὐτὸ συναθροιζούσαις, οἷάπερ κῶμαι τοὺς οἰκοῦντας αὐτάς· αὐτὸς μὲν οἰκητήριόν σου, ἐν ἁγίῳ Πνεύματι ταύτας ποιούμενος, ἐγὼ δὲ αὐτὴν παριστῶσα ταύταις παράδειγμα πρὸς σὴν εὐαρέστησιν.

ιβ'. *Ὀρθρίσωμεν εἰς ἀμπελῶνας.* Αὐτὸς μὲν ὁ Ἥλιος τῆς δικαιοσύνης, ἀνατέλλων φῶς γνώσεως ταῖς A animum deducit a natura, et ad supernaturalia transmutat. Hinc

Et odor naris tuæ sicut mala. Gratiam scilicet Spiritus sanctissimi, quæ me spirituali odore implevit, tu ipsa mihi, a sponso tuo acceptam, afflasti. Illam autem mihi, ut fruerer, communicasti, ut mala, visu quidem præstantia, suaveolentia odore, gustu quoque jucunda, mihi enim excellens erit hæc gratia secundum virtutum normas, suaveolens in illarum rationibus, in usu autem dulcis.

Vers. 9. *Et guttur tuum sicut vinum bonum, vadens ad fraterculum meum ad rectitudines, idoneum labiis meis et dentibus.* Nimirum sermo doctrinalis tuus, ut vinum optimum, cor meum lætificat, me B dilecto meo afferens. Cujus doctrinæ tu mihi desiderium instillasti, ut illi utpote veræ inhærens, in rectis starem virtutis viis, non declinans ad passiones, sive per defectum sive per excessum virtutis. Et illa quidem congrua est concupiscibilibus meis potentiis, quibus, sicut labiis, cuncta juxta voluntatem amplector, et intellectualibus, quibus, ut ad spiritualem cibum dentibus, arduas cogitationes complano. Ita ergo discipularum turba a magistra quæsivit ut ab altitudine mysticæ contemplationis reversa, ethicæ illarum disciplinæ indulgeret, ut prædictas illius spirituales pulchritudines in illa contemplari et per imitationem una ad perfectionem elevari possent. Istis autem dicit illa :

C

Vers. 10. *Ego fraterculo meo, et ad me conversio ejus.* Nimirum, ego orationem meam pro vobis dilecto meo offeram, quæ totam illi me dedi, et absque illa nihil agere volo ; ad me autem, ita dispositam, ab excelsitate sua ille convertetur, orationem meam pro vobis audiet, per me erga vos flectetur et invisibilis videbit. Offero ergo illi orationem meam pro vobis. Et dicit :

Ἀκριβεστέρα τῶν αἰσθήσεων *ὅρασις* πρὸς τὴν τῆς ἀληθείας κατάληψιν. Οὐχ ὁμοίως γὰρ ἀκοή τε καὶ *ὅρασις*, φοβερῶν, ἢ τῶν ἡδέων ἀντιλαμβάνονται. Δι' ὅπερ τῶν ἀληθῶν ἡ θεωρία, διὰ τὸ ἐναργὲς καὶ ἀναμφίβολον, *ὅρασις* προσηγόρευται. Διὸ καὶ *ὁρῶν* ὁ προφήτης ἐλέγετο, καὶ ἔμπροσθεν βλέπων, ὡς Ἀμώς τε καὶ Σαμουήλ· τὸ μὲν, ὡς τὸ μέλλον *ὁρῶν*· τὸ δὲ, ὡς θεωρητικὸς τοῦ θείου βουλήματος. Ἔστι δὲ ἡμέτερον μὲν, τὸ πρὸς τὸ βλέπειν καθαίρεσθαι· Θεοῦ δὲ, καταυγάσαι τὸν νοῦν τῶν ἀπορρήτων πρὸς ἀποκάλυψιν. *Ὅρασιν* δὲ προτάξας, λόγων ἐπαγγελίαν ἐπήγαγεν. Οὐ γὰρ δι' ἀκοῆς ἐδέξατο, τῷ δὲ νῷ τυπωθεῖσαν ἐξαγγέλλει διάνοιαν. Λόγων μὲν οὖν χρεία *τῶν ἑωραμένων* πρὸς δήλωσιν. Ταῦτα δὲ Θεὸς ἐντυποῖ τοῦ ἡγεμονικοῦ τῶν ἀξίων ἁπτόμενος. Πατρικὴν δὲ τὴν προφητείαν δεικνὺς, καὶ τὸν πατέρα προσέθηκεν. Διττὸν δὲ τὸ *εἶδεν*· τὸ μὲν, ἵνα δείξῃ τὸ κοινὸν τῆς *ὁράσεως*· τὸ δὲ, τοῦ ἰδικοῦ παραστατικόν. Λόγους δὲ δείκνυσιν *ὁρατοὺς*, κατὰ τὸ ἐν Ἐξόδῳ· « Καὶ πᾶς ὁ λαὸς ἑώρα τὴν φωνήν. » Τῶν δὲ ἄλλων προφητῶν, οἱ μὲν *ὅρασιν*, οἱ δὲ *λόγον* τῆς προφητείας προέταξαν. *Ὅρασιν* μὲν, Ἀβδιοῦ, Ναοὺμ [b], Ἀββακούμ· *Λόγον* δὲ, Ὡσηὲ, Ἀμὼς, Μιχαίας, Ἰωνᾶς, Σοφονίας, Ἀγγαῖος, Ζαχαρίας. Ὁ Μαλαχίας δὲ, « Λῆμμα λόγου Κυρίου, » φησί. Καὶ ὁ Ναοὺμ, « Λῆμμα Νινευῆ. » Καὶ Ἀββακοὺμ, « Τὸ λῆμμα ὃ εἶδεν Ἀββακούμ· » δηλοῦντες, ὅτι οὐκ ἀφ' ἑαυτῶν ἔχουσι τῆς προφητείας τὴν δύναμιν, ὡς

[21] Ezech. IX, 6. [22] Sap. VI, 7. [23] Luc. XII, 48. [23*] Exod. XX, 18.

VARIÆ LECTIONES.

[b] *Αφ.* Ναοὺμ, Ἀββακούμ.

Digitized by Google

τὸ *λῆμμα* ἴσον εἶναι τὸ [i] ὄμα παρὰ Θεοῦ· τὸ δὲ, « Ἐν χειρὶ Ἀγγαίου, » ταὐτὸν τῷ λήμματι δύναται. » Ὁ μὲν οὖν *Ἡσαΐας* προτάξας τὴν *ὅρασιν*, τοὺς λόγους ἐπήνεγκεν· ὁ δὲ Ἀμὼς λόγους προτάξας, τὸ, « Οὓς ἶδεν ἐπήγαγεν· » καὶ οἱ μὲν χρόνους ὁρίζουσιν, οἱ δὲ ἀχρόνως συνέγραψαν. Καὶ οἱ μὲν τοῦ γένους βασιλέας προέγραψαν· οἱ δὲ τῶν Βαρβάρων ἴσως, διὰ τὸ τότε κρατεῖν ὡς ἐπισημοτέρους ἄρχοντας. Καὶ τοὺς ἑαυτῶν πατέρας οἱ μὲν ἐνέθηκαν, οἱ δὲ παρέλιπον. Καὶ τάχα φασὶν, οἱ μὲν ἐξ ἐπισήμων πατέρων, διὰ τὸ εὐπαράδεκτον· (πιστότεροι γὰρ οἱ γνωριμώτεροι)· οἱ δὲ τῶν ἀσήμων παρεσιώπησαν. Λέγουσι δὲ μὴ τὸν ἕνα τῶν δώδεκα τοῦ *Ἡσαΐου* τὸν πατέρα τυγχάνειν· ἐκεῖνος γὰρ Ἀμὼς ψιλῶς λέγεται, καὶ ἑρμηνεύεται λόγος σκληρός. Ὁ δὲ τοῦ *Ἡσαΐου* δασύνεται, καὶ σημαίνει τελέωσιν, καὶ δύναμιν, καὶ ἰσχύν. *Ὀζίας* δὲ ὁ αὐτὸς καὶ *Ἀζαρίας* ἐλέγετο. Ἐν μὲν γὰρ τῇ δευτέρᾳ τῶν Παραλειπομένων, *Ὀζίας* εἴρηται· ἐν δὲ τῇ δευτέρᾳ τῶν Βασιλειῶν, *Ἀζαρίας*, καὶ πατρὸς τοῦ αὐτοῦ καὶ μητρός. Ἡ μὲν γὰρ μήτηρ Χανᾶ· ὁ δὲ πατὴρ Ἀμασίας. Καὶ χρόνος τῆς βασιλείας ὁ αὐτὸς, πεντήκοντα δύο ἔτη. Ἐπὶ *Ὀζίου* δὲ τοῦ καὶ Ἀζαρίου ἐπροφήτευσεν [j] *Ἡσαΐας*, Ὡσηὲ, Ἀμώς. Ἀλλ' ἐπειδὴ, ἀρχὴ λόγου Κυρίου πρὸς Ὡσηὲ, μήποτε πρῶτος ἤρξατο προφητεύειν; καὶ ἐπειδὴ ὁ Ἀμὼς, πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ, μήποτε πρὸ *τῆς Ὁράσεως* *Ἡσαΐου*, ἐν ᾗ φησιν, Ἐπήρθη τὸ ὑπέρθυρον;

A vero, Oseas, Amos, Michæas, Jonas, Sophonias, Aggæus, Zacharias. Malachias autem : « Assumptio verbi Domini, » ait. Et Naum, « Assumptio Ninivæ. » Et Habacum : « Assumptio, quam vidit Habacum ; » ut se non a seipsis vaticinandi potestatem habere docerent ; idemque *assumptionis* verbo, ac Dei dono significari. At illud, « In manu Aggæi, » non diversum habet ab Assumptione intellectum. *Isaias* ergo, *Visionis* præfixo nomine, verba subjunxit ; Amos vero, verbis præmissis, quæ vidit, intulit. At inter eos, qui tempora definiunt (sunt enim et qui neglecta eorum ratione scripserunt) alii quidem gentis, alii autem Barbarorum reges scriptioni suæ præfixerunt ; ea fortasse ducti ratione, quod rebus potirentur, essetque eorum illustrius imperium. Non desunt etiam, qui patres suos addiderint ; quos alii prætermiserunt. Nec est a vero forsan quod aiunt, alienum, eos, qui celebriores essent, quo fidem magis facerent, a filiis esse nominatos ; cum iis facilius credamus, quos præstantiores putamus ; qui autem obscuri haberentur, silentio prætermissos. Ferunt autem *Isaiæ* patrem non ex XII prophetis esse aliquem. Illum enim Amos tenuiter eifferri, sermonemque durum significare ; *Isaiæ* autem parentem aspirari, perfectionemque et virtutem, et robur innuere. Idem [vero ipse *Ozias* et *Azarias* dicebatur. Nam Paralipomenon altero, *Ozias* nominatur [24] ; et Regum secundo, *Azarias* [25] ; cujus idem uterque parens. Est enim mater Chana ; pater vero Amasias. Sunt et regni tempora eadem, anni LII. Sub *Ozia* autem, et qui Azarias vaticinati sunt *Isaias*, Oseas et Amos. Annon vero quia principium verbi Domini ad Oseam, in Osea legimus, primus et ipse se scribit Amos ; annon et ante *Isaiæ visionem*, Quia deinde ante duos annos terræ motus incepisse aggressus videatur ? qua elevatum superliminare dicit, prophetare

β'. *Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν.*

Vers. 2. *Audi, cœlum, et auribus percipe, terra : quoniam Dominus locutus est.*

Καταπλήττει τοὺς *ἀκούοντας*, ὡς καὶ τῶν ἀναισθήτων αἰσθανομένων Θεοῦ λόγων, οὓς αὐτοὶ λογικοὶ ὄντες ἀπώσαντο. Ἴσως δὲ οὐ λόγων ἀκροατὰς ἀξιοπίστους ζητῶν, μέλλων [k] δὲ δικαστὰς, ἐφ' ὧν ἤμελλε κατηγορεῖν τοῦ λαοῦ, τὰς ἐν *οὐρανῷ* δυνάμεις, καὶ τὰ ἐπὶ *γῆς* ἥκα [l] συγκαλεῖ τὰ ἔθνη προαινιττόμενος, ἅπερ ἀντ' Ἰουδαίων [m] τῶν ἀγνωμόνων κέκληκεν ὁ Θεὸς, οἱ καὶ τῆς ἐκείνων ἀγνωμοσύνης καταδικάζουσιν. Ἤγουν ἐπειδὴ μετὰ μακροὺς ἤμελλε γενέσθαι τὰ θεσπιζόμενα χρόνους, καὶ πρὸς τὴν ἔκβασιν οὐδεὶς ἂν τῶν *ἀκουόντων* διετέλεσε ζῶν, τὰς θείας δυνάμεις, καὶ τὰ διαιωνίζοντα μέρη τοῦ κόσμου καλεῖ καὶ πρὸς τὴν τῶν ἐκβησομένων ἐς ὕστερον μαρτυρίαν. Μήποτε δὲ, ὡς τοῦ Ἰουδαίων ἔθνους μηκέτι φωνῆς ἀξίου θείας ὑπάρχοντος, τῶν ἐθνῶν ἐπικαλεῖται τοὺς *οὐράνιον* ἔχοντας φρόνημα, καὶ τοὺς γεωδεστέρους ; Διὸ τοῖς μὲν πρώτοις, ὡς συνετοῖς, τὸ *ἀκούειν* ἀπένειμεν· τοῖς δὲ δευτέροις, τὸ *ἐνωτίζεσθαι*. Σωματικώτε-

Perterret *auditores*, tanquam ea, quæ sensu carent, Dei voces audiant ; quas, qui ratione præditi sunt, repulerunt. Forsan autem non orationis auditores fide dignos, sed eorum judices potius, quorum erat populum accusaturus, postulans, quæ in *cœlo*, quæque in *terra* sunt, virtutes statim appellat ; gentes obscure significando, quæ a Deo in ingratorum Judæorum locum vocatæ, illorum pervicaciam condemnant. Vel certe, quia longis postea temporibus quæ vaticinabatur futura erant, suumque sortitura exitum (cum eorum, qui tum audierant, nullus esset superstes futurus) divinas virtutes, sempiternasque mundi partes, in eorum etiam, quæ postea essent eventura, testimonium vocat. Fortasse vero, tanquam Judæorum gens Dei voce digna amplius non sit, eos, qui ex gentibus *cæleste* aliquid saperent, et qui *terrena* avidius amplecterentur, inclamat : ideoque prioribus quidem, tanquam prudentibus, *audiendi* verbum ; al-

[24] II Paral. XXVI, 1 seqq. [25] IV Reg. XIV, 21.

VARIÆ LECTIONES.

[i] γρ τῷ. [j] γρ. ἐπροφήτευσαν. [k] γρ. μᾶλλον. [l] Ἴσ. λείπ. αὐτίκα. [m] γρ. ἀντ' Ἰουδ.

Digitized by Google

teris autem, *auribus percipiendi*, attribuit. Est enim *auribus percipere* crassius. Vel certe quoniam inter Judæos erant sublimes aliqui, veluti prophetæ, 8 et similes, quamvis pauci; reliqui autem *terrenis* et humilibus rebus addicti : sic utrosque appellavit. Fortassis autem eos in testimonium vocat, quorum temporibus lex data est; ut illis præsentibus ejus arguatur violatio. Sic enim ait : « Congregate ad me tribunos vestros, et seniores vestros, et judices, atque doctores, ut loquar in aures ipsorum, et tester adversus eos cœlum et terram [26]. » Eo fine et Moses ipsos, tanquam testes, advocat : « Audi, cœlum, et loquar; audiat terra verba oris mei [27]. » At illa ut procul dubio eventura significaret, subjungit : *Quia locutus est Dominus.* « Dixit enim Deus, et facta sunt [28]. » Quemadmodum igitur Israelitici populi tum fuit manifestissima assumptio, cum pro eo in Ægyptiorum cæterorumque hostium perniciem, cuncta moverentur, quæ Deus creavit, sic et eorum rejectionem omnibus apertam esse voluit. Præterea, quoniam, despecta lege, creaturæ servierant potius quam Creatori [29], militiam cœli, et quæ materia constant, idola adorantes [30]; eorum circa hæc impietatem mira prudentia per invocationem subinnuit. Ob id et prophetam quemdam sic alloquitur Dominus : « Surge, et contende judicio adversus montes, et audiant colles vocem tuam. Audiant montes judicium Domini, et valles fundamenta terræ; quoniam judicium est Domini cum populo suo, et cum Israel dijudicabitur [31]. » Non enim ad montes et colles, sed ad impietatem, quæ in montibus et collibus patratur, judicium refertur. Ad hæc memoriæ aculeum ipsis præbuit. *Cœlum* enim et *terra* perpetuo, si spectentur, beneficiorum acceptorum oblivionem ab intuentium animis excutiunt. Ad omnes igitur *audiendi* verbum referri putandum est, cum de hominibus sermo habeatur, quos *filiorum* appellatione dignatur. Deinde, quoniam omnis homo anima constat, et corpore, quæ *cœli terræque* participia, cognationem habent cum utroque; per ea, quæ maxime illi usitata sunt et propria, peccatum ipsius arguit.

A ρχν γὰρ τὸ δι' ὤτων *ἀκούειν*. Ἡ γοῦν [n] ἐπειδὴ καὶ ἐν τοῖς Ἰουδαίοις ἦσάν τινες ὑψηλοί, οἷον προφῆται, καὶ τοιοῦτοί τινες, εἰ καὶ σπάνιοι· τὸ δὲ λοιπὸν ἅπαν *γεώδες* καὶ ταπεινὸν, ἀμφοτέρους ἐκάλεσεν. Τάχα δὲ καλεῖ *μάρτυρας*, ἐφ' ὧν ἡ τοῦ νόμου δόσις ἐγένετο, τὴν παρανομίαν ἐπὶ τῶν αὐτῶν διελέγξαι βουλόμενος. « Ἐκκλησιάσατε γὰρ, φησὶ, πρός με τοὺς φυλάρχους ὑμῶν, καὶ τοὺς πρεσβυτέρους ὑμῶν, τοὺς κριτὰς, καὶ τοὺς γραμματοεισαγωγεῖς, ἵνα λαλήσω εἰς τὰ ὦτα αὐτῶν, καὶ διαμαρτύρωμαι αὐτοῖς τόν τε οὐρανὸν καὶ τὴν γῆν. » Διὸ καὶ Μωϋσῆς ἐπικαλεῖται τούτους ὡς *μάρτυρας*· « Πρόσεχε, οὐρανὲ, καὶ λαλήσω· καὶ ἀκουέτω γῆ *ῥήματα* ἐκ στόματός μου. » Τὸ δὲ πάντως ἐκβήσεσθαι ταῦτα δηλῶν, ἐπήνεγκεν· *Ὅτι Κύριος ἐλάλησεν.* « Ἐπεὶ γὰρ, φησὶν, Θεὸς ἔφη, καὶ γίνεται. » Ὡς τοίνυν ἐπισημοτάτη γέγονεν ἡ πρόσληψις τῶν ἐν Ἰσραὴλ, πάσης κατ' Αἰγυπτίων καὶ τῶν ἄλλων πολεμίων κινηθείσης τῆς κτίσεως· οὕτω καὶ τὴν ἀποβολὴν πᾶσιν ἐθέλει γνωρίζεσθαι. Καὶ πάλιν, ἐπεὶ παριόντες τὸν νόμον ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, στρατιὰν *οὐρανοῦ* καὶ τὰ ἐξ ὕλης προσκυνήσαντες εἴδωλα, οἰκονομικώτατα τὴν ἐν τούτοις αὐτῶν ἀσέβειαν ὑπαινίττεται διὰ τῆς ἐπικλήσεως. Διὸ καὶ πρὸς ἕνα φησὶ τῶν προφητῶν ὁ Θεός· « Ἀνάστηθι, καὶ κρίθητι πρὸς τὰ ὄρη, καὶ ἀκουσάτωσαν οἱ βουνοὶ φωνῆς σου. Ἀκούσατε, οἱ βουνοὶ, τὴν κρίσιν τοῦ Κυρίου, καὶ φάραγγες, θεμέλια τῆς γῆς, ὅτι κρίσις τῷ Κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ μετὰ τοῦ Ἰσραὴλ διελεγχθήσεται. » Οὐ γὰρ πρὸς ὄρη καὶ βουνοὺς ἡ κρίσις, πρὸς αὐτὴν δὲ τὴν ἀσέβειαν τὴν ἐν ὄρεσι καὶ βουνοῖς. Πρὸς δὲ τούτοις κέντρον μνήμης παρέσχεν αὐτοῖς. *Οὐρανὸς* γὰρ καὶ *γῆ* διὰ παντὸς θεωρούμενα τὴν τῶν ὁρώντων λήθην ἐξέκρουεν, ἐφ' ὧν αὐτοὺς ἐποιήσαντο. Ἐπὶ πάντων *ἀκούειν* λεκτέον [o]· πρὸς ἀνθρώπους γὰρ ὁ λόγος, οὓς ἐκάλεσεν *υἱούς*. Καὶ ἐπεὶ πᾶς ἄνθρωπος ἐκ ψυχῆς οὐρανίας καὶ σώματος γηΐνου συνέστηκε, καὶ συγγένειαν ἔχει πρὸς *οὐρανόν τε καὶ γῆν*, ἐπὶ τῶν οἰκειοτάτων αὐτοῦ τὴν ἁμαρτίαν ἐλέγχει.

B

C

9 *Filios genui, et exaltavi : ipsi autem me spreverunt.* [Vers. 3.] *Cognovit bos possessorem, et asinus præsepe domini sui; Israel autem me non cognovit, et populus me non intellexit.*

Verbo, qui Deus est, congrua videtur oratio, cum de ratione præditis animalibus dicit : *Filios genui, et exaltavi. Genuit* vero utralibet spectes ratione : sive quod, cum nihil antea essent, eos primum creavit : sive quod virtutis et doctrinæ studio meliores effecit : qua etiam ratione *exaltavi* verbum hic usurpat. Eadem vero et Paulus eos parturit [32], in quibus Christum oportet informari. Legem enim ipsis dedit, prophetasque misit. Vel *exal-*

Υἱοὺς [p] *ἐγέννησα καὶ ὕψωσα· αὐτοὶ δέ με ἠθέτησαν.* [γ'.] *Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ. Ἰσραὴλ δέ με* [q] *οὐκ ἔγνω, καὶ ὁ λαός μου οὐ συνῆκεν.*

D Τῷ Θεῷ Λόγῳ πρέποι ἂν τὸ περὶ ψυχῶν εἰπεῖν λογικῶν, *Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα. Ἐγέννησε* δὲ κατ' ἀμφότερα· τοῦτο μὲν, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγών· τοῦτο δὲ, κατ' ἀρετὴν καὶ δόγματα σπουδάσας ἀποδεῖξαι βελτίονας· καθὼς καὶ τὸ *ὕψωσα* λέγεται. Οὕτω καὶ Παῦλος ὠδίνει τοὺς ἐν οἷς δεῖ μορφωθῆναι Χριστόν. Νόμον γὰρ αὐτοῖς παρέσχε, καὶ προφήτας ἀπέστειλεν. Ἢ τὸ *ὕψωσα*, διὰ τὸ ἐξαγαγεῖν αὐτοὺς μετὰ δόξης Αἰ-

[26] Deut. xxxi, 28. [27] Deut. xxxii, 1. [28] Psal. xxxii, 9. [29] Rom. i, 25. [30] IV Reg. xvii, 16; Jerem. ii, 27. [31] Mich. vi, 1, 2. [32] Galat. iv, 19.

VARIÆ LECTIONES.

[n] γρ. ἤγουν. [o] Ἰσ. λείπ. οὖν, ἢ, δέ. [p] Θ. Σ. ἐξέθρεψα. [q] A. Θ. μου.

Digitized by Google

γύπτου, και τοσαῦτα κατὰ τῶν λυπούντων ἐπιτελέσαι παράδοξα. Καὶ πατρικὴν δὲ πρόνοιαν ὑπὲρ αὐτῶν ἐπεδείξατο· οἷον, ἄρτον ἐξ οὐρανοῦ, καὶ τράπεζαν ἐν ἐρήμῳ διδούς. *Υἱοὺς* οὖν αὐτοὺς, καὶ ὡς κτίσματα καλεῖ νοερὰ, καὶ ὡς πλείονος παρὰ τοὺς ἄλλους τυχόντας κηδεμονίας, ὅτε ἐγενήθη « Μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτῶν Ἰσραήλ. » Διόπερ αὐτοὺς καὶ τῆς προσηγορίας ταύτης ἠξίωσεν, εἰ καὶ ἀνάξιοι ταύτης ἐγένοντο. Διὸ καὶ τὴν *υἱῶν* προσηγορίαν ἔσχον εἰκονικήν. Ἡ γὰρ ἀληθὴς υἱοθεσία ἐκείνων ἐστὶν, « Οἷς ἔδωκεν ἐξουσίαν υἱοὶ Θεοῦ γενέσθαι, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν· » ὡς πρὸς ἀντιδιαστολὴν πρωτότοκος Ἰσραὴλ, ἀλλ' οὐ μονογενὴς εἴρηται· μὴ τοίνυν Ἰουδαῖοι φρονείτωσαν ἀκούοντες, Υἱὸς πρωτότοκός μου Ἰσραήλ· ἐπεὶ καὶ Κάϊν πρωτότοκος ὢν κατηράθη, θαυμασθέντος τοῦ Ἄβελ. Καὶ Ἰσμαὴλ πρωτότοκος, ἀλλ' οὐ κληρονόμος· καὶ Ἡσαῦ πρωτότοκος, ἀλλ' ἐμισήθη. « Τὸν Ἰακὼβ γὰρ ἠγάπησα, φησὶν, τὸν δὲ Ἡσαῦ ἐμίσησα. » Καὶ Ῥουβὴν πρωτότοκος, ἀλλ ἀπεβλήθη, εἰς τὴν περὶ Χριστοῦ ἐπαγγελίαν, Ἰούδα προτιμηθέντος. Θεὸς μὲν οὖν, τὸ ἐπ' αὐτῷ, καὶ *γεννᾷ καὶ ὑψοῖ*, καὶ δίδωσι τοῖς ἀξίοις εἰπεῖν, « Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς. » Οἱ δὲ ἐξ Ἰσραὴλ ἠθέτησαν αὐτὸν, οὐ φοβηθέντες ὡς Θεὸν, οὐχ ὡς πατέρα τιμήσαντες. Τὸ γὰρ σέβας τοῖς εἰδώλοις ἀπένειμαν, λέγοντες « τῷ ξύλῳ· Θεός μου εἶ σύ· καὶ τῷ λίθῳ· Σύ με ἐγέννησας, » τὸν διάβολον ἐπιγεγραμμένοι πατέρα. Ὁ γὰρ ποιῶν τὴν ἁμαρτίαν, φησὶν, ἐκ τοῦ διαβόλου γεγέννηται. Καὶ τοῖς πονηρευομένοις φησίν· « Ὑμεῖς ἐκ τοῦ πατρὸς ὁμῶν τοῦ διαβόλου ἐστέ. » Ταῦτα δὲ καὶ προφητικῶς τῷ Σωτῆρι λέγειν ἁρμόττει, μήτε προσδεξαμένων, καὶ σταυρῷ τετιμηκότων αὐτὸν τῶν ἐξ Ἰσραὴλ, μόνοις αὐτοῖς ἐξ ἁπάντων ἐπιδημήσαντα τῶν ἐθνῶν. Διόπερ φησίν· *Ἰσραὴλ με οὐκ ἔγνω. Καὶ ὁ λαός με οὐ συνῆκεν.* Οὐ γὰρ *συνῆκαν*, οἷος ἄρα αὐτὸς ἦν, ὁ καὶ τοῖς πατράσιν αὐτῶν ἐν ἀνθρωπείῳ σχήματι διαφόρως ἑωραμένος. Τοιγαροῦν φησιν· « Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἐπεθύμησεν ἰδεῖν τὴν ἡμέραν τὴν ἐμὴν, καὶ ἶδεν, καὶ ἐχάρη. » Καὶ· « Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, καὶ οὐκ ἠθελήσατε! » Περὶ παντὸς μὲν οὖν ἀνθρώπου, τὸ κατ' εἰκόνα καὶ τὴν λογικὴν ἀπολωλεκότος ἀξίαν εἴρηται· καὶ, « Ὃς ἐν τιμῇ ὢν οὐ συνῆκεν, παρασυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς[s]. » Ἰουδαῖοι δὲ, τοσαύτης τιμῆς ἀπολαύσαντες, μὴ μόνον λογικοὶ γενόμενοι, ἀλλὰ καὶ Θεοῦ χρηματίσαι[r] *λαὸς*, οὗτοι δὴ, φησὶν, ἀλόγων κτηνῶν πεφήνασιν ἀλογώτεροι, μήτε κατὰ *βοῦν*, *τὸν δεσπότην γινώσκοντες*. Φυσικὴ γὰρ τοῦτον φαντασία *γινώσκει*. Μήτε κατὰ *ὄνον*, *τὴν φάτνην τοῦ κυρίου* αὐτοῦ.

A *laos* dixit, quod non sine gloria de Ægypto eduxit, et adversus hostes eorum mirabilia opera patravit. Et paternam eis etiam providentiam patefecit, cum panem de cœlo, et mensam in deserto largitus est [28]. *Filios* igitur, et velut intelligentes creaturas, ipsos vocat, quæque plus aliis benevolentiæ sortitæ sunt; cum facta est portio Domini populus ejus Jacob; funiculus hæreditatis ejus Israël [34]. » Quare indignos licet, eo nomine vocandos censuit; et hanc inde *filiorum* imaginariam habuerunt appellationem. Vera enim eorum est adoptio: « Quibus dedit potestatem filios Dei fieri; qui non ex sanguinibus, neque ex voluntate carnis, neque ex voluntate viri, sed ex Deo nati sunt [35]. » Qualis, qui discretionis causa, primogenitus Israel, non autem unigenitus, B vocatus est. Non igitur superbiant Judæi, cum illud: « Filius primogenitus meus Israel [36], » audiunt; cum sit et Cain primogenitus: sed maledictus; Abel autem honore affectus [37]; et Ismael primogenitus [38]; sed non hæres [39]; et Esau quoque primogenitus [40], sed odio habitus. « Jacob enim, ait, dilexi: Esau autem odio habui [41]. » Ruben etiam primogenitus; sed rejectus, et promissione Christi Judæ honoratus [42]. Deus igitur *gignit et exaltat* pro suæ potestatis arbitrio, dignisque largitur, ut dicant: « Pater noster, qui es *in cœlis* [43]. » At ipsum a se repulerunt Israëlitæ, nec tanquam Deum reveriti, nec 10 tanquam patrem honore prosecuti. Idola enim ita religiose coluerunt, « ligno ut C dicerent: Deus meus es tu: et lapidi: Tu me genuisti [44]; » patrem sibi diabolum ascribentes. Qui enim facit peccatum, ait, ex diabolo est [45]. Et sceleratos his verbis alloquitur Christus: « Vos ex patre vestro diabolo estis [46]. » Hæc enim prophetice Salvatorem dicere non est incongruum, quem Israelis posteri non admiserunt, sed cruce multarunt, eum apud eos solos ex omni populorum numero diversaretur. Ait ergo: *Israel me non cognovit, et populus me non intellexit.* Non enim certe qualis ipse esset, qui se majoribus ipsorum humana forma conspiciendum multifariam præbuisset, *intellexerunt*. Itaque ait: « Abraham pater vester exsultavit ut videret diem meum; et vidit, et gavisus est [47]; » Et: « Jerusalem, Jerusalem, D quoties ego volui congregare filios tuos, et noluisti [48]! » De quolibet ergo homine, qui cœlestem illam Dei imaginem, rationisque dignitatem amiserit: « Quique, in honore cum esset, comparatus est jumentis insipientibus, et similis factus est illis [49], » dici putandum est. Judæi autem tanti honoris, nedum solius rationis, participes effecti, Deique *populus* appellati, magis tamen, quam bruta ipsa, a ratione alieni, ne *dominum* quidem suum, *bovis* in

[28] Psal. LXXVII, 24. [34] Deut. XXXII, 9. [35] Joan. I, 12-13. [36] Exod. IV, 22. [37] Gen. IV, 1 seqq. [38] Gen. XVI, 1 seqq; [39] Galat. IV, 22-30. [40] Gen. XXV, 33. [41] Rom. IX, 13. [42] Gen. XLIX, 3, 10. [43] Matth. VI, 9. [44] Jerem. II, 27. [45] I Joan. III, 8. [46] Joan. VIII, 44. [47] Ibid. 56. [48] Matth XXIII, 37. [49] Psal. XLVIII, 13.

VARIÆ LECTIONES.

[r] γρ. χρηματίσας, ἢ, χρηματίσαντες.

Digitized by Google

morem (agnoscit enim ipsum naturali quadam imaginatione) vel sicut solet *domini præsepe asinus, cognoverunt*. Etsi enim *dominum asinus* non agnoscit, assuetudine tamen ad *præsepis* locum fertur; et *præsepe* ipsum, ventre magistro, novit discernere. Itaque, tanquam nihil hæc affinitatis inter se habeant animalia, in Deuteronomio[50], junctis *asino et bove* arare defensum legimus : id est, eam animi partem, quæ labore et strenuitate gaudet, cum ea, quæ voluptatibus, copulare. Non enim de bobus cura Deo est [51]. Alicubi tamen contra copulari videas. Scribitur enim : « Beatus qui seminat super omnem aquam, ubi bos et asinus ambulant [52] : » id est, qui doctrinæ verbo **11** in anima laboris studium excitat, et ejus cohibet voluptatum libidines. Pars enim appetens, cum peccatorum pondere onusta est, vectario *asino* non multum dissimilis videatur. *Me* igitur, ait, *non cognovit*, beneficiorum auctorem, rerumque omnium opificem. Quanta ergo inter *asinum et bovem* differentia, tanta inter Israelem, qui Deum videt, reliquumque communi nomine vocatum *populum*, dissimilitudo.

A Ὁ γὰρ *ὄνος* κἂν τὸν *δεσπότην* οὐκ οἶδεν, ἀλλ' οὖν εἰς τὸν τόπον τῆς *φάτνης* ἀπὸ συνηθείας ἐπείγεται. Τὴν *φάτνην* γὰρ γνωρίζει διὰ τὸ λαίμαργον. Διόπερ, ὡς ἀνοικείως ἐχόντων πρὸς ἄλληλα τῶν ζώων, ἐν Δευτερονομίῳ μὴ ἀροτριᾷν ἐν μόσχῳ καὶ ἀνθρώπῳ [s] παρακελεύεται· τουτέστι, τὸ ἐνεργὸν τῆς ψυχῆς καὶ φιλόπονον, τῷ φιληδόνῳ καὶ παθητικῷ μὴ συζεύξῃς [t]. Οὐ γὰρ περὶ τῶν βοῶν μέλει τῷ Θεῷ. Ἀλλαχοῦ δὲ πάλιν συνέζευκται. Μακάριος γὰρ ὁς πειρῶν [u] ἐπὶ πᾶν ὕδωρ, οὗ βοῦς καὶ ὄνος πατεῖ. Τουτέστιν, ὁ τῷ διδακτικῷ λόγῳ τό τε φιλόπονον τῆς ψυχῆς ἐπεγείρων, καὶ τὸ φιλήδονον αὐτῆς θεραπεύων· τὸ γὰρ ἐπιθυμητικὸν τῷ βάρει τῆς ἁμαρτίας πεφορτισμένον ἀχθοφοροῦντι *ὄρῳ* προσέοικεν. Ἐμὲ οὖν, φησὶν, *οὐκ ἔγνω* τὸν εὐεργέτην, τὸν πάντων B Δημιουργόν. Ὅση δὲ *βοῒ* πρὸς *ὄρον* διαφορὰ, τοσαύτην Ἰσραὴλ, ὁ Θεὸν ὁρῶν, ἔχει πρὸς τὸν ἁπλῶς *λαὸν* χρηματίζοντα.

Vers. 4-6. *Væ, gens peccatrix, populus plene peccatis, semen nequam, filii iniqui*, etc.

Gentis populique nomen conjunctum sæpe usurpatur. Hinc illud : « In multa gente dignitas regis, et in paucitate populi attritio principis [53]. » Et illud : « Quare fremuerunt gentes, et populi meditati sunt inania [54] ? » At hic, ab eo, quod *gens* erat *peccatrix*, exordium ducentes, eos in scelere progressus fecerunt ; *ut populus iniquitatum plenus* evaserint : quique *semen nequam* ante fuerunt, *filii iniqui* jam C facti sint. Solent enim virtutum et vitiorum incrementa a minoribus incipere. Congrue autem post *seminis* verbum, sequitur *filius* ; idque habita ad animum ratione. Est enim doctrinæ *semen* disciplinarum fundamentum : *filius* autem, quisquis docenti similis efficitur, sive virtutis, sive peccati studio. Sed ille quidem regni, hic vero gehennæ *filius* appellatur. In *Judæos* autem, tanquam qui reliquis gentibus essent deteriores, contumeliose **12** invehitur. Non enim eos adoptio, non gloriæ sublimitas, non verberum denique varietas, quibus in eos uti solet, quos *filiorum* loco habet, meliores reddiderunt. Quoniam vero corporalem generis splendorem, tanquam qui de Abrahæ semine essent, jactabant ; *semen nequam, filiosque iniquos*, ut et D principes Sodomorum, populumque Gomorrhæ vocat ; ut animi *instituto* et vita, nobilitatem, et contra, parari doceat. Hi quidem patriarchas, claros procul dubio majores habuerunt ; sed malis deinceps orti patribus, non equidem natura, sed studiorum imitatione, iniqui evaserunt. Neque vero lenis est accusatio, quod universam *gentem peccatricem*, tanquam nullus in ea recte agendi studio teneatur, appellat. Per *populum* deinde *plenum pecca-*

δ-ς'. *Οὐαὶ ἔθνος ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρὸν, υἱοὶ ἄνομοι*, κ. τ. ἑ.

Ἔθνος καὶ λαὸς πολλαχοῦ συνεζευγμένως λέγεται ὡς τὸ, « Ἐν πολλῷ ἔθνει δόξα βασιλέως, ἐν δὲ ἐκθλίψει [v] λαοῦ συντριβὴ δυνατοῦ. » Καὶ τὸ, « Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοί ; » Νυνὶ δὲ ἀπὸ τοῦ *ἔθνος* εἶναι *ἁμαρτωλὸν* ἀρξάμενοι, ἐπιδιδόντες πρὸς κακίαν, γίνονται *λαὸς πλήρης ἀνομιῶν*· καὶ ἀπὸ τοῦ *σπέρμα πονηρὸν* εἶναι, καὶ τὸ γενέσθαι *υἱοὶ ἄνομοι*· ἡ γὰρ αὔξησις ἀπ' ἐλαττόνων ἐν ἀρετῇ καὶ κακίᾳ. Ἀκολούθως δὲ μετὰ τὸ *σπέρμα, υἱὸς*, καὶ ἀναλόγως ἐπὶ ψυχῆς. *Σπέρμα* γὰρ διδασκαλίας, ἡ τῶν μαθημάτων καταβολή. *Υἱὸς* δὲ πᾶς ὁ τῷ διδαξαμένῳ γεγονὼς παραπλήσιος, εἴτε κατ' ἀρετὴν, εἴτε κατὰ κακίαν. Ἀλλ' ὁ μὲν βασιλείας χρηματίζει, ὁ δὲ γεέννης *υἱός*. Ὀνειδίζει δὲ τοῖς *Ἰουδαίοις*, ὡς χείροσι τῶν ἄλλων ἐθνῶν. Οὐχ υἱοθεσία γὰρ τούτους, οὐχ ὕψος δόξης, κρείττους ἐποίησεν. Οὐ διάφοροι μάστιγες τοῦ μαστιγοῦντος *πάντα υἱὸν*, ὃν παραδέχεται. Καὶ ἐπείπερ εὐγένειαν ἠῦχουν σωματικὴν, ὡς ὄντες ἐξ Ἀβραὰμ, *σπέρμα πονηρὸν, καὶ υἱοὺς ἀνόμους* καλεῖ, ὡς καὶ ἐξάρχοντας Σοδόμων καὶ λαὸν Γομόρρας, δεικνὺς ὡς *προαίρεσις* καὶ βίος εὐγένειάν τε καὶ τοὐναντίον ποιεῖ. Οὗτοι δὲ προγόνους μὲν ἔσχον λαμπροὺς τοὺς πατριάρχας· ἐκ πονηρῶν δὲ τῶν μετὰ ταῦτα πατέρων γεγόνασι *πονηροὶ*, ἀλλ' οὐ φύσει, μιμησάμενοι δὲ τὴν ἐκείνων προαίρεσιν. Μεγάλη δὲ κατηγορία, χρηματίζειν ὅλον *ἔθνος ἁμαρτωλὸν*, ὡς μηδένα σχεδὸν ἐν αὐτῷ κατορθοῦν. Τὸ δὲ, *πλῆρες ἁμαρτιῶν*, πᾶν εἶδος κακίας ὑπέδειξεν. Τοιοῦτον τὸ, « Πεπληρωμένους πάσης ἀδικίας. » Καὶ τὸ, « Οὕπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων. » Καὶ ὁ Σωτὴρ δέ φησιν· « Πληρώσατε καὶ ὑμεῖς τὸ μέτρον τῶν πατέρων ὑμῶν. » *Σπέρμα δὲ πονηρὸν*,

[50] Deut. xxii, 10. [51] I Cor. ix, 9. [52] Isa, xxxii, 20. [53] Prov. xiv, 28. [54] Psal. ii, 1.

VARIÆ LECTIONES.

[s] γρ. ὄνῳ. [t] Ισ. γρ. συζεῦξαι. [u] γρ. ὁ σπείρων. [v] γρ. ἐκλείψει.

Digitized by Google

ὅπερ ἐχθρὸς ἄνθρωπος ἐπέσπειρε τῷ σίτῳ ζιζάνιον, ὁ τελειωθὲν υἱὸς γέγονεν ἄρωμος, ἀντὶ υἱοῦ τοῦ Ὑψίστου. Διὸ θρηνεῖ τοῦτον σχεδόν που λέγων· « Πόθεν που μεταπέπτωκας; » Πρώτη μὲν οὖν κατηγορία, τὸ *πονηρόν*· δευτέρα καὶ μείζων ἡ τοῦ ἀγαθοῦ *ἐγκατάλειψις* [z], ἣν ἐπαναβαίνει τὸ παροξύναι τὸν ἀγαθόν τε καὶ πρᾶον· τῶν, κατὰ τὴν ἀναλογίαν, ὀργὴ θησαυρίζεται. Ἀλλ' ὥσπερ ὁ τελειούμενος τοῖς ἔμπροσθεν ἐπεκτείνεται· οὕτως ὁ ἁμαρτάνων εἰς τὸ κατόπιν ἀναποδίζει. Περὶ οὗ φησιν· « Ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται. » Ὡς δὲ πᾶν εἶδος θεραπείας προσενεγκὼν ἁμαρτάνουσι, *Τί ἔτι πληγήσεσθε*, φησί; Τοῖς μὲν γὰρ ἱάσιμα πλημμελήσασι φησὶν ἀπειλῶν ὁ λόγος· « Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν. » Τοῖς δὲ νοσοῦσιν ἀνίατα· *Τί ἔτι πληγεῖτε*; ὡς ἄν τις ἀπορῶν καὶ ἀπογνοὺς τὴν διόρθωσιν. Τῶν δὲ περιστατικῶν συγχωρήσεων, αἱ μὲν ἐφ' ἁμαρτήμασι γίνονται· αἱ δὲ πρὸς τὴν τῶν πειραζομένων βελτίωσιν· αἱ δὲ πρὸς ἀνάδειξιν ἀρετῆς λανθανούσης, ὡς ἐπὶ τοῦ Ἰώβ· αἱ δὲ πρὸς τὴν τῶν ἀπεγνωσμένων ἀπώλειαν, ὡς αἱ νῦν ἀπειλούμεναι, ὥσπερ αἱ τοῦ Φαραώ. Ταύτας δὲ δυνατὸν μόνως νοεῖν, μετὰ τὸ σωτήριον πάθος παραδοθέντος τοῦ ἔθνους. Οὐ γὰρ ἦν ὅ τι μεῖζον ἁμάρτωσιν Ἰουδαῖοι εἰπόντες· « Ἆρε, ἆρε, σταύρου αὐτόν. »—« Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. » Τοιγαροῦν διαμαρτύρονται τούτοις οἱ τοῦ Χριστοῦ μαθηταὶ ὡς πρώτοις κατάρξαντες, καὶ μὴ δεξαμένων ἐπὶ τὰ ἔθνη τρεπόμενοι, μονονουχὶ λέγοντες· « Ἰατρεύσαμεν τὴν Βαβυλῶνα, καὶ οὐκ ἰάθη. Ἐγκαταλίπωμεν αὐτήν. » Βαβυλῶνι γὰρ, ὡς ἀσεβεῖς, ἀπεικάζονται. Αἱ γὰρ πρὸ τῆς παρουσίας τοῦ Σωτῆρος ἁμαρτίαι οὐκ ἦσαν ἀνίατοι. Καὶ προφήτας γὰρ ἔσχον ἐν Βαβυλῶνι. Καὶ πάλιν ἐπανελθόντες, τῇ λατρείᾳ τῇ κατὰ νόμον ἐχρήσαντο, μετὸ δὲ τοὺς Ῥωμαίους, οὐκ ἔτι, καθαιρεθέντος αὐτοῖς τοῦ νεώ, καὶ πάντων διεσπαρμένων. *Κύριον* ἄρα καὶ *ἅγιον Ἰσραὴλ* τὸν Χριστὸν παρίστησιν ὁ προφήτης, ὃν *ἐγκατέλιπον*, ὅτε καὶ *πᾶσα κεφαλὴ* τούτων *εἰς πόνον* ἐγένετο, ἀρχικὴ δῆλον ἐξουσία ταπεινωθεῖσα. Καὶ *ἀπὸ ποδῶν* μέχρι *κεφαλῆς ἡ πληγή*. Ἀπὸ σμικροῦ μέχρι τοῦ μείζονος. Τοιγαροῦν ἀπεγνώσθησαν. Τίς γὰρ ἂν αὐτοῖς μείζων ἐπεγένετο θεραπεία, μετὰ τὴν ἐκ τοῦ Σωτῆρος ἐπιδημήσαντος, τοῦ πᾶσαν *νόσον* καὶ μαλακίαν ψυχῶν τε καὶ σωμάτων τοῖς πεπιστευκόσι δυνηθέντος ἰάσασθαι; Τινὲς δὲ, *πᾶσα κεφαλὴ*, τὸν καθ' ἕνα φασὶν ἄνθρωπον, ὡς τὸ, « Λάβετε ἀρχὴν ἀπὸ πάσης συναγωγῆς Ἰσραὴλ κατὰ κεφαλὴν αὐτῶν. » Ὡς μηδενὸς εὑρεθέντος ἄξιου τὴν ἀπειλουμένην δίκην διαφυγεῖν. Ἔστι δὲ *τραῦμα* μὲν, λύσις τῆς τοῦ σώματος συνεχείας, κατὰ μικρόν τι μέρος τῆς συναφείας διακοπείσης· ὃ δηλοῦν δύναται τὰ σχίσματα τῆς Ἐκκλησίας. Ὁ δὲ *μώλωψ*, ἰχνος ἐστὶ *πληγῆς* ὕφαιμον, θλασθέντος τοῦ σώματος ἐκ τῆς ἀντιτυπίας τοῦ πλήξαντος. Καὶ τοῦτο δὲ

tis, omnia vitiorum genera significavit. Quale est illud : « Repletos omni iniquitate [58-59]. » Item : « Nondum adimpletæ sunt iniquitates Amorrhæorum [56]. » Illaque Salvatoris : « Et vos implete mensuram patrum vestrorum [57]. » Sunt porro *semen nequam*, zizania ipsa [58], quæ inimicus homo superseminavit, quæque adulta in scelestum filium, pro cœlesti evaserunt. Itaque et illum luget, his fere verbis : « Unde tandem excidisti [59] ? » Primum igitur accusationis caput est, *nequam esse ;* alterum, et majus, *Dominum deseruisse :* quodque est longe gravissimum, bonum et mitem provocasse ; quorum pro dignitate ira reconditur. Verum quemadmodum qui perfectionis studio ducitur, in ea, quæ ante sunt, promovet : sic qui scelerate agit, ad id, quod a tergo est, retroagitur : sicuti canitur : « Qui elongant se a te, peribunt [60]. » Tanquam deinde nullam non instaurandæ sanitatis rationem sceleratis attulisset, *Quid ultra*, inquit, *percutiemini ?* Quorum enim peccata medicinam possunt admittere, eosdem minacibus verbis castigare solitus : « Visitabo, inquit, in virga iniquitates eorum [61]. » At iis, quorum est deplorata salus, tanquam de resipiscentia dubitet, atque desperet, *Quid ultra*, ait, *percutiemini ?* Sunt vero calamitatum, quibus premimur, aliæ quidem in scelerum ultionem : aliæ vero in eorum, qui probantur, **13** utilitatem : aliæ autem ad occultæ virtutis, ut in Job [62], demonstrationem : aliæ denique in eorum, qui rejecti sunt, perniciem ; cujus generis eæ fuerunt, quas propheta minatur, illaque adeo Pharaonis [63]. Sed non possunt istæ nisi ad ea tantum referri tempora, quæ salutarem Christi necem secuta sunt, quibus gentem tradi contigit. Neque enim in aliquo gravius peccare Judæi potuerunt, quam cum dixerunt : « Tolle, tolle ; crucifige eum ;Non habemus regem, nisi Cæsarem [64]. » Itaque in illos grave est Christi discipulorum testimonium ; quod cum ab eis primum cœpissent, repulsam passi, ad gentes conversi sint, his fere verbis : « Curavimus Babylonem, et non est sanata. Derelinquamus eam [65]. » Babyloni enim, quia impii, assimilantur. Nam et ante Salvatoris adventum, medicinam admittebant peccata ; cum in Babylone essent prophetæ ; cum item post reversionem, eo cultu, qui secundum legem erat, uterentur; sed non amplius post Romanorum tempora ; cum disturbatum esset templum, omnesque varie dispersi. Per *Dominum* vero, et *Sanctum Israel*, Christum indicat propheta, quem ipsi dereliquerunt, cum esset *omne caput eorum languidum ;* id est, princeps potestas imminuta, et depressa. Cum denique a *pedibus* ad *caput* usque, *vulnus ;* id est, a minimo quoque ad maximum ; unde desperati sunt. Quæ enim præstantior ipsis

[58-59] Rom. I, 29 [56] Gen. XV, 16. [57] Matth. XXIII, 32. [58] Matth XIII, 25. [59] Isa. XIV, 12. [60] Psal. LXXII, 27. [61] Psal. LXXXVIII, 33. [62] Job I, 1 seqq. [63] Exod. XII, XIII, XIV. [64] Joan. XIX, 6, 15. [65] Jerem. LI, 9.

VARIÆ LECTIONES.

[z] *pr.* Κυρίου ἐγκατάλειψις.

Digitized by Google

accedat medela, post Christi Salvatoris adventum; qui morbum omnem, qui omnem animorum et corporum infirmitatem credentibus sanare poterat? Quidam autem *omne caput*, unumquemque sigillatim hominem intelligunt: quomodo et illud: « Sumite initium ab omni congregatione Israel, per capita ipsorum [66]: » tanquam nullus, qui minas istas effugere dignus sit, reperiatur. Est vero *vulnus*, continuitatis in corpore solutio; cum parte quadam modica connexio discinditur: quo possunt Ecclesiæ significari dissidia. *Livor* autem *plagæ* vestigium subeuntium; cum teli quidem impetu contunditur corpus, sed coit parte aliqua: unde subdola et fallacia corda innuuntur. *Plaga* denique *tumens*, **14** seu phlegmone, tumor ingens; cum in debiliorem partem decumbit humor, et affectam calore præter naturam accendit: unde elatio animi notatur prava absurdaque opinione intumescentis, et ob id adversus Christi decreta sese efferentis. Judæos vero non uno separatim morbo affici; sed omni confertim malorum genere, tanquam colluvie, opprimi; nec ab ullis congrua admitti auxilia, significat. Est ergo *fomentum* sermo ille, quo modeste ac leniter, vani opinionum tumores retunduntur; *oleum* vero, quo, luctus et doloris communione, insidiosa, falsa, et aspera simulate loquentium verba leniuntur. *Circumligatio* denique, qua simul ea, quæ ad dissensionem festinare videbantur, coercentur et retinentur. Cæterum, verba ista, *non est in eo integritas*, et quæ deinceps, ita reddit Symmachus: *Non est enim in ipso sanitas, sed vulnus, et vibex, et plaga vulnere non eruente, neque obligato, neque oleo emollito.*

A κατά τι μέρος συνίσταται· ὁ τὰς ὑπούλους καρδίας δηλοῖ. *Φλεγμονὴ* δὲ ὄγκος ἐστὶ πυρώδης, συῤῥέοντων ἐπὶ τὸ ἀσθενὲς μέρος τῶν ὑγρῶν, καὶ τῇ παρὰ φύσιν θερμασίᾳ φλεγόντων τὸ πεπονθός· ὁ δηλοῖ ψυχῆς ἔπαρσιν ἐξ οἰήσεως ἀλόγου ὀγκουμένης, καὶ διὰ τοῦτο κατὰ τῆς γνώσεως ἐπαιρομένης Χριστοῦ. Φησὶ δὲ περὶ τῶν Ἰουδαίων, ὡς οὐχ ἓν ἀφωρισμένως ἐσχήκασι πάθος, ἀλλ' ἡνωμένως αὐτοῖς ἐπίκειται τὸ κακὸν, ὡς πάντα συγκεχῦσθαι ὁλοσχερῶς τὰ πάθη, καὶ μὴ δέχεσθαι πάθος ἕκαστον τὰ κατάλληλα βοηθήματα. *Μάλαγμα* μὲν οὖν ὁ μετὰ πραότητος καὶ ἐπιεικείας ταπεινωτικὸς τῶν ματαίων φυσιώσεων λόγος. *Ἔλαιον* δὲ ὁ μετὰ οἴκτου καὶ συμπαθείας τὸ δολερὸν, καὶ ὕπουλον, καὶ τραχὺ τῶν ἐν ὑποκρίσει ψευδολόγων καταλεαίνων. *Κατάδεσμος* δὲ ὁ τὰ πρὸς διάστασιν ἐπειγόμενα συγκρατῶν. Τὸ δὲ, *Οὐκ ἔστιν ἐν αὐτῷ ὁλοκληρία*, καὶ τὰ ἑξῆς, Σύμμαχος οὕτως ἐξέδωκεν· *Οὐκ ἔστιν ἐν αὐτῷ ὑγιὲς, ἀλλὰ τραῦμα, καὶ μώλωψ, καὶ πληγὴ, τραύματος οὐ σφιγγομένου, οὐδὲ ἐπιδεννομένου, οὐδὲ ἀπαλυνομένου ἐλαίῳ.*

B

C

D

Vers. 7-9. *Terra vestra deserta, civitates vestræ igne succensæ. Regionem vestram coram vobis alieni devorant, etc.*

Ista prædixit Ozia rege; quæ parte quidem aliqua a Babyloniis incœpta, a Romanis autem penitus, ipso obsidionis tempore, ut etiam nunc cernuntur, perfecta sunt. Significat autem *vineæ* nomine, gentem ipsam. Dicet **15** enim postea: Nam « Vinea Domini Sabaoth domus est Israel [67]. »

Ad hæc, desolationis causam facit, quod deserto spiritu quieto et miti, vociferationem sint amplexi. Rependit enim justa Deus, cum a quibus desertus est, eosdem deserit. Est vero *derelictionis* absolutæ signum desertum *vineæ tentorium*. Quandiu enim fructus habet vinea, a custode habitatur *tentorium*; iisque collectis desertum relinquitur: sic gens universa cum fructus edebat, divinum constabat templum; indeque veluti de specula, illius nomine, excubias agebat Deus, qui ait: « Ego ero ei, ait Dominus, murus igneus in circuitu; et in gloria ero in medio ipsius [67*]. » Itaque angelicis virtutibus, tanquam vallo, cingebatur. Sed ex quo scelerum sentes produxit, et uvam fellis, sarmentumque [68] *Gomorrhæ* fecit, tum per prophetam ait: « Auferam sepem ejus, et erit in direptionem [69]; » cæteraque deinceps. Et per alium: « Reliqui domum meam, dimisi hæreditatem meam [70], » et cætera. Narrat enim, in expugnatio-

ζ'-θ'. Ἡ γῆ ὑμῶν ἔρημος αἱ πόλεις ὑμῶν πυρὶ καυστοὶ. Τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτὴν, κ. τ. λ.

Ταῦτα προεῖπεν ἐπὶ τῆς Ὀζίου βασιλείας, ἐπληρώθη δὲ μερικῶς μὲν ὑπὸ Βαβυλωνίων· ἐπὶ δὲ τῆς ὑπὸ Ῥωμαίων πολιορκίας ὁλοσχερῶς, ἃ μέχρι νῦν ὁρᾶται. Ἀμπελῶνα δὲ τὸ ἔθνος καλεῖ. Λέξει γὰρ προῖών· « Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ οἶκος τοῦ Ἰσραὴλ ἐστι. »

Τὴν δὲ τῆς ἐρημίας αἰτίαν φησὶν, ὅτι κραυγὴν ἐπόθησαν, καταλιπόντες τὸ πνεῦμα τὸ πρᾶόν τε καὶ ἡσύχιον. Ἀντιμετρεῖ γὰρ δικαίως ὁ Θεὸς ἐγκαταλιπὼν τοὺς ἐγκαταλιπόντας αὐτόν. Τὸ παντελὲς δὲ τῆς *ἐγκαταλείψεως ἡ τοῦ ἀμπελῶνος* σημαίνει *σκηνή*. Ἐν ὅσῳ γὰρ ἔχει καρποὺς, οἰκεῖται ὑπὸ τοῦ φυλάττοντος· ἡ *σκηνή*. Τρυγηθέντων δὲ τούτων, ἔρημος ἀπολείπεται. Οὕτω τοῦ παντὸς ἔθνους καρποφοροῦντος, ὁ θεῖος εἱστήκει νεώς. Ἀντ' ἐπισκοπῆς ἐντεῦθεν ἐφρούρει τοῦτο Θεὸς λέγων· « Ἐγὼ ἔσομαι αὐτῇ, λέγει Κύριος, [εἰς τεῖχος] πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς. » Τοιγαροῦν ἀγγελικαῖς ἐχαρακοῦτο δυνάμεσιν. Ὡς δὲ τῶν ἁμαρτιῶν τὰς ἀκάνθας ἐβλάστησε, καὶ σταφυλὴν χολῆς, καὶ κληματίδα *Γομόῤῥας* ἐποίησε, φησὶ, διὰ τοῦ ψάλλοντος [z] ὁ Θεὸς, « Καθελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγὴν [a], » καὶ τὰ ἑξῆς. Καὶ δι' ἄλλου δὲ προφήτου φησὶν· « Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου, » καὶ τὰ λοιπά. Ἱστόρη-

[66] Num. I, 2. [67] Isa. v, 7. [67*] Zach. II, 5. [68] Deut. XXXII, 32. [69] Isa. v, 5. [70] Jerem. XII, 7.

VARIÆ LECTIONES.

5 *Isa.* γρ. ἐπιδεσμουμένου. [z] γρ. προφητεύσαντος. [a] γρ. διαρπαγήν.

Digitized by Google

κεν δὲ καὶ ἐν τοῖς περὶ ἁλώσεως ὁ Ἰώσηπος, ὡς πρὶν ἁλῶναι τὴν πόλιν, ἠκούοντο τοῖς ἱερεῦσιν φωναὶ λεγόντων ἀγγέλων, « Μεταβαίνομεν [b] ἐντεῦθεν. » Οὐ μόνον δὲ, φησὶν, τὴν ὡς ἐν καρπῷ τιμιωτέραν οὐκ ἤνεγκε σταφυλὴν, οὐδὲ ὀπώραν τὴν πρόσκαιρον, καὶ σωματικὴν, κατὰ τὸν Μωσέως νόμον, λατρείαν. Ὡραία μὲν γὰρ τῇ θέᾳ καὶ εὐθαλὴς, ἀλλὰ καὶ πρόσκαιρος· πρὸς ἣν εἴρηται ἡ *τοῦ ὀπωροφυλακίου κατάλειψις*, ὅπερ αὖθίς ἐστιν ὁ νεώς. *Σικυήρατον* δὲ, τὸ τῶν *σικυῶν* εἴρηται φυλακτήριον. Ὅταν γὰρ τὸν ὄντως ἀφέντες Θεὸν, τὰς χεῖρας ἡμῶν ἐπάρωμεν πρὸς Θεὸν ἀλλότριον, παραδιδόμεθα τοῖς καταστρέφουσιν. Νόει δὲ καὶ *γῆν* μὲν *ἔρημον* [c], τὴν ψυχὴν ὡς δεχομένην τοῦ λόγου τὰ σπέρματα. *Ἔρημον* δὲ τὴν ἀρετῶν καὶ θεοσεβείας ἐστερημένην. Ἡ δὲ τοιαύτη καὶ *πόλις πυρίκαυτος*, διὰ τὸ πολλὴν ἔχειν ἐν τοῖς ἔργοις ματαιότητα, ξύλα, χόρτον, καλάμην· ἅπερ ἐν ἡμέρᾳ τῆς κρίσεως καταπίμπραται.

Ἡ αὐτὴ καὶ *χώρα κατεσθιομένη ὑπ' ἀλλοτρίων*, οὔτε τῶν καρπῶν πεπληρωμένη τοῦ Πνεύματος, ἀγάπης, χαρᾶς, καὶ τῶν ἄλλων *ἀλλοτρίων* λογισμῶν ἐπιπεσόντων, καταναλίσκηται [d], καταστρέφουσί τε αὐτὴν οἱ ὄντως ἀλλότριοι δαίμονες, οἳ δὴ περιαιροῦντες τὰς ἀρετὰς, οὐκ ἀφίστανται πρὶν ἂν καὶ γνῶσιν ἐσφαλμένην ἐμβάλωσιν. Οὕτω πᾶς ἄκαρπος ἐπισκοπῆς ἀποστερεῖται Θεοῦ. Καρποφορῶν δὲ τῶν ἀποθηκῶν τῶν αἰωνίων ἀξίως, τῷ θείῳ φυλάττεται Πνεύματι ἀποσοβοῦντι τοὺς δυσμενεῖς. Τὴν δὲ *ὀπώραν* καὶ ἐπὶ τῆς βιωτικῆς ἡδυπαθείας δεξώμεθα, περὶ ἃς οὐ προσῆκεν ἐπτοῆσθαι ψυχὴν, *ἄμπελον* ὑπὸ Θεοῦ φυτευθεῖσαν ἀληθινὴν, κατ' εἰκόνα τοῦ Κτίσαντος αὐτὴν, ὃς τὸ μὲν καρποφοροῦν καθαίρει πρὸς γένεσιν πλειόνων καρπῶν. Συλλαμβάνεται γὰρ τοῖς ἐθέλουσιν πρὸς τὴν ἀπὸ τῶν παθῶν κάθαρσιν, καθάπερ γεωργὸς *ἄμπελον* κλαδεύει, τῆς περιττῆς ἀπείργων λεύχης, [e] καὶ τὴν πρὸς τὸ ἀγαθὸν σπουδὴν τελειῶν· τῆς δὲ μὴ βουλομένης ψυχῆς πίπτουσιν οἱ φραγμοὶ, αἱ παρὰ τῶν ἀγγέλων βοήθειαι, καὶ τοῖς παροδεύουσιν καὶ πορθεῖν βουλομένοις προτίθεται, υἱός [f] τε ἄγριος ἀφανίζει τὸ πᾶν εἰσπηδῶν· καὶ ξένοι μὲν οἱ διοδεύοντες ἡμᾶς, αἱ τῶν παρὰ τὴν γνῶσιν ἁμαρτημάτων ἐνεργητικαὶ δυνάμεις· εἰσὶν υἱὸς [g] δὲ δίκην ἀλόγιστα ὁρμῶντος, καὶ ταῖς ὑσωδίαις καλινδουμένου, τὰ πάθη προκαταλαμβάνει τὴν τοιαύτην ψυχὴν, ὅτι μὴ τὰ ἄξια τῆς θείας ἀποθήκης ἐκαρποφόρησεν, ἡδονὰς δὲ τὰς ῥευστὰς καὶ δυσώδεις, ὧν ἐπιθυμήσας ὁ ἐπιθυμητὴς πάλαι λαὸς ἐν τῇ ἐρήμῳ ἐτάφη. Ἔκλαιον γὰρ, φησὶ, μνησθέντες τῶν σικυῶν, καὶ τῶν πεπόνων, τῶν Αἰγυπτιακῶν βρωμάτων, ἃ οὐκ ἂν φάγοι Ἰσραηλίτης ὁ τῷ ἄρτῳ τῷ οὐρανίῳ τρεφόμενος. Ὃν ἐξουδενώσαντες ἐκεῖνοι τῶν κρομμύων ἐπεθύμουν καὶ τῶν σκορόδων [h]. Τοιοῦτος γὰρ ὁ καθ' ἡδονὴν βίος, ἐρεθιστικὸς καὶ δριμὺς ὑπάρχων, καὶ τῷ βάθει δυσωδίαν ἐναφίει [i], καὶ δάκρυα τοῖς ζῶσι κατ' αὐτὸν ἐμποιῶν· οἳ καὶ ὡς *πολιορκουμένη πόλις* nis historia, Josephus [71], antequam urbs caperetur, auditas esse sacerdotibus angelorum voces, quæ ab ea discedendum monerent. Tantum vero abest, ait, ut, qui reliquorum fructuum præstantissimus est, uvam ediderit, ut ne fugaces quidem autumni fructus, id est, corporeum legis Mosaicæ cultum, specie quidem pulchrum et virentem, sed temporarium tamen, præstiterit; ad quem et ista refertur *tentorii desertio*; quo templum etiam significari potest. Dicitur vero *cucumerarium*, locus, ubi cucumeres asservantur; cum enim, Deo vero relicto, manus nostras ad alienum erigimus, tradimur *vastatoribus*. *Terram* porro animam intellige, tanquam quæ verbi semina exceperit. *Desertam* vero, quæ virtutibus et cultu divino privetur. Talis est *Igne succensa civitas*, quæ operum multam habet vanitatem, ligna, fenum, arundinem; quæ ipso judicii **16** die *igne* consumentur.

Ipsa est et *regio*, quam *devorant alieni* nullis fructibus refertam Spiritus, dilectionis, gaudii: quæ aliis etiam irrumpentibus *alienis* cogitationibus, consumitur: quamque *subvertunt alieni* re vera dæmones; nec prius dimittunt, quam virtutibus undique sublatis, in consilii errorem compulerint. Sic omnes, qui sine fructu sunt, Dei *custodia* destituuntur: qui autem fructus edunt sempiternis horreis dignos, divinum Spiritum, qui hostes arceat, habent *custodem*. Sumamus vero et *fructus autumnales* pro vitæ suavitatibus; quarum illecebris animam capi non decet, quæ vera Dei *vitis* est, quæque ad imaginem Creatoris sata, ab eodem, cum fructus edit, ad uberiorem proventum expurgatur. Volentibus enim in expiandis affectibus opitulatur, et agricolæ in morem vites putantis sarmentorumque silvam coercentis, honesti studium perficit: cum renuentis animæ vallum, id est, angelorum auxilia corruant, et prætereuntibus, diripereque studentibus pateat; aperque ferox omnia perdat et conculcet [71']. Sunt vere peregrini et illæ etiam, quæ in nos penetrant, minus prævisæ vitiorum effectrices potestates. Apri autem in modum, solo sine ratione impetu ruentis, cœnoque fœtido volutari gaudentis, affectus animam istiusmodi præoccupant, quod divinis horreis fructus dignos ipsa nequaquam ediderit, sed fluxas voluptates, et fœdas: quorum studio cum populus olim teneretur, in deserto sepultus est. Lugebant enim, inquit, memores cucumerum, et peponum [72], cibi videlicet Ægyptii, quem nunquam comederit, qui verus est Israelita cœlesti pane enutritus; quem qui fastidiebant, cœpas et allia deposcebant. Talis enim est, quæ voluptatibus vita indulget, pruriens et acris, ex imoque graveolentiam immittens, et lacrymas ex illius instituto viventibus provocans. Et hi rursum, tanquam *obsessa civitas*, *derelinquun-*

[71] Joseph. lib. LXXI, De bell. Jud. cap. 12; Euseb. lib. XXXIX Hist., cap, 8. [71'] Psal. LXXIX, 14. [72] Num. XI, 5.

VARIÆ LECTIONES.

[b] *gr.* μεταβαίνωμεν. [c] *dp.* τὸ ἐρημον. [d] *gr.* καταναλίσκεται. [e] *gr.* βλάστης. [f] *gr.* ὗς. [g] *gr.* ὑός [h] *gr.* σκορόδ:ων [i] *gr.* ἐναφιείς.

Digitized by Google

tur; quam ideo cingunt hostes, ut remisse et secure agentes ex improviso adoriantur. **17** Vocavit autem eam de priori hujus nomine, *filiam*. Consentanea deinde his, quæ adversus Salvatorem tentata sunt, dixit, cum, *Et nisi Dominus exercituum reliquisset nobis semen*, intulit. Fortassis vero illud est, quod se Abrahamo, et semini ejus, daturum pollicitus est [73]. Tanquam enim de uno dixit, Christo videlicet; qui, ne *Sodomis et Gomorrhæ* similia paterentur, prohibuit. Nam reliqui omnes, ut ipse dixit, filii sunt scelerati, populus iniquitatibus plenus; a quibus *semen* esse non potest; cum eos a *Sodomorum* et *Gomorrhæ* pœnis adventu suo solus liberavit. Adhæc, post illatam Christo injuriam, reliquiæ quidem, secundum electionem gratiæ salvæ factæ sunt [74]; cæteri vero excæcati, et subversioni traditi: de quibus Dei numine afflatus Amos, in hæc verba ait: « Subverti vos; sicut Deus Sodomam et Gomorrham [75], » ultimam nimirum eversionem significans. *Semen* autem etiam apostolorum chorus intelligendus est; non quidem tanquam impiorum, sed prophetarum potius; qui universæ gentis salute deplorata, a Deo consolationem adepti, ab eo semine, quod de se in lucem proditurum erat, illuminati sunt; quod tanquam fermentum in gentibus exsistens, omnes in vitæ suæ similitudinem ita compulit, ut illi Israel, et populus Domini, et in abscondito Judæi, spiritualiumque promissionum hæredes facti sint. Quod si non se pietatis omnis conciliatores præbuissent, nec per eos essent ubique excitatæ Ecclesiæ (quoniam everti Judæorum templum contigit): quibusnam eos potius quam *Sodomorum* et *Gomorrhæ* interitui, de quibus nihil omnino superest, comparari decuit? Significat autem *Sodomæ* nomen, *declinationem: Gomorrhæ* vero, *seditionem*. Omnes igitur, inquit, a Deo declinaturi eramus, sanctaque pace rejecta, bello et seditione (qualia solent scelerati mores parere), abundaturi. At nunc omnium longe mentes exsuperans pax per carnem cunctis illuxit: eamque ita omnibus prædicarunt Christi discipuli; ut ipsa jam accepti beneficii gratias agens Ecclesia: **18** *Nisi Dominus nobis reliquisset semen*, omni cum fausto et læto applausu concinat. Est tamen Israelitici populi, quantumvis initio *reliquiarum* nomine tantum census sit, postea tandem futura revocatio. Istud enim prophetæ non dissimulavit oratio dicentis: « Quia multos dies sedebunt filii Israel sine rege, et sine principe, et sine sacrificio, et sine altari, et sine ephod, et sine theraphim; et posthæc revertentur filii Israel, et quærent Dominum Deum suum, et David regem suum [76]. » Et alibi: « Non faciam secundum furorem iræ meæ: non relinquam ut disperdam Ephraim [76*]. » Istud et alio significabatur modo. Defragatus enim est vetus ille populus, de quo

A ἐγκαταλείπονται, ἢν *πολέμιοι* περικάθηνται, τῶν ἔνδον ἐπιτηδευόντων τὴν ἄνεσιν, ὡς ἂν ἀφυλάκτοις ἐπίθωνται. Ἐκάλεσεν δὲ αὐτὴν ἐκ τοῦ προτέρου ταύτης ὀνόματος *θυγατέρα*. Ἀκολούθως δὲ τοῖς κατὰ τοῦ Σωτῆρος τολμηθεῖσιν ἐπήνεγκεν· *Καὶ εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα*. Τοῦτο δ' ἂν εἴη περὶ οὗ φησιν ὁ Θεὸς Ἀβραάμ· « Ὅτι σοὶ δώσω καὶ τῷ σπέρματί σου. » Ὡς γὰρ ἐφ' ἑνὸς εἶπεν, ὃς ἐστι Χριστὸς, ὁ κωλύσας τὰ *Σοδόμων καὶ Γομόρρας* παθεῖν. Οἱ γὰρ ἄλλοι πάντες, ὡς ἔφη, υἱοὶ ἄνομοι, καὶ λαὸς πλήρης ἁμαρτιῶν· ὧν οὐκ ἂν εἴη τὸ *σπέρμα*· οὓς ὀφείλοντας τὰ Σοδόμων παθεῖν, τῇ ἰδίᾳ παρουσίᾳ κεκωλυμένους [76*]. Καὶ μετὰ τὴν κατὰ Χριστοῦ δὲ τόλμαν, τὸ μὲν λεῖμμα τὸ κατ' ἐκλογὴν χάριτος ἐσώθη. Οἱ δὲ λοιποὶ ἐπωρώθησαν, οἳ καὶ παρ-

B εδόθησαν τῇ καταστροφῇ· περὶ ὧν φησιν Ἀμὼς ἐκ Θεοῦ· « Κατέστρεψα ὑμᾶς, καθὼς κατέστρεψεν Κύριος Σόδομα καὶ Γόμορρα, » τὴν τελευταίαν σημαίνων καταστροφήν. *Σπέρμα* δὲ καὶ τὸν ἀποστολικὸν νοητέον χορὸν, οὐχ ὡς τῶν ἀσεβῶν *σπέρμα*, τῶν δὲ προφητῶν μᾶλλον ὑπάρχοντας, οἳ τὸ πᾶν ἔθνος ἀπεγνωκότες, παραμυθίας ἐτύγχανον, περὶ ἧς τοῦ ἐξ αὐτῶν ἀναφανησομένου σπέρματος φωτιζόμενοι, ὅπερ ὡς ζύμη γενόμενον ἐν τοῖς ἔθνεσι, πάντας πρὸς τὴν οἰκείαν εἵλκυσεν ὁμοιότητα, ὡς κἀκείνους Ἰσραὴλ χρηματίζειν καὶ λαὸν Κυρίου, καὶ κρυπτὸν Ἰουδαῖον, καὶ τῶν πνευματικῶν ἐπαγγελιῶν κληρονόμον. Εἰ δὲ μὴ πρόξενοι πάσης θεοσεβείας ἐγένοντο, καὶ δι' αὐτῶν ἐκκλησίαι πανταχοῦ καθίδρυντο (τοῦ νεὼ τοῦ παρ' Ἰουδαίοις λελυμένου), τίσι τούτους ἐχρῆν παρα-

C βαλέσθαι, ἢ τῇ *Σοδόμων καὶ Γομόρρας* καταστροφῇ, ὧν οὐδὲν ὑπολέλειπται; *Σόδομα* δὲ ἐκκλισις, *Γομόρρα* δὲ στάσις ἑρμηνεύεται. Πάντες οὖν εἴχομεν, φησὶν, ἐκκλῖναι Θεοῦ, καὶ τὴν πνευματικὴν εἰρήνην ἀφέντες πολέμου πληρωθῆναι καὶ στάσεως, ἃ δὴ κακία καὶ τὰ πάθη ποιεῖ. Νῦν δὲ ἡ ὑπερέχουσα πάντα νοῦν εἰρήνη διὰ σαρκὸς πᾶσιν ἐπέλαμψεν· καὶ ταύτην εὐηγγελίσαντο πᾶσιν οἱ τοῦ Χριστοῦ μαθηταὶ, ὡς τὴν Ἐκκλησίαν τῆς εὐεργεσίας προσάγουσαν χαριστήρια, τὸ, *Εἰ μὴ Κύριος κατέλιπεν ἡμῖν σπέρμα*, μετὰ πάσης εὐφημίας ὑμνεῖν. Πλὴν ἔσται καὶ τῶν Ἰσραηλιτῶν ἐν ὑστέραις ἀνάκλησις, εἰ καὶ ἐν ἀρχῇ λεῖμμα μόνον ἐγένετο. Καὶ τοῦτο προφητικὸς ἐδήλωσεν λόγος, « Διότι, λέγων, ἡμέρας πολλὰς καθήσον-

D ται οἱ υἱοὶ Ἰσραὴλ οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐκ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὔτε ἱερατείας, οὔτε δήλων. Καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐπιζητήσουσι Κύριον τὸν Θεὸν αὐτῶν, καὶ Δαυὶδ τὸν βασιλέα αὐτῶν. » Καὶ ἀλλαχοῦ· « Οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου, οὐ μὴ καταλίπω τοῦ ἐξαληφθῆναι [k] τὸν Ἐφραΐμ. » Τοῦτο καὶ καθ' ἕτερον ἡμῖν ἐδηλοῦτο τρόπον. Ἠπείθησε μὲν γὰρ ὁ πάλαι λαὸς, περὶ οὗ φησιν, ὡς « Ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου, » Χαλεπῶ δὲ καὶ Ἰησοῦς

[73] Gen. XIII, 15. [74] Isa. LIV, 20; Rom. XI, 26. [75] Amos IV, 11. [76] Osee III, 4, 5. [76*] Osee XI, 9.

VARIÆ LECTIONES.

[i] γρ. κεκώλυκε μόνος. [k] lc. παρά. [k] γρ. ἐξαλειφθῆναι.

Digitized by Google

συνεισέβησαν τῷ νέῳ λαῷ, τύπος ὄντες τοῦ ἐγκαταλείμματος Ἰσραὴλ, σεσωσμένου μὲν δι' ὑπακοῆς καὶ πίστεως τῆς ἐν Χριστῷ, διαβιβασθέντος δὲ μεθ' ἡμῶν τὸν ἅγιον Ἰορδάνην, καὶ κληρονομεῖν μέλλοντος τὴν τῶν οὐρανῶν βασιλείαν.

ι'. *Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων· προσέχετε νόμον Θεοῦ* [k], *ὁ λαὸς Γομόρρας.*

Ἄνω μὲν οὐρανὸν καὶ γῆν ἐμαρτύρατο. Νῦν δὲ τοῖς Ἰουδαίοις αὐτοῖς διαλέγεται, μερίσας αὐτοὺς εἰς *ἄρχοντας*, καὶ *λαόν*. *Σοδόμων* δὲ αὐτοὺς καὶ *Γομόρρας* καλεῖ, ὡς μέλλοντας αὐτοὺς παθεῖν παραπλήσια, ἢ καὶ διὰ τρόπων ὁμοιότητα. Καὶ προϊὼν γὰρ ἐρεῖ. Τὴν δὲ ἀνομίαν αὐτῶν ὡς *Σοδόμων* ἀπήγγειλαν, καὶ ἐνεφάνισαν σὺν τῇ ἀδικίᾳ αὐτῶν, ἐπεὶ ἐβουλεύσαντο βουλὴν πονηρὰν, καθ' ἑαυτῶν εἰπόντες· « Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν. » Ἡ τοίνυν κατὰ τοῦ ἑνὸς λεγομένη δικαίου, Χριστοῦ δηλονότι, παρανομία, τοιαύτης αὐτοὺς προσηγορίας ἐνόχους ἀπέδειξε. Κολάζει δὲ αὐτῶν καὶ τὸ ὡς ἐπ' εὐγενείᾳ τῇ ἐξ Ἀβραὰμ ὑπερήφανον, δηλῶν, κατὰ τὸν θεῖον Ἀπόστολον· « Ὡς οὐχ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστι, » καὶ τὰ ἑξῆς. Καὶ πάλιν· « Οὐ γὰρ οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραήλ· οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, πάντως τέκνα. » Οὐκοῦν ἐκ τῶν ἐναντίων καὶ τοὺς [l] ἐξ ἀλλοφύλων δυνατὸν χρηματίσαι [m] *ἄρχοντας* Ἰσραὴλ, καὶ λαὸν Θεοῦ πράξεις ἀξίας παρεχομένους καὶ δόγματα.

Χωρισθέντος δὲ τοῦ ἐγκαταλειφθέντος ἡμῖν σπέρματος, ἀκολούθως τοὺς λοιποὺς τοιούτων ὀνομάτων ἠξίωσεν, *ἄρχοντας* λέγων *Σοδόμων*, διὰ τὸ μητρόπολιν ὥσπερ εἶναι τῆς πονηρίας *τὰ Σόδομα*, ἧς [n] κατὰ κακίας ὑπερβολὴν ὑπερέχειν τοὺς ἄρχοντας. Οἰκείως δὲ καὶ παρέθηκεν [o], ὅτι ὥσπερ ἐκεῖνοι παρητοῦντο τὸν τὰ δίκαια κρίνοντα Λὼτ, λέγοντες· « Εἰσῆλθες παροικεῖν, μὴ καὶ κρίσιν κρίνειν; » οὕτω καὶ οὗτοι τὸν δίκαιον παρητοῦντο κριτὴν, λέγοντες· « Σταύρου, σταύρου, αἶρε τὸν τοιοῦτον. » Κἀκεῖνοι μὲν, εἰς ξένους ὕβριζον· οὗτοι δὲ, τὸν εἰς τὰ ἴδια ἐλθόντα. Κἀκεῖνοι μὲν, εἰς ἀγγέλους· οὗτοι δὲ, εἰς Θεόν. Καὶ Ἱερουσαλὴμ τοίνυν ἐξ ἀσεβείας ἐγένετο *Σόδομα*. Ὡς γὰρ ἐν ἐκείνοις οὐχ εὗρε δέκα δικαίους ζητῶν ὁ Θεὸς, δι' οὓς ἔδει σωθῆναι τὴν πόλιν· οὕτως ἡ Ἱερουσαλὴμ πολλὴν εἶχε τῶν δικαίων τὴν σπάνιν. Διόπερ Ἱερεμίᾳ λιπαροῦντι περὶ αὐτῆς ἔφασκεν ὁ Θεός· « Περιδράμετε ἐν ταῖς ὁδοῖς Ἱερουσαλὴμ, καὶ ἴδετε, καὶ γνῶτε, καὶ ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς ἐὰν εὕρητε ἄνδρα, εἰ ἔστι ποιῶν κρῖμα, καὶ ζητῶν πίστιν, καὶ ἵλεως ἔσομαι αὐτῇ, λέγει Κύριος. » Καὶ παντὸς ἐστερημένοι καλοῦ, προσέτι καὶ πρὸς ἄκρον ἀσεβείας κατήντησαν, τὸν Χριστὸν ἀποκτείναντες· ὃ δὴ μάλιστα γέγονεν, διὰ τὴν τῶν *ἀρχόντων* ἀνοσιότητα. Εἰδότες γὰρ ὡς ἔστιν ὁ κληρονόμος, ἀνελεῖν ἐπεχείρησαν, θέλοντες αὐτοῦ τὸν ἀμπελῶνα

A scribitur : « Juravi in ira mea, si introibunt in requiem meam [77]. » At Chaleb, et Jesus, cum novo ingressi sunt, typumque reliquiarum Israel, quæ per obedientiam et fidem in Christum salvandæ erant, sanctoque Jordane superato, cœlestis imperii participes futuræ, habuerunt.

VERS. 10. *Audite verbum Domini, principes Sodomorum : attendite legem Dei, populus Gomorrhæ.*

Superius quidem cœlum et terram obtestatus est; nunc vero Judæos ipsos alloquitur, eosque in *populum* et *principes* dividit. Vocat autem *Sodomorum* et *Gomorrhæ* nomine; vel quod illis similia passuri essent : vel certe propter morum similitudinem; ut in progressu dicet. Sua vero ipsi scelera, sicut *Sodoma*, detexerunt suamque iniquitatem prodiderunt, cum inito male consilio B adversus se dixerunt : « Ligemus justum, quoniam inutilis est nobis [78]. » Una igitur eos ista adversus justum, Christum videlicet, injuria, huic nomini obnoxios fecit. Eos autem, tanquam qui ab Abrahamo generis sui splendorem repetentes insolescerent, castigat : quod, juxta Apostolum : « Non qui in manifesto, Judæus sit [79], » et cætera. Et rursus, quod : « Non omnes qui ex Israel sunt, ii sunt Israelitæ; neque 19 qui semen sunt Abrahæ, omnes filii [80]. » Possunt ergo ex contrariis, diversisque gentibus, *principes* Israel, *populusque Dei* effici; nimirum, si ad dogmatum consensionem operum dignitas accesserit.

ε-θ'. *Καὶ νῦν* [m] *ὁ οἶκος Ἰακὼβ, δεῦτε καὶ πορευθῶμεν ἐν τῷ φωτὶ Κυρίου. Ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ, τὸν οἶκον τοῦ Ἰακὼβ*, κ. τ. λ.

47 Vers. 5-9. *Et nunc, domus Jacob, venite et ambulemus in lumine Domini. Dereliquit enim populum, domum Jacob ;* etc.

[95] Psal. L, 21. [96] Joan. XIV, 27. [97] Joan. IV, 35 [98] Luc. II, 14.

VARIÆ LECTIONES.

[l] γρ. πάλαι. [k] γρ. ἐνεγεῖτο. [l] γρ. ἠκονημένη. [m] τ. σὺ.

Digitized by Google

Peramanter domesticos adhortatur, ut effusam in gentes omnes pacem, id est Evangelii splendorem, amplectantur, apta valde, et ad incendendum commoda adhortatione. Neque vero eos Jacobi sobolem amplius; qua jam indigni appellatione evaserant; *domum Jacob* simpliciter vocavit: velutique suscepta pro Deo defensione, *rejiciendi populi* causas abjecit. Apertius præterea quiddam est quod, post *montem Domini*, etiam *domum* adjunxit; ut promoventium notaret ascensum; qui puriore et splendidiore luce illustrati, beatarum rerum spectaculorumque sola mentis agitatione cognitorum voluptate fruuntur. Tale est et illud [99]: « Accedite ad eum et illuminamini, et facies vestræ non confundentur. » Qui possunt enim confundi, super quos signatum est lumen vultus Domini [1]? Quoniam vero abunde lucis habere copiam dicebant, qui legali et prophetica illustraretur: veluti interpretationis gratia, *Domini* vocabulum addidit. Lex enim et prophetæ lampadis, et stellarum instar, ante solis ortum habuere. **48** At ex quo cœpit iste illucescere, inutiles illas occultari certum est. Itaque et eos sic adhortatur Salvator: « Quandiu lucem habetis ambulate in luce, ut non vos tenebræ comprehendant [2]. » Et alibi cum de se loqueretur: « Ego sum lux mundi [3]. » Eodem et hic fere pacto Mosis se litteram in veritatem transformare clamitat propheta. Cæterum, quoniam propter majores suos Deo se curæ esse credebant, quamvis alioquin graviter peccarent; et ab eo se, qui communis omnium salutis causa carnem assumpsit, averterent; *populum suum dereliquisse Dominum* propheta testatur. Quod et alius his verbis innuit, « Concupierunt agros: bona orphanorum diripuerunt; vi possederunt [4]. » Atque ita de Domino verbis audacibus loquebantur: « Nonne Dominus in nobis? Minime venient in nos mala [5]. » Obid, « Propter vos *Sion*, tanquam ager, arabitur [6], » etc. Idem et ad ipsos aiebat Christus qui se nolebant recipere: « Ecce relinquetur domus vestra deserta [7]. » Alioquin enim et causam cur ab *ipso relicti sunt*, addidit propheta, nempe, quod eorum impietatem qui regionem prius incolebant, essent imitati. Est autem non levis multa, cum quis *a Domino derelinquitur*. Tanquam enim ipsos, omni adhibita servandi diligentia, prius manu Deus cohiberet, nec esset amplius de populo sollicitus, *relinquendi* verbum usurpavit. Præterea, quanta mala pariat *divinatio* (habet enim causam cur a Deo *relinquantur*) eorum exemplo intuere; qui fidem professi ejusmodi rebus agitantur. Omnia enim ista, vel ipsa Mosis lex, tanquam dæmonum commenta, vetuit. « Tibi autem, ait, non ita dedit Dominus Deus tuus [8]. » Est enim absurdum plane eos, qui et cer-

A Φιλοστόργως ἄγαν παρακαλεῖ τοὺς οἰκείους κατα-
δέξασθαι τὴν πᾶσι τοῖς ἔθνεσι χυθεῖσαν εἰρήνην, καὶ
τοῦ Εὐαγγελίου τὸ φῶς. Παρορμητικῶς δὲ ἄγαν ἑαυ-
τὸν τῇ παραινέσει φέρων ὑπέβαλεν. Καλεῖ δὲ αὐτοὺς
οὐκ Ἰακώβ (ἀνάξιοι γὰρ), ἀλλ' ὡς *οἶκον* τούτου δια-
κενόν. Ὑπεραπολογούμενος δὲ τοῦ Θεοῦ, τοῦ *ἀνεθῆ-
ναι τὸν λαὸν* τὰς αἰτίας ἐπήνεγκεν. Ἄλλο δέ τι
τρανότερον, μετὰ τὸ *ὄρος Κυρίου*, καὶ τὸν *οἶκον*
ἐπήνεγκε, κατὰ τὴν τῶν προκοπτόντων ἀνάβασιν
καθαρωτέρας καταλαμβανόντων αὐγῆς εἰς κατανόη-
σιν τῶν μακαρίων καὶ νοητῶν θεαμάτων. Τοιοῦτον
τὸ, « Προσέλθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε, καὶ τὰ
πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθείη. » Πῶς γὰρ ἂν
αἰσχύνοιντο, ἐφ' οὓς ἐσημειώθη τὸ φῶς τοῦ προσ-
ώπου Κυρίου; Καὶ ἐπειδὴ φῶς αὐταρκες τὸ νομικόν
B τε καὶ προφητικὸν ἔχειν ἑαυτοὺς ἐνόμιζον, τὸ *Κυ-
ρίου* προσέθηκεν. Ἐκεῖνα γὰρ λύχνος οἷα καὶ ἀστέ-
ρες ἦσαν, πρὶν ὀφθῆναι τὸν ἥλιον, μεθ' ὃν ἐκεῖνα
καλύπτεται τῶν ἀνονήτων γενόμενα. Διὸ καὶ ὁ
Σωτὴρ αὐτοῖς ἔλεγεν· « Ἕως τὸ φῶς ἔχετε, περι-
πατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ ἡ σκοτία ὑμᾶς καταλά-
βῃ· » περὶ ἑαυτοῦ λέγων· « Ἐγώ εἰμι τὸ φῶς τοῦ
κόσμου. » Καὶ νῦν ὁ προφήτης μονονουχὶ μεταπλάτ-
τομαί φησι, τὰ Μωϋσέως γράμματα πρὸς ἀλήθειαν.
Ἀλλ' ἐπεὶ διὰ τοὺς πατέρας ᾤοντο μελεῖν Θεῷ, κἂν
δεινῶς ἁμαρτάνωσιν, κἂν μὴ τὸν δι' ἡμᾶς σαρκω-
θέντα προσίοιντό, φησὶν αὐτοῖς· *Ἀνῆκε γὰρ τὸν
λαὸν αὐτοῦ*. Δηλοῖ δὲ τοῦτο προφήτης ἄλλος εἰπών·
« Καὶ ἐπεθύμουν ἀγροὺς καὶ διήρπαζον ὀρφανούς,
καὶ οἴκους κατεδυνάστευον. » Καὶ ἐπὶ τὸν Κύριον
C ἐμεγαλύνοντο λέγοντες· « Οὐχὶ Κύριος ἐν ἡμῖν ἐστιν;
Οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς τὰ κακά; » Διὰ τοῦτο, « Δι'
ὑμᾶς, Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται, » καὶ τὰ ἑξῆς.
Τοῦτο καὶ ὁ Σωτὴρ ἔλεγεν μὴ βουλομένοις αὐτὸν ὑπο-
δέξασθαι· « Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. »
Ἀλλὰ γὰρ διὰ τί *ἀνῆκεν αὐτοὺς*, ὁ προφήτης ἐπ-
ήνεγκεν, ὅτι τοὺς πρὸ αὐτῶν τὴν χώραν οἰκοῦντας
ἀσεβεῖς ἐμιμήσαντο. Χαλεπωτάτη δὲ ζημία ἡ ἀπὸ
Θεοῦ ἐγκατάλειψις. Ὡς γὰρ κρατοῦντος αὐτοὺς τῇ
χειρὶ διὰ φυλακῆς τοῦ Θεοῦ, τὸ, *ἀνῆκας*[a] φησὶ,
μηκέτι τοῦ λαοῦ προνοούμενος. Καὶ ὅρα πόσων κα-
κῶν ὁ *κληδονισμὸς Θεοῦ* γιγνόμενος *ἐγκαταλείψεως*
αἴτιος, διὰ τοὺς, ὅσοι τῶν πιστῶν τοῖς τοιούτοις
συμπεριφέρονται. Πάντα γὰρ ταῦτα καὶ ὁ Μωσέως
D ἀπεκήρυξε νόμος, ὡς δαιμόνων εὑρήματα. « Σοὶ δὲ
οὐχ οὕτω, φησὶν, ἔδωκεν Κύριος ὁ Θεός σου. » Ἄτο-
πον γὰρ, ἔχοντας τὴν ἐκ τῶν δικαιωμάτων τοῦ Θεοῦ
συμβολὴν, τοῖς εἰκῇ γινομένοις ἀπάγεσθαι. Εὕρημα
δὲ τῶν Φυλιστιαίων ἔοικεν εἶναι *κληδονισμὸς*, ὡς
Χαλδαίων ἀστρολογία, καὶ Αἰγυπτίων ἐπῳδαί τε καὶ
φαρμακεῖαι, καὶ Κρητῶν οἰωνοσκοπία. Καὶ *τέκνα*,
φησὶν, *ἀλλόφυλα ἐγεννήθησαν ἐν αὐτῇ*. Ὅταν
γὰρ πόλις ἔθη μοχθηρὰ καταδέξηται, τοῖς ἐπιγινο-
μένοις λοιπὸν ὥσπερ νόμος γίνεται τὸ τῶν πατέρων
ἁμάρτημα· καὶ εὐθὺς ἐκ γενέσεως ἀλλότρια γίνεται

[99] Psal. xxxiii, 6. [1] Psal. iv, 7. [2] Joan. xii, 35. [3] Joan. viii, 12. [4] Mich. ii, 2. [5] Mich. iii, 11. [6] Jerem. xxvi, 18. [7] Matth. xxiii, 38. [8] Deut. xviii, 14.

VARIÆ LECTIONES.

[a] γρ. ἀνῆκε.

Digitized by Google

τοῦ Θεοῦ *ἀλλόφυλα* χρηματίζοντα, καὶ τῆς πορνείας πληθυνθείσης ἴσως ἐκ γυναικῶν ἀλλοφύλων ἐγένοντο. Ἐπὶ ψυχῆς δὲ *τέκνα ἀλλόφυλα* οἱ ἀπὸ τῶν ἔξωθεν τῆς θεοσεβείας λόγων καρποί. Τὸ δὲ φιλοπλουτεῖν, ὅσον δεινὸν δείκνυσιν μετὰ τοιούτων ἀσεβημάτων τάξας αὐτό. Χωρὶς γὰρ τῆς ἰδίκου κτήσεως ἡ μὲν πενία παιδαγωγός ἐστιν εἰς εὐσέβειαν· ὁ δὲ πλοῦτος ὕβρεως ἀφορμή. Διό φησι μὴ θησαυρίζειν ἐπὶ τῆς γῆς. *Τῶν δ' ἵππων*, φησὶν, *οὐκ οὖν ὁ ἀριθμὸς*, εἰπόντος τοῦ νόμου, μὴ πληθυνεῖς σεαυτῷ ἵππον. Καὶ πᾶς ἅγιος τὴν τούτων χρῆσιν ἀπέφυγε. Δηλοῖ δὲ διὰ τούτων τὴν Ἰουδαίων ἀλαζονείαν. Τὸ δὲ, *οὐκ ἦν ἀριθμὸς*, ἢ ὑπερβολικὸν· ἢ ὅτι παρὰ Θεῷ τῶν κακῶν οὐδὲν *ἐναρίθμιον*· οὐ γύναιον, ὡς ἀσθενές· οὐ παιδίον, ὡς εὐκαταφρόνητον, πλὴν πρωτοτόκων, καὶ Λευιτῶν· οὐ δοῦλος, διὰ τὸ ἄτιμον· οὐκ ἐπίμικτος, διὰ τὸ ἀλλότριον. Εἶτα, καὶ περὶ *βδελυγμάτων* φησίν. Ἔδει γὰρ ἀρξαμένους ἀπὸ *κληδονισμῶν*, διὰ φυλαργυρίας τε καὶ ἱππομανίας ὁδεύσαντας, καταντῆσαι πρὸς εἰδωλολατρείαν τοὺς ἐπὶ πλούτου θαῤῥήσαντας ἀδηλότητι, καὶ ψεύδεσιν ἵπποις εἰς σωτηρίαν, ἀλλ' οὐ τῷ δυνατῷ συντρίβειν πολέμους. *Βδέλυγμα* δὲ παρὰ Κυρίῳ πᾶσα πρᾶξις παράνομος. Πρὸς δὲ τὴν εἰδωλολατρείαν, ἐφ' οὗ ἐχρήσατο ἡ Γραφὴ, πᾶς ἀναπλασμὸς ψευδῶν δογμάτων ἐν διανοίᾳ τυπούμενος, εἰκότως λέγοιτο *βδέλυγμα*. Καὶ κατὰ τὸ φαινόμενον δέ φησιν ἡ Γραφὴ, « Ἐπικατάρατος ἄνθρωπος, ὅστις ποιήσει γλυπτὸν ἢ χωνευτὸν [βδέλυγμα Κυρίῳ[1] ἔργον χειρῶν τεχνίτου. » Πρὸς ὃ σχετλιάζων ὁ προφήτης φησί· *Καὶ ἔκρυψεν ἄνθρωπος, καὶ προσεκύνησεν ἀνήρ.* Εἰ τὸ[p] τιμιώτατον μετ' ἀγγέλους ἐν λογικοῖς, εἰκόνι τε τιμηθὲν Θεοῦ ὑπέπεσεν εἰδώλῳ καθάπερ σώζειν ἰσχύοντι εἰς γῆν κεκυφὼς, καὶ μηδὲ ἄξιος ἀνανεύειν εἰς οὐρανούς, διὰ τὴν εἰς αὐτὸν ἁμαρτίαν Διὸ καὶ *ἐταπεινώθη* φησὶν, ὡς ἐξ ὕψους τοσούτου πεσὼν ὁ Χριστὸν[q] ἔχων κεφαλὴν, καὶ τὸ μέγιστον τῆς αἰσχύνης, ὅτι καὶ *ἀνὴρ*· διὸ καὶ, ὅτε μετὰ τοσαύτας παρανομίας εἰς εἰδωλολατρείαν κατῆντησαν, ἐπήνεγκεν· *οὐ μὴ ἀνήσω αὐτοῖς*, ὡς ἑαυτούς τε καταισχύνασι, καὶ τοῦ Θεοῦ τὴν ἀξίαν προσενέγκουσιν εἰδώλοις, καὶ τὸ *μὴ ἀνεῖναι* δὲ θείας εὐεργεσίας. Ἡ γὰρ *ἄνεσις* ἀκολασίας ἐστὶν ἀφορμή. Θεοῦ δὲ μνήμην ἡ θλῖψις ἐργάζεται. Ἰστέον μέντοι ὡς οἱ λοιποὶ ἑρμηνευταὶ, ἀντὶ τοῦ (*ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ*) πρὸς τὸν Θεὸν τὸν λόγον ἀπέστρεψαν. Ἀκύλας μὲν, *εἰάσας* εἰπών· ὁ δὲ Σύμμαχος, *ἀπέῤῥιψας*. Ὁ δὲ Θεοδοτίων, *ἀνῆκας*. Οἱ καὶ ἐμφαίνουσιν *ἀλλοφύλους* τινὰς κατὰ τοὺς προφητευομένους χρόνους μέλλειν οἰκῆσαι τὴν Ἰουδαίαν, δηλαδὴ τοὺς Ῥωμαίους *πλούτῳ χαίροντας κληδονισμῷ τε, καὶ ἵπποις, καὶ τῇ τῶν εἰδωλολατρείᾳ, ἃ χερσὶν ἰδίαις κατασκευάσονται.* Ταῦτα δὲ τοῖς Ἰουδαίοις τὸν Σωτῆρα μὴ δεξαμένοις ἀπήντηκεν ἀπειθήσασι τῷ λέγοντι προφήτῃ· *Δεῦτε καὶ πορευθῶμεν τῷ*

A tis perfectique Dei operibus consiliorum rationem inire possunt; ad ea, quæ temere fiunt, abduci. Videtur autem Palæstinorum inventum esse *divinatio;* ut Chaldæorum astrologia; ut Ægyptiorum incantatio et veneficium; ut Cretensium auguratio. *Et filii*, ait, *alienigenæ nati sunt in ipsa.* Cum enim sceleratos mores semel amplexa **49** est civitas; ad posteros, tanquam in legem, parentum flagitia transeunt: sicque qui erant ab ipso nascendi principio a Deo alieni, *alienigenæ* non immerito nuncupantur; et ob id forsan, quod aucta scortatione, de mulieribus alienigenis nati essent. Ad animum autem si *filios alienigenas* referas, fructus illi fuerint intelligendi, qui de scriptis externis, et a pietate alienis, colliguntur.

B Divitiarum porro studium quam grave malum sit vel eo ostendit, quod in scelerum tantorum numero, et hoc etiam crimen haberi voluit. Est enim, quæ injuste partis opibus caret ad pietatem dux et magistra paupertas: divitiæ vero contumeliæ, et injuriarum hortatrices: quo fit ut in terra thesauros colligere Christus prohibuerit [9]. *Equorum* præterea, ait, *non erat numerus;* licet equos sibi multiplicare lege sit prohibitum [10]; omnesque, qui sanctitate illustres fuerunt, eorum usum semper sint aversati: unde Judæorum superbiam aperte constat significare. Quod autem eorum *non esse numerum* scribit; aut id hyperbolice dicit; aut, nullo apud Deum *numero* mala haberi significat; non mulierem, propter sexus imbecillitatem;

C non puerum, si primo partu, Leviticoque genere procreatos excipias, propter ætatis facilem despectum; non servum, propter conditionis vilitatem; non advenam, propter morum diversitatem. Deinceps et de *abominationibus* dicit. Par fuit enim eos, qui facto a *divinationibus* initio, ab opum etiam, equorumque insana libidine non abhorruerant, ipsam demum idololatriam attingere; qui divitiarum instabilitati, fallacibusque ad salutem equis confiderent; non ei, qui bella potest conterere [11]. Est vero *abominatio*, injusta omnis apud Deum actio. Sin autem referas ad idololatriam (quo sensu hic utitur Scriptura), omnis jure falsorum

D dogmatum animo impressa imago, *abominatio* dici possit. De ea præterea, quæ sub sensum cadit oculorum, constat et illud usurpari, quod scribitur: « Maledictus homo qui faciet sculptile, aut conflatile, abominationem Domino, opus manuum artificum [12]. » Cujus rei vicem lugens propheta intulit: *Et incurvavit se homo, et humiliatus* **50** *est vir:* quia nimirum ratione præditorum omnium, post angelos, præstantissimus, Deique imagine honoratus, ante idola prostratus, tanquam salutem darent, in terram procubuit; ne cœlum

[9] Matth. VI, 19. [10] Deut. XVII, 16. [11] Judith XVI, 3; Psal. XLV, 10. [12] Deut. XXVII, 15.

VARIÆ LECTIONES.

[p] γρ. ἦν. [q] γρ, ὅτι. [q] Ισ. κύριον.

Digitized by Google

quidem, in quem tam graviter peccavit, suspicere dignus. Itaque *et humiliatus est*, ait; id est, tanta celsitudine deturbatus, cum Christum pro capite haberet, *virque* etiam, qui pudor est permaximus, exsisteret. Quando igitur ad tantam scelerum colluviem idolorum cultum addiderunt; *non remittam ipsis*, inquit, qui nullam pudoris rationem habuerunt Deoque debitum peculiari nomine honorem in idola contulerunt. Præterea, quod se *remissurum* negat, divinæ etiam hoc liberalitatis est. Excitat enim intemperantiæ occasionem *remissio;* memoriam vero de Deo afflictio. Non est autem silentio prætereundum quod superius: *dereliquit enim populum suum*, dictum est; converso ad Deum sermone, Aquilam quidem, *dereliquisti;* Symmachum autem, *abjecisti;* Theodotionem vero, *rejecisti* transtulisse: qui et ipsi *alienigenas* quosdam, Romanos videlicet, divitiarum cupidos, *divinationibusque*, *et equis*, *idolorumque cultu* gaudentes; quæ suis *sibi manibus* essent fabricaturi, designatis a propheta temporibus Judæam esse habitaturos significant. Quæ certe ideo Judæis contigerunt, quod Salvatore repudiato ad prophetam non attenderint dicentem: *Venite et ambulemus in luce Domini.* Cum autem propheta ab *alienigenis* talia committi doleret, *Domino populum suum Jacob derelictum esse* inclamat; additque *derelictionis* signum; ea nempe, quæ ab externis patrarentur. Ad hæc ait, postea: *Et non remittas illis;* ita enim reddunt Aquila et Symmachus, pro eo quod est non *dimittam illos:* quod quia nulla ratione Judæis conveniat (qui enim genti suæ propheta **51** imprecetur?); sunt ista potius de gentibus, quæ Judæam incolerent, intelligenda. Atque hinc est, quod prius neque gentis, neque populi meminit: sed regionis, et terræ; tanquam peregrinis habitatoribus essent implendæ. Quod ideo est, quod prius *alienigenas* Judæam habitasse nullos ducerentur, de stirpe Davidis reges habuerunt. Et cum toto captivitatis tempore mera fuisset solitudo, ab ejus fine rursus, ad Romanam usque obsidionem, eadem a suis est habitata Judæis; ad quam deinceps non illis aditus patuit. Hanc enim possedit a Romanis eo deducta colonia. Futura autem:

52 VERS. 10-21. *Et nunc ingredimini in petras, et absconditimini in terram a facie timoris Domini, et a gloria fortitudinis ejus, cum surrexerit ad perculiendum terram*, etc.

. . . . . .

. . . . . .

53 ipsas tandem *metu Domini terram confringentis* abjicient; quæ certe priore etiam ipsius adventu quadam ex parte facta sunt, cum qui olim pro diis culti sunt, falsi esse arguerentur. Sibi enim ne opitulari quidem valuerunt. Hinc ergo eorum quidem cultores *humiliantur*; universorum autem *Dominus exaltatur*. Pretiosæ itaque materiæ, qua idola constabant, jacturam veriti, cum ipsa, inquit propheta, tenebrosis in locis, regios viros celare conarentur, *abscondebant*. Quod autem Septuaginta interpretes non habent, *quiescite vobis a viro;* ad ea, quæ præcesserunt non convenienter additum videtur. Cæterum quoniam de *superbis elatisque* multis ante fuit disputatum; jam nos propheta ne vel ad illos attendamus, vel in mortalem speremus ullum, *qui in naribus* vitam possideat, adhortatur. Fortasse

φωτὶ *Κυρίου*, ἐπὶ δὲ τοῖς ἐκ τῶν ἀλλοφύλων γινομένοις ὁ προφήτης ἀγανακτῶν., πρὸς Κύριον ἔλεγεν *ἀρῆκας τὸν λαόν σου τὸν Ἰακώβ.* Καὶ τεκμήριον τῆς *ἀνέσεως* ἐξέθετο, τὰ παρὰ *τῶν ἀλλοφύλων* γινόμενα. Καὶ μετὰ ταῦτά φησι· *Καὶ μὴ ἀφῇς αὐτοῖς* · ἀντὶ γὰρ τοῦ, *οὐ μὴ ἀνήσω αὐτοὺς*, ὁ μὲν Ἀκύλας, *οὐ μὴ ἀνῇς αὐτοῖς* ἑρμήνευσεν. Ὁ δὲ Σύμμαχος, καὶ *μὴ ἀφῇς αὐτοῖς*. Ὑπερ οὐκ ἂν ἔχοι λόγον περὶ Ἰουδαίων εἰρῆσθαι (πῶς γὰρ ἂν ὁ προφήτης κατηύξατο τοῦ ἰδίου λαοῦ;) ἀλλὰ τῶν ἐπωχηκότων τὴν Ἰουδαίαν ἐθνῶν. Τοιγαροῦν ἐν τοῖς προκειμένοις, οὔτε τοῦ ἔθνους, οὔτε τοῦ λαοῦ ἐμνημόνευσεν · ἀλλὰ τῆς χώρας, καὶ γῆς, ὡς μελλούσης ξένων οἰκητόρων πληροῦσθαι. Τοῦτο δὲ μετὰ τὴν τοῦ Σωτῆρος παρουσίαν ἐγένετο. Πρότερον δὲ οὐ φαίνονται *ἀλλόφυλοι* τὴν Ἰουδαίαν οἰκήσαντες. Πρὶν μὲν γὰρ ἀπαχθῶσιν εἰς Βαβυλῶνα οἱ ἀπὸ τοῦ Δαβὶδ ἐβασίλευον · κατὰ δὲ τὴν αἰχμαλωσίαν ἔρημος ἦν παντελῶς · μεθ' ὃ πάλιν Ἰουδαῖοι ταύτην κατῴκησαν μέχρι τῆς Ῥωμαίων πολιορκίας. Μεθ' ἣν ἄβατος αὐτοῖς ἡ πόλις ἐγένετο. Μέτοικοι γὰρ ὑπὸ Ῥωμαίων ἀχθέντες τῶν τόπων ἐκράτησαν. Τὰ δὲ μέλλοντα ·

ι.-κα'. *Καὶ νῦν εἰσέλθετε εἰς τὰς πέτρας, καὶ κρύπτεσθε εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν*, κ. τ. λ

. . . . . .

. . . . . .

τέλος αὐτὰς ἀπορρίψουσι *φόβῳ τοῦ θραύοντος Κυρίου τὴν γῆν* · ἃ δὴ καὶ ἐπὶ τῆς πρώτης παρουσίας ἐκ μέρους γεγένηται, ἐληλεγμένων τῶν πάλαι νομιζομένων θεῶν. Ἑαυτοῖς γὰρ ἐπικουρεῖν οὐ δεδύνηνται. Διὸ *τεταπείνωνται* μὲν οἱ τούτων προσκυνηταί · ὁ δὲ τῶν ὅλων *ὕψωται Κύριος*. Καὶ δεδιότες τὴν τῆς πολυτελοῦς ὕλης τῶν ζοάνων ἀφαίρεσιν, ταῦτα κατὰ τὴν προφητείαν *ἀπέκρυπτον* ἐν ἀφεγγέσι χωρίοις, τοὺς βασιλικοὺς [r] ἄνδρας λανθάνειν πειρώμενοι. Τὸ δὲ μὴ κείμενον παρὰ τοῖς Ἑβδομήκοντα, *παύσασθε ὑμῖν ἀπὸ τοῦ ἀνθρώπου*, δοκεῖ μὲν ἀνακολούθως τοῖς πρόσθεν ἐπάγεσθαι. Πλὴν ἐπειδὴ πολλὰ περὶ *τῶν ὑπερηφάνων καὶ μετεώρων* προλέλεκται, παραινεῖ νῦν ὁ λόγος μὴ προσέχειν ἐκείνοις, μηδ' εἰς θνητὸν ἐλπίζειν τινά, καὶ τὴν πᾶσαν *ἐν τοῖς μυκτῆρσι* κεκτημένον ζωήν. Ἴσως δὲ καὶ ταῖς ἀοράτοις

VARIÆ LECTIONES.

[r] *Ισ. γρ.* πολεμικούς.

Digitized by Google

προστάσσει δυνάμεσιν, ἃς *νυκτερίδας* ὠνόμασε τροπικῶς, ἀπέχεσθαι λοιπὸν τῆς ἀνθρώπων ἐπιβουλῆς ἀσθενῶν μὲν ὄντων κατὰ τὴν σάρκα, τιμίων δὲ, καὶ μηδὲν ἀζήτητον ἐχόντων παρὰ Θεοῦ. Τὴν δὲ προκειμένην ῥῆσιν ἄλλως ἀνωθέν τινες ἐκλαμβάνουσι λέγοντες, ἄλλη παράκλησις αὐτὴ πρὸς τὸν *οἶκον Ἰακώβ*, ἐπὶ τὸ συμφέρον παρακαλοῦσα. Ὡς γὰρ ἡ, *δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου*· καὶ ὡς ἡ, *δεῦτε καὶ πορευθῶμεν τῷ φωτὶ Κυρίου*· οὕτω καὶ τὸ, *εἰσέλθετε εἰς τὰς πέτρας, καὶ κρύπτεσθε εἰς τὴν γῆν, ἀπὸ προσώπου τοῦ φόβου Κυρίου*. Τίς δὲ τολμήσει συκοφαντεῖν τὴν Γραφὴν, ὡς συμβουλεύουσαν *ἀπὸ προσώπου τοῦ φόβου Κυρίου φυγεῖν, ἢ ταῖς κοιλότησι κρυφθέντας τῆς γῆς*; « Ποῦ γὰρ, φησὶ, πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; »Τῶν τοίνυν ἠριθμημένων πρόσθε κακῶν μία τίς ἐστιν ἀπαλλαγὴ, *τὸ εἰσελθεῖν εἰς τὴν σκέπην τῆς πέτρας*, εἰς τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως, ὅπου καὶ Μωϋσῆς ἐτέθη μέλλων ἰδεῖν τὸν Θεόν. Καὶ τὸ, Κρυφθῆναι τῇ γῇ θάπτοντας ἑαυτοὺς διὰ τοῦ βαπτίσματος, ὡς ἂν συνταφέντες αὐτῷ, καὶ τεθνηκότες τῇ ἁμαρτίᾳ ἐν καινότητι ζωῆς περιπατήσωμεν. Οὕτω γὰρ ἐκκλίνομεν ἀπὸ *τοῦ φόβου Κυρίου θραύοντος τὴν γῆν*, τὰ χήϊνα καὶ τὸν χοϊκὸν, ἵνα τὴν ἐν τῷ πνευματικῷ ζωὴν ἀνεμπόδιστον ἔχωμεν. Οὕτω δὲ φθάσαι τὴν *μετ' ἰσχύος αὐτοῦ καὶ δόξης* ἀνάστασιν. Καὶ ἵνα μὴ νομίσῃς ἀναχώρησιν ἀπὸ Θεοῦ συμβουλεύειν σωματικὴν, δείκνυσιν ἐξ ὕψους ἀποσκοπεύοντα τὸν Θεὸν οὐδὲν τῶν κάτω λανθάνειν. *Ταπεινὸς δὲ ἄνθρωπος* οὐδὲν ὢν ἐν παραθέσει Θεοῦ, ἢ ὁ τὴν ἀλαζονείαν ἀποθεὶς μετρίῳ φρονήματι, ἢ ὁ πεσὼν ἐξ ὕψους δι' ἁμαρτίαν· ἐν ἐπαίνῳ δὲ νῦν ἡ τοῦ *ὕψους τῶν ἀνθρώπων* ταπείνωσις εἴρηται, ἀποτιθεμένου τοῦ ματαίου φρονήματος πρὸς τὴν ἰδίαν ἀπανιόντων ἀξίαν. Ἐπὶ κακῷ γὰρ ἐλέγετο τὸ, *ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνήρ*. Νῦν γὰρ ὁ λόγος περὶ τῶν ὑποφυγόντων τῇ *πέτρᾳ* καὶ συνταφέντων Χριστῷ. Τὸ γὰρ *ταπεινὸν* ἐπιγνόντες τῆς φύσεως, μόνῳ τὸ *ὕψος* μαρτυροῦσι Θεῷ. *Ἐκείνῃ* δὲ φησὶ τῇ *ἡμέρᾳ*, ὥσπερ[a] ὡμολογημένης διαλεγόμενος, ἣ μὴ σωματικὸν φῶς ἄρχον καὶ λῆγον ἀποτελεῖ, ἀλλ' ἔστιν ἀκίνητος, ὁμοῖα πρὸς ἑαυτὴν· ἐν ᾗ *μόνος*, φησὶν, *ὑψωθήσεται Κύριος*. Πᾶν γὰρ ὕψος, καὶ πᾶσα λαμπρότης, κἂν αὐτῶν εἴη τῶν νοερωτέρων δυνάμεων, τῇ τῆς θείας ὑπερβολῇ δόξης ἀφανίζεται· πᾶν τε μέγα προφητῶν τε, καὶ ἀποστόλων, καὶ τῶν ἐν οὐρανῷ πάντων, ἐκείνου φανέντος, *ταπεινωθήσεται*. Πρὸς ἡμᾶς γὰρ τοὺς πτωχοτέρους μεγάλα ταῦτα καὶ ὑψηλά. Πρὸς αὐτὸν γὰρ[b], οὐδεὶς οὐ δυνατὸς, οὐ σοφός. Πρὸς ὃν καὶ Μωϋσῆς ἰσχνόφωνος καὶ βραδύγλωσσος, καὶ Ἀβραὰμ γῆ καὶ σποδός. Ὡς γὰρ φῶς καὶ λυχνία ὄντα τῷ φωτὶ τῆς σταθερᾶς μεσημβρίας ὑπεραυγάζονται· *τὴν ἡμέραν δὲ Κυρίου*, φησὶν, ἐπὶ *πάντα ὑβριστὴν καὶ ὑπερήφανον*. Ἀρχὴ γὰρ αὐτὴ κακῶν. Κόρῳ γὰρ

A vero *invisibilibus* etiam præcepit potestatibus (quas tropice vocat *vespertiliones*) ut insidias in posterum desinant hominibus tendere, quantumvis propter carnem infirmos, imbecillesque, charos tamen habet Deus; nec indiscussum quidquam eorum esse apud se permittit. Præposita autem verba aliter alii, repetito altius initio, explicantes, aliam hic *Domui Jacob* ad meliora fieri adhortationem volunt. Qua enim ratione: *Venite et ascendamus in montem Domini*, dictum est; itemque: *Venite et ambulemus in luce Domini*; eamdem et hic: *Ingredimini in petram, et abscondimini in terram a facie timoris Domini*, dici arbitrantur. Quis vero Scripturæ: *A facie furoris Domini fugere, et in terræ cavernis latere* monenti, audeat calumniari? « Quo enim ibo, ait, a spiritu tuo, et quo a facie tua fugiam[12]? » Patet ergo hoc unum superiorum malorum superesse effugium, ut nos in *petræ tegumentum recipiamus*; id est, ut fidei in Christum firmamentum subeamus, quo se et Moyses ipse Dominum visurus contulit. Itemque, ut ipsi baptismatis ope, tanquam *terræ* mandati, **54** sepeliamur; quo tandem cum illo sepulti, peccatoque mortui, in novitate vitæ ambulemus[13]. Sic enim *furentis Domini*, *terramque*, id est, terrenum et fragilem hominem[13], quo liberam in spiritu vitam vivamus, *quatientis*, *faciem* vitabimus. Sic rursus ad illius, quæ est in *fortitudine et gratia*, resurrectionem perveniemus. Præterea ne corpoream quamdam a Deo secessionem suadere putes; nihil illum ab alto inferiora hæc intuentem, latere posse demonstrat. At *humilis homo* jure dicitur: vel quod, si cum Deo conferatur, nihil esse videri possit: vel quod animi modestiam amplexus, superbiam et fastum omnem potuerit; vel certe, quod ex alto, per peccatum dejectus, ceciderit. Est vero laudis ergo ista *hominum sublimitatis* allata depressio; eorum videlicet, qui vano superbiæ fastu deposito, ad pristinam redierunt dignitatem. Erat enim quod superius dictum est: *Incurvavit se homo, et humiliatus est vir*, in malam rem usurpatum: at jam de his sermo est, qui ad *petram* confugerunt, et sunt cum Christo sepulti. Naturæ enim *humilitatem* agnoscentes, *soli Deo* peculiarem esse *celsitudinem* testantur. *Illa* autem *die* ait, tanquam de rata et certa locutus; quæ nullum lucis corporeæ principium vel finem habitura, sibi semper similis immobilisque futura est; in qua *solus*, ut scribit, *exaltabitur Dominus*. Omnem enim *exaltationem*, omnemque claritatem, quæ spiritualibus alioqui potestatibus tribuitur, unus divinæ gloriæ splendor eximius magnitudine sua vincit et obscurat. Nam sive prophetarum, sive apostolorum, sive cœlestium denique omnium *sublimitatem* intuearis, uno illo prodeunte omnia *humiliabuntur*. Sunt enim, si nobiscum tenuiori-

[12] Psal. CXXXVIII, 7. [13] Rom. VI, 4. [13] I Cor. XV, 47.

VARIÆ LECTIONES.

[a] Ἰσ. γρ. ὡς περί. [b] Ἰσ. γρ. δέ.

Digitized by Google

bus ista conferantur, magna quidem et ardua: sive autem cum illo, nihil quemquam vel posse, vel sapere quidquam certum est. Apud hunc lingua tardum et blæsum Mosem [16], ipsumque Abrahamum terram et pulverem [17] exstitisse legimus. Lampadis enim accensæ instar, stato meridianæ lucis splendore, superati obtenebrescunt. **55** *Diem* deinde *Domini super omnem* fore *superbum, et contumeliosum* ait. Inde siquidem malorum omnium principium et fons. Elatus enim *superbia* diabolus, sociis secum assumptis, a Deo recessit, ista usurpare ausus: « Super astra Dei exaltabo solium meum [18]; » quibus et alia adjicit inquiens: « Ero similis Altissimo [19]. » Inde igitur sumendum ultionis fuerat exordium. Viam vero munit, et ad contumeliam dux est superbia. Qui enim alios fastidit, primus contumeliam facile aggreditur, nec aliud est quidquam super alios efferri, quam *superbum* esse: eaque ut cognata vitia sunt; sic pari modo puniri necesse est. Ab his vero habitu tantum differunt, qui *sublimes excelsique* dicuntur. Nam et in se ipsi attolluntur, et levitate intumescunt, firmum quidquam nihil habentes. Plectuntur tamen quod sui obliti sunt; quia peccatum et ipsam esse elationem constat. Eos autem per *Libani cedros* intelligit, qui fastu occæcati intumescunt. Nam et ipsæ proceræ valde sunt; nec usibus idoneos fructus gerunt, vixque vel senescunt, vel putrescunt. Erat vero omni idololatriæ genere refertissimus *Libanus*. Hinc et quæ in eo vagabantur, malas potestates *Cedri* significant, quæ nequitiæ fastigia adversus Dei notitiam sunt attollere solita: illæ nimirum, de quibus est apud Davidem: « Conteret cedros Libani Dominus [20]. » Significant autem et mores, nullis subjectis fructibus elatos. Quarumdem enim rerum possessione, etsi male id quidem, non sine ratione tamen, efferri quis possit. Præterea, quid istos, *Libani cedros* esse dixit? Primum, quoniam dæmonicum quiddam omnis habet elatio. Deinde quoniam aliena quodammodo celsitudine attolli videntur montanæ arbores: cujusmodi fere sunt, qui rerum externarum gloria efferuntur. Reperias alioqui et *cedros* laudari: « Saturabuntur enim, scribitur, ligna campi, et cedri Libani, quas plantavit [21]. » Item: « Laudabunt Dominum ligna fructifera, et omnes cedri [22]. » Nihil enim suapte natura malum docet exsistere; cum sponte Deum quilibet vel adversetur, vel amplectatur. Ipsæ autem *Libani cedri* **56** excisæ (quod ad idololatriam retulerim), in templi assumuntur structuram, ibique remanentes conteruntur. Nimirum, ut semel dicam, et animalium naturales impetus, et plantarum species, ad varios hominum mores significandos usurpantur. *Arbor* autem *glandis Basan*, ipsam morum duritiem, pervica-

A ἐξυβρίσας ὁ διάβολος ἀπέστη Θεοῦ κοινωνοὺς ἑτέρους λαβών, λέγων· « Ἐπάνω τῶν ἄστρων θήσομαι τὸν θρόνον μου· » ἄλλα τε εἰπὼν ἔφη· « Ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ. » Ἐχρῆν τοίνυν ἐντεῦθεν ἄρξασθαι τὴν ἐκδίκησιν. Προηγεῖται δὲ τῆς ὑπερηφανίας ἡ ὕβρις. Ὁ γὰρ τοὺς ἄλλους διαπτύων, ἀλαζονείαν προοιμιάζεται. Τὸ ὑπερφαίνεσθαι γὰρ ἡ *ὑπερηφάνεια* δηλοῖ. Κολάζεται γὰρ ὁμοιοτρόπως τὰ συγγενῆ πλημμελήματα. Τῇ δὲ σχέσει διαφέρει τούτων *ὁ ὑψηλὸς καὶ μετέωρος*. Καὶ καθ' ἑαυτὸν γὰρ ὢν ἑαυτὸν ὑψοῖ καὶ ἐπαίρει, διὰ κουφότητα μηδὲν ἔχων ἐστηριγμένον. Ἑαυτὸν δὲ ἀγνοήσας κολάζεται. Ἁμαρτία γάρ, φησὶν, ἐστὶν ὁ μετεωρισμός. Τοὺς ἀναισθήτως δὲ φυσιουμένους, *κέδρους τοῦ Λιβάνου* καλεῖ. Ὑψηλαὶ γὰρ αὐταὶ λίαν ἀχρήστους ποιοῦσαι καρποὺς, οὐ γηρῶσαι ῥᾳδίως, οὔτε κατασηπόμεναι. Πλήρης δὲ πάσης ἦν εἰδωλολατρείας ὁ *Λίβανος*· καὶ τὰς ἐμφιλοχωρούσας αὐτῷ δυνάμεις ὀλεθρίας *αἱ κέδροι* σημαίνουσι, τὰ τῆς πονηρίας ὑψώματα τὰ ἐπαιρόμενα κατὰ τῆς γνώσεως τοῦ Θεοῦ· περὶ ὧν, φησὶν ὁ Δαβίδ· « Συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου. » Σημαίνουσι δὲ καὶ τὰ ἤθη τὰ διακενῆ ἐπαιρόμενα χωρὶς ὑποκειμένων καρπῶν· ἔστι γὰρ ἐπί τινι τῶν πλεονεκτημάτων, εἰ καὶ κακῶς, ὅμως δι' αἰτίαν ἐπαίρεσθαι. Καὶ πῶς οὗτοι, *Λιβάνου*; Πρῶτον μὲν, ὅτι δαιμονιῶδες πᾶν ἔπαρμα· ἔπειτα, ὅτι τὰ ἐπ' ὄρους δένδρα, ἀλλοτρίῳ ὕψει μείζονά πως δοκεῖ. Τοιοῦτοι δὲ καὶ οἱ τοῖς μὴ ἐφ' ἡμῖν ἐπαιρόμενοι. Εὕροις δ' ἂν καὶ *κέδρους* ἐπαινουμένας. « Χορτασθήσονται γὰρ τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσε. » Καὶ « Αἰνοῦσι τὸν Κύριον ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι. » Δείκνυται γὰρ, ὡς οὐδὲν τῇ φύσει κακόν. Παρ' ἑαυτὸν [u] δέ τις ἀλλοτριοῦται Θεοῦ, καὶ συνάπτεται. Αὐταὶ δὲ τοῦ *Λιβάνου* κοπτόμεναι (ὅ περ ἐστὶν εἰδωλολατρείας) εἰς τὴν κατασκευὴν παραλαμβάνονται τοῦ ναοῦ· μένουσαι δὲ κατ' αὐτὴν συντρίβονται. Καθόλου μέν τοι, καὶ τὰ τῶν ζώων ἤθη, καὶ τὰ τῶν φυτῶν εἴδη, εἰς τὸ ποικίλον τῆς προαιρέσεως τῶν ἀνθρώπων λαμβάνεται. *Δένδρον* δὲ *βαλάνου Βασὰν*, σκληρὸν ἦθος δηλοῖ καὶ ἀντίτυπον. Τοὺς δὲ τοιούτους, καὶ ἡ κοινὴ συνήθεια παρεικάζει δρυῖ, ἧς ὁ καρπὸς χοίρων τροφή. Ὅθεν δένδρον αἰσχύνης ὠνόμασται. Τοῦτο γὰρ τὸ *Βασὰν* ἑρμηνεύεται. Κολάζονται οὖν καὶ ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. Κατὰ δὲ τὸ ῥητὸν, χωρίον τοῦτο τῆς Ἰουδαίας εἶναί φασι τὴν *Βασὰν*, τὴν νῦν Βαταναίαν, *δένδρων* ἀρίστην τροφόν. Οὐ μόνον δὲ τὸν ἀσελγῆ βίον, ἀλλὰ καὶ τὴν εἰδωλολατρείαν, αἰσχύνην φησὶν ἡ Γραφή. Ὡς Ἠλιοῦ πρὸς Ἀχαάβ, « Ἀποστεῖλαι, φησὶ, πρὸς αὐτὸν εἰς τὸν Κάρμηλον τοὺς προφήτας, τῆς αἰσχύνης ἄνδρας, οἳ ἤσθιον τὰς τραπέζας Ἰεζαβέλ. » Πλὴν, « Πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν εἰς πῦρ ἐμβάλλεται κοπὲν ἐν τῇ Κυρίου ἡμέρᾳ. » *Καὶ ἐπὶ πᾶν ὄρος*, φησὶ, *καὶ ἐπὶ πάντα βουνόν*. Πονηραὶ δυνάμεις αὐταὶ, μέτρα τῶν

[16] Exod. IV, 10. [17] Gen. XVIII, 27. [18] Isa. XIV, 13. [19] ibid. 14. [20] Psal. XXVIII, 5. [21] Psal. CIII, 16. [22] Psal. CXLVIII, 9, 10.

VARIÆ LECTIONES

[u] γρ. παρ' ἑαυτοῦ.

Digitized by Google

ἀδικημάτων ἔχουσαι τὴν πρὸς ἀλλήλας διαφοράν, ὡς A ciamque significat : quibus qui prædili sunt, *querδρῦ τε* καὶ *βουνοὶ* τοῖς ὑποκειμένοις διαφέροντα. Κακεῖ γὰρ προαίρεσις μία τῷ μεγέθει διάφορος. Ὁ δὲ *πύργος, ὑψηλὸν* σκοπευτήριον πρὸς φυλακὴν πόλεως, καὶ γνῶσιν ἐφόδων πολεμικῶν, ὁποῖος ἡμῖν ὁ νοῦς ἐδόθη παρὰ Θεοῦ, φυλακτικὸς μὲν ἀγαθῶν, προβλέπων δὲ τοὺς ἐπιβουλεύοντας. Οὐ χρὴ δὲ τοῦτον ἐν αὐτῷ [v] διὰ τῶν γηΐνων τὴν εἰς οὐρανὸν ἄνοδον πραγματεύεσθαι. Καταβαίνει γὰρ ὁ Κύριος πρὸς αὐτὸν κάτω πεσόντα διὰ τὸ φρόνημα, διασπῶν ἐπὶ σωτηρίᾳ τὴν πρὸς τὰ κακὰ συμφωνίαν αὐτοῦ· περὶ οὗ τῆς οἰκοδομῆς κελεύει πρῶτον ψηφίζειν ὁ Κύριος, εἶτα [x] πρὸς ἀπαρτισμὸν ἐκτησάμεθα. Τοῦτον ὑψηλοφρονοῦντα δεδιέναι δεῖν *τὴν ἡμέραν Κυρίου* φησίν. Καὶ *τὸ τεῖχος* δὲ φυλάττον πόλιν, τῶν πολεμίων τὰς προσβολὰς ἀποκρούεται.

cui plurimum, cujus *glande* sues vescuntur comparantur : unde et turpitudinis arbor ipsa nuncupatur. Hoc enim, si nominis rationem postulas, *Basan* significat. Et ipsi ergo plectuntur, quorum gloria in sua ipsorum turpitudine versatur. Definite si quæras, *Basan* Judæa locum esse volunt alio nunc Batanæam nomine, arboribus nutriendis aptum maxime et fecundum. Neque vero solam vitæ lasciviam; sed ipsam etiam idololatriam turpitudinis nomine Scriptura significat. Elia sic Achabum alloquente : « Mitte ad ipsum in Carmeli montem prophetas, turpitudinis viros, qui comederunt de mensa Jezabel [23]. » At vero : » Omnis arbor, quæ bonos fructus non facit, excidetur in B die Domini, et in ignem mittetur [24]. » *Et super omnem montem*, addit, *et super omnem collem* : quibus verbis ipsæ significantur malæ potestates quæ iniquitatum magnitudine discrepant inter se, non secus ac montes ipsi, *collesque* subjectorum mensura differunt. Nam et ibi unum est institutum, unaque intentio; sed magnitudine dispar. *Turris* autem *excelsa* ipsa est ad urbis salutem, hostiumque prospiciendum accessum comparata specula : qualis quæ nobis a Deo ad bonarum rerum observationem, malarumque vitationem collata mens est. Eam vero non decet de reditu sibi in cœlum terrenis rebus comparando, laborare. Ad ipsam enim, si fastum deponat, descendit Dominus; ut salutis ergo ejus ad mala consensum dissipet. De *turris* hujus ædificatione cogitantem jubet primum subducta ratione videre Dominus, si quæ sunt ad integram constructionem necessaria, comparata habemus. Eamdem rursum, si superbe elateque sentiat, *diem Domini* timere debere ait. Quin et *murus* **57** ipse ad urbis custodiam factus, hostium propulsat impetus.

Οὕτω καὶ λόγων τῶν ἐν ἡμῖν, οἱ μὲν τῶν τῆς ἀληθείας δογμάτων φυλακτικοί, τῷ νῷ πρὸς τὸ μὴ καθαιρεῖσθαι τὰ δόγματα περικείμενοι· οἱ δὲ πρὸς ὀχύρωσιν ψεύδους, καὶ φυλακὴν ματαιότητος ἐκ τῆς ἔξωθεν ἐπινοίας ἐπιτηδευόμενοι. *Τεῖχος* γὰρ ἡ διαλεκτικὴ, μὴ συγχωροῦσα τοῖς βουλομένοις διαρπᾶσαί τε καὶ διαλῦσαι τὰ δόγματα. Διὸ τὰ μὲν τῆς Ἱερουσαλὴμ τείχη ἐπὶ τῶν χειρῶν ἀναγέγραπται τοῦ Κυρίου· τὰ δὲ Ἱεριχοῦς ὑπὸ Ἰησοῦ καθαιρεῖται φωνῇ μόνῃ διαλυόμενα. Ἄνω μὲν οὖν μόνα κατηγορεῖται *τὰ ὑψηλά*. Ἐνταῦθα δὲ, καὶ τὰ ἰσχύν τινα μετὰ *τοῦ ὕψους* ἔχοντα τὴν ἐν ταῖς ἀποδεικτικαῖς μεθόδοις ἐπὶ πολὺ κραταιωθεῖσαν πιθανότητα, καὶ *ὑψωθεῖσαν, τεῖχος ὑψηλὸν* τροπικῶς λέγοντος τοῦ προφήτου διαβεβαιουμένου *ἐν ἡμέρᾳ Κυρίου* τοῦτο καθαιρεθήσεσθαι. Γυμνασίας δὲ χάριν διὰ ὀνομάτων αὐτὰ παραδίδωσιν ἡ Γραφὴ μηδὲν εἰκῇ προσίεσθαι, μηδὲ τὸν νοῦν ἔχειν χαμαὶ συνεθίζουσα. Μετὰ δὲ τὸν ὑψηλόφρονα νοῦν, καὶ τοῖς ταπεινοῖς οὐ συναπαγόμενον, καὶ περὶ σωμάτων αὖθις αἰνίττεται, *πλοῖα* ταῦτα *θαλάσσης* εἰπών. Οὐ τοῖς ἀψύχοις γὰρ φοβερὰ ἡ τοῦ *Κυρίου ἡμέρα*· τοῖς δὲ διὰ τῶν σωμάτων ἐν τῷ ἁλμυρῷ τοῦ βίου τοῦ τούτου κλύδωνι σαλευομένοις, ὃν δὴ καταπατοῦσιν οἱ ἐν σαρκὶ ζῶντες, καὶ μὴ κατὰ σάρκα στρατευόμενοι, ποιοῦντες ἐργασίαν ἐν ὕδασιν πολλοῖς, ὅτε καὶ τῷ βίῳ συγκαταβαίνουσιν ἐπὶ τὸ τῶν βεβυθισμένων κερδάναι τινὰς. Διὸ εἴδοσαν τὰ ἔργα Κυρίου, μισθὸν τῆς ἐργα-

Sic et doctrinarum, quæ in nobis sunt, aliæ quidem ad verorum dogmatum præsidium faciunt, mentemque cingunt, ne dogmata tollantur : aliæ vero ad falsitatis assertionem, vanitatisque studium C retinendum, depromptis ab externis rationibus comparantur. *Murus* enim ars est ipsa disserendi, eos, qui dogmata diripere, et dissolvere conantur, propulsans. Inde et urbis Hierosolymitanæ muri in Domini manibus descripti esse dicuntur [25]; Jerichuntinæ autem sola Josue voce dejecti, prostratique. Superius ergo, *excelsa* quæ essent, sola reprehensa sunt : hic autem, quæ robur aliquod *celsitudini* conjunctum nacta sunt, id est, qui persuadendi facultate potentes attolluntur, *excelsi muri* nomine et ipsi, figurato dicendi genere, a propheta designati, in *die Domini* perdendi veniunt. Sunt vero exercitationis gratia involucris ista per Scripturam tradita; quo temere nulli ad eam accedendum esse, nec humilium rerum contemplationi D mentem debere occupari significetur. Quia vero animi elationem, quæ humilibus non commoveatur, exagitavit; de ipsis etiam corporibus obscure rursum disputat, cum ea *naves maris* appellat. Neque enim iis metuenda *Domini dies* esse potest, qui sensus facultate destituuntur : sed iis, qui in corporibus, hujus vitæ, tanquam *Maris* tempestatibus, agitantur; quas facile contemnunt, qui in carne viventes, ejus imperantis castra non sequun-

[23] III Reg. XVIII, 19. [24] Matth. III, 10. [25] Isa. XLIX, 16.

VARIÆ LECTIONES.

[v] *Ισ. γρ.* ἑαυτῷ. [x] *γρ.* εἰ τό.

Digitized by Google

tur; sed in aquis multis operationem faciunt [16], ideoque ad vitæ commoda sese demittunt, ut eorum, qui in profundo demersi sunt, aliquos lucrentur : unde opera Domini vidisse, id est, rei gestæ mercedem, divinorum operum, rerumque in profundo mirabilium cognitionem percepisse dicuntur. Minitatur autem et iis, quibus corpora studiosius ornare, eaque etiam intuendo voluptate nimis anxie incitari gratum est. Neque enim est *navium* aspectus metuendus; sed corporum, quæ ad voluptatem expetuntur, contemplatio. Ut autem quæ superius dicta sunt, ænigmata esse doceret, addidit : *Et humiliabitur omnis homo;* **58** idem penitus, ac si omne malorum genus ab homine depulsum iri diceret. *Solus* vero, ait, *exaltabitur Dominus.* Luce enim exorta, tenebras fugari, sicut et veritate demonstrata, mendacii naturam argui, quæque prius *excelsa sublimiaque* videbantur (cunctis hominibus uni Deo propriam et *peculiarem* esse *celsitudinem* testantibus) despici facile et contemni necesse est. Mistim autem utrumque Christi adventum prophetæ complexa est oratio. De altero enim, quæ superius dicta sunt, intelliguntur; quæ vero de idolis adjecta, de priore, quo eadem lapides et ligna censentur exsistere. Crucis vero etiam aspectum et nomen dæmones refugiunt. Nec a secundo tamen penitus dissidet oratio, si quis ad integrum impietatis spectet interitum. Idola porro, eas etiam, quas sibi de falsis dogmatibus quisque fingit, opiniones esse dicebamus. Posteaquam ergo vera lux illuxit, abdicato quisque peculiarium dogmatum studio ista rejicere, et tanquam in speluncis *cavernisque occultare* festinabit, tum autem vel maxime, cum iram Dei terrena ipsa, ut spiritualia manifestentur, confringere, et luto constantem imaginem, ut cœlestis altera appareat, perdere videbit. Cæterum qui prius idola *absconderunt*, tandem et ipsa abjiciunt. Decet enim primum errore notato pudore affici; deinde ipsum a corde rejicere. Sunt porro *argentea idola*, falsa dogmata, quæ plausibilibus verbis asseruntur : *aurea* vero, quæ in mente contra veritatem reconduntur cogitationes. *Adorare* rursum *vespertiliones* is dicitur, qui dæmonum potentiæ, tenebris alioquin cognatæ, divinitatis aliquid tribuit : a quibus qui se cupit revocari, *foramina firmæ petræ* ingredi quærat necesse est, quæ sola pro fidei in Christum modulo, solent aperiri. Significant porro *scissuræ petrarum*, corporis ipsius passionem, ad quam confugere, quibus salutis cura est, eaque, tanquam tegumento, includi, celarique perpetuo omnes exoptant. Cæterum, si litteram spectes, fugientes, latebrasque quærentes Judæos valde ridiculos fecerit, deorumque **59** quibus serviebant, imbecillem infirmamque potentiam stolide

σίας τὴν σύνεσιν τῶν ἔργων Κυρίου, καὶ τῶν ἐν τῷ βυθῷ θαυμασίων λαμβάνοντες. Ἀπειλεῖ δὲ καὶ τοῖς τὰ σώματα καλλωπίζουσιν, καὶ περὶ τὴν τούτων θέαν περιέργως ἐπτοημένοις. Οὐ γὰρ ἡ τῶν πλοίων θέα φοβερά· ἀλλ' ἡ πρὸς ἐπιθυμίαν τοῦ σώματος κατανόησις. Ὅτι δὲ τὰ περὶ τῶν προειρημένων ἐστὶν αἰνίγματα, δεδήλωκεν εἰπών· *καὶ ταπεινωθήσεται πᾶς ἄνθρωπος* τοῦτ' ἔστι πᾶσα ἰδέα τῶν ἐν ἀνθρώποις κακῶν καταπεσεῖται. *Μόνος* δέ φησιν *ὁ Κύριος ὑψωθήσεται.* Φωτὸς γὰρ ἀναφανέντος, ἀφανίζεται σκότος, καὶ ἀληθείας ἀποδειχθείσης, ἡ τοῦ ψεύδους φύσις ἐλέγχεται. Καὶ πάσης τῆς ἀληθινῆς θεωρίας καταληφθείσης, εὐκαταφρόνητα τὰ δοκοῦντα πρὶν *ὑψηλὰ καὶ μετέωρα*, πάσης λογικῆς φύσεως *τὸ ὕψος μόνον* μαρτυρούσης Θεῷ. Ἐπιπεπλεγμένως δὲ περὶ τῶν δύο τοῦ Κυρίου παρουσιῶν ἡ Γραφὴ διαλέγεται. Τὰ μὲν γὰρ προειρημένα, περὶ τῆς δευτέρας. Τὰ δὲ περὶ τῶν εἰδώλων ἐπιφερόμενα, περὶ τῆς πρώτης, ἀφ' ἧς τὰ εἴδωλα, ξύλα καὶ λίθοι νομίζεται. Σταυροῦ δὲ καὶ θέαν καὶ τοὔνομα φεύγουσι δαίμονες. Οὐκ ἀπᾴδει δὲ παντελῶς οὐδὲ τῆς δευτέρας ὁ λόγος, ἤτις [y] πρὸς τὴν τελείαν τῆς ἀσεβείας ἴδοι καθαίρεσιν. Εἴδωλα δὲ, καὶ τὰς ἐντυπωθείσας περὶ ψευδῶν δογμάτων φαντασίας ἐλέγομεν. Τοῦ τοίνυν ἀληθινοῦ φανέντος φωτὸς, ἕκαστος τῶν ἰδίων δογμάτων κατεγνωκὼς, ἐξαφανίσαι ταῦτα σπουδάσει ἐν οἰονεὶ *σπηλαίοις καὶ τρώγλαις ἐγκατακρύψας* αὐτὰ, ὁρῶν ἐκ τῆς ἐνεργείας τὰ φοβερὰ τοῦ Θεοῦ θραύοντος τὰ ὑλικά τε καὶ γήϊνα πρὸς τὴν τῶν πνευματικῶν ἤδη φανέρωσιν, καὶ ὡς δεῖ, ἐξαφανισθῆναι τοῦ χοϊκοῦ τὴν εἰκόνα, ἵνα ἡ τοῦ ἐπ' οὐρανίου ἀναφανῇ. Ἀλλ' οἱ τὸ πρῶτον τὰ εἴδωλα *κατακρύψαντες*, ὕστερον ἐκβάλλουσιν. Δεῖ γὰρ πρῶτον ἐπαισχυνθῆναι τῷ ψεύδει, εἶτα καὶ ἐκβαλεῖν τῆς καρδίας. Καὶ *ἀργυρᾶ* μὲν *εἴδωλα*, τὰ λόγοις πιθανοῖς ψευδῆ συγκείμενα δόγματα. *Χρυσᾶ* δὲ, οἱ ἐν τῇ διανοίᾳ περὶ τοῦ ψευδοῦς ἐναποκείμενοι [z]. *Προσκυνεῖ* δὲ τὰς *νυκτερίδας* ὁ τὴν τῶν δαιμόνων τὴν δύναμιν συγγενῆ οὖσαν τῷ σκότῳ θεοποιῶν· ὧν τις παυσάμενος *εἰς τὰς τρώγλας εἰσελθεῖν τῆς στερεᾶς πέτρας* ζητήσειεν. Μόναι δὲ αὗται κατὰ τὴν ἀναλογίαν τῆς εἰς Χριστὸν πίστεως διαιρούμεναι. *Σχισμαὶ δὲ πετρῶν*, τοῦ σώματος αὐτοῦ τὸ πάθος σημαίνουσιν, ᾧ προσφυγεῖν καὶ ἐγκατακρυφθῆναι τῇ σκέπῃ πάντες εὔχονται διαπαντὸς οἱ σωζόμενοι· κατὰ δὲ τὸν [a] ῥητὸν, γέλωτος ἀξίαν τὴν τῶν Ἰουδαίων ἀποφαίνεται σκέψιν, εἰ κατακρύπτουσι τοὺς θεοὺς καὶ σώζειν τοὺς προσκυνουμένους ἐπείγονται, τὸ τούτων ἀδρανὲς οἷς ποιοῦσι σημαίνοντες, μὴ σὺν αὐτοῖς αἰχμάλωτοι τοῖς πολεμίοις γενήσονται. Οὐδὲν γὰρ ἀπώναντο τῶν εἰδώλων οἱ ταῦτα κατασκευάσαντες. Καὶ τάχα που *ταῖς νυκτερίσιν* ἀνεδείμαντο τοὺς ναούς. Ἐμφιλοχωρεῖ γὰρ τοῖς ἀφεγγέσι τόποις τὸ ζῶον, οὗ δὴ καὶ δυσωδίας πλήρει. Ἀναλογίσονται τοίνυν [b]

[16] Psal. cvi, 23.

VARIÆ LECTIONES

[y] γρ. εἴτις. [z] *al. lect.* λογισμοί. [a] γρ. τό. [b] *al. lect.* δαίμοσιν.

Digitized by Google

ὅτι δὴ μᾶλλον *νυκτερίσι προσεκύνουν* τοῖς εἰδώλοις ἐμφωλευούσαις αἴσθησιν ἐχούσαις [c] τοῖ; τούτων καταγωγίοις ἀναισθήτοις ὑπάρχουσιν. Συγκατορύττεσθαι δὲ τοῖς ἑαυτῶν θεοῖς ἐσπουδάκασιν, ἀλλ' οὐ μετὰ Θεοῦ τῶν ὅλων ὄντες ἐκρύπτοντο, ἀλλ' ὁ [d] Φαραὼ διώκων κατεποντίζετο. Ἀλλ' οὐδὲ Ῥαψάκου ταῖς ἀπειλαῖς μανέντος ὁ Θεὸς ἀπεκρύπτετο τὸν ἀσεβῆ τιμωρούμενος. Inter dæmonas igitur reputabuntur, quod *vespertiliones* anima præditos idolis incubantes, potius adorarent, quam eorum latibula, quæ sensu carent. Studuerunt vero cum suis ipsi Deis defodi, sed non eo tempore latuerunt, cum Deo universorum duce, a Pharaone liberati sunt ipse autem instans a tergo mari absorptus[27]; imo nec eo tempore occultatus est Dominus, quo impium et furentem Rapsacem ultus est[28].

A prodentes; qui eosdem occultare, et ne a militibus captivi secum ducerentur, eripere conari dixerit. Nihil enim ab idolis adjumenti quidquam sentiebant, qui illa fabricant. Fortasse etiam et *vesperlionibus* ipsis alicubi templa construxerant. Gaudent enim locis tenebrosis et cæcis hoc genus animalis, eaque etiam tetro gravique odore solet inficere.

ΚΕΦΑΛ. Γ'.

α-τα'. *Ἰδοὺ δὴ ὁ Δεσπότης Κύριος Σαβαὼθ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας, καὶ ἀπὸ Ἱερουσαλὴμ ἰσχύοντα καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου, καὶ ἰσχὺν ὕδατος. Γίγαντα καὶ ἰσχύοντα, καὶ ἄνθρωπον πολεμιστὴν*, κ. τ. λ.

Εἰπὼν περὶ τῆς ἡμέρας τῆς ἐκδικήσεως, νῦν ἐξ ἑτέρας ἀρχῆς ἀφαίρεσιν ἀπειλεῖ τῶν ἐν τῷ προτέρῳ λαῷ τῶν [e] τοῦ Θεοῦ χαρισμάτων, οὐ δι' εἰδωλολατρείαν εἰπὼν, οὐ δι' ἄλλας ἀφαιρεθήσεσθαι πράξεις, διὰ δὲ *τὴν βουλὴν, ἣν κατὰ τοῦ δικαίου*, φησὶν, *ἐβουλεύσαντο*. Τοὺς προφήτας γὰρ ἀποκτείναντες, τέλος καὶ τῷ Δεσπότῃ πάντων ἀσεβῶς ἐπεμάνησαν, τὸν ἀρχηγὸν τῆς ζωῆς, ὅσον ἦκεν εἰς αὐτοὺς, ἀποκτείναντες, *ἀφαιρεῖ* δὲ πρῶτον *ἰσχύοντα καὶ ἰσχύουσαν*, κατὰ δὲ Ἀκύλαν, *ἔρεισμα καὶ ἐρεισμόν*. Κατὰ δὲ τὸν Σύμμαχον, *Στήριγμα καὶ στηριγμὸν*, δηλῶν, κατὰ τὸν λόγον τὸν ἀποστολικὸν, τοὺς κατὰ Θεὸν διαπρέποντας, οὓς καλεῖ στύλους καὶ ἑδραιώματα. Τοιούτους γὰρ εἶχεν καὶ ὁ πάλαι λαὸς *ἰσχύειν* [f] δὲ καὶ ὁ θείᾳ ῥοπῇ κρατῶν τῶν παθῶν. Τοιοῦτος δὲ νῦν παρ' Ἰουδαίοις οὐδείς. Οὐ γὰρ δύνανται λέγειν, « Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. » Ἠσθένησαν γὰρ τῇ διὰ τὸν σταυρὸν ἀπιστίᾳ.

Ὁ γὰρ μὴ ἔχων τὸν Χριστὸν, τὴν τοῦ Θεοῦ *δύναμιν, τὴν ἰσχὺν*, οὐκ ἔχει. *Ἰσχύν τε ἄρτου*, φησὶ, καὶ *ἰσχὺν ὕδατος*. Οὐκ ἄρτον οὔτε ὕδωρ ἁπλῶς, ἀλλ' ἰσχὺν ὁ δὴ προφήτης ἄλλος ἡρμήνευσεν εἰπών· « Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἀποστελῶ λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐ δὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου, » ὧν νομίζουσι μεταλαμβάνειν ἐν τῷ διέρχεσθαι τὰς θείας Γραφὰς, φιλοκαλεῖν τε τὴν τούτων ἐκμάθησιν, οὐκ ἔχοντες τὴν τῶν θρεπτικῶν λόγων *ἰσχὺν*, καὶ πηγῆς τῆς ζωοποιοῦ. Ἄρτου δὲ περὶ οὗ φησιν ὁ Δαβὶδ, « Ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. » Καὶ *ὑδάτων* περὶ ὧν φησιν ὁ προφήτης· « Ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ Σωτηρίου. « Καὶ ὁ Σωτὴρ, « Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. » Καὶ πάλιν, « Ἡ σάρξ μου, φησὶν, ἀληθῶς ἐστὶ βρῶσις, καὶ τὸ αἷμά μου ἀληθῶς ἐστὶ πόσις. »

60 CAP. III.

VERS. 1-11. *Ecce sane dominator Dominus exercituum auferet a Judæa et ab Jerusalem validum et validam, robur panis, et robur aquæ, gigantem, et robustum, et hominem bellatorem*, etc.

Absoluto de ultionis die sermone, alium jam, non idololatriæ, non aliorum scelerum, sed hoc tantum nomine, quod *adversus justum*, ut ait, *consilium inierunt*, de donis a veteri populo auferendis, exorditur. Prophetis enim trucidatis, tandem et in Dominum ipsum omnium, impie maxime furere ausi sunt, Auctoremque vitæ, quantum in ipsis fuit, vita privare. *Auferet* vero imprimis *validum et validam : aut fulcimentum et firmitudinem*, ut Aquilæ vertenti placet, aut, *firmamentum et firmitatem*, ut Symmachus ; id est, pietate in Deum illustres columnas, et firmamenta, ut Apostoli verbis utamur [29]. Tales enim etiam olim priscus ille habuit populus : sed tum maxime, cum *validus* esset, Deoque adjutore suis affectibus superior. At jam, qui talem se præstet, inter Judæos invenias nullum. Non enim jam « Omnia possum in Christo, qui me confortat [30], » dicere queant. Sunt enim eorum, quia crucis fidem non amplectuntur, **61** prostratæ et dejectæ vires.

Quoniam qui Christum non possidet, frustra a Deo *virtutem et robur* exspectat. Quod autem *robur panis, et robur aquæ* : non panem et aquam simpliciter dixit propheta ; alius his verbis est interpretatus: « Ecce venit dies, ait Dominus, et mittam famem in terram, non famem panis, aut sitim aquæ, sed famem audiendi verba Domini [31] : » quorum se fore participes putant, qui sacras Scripturas evolventes, in eas discendi studio incumbunt, nutrientis alioquin *robore* verbi, *aquaque* vivifica destituti. *Panem* porro intelligit illum ipsum, de quo sic locutus est David : « Panem cœli dedit eis [32] » *Aquas* item, de quibus ait propheta his verbis : « Haurite aquam cum gaudio de fontibus Salvatoris [33]. » Et Salvator ipse : « Qui biberit ex aqua, quam dabo ei, fiet fons aquæ salientis in vitam æternam [34]. » Et iterum : « Caro mea vere est cibus,

[27] Exod. XIV, 27 seqq. [28] IV Reg. XIX, 35, 36 ; Isa. XXXVII, 36. [29] Gal. II, 9. [30] Philipp. IV, 13. [31] Amos VIII, 11. [32] Psal. LXXVII, 24. [33] Isa. XII, 3. [34] Joan. IV, 14.

VARIÆ LECTIONES.

[c] *Al. Isa.* ἧ. [d] *Isa.* ὅταν. [e] *Ἀφ.* τῶν. [f] *Al.* ἰσχύων.

Digitized by Google

et sanguis meus vere est potus [35] ; » quibus qui carent, ne se quidem *panis et aquæ robur* habere somniare audeant ; sed imbecillibus se cibis, et ad vitam roborandam impotentibus vesci fateantur necesse est. Defecit vero ab eis et ipsa spiritus prophetici virtus, cujus siti torquentur tantopere. Est præterea apud nos etiam cibi genus ad nutritionem quidem impotens, sed mortem tamen arcens, vitamque protrahens, cujusmodi Corinthiis infantibus legitur appositus [36]. Quin et olera infirmorum cibus sunt. Perfectorum enim tantum ille est, qui solidus dicitur [37]. Decet vero oculos adaperire, *ut isto pane*, istaque *aqua* impleamur. « Aperi enim, ait, oculos tuos et saturare panibus [38]. » Agaram præterea aperuisse oculos, aquamque vidisse legimus [39]. Aliter etiam Judæis *ablatum* esse *vivificum panem* dicere possumus ; illum nempe, qui mundo vitam dedit : *aliam* item *ablatam* sacri scilicet baptismatis *aquam*, virtutemque ipsam, quæ peccata remittere, et Spiritus renovatione Christo conformes reddere, liberamque in cœli regiam ingrediendi facultatem præbere solet. « Nisi enim quis, ait, renatus fuerit ex aqua et Spiritu, non potest ingredi in regnum cœlorum [40]. » *Gigantem* autem, neque Hebræus ipse sermo, **62** neque reliquorum quisquam interpretum posuit : sed hujus loco Aquilas quidem *potentem* ; Symmachus vero *fortem* ; Theodotio denique *dynastem* , quasi præfectum, vel præpotentem Latine dicas. Quanquam tamen *gigantis* nomen in bonam usurpari partem hoc loco reperiamus : sicut et illic : « Exsultavit ut gigas, ad currendam viam [41]. » Significat autem *gigantis* appellatio hominem illum, qui summum spiritualis fortitudinis fastigium sit adeptus. *Fortis* autem, sive *potens*, eum ipsum, qui paulo factus inferior, et ea etiam, quæ in illo cogitatio celsitudine superatur ; quia unicuique a Deo gratiæ tributam esse mensuram certum sit [42]. Ait enim Paulus : « Velim quidem omnes homines esse sicut meipsum. Sed unusquisque vestrum proprium donum habet ex Deo ; alius quidem sic ; alius autem sic [43]. » Potest vero et aliud *gigas* significare ; eum nempe, qui naturæ beneficio ad perceptionem doctrinæ, aut virtutis exercitationem, eximium quid privatim consecutus est. Naturale enim *gigantum robur* est. At *fortis* eum qui cura tantum et labore, quod est a natura tributum, perficit et complet. Neque vero apud Judæos ulli restant amplius *bellatores*, quia militaribus catalogis nulli jam conscribuntur : sed voluptatum victi illecebris, animæque affectibus, et contrariis rationibus, superiores jam non evadere modo, sed ne mente quidem, quod justum est, vel agitare vel statuere queunt. Deo enim rectore, et ad id, quod æquum est, duce, ita destituuntur ; ut

Θής ἐστι βρῶσις, καὶ τὸ αἷμά μου ἀληθής ἐστι πόσις· » ἃ μὴ ἔχοντες, οὐκ εἶχον *ἰσχὺν ἄρτου καὶ ὕδατος*. Ἐξ ἀσθενῶν δὲ τροφῶν, ἀσθενεῖς οἱ τρεφόμενοι. Ἐπέλιπε δὲ αὐτοῖς καὶ ἡ ἰσχὺς τοῦ προφητικοῦ πνεύματος, καὶ κατάδηλοι τούτου τυγχάνουσιν. Ἔστι δὲ καὶ παρ' ἡμῖν τροφὴ ἰσχὺν μὲν οὐκ ἐμποιοῦσα, κωλύουσα δὲ τελευτᾶν· ἧς οἱ Κορίνθιοι νήπιοι ὄντες μετέλαβον. Ἀλλὰ καὶ λάχανα ἀσθενούντων τροφή. Τελείων γὰρ ἦν στερεὰ τροφή. Δεῖ δὲ τοὺς ὀφθαλμοὺς ἀνοῖξαι πρὸς τὸ τοιούτου ἐμπλησθῆναι *ἄρτου καὶ ὕδατος*. « Διάνοιξον γάρ, φησὶ, τοὺς ὀφθαλμούς σου, καὶ ἐμπλήσθητι ἄρτων. » Καὶ διηνοίγησαν, φησὶ, τῆς Ἄγαρ οἱ ὀφθαλμοὶ, καὶ ἴδεν τὸ ὕδωρ. Καὶ ἄλλως δὲ τῶν Ἰουδαίων ἀφῄρηται ὁ ζωοποιὸς *ἄρτος*, ὃς δίδωσι τῷ κόσμῳ ζωὴν, καὶ τὸ ὕδωρ τοῦ ἁγίου βαπτίσματος, καὶ ἡ *ἰσχὺς* αὐτοῦ ἡ τῶν ἁμαρτιῶν ἀπόθεσις, ἡ πνευματικὴ ἀνακίνησις [c] ἡ συμμόρφους ἐργαζομένη Χριστοῦ, καὶ τὸ παῤῥησίαν ἔχειν εἰς οὐρανῶν βασιλείαν· « Ἐὰν γάρ τις, φησὶ, μὴ γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος, οὐ δύναται εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » *Γίγαντα* δὲ, οὔτε τῶν Ἑβραίων ἡ φωνὴ, οὔτε οἱ λοιποὶ τῶν ἑρμηνευσάντων ὠνόμασαν· ἀντὶ δὲ τούτου, Ἀκύλας μὲν *δύνατον*, ὁ δὲ Σύμμαχος *ἀνδρεῖον*, ὁ δὲ Θεοδοτίων *δυνάστην* ἐξέδωκαν. Πλὴν ἐπὶ καλοῦ τὴν *γίγαντος* ἐνταῦθα προσηγορίαν εὑρίσκομεν, ὡς κἂν τῷ· « Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδόν. » Δηλοῖ δὲ τὸν εἰς ἄκρον ἰσχύος ἐλθόντα πνευματικῆς. *Ἰσχύοντα* δὲ, τὸν ὑποδεδηκότα βραχὺ, καὶ τῆς ἐν ἐκείνῳ νοουμένης ὑπεροχῆς ἐλαττούμενον. Ἑκάστῳ γὰρ δέδοται χάριτος μέτρον παρὰ Θεοῦ. Φησὶν γὰρ ὁ Παῦλος, « Θέλω δὲ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν. Ἀλλ' ἕκαστος ὑμῶν ἴδιον ἔχει χάρισμα ἀπὸ Θεοῦ, ὁ μὲν οὕτως, ὁ δὲ οὕτως. » Δύναιτο δ' ἂν καὶ ἄλλως *γίγας* μὲν δηλοῦν τὸν ἐκ φύσεως ἔχοντα προτερήματα εἰς ἀνάληψιν ἐπιστήμης, ἢ πρὸς ἄσκησιν ἀρετῆς· φυσικὴ γὰρ ἡ τῶν *γιγάντων ἰσχὺς*, *ἰσχύων* δὲ, τὸν ἐκ μελέτης καὶ πόνων τὸ ἐκ φύσεως ἀγαθὸν τελειώσαντα. Οὐκ ἔτι δὲ παρ' Ἰουδαίοις *πολεμισταί*· οὐδὲ γὰρ ἐναριθμοῦνται τοῖς στρατιωτικοῖς καταλόγοις. Νικῶνται δὲ ταῖς ἡδοναῖς καὶ πάθεσι ψυχικοῖς, καὶ λόγοις ἐναντίοις, κρατεῖν οὐκέτι δυνάμενοι· ἀλλ' οὐδὲ ταῖς κατὰ νοῦν δικάζειν ἐννοίαις. Οὐκ ἔχουσι γὰρ τὸν κατευθύνοντα πρὸς τὸ δέον Θεόν· ἀλλ' οὐδὲ περὶ τῶν προσπιπτόντων κρίνειν ἴσασιν, ὅπερ ἀρέσκον ἐστὶν αὐτῷ. Οὕτοι δὲ καὶ παρεδόθησαν *δικασταῖς* τοῖς αἰχμαλωτίσασιν αὐτοὺς, αὐτοὶ μηκέτι δικάζοντες· καὶ ἐν Ἐκκλησίᾳ δὲ *πολεμισταὶ* μὲν, οἱ τὴν τοῦ Κυρίου πανοπλίαν ἀναλαμβάνοντες, καὶ πρὸς τὰς τοῦ διαβόλου μεθοδίας γενναίως ἱστάμενοι, συγκακοπαθοῦντες τῷ Εὐαγγελίῳ, καὶ μὴ ἐμπλεκόμενοι ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσωσιν. *Δικασταὶ* δὲ οἱ τοὺς ἀδελφοὺς συμβιβάζοντες, ἀφ' ὧν καὶ ὁ κόσμος

[35] Joan. VI, 56. [36] I Cor. III, 1, 2. [37] Hebr. V, 12. [38] Prov. XXV, 13. [39] Gen. XXI, 19. [40] Joan. III, 5. [41] Psal. XVIII, 6. [42] Ephes. IV, 17. [43] I Cor. VII, 7.

VARIÆ LECTIONES.

[c] γρ. ἀναχαίνωσις.

Digitized by Google

κρίνεται, οἳ καὶ ἀγγέλους κρινοῦσιν. Ἐὰν δὲ μὴ ὦσιν, ἀλλ' ἐπὶ τῶν ἀπίστων κρίνονται δι' ἀπορίαν ἁγίων· καὶ οὕτω σημεῖον ἐγκαταλείψεως.

cupiditate tenentur : ii denique, qui *pestes* hominum nefaria verbis docent, aut ad peccandum provocant. *Exsultat* autem in terrena Jerusalem, quicunque ex carnis instituto vitam agens Judæus, ad illam minime, quæ beatis reposita est, gratiam attendit. *Humiliatur* vero *homo* simpliciter ille quidem, qui communium notitiarum, et virtutis ope, quam a prima accepit conformatione, altior evasit, per eum, quem habet cum inferioribus consensum. Sed qui viri nomine jam dignus evasit, si perturbationibus frangatur, eo non solum quod commune habet simpliciter, sed illo etiam quod exercitatione sibi comparavit, bono multatus, *ignominia afficitur*. » Quicunque enim, ait Regum primo, glorificaverit me, glorificabo eum : qui autem contemnunt me, erunt ignobiles [87]. » Contemnit vero Deum, qui mandata illius transgreditur. Dicuntur eorum porro oculi *sublimes*, quorum in altum attollitur cogitatio. Rerum siquidem omnium opificem contemplati, et iis, quæ sub sensum cadunt, superiores effecti, opinionis errore, terrenarumque rerum studio delectati, merito *depressi esse* dicuntur. *Exaltatur* autem in *judicio Deus*, propter justam, de quibus dictum est, meritorum retributionem. *Deum* præterea singulis rebus bene gestis *exaltamus*. Quidquid enim bene gerimus, totum ipso nobis auctore et adjutore gerimus. Itaque ait : « Exaltabo te, Domine, quoniam assumpsisti me [88]. » Eumdem rursus *exaltamus*, cum ipsius sapientiam, potentiam et judicia contemplamur; non secus ac de justo dicitur : « Altitudines Dei in gutture ipsius [89]. » Qui porro in judiciis *exaltatum Dominum* contemplatur; idem et *gloriam* justitiæ ipsius intuetur. Cæterum pro eo quod est : *Et pascentur direpti tanquam tauri*; Symmachus habet : *Pascentur agni juxta ordinem suum. Iniquorum autem deserta advenæ depascent.* Quæ tandem etiam contigisse certum est. Populi enim principibus, tanquam *tauris*, armentorum ducibus, alio abactis per variasque gentes *distractis*, *desertas* eorum regiones accolæ quidam et inquilini occuparunt; quod et his verbis monebat, cum diceret : *Et regionem vestram coram vobis alieni depascent.* A quibus illa plane discrepabant, quæ suo pro populo decertare solitus erat Dominus. Nunc autem per alium prophetam ait Deus : « Racemate, racemate, inquam, quasi vineam, reliquias Israel. Convertite, tanquam vindemiator ad cartallum suum [90]. » Significat ergo et hic, eos, qui a Judæis quondam *direpti fuerant*, cum bella Dominus pro eis gereret, Judæos ipsos esse *depasturos*, *tauris* robore non dissimiles. *Ait* præterea : *Et deserta*, obsessorum herbam videlicet, quæ multa crescit in deserto, gentium *agnos esse depasturos*; *taurorum* quidem nomine robore præstantes, *agnorum* vero, eos, qui tales non sint, intelligens. Talia porro patimur, cum ab adversariis potestatibus bello superati, nul-

τες πονηρὰ λόγοις, ἢ τῷ πρὸς ἁμαρτίαν ἐρεθισμῷ. Ἀγαλλιᾶται δὲ ἐν Ἱερουσαλὴμ τῇ γηΐνῃ, ὁ κατὰ σάρκα ζῶν Ἰουδαῖος, πρὸς τὴν ἀποκειμένην τοῖς ἁγίοις μὴ βλέπων μακαριότητα. *Ταπεινοῦται* δὲ *ἄνθρωπος* μὲν ἁπλῶς ὁ κατὰ τὰς κοινὰς ἐννοίας μείζων, καὶ τὴν δύναμιν τὴν ἐκ πρώτης αὐτῷ δοθεῖσαν κατασκευῆς, διὰ τὴν πρὸς τὰ κάτω συμπάθειαν. Ὁ δὲ καταξιωθεὶς ἤδη χρηματίζειν ἀνὴρ, πρὸς τὰ πάθη μαλακιζόμενος, *ἀτιμάζεται* ζημιωθεὶς οὐ τὸ κοινὸν ἁπλῶς, ἀλλὰ καὶ τὸ ἐξ ἀσκήσεως αὐτῷ γεγονὸς ἀγαθόν. « Τοὺς γὰρ δοξάζοντάς με, δοξάσω· καὶ οἱ ἐξουθενοῦντές με, ἀτιμασθήσονται, » φησὶν ἐν πρώτῃ Βασιλειῶν. Ἐξουθενεῖ δὲ Θεὸν ὁ παραβαίνων τὰς ἐντολάς. *Ὀφθαλμοὶ* δὲ *μετέωροι* τῶν τὴν διάνοιαν εἰς τὸ ὕψος ἀράντων. Θεασάμενοι γὰρ τὸν τὰ πάντα ποιήσαντα, καὶ ὑπεράνω γεγονότες τῶν αἰσθητῶν, διὰ ψευδοδοξίας καὶ τοῦ προσπάσχειν τοῖς ὑλικοῖς, εἰκότως ἐταπεινώθησαν. *Ὑψοῦται* δὲ *Κύριος ἐν κρίματι*, κατὰ τὴν δικαίαν τῶν εἰρημένων ἀνταπόδοσιν. Καὶ καθ' ἕκαστον δὲ κατόρθωμα *ὑψοῦμεν Θεόν*. Συνεργίᾳ γὰρ κατορθοῦμεν τῇ παρ' αὐτοῦ. Διό φησιν, « Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με· » καὶ πάλιν, *ὑψοῦμεν* αὐτὸν, θεωροῦντες αὐτοῦ τὴν σοφίαν, τὴν δύναμιν, τὰ κρίματα· ὡς λέγεσθαι περὶ τοῦ δικαίου, « Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτοῦ. » Ὁ δὲ *τὸν Κύριον* ἰδὼν *ὑψούμενον*, ἐν τοῖς κρίμασιν, ὁρᾷ καὶ *τὴν δόξαν* τῆς δικαιοσύνης αὐτοῦ. Ἀντὶ δὲ τοῦ, *Καὶ βοσκηθήσονται οἱ διηρπασμένοι ὡς ταῦροι*, ὁ Σύμμαχος, *Νεμεθήσονται*, φησὶν, *οἱ ἀμνοὶ* [x] αὐτῶν. Τὰ δὲ *ἔρημα τῶν παρανόμων πάροικοι φάγονται*· ἃ καὶ πρὸς λῆξιν ἐγένετο. Τῶν γὰρ ἀρχόντων τοῦ λαοῦ δίκην *ταύρων* ἀγέλης ἡγουμένων εἰς μετοικίαν ἀπαχθέντων, καὶ ἐπὶ τῆς ἀλλοδαπῆς διαρπασθέντων, τὰς *ἐρήμους* αὐτῶν χώρας πάροικοί τινες ἐπελθόντες καὶ μέτοικοι κατέσχον· ὅπερ ἔλεγε, *Τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν*. Οὗ τοὐναντίον ἦν, ὅτε Θεὸς ὑπερεμάχει τοῦ ἰδίου λαοῦ. Νῦν δὲ δι' ἄλλου προφήτου φησὶν ὁ Θεὸς, « Καλαμᾶσθε, καλαμᾶσθε, ὡς ἄμπελον τὰ κατάλοιπα τοῦ Ἰσραήλ. Ἐπιστρέψατε ὡς ὁ τρυγῶν ἐπὶ τὸν κάρταλλον αὐτοῦ. » Φησὶν οὖν καὶ οὗτος, ὅτι οἱ πάλαι ὑπὸ τῶν Ἰουδαίων *διηρπασμένοι* ἡνίκα τούτοις συνεμάχει Θεὸς, τὰ τούτων *βοσκηθήσονται*, ταύρων ἔχοντες δύναμιν. Καὶ *τὰς ἐρήμους*, φησὶ, τῶν πολιορκηθέντων ἄρνες οἱ ἐξ ἐθνῶν *βοσκηθήσονται*, βαθυτάτην, ὡς ἐν ἐρήμῳ, πόαν νεμόμενοι. Τοὺς [μὲν] ἰσχυροὺς ταύρους εἶπων, τοὺς δὲ μὴ τοιούτους ἄρνας. Τοιαῦτα δὲ πάσχομεν ὑπὸ τῶν ἀντικειμένων δυνάμεων ἡττώμενοι κατὰ πόλεμον καὶ ὑπὸ τῶν ἀλόγων κινημάτων, *ταύρων* δίκην, ἐν τῇ *ἐρημίᾳ* τοῦ βίου τούτου διάξομεν [y]. Ὅθεν οὐκ ἔφη, Βόες. Συναγελαστικαὶ γάρ. Ὁ δὲ *ταῦρος* θυμοειδὴς ὢν ἀποσπᾶται τῶν ἄλλων.

[87] I Reg. II, 30. [88] Psal. XXVI, 10. [89] Psal. CXIX, 6. [90] Jerem. VI, 9.

VARIÆ LECTIONES.

[x] *Ισ.* κατὰ τάξιν. [y] *γρ.* διάγοντες.

Digitized by Google

loque rationis sensu, *taurorum* instar, acti cupiditatibus, per hujus vitæ *deserta* vagamur, unde non boves jam (quos societate, armentisque gaudere videmus), sed *tauros* iracundos, et ab aliis avelli solitos, esse dixit.

ιη'. *Οὐαὶ οἱ ἑπισπώμενοι τὰς ἁμαρτίας ὡς* A *σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως· τὰς ἁμαρτίας οἱ λέγοντες· Τὸ τάχος ἐγγισάτω ἃ ποιήσει, ἵνα ἴδωμεν. Καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἰσραὴλ, ἵνα γνῶμεν.*

Καὶ ταῦτα τοῖς προλεχθεῖσιν ἀκόλουθα. Πολλῶν γὰρ ἐπακούσαντες διδασκαλικῶν λόγων, τοῦ Σωτῆρος, μετ' αὐτόν τε τῶν ἀποστόλων, ἐπιμένοντες ἀπιστίᾳ, προσθήκας ἐποιοῦντο πλημμελημάτων, ἀεὶ τοῖς προλαβοῦσιν ἐπισυμπλέκοντες ἕτερα, καθάπερ οἱ πλέκοντες *σχοινίον*, παυσαμένου τοῦ κλωθομένου συνάπτουσιν ἕτερον, *μακρὸν* ποιῆσαι βουλόμενοι. Πᾶς δὲ ἁμαρτάνων, δεσμοὺς ἑαυτῷ δι' ὧν ἁμαρτάνει κατασκευάζεται, μακρὸν, ἢ βραχὺ, κατὰ λόγον τῶν ἁμαρτημάτων, *τὸ σχοινίον* ᾧ δεσμεῖται ποιῶν. Διὰ γὰρ τοῦτο γινόμεθα B δέσμιοι κατὰ τὴν Ἱερεμίου φωνήν. Σειραῖς γὰρ τῷ ὄντι τῶν ἰδίων ἁμαρτημάτων ἕκαστος σφίγγεται. Καὶ ἅπερ δὲ κατὰ τὸν[z] πλησίον οὐκ ἐκ τοῦ παρατυχόντος, ἀλλ' ἐκ βουλῆς καὶ ἐνέδρας καὶ *μακρῶν* συντελοῦμεν κατασκευῶν, *σχοινίον ἐστὶ μακρὸν*, δι' οὗ καὶ πόρρω κειμένας ἑαυτοῖς τὰς ἁμαρτίας ἐπισυρόμεθα, ἤγουν τὰς ἐπ' αὐταῖς τιμωρίας. Καὶ ταύτας γὰρ οἶδεν ἁμαρτίας καλεῖν ἡ Γραφή. Τρόπον γάρ τινα τὴν τοῦ Θεοῦ καθ' ἑαυτὸν ἐλθεῖν βιαζόμεθα δίκην, ὡς ἡμῶν ἑκάστῳ λέγεσθαι· « Ἢ τοῦ πλούτου τῆς χρηστότητος αὐτοῦ, καὶ τῆς ἀνοχῆς, καὶ τῆς μακροθυμίας καταφρονεῖς; » Ὁ δὲ Σύμμαχος ἐξέδωκεν· *Οὐαὶ οἱ ἕλκοντες τὰς ἀνομίας, ὡς σχοινίῳ ματαιότητος, καὶ ὡς βρόχῳ τῆς ἁμάξης τὴν ἁμαρτίαν. Μακρὰ* γὰρ ὄντα τὰ *σχοινία* δυσδιάλυτά C ἐστιν, τῷ τῶν ἁμαρτημάτων εὐτόνῳ πυκνούμενα. Οἱ γὰρ ζυγόδεσμοι, οὐδὲ ὑπὸ τῶν *ἰσχυροτάτων* ζυγῶν, καὶ βιαίως ἐπισπωμένων τὰ βάρη, εὐχερῶς διαῤῥήγνυνται. Τὴν δὲ ἰσχὺν ἐπέτεινεν *ἐκ δαμάλεως* εἰπὼν τὸν ἱμάντα ἰσχυροῦ τε ζώου, καὶ οὔτε διὰ πόνον, οὔτε διὰ χρόνον ἠσθενηκότος. Ἢ οὗτος, ὡς οἱ *τὰς δαμάλεις*, ἤτοι τὰς βοῦς ὑποφέροντες τοῖς ζυγοῖς, ἕλκουσιν ἕσθ' ὅτε σὺν βίᾳ πολλῇ εἰς πόνους [καὶ] καταδεσμεύουσιν· τὸν αὐτὸν τρόπον τοῖς ἐκ θείας ὀργῆς ἑσμένοις ἑαυτοὺς ὑποφέροντες ἔφασκον, *Ἐγγισάτω τὸ τάχος ἃ ποιήσει*, τὰς καθ' ἑαυτῶν ἀπειλὰς παρά τε προφητῶν, καὶ αὐτοῦ τοῦ Σωτῆρος ἀκούσαντες, δι' ἀπιστίαν τε ταύτας ἐπικαλούμενοι. Διό τις αὐτοὺς ταλανίζει προφήτης εἰπών· « Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου. Καὶ αὕτη ἐστὶ σκότος, καὶ οὐ φῶς. » Καὶ αὐτὸν μέντοι γενόμενον δέσμιον ἁμαρτίας ἀκολουθῆσαι Χριστῷ τῷ ἐροῦντι τοῖς ἐν δεσμοῖς, Ἐξέλθετε. Ἅγιον δὲ *Ἰσραὴλ* τὸν μονογενῆ τοῦ Θεοῦ Λόγον φησίν.

κ'. *Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν, καὶ τὸ*

81 Vers. 18, 19. *Væ qui trahitis peccata, tanquam funiculo longo, et tanquam jugi loro juventæ, iniquitates, dicentes: Cito appropinquent quæ faciet, ut videamus, et veniat consilium Israelis, ut sciamus.*

Et hæc illis, quæ prædicta sunt, consentanea exsistunt. Cum enim multa Salvatore et apostolis postea docentibus audissent, pertinaciter incredulitatem amplexi, flagitia flagitiis amplificabant, alia aliis eorum more addentes, qui dum *funem* texunt, deficiente materia, novam subinde adjiciunt, ut longum magis efficiant. Peccata vero quilibet, eo ipso quod peccat, sibi tanquam vincula longa, vel brevia fabricat, pro ratione peccatorum *funiculum* quo vinciatur, texens: ob idque, sicut est ab Jeremia dictum, vincti efficimur. Vinculis eum revera quilibet propriorum peccatorum constringitur. Præterea, quæ in vicinum, non temere, sed præmeditato longisque insidiis molimur, *funiculus longus* ipsa sunt, quo longe remota scelera, id est scelerum pœnas, in nostrum caput attrahimus. Solet enim hoc nomine Scriptura sæpe flagitia nominare. Nam et numinis vindictam persæpe, tanquam vi, in nos attrahimus; unde non immerito omnibus dici queat: « An divitias bonitatis ejus, et patientiæ, et longanimitatis contemnitis [91]? » At vero sic habet Symmachi tralatio: *Væ qui trahitis iniquitates, tanquam funiculo vanitatis, et tanquam luqueo plaustri, peccatum, funes enim longos* non est dissolvere facile, quæ bene peccatorum densitate stipati sunt. Neque enim ipsa etiam lora jugalia, quantumvis robustis jugis onera vi *trahentibus* contendantur, facile disrumpuntur. Robur autem amplificavit, cum *juvencæ lorum*, robusti videlicet animalis, nec dum laboribus aut ætate confecti, dixit. Vel certe, quod non aliter, quam qui *juvencas*, aut boves jugis submittunt, vi multa ad labores aliquando trahunt, et vinciunt: sic qui se divinæ iræ ingruenti ultro subjiciebant, eam etiam non dubitabant provocare his verbis: *Festinet, et veniat cito opus ejus*, prophetarum minas nimirum, et Salvatoris ipsius easdem inculcantis magna perfidiæ contumacia **82** in suam perniciem invocantes. Indeque est, quod eis quidam imprecatur propheta, his verbis: « Væ desiderantibus diem Domini: et ipsa tenebræ, et non lux [92]. » Decet vero et eum qui peccati nexibus impeditur, Christum in vinculis detentos voce soluturum, et exire jussurum, insequi. *Sanctum* deinde *Israel*, unigenitum Dei Verbum significat.

Vers. 20. *Væ qui dicitis malum bonum, et bonum*

[91] Rom. II, 4. [92] Amos V, 18.

VARIÆ LECTIONES.

[z] γρ. τοῦ. [a] Ισ. Δεῖ δέ.

Digitized by Google

malum; qui ponitis tenebras lucem, et lucem tenebras; qui ponitis amarum dulce, et dulce amarum.

Et hæc in eosdem dicuntur, quod sano et sobrio Salvatoris despecto consilio, contrarias rationes sequi, quod pro luce evangelica, erroris sui tenebras, tanquam *lucem* aliquam amplecti; quod *amaram* denique scelerum naturam, veluti *dulcem* voluptatem aliquam venari maluerunt: quemadmodum etiam nunc Evangelii veritatem respuere, anles autem fabulas admirari et retinere videmus. Adeo magnum erat, latronum partes sequendo Christum negare Barabbamque postulare; idolorum cultores probare, Christi vero populum honeste et prudentia commendabilem insectari. Ea enim repudiata, quæ per Christum est, illustratione, in tenebris ipsi jacuerunt; juxta illud: « Exspectantibus ipsis *lucem*, tenebræ factæ sunt, exspectantes splendorem caligine, circumsepti sunt [93]. » Est vero perfecti, qui exercitatis probe sensibus habitum contraxit, *boni* malique naturam posse distinguere; sicut et solertis nummularii, quod *bonum* est, retinere: non secus ac ineptum eum dicimus, qui præter naturam affecta judicandi instrumenta habeat. Tres igitur nunc appositæ sunt corporeis quidem rebus discrepantes conjugationes, sed variis acceptionibus circa unum quiddam, quod ad animum attinet, occupatæ. *Bonum* itaque id esse definiunt, quod honestum et laudabile sit: cui quod turpe est opponitur, *malum* nunc appellatum; **83** quo nomine quod vituperandum est, significatur: *lucem* autem, substantiam *tenebrarum* dissipatricem: *tenebras* vero, aerem *luce* destitutum. Est rursus et *dulce*, quod humoris vel succi lenitate sensum exhilarat: *amarum* vero, quod gustum exasperat.

Fuerit igitur ista quidem de medio sumpta et facilis explicatio. Sed de his, quæ sensu percipiuntur, haudquaquam sumenda videatur oratio. Verum, quia præceptum Domini lucidum, illuminare oculos dicitur [94], qui non ad illius normam vitæ suæ cursum dirigit, sed lutosis voluptatum illecebris perfunditur; *lucem* ille voluptates, et Domini præceptum *tenebras esse* arbitratur. Præterea si ad dogmatum rationem attendas, qui in veram *lucem* non credit, illam quidem *tenebras*, *lucem* autem diabolum facit. Ad hæc, si dulcia in justi faucibus eloquia Domini exsistunt [95]; qui mandatorum onus refugit, hic voluptatum dulcedinem amplexus, *dulcis* et *amari* naturam evertit. Quin etiam dogmatum habita ratione, eisdem *dulcis* est Dominus, a quibus scite fuerit degustatus: « Gustate enim, ait, et videte quoniam dulcis est Dominus [96], » qui vero in ipsum non credit, quod *dulce* est, *amarum* dicit. Est porro *bonum* revera, quod in omnia convenienter se-

A καλὸν πονηρόν, οἱ τιθέντες τὸ σκότος φῶς, καὶ τὸ φῶς σκότος, οἱ τιθέντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν.

Καὶ ταῦτα τοῖς αὐτοῖς ἐπιφέρεται. Τοὺς γὰρ ἀγαθοὺς τοῦ Σωτῆρος καὶ [φρο]νίμους λόγους ἀποστρεφόμενοι, τοὺς ἐναντίους λογισμοὺς ἀπεδέχοντο. Ἀντὶ δὲ τοῦ εὐαγγελικοῦ *φωτὸς*, τὸ τῆς αὐτῶν πλάνης *σκότος*, ὥσπερ τι φῶς, κατησπάζοντο, τῆς τε κακίας τὴν πικρὰν φύσιν, ὥσπερ τινὰ *γλυκεῖαν* ἡδονὴν μετεδίωκον. Ὡς καὶ νῦν τοῦ Εὐαγγελίου τὴν ἀλήθειαν ἀποστρέφονται, καὶ [b] τοὺς γραώδεις μύθους θαυμάζοντες, τοιοῦτον ἦν καὶ τὸν Χριστὸν μὲν ἀρνήσασθαι, τὸν δὲ Βαραββᾶν ἐξαιτεῖν, τῆς τῶν ληστῶν γεγονότας μερίδος· καὶ τὸ εἰδωλολάτρας μὲν ἀποδέχεσθαι, διώκειν δὲ τοῦ B Χριστοῦ τὸν λαὸν τὸν σεμνόν τε καὶ σώφρονα. Παρωσάμενοι γὰρ τὸν διὰ Χριστοῦ φωτισμὸν, μεμενήκασιν ἐν σκότῳ, κατὰ τό· « Ὑπομεινάντων αὐτῶν, τὸ φῶς ἐγένετο αὐτοῖς εἰς σκότος· ὑπομείναντες αὐγὴν ἐν ἀωρίᾳ περιέστησαν. » Τελείου δέ ἐστιν, τοῦ διὰ τὴν ἕξιν γεγυμνασμένα ἔχοντος τὰ αἰσθητήρια, διακρίνειν δύνασθαι τὴν *τοῦ καλοῦ* φύσιν, ἀπὸ *τοῦ πονηροῦ*. Καὶ δοκίμου τραπεζίτου, *τὸ καλὸν* κατέχειν· ὥσπερ ἀδοκίμου, τὸ παρὰ φύσιν ἔχειν τὰ κριτήρια διακείμενα. Τρεῖς μὲν οὖν συζυγίαι νῦν παρετέθησαν, ἐν μὲν τοῖς σωματικοῖς διαφέρουσαι, ἐν δὲ τοῖς ψυχικοῖς, κατὰ διαφόρους ἐπινοίας περὶ ἕν τι στρεφόμεναι. *Καλὸν* μὲν οὖν ὁρίζονται ἀγαθὸν ἐπαινετὸν, ᾧ τὸ αἰσχρὸν ἀντίκειται, ὃ νῦν ὠνόμασε *πονηρόν*· ὅπερ ἂν εἴη κακὸν ψεκτόν. *Φῶς* δὲ οὐσία C διαχυτικὴ [c] *σκότους*. *Σκότος* δὲ ἀὴρ ἐστερημένος *φωτός*. Καὶ γλυκύτης μὲν λειότης χυμοῦ ἢ χυλοῦ τὴν γευστικὴν ἡδύνουσα αἴσθησιν. Τὸ δὲ *πικρὸν* γευστὸν ἐκτραχύνον τὴν γεῦσιν.

Ταῦτα μὲν οὖν κατὰ τὴν πρόχειρον ἔκδοσιν. Ἀλλ' ἔοικε μὴ περὶ τῶν αἰσθήσει γνωρίμων ὑπάρχειν ὁ λόγος. Ἀλλ' εἴπερ ἡ ἐντολὴ Κυρίου τηλαυγὴς, φωτίζουσα ὀφθαλμοὺς, ὁ μὴ ταύτῃ ζῶν, ἐν ὑλικοῖς δὲ πάθεσι κυλινδούμενος, ταῦτα νενόμικε *φῶς* ἐκείνην *σκότος* δοκῶν, καὶ δογματικῶς ὁ μὴ πιστεύων εἰς τὸ φῶς τὸ ἀληθινὸν, τοῦτο μὲν *σκότος*, *φῶς* δὲ ποιεῖ τὸν διάβολον. Καὶ, εἰ γλυκεῖα τῷ λάρυγγι τοῦ δικαίου τὰ λόγια τοῦ Κυρίου, ὁ τὸ τῶν προσταγ- D μάτων φεύγων ἐπίπονον, συγκατατιθέμενος δὲ τῷ λείῳ τῆς ἡδονῆς, οὗτος ἀναστρέφει τὸ *γλυκὺ καὶ πικρόν*. Ἀλλὰ καὶ δογματικῶς, *γλυκύτης* ἐστὶν τοῖς ἐπιστημόνως αὐτοῦ γευομένοις ὁ Κύριος· « Γεύσασθε γὰρ, καὶ ἴδετε ὅτι Χριστὸς [d] ὁ Κύριος. » Μὴ πιστεύων δέ τις αὐτῷ, τὸ *γλυκὺ* λέγει *πικρόν*. Καὶ τὸ ἀληθὲς δὲ *καλὸν*, τὸ ἐν τῇ ψυχῇ συμμέτρως διακειμένη κατ' ἀρετήν. Μεσότης γὰρ ἡ ἀρετὴ, ἧς τὸ ὑπερβάλλον ἢ λεῖπον, κακία· ὡς ἐπ' ἀνδρείας ἔλλειψις μὲν ἡ δειλία, ἡ δὲ θρασύτης πλεονασμὸς, ἅπερ αἰσχος ἐργάζονται, καὶ ὁ μὴ πιστεύων δὲ εἰς τὸν Κύ-

[93] Isa. LIX, 9. [94] Psal. XVIII, 9. [95] Psal. CXVIII, 103. [96] Psal. XXXIII, 9.

VARIÆ LECTIONES.

[b] *Ισ. ἀφ. καὶ.* [c] *γρ.* διατχιστική. [d] *γρ.* χρηστός.

Digitized by Google

μον, οὐδὲ τῇ τοῦ *καλοῦ* συγκατατίθεται φύσει. Κύριος γὰρ ἐκεῖνο *καλὸν*, κατὰ τὸ, « Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου · » αἴσχος δὲ πᾶν ὁ διάβολος. Ἐπεὶ οὖν οὐκ ἔστι κοινωνία φωτὶ πρὸς κάλλος [e], οὐδὲ συμφώνησις Χριστοῦ πρὸς Βελίαρ, χωριστέον ταῦτα ἀλλήλων · καὶ μὴ παραλογισθέντες, φῶς, νομίσωμεν τὸν μετασχηματιζόμενον εἰς ἄγγελον φωτὸς, μηδὲ γλυκεῖαν τὴν ἡδονὴν, μηδὲ κάλλος σωματικὸν τοῦ ψυχικοῦ προτιμήσωμεν. Διὰ τί δὲ ἐπὶ μὲν τοῦ καλοῦ, τὸ, λέγοντες, εἴρηται · ἐπὶ δὲ τοῦ *φωτὸς* καὶ τοῦ *γλυκέος* τὸ, τιθέντες; κατά τι μὲν οὖν τὸ λέγειν τοῦ πράττειν ἁπλούστερον, κατά τι δὲ καὶ πικρότερον. Παρὰ [f] γὰρ τὰς πρώτας αἱρέσεις τοῦ βίου διὰ τοῦ λόγου μόνον σφαλλόμεθα. Ἐνεργοῦντες δὲ τὸ κακὸν, καὶ μετὰ πεῖραν προσμένοντες, ὥσπερ ὅρους ἑαυτοῖς ἀκινήτους τῶν τῆς κακίας ἔργων τιθέμεθα. Κἂν τις ἐξ ἀσελγείας πρὸς σωφροσύνην οὐ μετατίθεται, τίθησιν ἑαυτῷ τὸ *πικρὸν γλυκύ*. Χεῖρον δὲ τούτου, τὸ καὶ συνηγορεῖν τῷ *κακῷ*, καὶ λέγειν τὸ *καλὸν πονηρόν* · οὐ μόνον γὰρ ποιοῦσι, φησὶν, αὐτὰ, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράσσουσι. *Τιθέναι* μὲν οὖν, τὸ πράττειν. *Λέγειν* δὲ, τὸ δογματίζειν. Ὁ τὴν εἰς θάνατον ἁμαρτίαν τινὲς ἀπεφήναντο τῶν εὐδοκούντων οὖσαν, ἀλλ' οὐ δακνομένων ἐφ' οἷς ἁμαρτάνουσιν · ἐξ οὗ τὸ μηδὲ μετανοεῖν ἐπιγίνεται.

cundum virtutem affecta habetur. Mediocritatem enim virtutem dicimus in qua si quid vel desit, vel abundat, vitii nomine censetur; ut in fortitudine quod abest, timiditas; quod abundat, audacia nominatur : quorum utrumque dedecus operatur. Ad hæc in Dominum qui non credit, *honesti* et pulchri naturæ non adhæresci. *Honestum* enim proprie *bonum* est, vel psalmi testimonio canentis : « Specie tua, et pulchritudine tua [97] : » turpitudinis autem fons diabolus. Quoniam ergo nulla lucis et tenebrarum societas, nulla Christi et Belial esse potest [98]; separanda ista a se invicem et distinguenda sunt : nec committendum, ut falsis decepti rationibus, vel quod se in lucis angelum transformat [99], *lucem* esse credamus; vel duces voluptatis illecebras, corpórisque venustatem, animæ pulchritudini præponamus. Verumenimvero quid ad *boni nomen*, **84** *qui dicitis;* ad *lucem* autem et *dulce*, *qui ponitis*, addidit? Est profecto aliquanto dicere, quam facere, simplicius, aliquanto etiam acerbius. Initio enim, cum in vita aliquid a nobis eligitur, tum sermonis error admittitur tantum. Sed cum malum operamur, si eidem facto periculo rursus incumbimus, tum ipsi scelerum metas nobis immobiles *ponimus*. Quisquis rursus lascivia ad temperantiam animum non revocat, ipse sibi quod *dulce* est, *amarum ponit*. Sed facit longe deterius, qui *malo* patrocinatus, quod tale est, *bonum* non veretur *dicere*. Non enim, ait, ista faciunt tantum, sed facientibus etiam congratulantur. Est ergo idem *ponere*, quod facere : idem *dicere*, quod docere : quod esse peccatum ad mortem definierunt nonnulli; cum est admissi sceleris dolor nullus, sed animi potius gratulatio; quo nihil a pœnitentia magis remotum est.

κα-κγ'. *Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες. Οὐαὶ οἱ ἰσχύοντες ὑμῶν, οἱ πίνοντες τὸν οἶνον, καὶ οἱ δυνάσται, καὶ οἱ κεραννύντες τὸ σίκερα. Οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες.*

Καὶ ταῦτα τοῖς ἄνω πάλιν ἐφήρμοσεν, εἰ καὶ γενικὴν πρὸς τοὺς δοκησισόφους ἔχει τὴν ἀπειλὴν ὁποῖοί τινες ἦσαν οἱ τῶν Ἰουδαίων διδάσκαλοι, μηδὲν μὲν ἐπ' ἀκριβείας διδάσκοντες, καλαμώμενοι δὲ τὸν λαὸν, καὶ τῇ μέθῃ προσκείμενοι. Τοῦ γὰρ νόμου λέγοντος, « Κρῖμα δίκαιον κρίνατε, » ὁ προφήτης φησὶ πρὸς τὴν Ἱερουσαλήμ · « Οἱ ἄρχοντές σου ἀπειθοῦσιν, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χήρας οὐ προσέχοντες. » Ταῦτα γὰρ εὑρὼν αἰσχρῶν λημμάτων ἠττώμενοι, πρὸς τὴν ἀσωτίαν τοῦ βίου. Διὸ τῆς [g] προφήτης φησὶν, « Οἶνον ἐκ συκοφαντιῶν ἔπινον. » Καὶ κακῶν δὲ ὄντες διδάσκαλοι, τῷ τῆς ἀγνοίας ἐκεκάρωντο σκότῳ, καὶ τοῖς ἄλλοις ποτὸν ἐκίρνων δεδολωμένοις, τὸ *σίκερα*, τὸν τοῦ Θεοῦ καπηλεύοντες λόγον. Πρὸς οὓς ἔλεγον, « Οἱ κάπηλοί σου μίσγουσιν τὸν οἶνον ὕδατι, » καὶ κατεδίκαζον δὲ τὸν ἀθῶον, ἀφιέντες τὸν αἴτιον.

Vers. 21-23 *Væ qui intelligentes sunt in seipsis, et coram se scientes. Væ qui robusti sunt in vobis qui bibunt vinum, et qui potentes sunt, et qui miscent siceram, qui justificant impium propter dona, et justitiam justi tollitis.*

Et hæc rursum superioribus congrue addita sunt : licet iis nomine communi minetur, qui sibi sapientes videntur : quales erant in primis Judæorum doctores, qui populum tamen exacte et bene nihil docerent; sed toti incumbentes ebrietati, bonis ipsum spoliarent. Quamvis enim judicium justum judicare lex imperaret, sic Jerusalem arguit propheta : « Principes tui infideles, socii furum, diligunt munera, sequuntur retributiones, pupillo non judicant, et ad judicium viduæ non advertunt [1]. » Ista siquidem turpi quæstu ducti, ad fovendum vitæ luxum, scelera admittebant. Ad quod spectans et alius quidam propheta, « vinum eos injuste damnatorum bibere, **85** dicebat [2]. » Scelerum enim magistri cum essent, ignorantiæ tenebris offundebantur, aliisque dolosum potum, *siceram* nimirum, Dei verbum cauponantes, miscebant : unde caupones eorum vinum aqua diluere, et in justum, scelerato sententia liberato, pœnas decernere objiciebat.

[97] Psal. XLIV, 5. [98] II Cor. VI, 15. [99] II Cor. XI, 14. [1] Isa. I, 23. [2] Amos II, 8.

VARIÆ LECTIONES.

[e] γρ. σκότος. [f] Ισ. πρός. [g] γρ. τις.

Digitized by Google

Quod autem *prudentes in seipsis* dixit, non est de his tantum accipiendum qui sibi, quæ tamen ignorant, scire videntur, sed de his etiam, qui scientiæ donum sortiti, cæteros ejus participes non faciunt. « « Occultæ enim scientiæ, thesaurique abditi, quæ potest esse utilitas [3] ? » Ejusmodi ille exstitit, qui defosso talento sibi solus sapere maluit [4]. Si quis rursus et eam, quam habet, in malos usus, non in Dei gloriam scientiæ facultatem conferat, haud in *oculis* Domini *sapiens* esse queat : non secus ac qui quod præclare gessit, propriæ virtuti solet ascribere, non Deum tanti muneris auctorem agnoscere, et prædicare. In quem opportune quis dixerit : « Quid habes quod non acceperis ? Quod si accepisti, quid gloriaris, quasi non acceperis [5] ? » Dicitur vero *intelligentia*, animæ veluti facilis apprehensio, rerum notitias in unum statim colligentis. Vel solertia mentis expedita, quæ, quod rebus singulis proprium sit inveniat. *Scientia* autem habitus in se confirmati et ratione immutabilis. Sapientia vero divinarum et humanarum rerum, quibus illæ continentur, scientia. Quoniam autem sapientia ipsa Christus est, eum Christi participatione quatenus sapientia est, sapientem dicemus, quem perfectum significare volumus, quales arcæ illius exstitere opifices. « Implebo enim, scribitur, eos spiritu sapientiæ et scientiæ [6], » quæ nisi quisque sibi adjungat, eumdem miserum et infelicem profitetur. Erat enim Nazaræis, ipsisque sacerdotibus, quoties in Sancta sanctorum esset ingrediendum, *vino et sicera* interdictum [7]. Est præterea et apud Salomonem in hunc modum loquens sententia : « Vino, qui ad iracundiam proni sunt principes, abstinento, ne cum biberint, sapientiæ obliviscantur [8]. » Decet enim, non eum modo, qui Dei ministerio addictus sit, sed cui hominum cura mandata, animum purum et sincerum habere. Nam ut animus quisque **86** est, ita veniam meretur facillime : «Potentes autem potenter arguentur [9]. »— « Et cui multum traditum est, amplius ab ipso reposcetur [10]. » Is rursum tandiu dicitur *inebriari*, quisquis affectibus constringitur; quandiu rationis imperio deturbatus, hujus se confusione, et sapientiæ oblivione detineri patitur. Cæterum qui potest, qui sapientiam habet, esse iracundus, nisi eum dicat, qui nondum prorsus est affectibus liberatus? At vero de eo, qui modice perturbatur, etiam alicubi dicitur : « Stultus eo ipso die, quo irritatur, iram prodit : quam sapiens recondit et differt quodam tenus [11]. » Ratione enim tanquam freno, dolorem cohibet; ut dicitur : « Irascimini, et nolite peccare [12]. » At Dominus qui perfectiora longe imperat, irasci omnino prohibuit [13].

A Λέγεται δὲ τὸ, *οἱ συνετοὶ ἐν ἑαυτοῖς*, οὐ μόνον περὶ τῶν εἰδέναι δοκούντων, ἅπερ οὐκ ἴσασιν, ἀλλὰ καὶ περὶ τῶν ἐχόντων μὲν χάρισμα γνώσεως, οὐ μεταδιδόντων δὲ τούτου τοῖς ἄλλοις. « Σοφία γὰρ κεκρυμμένη καὶ θησαυρὸς ἀφανὴς, τίς ὠφελία ἐν ἀμφοτέροις; » Οἷος ἦν ὁ τὸ τάλαντον κρύψας παρ' ἑαυτῷ μείνας σοφός. Κἂν ἐπὶ κακῷ δέ τις, καὶ μὴ εἰς δόξαν Θεοῦ χρῆται τῇ γνώσει, οὐκ ἔστιν ἐνώπιον Θεοῦ *ἐπιστήμων*, ὡς οὐδὲ ὁ καταγράφων ἑαυτῷ τὸ κατόρθωμα, καὶ μὴ τὸν Θεὸν, ὡς αἴτιον τῆς δωρεᾶς ἀνυμνῶν. Πρὸς ὃν εὔκαιρον εἰπεῖν, « Τί δὲ ἔχεις; ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών; » Λέγεται δὲ *σύνεσις*, οἷον εὐπαρακολουθησία ψυχῆς, ὀξέως εἰς ἓν συναγούσης τὰς τῶν πραγμάτων ἐννοίας· ἦγουν ἐντρέχεια διανοίας εὐπαρακολούθητος, τῷ ἑκάστῳ πράγματι οἰκεῖον εὑρίσκουσα. B Ἐπιστήμη δὲ, ἕξις[h] ἐν ἑαυτῇ τὸ βέβαιον ἔχουσα, ἀμετάπτωτος ὑπὸ λόγου. Σοφίαν δὲ, φασὶν, ἐπιστήμην θείων καὶ ἀνθρωπίνων πραγμάτων, καὶ τῶν τούτων αἰτιῶν. Ἐπειδὴ δὲ αὐτοσοφία ὁ Χριστὸς, σοφὸν ἐροῦμεν τὸν κατὰ μετοχὴν Χριστοῦ, καθ' ὃ σοφία ἐστὶν, τετελειωμένον· ὡς οἱ τῆς σκηνῆς ἐκείνης ἀρχιτέκτονες· « Ἐμπλήσω γὰρ αὐτοὺς, φησὶ, πνεύματος σοφίας καὶ ἐπιστήμης· » ἃ τις αὐτῷ μὴ ἀνατιθεὶς ταλανίζεται. Ἀπείρητο δὲ Ναζιραίοις *οἶνος καὶ σίκερα*, καὶ τοῖς ἱερεῦσιν εἰσιοῦσιν εἰς τὰ ἅγια. Καὶ Σολομὼν ἐν Παροιμίαις φησίν· « Οἳ δυνάσται θυμώδεις εἰσὶν, οἶνον μὴ πινέτωσαν, ἵνα μὴ πιόντες ἐπιλάθωνται τῆς σοφίας. » Δεῖ γὰρ ἀθόλωτον ἔχειν τὸν νοῦν C τόν τε Θεὸν θεραπεύοντα, καὶ τὸν ἀνθρώπων ἐπιμελούμενον. Ὁ μὲν γὰρ ἐλάχιστος καὶ συγγνωστὸς ἐλέου· « Δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται. » Καὶ ᾧ πολὺ παρέθεντο περισσότερον ἀπαιτήσουσιν αὐτόν. Καὶ πᾶς δὲ πάθει κρατούμενος, *μεθύειν* λέγεται τοσοῦτον, ὅσον τούτῳ κεκράτηται, κατὰ λόγον ὑπομένων τὴν ἔκστασιν, καὶ συγχύσει ταύτης εἰς λήθην τῆς σοφίας χωρῶν, ἀλλὰ πῶς ὁ ἔχων σοφίαν θυμώδης; Ὅτι μήπω λέγει τὸν ἀπαθῆ· περὶ δὲ τοῦ μετριοπαθοῦς καὶ ἑτέρωθί πού φησιν, « Ἄφρων αὐθήμερον ἐξαγγελεῖ ὀργὴν, σοφὸς δὲ ταμιεύεται κατὰ μέρος. » Λογισμῷ γὰρ τὸ πάθος ἡνιοχεῖ, καθὸ λέγεται, « Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε. » Ὁ δὲ Κύριος διατάσσων τὰ τελειότερα, καθόλου τὴν ὀργὴν ἀπηγόρευσεν.

87 Vers. 24-30. *Propter id, sicut exuretur stipula a carbone ignis, et comburetur a flamma putante, sic radix eorum, tanquam favilla erit; et flos eorum, tanquam pulvis, ascendet. Non enim volue-*

κδ-λ'. *Διὰ τοῦτο ὃν τρόπον καυθήσεται καλάμη ὑπὸ ἄνθρακος πυρὸς, καὶ συγκαυθήσεται ὑπὸ φλογὸς ἀνειμένης, ἡ ῥίζα αὐτῶν ὡς χοῦς ἔσται, καὶ τὸ ἄνθος αὐτῶν, ὡς κονιορτὸς ἀναβήσεται.*

[3] Eccli. xx, 32. [4] Matth. xxv, 25. [5] I Cor. iv, 7. [6] Exod. xxxi, 6. [7] Levit. x, 9. [8] Prov. xxxi, 4. [9] Sap. vi, 7. [10] Luc. xii, 48. [11] Prov. xii, 16. [12] Psal. iv, 5. [13] Matth. v, 22.

VARIÆ LECTIONES.

[h] γρ. ἕξις.

Digitized by Google

Οὐ γὰρ ἠθέλησαν τὸν νόμον Κυρίου Σαββαὼθ, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου Ἰσραὴλ παρώξυναν, κ. τ. λ.

Runt legem Domini exercituum, sed oraculum sancti Israel exacerbaverunt, etc.

Προαναχηρύττει πάλιν ταῖς ἀπειλαῖς τὰς κολάσεις, εἴ πως ἐπιστραφεῖεν ἀκούσαντες. Λέγει δὲ, *διὰ τοῦτο*, τοῦτ' ἔστιν διὰ τὰ εἰρημένα, οὐ διά τινα συντυχίαν, ἢ φυσικὴν ἀνάγκην, ἢ εἱμαρμένην, δι' ἅπερ δὲ ἐξέθετο πλημμελήματα. Τοῖς γὰρ ἀντὶ σταφυλῆς ξύλα, καὶ χόρτον, καὶ *καλάμην*, ἀκανθῶν τε πλῆθος πεποιηκόσιν, εἰκότως τὸ, *Ὃν τρόπον συγκαυθήσεται καλάμη*, φησὶ [a] *φλόγα* δὲ *ἀνειμένην* καλεῖ τὴν ἀκάθεκτον, καὶ μηδενὸς κωλύοντος ἐπ' ἐξουσίας· βαδίζουσαν δὲ τὴν [i] *ὡραιότητα* λέγει τοῦ *σώματος*, τοῦ τε πλούτου τὴν δόξαν, καὶ τοῦ παντὸς ἔθνους εὐπρέπειαν, ἃ τρόπον *κονιορτοῦ*, φησὶ, διασκεδασθήσεται. Οὐδὲ νῦν δὲ αὐτῶν εἰδωλολατρείαν κατηγορεῖ, ἀλλ' ὅτι μὴ τὸν *νόμον* κατεδέξαντο, περὶ οὗπερ ἔφασκεν· « Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἰερουσαλήμ. » Λέγοι δ' ἂν καὶ τὸν Μωϋσέως· « Εἰ ἐπιστεύετε γὰρ, φησὶ, Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί. Περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. » Ἀλλ' οὐδὲ τὸν εὐαγγελικὸν ἐδέξαντο λόγον. Διὸ *τεθυμῶσθαι*, φησὶν, ἐπὶ *τὸν λαὸν αὐτοῦ Κύριον*. Ἑαυτοῦ γὰρ ἤθελεν εἶναι λαὸν, οἱ δὲ οὐκ ἐδέξαντο· λοιπὸν αὐτοῖς πολεμίων ἔφοδον προφωνεῖ, καὶ πλῆθος τῶν ἀναιρουμένων, ὡς καὶ αὐτὰ πληροῦσθαι *τὰ ὄρη* σωμάτων νεκρῶν.

Minas rursum ante ultiones prænuntiat, ut iis auditis, si fieri possit, resipiscant. Ait vero, *propter id*, hoc est, propter ea, quæ dicta sunt, non casu aliquo, vel naturæ necessitate, vel fato, sed ob ea, quæ ipsi admisere, facinora. Quibus enim pro uva lignum, fenumque, et stipula, spinarumque copia, nata sunt, non immerito, sicut *stipulam combustum iri* ipsa dicuntur. Vocat autem *flammam populantem*, cujus incendium, ne potenter vagetur, ab ullo reprimi non queat. Nec aliud quidquam corporeæ pulchritudinis nomine, quam divitiarum gloriam, gentisque universæ splendorem, quæ *pulveris* instar dispergenda sit, significat. Neque vero jam eos idololatriæ nomine insectatur, sed repudiatæ legis accusat, de qua legitur : « De Sion exibit lex, et verbum Domini de Jerusalem [15]. » Fortasse autem Mosaicum intelligit. « Si enim ait, Mosi crederetis, et mihi etiam; de me enim ipse scripsit [16]. » Sed neque evangelicum illi verbum amplexi sunt; unde est, quod *furore Dominum in populum suum iratum esse* dixit. Eum enim, a quo essent in populum delecti, admittere noluerunt. Hostium rursus ipsis invasionem, et cæsorum tantum fore numerum significat; **88** *ut montes* ipsi cadaveribus repleantur.

Οἷον δὲ παραμενούσης αὐτοῖς εἰς ἔτι νῦν τῆς τοῦ Θεοῦ ὀργῆς, εἴρηται τὸ, *Ἔτι ἡ χεὶρ ὑψηλή*· Ὃ δηλῶν ὁ Παῦλός φησιν, « Ἔφθασεν δὲ εἰς αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. » Πόθεν δὲ τὰ τοσαῦτα *θρησιμοῖα* λοιπὸν ἐπενήνοχεν, ἔφοδον ἐθνῶν ὑπογράφων, παράταξίν τε πολεμικὴν; Πόθεν τε *τὰ ὄρη παρωξύνθη*, μᾶλλον δὲ *ἐκλογήθη*, κατὰ τὸν Ἀκύλαν· ἢ *ἐταράχθη*, κατὰ τὸν Σύμμαχον; Ἦν [j] οὐκ ἀφ' ἑαυτῶν ἐποιήσαντο, ὡς ἐκ Θεοῦ δὲ συρόμενοι, πρὸς τὴν τῶν ἡμαρτηκότων πολιορκίαν, *ἐξ ἄκρου τῆς γῆς*, ἵνα τὸ Ῥωμαίων δηλώσῃ στρατόπεδον ἀπὸ τῶν δυτικῶν ὥρμησαν μερῶν. Βαβυλωνίους γὰρ καὶ Ἀσσυρίους ἡ [k] ἐξ ὀνόματος ἡ [l] ἀπὸ βορρᾶ καλεῖν εἴωθεν ἡ Γραφή. Βορειότεροι γὰρ οὗτοι τῆς Ἰουδαίας εἰσίν. Νῦν δὲ περὶ Ῥωμαίων λέγων φησὶν, *Ὀργῶσιν* [m] *ὡς λέοντες, καὶ [παρέστησαν] ὡς σκύμνοι λέοντος*. Δηλῶν δὲ καὶ τὸ πλῆθος καὶ τὸ συμμιγὲς τῆς φωνῆς, *θαλάττῃ κυμαινούσῃ* τούτους ἀπείκασεν. Περὶ δὲ τῶν πολιορκουμένων φησὶν, *Ἐμβλέψονται εἰς γῆν. Καὶ ἰδοὺ σκότος σκληρὸν ἐν τῇ ἀπορίᾳ αὐτῶν*, τὴν ἐκ τῶν δεινμάτων *ἀπορίαν* δηλῶν, οἳ καὶ *κοπρίων* δίκην ὑποκείσονται *τοῖς ἐχθροῖς*. Σύσσημα δὲ, φησὶν, τὰ ὑπὸ τῶν ἀνατεταμένων σημείων, ἢ κατασπωμένων τοῖς στρατοπέδοις δηλούμενα. Ταῦτα δὲ πεπόνθασιν ἀποστραφέντες τὸν Λόγον Κυρίου, καθάπερ καὶ Ἱερεμίας φησὶν, « Ἐπτοήθησαν καὶ ἐάλωσαν. » Σοφία τίς ἐστιν αὐτοῖς, ὅτι τὸν Λόγον Κυρίου ἀπεδοκίμασαν;

Deinde, tanquam de sæviente adhuc in ipsos ira Domini, intelligendum est, quod ait : *Adhuc manus ejus excelsa;* quod his verbis innuit, et Paulus : « Pervenit autem ira Dei in illos in finem [16]. » Quorsum vero, cum hostium irruptionem, militaremque aciem describeret, tam multorum deinceps morticinorum meminit? Quorsum *montes* exacerbatos, vel secundum Aquilam *commotos;* vel, ut Symmacho placet, *conturbatos* esse dixit? Nimirum, ut ista sponte nequaquam exsistere; sed, ut a Deo scelerum vindicem paterentur obsidionem, *ab extremo terræ* Romanum evocatum esse exercitum doceret. Assyrios enim et Babylonios, vel proprio, vel Aquilonis nomine distinguere solet Scriptura. Sunt enim Judæa magis septentrionales. At hic de Romanis loquens, ait : *Ruunt tanquam leones; et astiterunt, tanquam catuli leonis*, quorum ut multitudinem *vocisque* varietatem et confusionem notaret, *æstuantis maris sonitui* similes effecit. Est vero quod in terram *inspecturum* adjicit, de obsessis intelligendum. *Et ecce* addit *tenebræ densæ in angustiis eorum;* nimirum, ut consilii eorum, in rebus dubiis et metu plenis, inopiam significet; qui tanquam *stercora hostibus* essent subjiciendi. *Signa* vero vocat, quæ solent exercitui, vel expansis, vel contractis vexillis ab imperatoribus significari. Taliaque ideo, quod

[15] Isa. II, 3. [16] Joan. V, 46. [16] I Thess. II, 16.

VARIÆ LECTIONES.

[i] γρ. τὴν δέ. [j] γρ. ἄ. [k] γρ. ἡ. [l] γρ. ἢ. [m] γρ. ὁρμῶσιν.

Digitized by Google

Verbum Domini essent aversati, Jeremia teste, perpessi sunt. Ait enim his verbis : « Expaverunt, et capti sunt [17]. » Quæ enim illorum exstat sapientia, qui a se Christi Verbum repudiarunt? Ecs itaque non male nunc *stipulæ* comparat, quæ intus inanis, radici infirmæ innititur, et habet inæqualia augmenta; qualia quis facile in hujus vitæ celebrioribus personis animadvertere possit. Interiore enim homine prorsus inanes, reique imbecillæ innixi, intemperantis et inæqualis vitæ rationem sequuntur. Est autem *carbo* ignis ille terrenus, qui exstincta flamma solet in crassiori remanere materia. Illis ergo, qui suis accensi affectibus **89** incendii causam gerunt interius (qualis illa, quæ divitem sitis incendebat [18]. Quales item, qui vini potu comburuntur, quos nunc insectatur propheta) extremum per flammam interitum comminatur.

Rursus et jura ipsa sumendis muneribus evertunt. Indeque est, quod *radicem* ipsorum, id est pecuniæ studium, quæ fructus edere non consuevit, *combusturum* se significat. Cæterum qualis ipse *flos?* pulveri merito non absimilis, qui nec certo stare loco natura, nec dispergenti vento potest reluctari. Deinde non aliter quam si gutturi ille inhæreat, respirationem remoratur, vitæque nostræ molitur insidias; sic ipsi avaritiæ *flores*, insanum scilicet habendi studium, mendacium, calumniæ, veram nobis vitam adimere. Sanctique Spiritus ad nos accessum solent impedire. Cæterum quia superius, *Væ fortibus vestris, et potentibus*, dixerat; nunc jam *iratum esse furorem Domini in populum suum* significat, tanquam qui ipse præfectorum exemplo peccasset. Ab his enim ad populum iram demanasse significat. Dicuntur autem de Deo non sine tropo *ira et furor. Et iram*, correptionem fortasse, quæ nonnisi laboris sensu aliquo fieri solet, appellant : *furorem* vero, reprehensionem, quæ mentis nostræ operationes perturbat. In furore enim suo turbabit eos, ait : tanquam verbis dignos amplius non putet. *At ira* castigantis modo corripit; sicut scriptum est; et loquetur ad eos in ira sua, hoc habet ergo *ira furore* amplius, quod corripit. Itaque et Jeremias ait : « Corripe me, Domine, verumtamen in judicio, et non in furore tuo [19]. » Non enim, Et non in ira, dixit. Est vero quæ in judicio fit, sive correptio, sive castigatio, illa longe, quæ a *furore*, et *ira* est, mitior. Qui enim judicio corripitur, Dei judiciis, ut nihil nisi judicio et ratione, faciat, illustratur. « Cogitationes enim justorum etiam judicia. » Quod autem *manum suam in populum immisisse* dixit, vindicem potestatem significavit; non aliter, ac de *Jobo* legitur : « Quia manus Domini tetigit me [20]; » de qua etiam et diabolus ipse sic loquitur : « Nequaquam, sed mitte manum tuam, et tange illius ossa [21]; » **90** *Tunc*, pergit, *exacerbati sunt montes ;* quasi cum

Διὸ νῦν αὐτοὺς ἀπεικάζει *καλάμῃ*, ἥτις διάκενος οὖσα, ἐπὶ σαθρᾶς βαίνει τῆς βάσεως, ἀνώμαλόν τε ἔχει τὴν αὔξησιν, οἵους ἄν τις ὑπόθοιτο τοὺς ἀπὸ τῶν τοῦ κόσμου τούτου γνωρίμους. Κενοὶ γὰρ ὄντες τὸν ἔσω ἄνθρωπον, τῇ τοῦ βίου συζῶσιν ἀνωμαλίᾳ, βαίνοντες γὰρ [a] ἐπὶ σαθροῦ. Ἄνθραξ δέ ἐστι πῦρ γεῶδες μετὰ τὴν τῆς φλογὸς πάροδον τῇ παχυτέρᾳ ὕλῃ ἐναπομεῖναν. Τοῖς οὖν ὑπὸ παθῶν φλεγομένοις, ὡς ἔνδον ἔχουσι τῆς καύσεως τὴν αἰτίαν, ἐξ ἧς ὁ πλούσιος ὑπὸ δίψης *ἐφλέγετο*, οἷοι καὶ οἱ τὸν οἶνον πίνοντες, καὶ ὑπὸ τούτου *φλεγόμενοι*, πρὸς οὓς νῦν ὁ λόγος, τὸν ἐκ τῆς καύσεως εἰκότως ἀφανισμὸν ἀπειλεῖ.

Ἀλλὰ καὶ δώρων, ἔφη, χάριν τὸ δίκαιον διαστρέφουσιν. Διὸ καὶ τὴν *ῥίζαν* αὐτῶν συγκαυθήσεσθαι, ἥτις ἐστὶν ἡ φιλαργυρία· ἀφ' ἧς *ῥίζης* οὐ καρποὶ γίνονται. Ἄνθος δὲ ὁποῖον ; εἰκὸς *κονιορτῷ* παραπλήσιον ἀστάτῳ φύσει καὶ σκεδαστῇ. Καὶ, ὥσπερ οὗτος ἐμποδίζων ταῖς ἀναπνοαῖς ἐπιβουλεύει ἡμῶν τῇ ζωῇ· οὕτω, καὶ τῆς φιλαργυρίας *τὰ ἄνθη*, αἱ πλεονεξίαι, τὸ ψεῦδος, αἱ συκοφαντίαι, τὴν ἀληθῆ ζωὴν ἡμῶν ἀναιρεῖ, τῇ καθαρότητι τοῦ Πνεύματος ἐμποδίζοντα· εἰπὼν δὲ, *Οὐαὶ οἱ ἰσχύοντες ὑμῶν, καὶ οἱ δυνάσται*, νῦν φησι, *Καὶ ἐθυμώθη ὀργῇ Κύριος ἐπὶ τὸν λαὸν αὐτοῦ*, ὡς καὶ αὐτοῦ κατὰ ζῆλον τῶν προεστώτων ἡμαρτηκότος. Ἀπ' ἐκείνων γὰρ ἐπὶ τοῦτον ἡ *ὀργὴ* τὴν πάροδον ἔσχηκεν· *θυμὸς* δὲ καὶ *ὀργὴ* τροπικῶς ἐπὶ Θεοῦ. Καὶ τάχα ἡ μὲν ἐπίπονος παίδευσις, *ὀργή*. Ὁ δὲ ταραχὴν ἡμῶν ἐμποιῶν τοῖς λογισμοῖς ἔλεγχος, *θυμὸς* προσηγόρευται. Ἐν θυμῷ γὰρ αὐτοῦ, φησὶ, ταράξει αὐτοὺς, μήπω λόγου μεταλαβεῖν αὐτοὺς ἀξιῶν. Ἡ δὲ *ὀργὴ* παιδεύει κατὰ τό· « Τότε λαλήσει, πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ. » *Θυμοῦ* τοίνυν ἀνύει μᾶλλον, παιδεύουσα. Διόπερ Ἱερεμίας, « Παίδευσον ἡμᾶς, φησὶ, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ. » Οὐ γὰρ εἶπεν, Καὶ μὴ ἐν ὀργῇ. Χρηστοτέρα δὲ ἡ ἀπὸ κρίσεως παίδευσις, τῆς ἀπὸ θυμοῦ καὶ ὀργῆς. Ὁ γὰρ ἐν κρίσει παιδευθεὶς, ἀπὸ τῶν τοῦ Θεοῦ κριμάτων φωτίζεται πρὸς τὸ κρίσει πάντα καὶ λόγῳ ποιεῖν. Λογισμοὶ γὰρ δικαίων καὶ κρίματα. Τοῦ δὲ *Θεοῦ τὴν χεῖρα ἐπάγοντος τῷ λαῷ*, τουτέστι τὴν κολαστικὴν δύναμιν, κατὰ τὸν Ἰώβ· « Χεὶρ γὰρ Κυρίου ἡ ἁψαμένη μου ἐστίν » περὶ οὗ καὶ φησιν ὁ διάβολος· « Οὐ μὴν δὲ, ἀλλ' ἀπόστειλον τὴν χεῖρά σου καὶ ἄψαι τῶν ὀστέων αὐτοῦ. » *Τότε*, φησὶ, *παρωξύνθη τὰ ὄρη*. Συγκινεῖται γὰρ τῷ Θεῷ πρὸς δίκην ἡ κτίσις. Οὕτω πανταχόθεν ἦσαν αἱ τῶν Αἰγυπτίων πληγαὶ, ἀπὸ ἀέρος, ἀπὸ γῆς, ἀπὸ ὕδατος. Καὶ πῦρ δὲ πρὸς τούτοις ἐφλόγιζε. Τινὲς δέ φασιν οὕτως εἰρῆσθαι τὰς Ῥωμαίων ἀρχὰς, διὰ τὸ ἐν δόξῃ περιφανὲς, καὶ τὸ ἐν ἀξιώμασιν ἐπῃρμένον. *Κοπρίοις* δὲ διὰ τὴν ἀτιμίαν ἀπεικάζει τοὺς τεθνηκότας. Τοιοῦτοι καὶ οἱ τοῖς ἁμαρτήμασιν ἐπιμείναντες, καὶ ὑπὸ

[17] Jerem. VIII, 9. [18] Luc. XVI, 24. [19] Jerem. X, 24. [20] Prov. XII, 5. [21] Job XIX, 21.

VARIÆ LECTIONES.

[a] *ἀφ. γάρ.*

Digitized by Google

τῶν ἐναντίων δυνάμεων καταπατούμενοι. Διὰ γὰρ A Deo in scelerum vindictam, et ipsa conspirans
τὴν ἀμετανόητον αὐτῶν καρδίαν, *τὸν θυμὸν*, φησὶν, creatura commoveatur [23]. Ad hunc modum
οὐκ ἀποστραφήσεσθαι, πρὸς δὲ δίκην μένειν ἐπηρ- plagis undique Ægyptios, ab aere, ab aqua, a
μένην *τὴν χεῖρα* · καθ' ὧν καὶ τὰ δρη τὰ νοητὰ παρ- terra, ab ipso igne denique, a quo, præter hæc,
οξύνεται, ἀρχαὶ, καὶ ἐξουσίαι, καὶ κοσμοκράτορες, consumerentur, obsessos fuisse legimus. Ne-
ὑφ' ὧν θνήσκει ψυχὴ, Θεοῦ μηκέτι κωλύοντος · ὡς que desunt, qui Romanorum imperium, pro-
ἐπὶ τῶν δικαίων παρεμβάλλει ἄγγελος Κυρίου κλω- pter late patentem eorum gloriam, sublimemque dignitatis gradum, significari contendunt. Deinde *stercoribus*, *mortuos*, propter ignominiam, similes facit. Tales exsistunt, qui peccatorum sordibus inhærentes, ab adversariis potestatibus conculcantur. Eos enim propter cordis *manus*, *furorem* evitare non posse significat ; cum et *montes ipsi* monte comprehensi, id est dominationes, mundanæ denique potestates, a quibus, Deo non amplius prohibente, anima solet interire in eos *exacerbentur* : non aliter, quam angelum Domini timentes eum, circumdare, et liberare constat. Atque hic quidem finem suum consequitur, quæ Oziæ temporibus edita est prophetia, ejusque ab eo, quod dixit : *Audi, cælum ; ausculta, terra*, exordium exstitit. Quæ deinceps sequuntur, ab Oziæ morte ad Joathamum usque, qui postea regni gubernacula suscepit, referuntur.

ῶντος φοβουμένων αὐτὸν, καὶ ῥύεται αὐτούς. Τοῦτο δὲ τέλος τῆς κατὰ Ὀζίαν τὸν βασιλέα προφητείας ἀρξαμένης ἀπὸ τοῦ, *Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ*. Τὰ δὲ ἑξῆς μετὰ τελευτὴν ἐστιν Ὀζίου ἐπὶ Ἰωαθὰμ, ὃς αὐτὸν διεδέξατο.

ΚΕΦΑΛ. ϛ'. B

α-ε'. *Καὶ ἐγένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεὺς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου. Καὶ πλήρης ὁ οἶκος* P *τῆς δόξης αὐτοῦ, καὶ Σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ*, κ. τ. λ.

Τὸν Κύριον, ὃν ἐν τοῖς φθάσασι πολλάκις Σαβαὼθ ἀνεκήρυξεν, αὐτοψίᾳ παρείληφεν. Ἦν δὲ ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ὃς ὑποκαταβαίνων ἑαυτὸν ὅτε τοῦ ἰδίου μεγέθους, ὁρατὸν ἀνθρώποις ἑαυτὸν ἀπεργάζεται. Ὤφθη πολλάκις τῷ Ἀβραὰμ, καθά φησιν ἡ Γραφὴ, καὶ ἐσχηματισμένος ἐν ἀνθρώπου μορφῇ, ὡς καὶ ὑπὸ δρῦν γενέσθαι, καὶ τοὺς πόδας ἀπονίψασθαι, καὶ κοινωνῆσαι τραπέζης. Καὶ Ἰσαὰκ δὲ ὤφθη, καὶ Ἰακὼβ πολλάκις · καὶ παλαίοντα τοῦτον εἶδεν ὡς ἄνθρωπον. Ἤτει δὲ καὶ Μωϋσῆς γνωστῶς ἰδεῖν τὸν Θεὸν, ἀλλ' ἀκήκοεν· « Οὐ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου. Οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου, καὶ ζήσεται. » Ἡ γὰρ θεότης τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ, μένει τοῖς πᾶσιν ἀθέατος. Καὶ Ἰεζεκιὴλ δὲ τὴν τούτου δόξαν δι' αἰνιγμάτων ἑώρακεν. Τούτου δὲ καὶ ὁ παρὼν προφήτης ἠξίωται, καὶ μάρτυς ὁ Ἰωάννης. Εἰπὼν γὰρ, ὅτι εἶπεν Ἡσαΐας, Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς, καὶ τὰ λοιπὰ, « Ταῦτα εἶπε, φησὶν, Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ. » Νῦν γὰρ Ἡσαΐας τοῦτό φησιν· « Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, » καὶ τὰ ἑξῆς. Ὥστε τὴν Χριστοῦ δόξαν διὰ τῶν προκειμένων ὁ προφήτης ἑώρακεν, οὐ πάντως σαρκὸς ὀφθαλμοῖς, ἀλλὰ τοὺς ἔνδον πεφωτισμένους q ὑπὸ τοῦ θείου D Πνεύματος. Συνεργίᾳ γὰρ φωτὸς τοῖς ἔνδον ὁρῶμεν καὶ τοῖς ἔξωθεν ὀφθαλμοῖς. Δι' ὃ φησιν ὁ Σωτήρ· « Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται. » Οἷος ὢν Ἡσαΐας, *Εἶδε τὸν Κύριον Σαβαὼθ*, ἀλλ' οὐ ζῶντος Ὀζίου· τοῦ r γὰρ οὗτος ἐπὶ τοῖς

CAP. VI.

91 VERS. 1-5. *Et factum est, anno quo mortuus est Ozias rex, vidi Dominum sedentem super solium excelsum et elevatum. Et plena domus gloria ejus et Seraphim steterunt circum eam*, etc.

Dominum, quem Sabaoth antea persæpe prædicavit, oculata fide se complexum esse affirmat. Est autem is procul dubio unigenitum Dei Verbum ; quod in Patris sinu recumbens, submissa aliquando peculiaris gloriæ magnitudine, videndum se hominibus præbuit. Visus Abrahamo persæpe, Scriptura teste [24], etiam in hominis speciem transformatus ; nimirum, cum sub quercu esset [25], cum ei pedes ablueret, cum mensæ fieret particeps. Visus est et Isaaco sæpe, et Jacobo [26], qui luctantem hominis more eumdem expertus est. Postulavit vero Moses, aperte Deum ut videret : sed quæ sequuntur audivit : « Non poteris videre faciem meam : Non enim (addit) videbit me homo, et vivet [27]. » Unigeniti enim Filii Dei ipsa invisibilis manet omnibus divinitas. Vidit hujus et Ezechiel gloriam ; sed per ænigmata [28]. Tantæ etiam rei honore dignum hunc prophetam habitum, vel Joannis testimonio, probatur. Cum enim ille usurpato Isaiæ testimonio, excæcatos eorum esse oculos, et quæ sequuntur, dixisset, tandem subjungit : « Hæc dixit Isaias, quando vidit gloriam ejus [29]. » Istud ipsum enim est, quod jam Isaias ait : « Auditu audietis, et non intelligetis [30], » cæteraque deinceps. Constat ergo ex his, quæ superius posita sunt, Christum prophetam vidisse, nec illis tamen, quæ corporis sunt : sed internis, id est, Spiritu sancto illuminatis oculis usurpasse. Lucis enim auxilio internis, veluti externis oculis videmus. Hinc est,

[23] Sap. IV, 2. [24] Gen. XVIII, 1. [25] Gen. XXVI, 1 seqq. [26] Gen. XXXII, 1 seqq. [27] Exod. XXXIII, 18-20. [28] Ezech. I seqq. [29] Joan. XII, 41. [30] Isa. VI, 9 ; Matth. XIII, 14.

VARIÆ LECTIONES.

° γρ. κύκλῳ. P Θ. καὶ τὰ πρὸς ποδῶν αὐτοῦ ἐπλήρουν τὸν ναόν. q γρ. τοῖς ἔνδον πεφωτισμένοις· r *Ισ.* βασιλέως καί.

Digitized by Google

quod ait Salvator : « Beati mundo corde, quoniam ipsi Deum videbunt [31]. » Talis cum esset Isaias : *Vidit Dominum* **92** *Sabaoth* : sed rege Ozia non amplius superstite. Ille enim pius initio, rerum felici successu eo elatus est, ut sacrum ministerium usurpare non dubitaret, donec efflorescente lepra in fronte abdicatus est [32]. Et quanquam legis præcepto extra castra leprosus, tanquam impurus, pelli juberetur [33] : Hierosolyma tamen secedere recusans, totam urbem præsentia sua pollutam impuramque reddidit. Inde est, quod tacuit Dominus, prophetas suos alioquin minime dedignatus ; sed eorum doctrina indignos arbitratus, qui eamdem cum homine impuro civitatem incolerent. Ita enim et Ezechielem alloquitur : « Et linguam tuam adhærere faciam palato tuo, et eris mutus, nec vir qui redarguat ; quia domus exasperans est [34]. » Hinc etiam nunc tacet irritatus : eamque ob causam Hierosolyma ipsa conimota sunt. Idem præterea et Amos significat, cum ait : « Verba Amos [35]. » Deinde, regibus enumeratis, quorum tempore verba facta essent, ante duos annos terræ motus intulit. Ergo cum rege ipso finem suum etiam habuit et hoc silentium ; quo nimirum tempore imperaret Joathamus, quem in oculis Domini quod rectum esset, fecisse testimonio comprobatur : *Vidit* itaque *Dominum sedentem super solium excelsum et elevatum ; et plena domus gloria ejus.* At non in domo, sed in solio vidit. De quo omnino Scriptura loquitur, cum ait : « Dominus in templo sancto suo. Dominus in cœlo thronus ejus [36]. » Ad hæc ait Dominus : « Cœlum mihi thronus est, et terra scabellum pedum meorum [37]. » Item alius : « Alte elevatus est thronus ipsius [38] ; » quandoquidem supra naturam omnem regnum Domini attollitur. Quod autem *sedentem* facit, statum et firmum eumdem bonorum tenorem indicat. Sic et David ipse : « Deus in throno sancto suo sedet [39]. » Sic item et Baruch : « Quia tu sedes in sempiternum, nos autem peribimus in ævum [40] ; » *Dominum* ergo *videbat* superius. At *domum* jam, quæ in terra est, *gloria ipsius plenam* intuetur, non secus ac supernæ lucis radiis, divinique Verbi splendore illustratam. Quo enim tempore in Christum Dominum nondum tam impie se gesserat Israel, quod ibi habebant **93** templum Domini solebat replere *gloria*.

At ex quo semel illius regnum abjurarunt, statim audierunt : « Ecce relinquetur vobis domus deserta [41]. » *Seraphim* autem si interpreteris, flagrantes, sive ferventes sonabit. Nihil enim apud supernas potestates frigidum, nihil torpens. Deinde, qui Domino sese adjungit, fervet ille spiritu, et dilectione in Deum accenditur. Quas autem Deum *ambire* ait potestates, easdem et Danielem significasse constat, cum ait : « Millies mille ministrabant ei, et decies mille myriades ante ipsum

διὰ Θεοῦ κατορθώμασιν, ἃ κατώρθωσε θεοσεβὴς τὰ πρῶτα γενόμενος, εἰς ἱερατικὴν ἰέναι λειτουργίαν παρεβιάζετο, μέχρι τῷ μετώπῳ λέπρας ἐπανθησάσης ἐλήλαται. Τοῦ δὲ νόμου κελεύοντος ἐκπέμπεσθαι τῆς παρεμβολῆς τὸν νεκρὸν, ὡς ἀκάθαρτον, ᾤκησεν Ὀζίας ἐν Ἱερουσαλὴμ, τὴν πᾶσαν πόλιν μιαίνων· ὅθεν ὁ Δεσπότης σεσίγηκεν, οὐ τοὺς προφήτας ἀτιμάζων, ἀναξίους δὲ τῆς αὐτοῦ κρίνων νουθεσίας τοὺς ἀκαθάρτῳ συνοικοῦντας· καὶ γάρ φησι πρὸς Ἰεζεκιήλ· « Καὶ τὴν γλῶσσάν σου συνδήσω καὶ ἀποκωφωθήσῃ, καὶ οὐκ ἔσῃ αὐτοῖς εἰς ἄνδρα εὐθύνοντα, ὅτι οἶκος παραπικραίνων ἐστί. » Καὶ νῦν δὲ δι' ἀγανάκτησιν σιωπᾷ, καὶ διὰ ταύτην Ἱεροσόλυμα σέσεισται. Δεδήλωκε δὲ τὸ τοιοῦτον Ἀμὼς εἰπών· « Λόγοι Ἀμώς. » Εἶτα τοὺς βασιλεῖς εἰπὼν, ἐφ' ὧν οἱ λόγοι γεγόνασιν, ἐπήνεγκε· Πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ. Συμπέπαυται τοίνυν καὶ ἡ σιγὴ τετελευτηκότι τῷ βασιλεῖ, βασιλεύσαντος Ἰωαθὰμ, ὃς καὶ τὸ εὐθὲς ἐνώπιον Κυρίου πεποίηκεν καὶ [a] μαρτύρεται. *Εἶδεν οὖν τὸν Κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ.* Ἀλλ' οὐκ ἐν τῷ οἴκῳ τὸν Κύριον ὁ προφήτης ἑώρακεν, ἀλλ' ἐν θρόνῳ· περὶ οὗ πάντως φησὶν ἡ Γραφή· « Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ. Κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ. » Καὶ ὁ Κύριος δέ φησι· « Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. » Καὶ ἄλλος· « Ὑψοῦ ἦρται ὁ θρόνος αὐτοῦ, » ὅτι πάσης ἐστὶν ἐπέκεινα φύσεως ἡ τοῦ Θεοῦ βασιλεία. Τὸ δὲ βέβαιον, καὶ ἐν ταυτότητι τῶν ἀγαθῶν ἱδρυμένον, τῷ *καθῆσθαι* δεδήλωκεν. Καὶ ὁ Δαβὶδ φησιν· « Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. » Καὶ Ἱερεμίας [t], « Ὅτι σὺ καθήμενος τὸν αἰῶνα, καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα. » Ἄνω μὲν οὖν *ἑώρα τὸν Κύριον*, τὸν δὲ *οἶκον* τὸν ἐπὶ γῆς [φησὶ] *πλήρη τῆς δόξης*, ὥσπερ φωτὸς ἀκτῖσιν ἄνωθεν ἐξ οὐρανοῦ ταῖς τοῦ θείου Λόγου μαρμαρυγαῖς αὐγαζόμενον. Οὕπω γὰρ δεδυσσεβηκότος Ἰσραὴλ εἰς τὸν Δεσπότην Χριστὸν, ἐπλήρου τὸν ἐκεῖσε ναὸν ἡ *δόξα* Κυρίου.

Ἀρνησάμενοι δὲ τὴν βασιλείαν αὐτοῦ, ἀκηκόασιν· « Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. » Διερμηνεύεται δὲ *σεραφεὶμ*, ἐμπρησταὶ, ἤτοι θερμαίνοντες. Ψυχρὸν γὰρ οὐδὲν παρὰ ταῖς ἀνωτάτω δυνάμεσιν, καὶ ὁ κολλώμενος δὲ τῷ Κυρίῳ, ζέων ἀποτελεῖται τῷ πνεύματι, καὶ θερμὸς τὴν ἀγάπην τὴν εἰς Θεόν. Τὰς δὲ *κύκλῳ* Θεοῦ δυνάμεις καὶ Δανιὴλ ἐδήλωσε λέγων· « Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. » Οὐκ ἐᾷ δὲ, καθ' ἃ τινες ἐνόμισαν, δύο

[31] Matth. v, 8. [32] II Paral. xxvi, 16-22. [33] Num. v, 2. [34] Ezech. iii, 26. [35] Amos i, 1 seqq. [36] Psal. x, 5. [37] Isa. lxvi, 1. [38] Dan. v, 23. [39] Psal. xxxxvi, 9. [40] Baruch. iii, 3. [41] Matth. xxiii, 38.

VARIÆ LECTIONES.

[a] χρ. πεποιηκέναι. [t] Ισ. Βαρούχ.

Digitized by Google

Ταῦτα καὶ Παῦλος ἐδίδασκε, λέγων Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρίαν. Καὶ πάλιν, Ἰσραὴλ μὲν διώκων νόμον δικαιοσύνης, εἰς νόμον οὐκ ἔφθασε· διὰ τί; ὅτι οὐκ ἐκ πίστεως, ἀλλ' ὡς ἐξ ἔργων νόμου *προσέκοψεν τῷ λίθῳ τοῦ προσκόμματος*, καθὼς γέγραπται· « Τοῦ τεθῆναι [u] ἐν Σιὼν λίθον προσκόμματος, καὶ πέτραν σκανδάλου, καὶ [πᾶς] ὁ πιστεύων εἰς αὐτὸν οὐ καταισχυνθήσεται. » Τὸ μὲν οὖν *λίθον προσκόμματος καὶ πέτραν σκανδάλου* ἐντεῦθεν εἴληφεν ὁ Ἀπόστολος, τὸ δέ· « Ὁ πιστεύων εἰς αὐτὸν οὐ καταισχυνθήσεται· » ἐξ ἑτέρου τῆς προφητείας μέρους, ἐν ᾧ λέλεκται· « Ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκτὸν, ἔντιμον. Καὶ ὁ πιστεύων εἰς αὐτὸν οὐ καταισχυνθήσεται. » Ὁ αὐτὸς δὲ Κύριος [v], τοῖς μὲν *ἁγίασμα*, τοῖς δὲ *πρόσκομμα* γίνεται. Καὶ *πρόσκομμα* μὲν ἴσως Ἕλλησιν τοῖς σοφίαν ζητοῦσιν, ἡ μωρία τοῦ κηρύγματος· Ἰουδαίοις δὲ ζητοῦσι σημεῖα, *πέτρα σκανδάλου*. Ἡμῖν δὲ τοῖς μὴ ζητοῦσι λογικαῖς ἀποδείξεσι τὴν τοῦ κηρύγματος ὑποβάλλειν ἁπλότητα, μήτε διὰ σημείων ἐκπειράζουσι τὴν ἀλήθειαν, Χριστὸς Θεοῦ δύναμις καὶ Θεοῦ σοφία. *Τῷ δὲ οἴκῳ Ἰακὼβ*, τοῖς Ἰουδαίοις, φησὶν, οἱ πολλὴν κατὰ Χριστοῦ νοσήσαντες τὴν ἀπόνοιαν, ἔσονται *προσοικότες τοῖς ἐν παγίδι πεσοῦσιν καὶ τεθηρευμένοις* εἰς ὄλεθρον, καὶ *τοῖς ἐν κοιλώμασι*, τοῦτ' ἔστιν τοῖς εἰς *βάθρον* ὠλισθηκόσιν. *Ἐγγιοῦσι* δὲ, φησὶν, παντὶ κατασείειν εἰδότι, μηδεμίαν ἰσχὺν κεκτημένοι, κατὰ τοὺς πιστοὺς εἰπεῖν μὴ δυνάμενοι· « Ἡ ἰσχύς μου καὶ ἡ ὕμνησίς μου ὁ Κύριος. » *Ἁλώσονται* γὰρ οἱ ἐξ Ἰσραὴλ ὅσον μὲν ἦκεν [x] εἰς ἐπικουρίαν τὴν ἄνωθεν, ὄντες ἐν ἀσφαλείᾳ πρὸς τοὺς αἰσθητοὺς καὶ νοητοὺς πολεμίους. Φησὶ γὰρ περὶ τῆς Ἱερουσαλὴμ ὁ Θεός· « Κἀγὼ ἔσομαι αὐτῇ τεῖχος πυρὸς κύκλοθεν. » Τῇ δὲ εἰς Χριστὸν παροινίᾳ τοῖς ἐχθροῖς γεγονότες [y] εὐάλωτοι, εἰς τὰ ἔθνη μετελθούσης τῆς χάριτος. Ὁ δὲ Σύμμαχός φησιν· *Εἰς λίθον προσκόμματος, καὶ εἰς πέτραν πτώματος, τοῖς δύο οἴκοις Ἰσραὴλ, εἰς παγίδα, καὶ εἰς σκάνδαλον τῶν οἰκούντων Ἰερουσαλήμ.* Δύο δὲ *οἴκους* φησὶ, τόν τε τῶν ἀρχόντων καὶ τὸν τῶν ἀρχομένων, τὸ πᾶν ἔθνος δηλῶν. Καὶ οἱ λοιποὶ δὲ, *τοὺς δύο οἴκους* ἐξέδωκαν. Διὰ τοῦτο δὲ, φησὶν, *ἀδυνατήσουσιν ἐν αὐτοῖς πολλοὶ*, δῆλον δι' ὅτι γέγονεν αὐτοῖς *εἰς λίθον προσκόμματος*. Ἀντὶ δὲ τοῦ *ἐγγιοῦσιν*, Σύμμαχος ἐξέδωκεν, *Καὶ παγιδευθήσονται καὶ*

[67] Psal. lii, 6. [68] Joan. ix, 29. [69] I Cor. i, 23. [70] Rom. ix, 31, 32. [71] ibid. 33. [72] Isa. xxviii, 16. [73] I Cor. i, 24. [74] Psal. cxvii, 14. [75] Zachar. ii, 5.

VARIÆ LECTIONES.

[u] γρ. Ἰδοὺ τίθημι. [v] γρ. Χριστός. [x] γρ. ὅσοι μὴ ἤλπισαν. [y] γρ. γεγόνασιν.

Digitized by Google

συλληφθήσονται. Τὸ δὲ, ἄνθρωποι ἐν ἀσφαλείᾳ, περιττὸν, καὶ ὠβέλισται.

A prehenderet. Erunt itaque, ait, inter ipsos *infirmi permulti*: nimirum, quod *in lapidem offensionis* illis exstitit. Pro quo autem: *Avpropinquabunt* legimus, *irretientur*, et *capientur* extulit Symmachus. Denique verba illa: *Homines qui sunt in securitate*, supervacua sunt, et ideo obelo jugulata.

ις-ιη'. *Τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν. Καὶ ἐρεῖ· Μενῶ τὸν Θεὸν τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακὼβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ*, κ. τ. λ.

VERS. 16-18. *Tunc manifesti erunt qui obsignant legem, ut non discant. Et dicet: Exspectabo Deum, qui avertit faciem suam a domo Jacob, et confisus ero ei*, etc.

Τὸν πρῶτον στίχον ὁ Σύμμαχος οὕτως ἐξέδωκεν· *Δῆσον μαρτύριον, σφράγισαι τὸν νόμον ἐν τοῖς διδακτοῖς μου*· οἷς καὶ τὰ Ἀκύλου συνᾴδει. *Τότε δὲ*, φησὶ, μετὰ τὸ συμβῆναι τὰ εἰρημένα τοῖς δύο *οἴκοις τοῦ Ἰσραὴλ*· τότε *δῆσον τὸν νόμον*. Οὐκέτι γὰρ χρεία τοῦ Μωϋσέως νόμου, οὐδὲ τῶν παρ' αὐτοῦ μαρτυρίων, τῆς καινῆς παραδιδομένης διδασκαλίας B τοῖς διδακτοῖς αὐτοῦ, τοῖς ἐξ ἐθνῶν κεκλημένοις, οἵτινες φανεροὶ ἔσονται *σφραγίζοντες τὸν νόμον* τοῦ μὴ μαθεῖν αὐτὸν, οὐκ ἔτι ὄντα χρήσιμον τῇ παραθέσει τοῦ κρείττονος. Ἂρ' οὖν ἀφεξόμεθα τῶν νομικῶν ἀναγνωσμάτων Χριστοῦ λέγοντος· « Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι πᾶς γραμματεὺς μαθητευθεὶς τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὁμοιός ἐστι πλουσίῳ ἀνθρώπῳ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά. »

Primum versum sic reddit Symmachus: *Liga testimonium, obsigna legem discipulis meis*, quibuscum et ipsa etiam Aquilæ consentit interpretatio. *Tunc autem*, ait; id est, postquam quæ dicta sunt duobus *domibus Israel* evenerint; *tunc*, inquam, *legem ligato*. Neque enim ulla tum vel Mosaicæ legis, vel emendicatorum ab ea suffragiorum erit necessitas, cum recentis disciplinæ vocatis gentibus fiet promulgatio, quæ quidem manifeste erunt *legem obsignantes*, ne discant; eam scilicet, quæ nihil amplius, si cum præstantiori conferatur, habeat utilitatis. A legis igitur abstinebimus lectione, quando Christum dixisse constat: **137** « Ideo omnis scriba doctus in regno cœlorum, similis est homini patrifamilias, qui profert de thesauro suo nova et vetera [76]. »

Οὐκ οὖν, οὐ καθάπαξ, τὴν δὲ σωματικὴν ἐκδοχὴν αὐτοῦ παραιτούμεθα. Τινὲς δὲ διαβάλλεσθαι διὰ τούτων φασὶ τοὺς τῷ θείῳ νόμῳ τὰς ἀκοὰς ἀποκλείοντας, εἰ καὶ *σφραγίζεσθαι* λέγονται, τῇ μορφῇ τοῦ ἀντικειμένου ἑαυτοὺς ὁμοιώσαντες, μὴ θέλοντες ἐν ἑαυτοῖς μορφωθῆναι Χριστόν. Προτιμῶντες δὲ τοῦ ἐπουρανίου τὴν εἰκόνα τοῦ χοϊκοῦ, ἀφ' ἑαυτοῦ δὲ ὁ νόμος τῇ ἀσαφείᾳ τῶν ῥημάτων *ἐσφράγισται* διὰ νοῦ γυμνασίαν οὕτω παραδοθείς. Ὁ δὲ μὴ τῇ μελέτῃ λῦσαι τῆς ἀγνοίας ἐπιχειρῶν τὸν δεσμὸν *σφραγίζειν* αὐτὸν λέγεται. *Ἐσφράγιζον* καὶ Ἰουδαίων οἱ διδάσκαλοι προφάσει τῆς κατὰ τὸ γράμμα τηρήσεως οὐκ ἀποκαλύπτοντες τὰ ἐν τῷ βάθει μυστήρια. Περὶ ὧν φησιν ὁ Σωτὴρ, ὅτι Ἤρατε τὰς κλεῖς, καὶ οὔτε αὐτοὶ εἰσέρχεσθε, καὶ τοὺς δυναμένους εἰσελθεῖν κωλύετε. Ὁ δὲ τοιοῦτός φησιν Ἰουδαϊκός· *Μενῶ* [a] *τὸν Θεὸν τὸν ἀποστρέψαντα*, καὶ τὰ ἑξῆς. Λέγει δέ· Οὐ δέχομαι τὸν Ἐμμανουὴλ, εἰ καὶ νῦν ἐγκαταλέλειμμαι· μενῶ δέ ποτε τὴν ἐπισκοπὴν τοῦ Θεοῦ τοῦ νῦν ἡμᾶς *ἀποστραφέντος*. Κατὰ δὲ τὴν προτέραν ἐξήγησιν, οἱ εἰς Χριστὸν ἠλπικότες ταῦτά φασιν, τὸν μὲν νόμον ἀποστρεφόμενοι, τὴν δὲ τοῦ Χριστοῦ περιμένοντες χάριν, ὡς ἂν αὐτῶν *ἁγίασμα γένηται*· κατὰ τό· « Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχεν μοι. » [Ὑπομένει δὲ Κύριον] ὃς καὶ καρτερεῖ τὰ δοκοῦντα Θεῷ, καὶ τοὺς ὑπὲρ εὐσεβείας ἀγῶνας ἀνέχεται, στάσιν ἐν Θεῷ ποιούμενος ἀσφαλῆ, διὰ τοῦ βλέπειν, ὡς *ἀπεστράφη* Θεὸς τοὺς ἠπειθηκότας αὐτῷ. Τινὲς δὲ [a] οἱ ταῦτα λέγοντες· διδάξει τὸ τοῦ Μονογενοῦς πρόσωπον εἰσαχθὲν καὶ λέγον περὶ αὐτῶν·

Nequaquam profecto, nequaquam omnino: sed carnalem legis sensum aversabimur. Non desunt, qui eos hic argui existimant, qui legi divinæ aures suas obturarunt; unde et *signari* ipsi, quia adversario fieri similes magis, quam Christi formam in C cordis penetralibus gerere, terrenamque imaginem cœlesti præferre voluerunt. Est autem lex ipsa per se verborum obscuritate, ad exercendas ingenii vires, veluti sigillo *obsignata*, cujus qui ignoratæ difficultatis vinculum solvere non conetur, *obsignare* ipsum merito dixeris. *Obsignabant* porro et eam Judæorum magistri, cum elementari observatione contenti, hac specie demersam in fundo mysteriorum gravitatem scrutari, et in apertum proferre non conabantur. In quos illa sunt Salvatoris [77], ubi eos clavem quidem habere, non modo autem non ingredi, sed volentes aditu etiam prohibere conqueritur. Quorum qui mores imitatur, Judaico more sic ferme loqui videtur: *Exspectabo Deum, qui avertit*, etc., eodem plane sensu ac si diceret: D Emmanuelem, quantumvis nunc deseror, non admitto tamen; sed *avertentis* nos Dei futuram tandem aliquando visitationem exspectabo. Sin autem priorem interpretationem sequamur, ista eorum verba fuerint, qui lege posthabita in Christum spes suas collocare, ejusque gratiam retinere, quo in *sanctificationem* ipsis *cederet*, satis esse duxerunt; quale est illud: « Exspectans exspectavi Dominum, et intendit mihi [78]. » Dominum vero ii exspectare dicuntur qui, quæ Deo placent,

[76] Matth. XIII, 52. [77] Luc. XI, 52. [78] Psal. XXXIX, 2.

VARIÆ LECTIONES.

[a] γρ. Ἰουδαϊκῶς μενῶ. [a] γρ. εἰσι.

Digitized by Google

forti animo tolerant, nec oblata pro religione certamina refugiunt, hoc uno fidem in eum roborantes, quod incredulos a se ipsum *avertisse* videant. Neque vero celandum est, exsistere nonnullos, qui personam hic Unigeniti induci velint, deque ipsis in hæc verba dicere : *Ecce ego et pueri, quos dedit mihi Deus*, quæ a Paulo etiam in eam, quæ exstat ad Hebræos Epistolam, relata sunt [79]. Sunt enim Judaici *pueri*, qui ex maris et feminæ concubitu **138** nascuntur. At quos tanta dignatur appellatione Dominus, eosdem certe neque ex sanguine, neque ex voluntate carnis, sed ex Deo nasci oportet [80] : quippe qui non secundum carnem geniti, sed Deo illi largiente tales sint filii in lucem editi. Hoc ipso enim quod Deus est, omnium quoque natura Dominus est, nec amplius quidquam ad Mosis leges attendit. *Puerorum* autem nomine, eos, qui fidem amplexi sunt, veluti spiritu renatos, et veterem hominem exutos, intelligit : morum nimirum simplicitate præditos, malique expertes; et qui, superatis rudibus Scripturæ elementis, lacte amplius non egent; sed mysteriorum capaces solido jam adultorum cibo vescuntur [81]. At ex quo nobis etiam, Abba, pater, in spiritu per eum inclamare datum est [82], fratres ab ipso jam nuncupantur, tanquam Patri, quos ipse acceperat, rependeret : ad quem his ipse etiam verbis loquitur : « Quos dedisti mihi de mundo, tui erant, mihique eos dedisti [83]; » juxta illud : « Pete a me, et dabo tibi gentes hæreditatem tuam [84]. » Per hos autem, ait, *pueros, signa erunt et prodigia.* Quod est a reliquis ita redditum : *Ecce ego et filii, quos dedit mihi Dominus, in signa et prodigia in Israel.* Ideo enim mihi eos largitus est, ait, ut per eos prodigia ederem. Quibus et ipse Salvator, cum ad oves domus Israel, quæ perierant, eosdem mitteret, aiebat : « Infirmos sanate, dæmonas ejicite, gratis accepistis, gratis date [84]. » Per quæ *signa* et ipsa gentium fiebat vocatio. Quod enim ignorationem cognitio, quod nequitiam probitas deturbarit; quod ubique terrarum denique fundamenta Dei jecerit Ecclesia, divinæ gratiæ *signis* apertis et manifestis, quæ nec ab alio etiam, quam *a Domino exercituum* esse queant, tribuatur necesse est. Quis autem alius ab eo *exercituum Dominus*, qui est Dominicarum copiarum summus imperator; a quo *signa* pueris qui in eum crediderunt, data sunt? De quibus olim cum : « Hosanna in excelsis [85], » inclamarent, illud : « Ex ore infantium et lactentium perfecisti laudem [86], » usurpari ait. De quibus, inquam, gratiæ illæ intelliguntur, quas Patri retulit, quod ea sapientibus et **139** prudentibus occultasset, quæ parvulis illis retexisset [87] : mysticos nimirum parvulos significans, qui doctrinæ illius ope, qui in *Sion monte cœlesti habitat*, mysteriorum revelatione potirentur. Hujus autem montis etiam meminit Apostolus cum ait : « Accessistis ad Sion montem et civitatem Dei viventis, Jerusalem cœlestem [88]. »

A Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ Θεός· ἃ καὶ Παῦλος ἐν τῇ πρὸς Ἑβραίους παρέθετο. Τὰ μὲν γὰρ Ἰουδαϊκὰ *παιδία* ἐξ ἀνδρός τε καὶ γυναικός· τὰ δὲ, τοῦ χρηματίζοντος ταῦτα Κυρίου, οὐκ ἐξ αἵματος, οὐδὲ ἐκ θελήματος σαρκὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν, τοῦ Πατρὸς αὐτῷ τοιαῦτα τέκνα δεδωρημένου[b] κατὰ σάρκα. Καθ' ὃ γὰρ Θεὸς, πάντων κρατεῖ φυσικῶς, μηκέτι τῷ Μωϋσέως προσέχοντα[c] νόμῳ. *Παιδία* δέ φησι τοὺς πιστοὺς, ὡς ἀναγεννηθέντας τῷ πνεύματι, καὶ τὸν παλαιὸν ἄνθρωπον ἀπεκδυσαμένους· ἀπαλοὺς τὸν τρόπον, καὶ ἀπειροκάκους, ἀπογεγαλακτισμένους λοιπὸν ἀπὸ τῶν εἰσαγωγικῶν λόγων, καὶ ἐπὶ τὴν τῶν τελειοτέρων τροφὴν τῶν μυστηρίων χωροῦντας. Δοὺς δὲ ἡμῖν καὶ τὸ κράζειν ἐν πνεύματι, Ἀββᾶ ὁ πατὴρ, ἀδελφοὺς ἡμᾶς προσ- B ηγόρευσεν τῷ Πατρὶ καθάπερ ἀντιδιδοὺς οὓς ἐδέξατο· πρὸς ὃν καί φησιν· « Οὓς ἔδωκάς μοι ἐκ τοῦ κόσμου, σοὶ ἦσαν, κἀμοὶ αὐτοὺς ἔδωκας, » Κατὰ τό· « Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. » Διὰ τούτων δὲ *τῶν παιδίων*, φησὶν, *ἔσται σημεῖα καὶ τέρατα*· ὅθεν οὕτως ἐξέδωκαν οἱ λοιποί· *Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ δέδωκέν μοι ὁ Κύριος, εἰς σημεῖα, καὶ εἰς τέρατα ἐν Ἰσραήλ.* Ἔδωκε γάρ μοι, φησὶν, αὐτὰ θαυματουργεῖν δι' αὐτῶν· οἷς καὶ ἔλεγεν ὁ Σωτὴρ πρὸς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραὴλ ἀποστέλλων αὐτὰ, « Ἀσθενοῦντας θεραπεύετε, δαίμονας ἐκβάλλετε, δωρεὰν ἐλάβετε, δωρεὰν δότε. » Δι' ὧν *σημείων* καὶ ἡ τῶν ἐθνῶν ἐγίνετο κλῆσις. Τὸ γὰρ ἐξ ἀγνοίας εἰς γνῶσιν, καὶ πρὸς ἀρετὴν ἐκ κακίας μεταβαλεῖν, Ἐκκλησίας τε Θεοῦ C πανταχοῦ συστῆναι τῆς γῆς, Θεοῦ χάριτος ἐναργῆ *σημεῖα* καθέστηκεν. Ἅπερ ἐστὶ *παρὰ τοῦ Κυρίου σαβαώθ.* Τίς δὲ ἄλλος τῶν *στρατιωτῶν Κύριος*, ἢ ὁ λεγόμενος ἀρχιστράτηγος τῆς δυνάμεως τοῦ Θεοῦ, παρ' οὗ δέδοται τοῖς παιδίοις *τὰ σημεῖα* τοῖς εἰς αὐτὸν πεπιστευκόσιν; περὶ ὧν αὐτὸς λεγόντων· « Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, » εἰρῆσθαί φησι τὸ, ὅτι « Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. » Περὶ ὧν ἐξομολογούμενος τῷ Πατρὶ, φησὶν, ὅτι ἔκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Τὰ μυστικὰ παιδία νηπίους καλῶν τοὺς διὰ τῆς μαθητείας τῆς ἀποκαλύψεως τῶν μυστηρίων τυχόντας, οἷς ἀπεκάλυψεν *ὁ ἐν Σιὼν κατοικῶν τῷ ἐπουρανίῳ ὄρει.* Περὶ οὗ φησιν ὁ D Ἀπόστολος· « Προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ. »

[79] Hebr. II, 12. [80] Joan. I, 13. [81] Hebr. V, 12. [82] Galat. IV, 6; Rom. VIII, 15. [83] Joan. XVII, 6. [84] Psal. II, 8. [84] Matth. X, 8. [85] Matth. XXI, 9. [86] ibid. 16. [87] Matth. XI, 25. [88] Hebr. XII, 22.

VARIÆ LECTIONES.

[b] *Al.* ἴσ. οὐ [c] *γρ.* προσέχων τι.

Digitized by Google

ιθ-κβ'. *Καὶ ἐὰν εἴπωσι πρὸς ὑμᾶς· Ζητήσατε* A *τοὺς ἐγγαστριμύθους, καὶ τοὺς ἀπὸ τῆς γῆς φωροῦντας, τοὺς κενολογοῦντας, οἱ ἐκ τῆς κοιλίας φωροῦσιν. Οὐκ ἔθνος πρὸς Θεὸν αὐτοῦ ἐκζητήσουσι; Τί ἐκζητήσουσι περὶ τῶν ζώντων τοὺς νεκρούς;* κ. τ. λ.

Κατηχητικὸν ἐξυφαίνει λόγον ὁ Ἐμμανουὴλ τοῖς εἰς τέκνα λελογισμένοις, τῆς ἀρχαίας ἀπάγων αὐτοὺς δεισιδαιμονίας, ὡς ὄντας αὐτοῦ διδακτούς. Εἰ γὰρ συγγενεῖς ὑμᾶς [φησὶν] ἢ φίλοι παρακαλοῖεν ἐπὶ τὴν προτέραν πλάνην ἐπανελθεῖν, μὴ πείθεσθε τῇ συμβουλῇ, προφάσει προγνώσεως. Ταῦτα γὰρ ἐνεργοῦσιν ἐπὶ καταστροφῇ τῶν γινομένων[d] οἱ δαίμονες. Καὶ πάθη γὰρ θεραπεύειν, καὶ προλέγειν ἰσχύουσι· τὸ μὲν, διὰ τὸ διορατικώτεροι εἶναι τῶν ὑλικωτέρων ἰδιωμάτων, οἷον βοτανῶν ποιότητος καὶ κατ' ἀλλήλου B προσαγωγῆς· τὸ δὲ, τὸ πρώτους ὁρᾷν τὰ γεγενημένα, καὶ ὡς ἐσόμενα δῆθεν προβάλλεσθαι. Οἷον γνόντες τὰ τετυπωμένα περὶ Σαοὺλ ἀποφάσει τε δημοσιευθέντα Θεοῦ, τὸ τοῦ Σαμουὴλ σχηματισάμενοι πρόσωπον, ὡς ἰδίαν ἀπόφασιν ἀφηγήσαντο. *Ἀπὸ γῆς δὲ φωνεῖν τοὺς ἐγγαστριμύθους* φησίν. Οὐδὲν γὰρ οὐράνιον φθέγγονται· ὅπερ ὁμολογεῖ καὶ ἡ λέγουσα πρὸς Σαοὺλ, Ὁρῶ θεοὺς ἀναβαίνοντας ἀπὸ τῆς γῆς. Ψυχὰς γὰρ ἐπαγγέλλονται τετελευτηκότων ἀνάγειν εἰς τὴν τῶν ζητουμένων φανέρωσιν· οὓς καὶ *ματαιολόγους* λέγει καὶ *φωροῦντας ἐκ κοιλίας*· οὓς ὀνομάζουσι πυθῶνας· τάχα καὶ ὡς ἀπὸ καρδίας ἑαυτῶν φθεγγομένους. Ἀναπλάττει γὰρ τὸ ψεῦδος, τοῦ τῶν παρόντων θελήματος στοχαζόμενος. Λέγοιντο δ' ἂν οὗτω, C καὶ ὧν ὁ Θεὸς ἡ κοιλία, κἂν εὐλάβειαν ὑποκρίνοιντο καὶ διδάσκοιεν, πληρῶσαι ταύτην ἐθέλοντες. *Κενολογοῦσι* γὰρ, οὐκ ἀπὸ διαθέσεως λέγοντες. Ὁ γὰρ μὴ ποιῶν καὶ διδάσκων, πρὸς ὠφέλειαν οὐκ ἀξιόπιστος. Τὸ δὲ, *οὐκ ἔθνος πρὸς Θεὸν αὐτοῦ ἐκζητήσουσιν;* Κατ' ἐρώτησιν εἴρηται καὶ κατ' ἔλλειψιν ἴσως τοῦ, *λέγετε πρὸς αὐτούς*. Εἰ γὰρ ἕκαστον *ἔθνος*, εἰ καὶ πεπλανημένως, ὅμως δ' οὖν τοῦ ἰδίου Θεοῦ περιέχεται. Τοὺς τὴν ἀπλανῆ γνῶσιν ἔχοντάς τι ποιητέον, ἢ τὸν ἑαυτῶν *ἐκζητῆσαι Θεὸν*, μηδὲ ἐρωτᾷν περὶ πραγμάτων τοὺς ἀπάσης ἐτερημέρους[e] ζωῆς; ἢ περὶ τῶν εἰδώλων λέγων[f], ἢ περὶ τῶν τῆς ὄντως ἐκπεπτωκότων ζωῆς, ὁποῖοι διὰ τῆς ἀποστασίας οἱ δαίμονες, μὴ ἔχοντες ἐν ἑαυτοῖς τὸν ζῶντα τοῦ Θεοῦ λόγον· ἢ καὶ ὅτι ἄτοπον περὶ τῶν ἔτι ζώντων ἐπ- D ερωτᾷν τοὺς ἐν τῇ γῇ κειμένους. Πᾶσα γὰρ ἡ τοιαύτη μαγγανεία περὶ τὰ μνήματα στρέφεται. Τὸ δὲ, *τί ἐκζητοῦσιν;* δυσανασχετοῦντός ἐστιν ἐπὶ τῇ τούτων ἀνοίᾳ, δι' ὅτι τὸν κωφὸν ὁ λογικὸς ἐρωτᾷ γιγνόμενος κοινωνὸς διὰ τῆς παρακοῆς τῆς νεκρώσεως. Εἰ γὰρ *χωρεῖς* εἰς μαντεῖον, ἢ χρήσαιο καθαρμοῖς, ἢ τοῖς τοιούτοις, ἴσθι *πρὸς νεκροὺς* ἀπελθών.

VERS. 19-22. *Et si dixerint vobis: Quærite a pythonibus, et iis, qui de terra loquuntur, qui vana dicunt, qui de ventre respondent. Nonne gens a Deo suo requirit? Quid requirunt pro vivis a mortuis?*

Institutionis formulam quamdam Emmanuel in eorum gratiam, quos filii nomine censuit, ut tanquam discipulos a veteri superstitione revocet, contexit. Vos enim, ait, si vel cognati, vel amici, futurorum cognitionis prætextu ad præteritos errores retrahere verbis conentur; ejusmodi consilia rejicite. Talia enim dæmones in eorum interitum, qui experiri non verentur, moliuntur. Possunt enim et morbos sanare, et futura prædicere: illud quidem, quod penitius et perspicacius, insitas naturæ proprietates, ut plantarum vires, earumque usus idoneos **140** et admotiones vident. Istud vero, quod quæ geruntur primi intuentur, reliquisque tanquam futura proponunt; ut, verbi causa, cum de Saule quæ rata essent, Deique sententia publicata, cognoscerent; assumpta statim Samuelis persona, tanquam propria ipsi decreta narrarunt[89]. Ait autem *de terra pythonicos loqui*, quia nihil cœleste effantur: idque vel mulierculæ testimonio patuerit, quæ Saulem alloquens, deos se de terra ascendentes intueri profitetur: nimirum, quia mortuorum animas, ad eorum explicationem, quæ quæruntur, ab inferis evocare feruntur. Hos etiam *vaniloquos* ait, et *de ventre loquentes*, quos et pythonas appellant. Ideo etiam fortasse, quod de corde suo, id est, a se conficta, pro ratione auditorum loquantur. Possunt et de his intelligi, quorum Deus venter est[90]; quique ipsum, quantumvis pietatem simulent, et doceant, farcire tamen et saturare student. *Vana* enim *loquuntur*, cum præter animi institutum loquuntur. Neque sane proficit ad utilitatis suasionem, qui quæ verbis docet, reipsa non præstat. At quod sequitur, *nunquid populus a Deo suo requirit*? Per interrogationem forsitan, atque adeo per defectum (quasi *dicite ad ipsos* supplere necessum sit) poni putandum est. Si enim *populus* quisque peculiares deos (non sine errore tamen) amplectitur et consulit: quid decet facere veram numinis cognitionem adeptos? Num suum ipsos *Deum requirere*? non autem de rebus eos interrogare, qui plane vita privati sunt? Intelligit autem vel idola, vel eos ipsos, qui ea plane quæ vera vita dicitur exciderunt, quales ipsi dæmones exsistunt, qui propter defectionem vivum in se Dei verbum non admittunt: vel etiam, quia absurdum est de superstitibus, eos, qui in terræ visceribus jacent, interrogare. Assolet enim ejusmodi circa sepulcra omnis impostura versari. Quod autem *quid requirent* ait, animi affectum graviter et inique istorum amentiam ferentis exprimit; qui ratione præditi muta compellare, mortis propter contumaciam facti participes, non verentur. Si

[89] I Reg. xxviii, 7 seqq. [90] Philipp. iii, 19.

VARIÆ LECTIONES.

[d] γρ. Ισ. πειρωμένων. [e] γρ. ἐστερημένους. [f] Ισ. γρ. λέγει.

Digitized by Google

enim vel oraculum adeas, **141** vel lustrationibus, aliisque hujus generis rebus utaris, te mortuos adiisse putato.

Sin autem Dei verbum, legemque evangelicam fueris amplexus, amplius te futura non torqueant; sed præsentibus ad id, quod utile est, utere. *Legem enim in auxilium accepisti*, magno, ad id quod honestum est, adjumento naturæ beneficio præditus: quod quia perficere voluit Deus, legis etiam adminiculum adjecit. Quod si de futuris tibi fidem fieri postulas, ea quæ lege jubentur, exsequere; itaque bonorum fruitionem exspectato. At non est, ait, *lex illa, sicut verbum istud, ventriloqui* nimirum. Neque enim est ad fraudem lucri causa excogitata, sed veritatis magistra, omnibus gratis proposita, ipso teste Isaia, cum ait: « Omnes sitientes, venite ad aquas, et qui non habetis argentum, properantes emite absque argento et pretio [91]. » Unum enim est nostra libertate dignum maxime *beneficium*; ipsa datæ *legis* observatio: cum illic, ut plurimum, quæ ad fraudem conficta sunt, oracula veneant. Quod si ad divinam istiusmodi *legem* non attenditis; *veniet*, ait, *super vos dura fames*. Sic enim suos docere Deus, sic ad resipiscentiam deducere consuevit. Malis enim te pressi, ait, et fame, ut demererer. Cæterum *famis* nomine, vel panis tantum, vel reliquorum adeo quæ usui apta sunt, penuria significatur; quæ nec immerito *dura* dicitur, cum sit illa implacabilis, per quam Deus salutis non pœnitendæ dolorem molitur. Et his etiam, qui divina lege exciderunt, *dura fames* immittitur, non panis modo, aut aquæ, sed audiendi verbum Dei [92]. Is enim ipse panis est de cœlo, qui mundo vitam largitur [93]. Symmachus autem sic transtulit: *Et abibit ab ipso scandalizatus, et famebit. Erit autem cum famuerit, et exacerbatus fuerit, etiam maledicet regi suo.* Quisquis enim Dei lege despecta dæmonum fraude elusus, a quibus rerum futurarum cognitionem exspectat, scandalizatur; verbi ille fame, exstasi præterea, et exacerbatione eo usque laborabit, ut regem suum, vel, ut habent **142** interpretes LXX, *principem*, *legesque patrias* convitiis insectari non dubitet. Tanquam enim nihil sanctum et venerandum habeant veteres a *Patribus* accepti Ecclesiæ *ritus*; ipsos, et eorum auctorem Christum, insectabuntur; itaque eos, qui Evangelii lucem sunt aversati, mentis excipient *tenebræ*. Quidam autem eos, de quibus sermo est, fame ad resipiscentiam provocatos et adjutos intelligentes, pœnitere, et mundi hujus *principem*, ex quo illos acceptæ injuriæ sensus admonuit, conviciis insectari volunt; *patria* autem eorum esse studia, qui in peccatis degunt: carnis opera nimirum, quibus ipsi irretiti a divina *lege* avertuntur. Sed qui tales sunt, non possunt ideo non esse beati, quod verum *principem*, *patriam*-

A Ἔχων δὲ τὸν τοῦ Θεοῦ λόγον καὶ νόμον τὸν εὐαγγελικὸν, μὴ πολυπραγμόνει τὸ μέλλον· τὰ δὲ παρόντα πρὸς τὸ χρήσιμον διατίθεσο. *Νόμον γὰρ εἰς βοήθειαν ἔλαβες*, ἔχων μὲν μεγάλην ἐνυπάρχουσαν ἐκ φύσεως πρὸς τὸ καλὸν ἐπιτηδειότητα· ταύτην δὲ τελειῶν ὁ Θεὸς, καὶ τὴν ἐκ τοῦ νόμου σοι χειραγωγίαν προσέθηκεν. Εἰ δὲ βούλει περὶ τῶν μελλόντων πεπεῖσθαι, ποίει τὰ διατεταγμένα κατὰ τὸν νόμον, καὶ ἀνάμεινον τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν. Οὗτος δὲ

B *ὁ νόμος* οὐκ ἔστι, φησὶν, ὡς *τὸ ῥῆμα τοῦτο τοῦ ἐγγαστριμύθου*. Οὐ γὰρ πρὸς ἀπάτην κέρδους χάριν ἐπινενόηται, ἀλλ' ἀληθείας ἐστὶ διδάσκαλος πᾶσι προῖκα προκείμενος, κατὰ τὴν λέγουσαν Ἡσαΐου φωνήν· « Οἱ διψῶντες, πορεύεσθε ἐφ' ὕδωρ· καὶ ὅσοι μὴ ἔχοντες ἀργύριον, βαδίσαντες ἀγοράσατε ἄνευ ἀργυρίου καὶ τιμῆς. » Ἓν γὰρ *δῶρον* τοῦ καθ' ἡμᾶς ἄξιον, *νόμου* τοῦ δοθέντος ἡ φυλακή. Ἐκεῖ δὲ πιπράσκουσι πολλάκις οὓς ἀναπλάττουσι πρὸς ἀπάτην χρησμούς. Εἰ δὲ τούτῳ *τῷ νόμῳ* τοῦ Θεοῦ μὴ προσέχητε, *ἥξει σκληρὰ λιμὸς ἐφ' ὑμᾶς*. Παιδαγωγεῖ γὰρ οὕτω πρὸς ἐπιστροφὴν ὁ Θεός. Ἐκάκωσα γάρ σε, φησὶν, καὶ ἐλιμαγχόνησα, ἵνα εὖ σε ποιήσω. Ἀλλ' ὁ

C *λιμὸς* ἢ σίτου μόνον ἐστὶν, ἢ καὶ τῶν ἄλλων ἐδωδίμων. Ὡς λέγεται *σκληρὸς* εἰκότως ἀπαραμύθητος ὢν, δι' οὗ λύπην ἐθέλει ποιεῖν εἰς σωτηρίαν ἀμεταμέλητον. Τάχα δὲ τοῖς ἐκπεσοῦσι τοῦ θείου νόμου *λιμὸς σκληρὸς* ἐπιφέρεται οὐκ ἄρτου, οὔτε ὕδατος, ἀλλὰ τοῦ ἀκούειν λόγον Κυρίου. Οὗτος γὰρ ἄρτος ἐξ οὐρανοῦ ζωὴν διδοὺς τῷ κόσμῳ. Ὁ δὲ Σύμμαχος οὕτως ἐξέδωκεν· *Καὶ παρελεύσεται ἐξ αὐτοῦ ἐσκανδαλισμένος, καὶ πεινάσει. Ἔσται δὲ ὅταν πεινάσῃ καὶ παροξυνθῇ, καὶ καταράσεται βασιλέα ἑαυτοῦ*. Παραβὰς γάρ τις τὸν θεῖον νόμον καὶ σκανδαλισθεὶς ὑπὸ τῆς τῶν δαιμόνων ἀπάτης πρόγνωσιν ἐπαγγελλομένης, λιμὸν ἕξει τροφῶν λογικῶν, ἔκστασίν τε καὶ παροξυσμὸν, ὡς τὸν πάλαι βασιλέα βλασφημεῖν ἑαυτοῦ. Κατὰ δὲ τοὺς Ἑβδομήκοντα, *τὸν ἄρχοντα καὶ τὰ πάτρια*· ὡς γὰρ μηδὲν σεμνὸν τῶν Ἐκκλησιαστικῶν ἐχόντων *θεσμῶν τῶν Πατρόθεν* ἡμῖν παραδεδομένων, αὐτά τε κακῶς ἐροῦσι, καὶ Χριστὸν τὸν τούτων καθηγησάμενον, οὓς καὶ *σκότος* τὸ νοητὸν διαδέξεται τῶν Εὐαγγελίων ἀποστραφέντας τὸ φῶς. Τινὲς δὲ τούτους, τοὺς περὶ ὧν νῦν ὁ λόγος,

D ὠφελημένους, ἐκ τοῦ *λιμοῦ* πρὸς ἐπιστροφὴν ἐκλαβόντες, φασὶν αὐτοὺς μετανοεῖν, βλασφημοῦντας τοῦ κόσμου τούτου *τὸν ἄρχοντα*, τῆς ἐξ αὐτοῦ βλάβης λαβόντα[8] συναίσθησιν. *Πάτρια* δὲ τῶν ἐν ἁμαρτίαις ζώντων αἱ τοῦ βίου πραγματεῖαι, τὰ ἔργα τῆς σαρκὸς, οἷς συζῶντες τὸν θεῖον ἀπεστρέφοντο *νόμον*. Ὁ δὲ τοιοῦτος μακάριος. Εὑρήσει γὰρ τὸν ἀληθινὸν *ἄρχοντα* καὶ *πατρίδα τὴν Ἱερουσαλὴμ*, οἵ τινες καὶ *ἀναβλέψονται εἰς τὸν οὐρανὸν ἄνω*, συγκύπτοντες πάλαι καὶ τὰ ὑψηλὰ κατανοεῖν οὐ δυνάμενοι τῶν

[91] Isa. LV, 1. [92] Amos VIII, 11. [93] Joan. VI, 33.

VARIÆ LECTIONES.

[8] γρ. λαβόντας.

Digitized by Google

θείων θεωρημάτων· νῦν δὲ τὸν πρὸς τὰ γήϊνα δεσμὸν διαλύσαντες, καὶ τῶν νοητῶν θεωροῦντες τὴν φύσιν, καὶ τὸν τόπον, ἔνθα δεήσει τὸν θησαυρὸν ἀποτίθεσθαι. *Ἐμβλέψονται* δὲ καὶ *εἰς τὴν γῆν*, τὸ εὐτελὲς τῆς ἑαυτῶν φύσεως ἐκ τῆς πρὸς τὴν γῆν συγγενείας, οἱ τέως ἐπηρμένοι καὶ φρονοῦντες ἐφ' ἑαυτοῖς. Ἐπὶ δὲ θαύματι τῶν τηλικούτων ἀποροῦντες *στενοχωρούμενοι* [καὶ] τῇ τῶν κατειλημμένων ἐκπλήξει τεταραγμένοι. « Ὅταν γὰρ συντελέσῃ, φησὶν, ἄνθρωπος, τότε ἄρχεται· καὶ ὅταν παύσηται, τότε ἀπορηθήσεται. » Οὐδεὶς γὰρ οἶδεν πόσα οὐκ οἶδεν, ἐὰν μὴ γεῦμα λάβῃ τῆς γνώσεως. Κατὰ τὸ, « Εἶπα, Σοφισθήσομαι, καὶ αὐτὴ ἐμακρύνθη ἀπ' ἐμοῦ. » Πλὴν ὁ ἀγαθὸς Θεὸς ἐπαγγέλλεται τούτοις χρηστότερα. *Οὐκ ἀπορηθήσεται γὰρ*, φησὶν, *ὁ ἐν στενοχωρίᾳ ὢν ἕως καιροῦ.* Οὐκ εἰς τὸ παντελὲς αὐτὴ ἡ ἄγνοια τῶν ἀνθρώπων καθέξει τὸ γένος. Ὁ γὰρ νῦν τῆς ἀληθείας ὠδίνων τὴν εὕρεσιν, ὄψεταί ποτε πρόσωπον πρὸς πρόσωπον, ἐπειδὴ ἂν ἐνστῇ ὁ καιρὸς τῆς τῶν ὅλων ἀποκαταστάσεως, ὅ δηλοῖ τὸ *ἕως καιροῦ*. Τινὲς δὲ ἀπὸ τοῦ *ἥξει εἰς ὑμᾶς σκληρὰ λιμὸς*, ἀποστροφὴν εἶναι πρὸς τὸ Ἰουδαίων ἔθνος φασὶν, οἱ τὸν νόμον λαβόντες παρὰ Θεοῦ, οὐ προσήκαντο τὸν Χριστόν· οὗπερ ἐκπεσόντες, *λιμῷ* περιπεπτώκασι νοητῷ. Καί ποτε τῶν ἰδίων κακῶν ἐλθόντες εἰς αἴσθησιν, κακῶς ἐροῦσιν τὸν *ἄρχοντα*, τοὺς καθηγητὰς αὐτῶν Γραμματέας καὶ Φαρισαίους, καὶ τὰ ἔθη τὰ νόμιμα, δι' ἃ ὄθεν ἀπέτρεπον αὐτοὺς πιστεύειν Χριστῷ, καὶ πρὸς τὴν κατ' αὐτοῦ μιαιφονίαν διήγειρον, οὐδὲ νόμον πάντως λέγοντες, ἀλλ' ἐντάλματα *πάτρια* ὄθεν καὶ διδασκαλίας ἀνθρώπων· διὸ σκοτούμενοι διαπορηθήσονται. Τὰ δὲ ἔθνη τὰ νῦν ἐν *στενοχωρίᾳ τε καὶ λιμῷ*, τῆς ἀφθόνου τραπέζης Χριστοῦ μεταλήψονται, ὅταν ἐνστῇ τῆς κλήσεως αὐτῶν ὁ καιρός.

que Jerusalem sunt inventuri. Iidem etiam sursum A *in cœlum* erecti *conspicient*, olim quidem sublimia rerum divinarum theoremata animo concipere non valentes ; nunc autem solutis rerum terrenarum compagibus, intelligibilium naturam, et locum in quem deponere thesaurum conveniat ausi contemplari. *In terram* porro et ipsi *intuebuntur*, ut naturæ suæ vilitatem, ex ea, quam habet cum terra cognatione, qui prius elati de se non humiliter sentiebant, agnoscant. Erunt autem tantarum rerum miraculo attoniti et *confusi*, ipsaque rerum acceptarum admiratione commoti et perturbati : « Cum enim, ait, perfecerit homo, tum incipit ; et cum requieverit, tunc in dubio erit [95]. » Neque enim, quanta quis ignoret, unquam noverit, B nisi prius scientiæ particulam aliquam degustarit ; juxta illud : « Dixi : Sapiens fiam, et ipsa recessit a me [96]. » Sed istis longe meliora Deus pollicetur. *Non enim confundetur*, ait, *qui in angustia est, usque ad tempus* ; id est : non in perpetuum mortales ipsa occupabit ignoratio. Qui enim anxie veritatem indagatur, ipsam tandem aliquando facie ad faciem cum finis sæculorum ultimus advenerit (quod ipsum *usque ad tempus* significat) repertam intuebitur. Non desunt autem, qui quod habetur, *veniet in vos* **143** *fames dura*, aposthophen ad Judæorum gentem, quæ, lege a Deo accepta, Christum admittere noluerit, esse putent, quo postquam exciderunt, sunt et ipsi in spiritualem *famem* prolapsi. C Verum si expergefacti, ad ea, quæ patiuntur, mala respexerint ; *principem* ipsum, id est, Scribarum Pharisæorumque præfectos, ipsasque adeo usitatas legis observationes, quibus populum a Christo avocatum in illius cædem excitarunt, nihil minus alioquin quam legem, sed *patria* vere præcepta hominumque doctrinas docentes, conviciis insectabuntur. Itaque tandem obcæcati confundentur : cum gentes ipsæ, quas nunc premit *angustia et fames*, cum suum accesserit vocationis tempus, opipare Christi mensæ participes futuræ sunt.

ΚΕΦΑΛ. Θ'.

α-ζ'. *Τοῦτο πρῶτον ταχὺ πίε, ταχὺ πολει, χώρα Ζαβουλὼν, ἡ γῆ Νεφθαλεὶμ, ὁδὸς θαλάσσης. Καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν κατοικοῦντες, καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, τὰ μέρη τῆς Ἰουδαίας. Ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει· ἴδετε φῶς μέγα, οἱ κατοικοῦντες ἐν χώρᾳ, καὶ σκιᾷ θανάτου*, κ. τ. λ.

Τῶν περὶ τοῦ Ἐμμανουὴλ ῥητεται λόγων καὶ ταῦτα· ἀλλ' ἄνω μὲν ἦν περὶ τῶν ἀπειθησάντων ὁ λόγος· ἐνταῦθα δὲ περὶ τῶν αὐτὸν δεξαμένων· τίνες δὲ ἦσαν οἱ πρῶτοι τὸν Χριστὸν παραδεξάμενοι, Ἰωάννης [h] ἐν Εὐαγγελίοις φησίν· « Ἀκούσας δὲ ὁ Σωτὴρ ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς Γαλιλαίαν. » Εἶτα μακαρίσας τοὺς αὐτὴν κατοικοῦντας, καὶ τὴν παροῦσαν λέξιν ἐκθέμενος, ἐπάγει· « Ἀπὸ τότε ὁ Ἰησοῦς ἤρξατο κηρύσσειν καὶ λέγειν, Μετανοεῖτε, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. » Ἔδει γὰρ τὴν *χώραν* εἰπεῖν,

CAP. IX.

VERS. 1-7. *Hoc primum velociter bibe, velociter fac, regio Zabulon, terra Nephthalim, via maris, et reliqui, qui juxta mare habitatis, et* **144** *trans Jordanem. Galilæa gentium, partes Judææ, populus qui ambulat in tenebris. Videte lucem magnam, qui habitatis in regione, et umbra mortis*, etc.

Et hæc etiam de Emmanuele dicuntur. Sed fuit D de incredulis sermo superior. De illis autem hic, qui ipsum admiserunt. Quinam autem primi illi exstitere, a quibus admissus sit Christus, vel ipse in Evangeliis testatur Matthæus, ubi ait : « Cum autem audisset Jesus, quod Joannes traditus esset, secessit in Galilæam [97]. » Deinde cum beatos dixisset, qui ipsam incolerent, et hæc ipsa verba exposuisset, adjecit : « Exinde cœpit Jesus prædicare et dicere : Pœnitentiam agite, appropinqua-

[95] Eccli. xviii, 6. [96] Eccle. vii, 24. [97] Matth. iv, 12.

VARIÆ LECTIONES.

[h] *γρ.* Ματθαῖος.

Digitized by Google

vit enim regnum cœlorum [97]. » *Regionem* enim, a qua cœpisset Evangelii prædicatio, et in qua frequentius esset versari solitus, nominari decebat. Eam igitur jucunda oratione sic alloquitur : *Hoc primum bibe ;* quam duæ tribus, *Zabulon* et *Nephthalim* sorte fuerant consecutæ, et quam intermediam externæ gentes incolebant nonnullæ quas ut significaret : *Et reliqui, qui maritimam oram, et trans Jordanem* habitatis, addidit, quo adjacentem Palæstinæ Galilæam ab ea, quæ Phœniciæ vicina est, distingueret. *Maritimam* autem vocat omnem illam regionem, quæ circa Genesaretida lacum est; quod mare solet Evangelium appellare. Ait enim : « Ambulans autem Jesus circa mare Galilææ, vidit duos fratres [98]. » Inde enim erant discipuli. Erant **145** et circa lacum illum Capharnaum, et Bethsaida, et Chorozain, cæterique pagi alii, quorum meminit.

A ὅθεν τε ἤρξατο κηρύττειν, καὶ καθ' ἣν τὰς πλείστας ἐποιεῖτο διατριβάς· ταύτην [οὖν] εὐαγγελίζεται φάσκων· *Τοῦτο πρῶτον πίε.* Δύο δὲ φυλαὶ ταύτην διεκληρώσαντο *Ζαβουλών τε καὶ Νεφθαλείμ.* Μεταξὺ δὲ τούτων καὶ ἀλλογενεῖς ᾤκουν, ὧν μέμνηται λέγων, καὶ οἱ λοιποὶ οἱ *τὴν παραλίαν, καὶ πέραν τοῦ Ἰορδάνου,* τὰ γνωρίσματα λέγων τῆς κατὰ Παλαιστίνην Γαλιλαίας, πρὸς ἀντιδιαστολὴν τῆς κατὰ Φοινίκην· *παραλίαν* δὲ λέγει πᾶσαν τὴν ἀμφὶ τὴν Γεννησαρῖτιν λίμνην χώραν, ἣν καλεῖ τὸ Εὐαγγέλιον θάλασσαν. « Παράγων δὲ, φησὶν, ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδεν δύο ἀδελφούς. » Ἐντεῦθεν γὰρ ἦσαν οἱ μαθηταί. Περὶ ἣν λίμνην εἰσὶ καὶ κῶμαι Καφαρναοὺμ, καὶ Βηθσαϊδὰ καὶ ἡ Χωριάζει [1] καὶ ὧν ἑτέρων ἐμνήσθη.

Est etiam et *trans Jordanem Galilæa*, in qua sæpissime agebat Salvator : unde et salutarem *potum*, *lucemque* magnam his primum, qui eam incolebant annuntiat. Hujus deinde vivifici salutarisque *potus* corporeis sensibus facilem præbuit imaginem Salvator, cum aqua in vinum ibi commutata in nuptiis, edendorum inde miraculorum, Joannis testimonio, exordium sumpserit [99] : ex quo statim manifestata ejusdem gloria, in eum crediderunt apostoli. Hinc igitur a propheta modo : *Hoc primum bibe, velociter fac,* dicitur. Vult enim potus ejus, qui in verbis situs est, fructum ab eis reapse, qui divinæ apparitionis *magnæque lucis* participes fiunt, reddi, præstarique. Fortassis etiam et illud eo dicit, quod sitienti populo jam dudum exspectatam annuntiet gratiam. Celerius enim ejusmodi aliquis cum voluptate poculum ebiberit : id est Salutis dogma læto et alacri animo, nihil illo prius, nihil præstantius credens, amplexatus fuerit. Quid enim Creatore antiquius ? aut quid primogenito omnis creaturæ præstantius ? *Hoc ipsum igitur bibe,* qui in principio erat Verbum, dideceris. Nihil principio antiquius. Nihil eo prius, quod erat in principio. Non Æona præbibas ; non loci aliquod, non temporis intervallum : sed hujus te primum ad operis exceptionem enixe, et qua potes maxime diligentia, conferto. Paulus enim ipse, simulatque fidem *bibit*, non Evangelii prædicationem in tempus aliquod, qui ne carni quidem se et sanguini acquievisse dicat, distulit [1] ; sed ad scopum statim, veluti cursor optimus, supernæ vocationis præmium percepturus, dato signo properavit [2]. Quibus igitur ante Salvatoris adventum in *tenebris* ignorantiæ ambulantibus annuntiatum est Evangelium ; hoc ipso jam *lucis* ortu, quæ illuminat omnem hominem venientem in hunc mundum [3], *Lucem viderunt magnam.* Qui enim *magna* non existat, quæ mente et sensibus comprehensa illus-

B Ἔστι δὲ καὶ *Ἰορδάνου πέραν ἡ Γαλιλαία,* καθ' ἣν τὰ πλεῖστα διέτριβεν ὁ Σωτὴρ, δι' ὃν *πότον* σωτήριον καὶ *φῶς* μέγα τοῖς ἐν αὐτῇ πρώτοις εὐαγγελίζεται. Τοῦ δὲ ζωοποιοῦ τούτου *πότου* εἰκόνα παρεῖχεν αἰσθητῶς ὁ Σωτὴρ τὸ ὕδωρ εἰς οἶνον ἐν τῷ γάμῳ μεταβαλών, ὃ καὶ ἀρχὴν σημείων Ἰωάννης φησὶν, καὶ ὡς ἐφανέρωσε τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν οἱ μαθηταὶ αὐτοῦ εἰς αὐτόν. Ὅθεν ὁ προφήτης φησί· *Τοῦτο πρῶτον πίε, ταχὺ ποίει.* Βούλεται γὰρ δι' ἔργων τὸν καρπὸν τοῦ λογικοῦ πόματος ἀποδιδόναι τοὺς τῆς θεοφανείας ἀξιωθέντας, καὶ *τὸ μέγα φῶς* δεξαμένους. Λέγοι δ' ἂν τοῦτο καὶ ὡς δεδιψηκότι λαῷ τὴν προσδοκωμένην εὐαγγελιζόμενος χάριν. Θᾶττον γὰρ ὁ τοιοῦτος ἐκπίνοιτο πόμα σὺν ἡδονῇ· τοῦτ' ἔστιν ὑποδέξαι τὴν εὐφροσύνην [1] τὸ C δόγμα τῆς σωτηρίας μηδὲν αὐτοῦ προτιμῶν. Τί γὰρ τοῦ κτίσαντος πρεσβύτερον, ἢ τιμιώτερον τοῦ πρωτοτόκου πάσης τῆς κτίσεως ; *Πίε τοίνυν τοῦτο,* μαθὼν ὡς Ἐν ἀρχῇ ἦν ὁ Λόγος. Οὐδὲν πρὸ ἀρχῆς, οὐδὲν πρὸ τοῦ ἐν ἀρχῇ. Μὴ αἰῶνα προπίῃς, μὴ διάστημα τοπικὸν, ἢ χρονικόν· τούτου δὲ *πρῶτον* ἐπὶ τὴν τοῦ ἔργου χώρει παραδοχὴν συντόνως τε καὶ σπουδῇ. Τοιγαροῦν ὁ Παῦλος ὁμοῦ τε *ἔπινε* τὴν πίστιν, καὶ οὐδένα καιρὸν ἀνεβάλετο πρὸς τὸ κήρυγμα, ὅς γε οὐ δὲ προσανέθετο σαρκὶ καὶ αἵματι· δρομεὺς δὲ ὢν ἀγαθὸς, ἅμα τῷ συνθήματι πρὸς τὸ τέλος ἠπείγετο κατὰ σκοπὸν διώκων εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως. Οἱ τοίνυν εὐαγγελιζόμενοι, πρὸ τῆς ἐπιδημίας ἐν τῷ *σκότῳ* τῆς ἀγνοίας *πορευόμενοι·* ἐν τῇ Ἀνατολῇ τοῦ *φωτὸς,* ὃ φωτίζει πάντα D ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, *φῶς εἶδον μέγα.* Πῶς δὲ οὐ *μέγα,* ὃ καὶ νοητοῖς ἐπιλάμπει καὶ αἰσθητοῖς ; ὃ καὶ Πατρὶ σύνεστι, καὶ πάντα φωτίζει ; *ἐν σκιᾷ* δὲ ἦσαν *θανάτου* οἱ τὰ « Πρὸς θάνατον ἁμαρτάνοντες, κατὰ τὸ, Ψυχὴ ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται. » Ὁ δὲ τοιοῦτος, ἕως μὲν ἐν τῷ παρόντι βίῳ τυγχάνει, οὔπω κατεπόθη θανάτῳ, μετανοῆσαι δυνάμενος, οὐ μὴν ἀπήλλακται παντελῶς.

[97] Matth. IV, 17. [98] Ibid. 18. [99] Joan. II, 11. [1] Galat. I, 16. [2] Philipp. III, 14. [3] Joan. I, 9.

VARIÆ LECTIONES.

[1] γρ. Χοραζὶν, ἢ Χοροζαΐμ. [1] γρ. μετ' εὐφροσύνης.

Digitized by Google

Διὸ λέγεται *ἐν σκιᾷ* θανάτου εἶναι. Καὶ ἄλλως *ἐσκιάζοντο* ὑπὸ θανάτου. Βαθεῖα γὰρ αὐτοὺς νεφέλη τῆς εἰδωλολατρείας ἐπέκειτο. Λοιπὸν ὁ λόγος πρὸς αὐτὸ μεταβαίνει τοῦ Κυρίου τὸ πρόσωπον. *Τὸ πλεῖστον τοῦ λαοῦ ὃ κατήγαγες, ἐν εὐφροσύνῃ.* Ἐν ταύτῃ γὰρ τῇ χώρᾳ πλεῖστον ἐκτήσατο λαὸν, καὶ τοὺς ἀποστόλους αὐτοῦ. Ἀντὶ δὲ τοῦ *κατήγαγες, ἐμεγάλυνας* ἑρμήνευσαν οἱ λοιποί. *Εὐφραν-θήσονται* δὲ οὕτως *καθάπερ ἐν ἀμητῷ*. Πρὸς μὲν τὴν λέξιν, δι' οὓς εὐλόγησεν ἄρτους ἐν ταύτῃ τῇ χώρᾳ ἑπτά τε καὶ πέντε, καὶ τοσούτους ἐχόρτασεν. Καὶ ἐν *θερισμῷ* γὰρ ἠθροισμένως καὶ κατὰ τὸ αὐτὸ συμποσιάζειν εἰώθασιν. Πρὸς δὲ διάνοιαν, ὅτιπερ οἱ ἀπόστολοι, καὶ οἱ τούτων εἰσέτι νῦν ὄντες διάδοχοι, ἐνώπιον τοῦ Σωτῆρος εὐφραίνονται δίκην ἀμώντων ἐργαζόμενοι τοῦ *θερισμοῦ* τῶν ἐθνῶν ἐργᾶται τυγχάνοντες· πρὸς οὓς ἔλεγεν, ὁ μὲν *θερισμὸς* πολὺς, οἱ δὲ ἐργᾶται ὀλίγοι, καὶ πῶς γὰρ οὐκ [k] ὀλίγοι τινὲς, οἳ, ὡς δεῖ καθηγούμενοι πρὸς τὸν μέγαν καὶ πολὺν τῶν ἐθνῶν *θερισμόν*; οἳ καὶ τῆς πολυθέου πλάνης εἰς ἑαυτοὺς *διηροῦντο τὰ σκύλα*, ἃ δέδωκεν αὐτοῖς εἰς προνομεῖν [l] ὁ Σωτὴρ ὁ λεγόμενος πρόσθε, *ταχέως σκύλευσον, ὀξέως προνόμευσον*; Κατὰ γὰρ τὴν παραβολὴν, τοῦ ἰσχυροῦ τυγχάνων ἰσχυρότερος, ἦρε τὴν πανοπλίαν αὐτοῦ, καὶ *τὰ σκύλα* διέδωκεν. Πανοπλίαν μὲν τὰς πονηρὰς δυνάμεις, δι' ὧν ἐνείργει τὴν εἰδωλολατρείαν. *Σκύλα* δὲ τὰς τῶν ἀνθρώπων ψυχὰς, ἃς ὑποσυλήσας εἶχεν ὑφ' ἑαυτῷ ληστοῦ καὶ τρόπῳ καὶ βίᾳ χρησάμενος. Ὁ δὲ ὡς ἀληθῶς ἰσχυρὸς καθελὼν τὴν εἰδωλολατρείαν, ἐλευθερώσας τε τὰς σκυλευθείσας ψυχὰς, διένειμε τοῖς μαθηταῖς προνοεῖν καὶ θεραπεύειν αὐτάς· οἳ καὶ *εὐφραίνονται καθάπερ ἐν ἀμητῷ τῆς Ἐκκλησίας*, ὁρῶντες τὰ λῇτα. Καὶ ἄλλως, ὃ σπείρει ἕκαστος, τοῦτο καὶ θερίσει. Ἐν οὖν τῇ ἀνταποδόσει οἱ τὸν λόγον δεξάμενοι καὶ καρποφορήσαντες, ἀνάλογον τῶν ἐνταῦθα προκαταβεβλημένων παρὰ τοῦ δικαίου Κριτοῦ λαμβάνοντες τὸν μισθὸν, *εὐφραν θήσονται* τοῖς ἑαυτῶν ἐναπολαύοντες πόνοις. Οἱ γὰρ ἐκ *σκύλων* πλουτοῦντες ἀθρόαν ὑποδέχονται τοῦ πλούτου τὴν ἀφορμὴν, διόπερ ἄμφω φησὶν, καὶ τὰ ἐξ ἀντιδόσεως ἀγαθὰ, καὶ τὰ ἐκ χάριτος παρὰ τοῦ τὰ μεγάλα ὠρουμένου διδόμενα· ἀλλ' ἐπανέλθωμεν ὅθεν ἐξέβημεν. *Εὐφραν θήσονται* τοίνυν οἱ τοῦ Χριστοῦ μέχρι νῦν μαθηταὶ, διότι ἀφῄρηται *ὁ ζυγὸς ὁ πάλαι τοῖς σκύλοις* ἐπικείμενος, καὶ *ἡ ῥάβδος* ἡ ἐπὶ τοῦ τραχήλου *τῶν σκύλων*. Τὸν γὰρ *τράχηλον* αὐτῶν συνέκαμπτε *ζυγὸς καὶ ῥάβδος* θανατική. Τὰς γὰρ ψυχὰς τῇ δουλείᾳ τῆς ἁμαρτίας ὑπέταξεν ὁ πρὸς τοῦτο *συλήσας* αὐτάς· ὡς γὰρ ἀπαιτητὴς ἐφέστηκεν τῇ ἀνθρωπίνῃ ζωῇ ῥαβδίζων, καὶ νεύειν εἰς γῆν τῇ πρὸς τὰ πάθη σχέσει ποιῶν. Ὑπὸ ταύτης τῆς ῥάβδου πληγεὶς ἔλεγεν ὁ Δαβίδ· « Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου. » Ἡ πονηρὰ γὰρ *ῥάβδος* δυσώδεις μώλωπας τῷ πληγέντι ποιεῖ. Λογίζου τὸν ἐπιθυ-

trat? quæ item **146** cum Patre est, et omnia illuminat? Erant autem *in umbra mortis* qui ad mortem peccaverant; juxta illud : « Anima quæ peccaverit, ipsa morietur [h], » Qui tamen est ejusmodi, quandiu superstes fuerit, quia pœnitere adhuc potis est; ut morte nondum absorptus, ita nec omnino liberatus dici potest. Hinc est, quod in *umbra* mortis esse scribitur. Quin et morte alias, tanquam umbra, *involvebantur*. Profunda enim illos idololatriæ nubes involvebat. Quæ sequitur deinceps, ad Domini personam transit oratio : *Plurimam partem populi, quam deduxisti, in lætitia.* Ea enim in regione magnum populi numerum, apostolos denique ipsos, sibi comparavit. Sed pro quo *deduxisti* legimus, *magnificasti* interpretantur cæteri. *Lætabuntur* vero isti, *non secus* atque qui *in messe*. Ad verbum quidem, quod septem ea in regione et quinque panibus consecratis, tantam hominum turbam saturavit. Solent enim *messis* præsertim tempore gregatim compotationes agitari. Ad sensum autem; quia apostoli ipsi, et qui etiam nunc in eorum vicem subierunt, intuente ipso Salvatore, non aliter quam messores, gentium *messem* operati sunt : iidem nimirum, quibus idem *messem* quidem multam exsistere, operas autem paucas esse, dicebat. Cæterum qui pauci tandem illi, qui magnæ et multæ gentium *messi* rite fuerunt præfecti? qui item multitudinis deorum errore sublato, in sese *spolia diviserunt*, quæ in direptionem a Salvatore non ita pridem *cito spolia detrahe, festina prædari* nominato, acceperunt? Forti siquidem, ut est in parabola [i], qui superior exsistit, universam ejus armaturam tollit : id est potestates ipsas, quarum ope idololatriam operabatur. *Spolia* item, id est hominum animas, quibus vi apud se, prædonum more, detentis abutebatur. At hic re vera fortis, sublato jam idolorum cultu, animabusque prædonum carcere liberatis, discipulis ipsis, qui *tanquam in Ecclesiæ messe* segetum copiam contemplati *lætantur*, earum salutis curam demandavit. **147** Alias etiam et quod quisque seminaverit, illud idem et metet [j]. In remuneratione igitur, qui admisso Verbo fructus aliquos ediderunt, eorumdem congruam et justam ab æquo judice mercedem ferentes, suorum ipsi laborum fructu jucundissimo potiti *lætabuntur*. Qui enim *spoliis* ditantur, ad opes iidem brevi itinere perveniunt. Ambo itaque, et quæ compensationis nomine accepimus, et quæ gratis ab eo, qui magna largitur, significavit. Sed ut eo, unde exiimus, revertamur. *Lætantur* illi quidem, qui Christi ad hæc usque tempora discipuli exstiterunt; quia *jugum*, quod *spoliis* imminebat, *virgamque* ipsam quæ cervicibus suis, *sublata* videant. Illorum siquidem *cervicem jugum* ipsum, et quæ mortem infert *virga*, inflectebant. Animas enim

[h] Ezech. xviii, 20. [i] Matth. xii, 28 seqq. [j] Galat. vi, 8.

VARIÆ LECTIONES.

[k] *Is. γρ.* οὖν. [l] *γρ.* προνομίν.

Digitized by Google

peccati imperio ille subjecerat, qui non alio fine ipsas *prædatus fuerat*. Namque exactoris more, mortalium vitæ imminet *virga* feriens, et comparato perturbationum assiduitate habitu, in terram nutare cogit. Ea virga percussus dicebat David : « Putruerunt, et corruptæ sunt cicatrices meæ [7]. » Quæ enim mala est *virga*, ei, quem ferit, graves fetore vibices inurit. Intuere aliquem cupiditatibus multis agitatum; et ei plane, qui virga percussus sit, similem inveneris. Pungit enim non sine gravi dolore effrenata intemperantium libido, donec infelicibus animis fetidam impresserit vibicem, quam ipsa turpis vitæ memoria operatur. *Virgam* igitur *istam dissipabit*, non aliter quam *Madianitarum imperium* illius opera dissipatum legimus. Historiæ meminit et Numerorum liber ; et qui etiam Judicum dicitur. Numerorum quidem his verbis : Pugnarunt adversus Madianitas, quemadmodum Mosi præceperat Dominus, trucidaruntque quidquid erat masculini sexus, ipsos denique Madianitarum reges [8]. » Judicum autem, ubi Gedeonem ita loquentem facit : « Surgite, tradidit enim in manus nostras Madianitarum castra Dominus [9]. » Quod explicatius etiam significare ipsa videtur oratio. Veluti enim Gedeone duce, non armorum vi, sed occulta, divinitusque immissa plaga, superati **148** sunt hostes ; sic et qui animis nostris adversantur : estque illorum *virga dissipata*, a quibus et ipsæ gentes propter idololatriam, et populus Israeliticus per Pharisæos, *jugo* premebantur. Ad legis enim *jugum* (de quo intelligenda sunt hæc discipulorum verba : « Nunc ergo quid tentatis Deum, qui jugum imponitis super cervices discipulorum, quod neque vos, neque patres vestri portare potuerunt [10] ? » Et ipsi etiam graviora, pro sua insatiabili populum depascendi cupiditate, adjecerant. Non male etiam quis *virgæ* nomine immoderatam istorum habendi cupiditatem intellexerit, qui quidvis se pati, quam Christi adventum contemplari, maluissent. Est igitur *exactorum virga dissipata* ; qui etiam devicti *omnem stolam congregatam dolo, et vestimentum cum permutatione restituent*. Quoniam enim animæ ornatum, ipsiusque *stolam*, ipsum denique virtutis amictum familiaribus potestatibus adjutus *dolo et fraude* deprædari, nudamque relinquere, et deturpare ausus est diabolus ; ideo *restituent* inquit : deinde *restitutionis* tempus metuentes, *cupient*, *si nati essent*, *igne* potius esse *combusti*, quam Salvatorem omnium inter mortales agentem intueri. Ipsum enim exhorrescentes dicebant : « Quid tibi nobiscum, Fili Dei ? Venisti ante tempus torquere nos [11] ? » At quod *cum permutatione* dicit, accessionem significat. Neque enim ea solum, quibus privati sumus, rependuntur, sed multa fidei facta accessione, longe quam antea efficimur meliores. « Induit enim

A μίαις ποικίλαις ἀγόμενον πῶς ἔοικεν ῥαβδιζομένῳ. Κέντρα γὰρ καὶ ὠδῖνας ἐπιθυμία τοῖς ἀκολάστοις ποιεῖ, μέχρι μώλωπα δυσώδη ψυχαῖς ἀθλίαις ἐναπομάξηται, ὃν ἡ τῶν αἰσχρῶν ἐνεργάζεται μνήμη. Ταύτην οὖν *διασκεδάσει τὴν ῥάβδον*, ὡς διεσκέδασε τὴν *ἀρχὴν Μαδιάμ*. Ἱστορίας δὲ μέμνηται ἡ τῆς ἐν Ἀριθμοῖς [καὶ ἡ] ἡ τῆς ἐν τοῖς Κριταῖς. Ἡ μὲν λέγων, « Παρετάξαντο ἐπὶ Μαδιὰμ καθὰ ἐνετείλατο Κύριος τῷ Μωϋσεῖ, καὶ ἀπέκτειναν πᾶν ἀρσενικὸν, καὶ τοὺς βασιλεῖς Μαδιάμ. » Ἡ δέ φησι Γεδεών· « Ἀνάστητε, ὅτι παρέδωκεν Κύριος ἐν χερσὶν ὑμῶν [m] τὴν παρεμβολὴν Μαδιάμ. » Ὃ καὶ μᾶλλον ἔοικεν ὁ λόγος δηλοῦν. Ὡς γὰρ ἐπὶ Γεδεῶνος οὐχ ὅπλων παρατάξει νενίκηντο οἱ πολέμιοι, ἀφανεῖ δὲ καὶ θεηλάτῳ πληγῇ· οὕτω τῶν ψυχῶν οἱ πολέ-
B μιοι· καὶ ἡ τούτων *διεσκέδασται ῥάβδος*, ὧν *ὁ ζυγὸς* ἐπέκειτο, καὶ τοῖς ἐξ ἐθνῶν διὰ τῆς εἰδωλολατρείας, καὶ τοῖς ἐξ Ἰσραὴλ, διὰ τῶν Φαρισαίων. Πρὸς γὰρ τῷ ἀπὸ τοῦ νόμου *ζυγῷ*, περὶ οὗ φασιν οἱ μαθηταί· « Καὶ νῦν τί πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε ὑμεῖς οὔτε οἱ πατέρες ὑμῶν ἴσχυσαν βαστάσαι ; » καὶ αὐτοὶ βαρύτερον ἐπετίθεσαν ἀπλείστως καλαμώμενοι τὸν λαόν. Λέγοι δ' ἂν καὶ *ῥάβδον* τὴν τούτων πλεονεξίαν, οἱ καὶ ἥδιστα πᾶν ὁτιοῦν ἂν ἔπαθον ἢπερ τὴν ἐπιδημίαν εἶδον Χριστοῦ. *Διεσκέδασται* τοίνυν *τοῦ ἀπαιτοῦντος* [n] *ἡ ῥάβδος*, οἳ καὶ ἡττηθέντες *πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀπαιτήσουσιν* [o]. Ἐπει-
C δὴ γὰρ τὸν κόσμον τῆς ψυχῆς, καὶ *τὴν στολὴν* αὐτῆς, τόν τε τῆς ἀρετῆς χιτῶνα μετὰ τῶν ἰδίων δυνάμεων σεσύληκεν ὁ διάβολος, γυμνὴν ἀποδείξας αὐτὴν καὶ ἀσχήμονα, καὶ ταῦτα *δόλῳ καὶ ἀπάτῃ* τῇ πρὸς αὐτὴν ἐποιήσατο ; τούτου χάριν, φησὶν, *ἀποτίσουσιν*· οἱ καὶ τὸν καιρὸν δεδιότες τῆς *ἀποτίσεως*, *ἐθελήσουσιν, εἰ ἐγερθήσαν, πυρίκαυστοι* μᾶλλον, ἢ τὸν Σωτῆρα τῶν ὅλων ἐπιδημοῦντα θεάσασθαι. Τοῦτον γὰρ φρίττοντες ἔλεγον· « Τί ἡμῖν καὶ σὺ, Υἱὲ τοῦ Θεοῦ, ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς ; » Τὸ δὲ *μεταλλαγῆς* μετὰ προσθήκης φησίν. Οὐ γὰρ ἅπερ ἀφῃρήμεθα μόνον ἀπολαμβάνομεν, ἀλλὰ καὶ τῇ προσθήκῃ τῆς εἰς Χριστὸν πίστεως βελτιούμεθα. « Ἐνέδυσε γάρ με, φησὶν, ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης. » Ἐπισυνηγμένην δέ φησιν λα-
D θραίως ἀφαιρεθεῖσαν. Τίς δὲ ἦν οὗτος, ὃν ἔφριττον, ἐπήνεγκεν· ὅτι *παιδίον ἐγεννήθη ἡμῖν υἱός*· ὁ αὐτὸς δὲ τῷ Ἐμμανουὴλ, ὁ νῦν *υἱὸς καὶ παιδίον* λεγόμενος. Τρίτον τοῦτο *υἱὸς* ἐν τῇ νῦν προφητείᾳ *καὶ παιδίον* ῥηθείς. Ἔλεγεν γάρ, « Ἡ Παρθένος τέξεται υἱὸν, ὃν καλέσεις Ἐμμανουήλ· » ᾧ ἐπήγαγεν, « Πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν. » Καὶ πάλιν, « Ἡ προφῆτις, φησὶν, ἔτεκεν υἱόν. » Καὶ ἐπήνεγκεν, « Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα καὶ μητέρα. »

[7] Psal. xxxvii, 6. [8] Num. xxxi, 7. [9] Judic. vii, 15. [10] Act. xv, 10. [11] Matth viii, 29.

VARIÆ LECTIONES.

[m] γρ. ἡμῶν. [n] γρ. τῶν ἀπαιτούντων. [o] γὰρ ἀποτίσουσιν.

Digitized by Google

me, ait, vestimento salutis, et tunica lætitiæ [12]. » Congregatim vero non aliam, quam quæ furtim ablata sit, intelligit. Intulit autem quem exhorrescerent, cum ait : Quia *puer natus est nobis filius.* Idem vero, qui et Emmanuel, nunc *filius* et *puer ;* tertio jam in hac prophetia *filius*, et *puer* nominatus. Ait enim : « Virgo pariet filium, quem vocabis Emmanuel [13], » quibus adjecit : « Priusquam cognoscat puer bonum **149** aut malum [14] ; » Deinde : « Ipsa, ait, prophetissa peperit filium, » quibus subjicit : « Quoniam priusquam sciat puer vocare patrem et matrem [15] ».

Καὶ νῦν τρίτον, ὅτι *παιδίον ἐγεννήθη ἡμῖν.* Ὁ A οὗτος, *υἱὸς* οὗτος καὶ τὸ *παιδίον* ὁ παρὰ τοῦ Θεοῦ δῶρον *ἡμῖν* τοῖς πεπιστευκόσι *δοθεὶς*, καὶ δι' ἡμᾶς οὐ δι' αὐτὸν *γεννηθείς*, πολυώνυμός τις ὢν, *μεγάλης βουλῆς ἄγγελος* ἐπὶ τοῦ παρόντος ὠνόμασται. Αὐτὸς γὰρ *ὁ τὴν μεγάλην βουλὴν* τὴν ἀποκεκρυμμένην ἀπὸ τῶν αἰώνων, τὴν ἑτέραις γενεαῖς μὴ φανερωθεῖσαν ἀγγελίας, ἐφανέρωσεν τὸν ἀνεξιχνίαστον ἑαυτοῦ πλοῦτον ἐν τοῖς ἔθνεσιν, εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα *οὗ ἡ ἀρχὴ ἐγεννήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ.* Τοῦτ' ἔστιν ἡ βασιλεία καὶ ἡ δυνάμις ἐν τῷ σταυρῷ, ἐφ' οὗπερ ὑψωθεὶς πάντας εἵλκυσε πρὸς ἑαυτόν. Τὴν γὰρ ἰσχὺν διὰ *τοῦ ὤμου* δηλοῖ. Πᾶσα γὰρ ἡμῶν ἡ ἰσχὺς ἐν *ὤμοις* τε καὶ βραχίοσιν. Εἴρηται γὰρ καὶ βραχίων Κυρίου, κατὰ τό· « Καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη ; » ἦρξε τοίνυν B τοῖς ἐπ' οὐρανῶν διὰ τῆς ἰδίας δυνάμεως. Ἰσχὺς γάρ ἐστι τοῦ Θεοῦ καὶ Πατρός. Τινὲς δὲ τὸν σταυρὸν ἔφασαν, ὅτι τοῦτον ἦρεν *ἐπὶ τοῦ ὤμου.* Πῶς δὲ *μεγάλης βουλῆς ἄγγελός* ἐστιν, Ἰωάννης ἐδήλωσεν λέγων· « Ὃν γὰρ ἀπέστειλεν ὁ Θεὸς, τὰ ῥήματα τοῦ Θεοῦ λαλεῖ. » Καὶ τοῖς ἀποστόλοις φησὶν ὁ Σωτήρ· « Ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι πάντα ἃ ἤκουσα παρὰ τοῦ Πατρὸς ἐγνώρισα ὑμῖν. » Ὁ δὲ Σύμμαχος ἐξέδωκεν· *Καὶ κληθήσεται ὄνομα αὐτοῦ παραδοξασμός, βουλευτικὸς, ἰσχυρός.* Ὁ δὲ Ἀκύλας· *Θαυμαστὸς, συμβουλεύων, ἰσχυρός.* Ὁ δὲ Θεοδοτίων, *θαυμαστὸς, συμβουλεύων, ἰσχυρός.* Συμφώνως γὰρ πάντες τῷ P παρὰ τοῖς Ἑβδομήκοντα *Θεὸς*, ἐξέδωκαν *ἰσχυρὸς*, ὥσπερ εὐλαβηθέντες ἐπὶ *παιδίου γεννωμένου* τάξαι τοῦ *Θεοῦ* τοὔνομα. Οἱ δὲ Ἑβδομήκοντα C τοῖς θεοπρεπῶς περὶ αὐτοῦ λεγομένοις ἐνατενίσαντες, τὸ παρὰ τοῖς Ἑβραίοις *Ἤλ*, Θεὸν εἰκότως ἑρμήνευσαν. Εἴπερ *ἄρχων εἰρήνης*, εἴρηται καὶ *ἄρχων τοῦ μέλλοντος αἰῶνος, καὶ τὴν εἰρήνην* ἔχειν ἀπέραντον. Τὸ δὲ *Ἤλ* ἐπὶ τοῦ Θεοῦ πολλάκις παρείληφεν ἡ Γραφή. Καὶ γὰρ ἔνθα φησὶ, Καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ Θεός ἐστιν. Ἀντὶ τοῦ Θεὸς, τὸ Ἑβραϊκὸν *Ἤλ* ἔχει· Καὶ πάλιν ἐν τῷ λέγεσθαι, « Σὺ γὰρ εἶ ὁ Θεὸς καὶ οὐκ ᾔδειμεν· » πάλιν τὸ *Ἤλ* ἐμφέρεται. Καὶ πάλιν ἐν οἷς εἴρηται· « Ἐγώ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστιν ἄλλος. » Τὸ *Ἤλ* ἐστιν ἀντὶ τοῦ, *Θεός.* Οὐκοῦν καὶ νῦν τὸ *Ἤλ γιββὼρ, Θεὸς ἰσχυρὸς* εἰκότως ἑρμηνεύεται. Ἐπὶ καὶ αὐτὸς ὁ ἐκ τῆς παρθένου γενόμενος Ἐμμανουὴλ τὸ *Ἤλ* ἔχων, *μεθ' ἡμῶν* D *ὁ Θεὸς*, καὶ παρὰ τῶν ἄλλων ἑρμηνεύεται. Ὅτι δὲ

165 **Vers. 5-11.** *Væ Assyriis. Virga furoris mei, et iræ est in manibus eorum. Iram meam in gentem iniquam mittam, et populo meo præcipiam, ut et faciat spolia, et prædam, et conculcet civitates, ponat eas in pulverem*, etc.

Hæc a propheta post Samariæ expugnationem dicuntur. *Cepit* ergo *Assyrius*, inquit, et *Arabiam*,

ΚΕΦΑΛ. Γ'.

α'-δ'. Οὐαὶ τοῖς γράφουσι πονηρίαν. Γράφοντες γὰρ πονηρίαν γράφουσιν. Ἐκκλίνοντες κρίσιν πτωχῶν, ἁρπάζοντες χρήματα πενήτων τοῦ λαοῦ μου, ὥς τε εἶναι αὐτοῖς χήραν εἰς διαρπαγήν, καὶ ὀρφανὸν εἰς προνομήν, κ. τ. λ.

Καὶ ταῦτα πρὸς τοὺς ἐξ Ἰσραὴλ βασιλευόμενος [l] ἐν Σαμαρείᾳ, παρ' οἷς ἦσάν τινες διὰ φιλονεικίαν τὴν πρὸς τοὺς προφήτας, ψευδεῖς *γράφοντες* προφητείας, οἳ καὶ συγγραφὰς ἐποιοῦντο παρανόμους *ἐπ' ὀρφανῶν καὶ χηρῶν* ἀδικίᾳ. Τινὲς δὲ περὶ γραμμάτων τῶν τὸν νόμον παρεξηγουμένων εἰρῆσθαι ταῦτά φασιν, ὡς ἂν χαρίσωνται τοῖς καταδυναστεύουσιν *ὀρφανούς τε καὶ χήρας*. Μή ποτε δὲ πᾶς ἁμαρτάνων ὀφλημάτων *γράφει* χειρόγραφον ; *ἐπισκοπῆς* δέ φησιν *ἡμέραν*, τὸν τοῦ πολέμου καιρὸν, καθ' ὃν αὐτοῖς ἐπάγει τὴν δίκην ὁ τὰ δρώμενα παρὰ τούτων ἐπισκοπῶν. *Πόρρωθεν* δέ φησιν, οὐκ ἐκ τῶν ὁμόρων, ὡς πρώην ἐθνῶν, ἀλλ' ἐξ αὐτῆς τῆς Ἀσσυρίας, ἤτι [m] φιλανθρωπία Θεοῦ ταύτην ἐλαυνομένην αὐτοὶ καθ' ἑαυτῶν ἐλθεῖν ἐκδιάζονται. *Ὑψηλὴ* δὲ πάλιν *ἡ χεὶρ*. Ὁ γὰρ θεῖος παραμένει θυμὸς τοῖς ἐπιμένουσι τοῖς ἁμαρτήμασιν. Οὗ παρελθόντος, *Ποῦ*, D φησι, *καταλείψετε τὴν δόξαν*, ἣν εἴχετε πολλάκις τῶν πολεμίων περιγινομένοι ; *ἐπαγωγὴν* δέ φησι τὴν ἐπαγομένην τιμωρίαν ὑπὸ Θεοῦ. Τοῦτο δὲ πέρας τῶν πρὸς τὸν λαὸν ἀπειλῶν, αἱ μικρὸν ὕστερον τῶν Ἀσσυρίων ἐπελθόντων εἰς πέρας ἐξέβησαν.

ε'-ια'. Οὐαὶ Ἀσσυρίοις. Ἡ ῥάβδος τοῦ θυμοῦ μου καὶ ὀργῆς ἐστιν ἐν ταῖς χερσὶν αὐτῶν. Τὴν ὀργήν μου εἰς ἔθνος ἄνομον ἀποστελῶ. Καὶ τῷ ἐμῷ λαῷ συγκατάξω ποιῆσαι σκύλα, καὶ προνομὴν, καὶ καταπατεῖν τὰς πόλεις, καὶ θεῖναι αὐτὰς εἰς κονιορτόν, κ. τ. λ.

Ταῦτα μετὰ τὴν ἅλωσιν Σαμαρείας ὁ προφήτης φησίν. Τοιγαροῦν ὁ *Ἀσσύριος εἵλησεν*, καὶ, φησίν,

VARIÆ LECTIONES.

[k] γρ. τῆς θείας ὀργῆς. [l] γρ. βασιλεύομενος. [m] γρ. ἕτι.

Digitized by Google

Ἀραβίαν, καὶ Δαμασκὸν, καὶ Σαμάρειαν. Θελὼ μὲν οὖν ὀργάνῳ τούτῳ χρησάμενος, τὸ ἴδιον νομιζόμενον τούτῳ παρεδίδου λαὸν ἀποκτεῖναι τοὺς ἄνδρας καὶ γυμνῶσαι κειμένους, καὶ διελέσθαι τὰ σκῦλα (προνομὴν γὰρ τοῦτο καλεῖ) καθελεῖν τε τὰς πόλεις εἰς ἔδαφος. Αὐτὸς δὲ μὴ τούτῳ [1] συνιείς, ὡς ἰδίᾳ δυνάμει κρατήσας μείζω φαντάζεται, πρὸς τοῦτο τὸν νοῦν ἀπαλλάττων, καὶ καθιστὰς, τῶν ὑπηκόων ὡς μόνον ἄρχοντα θαυμαζόντων αὐτόν. Μήπω με, φησὶ, καλέσητε κύριον, πρὶν ἂν τῶν ἄλλων κρατήσαιμι. Τῶν γὰρ ἐπάνω Βαβυλῶνος οὔπω κεκράτηκα, οὐδὲ Χαλάνης, ἐν ᾗ διεῖλε τὰς γλώττας ἐπὶ τῇ πυργοποιΐᾳ Θεός. Ἐν ἡμέραις μὲν οὖν Ἄχαζ μέρος ἐλήφθη τοῦ ἐν Σαμαρείᾳ λαοῦ παρὰ τῶν Ἀσσυρίων. Ἐπὶ δὲ του... ... τον [m] Ἐζεκίου πάντα τὸν λαὸν ἠχμαλώτευσαν ἐπὶ τῇ πρώτῃ πληγῇ μηδαμῶς σωφρονίσαντα· διὰ φιλανθρωπίαν δὲ πάλιν προλέγει καὶ τοῖς ἐν Ἱεροσολύμοις τὰ μέλλοντα, τὴν ἀσέβειαν αὐτῶν αἰτιώμενος. Καὶ οὗτοι γὰρ εἰδωλολάτρησαν ἐπί τε Ἄχαζ καὶ χρόνων τῶν μετ' αὐτόν. Πῶς δὲ ὁλολύζει τὰ γλυπτά; Τὰ μὲν ἀναίσθητα, οὐδαμῶς, τὰ δὲ ὁμώνυμα τούτοις ἐνοικοῦντα δαιμόνια, τῆς ἀπὸ τῶν μιασμάτων ἡδονῆς ἀπολαύοντα· διόπερ οἱ τὰ εἰδωλόθυτα ἐσθίοντες, κοινωνοὶ τραπέζης λέγονται δαιμονίων, ἅπερ δηλοῖ, καὶ τότε φησὶν, « Ἥξει εἰς Αἴγυπτον Κύριος καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου, καὶ ἡ καρδία αὐτῶν ἠττηθήσεται. » Ἐσείσθη γὰρ εἰς ἄβυσσον ἑλαυνόμενα κατὰ τὴν τοῦ Σωτῆρος ἐπιδημίαν. Διὰ τοῦτο, ἐπικατάρατος ὅστις ποιήσει γλυπτὸν ἢ χωνευτὸν, καὶ θήσει αὐτὸ ἐν ἀποκρύφῳ. Κακὸν γὰρ ἑαυτῷ θησαυρίζει τὸν τῷ γλυπτῷ παρεπόμενον δαίμονα. superabitur [89]. » Sunt enim ad Salvatoris adventum

A *et Damascum, et Samariam.* Ei igitur tanquam instrumento, quo viros necaret, jacentes nudaret, spoliaque divideret (hoc enim est, quod *prædam* nuncupat), urbes denique solo adæquaret, populum suum tradidit Dominus. Sed illud minime intelligens, tanquam esset sua virtute confectum, majora etiam animo, totus extra se videlicet factus, et mente captus, cum jam eum, tanquam *solum principem*, subditi mirarentur, sibi polliceri ausus est. Ait enim hoc fere pacto : Dominum me prius, quam reliquis regionibus potitum videatis, ne dicatis. Nondum enim ea, quæ supra Babylonem est, nondum Calana (ea nimirum, in qua turris exstructæ facinus confusio linguarum secuta est) regione potitus sum. Jam ergo, imperante Achazo, populi pars aliqua, quæ *Samariam*

B incolebat, in *Assyriorum* potestatem venerat. Sed Ezechia regnante, qui Achazum proxime excepit, universus tandem, quia ad primam plagam non resipuerat, in servitutem postea redactus est. Cæterum pro sua humanitate, et ipsis rursum Hierosolymorum incolis quæ futura sunt, prædicit vitæque impietatem arguit. Fuerant enim illi, et Achazo regnante, et iis etiam qui postea secuti sunt, idolorum cultum **168** amplexati. Annon vero *sculptilia* quæ sensu carent *ululare* putabimus ? Nequaquam omnino ; sed ipsa ejusdem nominis dæmonia, quæ scelerum et contagionis voluptatem senserunt. Hinc que est, quod qui idolothytis vescuntur, dæmoniorum participes vocamus. Quod et his verbis alibi significat Isaias : « Et tunc ingreditur Ægyptum Dominus, mo-

C vebunturque omnia sculptilia ipsius, et cor eorum commota, et in abyssum deturbata. Itaque maledictus quicunque sibi sculptile aut conflatile confecerit, ipsumque in occulto posuerit. Pessimum enim sibi ipse sculptili semper adjunctum dæmonium recondit.

ιβ-ιθ'. *Καὶ ἔσται, ὅταν συντελέσῃ Κύριος πάντα ποιῶν ἐν τῷ ὄρει Σιὼν, καὶ Ἱερουσαλὴμ, ἐπάξει ἐπὶ τὸν νοῦν τὸν μέγαν, τὸν ἄρχοντα τῶν Ἀσσυρίων, καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ. Εἶπε γάρ· Τῇ ἰσχύι ποιήσω, καὶ τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια ἐθνῶν*, κ. τ. λ.

Ἔτι φησὶν, Ἔτι τοῖς Ἀσσυρίοις ἐνδίδωμι, μέχρι χειρώσονται καὶ τὴν Ἱερουσαλὴμ ὥσπερ τὸν Ἰσραήλ. Μετὰ ταῦτα γὰρ, *ἐπὶ τὸν νοῦν τὸν μέγαν ἐπάξειν* φησὶ, τὸν ἐν κακίᾳ μέγαν δηλῶν, ἢ τὸν παρ' ἑαυτῷ, D ἢ παρὰ τῶν ὑπηκόων κολακευόντων οὕτω λεγόμενον. Κυρίως γὰρ νοῦς μέγας, ὁ κατ' ἀρετὴν καὶ γνῶσιν τέλειος ὤν, καὶ μηδὲν σμικρὸν περὶ Θεοῦ καὶ τῶν κριμάτων αὐτοῦ λογιζόμενος, *ἐπάξειν* δέ φησιν, ἐπεὶ μὴ δόξαν δέδωκεν ἐπὶ τοῖς αὐτῷ παραδοθεῖσιν Θεῷ, τὴν ἰδίαν προτάξας ἰσχὺν, ἢ τὴν τῶν εἰδώλων, οἷς ἀνέθηκε καὶ σκεύη τὰ ἱερὰ τοῦ Θεοῦ. Ἀλληγορίας δὲ νόμῳ, *νοῦν μέγαν*, ἢ τὸν ἀρχέκακόν φησι τὸν συναποστήσαντα πολλοὺς ἑαυτῷ, τροπικῶς νῦν Ἀσσυρίους λεχθέντας· ἦγουν δύναμιν ἀντικειμένην ἁπλῶς, *ἄρχουσαν* Ἀσσυρίων, ὡς λέγεται ὁ ἄρχων βασιλείας Περσῶν, ἢ Μήδων, ἢ τῶν Ἑλλήνων. Συν-

VERS. 12-19. *Et erit : cum compleverit Dominus cuncta opera in monte Sion, et Jerusalem, irruet in mentem magnam, principem Assyriorum ; et in celsitudinem gloriæ oculorum ejus. Dixit enim : Viribus faciam et sapientia intelligentiæ tollam fines gentium*, etc.

167 Adhuc, ait, adhuc Assyrios patior, donec Jerusalem etiam, sicut Israelitas, in suam potestatem redegerint. Post hæc enim *in magnam mentem* (sive scelerum, sive elati animi magnitudinem intelligat, sive assentatorie ita a suis nominari significet) *irrupturum* se pollicetur Dominus. Proprie enim *mens magna* est, quæ virtutis et cognitionis perfectione nihil mediocre de Deo ejusque judiciis, sentiat. Ideo autem *irrupturum* se ait, quoniam in beneficiorum memoriam auctori Deo gloriam non reposuisset, sed suam ipse pluris vel virtutem, vel idola fecisset, quibus sacram Dei supellectilem consecrasset. Quod si allegoriam quæris ; *mentem magnam* intelligit vel primum malorum interitusque auctorem qui multos a Deo *Assyriorum* nomine tropice designatos ad se pel-

[89] Isa. XIX, 1.

VARIÆ LECTIONES.

[1] γρ. τοῦτο. [m] Λ. Ἰσ. τοῦ μετὰ τοῦτον.

Digitized by Google

lexit : vel certe potestatem adversariam simpliciter *Assyriorum principem* ; qua ratione dicitur princeps regni Persarum , vel Medorum, vel Græcorum [60]. Suæ igitur *prudentiæ* , suisque *viribus* quidquid ab Assyriis gestum est, arrogat et magnifice de se sentiens Dei pacem omni *mentis* cogitatione superiorem, ante oculos sibi non ponit, sed superbe in eum erigitur. Potest et *mens magna* , non secus atque prudentia ipsa, in malam partem usurpari ; veluti cum prudentissimus animalium quæ in terra sunt , serpens dicitur. Testis est Apostolus ad Corinthios, cum ait : « Timeo ne, sicut serpens seduxit Evam prudentia sua [61], » etc. Testis et ipse Salvator cum villicum iniquitatis prudenter fecisse, et filios hujus sæculi filiis lucis prudentiores esse, dicit [62]. Præterea et *magnam mentem*, **168** prudentiam contortam, et obliquam esse aiunt. Hæc igitur mens quia novit sapientis oculos in capite ipsius exsistere [63] , suos ipsa *oculos gloria afficit ;* ut tanquam terrenis rebus superior, avocata ab inferioribus acie, quæ sursum sunt contempletur. Tales exstiterunt qui inter gentes sapientis nomine commendantur, vitæ quidem probitate obscuri , sed disputationibus de cœlo, rebusque iis, quæ sublime fiunt *oculos* sibi gloria aliqua munire , illustresque reddere conati. *Oculorum* ergo nomine cogitationes intellexit. Verum qui corda et renes intuetur Dominus [64], occulta etiam in apertum educit ; movens Assyrium suis viribus et arte militari confisum , de tollendis iis qui gentes inter se distinguunt, limitibus cogitare, ut dilatatis finibus ea suo unius imperio adjiciat quæ pulchre a Deo cum gentes separaret Altissimus [65], definita sunt et terminata, quippe qui nullum a Deo videri , nec inferiora ista curare existimet. Neque enim aliud *ovorum pullorumque* nominibus significavit. Quod deinde *ova* post *pullos* addidit, ita Providentiæ contemptum adauxit. At istum cogitare decebat , ait, et videre nihil se esse aliud , quam Dei organum non magis quam vel *securim* , vel *serram* , vel *baculum* denique , quibus movente opus est. Agendi enim ista nisi alienis agantur viribus , facultatem non habent. Quæ quando , ait, ita non est arbitratus; neque unde tibi vires suppetant agnovisti, ecce *exercituum Dominus laudem tuam* , *infamia* et dedecore excipiet. *Laudem* vero copias illas quibus imperabat et quarum nomine *gloriam consequebatur*, appellat ; quæ *igne* etiam *consumptum* iri significat. Placet autem nonnullis inter *honorem et gloriam* aliquid interesse. *Gloriam* enim a populo, honorem vero a bonis tantum deferri. Itemque *laudem* a quibuslibet aliquando, præmium autem virtutis esse honorarium. Addit se deinde, qui populo olim *illucere,* ipsumque *sanctificare*

A ἐπει τοίνυν *ἰδίᾳ* καὶ *δυνάμει* τὰ πραχθέντα τοῖς Ἀσσυρίοις ἀνέθηκεν [n] οὗν ἑαυτὸν εἶναι μέγαν δοκῶν, μὴ θέμενος πρὸ τῶν ὀφθαλμῶν τὴν εἰρήνην τοῦ Θεοῦ τὴν ὑπερέχουσαν πάντα *νοῦν*, ὑπερηφάνοις δὲ ὀφθαλμοῖς κατεπαρθεὶς τοῦ Θεοῦ. Λέγοι δ' ἂν καὶ *μέγαν νοῦν* ὡς φρόνησιν τὴν πανουργίαν ἐπὶ κακῷ, ὡς ὁ ὄφις φρονιμώτερος τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς· ὅπερ ὁ θεῖος Ἀπόστολος ἐξηγούμενος πρὸς Κορινθίους, « Φοβοῦμαι, φησὶ, μήπως ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ αὐτοῦ. » Καὶ ὁ Σωτὴρ δέ φησιν, ὡς ὁ οἰκονόμος τῆς ἀδικίας φρονίμως ἐποίησεν· καὶ οἱ υἱοὶ τοῦ αἰῶνος τούτου φρονιμώτεροι ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτός. Ἐπεὶ, καὶ *νοῦν* [o] εἶναί φασι φρόνησιν συνεστραμμένην. Οὗτος οὖν ὁ νοῦς, ἐπεὶ οἶδεν, ὡς σοφοῦ οἱ ὀφθαλμοὶ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, *δοξάζει τοὺς ὀφθαλμοὺς* αὐτοῦ, ὡς τῶν γηΐνων κρειττων, ἄνω τε βλέπων καὶ μὴ κύπτων εἰς γῆν. Τοιοῦτοι γὰρ οἱ παρ' Ἕλλησι σοφοὶ, ζῶντες μὲν κακῶς· δι' ὧν δὲ περί τε οὐρανοῦ καὶ τῶν μετεώρων φασὶ, *δόξαν* τινα *τοῖς ὀφθαλμοῖς* τοῖς ἰδίοις περιτιθέμενοι. *Ὀφθαλμοὺς* οὖν τὰς ἐννοίας φησίν. Ἀλλ' ὁ καρδίας ὁρῶν καὶ νεφροὺς, καὶ τὰ κεκρυμμένα καθίστησιν ἐναργῆ, λέγων ὡς διενοήθη παντοδαπῇ δυνάμει θαρρῶν καὶ τέχνῃ στρατηγικῇ, τὰ μὲν οἷς διώρισται τὰ ἔθνη παρ' ἀλλήλων περιελεῖν, μιᾷ δὲ βασιλείας ἕνα μόνον ὅρον ποιεῖν, τοῖς ἑαυτοῦ σκήπτροις ὑποτάξας αὐτὰ, ἃ δὴ καλῶς διώρισεν ὁ Θεὸς, ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη. Μηδένα γὰρ ἐφορᾷν, μηδὲ Θεῷ μέλλειν [p] τῶν ἐπὶ γῆς. Τοῦτο γὰρ ἡ *τῶν ὠῶν καὶ νεοττῶν* ἐρημία δηλοῖ. *Τὰ* δὲ *ὠὰ* μετὰ *τοὺς νεοττοὺς* ἐν ἐπιτάσει τῆς ὀλιγωρίας ἐπήνεγκεν. Ἐχρῆν δέ σε σκοπῆσαι, φησὶν, ὡς ὄργανον ἐγένου Θεοῦ, καθάπερ *ἀξίνη, πρίων τε καὶ ῥάβδος* τοῦ κινοῦντος δεόμενα. Δύναμιν γὰρ ἀφ' ἑαυτῶν οὐδεμίαν πρὸς κίνησιν ἔχουσιν, ἀλλ' ἐπεὶ μὴ οὕτως ἐλογίσω, μηδὲ τὴν ἰσχὺν ὅθεν ἔχεις ἐπέγνως, *ὁ τῶν δυνάμεων Κύριος ἀτιμίᾳ τὴν σὴν τιμὴν* διαδέξεται. *Τιμὴν* δέ φασι *τὴν ὑποκειμένην* αὐτῷ στρατιάν, ἐφ' ᾗ καὶ δεδόξαστο. Ἦν καὶ *πῦρ ἀναλώσειν* φησίν. Διαφέρει δὲ κατά τινας τοῦ *κλέους ἡ δόξα*. Τὴν μὲν γὰρ εἶναι τὸν ἀπὸ τῶν πολλῶν ἔπαινον. Τὸ δὲ *κλέος* τὸν ἀπὸ τῶν ἀγαθῶν. Καὶ *τιμὴ* μὲν ἡ ἀπὸ τῶν τυχόντων ἔσθ' ὅτε. Τὸ δὲ γέρας ἄθλόν ἐστιν ἀρετῆς. Εἶτα τούτοις ἐπήνεγκεν, ὡς ὁ πάλαι *φωτίζων* τὸν ἑαυτοῦ λαὸν καὶ *ἁγιάζων* αὐτὸν Θεὸς, σοὶ τῷ ὑπερηφάνῳ *γενήσεται πῦρ*. Ἀντὶ γὰρ τοῦ, *καὶ ἁγιάσει αὐτὸν ἐπὶ πυρὶ καιομένῳ*, ἐξέδωκε Σύμμαχος· *καὶ ὁ ἅγιος αὐτοῦ εἰς φλόγα*. Ἀντὶ δὲ τοῦ, *καταφάγεται ὡσεὶ χόρτον τὴν ὕλην· καταφάγεται τὰ ἀποκείμενα αὐτοῦ, καὶ τὰ πεφυλαγμένα αὐτοῦ, ἐν ἡμέρᾳ μιᾷ. Καὶ ἡδόξα τοῦ δρυμοῦ αὐτοῦ, καὶ τοῦ Καρμήλου αὐτοῦ, ἀπὸ ψυχῆς ἕως σαρκὸς ἀναλωθήσεται. Καὶ ἔσται ὡς τετηκὸς φεύγων. Τὰ δὲ ἐπίλοιπα τῶν ξύλων τοῦ δρυμοῦ αὐτοῦ ἀριθμῷ ἔσονται, καὶ παιδίον γράψει αὐτά. Δρυμὸν* μὲν

B

C

D

[60] Dan. x, 1 seqq. [61] II Cor. xi, 3. [62] Luc. xvi, 1 seqq. [63] Eccle. ii, 14. [64] Jerem. xvii, 10. Apoc. ii, 23. [65] Deut. xxxii, 8.

VARIÆ LECTIONES.

[n] γρ. εἰς ἢ πρός. [o] λ. μέγαν. [p] γρ. μέλειν. [q] γρ. καί.

Digitized by Google

λέγων τὰ πλήθη τὰ σὺν αὐτῷ· *Κάρμηλον* δὲ, αὐτοῦ τὸν πλοῦτον καὶ τὴν τρυφὴν· ἅπερ ἀναλωθῆναί φησιν ὑπὸ τῆς κολαστικῆς δυνάμεως τοῦ προλεχθέντος *πυρός*. Ὧν αὐτῷ συμβάντων δρασμῷ χρησάμενος φεύξεται σὺν τοῖς μετ' αὐτοῦ· οἱ δὲ περιλειφθέντες οὕτως ἔσονται βραχεῖς ὡς καὶ *παίδιον* αὐτῶν γραφῇ παραδοῦναι τὸν ἀριθμόν. Καθηρέθη δὲ παραχρῆμα κατὰ τὰ προθεσπισθέντα τῶν Ἀσσυρίων ἡ δυναστεία. Τινὲς δὲ, τὸ *ἁγιάσει αὐτόν*, τοῦτ' ἔστιν ἀνακείμενον τῷ Θεῷ δείξει τὸν Ἰσραήλ· τοιοῦτον γὰρ καὶ τὸ, Ἁγίασόν μοι πᾶν πρωτότοκον διανοῖγον μήτραν, τὰ ἀρρενικὰ τῷ Κυρίῳ, ἀντὶ τοῦ, Ἀνάθες. Ἁγιάσεσθαι γὰρ οὐ πάντως τὸ μετέχειν ἁγιασμοῦ, ἀλλὰ καὶ τῷ Θεῷ ἀνακεῖσθαι. Εἰ γὰρ μὴ ἴδιον ἡγεῖτο λαὸν, οὐκ ἂν ἐξέκαυσε κατὰ τῶν ἐναντίων *τὸ πῦρ*. *Βουνοῖς δὲ καὶ ὄρεσι καὶ δρυμοῖς*, τὴν τῶν Ἀσσυρίων μετὰ τῶν ἡγουμένων ἀπεικάζει πληθὺν, οἵπερ *ἀποσβεσθήσονται* πᾶλαι ὄντες δεινοὶ καὶ θερμοί· θανάτῳ [r] γὰρ αὐτῶν *καταφάγεται* μόνον οὐχὶ ψυχάς τε καὶ σώματα, ὅτε [s] καὶ βραχὺ τὸ λειπόμενον. Τὴν δὲ παροῦσαν τινὲς τιμωρίαν ἐπὶ Ῥαψάκου γεγονέναι νοοῦσιν, μεθ' οὗ δὲ καλειφθέντες [t] τὸν ἀριθμὸν τῷ τῶν Ἀσσυρίων ἀπήγγειλαν βασιλεῖ. Διττῆς δὲ οὔσης τῆς τοῦ πυρὸς ἐνεργείας, διένειμε τὴν μὲν φωτιστικὴν Ἰσραὴλ· τὴν καυστικὴν δὲ, τοῖς Ἀσσυρίοις, διὰ τὴν ὑπερηφανίαν *μεγάλου νοῦ* πρὸς ἐναντίαν τάξιν τῶν πραγμάτων μεταχωρούντων. *Ἁγιάζει* δὲ, φασὶ, *τὸ πῦρ*, ἐπειδὰν *φάγῃ ὡς χόρτον τὴν ὕλην*. Ἐπεὶ οὖν *πῦρ* καταναλίσκον ἐστὶν ὁ Θεὸς, τὰ ἐξ ὕλης ἐλθόντα δαπανήσεται πάθη, καὶ τότε *τὰ ὄρη* τοῦ καίεσθαι παύσεται. *Τὸ* δὲ *πῦρ* τῶν λογικῶν τούτων ὀ,ῶν τε καὶ *βουνῶν καὶ δρυμοῦ*, ἀπὸ ψυχῶν ἀρξάμενον, εἰς σάρκας αὐτὰς καταντήσεται. Καλεῖ δὲ, φασὶν, ἡ Γραφὴ *ὄρη* μὲν, τοὺς ἐν προτερήμασί τισιν, ὅσον ἐπὶ τῇ κατασκευῇ γεγονότα· *δρυμοὺς* δὲ, τοὺς ἀκάρπους καὶ μὴ φοιτείαν [u] ἔχοντας τὴν τοῦ ἀληθινοῦ γεωργοῦ. Πάντων μέντοι *τὸ πῦρ* ἅπτεται, ἀρξάμενον ἀπὸ ψυχῆς τῶν ἐν τῷ νῷ παθημάτων· [v] εἰ μέχρι τούτων σταίη τὸ κακὸν, τὴν ἐνταῦθα μόνον *ἀναλώσειεν ὕλην*. Εἰ δὲ καὶ πρὸς *πρᾶξιν* ταῦτα χωρήσειε τὴν διὰ σαρκὸς, καὶ εἰς *τὰς σάρκας* αὐτὰς καταντήσεται. Οἷον εἰ σταίη μοιχεία μέχρι ψυχῆς, ἵσταται καὶ τὸ πῦρ. Ἐνέβλεψε γὰρ μόνον γυναικὶ πρὸς τὸ ἐπιθυμῆσαι, ἀλλ' οὐκ ἔφθειρε τὸν ναὸν τοῦ Θεοῦ, ποιήσας τὰ μέλη τοῦ Χριστοῦ, πόρνης μέλη. Εἰ δὲ προέλθοι πρὸς σῶμα, μέχρι τούτου χωρεῖ εἰς *τὸ πῦρ*, καὶ *ἔσται*, φησὶν, *ὁ φεύγων, ὡς ὁ φεύγων ἀπὸ φλογὸς καιομένης*. Τάχα *ὁ φεύγων* ἀπὸ τοῦ ἐμπρησμοῦ, ἐπιστροφῇ, καὶ μετανοίᾳ, φεύγει τὴν κολάζουσαν *φλόγα*. Οἱ δὲ καταλειφθέντες ἔσονται ἀριθμὸς, οὐ μόνον διὰ τὸ εὐαρίθμητον, ἀλλ' ὅτι καὶ ἄξιοι πρὸς ἀριθμὸν ἀναλαμβάνεσθαι θεῖον, κατὰ τοὺς ἀριθμηθέντας ἐν τῇ βίβλῳ τῶν Ἀριθμῶν. « Χαίρετε γὰρ, φησὶν ὁ Σωτὴρ, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγγέγραπται ἐν τοῖς οὐρανοῖς. » *Παιδίον* δὲ τὸ γράφον ταύ-

solitus esset, eidem superbienti, *Ignem futurum*. Pro quo enim *et sanctificabit* 169 *ipsum in igne urente* habemus, *et sanctus ejus in flammam*, dixit Symmachus. Pro quo rursum, *Et depascet tanquam fenum, silvam*; idem *depascet recondita ipsius, et quæ ab ipso servantur in die una et gloria saltus ejus et Carmeli ejus, ab anima ad carnem usque consumetur, et erit tanquam cæsus fugiens. Reliqua autem saltus ejus, numero pauca erunt, et puer scribet ea.* Quo sane loco *saltus* nomine, quam secum habebat turbam intellexisse putandus est, quemadmodum per *Carmelum*, ejus opes et luxum, quem eadem vindice potentia, quam *ignem* antea diximus, consumptum iri, eumque in ipso rerum discrimine ita fugam cum in sociis conversum iri dicit, ut relictorum numerus ipsa paucitate a *puero* facile teneri *describique* possit. Est enim non multo post, sicut ante prædictum fuerat, eversum Assyriorum imperium. Non desunt qui, *sanctificabit ipsum*, ad Israelem referent Deoque consecratum iri velint; quo sensu primogenitum omne sexus masculini, quod vulvam aperuisset, Domino sanctificari, id est consecrari, præcipitur [66]: quando *sanctificandi* verbum, non sanctificationis semper, sed consecrationis etiam significationem habere certum sit. Haudquaquam enim si populum non agnosceret, contra hostes *ignem* ipse *fuerat accensurus*. *Collibus* autem *montibusque*, *et saltibus*, Assyriorum duces, cum ipsa cæterorum multitudine assimilat; qui olim quidem valde potentes et fervidi, *exstinguentur* tamen. Ita enim ipsorum non corpora tantum, sed animas etiam mors *depascet*; ut exiguum, quod relinquatur, futurum sit. Sunt etiam qui pœnas istas ad Rapsacæ tempus referant: cum quo qui evasere incolumes, Assyrio superstitem numerum denuntiarint [67]. Cæterum cum duplex sit ignis virtus; eam quidem, quæ illuminandi est, Israeli attribuit: quæ autem urendi, Assyriis, quibus 170 propter *magnæ mentis* superbiam in contrarium quam statuissent res abierunt. *Sanctificat* autem tum demum *ignis*, inquiunt, cum *silvam tanquam fenum depascitur*. Quoniam itaque *ignis* consumens exsistit Deus [68], eos est animi motus depasturus qui e silva prodeunt; et tunc *montium* cessatura est combustio. Progredietur vero *ignis* in *montes* istos ratione præditos, in *colles* etiam et *saltus*, ab animis ad carnes usque, ibi solum urendi finem facturus. *Montium* deinde nomine eos in Scriptura significari putant qui aliis dignitate superiores tanquam construendis rebus præficiuntur: *Saltuum* autem, qui, fructus nullos edentes, veri agricolæ artem et manum non sentiunt. Omnes igitur *ignis* invadit, facto ab animi doloribus principio, et si in eis malum steterit, eo usque tan-

[66] Exod. XIII, 2. [67] IV Reg. XVIII, 19. [68] Deut. IV, 24.

VARIÆ LECTIONES.

[r] γρ. θάνατος. [s] γρ. ὥστε. [t] γρ. οἱ καταλ. [u] γρ. φυτείαν [v] γρ. καὶ.

Digitized by Google

tum *silvam devorabit*. Quod si ad carnis opus aliquod res processerit, nec *carnibus* etiam ipsis pepercerit ; verbi causa : si cujus ad solum usque appetitum progressa est libido , in anima et ipse ignis consistet. Solum enim in mulierem libidinis ardore oculos torsit ; non Dei templum profanavit ; non membra Christi, membra meretricis effecit [69]. At si ad corpus usque processerit, eo usque et *ignis* ipse progredietur : *Et erit*, ait, *fugiens, quasi fugiens a flamma comburente*. Forsitan qui *fugit* a combustione , is est , qui , conversione pœnitentiaque ductus, ultricem effugere *flammam* conatur. Qui vero relinquentur erunt numerus; non ideo tantum, ut nullo negotio queant numerari, sed quod qui in divinum illorum ordinem rediguntur , quos in Numerorum libro describi constat , digni reperiantur . « Gaudete enim , ait Salvator, quoniam nomina vestra scripta sunt in cœlis [70]. » Nec vero *puer* alius , a quo ista descriptio fiat, intelligendus est, quam de quo fuit antea : « Puer natus est nobis [71] » usurpatum ; Filius ille nimirum , quem Magos adorasse , quem in Ægyptum descendisse, quem rursus in terram Israelis rediisse certum est. Ille, inquam, qui vitæ pœnitudine sese ad Deum recipientes describit.

171 VERS. 20-25. *Et erit in die illa, non amplius adjiciet residuum Israel, et qui salvati fuerint de domo Jacob, non amplius iis confident, a quibus injuria affecti sunt. Sed Deo sancto Israel confident in veritate*, etc.

Post eversas , inquit, Assyriorum opes non amplius qui de populo in servitutem abducto relicti sunt, in libertatem autem postea Cyro vindice restituti Assyriis injuriæ auctoribus *confident* ut Achazus olim, qui, missis ad Assyrium sacris regalisque thesauris, dixit ille [72] : Ego servus tuus sum. Ascende et libera me de manu regis Syriæ et regis Israel [73] ; qui revertens, trucidato Raasin rege, Damascum expugnavit. Itaque non homini jam, sed *Deo soli*, a quo salutem sunt consecuti, *confident*. Forsan et illud innuit, ne dæmonibus iterum , a quibus tantam animis injuriam experti sunt, adhæreant. Quibus jam placet de illis ista , qui ad Deum reversi, in eo spem omnem posuerunt, intelligi. Qui enim scelera amplectuntur, eorum partes, a quibus injuriam patiuntur, sequuntur. Contra, soli *Deo confidit in veritate*, qui nec ullis rebus , quæ cernuntur, nititur ; nec alibi alio spe collocata dividitur; sed totum se Deo committit. Verum enimvero , quod ad *reliquias* attinet , quas *salvandas* esse indefinite locutus , intulit ; aliud ab eo quoddam , quod *non amplius adjectum iri residuum Israel* dixit, significavit. De hoc enim, quod **172** ex captivitate rediit, intelligitur : cum primæ, *arenæ maris* similes, numero quidem ipso infinitæ sint, sed ad agriculturam inutiles. Cum populus ergo Israeliticus factus jam numerosior, ad eum , qui ex Deo est , fructuum proventum inutilis evaserit, ejus tum pars maxima peritura est ; salvabitur autem quod erit *residuum*. Ab eo enim, quo Babylonico exsilio Judæorum liberata gens est, ad Romana usque tempora, crevit non parum eadem, et supervacua admodum multitudine aucta est : ex qua tamen solos, qui in Christum crediderunt,

A την τὴν ἐγγραφὴν, περὶ οὗπερ ἐλέχθη, ὅτι *Παιδίον ἐγεννήθη ἡμῖν υἱὸς*, ᾧ προσεκύνησαν Μάγοι, ὃ κατῆλθεν εἰς Αἴγυπτον, καὶ πάλιν ἦλθεν εἰς γῆν Ἰσραὴλ, ὅπερ γράφει τοὺς διὰ μετανοίας εἰς Θεὸν ἐπιστρέφοντας.

B κ-κγ'. *Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὐκέτι προστεθήσεται καταλειφθὲν Ἰσραήλ. Καὶ οἱ σωθέντες τοῦ Ἰακὼβ οὐκέτι μὴ πεποιθότες ὦσιν ἐπὶ τοὺς ἀδικήσαντας αὐτούς· ἀλλὰ ἔσονται πεποιθότες ἐπὶ τὸν Θεὸν τὸν ἅγιον τοῦ Ἰσραὴλ τῇ ἀληθείᾳ*, κ. τ. λ.

Ὅτε, φησὶ, καταστραφῶσιν Ἀσσύριοι, οἱ περιλειφθέντες τοῦ λαοῦ τοῦ αἰχμαλωτισθέντος, οὓς ἐλευθέρους ὁ Κύρος ἀπέπεμψεν, οὐκ ἔσονται *πεποιθότες* ἐπὶ τοὺς Ἀσσυρίους τοὺς ἠδικηκότας αὐτούς, ὅπερ φαίνεται ποιήσας Ἄχαζ, τοὺς ἱεροὺς θησαυροὺς καὶ τοὺς βασιλικοὺς ἀποστείλας τῶν Ἀσσυρίων τῷ βασιλεῖ, λέγων · Δοῦλός σου ἐγώ. Ἀνάβηθι καὶ σῶσόν με ἐκ χειρὸς βασιλέως Συρίας, καὶ ἐκ χειρὸς βασιλέως Ἰσραὴλ, ὅτε καὶ ἀνελθὼν συνέλαβε C Δαμασκὸν, καὶ τὸν Ῥαασσὼν ἀπέστρεψεν. Οὐκ ἐπ' ἀνθρώπῳ τοίνυν, *Θεῷ* δὲ μόνον οἵγε σωθέντες *θαῤῥήσουσιν*. Λέγοι δ' ἂν καὶ τὸ, μὴ πάλιν προσέχειν οἷς πάλαι προσέκειντο δαίμοσιν τοῖς τὰς αὐτῶν ἠδικηκόσι ψυχάς. Τινὲς δέ φασιν εἰρῆσθαι ταῦτα περὶ τῶν δι' ἐπιστροφῆς ἐπὶ Θεῷ τὴν ἐλπίδα θεμένων. Οἱ γὰρ ἁμαρτωλοὶ τοῖς αὐτοὺς ἀδικοῦσι προστίθενται· μόνος δὲ *πέποιθεν ἐν ἀληθείᾳ Θεῷ*, ὁ μηδενὶ τῶν φαινομένων θαῤῥῶν, ταῖς ἐλπίσι μὴ μεριζόμενος, τὸ δὲ πᾶν ἀπονείμας Θεῷ. Τὸ δὲ *κατάλειμμα*, περὶ οὗ ἐπιφέρει ὅτι *σωθήσεται*, ἀορίστως λέγων περὶ αὐτοῦ, ἕτερόν ἐστιν παρὰ τὸ λεχθὲν, *οὐκέτι προστεθήσεται τὸ καταλειφθὲν Ἰσραήλ*. Τοῦτο μὲν γὰρ, τὸ ἐκ τῆς αἰχμαλωσίας ἐπανελθόν· τὸ δὲ πρῶτον τοιοῦτόν ἐστιν, καὶ ὁ [x] *τῆς θαλάττης ψάμμος* ἄπειρος ἀριθμῷ, πρὸς γεωργίαν δὲ ἄχρηστος. Ὅταν οὖν D πληθυνθεὶς Ἰσραὴλ ἄχρηστος ἐν τῇ καρποφορίᾳ γένηται τῇ κατὰ Θεὸν, τὸ μὲν πλῆθος αὐτῶν ἀπολεῖται, τὸ *κατάλειμμα* δὲ σωθήσεται. Μετὰ γὰρ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον μέχρι τῶν Ῥωμαϊκῶν χρόνων, εἰς πλῆθος ἐπέδωκαν ἄχρηστον, ἐξ ὧν οἱ εἰς Χριστὸν πεπιστευκότες ἐσώθησαν. Τοῦτο δὲ, φησὶν, ἔσται, ἐπειδὴ ἂν *συντετμημένον* ἐπὶ γῆς ποιήσει *λόγον*. Οἷος ὁ εὐαγγελικὸς, μὴ περιέχων τὰ παρὰ τῷ Μωϋσεῖ παραγγέλματα. Τὰ δὲ ῥήματα ταῦτα

[69] I Cor. VI, 15. [70] Luc. X, 20. [71] Isa. IX, 6. [72] IV Reg. I, 1 seqq.

VARIÆ LECTIONES.

[x] γρ. ὡς ἡ.

Digitized by Google

παρέθηκεν ἐν τῇ πρὸς Ῥωμαίους ὁ Παῦλος, ὀλίγην ἔχοντα τὴν παραλλαγήν· οὐδὲ γὰρ, ὡς ἡμεῖς, ἠκολούθει τοῖς ἑρμηνεύσασιν· Ἑβραῖος δὲ ὑπάρχων, κατὰ τὸ ὄξαν αὐτῷ τὴν ῥῆσιν ἑρμήνευσε. Καὶ οἱ ἄλλοι δὲ μᾶλλον τῇ ἀποστολικῇ διηγήσει συνέδραμον. Φησὶ δὲ, Μὴ θαυμάσῃς εἰ ὀλίγοι εἰσὶν οἱ ὑπὸ *τοῦ παιδίου γραφόμενοι*. Πολλοὶ γὰρ ὀνόματι, ὀλίγοι δὲ τοῖς ἔργοις τὸν Χριστὸν ἐπιγράφονται. Ὁ δὲ τρόπος τῆς σωτηρίας, τὸ τοῦ μὲν νόμου τὸ χάρισμα, τῶν δὲ προφητῶν τὴν διάταξιν, ἐν τῇ βραχυλογίᾳ τοῦ Εὐαγγελίου περιλαβεῖν. Ἀγαπήσεις γὰρ Κύριον τὸν Θεόν σου, καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. Ὁ οὖν *συντελῶν* καὶ πρὸς ἔργον ἄγων τὸν λόγον, συντεμών τε αὐτὸν καὶ συγκεφαλαιούμενος αὐτοῦ τὸ πλάτος ἐν ταῖς βραχυτάταις ἐντολαῖς, οὗτός ἐστι τὸ *κατάλειμμα* τὸ σωζόμενον. Πάντα, φησὶν, ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, κατὰ ταῦτα καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. Οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται. Ὁρᾷς ἐν τῇ φυσικῇ ἐννοίᾳ ὅλον *τὸν λόγον συντελούμενόν* τε καὶ *συντεμνόμενον*, ὅπερ δὲ ἐλέγομεν προλαβόντες περὶ τοῦ *Θεὸς ἰσχυρὸς*, ὅτι παρ' Ἑβραίοις τὸ Ἤλ σημαίνει Θεὸν, τοῦτο καὶ νῦν βεβαιοῦται· τὸ γὰρ *ἐπὶ Θεὸν ἰσχυρὸν*, τὸ Ἤλ ἔχει τὸ Ἑβραϊκόν.

A salutem constat assecutos. Fore autem ista ait, cum *abbreviatum* in terra *verbum*, id est Evangelium, quo alia jam a Mose præcepta continentur, effecerit. Sunt vero et hæc verba in eam, quæ est ad Romanos, Epistolam, paucis immutatis, a Paulo transsumpta [73]. Neque enim, ut solemus, ille cujusquam verba sequitur interpretis; sed Hebræa Hebræus ipse ad arbitrium exprimit.—Nec desunt etiam quibus magis apostolica placuit interpretatio. Prohibet autem mirari, quod a *puero describi* paucos audiamus: cum nomine quidem permultos, sed opere paucos Christum profiteri certum sit. At est salutis consequendæ optima ratio, si legis donum, ipsasque prophetarum sanctiones paucis Evangelii capitibus complectaris. « Diliges enim, B ait, Dominum Deum tuum, et proximum tuum sicut teipsum [74]. » Qui *perficit* igitur et opere legem tuetur, diffusam ejus latitudinem brevibus præceptis, et capitibus complectens, eum esse *reliquias* illas, quæ salvandæ sunt, credimus. « Omnia, ait, quæcunque vultis ut faciant vobis homines, juxta hæc et vos facite illis. Hæc enim lex est et prophetæ [75]. » Vides naturali quadam notitia *comprehensum* totum, et *abbreviatum verbum*. Cæterum quæ superius in locum illum, *Deus fortis*, a nobis ex Hebræis, qui *El* vocabulo Deum significant, adducta sunt; et isto possunt loco confirmari. Hic enim, ubi *in Deum fortem* legimus, *El* ipsum quoque Hebraicam litteram habere reperimus.

κδ-λβ'. *Διὰ τοῦτο τάδε λέγει Κύριος Σαβαὼθ· Μὴ φοβοῦ, ὁ λαός μου, οἱ κατοικοῦντες ἐν Σιὼν, ἀπὸ Ἀσσυρίων, ὅτι ἐν ῥάβδῳ πατάξει σε· πληγὴν γὰρ ἐπάξω ἐπὶ σὲ, τοῦ ἰδεῖν ὁδὸν Αἰγύπτου. Ἔτι γὰρ μικρὸν, καὶ παύσεται ἡ ὀργὴ, κ. τ. λ.*

C

VERS. 24-32. *Propter hoc hæc dicit Dominus exercituum: Noli timere, populi mi, qui habitas Sion, ab Assyriis: quia in virga percutiet te. Plagam enim inducam in te, ut videas viam Ægypti. Adhuc enim paululum, et cessabit ira*, etc.

Πληρώσας ὁ λόγος τὰ περὶ τῆς Ἱερουσαλὴμ, ὡς ἴσα πείσεται τῷ Ἰσραὴλ· καὶ τὸν Ἀσσύριον ὁποῖα μένει δεινὰ, περί τε τῶν ἐς ὕστερον εὐσεβούντων εἰπών· ἃ δὴ μακροῖς ὕστερον συνέβαινε χρόνοις· νῦν περὶ τοῦ κατὰ τὸν Ἡσαΐαν χρόνου φησὶν, ὅτε κατὰ Ἱερουσαλὴμ ὁ Ἀσσύριος ἐπὶ τῆς Ἐζεκίου βασιλείας ἐστράτευσεν. Ἀγωνιῶσι γὰρ τοῖς τότε διὰ τὴν μέλλουσαν ἔφοδον, μὴ καὶ λάθωσι τοῖς ἐν Σαμαρείᾳ πεπονθόσι προσόμοια, παραινεῖ μὴ δεδιέναι τοὺς Ἀσσυρίους. Ἥξει μὲν γὰρ, φησὶ, καὶ βραχείας πειραθήσεσθε *τῆς πληγῆς*, ὡσανεὶ *ῥάβδῳ παιόμενοι*, πλὴν ἄπρακτος ἅπεισιν *πληγῇ* θειοτέρᾳ βαλλόμενος. Αἴτιος δὲ τούτων εὐσεβὴς ὢν Ἐζεκίας, ἀλλ' οὐ κατὰ τὸν Ἄχαζ τὸν πατέρα γενόμενος, καὶ τοὺς ὑπηκόους μεταβαλὼν εἰς εὐτέβειαν. Διό φησιν· *Μὴ φοβοῦ, λαός μου*. Οὐ πολέμῳ γὰρ *πληγήσῃ*. Καὶ ἡ κατὰ σοῦ δὲ *ῥάβδος* ὀλιγοχρόνιος γίνεται. *Πληγήσῃ* δὲ ὅμως, *τῇ ὁδῷ* σαυτὸν Αἰγύπτου ζήλῳ τῆς εἰδωλολατρείας ἐπὶ Ἄχαζ τοῦ βασιλέως ἐκδούς. Εὐσεβούντων δὲ θᾶττον ὁ Ἀσσύριος φεύξεται ἐκ τόπου τόπον ἀσχημόνως ἀμείβων, διά τε χώρας ὑμετέρας καὶ πόλεων. Καὶ διαγράφει τὴν φυγὴν ὀφθαλμοῖς, Θεοῦ τὰ μέλλοντα παρόντα δεικνύς. Τὸ δὲ, *Πληγὴν*

173 Absoluto sermone de paribus Hierosolymitanorum et Israelitarum pœnis, deque iis, quæ Assyrium manebant, calamitatibus, de piis item in posterum futuris; quæ tamen longis temporibus postea impleta sunt: ad ea se deinceps, quæ sua ætate contigerunt, cum regnante Ezechia Jerusalem adortus est Assyrius[76], Isaias accingit. Illos enim, qui tum **174** vivebant, ad ejusmodi expeditionis nuntium consternatos; ne eadem cum Samaritanis impræmeditati et ipsi quoque paterentur confidere, et Assyrium haudquaquam metuere adhortatur. Veniet siquidem, ait, modicaque ipsi *plaga*, tanquam *virga*, *percutiemini*; sed infectis tandem rebus, *clade* divinitus accepta discedet: quorum in causa fuerit insignis Ezechiæ pietas non patrem imitantis, sed ad verum Dei cultum subditos provocantis. Atque hinc est, quod *populum* tanquam qui *plagam* eo bello nullam acceptarus sit *timere* prohibet. Hinc, inquam, quod *virgam*, quam in eum parari videt, brevi cessaturam monet, sed *percussuram* tamen ideo, quod Ægyptios imitatus Achazi temporibus idololatriæ *viam* instituerit; Assyrium autem statim atque re-

[73] Rom. IX, 28. [74] Deut. VI, 5; Levit. XIX, 8; Matth. XXII, 37, 38. [75] Matth. VII, 12. [76] IV Reg. XVIII, 13 seqq.; Isa. XXXVII, 1 seqq.

Digitized by Google

sipuerint, per urbes eorum turpiter locis aliis atque aliis immutatis, fugam celerius accepturum: quam ideo oculis subjicit, ut quæ futura audimus, esse Deo præsentia credamus. Quod autem habemus : *Plagam enim inducit super te, ut videas viam Ægypti;* ita reddidit Symmachus : *Virga percutiet et baculum suum elevabit supra te, propter viam Ægypti.* Aiunt vero alii Oseam, Eliæ filium, regem Israel, cum Salmanazaris Assyrii servitute premeretur, auxilium ab Ægyptio (*Sigor*) vocant) petivisse; quare indignatum Assyrium, Oseam, ut Regum quarto scribitur [77], in vinculis habuisse. Indignatus est enim, aiunt, Deus quod, neglecta in se fiducia, spem in Ægyptium collocarit : quemadmodum nimirum, cum est ab Achazo adversus Damascum vocatus Assyrius. Sed nihil ad eos, qui Hierosolymis sunt, ad quos habetur isthæc oratio, si est in auxilium ab Israele vocatus *Ægyptius.* In *Assyrium* porro, ait, *flagellum excitabit secundum plagam Madiam.* Verum, pro quo, *In loco afflictionis* habemus : *In Sur Choreb* interpretatus est Symmachus; ne illam, quæ Gedeone Madianitarum duce [78], sed quæ per Mosen inflicta est, plagam intelligeremus. *Sur* enim ipsa solitudo **175** vocabatur : eratque monti, teste Numerorum libro [79], nomen *Choreb*, cum et eodem tempore sunt masculi omnes, ipsique adeo Madianitarum reges, internecione deleti. Significat autem *Assyrios* flagello suo *percussos*, in eam se, quæ *juxta mare est*, *viam* recepturos.

Hanc enim fugiens olim Assyrius, quæ Ægypto vicina est (cum eum, historia teste, Æthiopes adorti sunt) abripuit. Ait enim : « Reversus est enim Rapsaces, et invenit regem Assyrium oppugnantem Lahnam : audierat enim quod recessisset in Lacheis. Et audivit Tharacha rex Æthiopum dicens : Ecce egressus est, ut pugnet adversum te [80]. » Sunt qui indignatum ob id *Assyrium* quod Oseæ Israelis regi suppetias ferre Ægyptium audiverat, adversus Ægyptios exercitum movisse existiment. Sed istorum alia non est a superioribus opinio, quam nihil ad Jerusalem spectare diximus. Innuit vero et hic etiam *fugam* accepturos *Assyrios* ; non autem felices adeo successus habituros, ut alios etiam bello queant adoriri. Ista igitur, inquit, ipse passurus est. At ipsi consolationem nanciscemini, qui *Assyriorum jugum* amplius latum non estis. Habet enim Regum historia [81] Assyrium tributi nomine trecenta auri talenta Ezechiæ imperasse, ad quorum solutionem sacros thesauros, et regios necesse fuit, exhauriri : quod *jugi* nomine non immerito significatum est. Atque hinc est, quod *populum* illi, quibus ea inest facultas, *consolari* jubentur. Sed ad quid isthæc tandem *consolatio?* nimirum, ut maneat, nequemetu fugam arripiat. Sunt tamen qui, ut in hac

A γὰρ ἐπάγει ἐπὶ σέ, τοῦ ἰδεῖν ὁδὸν Αἰγύπτου, Σύμμαχος οὕτως ἐρμήνευσεν· Ἐν ῥάβδῳ πλήξει, καὶ τὴν βακτηρίαν αὐτοῦ ἐπαρεῖ ἐπὶ σέ, διὰ τὴν ὁδὸν Αἰγύπτου. Ἄλλοι δέ φασιν, ὡς Ὠσηὲ ὁ τοῦ Ἠλιᾶ, βασιλεὺς Ἰσραὴλ, Σαλμανασὰρ τῷ τῶν Ἀσσυρίων δουλωθεὶς βασιλεῖ, παραβὰς ἐπεκαλεῖτο πρὸς συμμαχίαν Σιγὼρ Βασιλέα Αἰγύπτου· ὁ δὲ Ἀσσύριος ἀγανακτήσας δεσμώτην αὐτὸν ἐποιήσατο, ὡς ἐν τετάρτῃ τῶν Βασιλειῶν φησιν. Ἠγανάκτησε γὰρ, φασὶν, ὁ Θεὸς, ὅτι μὴ ἐπ' αὐτῷ θαῤῥήσας, ἐπὶ τὸν Αἰγύπτιον ἤλπισεν. Ὥσπερ οὖν καὶ ὅτε Ἄχαζ τὸν Ἀσσύριον ἐπεκαλέσατο κατὰ τῆς Δαμασκοῦ. Ἀλλ' οὐδὲν ταῦτα πρὸς τοὺς ἐν Ἱερουσαλὴμ, πρὸς οὓς νῦν ὁ λόγος ἐστὶν, εἰ ὁ Ἰσραὴλ ἐπεκαλέσατο τὸν Αἰγύπτιον. Τῷ δὲ Ἀσσυρίῳ, φησὶν, ἐπεγερεῖ Κύριος μάστιγα κατὰ τὴν πληγὴν Μαδιάμ. Ἀντὶ δὲ τοῦ, ἐν τόπῳ θλίψεως, Σύμμαχος ἐξέδωκεν, Σοὺρ Χωρὴβ, ὡς μὴ δύνασθαι νοεῖν ἡμᾶς τὴν ἐπὶ τοῦ Γεδεὼν κατὰ τῶν Μαδιηνέων πληγὴν, ἀλλὰ τὴν ἐπὶ τοῦ Μωϋσέως. Ἡ μὲν γὰρ ἔρημος ἐκαλεῖτο Σοὺρ. Τὸ δὲ ὄρος ἐκαλεῖτο Χωρὴβ, ὡς ἐκ τῶν Ἀριθμῶν ἐγνώκαμεν, ὅτε καὶ ἀπέκτειναν πᾶν ἀρσενικὸν καὶ τοὺς βασιλεῖς Μαδιάμ· οἱ δὲ Ἀσσύριοι πληγέντες τῇ ἐμῇ μάστιγι, ἀποστρέψουσιν ἐν τῇ ὁδῷ τῇ κατὰ θάλασσαν.

B

C Τὴν γὰρ κατ' Αἴγυπτον ὁδὸν ὁ Ἀσσύριος φεύγων ἀπῆγεν, ἐπαναστάντων Αἰθιόπων αὐτῷ, κατὰ τὴν ἱστορίαν εἰποῦσαν· « Καὶ ἀπέστρεψε Ῥαψάκης, καὶ εὗρε τὸν βασιλέα Ἀσσυρίων πολεμοῦντα ἐπὶ Λαβνᾶ, ὅτι ἤκουσεν ὅτι ἀπῆρεν ἐπὶ Λάχεις. Καὶ ἤκουσε Θαραχᾶ βασιλεὺς Αἰθιόπων λέγων, Ἰδοὺ ἐξῆλθον ζητεῖν μετὰ σοῦ. » Τινὲς δέ φασιν ὡς ἀγανακτήσας τῶν Ἀσσυρίων ὁ βασιλεὺς κατὰ τοῦ βασιλέως Αἰγύπτου, ἐφ' οἷς ἐπηγγείλατο συμμαχεῖν τῷ Ὠσηὲ τῷ βασιλεῖ Ἰσραὴλ, κατ' Αἰγυπτίων ἐστράτευσε, σύμφωνα τοῖς φθάσασι λέγοντες. Ἀλλ' εἰρήκαμεν ὡς οὐδὲν ταῦτα πρὸς Ἱερουσαλήμ. Καὶ νῦν δὲ φυγὴν ὁ λόγος τῶν Ἀσσυρίων ἔσεσθαι προθεσπίζει, ἀλλ' οὐκ εὐημερίαν τοσαύτην, ὡς καὶ καθ' ἑτέρων στρατεύεσθαι. Ἀλλ' ἐκεῖνος μὲν, φησὶ, ταῦτα πείσεται. Ὑμεῖς δὲ τεύξεσθε παραμυθίας, μηκέτι ὑποκείμενοι τῷ ζυγῷ τῶν Ἀσσυρίων. Φησὶ γὰρ ἐν ταῖς Βασιλείαις, ὡς ὁ Ἀσσύριος Ἐζεκίᾳ φόρον ἐπέθηκε τριακόσια τάλαντα χρυσίου. Καὶ κινήσας [z], τούς τε ἱεροὺς θησαυροὺς καὶ τοὺς βασιλικοὺς παρέσχεν αὐτῷ. Ζυγὸν οὖν εἰκότως τοῦτον ἐκάλεσε. Διὸ προστάττονται *παρακαλεῖν τὸν λαὸν*, οἱ τοῦτο πρᾶξαι δυνάμενοι. *Τί δὲ παρακαλεῖν* ; ὑπὲρ τοῦ μεῖναι, καὶ μὴ φόβῳ μελετῆσαι δρασμόν. Τινὲς δέ φασιν, *Παρακαλεῖτε ταύτῃ τῇ τῆς εὐσεβείας ἐμμένειν ὁδῷ*· ὡς δὲ περὶ τῶν ὅσον οὔπω γενησομένων

D

[77] IV Reg. XVII, 4. [78] Judic. VI, 1 seqq. [79] Num. XXV, 1 seqq. [80] IV Reg. XIX, 9 seqq. [81] ibid. 1 seqq.

VARIÆ LECTIONES.

[y] Vulgata editio habet τριακόσια τάλαντα ἀργυρίου, καὶ τριάκοντα τάλαντα χρυσίου. [z] γρ. κενώσας.

Digitized by Google

θεσπίζων, τὸ *σήμερον* εἰκότως προσέθηκε, πρὸς ἀντιδιαστολὴν τῶν χρόνοις ὕστερον ἐσομένων περὶ τε τὸν Ἀσσύριον, καὶ τὸ κατάλειμμα τοῦ Ἰακώβ· ἃ δὴ πρὸ τῶν νυνὶ προκειμένων ἐλέγετο. Διό φησιν· *Παρακαλεῖτε σήμερον* μὴ φυγεῖν, τὴν νῦν δὴ καὶ σήμερον ἐπ' Ἐζεκίου τῶν *Ἀσσυρίων* μέλλουσαν ἔφοδον. *Βουνοὺς* δέ φησιν, τοὺς ἐπαναβεβηκότας ψυχῇ, καὶ φρονήματι, προφήτας καὶ ἱερέας. Ἐπεὶ καὶ ἀλλαχοῦ φησιν· « Παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεὸς, ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἰερουσαλὴμ, παρακαλεῖτε αὐτήν. Κατὰ τὴν βουλὴν δὲ αὐτῶν λέγει τῶν *Ἀσσυρίων*, τοῦτ' ἔστι, Πείσονται θᾶττον ἃ καθ' ὑμῶν ἐβουλεύσατο [x]. A *pietatis via maneat, hortandum* velint. At tanquam de rebus mox futuris sermo habeatur, *hodie* intulit, ut eorum, quæ de Assyriis longe postea, deque Jacobi reliquiis, ut dictum antea, futura sunt, discriminis notam addidisse videatur. Atque hinc est, quod *adhortandos* monet ne *hodie*, id est, jam inde ingruentem Ezechiæ temporibus *Assyriorum* exercitum fugiant. *Collium* porro nomine prophetas ipsos et sacerdotes reliquis mente et consilio superiores et præstantiores intellexisse videtur. Præterea alibi scribitur : « Consolamini, populum meum **176** sacerdotes, dicit Dominus. Loquimini in cor Jerusalem; adhortamini eam [88]. » Quod autem super eorum consilium dixit, *de Assyriis* intellexit, quos ea celeriter, quæ in populum meditati sunt,

λγ-λδ'. *Ἰδοὺ ὁ Δεσπότης Κύριος Σαβαὼθ συνταράσσει τοὺς ἐνδόξους μετὰ ἰσχύος· καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται, καὶ ταπεινωθήσονται, καὶ πεσοῦνται οἱ ὑψηλοὶ μαχαίρᾳ· ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται.* B VERS. 33, 34. *Ecce Dominator Dominus Sabaoth conturbabit gloriosos cum fortitudine, et excelsi injuria conterentur, et humiliabuntur, et cadent excelsi gladio, Libanus autem cum elatis concidet.*

Αὐτάρκως περὶ τῆς τῶν Ἀσσυρίων ἀλαζονείας εἰπὼν καὶ τῆς καθαιρέσεως, νῦν περὶ τῆς κατ' ἔθνος πολυαρχίας διεξέρχεται. Ἐθνάρχαι γὰρ ἦσαν εἰδωλολατρείᾳ τὸν Κτίστην ὑβρίζοντες, καὶ πρὸς οἶκον [a] φρονήματος ἐπαιρόμενοι. Καὶ τὴν τούτων οὖν προθεσπίζει καθαίρεσιν. Τινὲς δέ φασιν ὡς περὶ τῆς τοῦ Σωτῆρος ἐπιδημίας μέλλων εἰπεῖν, τοὺς πάλαι φρονοῦντας ἐπὶ τῇ τοῦ νόμου σκιᾷ, καθελεῖν ἐπαγγέλλεται. Ἰσχυροὶ γὰρ ὄντως τῇ ὕβρει γεγόνασιν, οὐ προφήτας μόνον ἀπεκτονότες, καὶ τοῖς τὰ βέλτιστα συμβουλεύουσι μαθηταῖς λέγοντες ἀναιδῶς, Ἄλλα C ἡμῖν λαλεῖτε, καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν, ἀλλὰ καὶ αὐτῷ τὴν γλῶτταν ἐπιθήγοντες τῷ Χριστῷ, οἷς ὀξυτάτην τὸν Θεὸν ἐποίησεν ὀργὴν τῆς ἱερωσύνης τούτους ἐκτέμνουσαν ἣν ἐκάλεσε *μάχαιραν*. Εἶποι δ' ἂν καὶ τῶν πολεμίων τὴν ἐπ' αὐτοὺς χωρήσασαν *μάχαιραν*. Ἀλλὰ καὶ ὁ *Λίβανος*, φησὶ, *σὺν τοῖς ὑψηλοῖς πεσεῖται*, οὕτω τὸν νεὼν μετὰ τῶν ἐπηρμένων ἱερέων δηλῶν. *Λίβανον* δὲ καὶ τὴν Ἱερουσαλὴμ οἱ δὲ [b] καλεῖν ἡ Γραφή. Πρὸς ἣν ὁ Ζαχαρίας φησί· « Διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου. Ὀλολύξατω, πίτυς, ὅτι πέπτωκε κέδρος. Ὀλολύξατε, δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμός σου ὁ σύμφυτος. » Κατὰ δὲ τὴν προτέραν ἐξήγησιν, τὴν τῶν D κατ' ἔθνος βασιλέων, καὶ αὐτοῦ τοῦ κατὰ τὸν νόμον ζῶντος λαοῦ παριστῶν τὴν καθαίρεσιν, τὸν χρόνον καθ' ὃν ἔσται ταῦτα συνάπτει, τὴν εἰς ἀνθρώπους λέγων πάροδον τοῦ Χριστοῦ. Ἔδει γὰρ αὐτοῦ τὰ περὶ τῆς ἐκ Παρθένου γενέσεως ἤδη διδάξαντα, καὶ τὸν τρόπον τῆς γενέσεως, τάς τε ἐπωνύμους προσηγορίας τῶν ἐπινοουμένων ἐν αὐτῷ δυνάμεων, ἀκολούθως συνειπεῖν, ἐξ ὁποίου γένους, ὁποίας ἔσται φυλῆς, οἷά τε κατορθώσειν αὐτοῦ ἡ εἰς ἀνθρώπους ἥμελλε κάθοδος, ἐν οἷς ἐστι καὶ ἡ τῶν κατὰ τόπον ἀρχόντων καθαί- **177** Quia satis Assyriorum fastum et interitum explicavit, ad gentes jam pro regnorum varietate, sermonem convertit. Erant enim ipsarum principes, despecto Conditoris cultu, idola amplexi, et animi ferocitate valde tumidi elatique, quo fit ut earum etiam interitum vaticinetur. Aiunt enim nonnulli, quia de Salvatoris adventu sermonem instituat, eorum, qui legis umbra superbe olim gloriabantur, eversionem denuntiare. Impotentius enim re vera agere, qui prophetarum cæde madentes, eo impudentiæ pervenerunt, ut apostolos optima monentes, alium sibi errorem dicere non solum postularent; sed in Christum etiam ipsum linguæ petulantiam acuerent. Itaque Deum in illos furoris sui, quem vocat, *gladium*, ut ab eis sacerdotium amputet, immissurum. Non male etiam fortasse dixerit, qui de hostium in eos grassaturo *gladio* intelligat. Quinetiam *et Libanus*, ait, *cum excelsis cadet* : ita nimirum templum ipsum cum elatis timidisque sacerdotibus intelligens. *Libanum* vero etiam Jerusalem nuncupare solet Scriptura : quo nomine et ipsam alloquitur Zacharias cum ait : « Aperi, Libane, portas tuas, et depascatur ignis cedros tuas. Ulula, abies, quia cecidit cedrus. Ululate, quercus Basanitidis, quoniam avulsus est saltus consitus [89]. » Quod si ad priorem respicis interpretationem; explicato satis ethnicorum regum, populique legem tuentis **178** interitu, jam quo id tempore, Christi nimirum in lucem prodeuntis, futurum sit, adjungit. Eum enim decebat, qui jam ipsius ortum de Virgine, qui modum nascendi, qui virtutibus ejus congruas maxime et convenientes appellationes explicasset, genus etiam ipsum, et tribum, et quæ ab eo præclare, quandiu cum hominibus versatus est, gesta sunt

[88] Isa. XL, 1, 2. [89] Zachar. XI, 1, 2.

VARIÆ LECTIONES.

[x] γρ. ἐβουλεύσαντο. [a] γρ. ὄγκον. [b] γρ. οἷδε.

Digitized by Google

(in quibus ipsa exsistit invisibilium et visibilium principum eversio, a quibus in idololatriæ errorem inducebantur) explicare. Vocavit autem *excelsos* eos persæpe, quorum cœtus, propter celsitudinem, Libano et cedris ejus similes fecit; juxta illud: « Vidi impium exaltatum super cedros Libani[84]. » Item: « Vox Domini confringentis cedros: » et, « Comminuet eas, tanquam vitulum Libani[85]. » At enim ut Jerusalem ipsam cum sacerdotibus, cum legis etiam, qui in ea sunt, professoribus, significaret, *Libanum cum excelsis casuram* addidit.

ρεσις αἰσθητῶν τε καὶ ἀοράτων, οἳ τὴν πλάνην αὐτοῖς τῆς εἰδωλολατρείας εἰργάζοντο. Τοὺς δὲ *ὑψηλοὺς* πολλάκις ὠνόμασεν, ὧν τὸ σύστημα τῷ Λιβάνῳ καὶ ταῖς ἐν αὐτῷ κέδροις, διὰ τὸ ὕψος ἀφομοιοῖ, συμφώνως τὸ [c], « Εἶδον τὸν ἀσεβῆ ἐπαιρόμενον ὑπὲρ τὰς κέδρους τοῦ Λιβάνου. » Καὶ πάλιν, « Φωνὴ Κυρίου συντρίβοντος κέδρους· συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου, καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον [d], » καὶ τὴν Ἱερουσαλὴμ δὲ μετὰ τῶν ἱερέων καὶ τῶν ἐν αὐτῇ νομοδιδασκάλων σημαίνων φησίν· *Ὁ δὲ Λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται.*

CAPUT XI.

VERS. 1-10. *Et egredietur virga de radice Jesse, et flos de radice ascendet. Requiescet super eum spiritus Dei, spiritus sapientiæ et intellectus, spiritus consilii et fortitudinis*, etc.

ΚΕΦΑΛ. ΙΑ'.

α-ι'. *Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται. Ἀναπαύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος*, κ. τ. λ.

Neque vero quomodo istud futurum sit, ignorare voluit, cum *de radice Jesse* orituram *virgam*, quæ excelsos omnes confractura sit, intulit. Quo loco, ubi *radicem* habemus, magno consensu, *truncum* reliquos vertisse reperias. Erat enim tribus ipsa, illaque adeo, unde Christus prodiit, familia non minus quam *truncus* aliquis ramorum honore spoliatus; cum jam inde ab Assyriaca expugnatione in familia Davidis regum cessaret successio. *Ubi* autem *virgam* legimus, *virgulam* dixit Aquilas, ut Christi in carne submissionem et abjectionem significaret. Davidi enim in hæc verba prædictum legimus: « De fructu ventris tui ponam super sedem tuam[86]. » Quibus et prophetæ omnes assentiuntur; ut quod undique testatum est, factum non ambigatur. Ad id certe et Paulum constat respexisse, cum ait: « Quod ante promiserat per prophetas suos in Scripturis sanctis de Filio suo, qui factus est ex semine David secundum carnem[87]. » *Virgæ* autem nomine vel ejus, de quo vaticinium est, dignitas significatur; quia regiæ majestatis symbolum *virga* continet: vel summa illa potestas, qua cuncta moderatur, aut hominum patitur infirmitatem; juxta Davidis illud: « Virga tua et baculus tuus ipsa me consolata sunt[88]. » Sustentat **179** enim, eodem teste, rectos corde Dominus[89]. Est vero ipsa prophetarum voce *virga* hæc, virga inclyta, virga majestatis nuncupata.

Πῶς δὲ τοῦτο ἔσται, παρίστησιν, *ἐκ ῥίζης Ἰεσσαὶ ῥάβδον* εἰπὼν ἐξελεύσεσθαι, ἢ πάντας συντρίψει τοὺς ὑψηλούς. Ἀντὶ δὲ τοῦ *ἐκ ῥίζης, ἀπὸ κορμοῦ* συμφώνως ἑρμήνευσαν οἱ λοιποί. Καὶ γὰρ ἦν ἡ φυλὴ, καὶ πάτρια, ἐξ ἧς ἦν ὁ Χριστὸς, ὥσπερ τις *κορμὸς*, οὐκέτι κλάδους ἔχων, τῶν ἐκ διαδοχῆς τοῦ Δαβὶδ βασιλέων ἐκλελοιπότων μετὰ τὴν ἅλωσιν τὴν ὑπὸ τῶν Ἀσσυρίων. *Τὴν* δὲ *ῥάβδον*, *ῥαβδίον* Ἀκύλας ἐξέδωκε, τοῦ Χριστοῦ δηλῶν τὸ κατὰ σάρκα μέτριόν τε καὶ ταπεινόν. Εἴρητο δὲ πρὸς Δαβίδ· « Ἐκ καρποῦ τῆς ὀσφύος σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. » Οἷς δὴ σύμφωνα καὶ οἱ προφῆται φασιν, ὡς ἂν παντα χόθεν μαρτυρούμενον πιστεύηται γεγονός· πρὸς ἃ δὴ βλέπων καὶ ὁ Παῦλός φησιν, « Ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις περὶ τοῦ Υἱοῦ αὐτοῦ τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα. » Δηλοῖ δὲ *ἡ ῥάβδος*, ἢ τὸ βασιλικὸν ἀξίωμα τοῦ προφητευομένου (σύνθημα γὰρ βασιλείας *ἡ ῥάβδος*), ἢ τὴν παντοκρατορικὴν αὐτοῦ δύναμιν, δι' ἧς ἀνέχει τὸ πᾶν. Ἢ δι' ἧς ἀνέχει τὴν τῶν ἀνθρώπων ἀσθένειαν· κατὰ τὸ, « Ἡ *ῥάβδος* σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν. » Ὑποστηρίζει γὰρ δικαίους ὁ Κύριος, κατὰ τὸ γεγραμμένον. Ὠνόμασται δὲ διὰ φωνῆς προφητῶν *ῥάβδος* εὐκλεής, *ῥάβδος* μεγαλοσύνης.

Potest et aliter etiam *virga*, quia pastor ipse bonus est[90], usurpari. Eumdem enim hoc nomine propheta quidam compellat, cum: « Pasce populum tuum in virga tribum tuam, oves hæreditatis tuæ, » ait[91]. Dicatur item *virga*, tanquam judex, qui unicuique secundum opera sua rependat[92]: et ad quem illud refertur, quod de infideli dictum est Israele: « Pasces eos in virga ferrea[93]. » Cujus in typum Aaronis illa, quæ juglandes olim reddidisse memoratur[94], assumpta est. Putant vero et ita modicum

Ῥάβδος δὲ καὶ ἑτέρως, ἐπείπερ ἐστὶ ποιμὴν ἀγαθὸς· πρὸς ὃν φησί τις προφήτης· « Ποίμαινε λαόν σου ἐν *ῥάβδῳ* φυλήν σου, πρόβατα κληρονομίας σου. » Καὶ, ὡς κριτὴς δὲ λέγοιτο *ῥάβδος*, ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· πρὸς ὃν εἴρηται περὶ τῶν ἐξ Ἰσραὴλ ἀπειθῶν, « Ποιμανεῖς αὐτοὺς ἐν *ῥάβδῳ* σιδηρᾷ. » Οὗπερ εἰς τύπον ἐλήφθη καὶ ἡ *ῥάβδος* Ἀαρὼν, ἡ βλαστήσασα κάρυα· σύμβολον δέ φασιν τοῦτο τῆς πρὸς ὀλίγον τοῦ Σωτῆρος ἐν τῷ θανάτῳ κοιμήσεως. Ἀϋπνίας γὰρ εἶναι τὸ δένδρον

[84] Psal. xxxvi, 35. [85] Psal. xxviii, 5. [86] Psal. cxxxi, 11. [87] Rom. i, 2. [88] Psal. xxii, 4. [89] Psal. vii, 11. [90] Joan. x, 14. [91] Mich. vii, 14. [92] Psal. lxi, 12. [93] Psal. ii, 9. [94] Num. xvii, 8.

VARIÆ LECTIONES.

[c] γρ. τῷ. [d] γρ. τοῦ Λιβάνου.

Digitized by Google

ποιητικὸν, δι' ἧς *ῥάβδου* θείας ὄντως καὶ νοητῆς, Μωϋσῆς θαυματουργῶν εἰς ἐλευθερίαν ἐξῆγε τὸν Ἰσραήλ· διὸ καὶ Θεοῦ *ῥάβδον* ταύτην ὠνόμαζε. Γέγονε γὰρ αὐτῷ *ῥάβδος δυνάμεως* κατὰ τὸ γεγραμμένον. Λέγεται δὲ καὶ *ἄνθος*. Ἐν αὐτῷ γὰρ, ἡμῶν ἡ φύσις πρὸς ἀφθαρσίαν ἀνέθαλεν, καὶ εἰς καινότητα ζωῆς. Ἄνθος δὲ καὶ διὰ τὴν νοητὴν εὐσμίαν. « Ἐγὼ γὰρ, φησὶν, ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων. » Λέγει δὲ καὶ ὁ θεῖος Ἀπόστολος, « Τῷ δὲ Θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν Χριστῷ, καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμᾶς, ἐν παντὶ τόπῳ, [ὅτι] Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ. » Δηλοῖ δὲ τὸ *ἄνθος* καὶ τὴν πᾶσιν αὐτοῦ κεχαρισμένην ἐπιδημίαν, ὅτι ἐν βραχεῖ τὴν χάριν παρασχόμενος τῆς ἐνανθρωπήσεως, ταχείαν καὶ οἱονεὶ παροδικὴν ποιεῖται τὴν ἐπιδημίαν. *Ἐπαναπαύσεσθαι* δέ φησι *πνεῦμα Θεοῦ* πολλὰς ἔχον τὰς ἐνεργείας· οὐχ ὅτι ἦν *πνευματοφόρος* ψιλὸς γενόμενος ἄνθρωπος, ἀλλ' ὅτι Θεὸς ἐνανθρωπήσας οἰκειοῦται τὰ τῆς ἀνθρωπότητος ἴδια. Ἄνθρωπος γὰρ οὐκ οἰκοθεν ἔχει τὰ χαρίσματα τὰ *τοῦ πνεύματος*, ἀλλ' αὐτὸ τοῦτο χάρισμά τε καὶ δῶρον Θεοῦ. « Τί γὰρ ἔχεις, φησὶν, ὃ οὐκ ἔλαβες; » Ταῦτα τοίνυν οὐχ ἑαυτῷ, Θεὸς ὢν, ἐδέξατο· ἀλλ' ἡμῖν τοῖς ἐν ἐνδείᾳ παντὸς ἀγαθοῦ. Χορηγὸς γὰρ αὐτὸς τοῦ *πνεύματος*, καὶ οὐκ ἐκ μέτρου διδοὺς, ἀλλ' ὡς ἐξ ἰδίου πληρώματος. Οὐκ οὖν τὸ λαβεῖν ἐπ' αὐτοῦ, τῷ τῆς κενώσεως λογίζεται μέτρῳ· *ἀναπαύσεται* δὲ, φησὶν, *ἐπ' αὐτὸν*, ἐπὶ τοῦ Ἀδὰμ μὴ *ἀναπαυσάμενον* πρὸς ἁμαρτίαν ἐκκλίναντα, καθὰ καὶ οἱ μετ' αὐτόν. Πάντες γὰρ ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, ὁ δὲ Μονογενὴς κἂν τοῖς γεγονὼς καθ' ἡμᾶς ἀνάλωτος ἦν ἁμαρτίας. *Ἐπαναπαύσατο* οὖν τῇ τοῦ ἀνθρώπου φύσει *τὸ Πνεῦμα* τὸ ἅγιον, ὡς, ἐν αὐτῷ πρώτῳ, καὶ ὡς ἐν ἀπαρχῇ τοῦ γένους δευτέρᾳ, ὡς ἂν καὶ ἐν ἡμῖν ἐπαναπαύηται τοῖς πιστεύουσι. Κληρονομοῦμεν γὰρ τῶν τοῦ Χριστοῦ χαρισμάτων, ὡς καὶ τῶν τοῦ πρωτοπλάστου κακῶν. Ὅτι δὲ μὴ μερικὴν εἶχε τὴν τοῦ πνεύματος μέθεξιν, ἀλλ' ἦν τὸ πλήρωμα τῆς θεότητος, τὸ ὡς ἐν ἰδίῳ ναῷ καταλύον σαρκὶ τῇ ψυχῇ νοερᾷ ἐμψυχωμένῃ, δηλοῖ λέγων· *Καὶ ἐμπλήσει αὐτὸν Πνεῦμα φόβου Θεοῦ*, καὶ τὰ ἑξῆς. Οὐ καθ' ἓν δὲ χάρισμα Πνεῦμα διάφορον, ἑνὶ δὲ, καὶ τῷ αὐτῷ, διάφοροι πρόσεισιν ἐνέργειαι, κατὰ Παῦλον λέγοντα· « Πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται, » ὡς καὶ ὁ τοῦ Θεοῦ Λόγος ἐνεργεῖ πολυτρόπως. Ζωὴ γάρ ἐστι, φῶς τε, καὶ δύναμις. Εἰπὼν δὲ ὅτι τεχθήσεται κατὰ καιροὺς ὁ Ἐμμανουὴλ, τὰ δι' ὧν ἔσται γνώριμος, προσεπάγει χρησίμως, ἀπό τε τῆς ἐν αὐτῷ θεοπρεποῦς ἀρετῆς, καὶ τῆς τῶν ἔργων λαμπρότητος λέγων· *Οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει*· ἃ δὴ σαφῶς ἐξέδωκε Σύμμαχος εἰπών· *Οὐ τῇ ὁράσει τῶν ὀφθαλμῶν αὐτοῦ κρινεῖ, οὐδὲ τῇ ἀκοῇ τῶν ὠτῶν αὐτοῦ ἐλέγξει*[a] *ἐν εὐθύτητι πτωχοὺς*

tempus illud, quo mortuus in sepulcro jacuit Salvator, cum somnum ejusmodi dissipare planta credatur, adumbrari. Tali virga usus, divina plane, sensusque nostros fugiente, miraculorum patrator Moses, Israelitas in libertatem asseruit. Itaque et Dei *virgam* appellare non dubitavit. Huic enim *virga virtutis*, quemadmodum scriptum est [95], exstitit. Dicitur etiam et *flos*. In hoc enim ad recentis vitæ immortalitatem nostra refloruit natura. Dicitur item *flos*, propter ejus qui mente percipitur, odoris suavitatem. « Ego enim, ait, flos campi sum, lilium convallium[96]. » Iisdem et ipse ita assentitur Apostolus: « Deo autem gratias, inquiens, qui semper nos triumphare facit in Christo, et odorem notitiæ suæ manifestat per nos in omni loco; quia Christi bonus odor sumus Deo [97]. » Significat rursum *flos* ipse datum omnibus incarnationis munus, quod momento citius eam nobis gratiam largitus, currentis modo peregrinationem absolverit. *Requieturum* vero in eo *Domini spiritum*, cujus nec paucæ nec exiguæ sunt facultates, ait; non quod hominis more simpliciter afflatus *spiritum gestaret*; sed quod incarnationis mysterio partes humanitatis tutaretur. Neque enim *spiritus* dona domi recondita mortales habent, sed ipsa a Deo, ejus gratia et liberalitate, e piunt. « Quid enim habes, inquit, quod non acceperis [98]? » Hæc igitur non sibi, qui Deus est, sed nobis, qui summa bonorum penuria laboramus, assumpsit. Est enim spiritus ipse suppeditator, quem 130 non ex mensura dat, sed ex se tanquam r fertissimo penu et plenissimo depromptum, tribuit. Ne putes ergo, cum ab eo hauriri dictum intelligis, ad eorum rationem, qui tandem exhauriuntur, cum revocari. Quod deinde *super eum requieturum* dixit, ad Adamum ejusque posteros respexit; super quos flagitiis impeditus, haudquaquam *requiescere* valuit. « Omnes enim declinaverunt, simul inutiles facti sunt [99]. » Solus autem unigenitus Dei Filius, quantumvis eamdem nobiscum naturam haberet, peccati laqueos evitavit. In hominis ergo natura *Spiritus* sanctus, tanquam in ipso primo, secundisque generis primitiis, *requievit*; ut idem in credentibus nobis faceret. Nos enim Christi dona jure hæreditario, sicut et parentis primi calamitates, consequuntur. Verum ne spiritus portionem tantum habere, non ipsam autem deitatis plenitudinem exsistere putares, quæ tanquam proprio in templo, in carne anima intelligente prædita habitaret, his verbis: *Et replebit eum Spiritus timoris Domini*, et quæ sequuntur, usus est. Nec vero pro gratiarum varietate, varium esse Spiritum, sed unum eumdemque varias habere operationes Paulo teste credendum est [1]. Ait enim: « Omnia operatur unus etidem Spiritus, dividens singulis prout vult[2]; » eadem plane ratione, qua Dei Verbum multis ope-

[95] Psal. cix, 2. [96] Cant. II, 1. [97] II Cor. II, 14, 15. [98] I Cor. IV, 7, 3. [99] Psal. XIII 3; Rom. III, 2. [1] I Cor. XII, 11. [2] ibid. 11.

VARIÆ LECTIONES.

[a] *Al.* ἀλλὰ κρινεῖ.

Digitized by Google

rari modis animadvertimus. Vita enim idem ipse est, et lux, et potestas. Verumenimvero, quia suo tandem tempore nasciturum Emmanuelem monuit; utiliter jam, ut divinis virtutibus, operumque dignitate cognosci debeat, adjungit his verbis : *Non secundum opinionem judicabit, neque secundum rumorem arguet*; quæ sane a Symmacho perspicue sunt in hunc modum translata : *Non secundum visionem oculorum judicabit, neque secundum auditum aurium arguet : sed judicabit in rectitudine pauperes*, quod est Evangeliorum testimonio comprobatum. Est enim magna persæpe libertate nunc sacerdotibus ipsis regni Dei privationem, ut ad gentes transiret, quæ fructus **181** ejus ederent [3], minitatus : nunc Scribas et Pharisæos multis aliis imprecationibus insectatus [4].

Idem *vero non secundum sermonem arguebat :* sed in cordis penetralia oculorum acie irrumpens, tentantibus et simulate quærentibus Herodianis, a quibus publicanorum pecuniæ colligebantur, utrum censum Cæsari persolvere liceret, respondit ut sibi numisma census ostenderent, cæteraque illa, quæ sequuntur [5]. Honestam enim licet verborum speciem prætenderent, magistrumque Dei viam monstrantem appellarent; sunt tamen a Christo calumniæ convicti. *Judicavit etiam humili judicium, et humiles terræ arguit;* vel si ad Symmachum respicis, *pauperes in rectitudine*, eos nimirum, quos ipse beatos Christus prædicat spiritu pauperes [6]; quales ejus fuere discipuli, quibus et ipsa ne Domini quidem pepercit *reprehensio*. Ait enim · « Adhuc et vos sine intellectu estis [7]. » Et, « Nondum cognoscitis; nec intelligitis [8] ? » Itemque Petrum alloquens peculiariter : « Vir modicæ fidei, ad quid dubitasti [9] ? » cujus generis multa etiam alia *arguisse* nemini dubium esse queat. Sequitur ergo, *Et percutiet terram verbo oris sui.* Cui non absimile fuerit et illud : « Non veni pacem mittere in terram, sed gladium [10]. » Est vero gladius, *verbum oris ejus;* quo rerum terrenarum curæ, ac sollicitudines eorum, qui fidem ipsius amplexi sunt, amputat. Non desunt porro, qui istis divinitatem Salvatoris demonstrari dictitent. *Terram* enim significat, quam maledixerat. Revera autem de universa maledictum putetur : quando omne penitus hominum genus exsecratus est, his verbis : « Terra es, et in terram reverteris [11]. » Quando etiam mundum impietate depravatum eluvione exstinxit. Judæam vero et ipsam deinceps, ob contumeliam quam ab ipsa passus est, sic alloquitur : « Ecce relinquetur vobis domus vestra deserta [12]. » Ab ipso enim relicta, ferro et flamma plane consumpta est. Ad hæc, ne divina ipsius natura lateret : *In spiritu labiorum esse interfecturum impium* addidit. Immundos enim spiritus increpabat : **182** et quantum hominis admittebat conditio, ore et labiis obstrepebat. Sed ita Spiritus ineffabili poten-

γῆς. Μαρτυρεῖ δὲ τούτοις τὰ Εὐαγγέλια. Σὺν παρρησίᾳ γὰρ ἤλεγχε πολλῇ νῦν μὲν τοὺς ἱερέας, λέγων· Ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. Νῦν δὲ τοὺς Γραμματεῖς καὶ Φαρισαίους, οὐαὶ τούτοις πολλάκις εἰπών.

Ἀλλ' οὐδὲ κατὰ τὴν λαλιὰν ἤλεγχεν, εἰς δὲ τὰς καρδίας ὁρῶν ἔφασκε· « Τί με πειράζετε, ὑποκριταί; » τοῖς Ἡρωδιανοῖς λέγων (πράκτορες δὲ οὗτοι τελωνῶν), ἐρωτῶσιν εἰ ἔξεστι δοῦναι κῆνσον Καίσαρι· « Ἐπιδείξατέ μοι, φησὶ, τὸ νόμισμα τοῦ κήνσου, » καὶ τὰ ἑξῆς. Καίτοι λόγοις ἐχρῶντο καλοῖς, « Διδάσκαλε, λέγοντες, οἴδαμεν ὅτι τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις ἐν ἀληθείᾳ· » καὶ ὅμως αὐτοὺς κακουργοῦντας ἐξήλεγξε. *Καὶ ταπεινῷ δὲ κρίσιν ἔκρινεν, ἤλεγχετε τοὺς ταπεινοὺς τῆς γῆς,* ἢ κατὰ Σύμμαχον, *τοὺς πτωχοὺς ἐν εὐθύτητι·* περὶ ὧν ἔλεγεν, « Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, » οἵους εἶναι συνέβαινε τοὺς αὐτοῦ μαθητάς, οὓς *ἤλεγχε*, ποτὲ μὲν λέγων· « Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε. » Καὶ πάλιν, « Οὔπω νοεῖτε οὐδὲ συνίετε; » ποτὲ δὲ τῷ Πέτρῳ, « Ὀλιγόπιστε, εἰς τί ἐδίστασας. » Καὶ πλεῖστα τοιαῦτα λέγων διήλεγχε. Πρὸς οἷς φησι· *Καὶ πατάξει γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ.* Ὅμοιον τῷ, « Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν. » Μάχαιρα δὲ ὁ *λόγος τοῦ στόματος αὐτοῦ*, δι' οὗ τὰ γεώδη φρονήματα τῶν εἰς αὐτὸν πεπιστευκότων ἀνῄρει. Τινὲς δέ φασιν, ὡς τὸ θεῖον τοῦ Σωτῆρος διὰ τούτων παρίσταται. *Γῆν* γὰρ λέγει μάλιστα μὲν, ἣν ἂν καταράσασι [1]. Τὸ ἀληθὲς δ' ἂν εἴη καὶ ἐπὶ πάσης τὸ εἰρημένον. Κατηράσατο γὰρ σύμπασαν τὴν ἀνθρώπου φύσιν εἰπών· « Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. » Καὶ κόσμον ἀσεβῶν ὕδατι καταπόντισε· ἔτι δὲ καὶ τὴν Ἰουδαίαν ἐπὶ τῇ κατ' αὐτοῦ παροινίᾳ λέγων, « Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. » Ἐγκαταλειφθεῖσα δὲ παρ' αὐτοῦ πολέμῳ καὶ πυρὶ δεδαπάνηται. Τὴν δὲ θείαν αὐτοῦ φύσιν πρὸς τοῦτο παρίστησι τὸ, *Ἐν πνεύματι τὰ χείλεων ἀνελεῖν ἀσεβῆ.* Ἐπετίμα γὰρ τοῖς ἀκαθάρτοις πνεύμασι. Καὶ ὅσον μὲν ἦκεν εἰς τὸ ἀνθρώπινον, ἡ διὰ στόματος καὶ χειλέων ἀπεκτυπεῖτο φωνή. Τῇ δὲ ἀῤῥήτῳ δυνάμει τοῦ Πνεύματος τὸ τῶν δαιμονίων συνεθράυετο γένος, ὡς βοῶντας λέγειν· « Τί ἡμῖν καὶ σοί, Υἱὲ τοῦ Θεοῦ; ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς. Οἴδαμέν σε, τίς εἶ, ὁ ἅγιος τοῦ Θεοῦ. » Ἀλλὰ *καὶ ἔσται*, φησὶν, *δικαιοσύνη ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ. Καὶ ἀλήθεια εἰλημμένος τὰς πλευράς.* Κατὰ δὲ τὸν Σύμμαχον, *Καὶ ἔσται δικαιοσύνη περίζωμα*

[3] Matth. xxi, 34 seqq. [4] Matth. xxiii, 1 seqq. [5] Matth. xxii, 16 seqq. [6] Matth. v, 3. [7] Matth. xv, 16. [8] Matth. xvi, 9. [9] Matth. xiv, 21. [10] Matth. x, 34. [11] Gen. iii, 19. [12] Matth. xxiii, 38.

VARIÆ LECTIONES.

[1] *γρ.* κατηράσατο ἀλ.

Digitized by Google

τῆς ἐσφύος αὐτοῦ. Καὶ ἡ πίστις περίζωμα τῶν λαγόνων αὐτοῦ. Ἀξίωμα γὰρ αὐτῷ τῶν ἐν κόσμῳ τὸ σύμπαν οὐδέν. Ἀντὶ βασιλικῆς δὲ ζώνης χρυσῆς τε καὶ διαλίθου, *τὴν δικαιοσύνην* φησὶν *ἐξῶσθαι*[g] *καὶ τὴν ἀλήθειαν*. Δηλοῖ δὲ καὶ ταῦτα τὴν τοῦ Λόγου θεότητα, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις, κατὰ τὸν θεῖον Ἀπόστολον. Καὶ ὁ Σωτὴρ δέ φησιν· « Ἐγώ εἰμι τὸ φῶς » ἡ ἀλήθεια καὶ ἡ ζωή. Ἃ δὴ τὸν *ἐκ ῥίζης Ἰεσσαὶ* ζώνης περιέσφιγγον τρόπον, βασιλικῷ τε καὶ στρατικῷ σχήματι τὸ κατὰ τῶν ἀφανῶν καὶ ἀοράτων πολεμίων παράστημα τοῦ λόγου σημαίνοντος. Εἰκὸς δὲ καὶ τὸ εὐαγγελικὸν διὰ τούτου σημαίνεσθαι κήρυγμα, κατὰ τὸ, « Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. » Ἦν μὲν γὰρ καὶ ὁ νόμος *δικαιοσύνης* διδάσκαλος, ἀλλ' οὐκ ἔμεινεν εἰς τὸν αἰῶνα τῆς τελειοτέρας ἀντεισηγμένης. Ἦν δὲ καὶ τύπος *ἀληθείας*· ὁ δὲ Χριστὸς ἔλεγεν, Ἐγώ εἰμι ἡ *ἀλήθεια*. Διὰ τοσούτων ὥσπερ εἰκονογραφήσας τὸν προφητευόμενον, ἐξῆς αὐτοῦ διαγράφει τὰ κατορθώματα, δηλῶν ὡς τὰ ἤθη τὰ ἁρπακτικά τε καὶ θηριώδη τὸν τοιοῦτον ἀποθέμενα τρόπον, τοῖς ἐναντίοις ἀνακραθήσεται. Ὁμοῦ τε τοῖς ἐν Ἐκκλησίᾳ νεογνοῖς ὥσπερ *ταῦρος καὶ μόσχος* βοσκηθήσονται, τῆς αὐτῆς ἐκ τῶν θείων Λόγων μεταλήψόμενοι τροφῆς. Καὶ βασιλικοὺς δὲ ἄνδρας καὶ ἐν ἀρχαῖς ὁρῶν τένησι καὶ τοῖς τυχοῦσιν ἐν Ἐκκλησίᾳ συναναστρεφομένους, εἴποις ἂν τὸ παρὸν πληροῦσθαι ῥητόν. Οὐκ ἂν δὲ ἁμάρτοις διὰ μὲν τῶν θηρίων τοὺς ἐθνικοὺς λέγων σημαίνεσθαι, ἄλλου κατ' ἄλλο τῆς ἀλογίας εἶδους χαρακτηριζομένους.

A tia, dæmonum vires frangebantur, et toto genere ruebant, ut clamantes : « Quid tibi nobiscum, Fili Dei ? » audirentur, « venisti ante tempus, ut torqueres nos [13]. Non te ipsi ignoramus, nec sanctum Dei esse ambigimus. » *At erunt*, ait, *justitia succincti lumbi ipsius, et veritate latera involuta.* Ut autem Symmachus : *Et erit justitia cingulum lumborum ejus, et fides cingulum renum ejus.* Nullum enim eorum omnino, quibus sibi placent homines, insigne majestatis habiturus est ; sed pro regio cingulo, auro et gemmis insignito : *Justitia et veritate succinctum iri pollicetur.* Ostendunt vero et hæc Christi deitatem ; qui, Paulo teste [14], factus est nobis sapientia a Deo, et justitia, et sanctificatio, et redemptio. Quin et Salvator ipse, lucem esse se [15], B veritatemque, et viam profitetur [16] : quæ profecto, cinguli instar, eum, qui de *radice Jessæ* prodierat, constringebant : eoque regio ejus et militari habitu, auxilium præbentem adversus visibiles et invisibiles hostes, oratio significavit. Nec est profecto dissentaneum istis Evangelii prædicationem designari ; juxta illud : « Justitia tua, justitia in sæculum, et lex tua veritas [17]. » Justitiam enim et ipsa lex docebat. Sed non in perpetuum remansit, cum eam, quæ perfectior est, expulerit. Erat eadem et *veritatis* effigies : sed Christum *veritatem* ipsam exsistere, verbis ipsius testatum habemus. Ils ergo prophetica narratione veluti delineatis et adumbratis, ad ea se deinceps, quæ præclare ab eo gesta sunt, explicanda conferens, rapaces et feros C olim homines mutato vitæ genere, studiis contrariis penitus incubituros ; simulque in Ecclesia recens natos (non secus atque *vitulos et tauros* simul pasci videmus) ejusdem divinorum verborum alimenti fore participes dixit. Nec vero erit, cum reges, et qui cum imperio sunt, inter plebeios et pauperes in Ecclesia versari conspexeris, quod de hujus prophetiæ fide quidquam addubites. Quod **183** si per ferocia animalia, gentes significari quis dicat ; non male, meo judicio, sentiat ; modo alia absurditatis feritatisque specie aliam notari existimet.

Διὰ δὲ τῶν ἡμέρων ζώων καὶ καθαρῶν τοὺς Ἰσραηλίτας, οἳ τῇ τοῦ νόμου διδασκαλίᾳ γεγόνασιν ἡμερώτεροι, σημαίνοντος τοῦ λόγου μίαν ἐξ ἀμφοῖν συστήσεσθαι ποίμνην ἀγρίων τε καὶ ἡμέρων, ἱερῶν τε καὶ ἀνιέρων ὑπὸ τῷ πάντων ἀρχιποίμενι τῷ νέμειν εἰδότι, καθά φησιν ὁ προφήτης, ἐν νομῇ ἀγαθῇ καὶ ἐν τόπῳ πίονι. Καλεῖ δὲ *μοσχάριον*, τὸν νέον τῶν πιστευσάντων λαὸν τὸν ἐν Χριστῷ νηπιάζοντα. *Ταῦρον* δὲ τάχα τὸν Ἰσραήλ, ὡς ἡλικίᾳ προήκοντα· ἤγουν τὸ μὲν τοὺς εἰσαγομένους τῇ πίστει, τὸ δὲ τοὺς ὑπερκειμένους ἀρετῇ τε καὶ γνώσει. Κατὰ τὸ, « Εὐλόγησον, Κύριος, τοὺς μικροὺς μετὰ τῶν μεγάλων. » Φησὶ δὲ καὶ Δαβίδ· « Πρεσβῦται μετὰ νεωτέρων αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου. » Τὰς ἐν Χριστῷ γὰρ ἡλικίας καὶ Ἰωάννης ἐμφαίνων γράφει παιδίοις καὶ πατράσι καὶ νεανίσκοις· Καὶ *παιδίον*, φησὶ, *νήπιον ἄξει*. Τὸ *ἄξει*, ἀντὶ τοῦ *συνάξει* λέλεκται. Καὶ τοῦτο δὲ μετὰ τῶν ἄλλων ἐν ἐκκλησίαις ἔστιν ἰδεῖν, τοὺς

Per mansueta autem et pura, Israelitas ipsos, qui per legis doctrinam facti sunt mansuetiores ; idemque ex ambobus, cicuribus et feris, sacris et profanis, ejus opera, qui pastorum princeps pascendi artem callens, propheta teste, in pascua optima, in pingues campos deducere valet, conflatum iri ovile credamus. *Vituli* porro nomine, populum intelligit, qui Christi fidem recenter amplexus, in Christo puer est : ut ipsa forsan *tauri* appellatione, Israelitas, tanquam ætate provectos. Nimirum, ut uno eos, qui fidei tantum elementa degustarunt : altero, ut virtute jam et cognitione provectos, significet. Scriptum enim est : « Benedic, Domine, parvulos cum magnis [18]. » Et apud D Davidem : « Senes cum junioribus laudent nomen Domini [19]. » Ætatum præterea in Christo discrimina esse ut ostenderet Joannes, et pueris, et patribus, et ipsis etiam adolescentibus, scribere se

[13] Matth. VIII, 29. [14] I Cor. I, 24, 30. [15] Joan. VIII, 12. [16] Joan. XIV, 6. [17] Psal. CXVIII, 142. [18] Psal. CXIII, 13. [19] Psal. CXLVIII, 12.

VARIÆ LECTIONES.

[g] ἐζῶσθαι.

Digitized by Google

testatus est [20]. *Et puer parvulus*, addit, *aget eos*. Quo loco *agere*, pro eo, quod est cogere et congregare positum est. Quod quidem cum aliis, licet in ecclesiis etiam intueri, in quibus maxima præfectorum pars morum simplicitate et bonitate nihil distans ab infantibus, eos tamen agit, qui ex omni genere hominum in unum coierunt. *Et bos*, addit, *et ursus simul pascentur et simul erunt catuli eorum*. Colonorum enim et agrestium, pauperumque, et divitum, malorum etiam, et bonorum pueri in Ecclesia simul coeunt. Fortassis autem *puerorum* nomine, eorum etiam de quibus jam dictum est, animorum et fidei consensum significat. *Leo* rursus crudivorum natura animal, eorum morte jam, quæ herbis pascuntur, *paleis vesci* assuetus, homo dici queat qui, fero et immiti animo præditus, nudis sacræ Scripturæ verbis, quæ *palearum* nomine innuit, delectatur. Triticum enim jure optimo mentem eam quæ latet intus, et rationem dixerimus, quibus nutritur animus. Adjungit autem et *puerum infantem* **184** (qualis ille fuit de quo paulo ante diximus) *super foramen aspidum*, *superque fetuum ipsorum cubile manum impune* immissurum. Quibus verbis eorum corpora intelligit, quæ a dæmonibus infestantur; in quibus latitantes spiritus reptiles et venenati, veluti *foraminibus*, corporis sensibus incubant. Sed in istos, qui Christi *puer* est, vir simplex aliquis, et malitia puer, Salvatoris virtute fretus *manum* suam immittit; quibus nulla est nocendi potestas, propter eum, qui de *radice Jessæ* egressus, *pueris* suis serpentes et scorpiones conculcandi facultatem largitus est [21]. Non male rursum per *aspidum foramina*, *et cubilia*, hæreticorum latibula, effugiaque intelligas; in quæ qui in Christo *pueri* exsistunt, eodem venenatis ipsorum morsibus vires adimente, tuto manus injicere possunt. Quod autem *montem sanctum* addidit, Ecclesiam ipsam, quæ morum et doctrinæ probitate, ipsa denique verbi cœlestis promulgatione emineat, intelligit. Atque ut ab eo qui in Judæa est, mentem nobis avocaret, quia *repleta est universa terra cognitione Domini*, *sicut aqua multa cooperit mare*, addidit: ut ita Ecclesiam, quæ toto orbe continetur, pia doctrina, Deique cognitione quidquid habet scelerata vita salsuginis multa veluti fluminis inundatione deleturam significaret. Stato autem, nit, et prophetiis designato tempore (quando nimirum ex mortuis surrexerit) qui de *radice Jessæ egressurus est*, gentibus imperabit. Nequaquam enim illo Judæorum, quod brevi terræ angulo continetur (ut David olim, ejusque posteri) regno contentus, orbi universo solus *imperabit*, *et in ipso sperabunt omnes*: quemadmodum a Mose olim scriptum legimus, non defuturum principem ex Juda, neque ducem de femore ejus, donec veniat quod repositum est: ipsumque fore exspectationem gentium [22]. Est vero considerandum, tribum a Mose;

A πλείστους τῶν προεστώτων δι' ἁπλότητα ψυχῆς καὶ ἀκακίαν οὐδὲν νηπίων διαφέροντας. Ὅμως δ' οὖν ἡγουμένους τῶν ἀπὸ παντὸς γένους κατὰ τὸ αὐτὸ συναγομένων. *Καὶ βοῦς* δὲ, φησὶ, *καὶ ἄρκτος ὁμοῦ βοσκηθήσονται, καὶ ἅμα ἔσται τὰ παιδία αὐτῶν.* Γεωργικῶν γὰρ ἀνδρῶν καὶ ἀγρίων, πενήτων τε καὶ πλουσίων, πονηρῶν τε καὶ ἀγαθῶν ὅπου [h] παῖδες ἐν Ἐκκλησίᾳ συνέρχονται. Ἴσως δὲ *παῖδάς* φησιν, τὴν τῶν εἰρημένων ὁμοψυχίαν τε καὶ ὁμοπιστίαν. Σαρκοβόρος δὲ τὴν φύσιν *λέων ἀχύροις τρεφόμενος* ποηφάγου ζώου δίκην, ἄνθρωπος ἂν εἴη πάλιν θηριώδης καὶ ἀπηνής, ψιλῇ τῇ λέξει τῆς θείας χαίρων Γραφῆς, ἣν *ἄχυρον* ὁ λόγος καλεῖ. Πυρὸς γὰρ εἰκότως ὁ ἐν ἀποκρύφῳ νοῦς καὶ ὁ ψυχῶν τρόφιμος λόγος. Ἔτι πρὸς τούτοις, *παιδίον νήπιον*, ὁποῖον ἦν τὸ μικρῷ πρόσθεν εἰρημένον, *ἐπὶ τρώγλην ἀσπίδων καὶ ἐπὶ κοίτην ἐκγόνων ἀσπίδων ἐπιβαλεῖν*
B *τὴν χεῖρα*, φησὶν, ἀβλαβῶς. Δηλοῖ δὲ ταῦτα τῶν ὑπὸ δαιμόνων ἐνοχλουμένων τὰ σώματα, οἷς ἐμφωλεύοντα καὶ ἑρπυστικὰ ὄντα πνεύματα, καὶ *ἰοβόλα*, *τρώγλαις* ὥσπερ ἐγκοιτάζεται τοῖς αἰσθητηρίοις τοῦ σώματος. Ταῦτα δὲ τὸ Χριστοῦ *παιδίον* ἀνήρ τις ἁπλοῦς καὶ τῇ κακίᾳ νηπιάζων, τῇ τοῦ Σωτῆρος ἀπελαύνων δυνάμει, τὴν ἰδίαν ἐπιτίθησι *χῆρα* [i] μηδὲν κακοποιεῖν δυναμένοις, διὰ *τὸν ἐκ ῥίζης Ἰεσσαὶ* προελθόντα, τοῖς αὐτοῦ *παιδίοις* ἐξουσίαν παρέχοντα πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. Νοήσεις δὲ *τρώγλας καὶ κοίτας ἀσπίδων*, καὶ τὰς τῶν αἱρετικῶν καταδύσεις, αἷς οἱ ἐν Χριστῷ *νηπιάζοντες*
C ἀβλαβῶς ἐπιβάλλουσι χεῖρα, Χριστοῦ τὰ κείνων δήγματα καὶ τὸν ἰὸν ἀποφαίνοντος ἄπρακτον. Ἅγιον δὲ *ὄρος*, τὴν Ἐκκλησίαν φησὶν ἐπηρμένην βίῳ καὶ δόγμασιν, ἔχουσάν τε τοῦ λόγου τοῦ ἐπουρανίου τὸ κήρυγμα. Ὡς ἂν δὲ μὴ τὸ κατὰ τὴν Ἰουδαίαν ὄρος νοήσωμεν, ἐπήνεγκεν, ὅτι *Ἐπλήσθη ἡ σύμπασα τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θάλασσαν*· οὕτω τὴν καθ' ὅλης τῆς οἰκουμένης Ἐκκλησίαν δηλῶν τὴν εὐσεβῆ γνῶσιν [j], πᾶν τὸ ἁλμυρὸν τῆς τοῦ βίου κακίας ὥσπερ πολλῷ τῷ ῥεύματι κατακλύζουσαν. Κατὰ καιρὸν δὲ, φησὶ, τὸν προφητευόμενον, *ὁ ἐκ ῥίζης Ἰεσσαὶ ἀναστησόμενος*, τοῦτ' ἔστι μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἄρξει τῶν ἐθνῶν. Οὐ γὰρ Ἰουδαίων ἔσται βασιλεὺς, οὐδ' ὥσπερ ὁ Δαβὶδ, οἵ τε τούτου διάδοχοι, βραχείας
D τινὸς γωνίας· πάσης δὲ *κρατήσει* τῆς γῆς, καὶ *ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν* συμφώνως τῷ παρὰ Μωϋσεῖ· Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται. Καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν. Ἀλλ' ἐκεῖ μὲν, τὴν φυλὴν εἶπεν· ἐνταῦθα δὲ, τὴν πατριὰν ἐκ ῥίζης λέγων Ἰεσσαὶ τοῦ Πατρὸς τοῦ Δαβίδ· διήρηντο γὰρ εἰς πατριὰς αἱ φυλαί. Τὰ τροπικῶς δὲ προειρημένα θηρία, νῦν σαφῶς *ἔθνη* καλεῖ.

[20] I Joann. II, 12-14. [21] Luc. X, 19. [22] Gen. XLIX, 10.

VARIÆ LECTIONES.

[h] γρ. ὁμοῦ. [i] γρ. χεῖρα. [j] γρ. τῇ εὐσεβεῖ γνώσει.

Digitized by Google

ab Isaia autem familiam, cum Jessæ nominat Davidis parentem, designari. Erat enim tribuum in familias ipsas distinctio. **185** Verum quæ tropice antea de feris dixerat, aperte jam ad *gentes* referri significat.

Ἀντὶ δὲ τοῦ, *ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν*, ὁ μὲν Ἀκύλας ἐξέδωκεν, *ὃς ἀνίσταται εἰς σύσσημον λαῶν*· ὁ δὲ Σύμμαχος, *ὃς ἀνίσταται σύσσημον τῶν ἐθνῶν*. Διὸ τὴν σφραγῖδα τοῦ πάθους αὐτοῦ καὶ τὸ σωτήριον *σημεῖον* περιφέρει τὰ εἰς αὐτὸν *ἔθνη* πεπιστευκότα. *Καὶ ἔσται*, φησὶν, *ἡ ἀνάπαυσις αὐτοῦ τιμή*. Κατὰ δὲ Ἀκύλαν καὶ Σύμμαχον, *δόξα*. Λίαν ἀκολούθως τῇ τῆς οἰκονομίας ἀρχῇ τε καὶ μέσοις, καὶ τὸ τέλος ὁποῖον ἔσται, δηλῶν· θάνατον μὲν οὐ λέγων αὐτοῦ, *ἀνάπαυσιν* δὲ *καὶ τιμὴν*, πρὸς βραχὺ τοῦ σώματος ἠρεμήσαντος, ὃ δὴ τέλος τῆς εἰς ἀνθρώπους οἰκονομίας. Ἔλεγε γὰρ πρὸς τὸν Πατέρα· « Πάτερ, δόξασόν με τῇ δόξῃ, ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. » Δεδόξασται γὰρ τὸν ὑπὲρ ἡμῶν ὑπομείνας σταυρὸν, πρὸς ὃν χωρῶν, τὸ, Δόξασόν με, πρὸς τὸν Πατέρα φησί. Καὶ πάλιν· « Νῦν ἐδοξάσθη ὁ Υἱὸς τοῦ ἀνθρώπου, » καὶ τὰ ἑξῆς. Τῇ μὲν γὰρ ἀπονοίας τῶν τολμησάντων, μῶμος ἦν, τῇ δὲ ἀναστάσει, πρὸς *δόξαν* κατήντησεν. Οὐ γὰρ ἦν, ὥσπερ ἐδόκουν, τὸ πάθος ἀκούσιον. Καὶ ἄλλως· *Ἀνάπαυσις* αὐτὴ Χριστοῦ, *ἡ τιμὴ* τῶν τιμώντων αὐτόν. Δι' ὧν ὁμολογοῦσι Λόγον Θεοῦ καὶ σοφίαν καὶ δύναμιν τὴν πρὸς τὸν Πατέρα σημαίνοντες ὁμοφυΐαν τε καὶ ὁμοτιμίαν καὶ ὕπαρξιν τὴν ἀΐδιον. Λέγοις δ' ἂν *ἀνάπαυσιν*, καὶ ἦν, *ἀναπαύει* τοὺς ἀγαπῶντας αὐτόν. Κατὰ τὸ ἄλλῃ, Τοὺς ἐμὲ ἀγαπῶντας δοξάζω. Ἔστι γὰρ *ἡ ἀνάπαυσις*, ἣν *ἀναπαύει* Κύριος, *τιμή*· ἥτις κατὰ τὴν δικαιοκρισίαν τοῦ Θεοῦ πρὸς τὴν τῶν πεπραγμένων ἀξίαν διανεμηθήσεται. Πολλαὶ γὰρ μοναὶ παρὰ τῷ Πατέρι. Καὶ ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ. Κάνταῦθα δὲ οἷς ἐνοικεῖ, τιμίους πάντας ποιεῖ. Ἐὰν γάρ τις ἀκούσῃ, φησὶ, τῶν λόγων μου, ἀγαπήσει αὐτὸν ὁ Πατήρ μου, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ ἐν αὐτῷ καταλύσομεν. *Ἀναστήσεται* τοίνυν οὐ πρὸς τὸ κατάρξαι μόνον ἐθνῶν. Ἀλλὰ γὰρ καὶ εἰς *τιμὴν* καὶ *δόξαν*, αὐτοῖς χαριεῖται τὴν ἐν αὐτοῖς [k] *ἀνάπαυσιν*.

Sed pro quo, *Qui consurgit ut gentibus imperet*, habemus, *Qui consurgit in signum populorum* reddidisse Symmachum, Aquilam autem *gentium* reperias; indeque fieri, ut quotquot in Christum *gentes* et populi crediderunt, omnes mortis ejus salutare *signum* gestare videamus. *Et erit*, addit, *requies ejus honor*, vel, ut Symmacho et Aquilæ placet, *gloria*: apposite profecto maxime ad œconomiæ principia, ad media, ad finem denique, quem illa esset habitura, significandum: cum non mortem quidem ipsius, sed *requiem et honorem* (requiescente nimirum ad breve quoddam tempus ejus corpore) ostendat; qui ejus inter homines œconomiæ finis habetur ultimus. Sic enim Patrem compellasse legimus: « Pater, glorifica me ea gloria, quam habebam, antequam mundus exstaret, apud te [23]. » Est enim cruce nostri causa tolerata glorificatus; ad quam cum libens pergeret, a Patre seipsum glorificari postulavit. Eodem spectat et illud: « Nunc glorificatus est Filius hominis [24], » et quæ deinceps. Sanna enim et ludibrium, si eorum, qui talia ausi sunt amentiam intueris, exstitit. Sed *gloria* resurrectionem secuta est. Neque enim, ut eorum ferebat opinio, mortem invitus oppetiit. Est et aliter Christi *requies*, *honor ille*, qui et ab ipsius defertur cultoribus; cum Verbum Dei, ejusque sapientiam et virtutem, et quam cum Patre habet naturæ simul et gloriæ communionem, æternam denique exsistentiam, agnoscimus et profitemur. Potes et *requiem*, qua Deo dilecti fruuntur, intelligere: ut alibi eos, a quibus diligitur, glorificaturum testatus est. Quem enim *honorem* præstat Dominus, *requiem* appellamus; eumdemque nos isto Dei judicio pro gestorum dignitate decet exspectare; cum sint apud Patrem multæ mansiones [25]; cum stella a stella gloria differat: cum omnes denique, in quibus ipse inhabitat, honore afficiat. « Quisquis enim, ait, verba mea audiverit, diliget eum Pater meus, et ad ipsum veniemus, et mansionem apud eum faciemus [26]. » **186** *Consurget* ergo, non ut gentibus solum imperet, sed ut *honorem* ipsis et *gloriam*, quamque ipse habet, *requiem* largiatur.

ια-ιδ'. *Καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ προσθήσει ὁ Κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ τοῦ ζηλῶσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ, ὃ ἐὰν καταλειφθῇ ἀπὸ τῶν Ἀσσυρίων, καὶ ἀπὸ Αἰγύπτου, καὶ ἀπὸ Βαβυλῶνος, καὶ ἀπὸ Αἰθιοπίας, καὶ ἀπὸ Ἐλαμιτῶν, καὶ ἀπὸ ἡλίου ἀνατολῶν, καὶ ἐξ Ἀραβίας*, κ. τ. λ.

VERS. 11-14. *Et erit die illa: Adjiciet Dominus ostendere manum suam, ut æmuletur superstites reliquias populi, quæ relinquentur ab Assyriis, et ab Ægypto, et a Babylone, et ab Æthiopia, et ab Elamitis, et ab ortu solis, et ab Arabia*, etc.

Μνήμην τῆς τῶν ἐθνῶν ποιησάμενος πίστεως εἰς τὸν ἐκ ῥίζης Ἰεσσαὶ, καὶ τοῦ τῶν Ἰουδαίων μέμνηται μέρους. Ὡς ἂν μὴ δόξῃ τούτοις τὴν παρουσίαν

Quia de gentium fide in eum, qui de radice Jessæ proditurus fuerat, mentionem fecerat; et Judæorum vicis hoc loco non obliviscitur; ne et istis inutilis

[23] Joan. XVII, 5. [24] Joan. XIII, 31. [25] Joan. XIV, 2. [26] ibid. 23.

VARIÆ LECTIONES.

[k] *pp.* αὐτῷ.

Digitized by Google

esse Christi videretur adventus, quem hoc loco aperit his verbis : *In die illa adjiciet Dominus ostendere manum suam, ut æmuletur reliquias populi;* quæ in hunc modum interpretatur Aquilas : *Adjiciet Dominus iterum manum suam, ut possideat reliquias populi sui.* Quod ait *secundo* Symmachus. Quemadmodum **187** enim, cum misera in Ægypto servitute premerentur, ejus mirabiliter in Ægyptios *inducta manu* liberati sunt. Sic est eadem ille admirandis operibus *populi sui reliquias in suam potestatem asserturus, et in æmulationem præbiturus.* Neq dubium est eum hic populum intelligi, cujus antea semen, id est apostolos, credentisque populi Israelitici partem, quos exercituum Dominum reliquisse testatus est propheta, tales enim ipsæ sunt per gratiæ electionem reliquiæ, quæ toto terrarum orbe varie a gentibus agitatæ, salvæ tamen factæ sunt [37]. Sunt enim istorum opera, quotquot in orbe cernas universo, Ecclesiæ constitutæ et stabilitæ. Est præterea sanctum non ab aliis inter gentes prædicatum Evangelium [38], *signis* Deo et prodigiis tantum opus, veluti testimonio, confirmante, et apud fideles commendante.

Non desunt vero qui eos *reliquiarum* nomine, qui ex hostium manibus incolumes evaserunt, tanquam eis ad Dei cognitionem non illa, quæ in Ægypto, non item quæ per Filium in solitudine, non quæ per judices denique patrata sunt prodigia, sufficere viderentur, intelligi putent. Itaque ipso adventus tempore *manum* dicit *adjecturum, ut in æmulationem populi reliquias adducat*, ne gentibus habendus ipse relinquatur. Similiter et Christum ducem et præfectum describi ait, qui Davidis voce regem se in eos super Sion montem sanctum ejus ab eo constitutum esse [39]; qui se item ad oves, quæ de domo Israelis perierant, venisse asserat [40], qui discipulos etiam in viam gentium abire prohibeat [41]. Sed populo Israelitico, paucis tantum exceptis, non admittente, quando ad gentes transivit gratia, exstitere ultimi, qui primi; et primi, qui ultimi [42]. Hinc est igitur, quod nunc propheta, cum gentium prius meminisset, Israelitas ordine secundo addidit, quo tanquam in dorsum (utor enim Davidis verbis [43]), in reliquiis positos jacuisse significet. *Elevabit* autem (*de reliquiis* intelligens) *signum ingentibus*, ait; et ante omnes *congregabit perditos Israel.* Nemo enim ipsis a **188** Salvatore primum esse prædicatum Evangelium ignorat, quos non incongrue perditas oves nuncupabat. Sed quem tandem *congregaturum* putabimus? Vel ipsum apostolorum chorum, vel quem *de radice Jessæ egressurum* asseruimus. Eos enim una, eademque Ecclesia, qui prius inter se valde dissidebant, in unum compulit et colligavit; qui in duo olim, diversis Samariæ et Israelis nominibus, distrahebantur. Sed quodnam *signum* intelligat, haud cui-

A ἔχειν ἀνόνητον, ἣν δηλοῖ διὰ τοῦ· *Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ προσθήσει Κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ τοῦ ζηλῶσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ.* Ἀνθ' οὗ φησὶν Ἀκύλας· *Προσθήσει Κύριος δεύτερον τὴν χεῖρα αὐτοῦ τοῦ κτήσασθαι τὸ ὑπόλειμμα τοῦ λαοῦ αὐτοῦ.* Σύμμαχος δὲ, *ἐκ δευτέρου*, φησίν. Ὡς γὰρ ἐν Αἰγύπτῳ ταλαιπωρουμένους αὐτοὺς ἠλευθέρωσεν τὴν παραδυναστοποιὸν αὐτοῦ *χεῖρα τοῖς* Αἰγυπτίοις *ἐπαγαγών*, οὕτω πάλιν διὰ παραδόξων αὐτὴν ἔργων κινήσειεν ὑπὲρ τοῦ κτήσασθαι, *καὶ ζηλωτὸν ποιῆσαι τὸ καταλειφθὲν τοῦ λαοῦ*, περὶ οὗ τὸ, εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα προέλεγεν, τὸ τῶν ἀποστόλων καὶ πεπιστευκότων σημαίνων μέρος ἐξ Ἰσραήλ. Ὃ δὴ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν, ἐκ πάσης B τῆς ἐν ἔθνεσιν Ἰουδαίων διασπορᾶς τοῖς διαφόρως αὐτοὺς πολεμήσασιν. Οἱ πανταχοῦ γὰρ πιστεύσαντες, λεῖμμα κατ' ἐκλογὴν λέγονται χάριτος. Οὓς καὶ δοξάσειν φησὶν εἰκότως. Αἱ πανταχοῦ γὰρ Ἐκκλησίαν διὰ τούτων συνέστησαν. Καὶ τὸ θεῖον Εὐαγγέλιον ἐκηρύχθη τοῖς ἔθνεσιν, συνεπιμαρτυροῦντος αὐτοῖς τοῦ Θεοῦ *σημείοις* καὶ τέρασιν, δοξάζοντός τε παρὰ πᾶσι τοῖς πιστεύσασιν.

Τινὲς δὲ *λεῖμμά* φασι, τὸ ἀπὸ τῶν πολεμίων περισωθὲν, οἷς οὐκ αὐτάρκη τὰ ἐν Αἰγύπτῳ, καὶ ἐρήμῳ, καὶ διὰ τοῦ Υἱοῦ, καὶ τῶν Κριτῶν πρὸς θεογνωσίαν ὑπῆρξε σημεῖα. Διὸ προσθήσει κατὰ ἣν *ἐπιδημίαν τὴν χεῖρα, ὡς ἂν εἰς ζῆλον ἀγάγοι τὸ ὑπόλοιπον τοῦ λαοῦ*, πρὸς τὸ μὴ παραχωρῆσαι τούτου C τοῖς ἔθνεσιν. Ὁμοίως δὲ καθηγητὴν ἐπιγράφεσθαι τὸν Χριστὸν, ὃς δή φησι διὰ φωνῆς τοῦ Δαβίδ· Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ἐπ' αὐτοὺς, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ. Ἥκειν γὰρ ἔλεγεν εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ. Καὶ τοῖς ἰδίοις παρήγγελλε μαθηταῖς εἰς ὁδὸν ἐθνῶν μὴ πορεύεσθαι. Τοῦ δὲ Ἰσραὴλ, πλὴν ὀλίγων, μὴ δεξαμένου, εἰς τὰ ἔθνη μετελθούσης τῆς χάριτος, γεγόνασιν οἱ πρῶτοι ἔσχατοι, καὶ οἱ ἔσχατοι πρῶτοι. Διὸ καὶ νῦν ὁ προφήτης τῶν ἐξ ἐθνῶν πρώτων μνησθεὶς, ἐπέθηκεν αὐτοῖς τοὺς ἐξ Ἰσραὴλ, ὡς εἰς νῶτον τεθειμένου ἐν τοῖς περιλοίποις, κατὰ τὸν θεῖον Δαβίδ. Τοῦτο δὲ, φησὶ, *τὸ κατάλειμμα ἀρεῖ σημεῖον ἐν τοῖς ἔθνεσιν*, καὶ πρὸ πάντων *συνάξει τοὺς ἀπολομένους Ἰσραήλ*· αὐτοῖς γὰρ πρώτοις ἐκήρυξαν. Τὰ πρόβατα συμφώνως ἀπο- D λωλότα φησὶν ὁ Σωτήρ. Τίς δὲ *συνάξει*, ἢ ὁ τῶν ἀποστόλων χορὸς, *Ἢ ὁ ἐκ ῥίζης ἀνιστάμενος Ἰεσσαί;* Πρὸς γὰρ μίαν Ἐκκλησίαν τοὺς πρὶν ἀλλήλοις ἀντικαθεστῶτας συνήγαγεν. Διεμερεῖς γὰρ ἦσαν ἐν Ἱερουσαλὴμ τε καὶ Σαμαρείᾳ· τὸ δὲ *σημεῖον* ὅπερ ἦρεν, ἐστὶν περὶ οὗ φησιν ὁ Σωτήρ· « Καὶ ὄψονται τὸ *σημεῖον* τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, » λέγων δηλαδὴ τὸν σταυρὸν, δι' οὗ τοῖς ἁγίοις ὁ κόσμος ἐσταύρωται, καὶ οὗτοι τῷ κόσμῳ. Οὗ δὴ νῦν τὴν δύναμιν ἡ προφητεία σημαίνουσα, καὶ τίνος χάριν ἡ σωτηρία διὰ σταυροῦ τοὺς πιστοὺς *ἐκ τῶν τεσσάρων*, φησὶ, *περάτων τῆς οἰκουμένης* συνάγεσθαι, τῶν ἄκρων τοῦ

[37] Rom. xi, 5. [38] Marc. xvi, 15. [39,39] Psal. ii, 6. [40] Matth. x, 6. [41] ibid. 5. [42] Matth. xx, 16. [43] Psal. xx, 13.

Digitized by Google

παντὸς εἰς τὸ μέσον συναπτομένων, καὶ τῆς ἐν τῷ μέσῳ δυνάμεως πρὸς τὰ τέσσαρα μέρη περατουμένης. Τετραχῇ γὰρ τοῦ σταυροῦ τὰ μέρη διήρηται, δι' οὗ συνάγονται δύναμιν ἔχοντος καθαιρετικὴν ἀρχῶν καὶ ἐξουσιῶν, ἃς ἐν τῷ ξύλῳ ἀπεκδυσάμενος ἐθριάμβευσεν· ὃ δὴ νοήσας ὁ ἐκ τῶν ἀπολωλότων Ἰσραὴλ Παῦλός φησιν· Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ· ἐκ δὲ τῆς ἱστορίας, πράγματος νοητοῦ τῷ προφήτῃ γέγονεν ἀφορμή. Ὡς γὰρ ἁλόντες αἰχμάλωτοι Ἰούδας καὶ Ἐφραΐμ, εἶτα τυχόντες ἀφέσεως, οὐκέτι διηρημένως κατῴκησαν, ἀλλὰ πάντες ἐν Ἱερουσαλὴμ μηκέτι μεμερισμένην ἔχοντες τὴν ἀρχήν, ἀλλ' εἰς ἕνα πάντες Ζοροβαβὲλ τὸν τοῦ Σαλαθιὴλ ἐκ σπέρματος ὄντα Δαβὶδ καὶ φυλῆς Ἰούδα, καὶ Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ καὶ ἀρχιερέα τυγχάνοντα. Οὕτω νῦν ἐγηγερμένου τοῦ τιμίου σταυροῦ, γέγονεν ἄφεσις τῶν ἐν αἰχμαλωσίᾳ τῇ νοητῇ, συνδρομή τε πάντων εἰς ἑνότητα πίστεως, καὶ τῶν ἀκαθάρτων πνευμάτων ἀπηλλαγμένοι, εἰς τὴν Ἐκκλησίαν Χριστοῦ, τὴν νοητὴν συνῆλθον, Σιὼν, ἤγουν Ἱερουσαλὴμ, ὑφ' ἕνα τελοῦντες βασιλέα Χριστὸν, οὗ τύπος ὁ Ζοροβαβὲλ ἐκ τῆς αἰχμαλωσίας ἀνακομίζων τὸν Ἰσραὴλ, καὶ Ἰησοῦς ὁ ἱερεὺς ὁ μέγας.

A quam dubium esse potest, qui in Salvatoris vera intueatur. Ait enim : « Et videbunt *signum* Filii hominis [46]; » crucem innuens, per quam sanctis mundus, mundoque sancti crucifiguntur [47]. Cujus ut vires et gratiam significaret propheta, per quam salutem summus adepti, fideles ipsos ab universæ *terræ plagis quatuor coire* dixit : extremis nimirum in totius medio membris coeuntibus, virtuteque ab eodem ad extrema quatuor perveniente. Quadrifariam enim crucis partes ab eo distinctæ sunt, per quem *coierunt*, qui virtutum et principatuum tollendi facultatem habet, de quibus in ligno spoliatis triumphavit. Quod cum Paulus de eorum alioqui numero, qui perierant, minime ignoraret, in cruce sibi tantum gloriandum esse B dixit [48]. Est vero prophetæ ex rei gestæ memoria, animo tantum intelligibile aliquid significandi oblatum argumentum. Quemadmodum enim ex quo Babylonica servitute *Judas* et *Ephraim* liberati sunt, non seorsim amplius, aut divisa imperii sede, habitasse, sed Hierosolymis omnes sub uno Zorobabele Salathielis filio, qui de stirpe Davidica, deque tribu Juda prodierat; sub ipso item Jesu Josedechi filio, tunc temporis sacerdotum principe, vixisse leguntur. Sic ex quo venerandæ crucis erectum signum est, omnes, restituta illa prius, quæ mente concepta, non cernitur oculis, libertate, in fidei communionem coivisse, et profligatis spiritibus immundis, in Christi Ecclesiam, sive Sionem, sive Jerusalem dicas intelligibilem, sub uno rege Christo (cujus typum Zorobabel populi quondam servitute exeuntis imperator, et Jesus ille magnus, sacerdotum princeps habuerunt), ingressos esse nemo **189** non videt.

Ἐν ταυτῷ γὰρ ἄμφω νοεῖται Χριστὸς βασιλεύς τε καὶ ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν οὐρανῶν, κατὰ τὴν Παύλου φωνήν. Ὃς ὑπὲρ παντὸς τοῦ ἔθνους τὸν σταυρὸν κατεδέξατο, συνάγων ἅμφω τὸν Ἰούδαν καὶ τὸν Ἐφραΐμ. Κατὰ Καϊάφαν, τὸν διὰ τὸ σχῆμα τὸ ἱερατικὸν προφητεύσαντα. Καὶ οὐ μόνον ὑπὲρ αὐτοῦ, καθά φησιν Ἰωάννης, ἀλλ' ἵνα καὶ τὰ τέκνα τοῦ Ἰησοῦ [1] τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν. Πάντων γὰρ γέγονεν εἰρήνη, λύσας τὸ μεσότοιχον τοῦ φραγμοῦ. Τὸ δὲ, Πεπαθήσονται ἐν πλοίοις ἀλλοφύλων, καὶ θάλασσαν ἅμα προνομεύσουσιν· τὸν εἰς τὰ ἔθνη διὰ γῆς τε καὶ θαλάττης δρόμον αἰνίττεται οὐκ Ἰουδαίοις χρωμένοις κυβερνήταις, τοῖς δὲ λόγον τὸν τοῦ Χριστοῦ παραδεξαμένοις, ἤτ' οὖν ἁπλῶς ἐθνικοῖς. Διὰ θαλάττης γὰρ ἰὼν ὁ Παῦλος ἔφη· Νυχθήμερον πεποίηκα ἐν τῷ βυθῷ. Ἐπιδῆναί τέ φησιν αὐτὸν ὁ Λουκᾶς ἐν πλοίῳ Ἀλεξανδρικῷ παρασήμῳ Διοσκόροις. Ταῖς γὰρ πρώραις ἀεὶ θεῶν εἰκόνας ἐνέγραφον, ὡς καὶ νῦν ἁγίων μαρτύρων. Πρὸς ὃ εἰκότως τὸ ἀλλοφύλων ἐκ πολλοῦ προτεθέσπισται. Σωτῆρας δὲ πλεόντων εἶναι τοὺς Διοσκόρους ἐδόξαζον. Ἐνταυτῷ δὲ, φησὶ, τὴν θάλασσαν προνομεύσουσι, τὰς νήσους οὕτω καλῶν. Ἐν παρόδῳ γὰρ αὐτὰς διερχόμενοι, τοῖς ἐνοικοῦσιν εὐ-

In eodem enim Christus intelligitur, rex simul et pontifex, sanctus, innocens, impollutus, segregatus a peccatoribus, et excelsior cœlis factus, ut Pauli verbis utamur [47]. Ille, inquam, qui gentis universæ nomine crucem amplexus est, ut ambo *Judam et Ephraim* colligeret : sicut est a Caipha propter sacerdotii dignitatem, qua fungebatur, prophetatum. Nec eo nomine solum, sed ut Dei filios, qui, Joanne teste [48], dispersi erant, in unum congregaret. Omnibus enim, disturbato pariete qui maceriam dividebat, pacem attulit [49]. Deinde quod : djicit *volaturos in navibus alienigenarum, et mare statim prædaturos;* cursum qui ad gentes terra marique futurus erat innuit, non ducibus Judæis; sed iis, qui verbum Christi amplexi essent, assumptis, vel denique, ut uno verbo dicam, gentibus. Mari enim et ipse profectus Paulus, nocte se ac die in profundo egisse ait [50]. Navem enim Alexandrinam Dioscurorum insigne habentem ascendisse, Lucæ auctore, didicimus [51]. Jam vero enim in more positum erat, ut in navium prora deorum imagines, sicuti et hodie sanctorum martyrum, depingerentur : ad idque non immerito quod *alienigenarum* dixit, longa ante prædictione retulit. Navigantibus enim salutem dare Dioscoros a Lutra-

[46] Matth. xxiv, 30. [47] Galat. vi, 14. [48] Ibid. [47] Hebr. vii, 25. [48] Joan. xi, 52. [49] Ephes. ii, 14. [50] II Cor. xi, 25, 27. [51] Act. xxviii, 11.

VARIÆ LECTIONES.

[1] Θεοῦ.

Digitized by Google

bantur. Quod autem ibidem *mare prædaturos* ait, insulas hoc nomine intelligit : quarum et ipsi incolas, tanquam in transitu, Evangelium docuerunt: quod a Paulo Melitensibus ipsis, cum Romam properaret, factitatum legimus [51]. Multos enim ea in insula sanitati restituit, multos religionem docuit, et ad eam pertraxit. Possunt præterea qui *mare deprædaturi sunt*, etiam aliter intelligi; nimirum, qui, dracone et cæteris sub eo degentibus superiores facti, errantes, tanquam spolia, capiunt. *Mare* enim hic ærumnarum locum intelligere debemus : quem et alibi miseriarum vallem nuncupari didicimus. Dicentur rursus et ipsam *deprædari Idumæam*, qui terrenis rebus, ipsoque adeo *Moab*, superiores evaserint. Est enim Moab, si nominis quæras rationem, idem quod *ex patre*, ad eosque locutus est Salvator, cum **190** ex patre diabolo natos esse exprobravit [52]. Quod autem *in eos manus suas injecturos* dixit, nihil aliud plane, quam operum bonitate superaturos, sibique subdituros significavit. *At filii Ammon*, addit, *primi obedient*. Videmus enim eos, qui scelere aliis sunt inferiores, in amplectendo Christo nequiores prævertere. Signat autem *Ammon*, si verbi notatio postuletur, ac si, *populus nobiscum*, dicas. Quod si ad historiæ fidem respicias, quas hoc loco gentes recenseri vides, ipso prophetæ tempore, Deo, qui apud Judæos colebatur, valde infestas inimicasque fuisse reperias. Hinc est igitur, quod suis eas jam nominibus ad veram religionem accedentes designat, quæ et Arabiam ipsam incolebant, et sunt Christi discipulorum ope multis Ecclesiis locupletatæ, cum suas illi in Arabiam usque *manus*, cæteraque opera, extenderent. Erat vero consentaneum, ut quæ Judæis vicinæ essent, Evangelii prædicationem *primæ* omnium amplecterentur. Sed ignorandum non est, vocabulum *primi*, adjectitium esse, quod nec Hebraica ipsa, nec cæteros interpretes, habere reperias.

A ηγγελίζοντο. Καθὰ δὴ τοῖς ἐν Μελίτῃ κατοικοῦσιν ὁ Παῦλος, ὅτεπερ εἰς Ῥώμην ἠπείγετο. Πολλάς τε κατ' αὐτὴν ἰάσεις ἐργασάμενος, πολλοὺς μετέθηκεν εἰς εὐσέβειαν. Καὶ ἄλλως δὲ, *τὴν θάλασσαν προνομεύσουσιν*, τοῦ δράκοντος, καὶ τῶν ὑπ' αὐτῷ τελούντων περιγινόμενοι καθάπερ ἴδια σκῦλα τοὺς πλανωμένους λαμβάνοντες. *Θάλασσαν* γὰρ, νῦν τὸν τῆς κακώσεως ἀκουστέον τόπον, ὃν καὶ κοιλάδα λέγεσθαι κλαυθμῶνος ἀλλαχοῦ μεμαθήκαμεν. Οὗτοι δὲ καὶ *τὴν Ἰδουμαίαν προνομεύειν* λέγονται τῶν γηΐνων ἐπικρατοῦντες πραγμάτων. Καὶ *Μωάβ*, ὃς ἑρμηνεύεται, *ἐκ πατρός*. Πρὸς οὓς ἔλεγεν ὁ Σωτὴρ, ὅτι « Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ διαβόλου ἐστέ. » *Τούτοις τὰς ἑαυτῶν ἐπιβάλλουσι χεῖρας*, διὰ πράξεως ἀγαθῆς ὑποχειρίους λαμβάνοντες. Οἱ δὲ *υἱοὶ Ἀμμὼν* B *ἐπακούσονται πρῶτοι*. Καὶ γὰρ οἱ τὴν κακίαν ἐλάττους, τοὺς χείρονας εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ προσλαμβάνουσιν [m]. Ἑρμηνεύεται δὲ *Ἀμμὼν*, *λαὸς μεθ' ἡμῶν*. Κατὰ δὲ τὴν ἱστορίαν, τὰ νῦν ἔθνη κατειλεγμένα δυσμενεῖς ἦσαν τοῦ παρ' Ἰουδαίοις τιμωμένου Θεοῦ κατὰ τὸν τοῦ προφήτου καιρόν. Ὅθεν ὀνομαστὶ τούτους ἐξίθετο, ὡς καὶ τούτους προσιεμένους τὴν θεοσέβειαν. Ἔθνη δὲ ταῦτα τῶν τὴν Ἀραβίαν οἰκούντων. Θεοῦ γὰρ Ἐκκλησιῶν οἱ Χριστοῦ μαθηταὶ τὰς χώρας ταύτας ἐπλήρωσαν, ὅτε τὰς ἑαυτῶν *χεῖρας*, καὶ τὰς δι' αὐτῶν ἐπιτελουμένας πράξεις ἐπὶ τὴν Ἀραβίαν ἐξέτειναν. Ὁμόρους δὲ ὄντας τοῖς Ἰουδαίοις εἰκὸς καὶ *πρώτους* τὸ κήρυγμα δέξασθαι. Πλὴν οὔτε τὸ Ἑβραϊκὸν, οὔτε τῶν ἑρμηνευτῶν οἱ λοιποὶ, τὴν προσθήκην περιέχουσιν τοῦ, C *πρῶτοι*.

191 VERS. 15, 16. *Et desolabit Dominus mare Ægypti, et injiciet manum suam super fluvium spiritu vehementi, et percutiet septem valles, ut trajicere possit eum calceatus*, etc.

Non est de Ægypto isthæc instituta disputatio (habet enim ipsa prophetiam, et peculiarem inscriptionem) : sed superioribus accommoda, tanquam eo, qui de radice Jessæ prodiit, vanissimæ religioni addictos, cum vicinis Judææ gentibus, errore suo per futuras discipulorum secundum electionem de Jerusalem reliquias, liberante et eripiente, nihil illis quidquam impedimento esse possit. Olim enim cum aliæ aliis patere gentes nondum didicissent, sed in se mutuo ferrentur, ab aliis ad alias transire tutum satis non fuerat : sed tum maxime, si quæ certa erant et rata, movere quisquam aggressus fuisset. At Deus cum apostolis, quos universum orbis stadium decurrere jubebat, viæ libertatem aperire statuisset, direptis omnibus sigillatim

ιε, ις'. *Καὶ ἐρημώσει Κύριος τὴν θάλασσαν Αἰγύπτου, καὶ ἐπιβαλεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν πνεύματι βιαίῳ, καὶ πατάξει ἑπτὰ φάραγγας, ὥστε διαπορεύεσθαι αὐτὸν ἐν ὑποδήμασι*, κ. τ. λ.

Ὁ παρὼν λόγος οὐκ ἔστι περὶ *τῆς Αἰγύπτου* · ἰδιάζει γὰρ ἡ περὶ αὐτῆς προφητεία. Καὶ προγέγραπται ταύτης, Ὅρασις Αἰγύπτου. Τοῖς δὲ προλαβοῦσίν ἐστιν ἀκόλουθος, ὡς τοῦ ἐκ ῥίζης Ἰεσσαὶ δεισιδαιμονεστάτους καὶ τούτους ὄντας, μεθ' ὧν ἔλεγεν περὶ τὴν Ἰουδαίαν ἐθνῶν, τῆς πλάνης αὐτοὺς ἀπαλ- D λάξοντος διὰ τὸ κατ' ἐκλογὴν ὄντων τῶν ἐξ Ἱερουσαλὴμ μαθητῶν, μηδενὸς αὐτοῖς ἐμποδὼν ἐσομένου. Πάλαι γὰρ τῶν ἐθνῶν ἀνικτως [n] ἐχόντων πρὸς ἄλληλα, τοῖς διαβαίνειν ἐξ ἑτέρων εἰς ἑτέρους ἐθέλουσιν, οὐκ ἦν ὁδὸς ἀσφαλής. Πολλῷ δὲ μᾶλλον εἰ καὶ κινεῖν ἐπεχείρουν τὰ καθεστῶτα · Θεὸς δὲ τοῖς ἀποστόλοις τὸν δρόμον τὸν πανταχοῦ προποιεῖν ἐθέλων ἀκώλυτον, τὰς κατὰ μέρος καθελὼν δυναστείας, Ῥωμαίοις πάντα φέρων, ὑπέταξεν σύμβολον καταλύσεως τῆς

[51] Act. xxviii, 1 seqq. [52] Joan. viii, 44.

VARIÆ LECTIONES.

[m] γρ. προλαμβάνουσιν. [n] γρ. ἀνιάτως.

Digitized by Google

ἐκ δαιμόνων πολυαρχίας, μίαν τε πολιτείαν, καὶ μίαν ἀρχήν, ὥσπερ οὖν Ἐκκλησίαν καὶ πίστιν, ἀπέδειξεν. Ὅτε δὴ καὶ Καῖσαρ Αὔγουστος ἐπιστρατεύσας Αἰγυπτίοις κεχείρωται, *Θεοῦ νότῳ βιαίῳ πρὸς θάλασσαν τοῦ ποταμοῦ τὸ ὕδωρ κερώσαντος*, δι' οὗ καὶ χωρὶς μάχης ἄθατον ᾤοντο Καίσαρι γενέσθαι τὴν Αἴγυπτον, διὰ πλῆθος ἅμα καὶ πλάτος τῶν ἀποτελουμένων ἐκ τούτου λιμνῶν ἃς ἄνωθεν καταῤῥέων ἐν τοῖς κάτω μέρεσιν ἀπεργάζεται διὰ τῶν ἑπτὰ στομάτων, δι' ὧν ἐκδίδοται πρὸς τὴν *θάλασσαν*, ἃ δὴ *φάραγγας* ἡ προφητεία καλεῖ. Τοῦτο δὲ πάλιν αὐτὸς ἡμᾶς ὁ προφήτης διδάσκει λέγων· « Τάδε λέγει Κύριος Σαβαώθ· Καὶ πίονται οἱ Αἰγύπτιοι τὸ ὕδωρ τὸ παρὰ θάλασσαν. Ὁ δὲ ποταμὸς ἐκλείψει καὶ ξηρανθήσεται, » καὶ τὰ ἐπὶ τούτοις. Φίλον δὲ τῇ θείᾳ Γραφῇ καὶ αὐτὰς τὰς λίμνας *θαλάσσας* ἀποκαλεῖν. *Πνεῦμα* δέ φησι *βιαιότατον*, τὴν γενομένην τοῦ νότου κατὰ τῶν ὑδάτων ἐπαγωγήν, ὡς τοσοῦτον ξηρανθῆναι τοῦ Νείλου τὰ στόματα, ὡς δύνασθαι καὶ *μεθ' ὑποδημάτων διαβαίνειν αὐτά*. Τινὲς δὲ τῶν ἐν τοῖς προφήταις τὰ μὲν ῥητῶς ἀξιοῦντες[a] ἐννοεῖν, τὰ δὲ δι' ἀλληγορίας. Οἷον ῥητῶς μὲν, τὸν Ἰέσσαι, τροπικῶς δὲ, τὴν ἐκ τῆς αὐτοῦ *ῥίζης ῥάβδον*. Καὶ ῥητῶς μὲν, τὰ ἔθνη, τροπικῶς δὲ, δι' ὧν ἐν τοῖς πρόσθεν ἐδηλοῦτο θηρίων. Κἂν τοῖς μετὰ χεῖρας, Αἴγυπτον μὲν τὴν αἰσθητὴν χώραν τῶν *Αἰγυπτίων* φασὶν, ἣν οὐκ *ἐρημώσειν* ὁ Κύριος εἴρηται· *θάλασσαν* δὲ *ξηραινομένην*, τῆς εἰδωλολατρείας τὸ πλῆθος. Τοῦτο γὰρ ὑποφαίνειν τό τε Ἑβραϊκὸν, καὶ τῶν λοιπῶν τὰς ἐκδόσεις εἰπόντων συμφώνως, *καὶ ἀναθεματίσει Κύριος τὴν γλῶσσαν θαλάσσης Αἰγύπτου*. *Θάλασσαν* δὲ εἰῶθεν ὁ λόγος καλεῖν, ἢ τῶν ἀσεβούντων τὸ πλῆθος, ἢ τῆς κακίας τὸ χύμα ἁλμυρῶν ὥσπερ ὑδάτων πεπληρωμένης. Διὸ καὶ τὸν δράκοντα κατοικεῖν φησιν ἐν αὐτῇ. Ἄλλα τε γὰρ ὥς ἐστιν ἐν αὐτῇ λέγει Δαβίδ· « Καὶ δράκων ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. » Καὶ νῦν οὖν *γλῶσσαν* ἀσεβῶν διὰ τούτων ὁ λόγος δηλοῖ πάλαι τὸν Θεὸν ἀγνοούντων, ὡς ἔφασκε Φαραώ· « Οὐκ οἶδα τὸν Κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ ἀποστελῶ. » Ταύτην οὖν *ἀναθεματίσειν* φησὶν, ἵνα μὴ τὴν πλάνην γλώσσῃ Αἰγυπτίᾳ κρατύνωσι, μάθωσι δὲ λαλεῖν τὰ τοῦ Θεοῦ λόγια, ὁμνύναι τε ἐν τῷ ὀνόματι Κυρίου Σαβαὼθ, ὃ δή φησιν προϊὼν· ἐντεῦθεν σιγᾷ τὰ παρ' ἐκείνοις χρηστήρια, γοητεία τε πᾶσα καὶ πλάνη μετὰ τὴν τοῦ Σωτῆρος ἐπιδημίαν ἐπαύσατο τῶν Αἰγυπτιαζόντων τὸ πρότερον.

Εἰς δὲ τὸ *ποταμὸν ἰδεῖν πατασσόμενον*, ἀφορμὰς ἐκ τῶν πρώην εἰρημένων ληψόμεθα, διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὰ ὕδωρ τοῦ Σιλοὰμ, τὸ πορευόμενον ἡσυχῇ. Διὰ τοῦτο ἰδοὺ Κύριος ἀνάγει ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν, καὶ τὸ

A regnis, rerumque summa ad Romanos delata, magni dæmonum labentis imperii significationem dedit, unicamque reipublicæ formam et monarchiam, ut et Ecclesiam unam, unamque fidem, fore demonstravit. Quo nimirum tempore Cæsar Augustus Ægypto potitus est, *Deo ipso noti vehementia in mare fluminis aquam compellente*, cujus auxilio sine armis a se prohiberi posse Cæsarem putabant Ægyptii, propter lacuum amplitudinem et frequentiam quos efficit Nilus declivi **192** alveo sese in *mare* ostiis septem exonerans; quæ nunc a propheta *valles* appellantur. Id rursum propheta alibi docente, licebit intelligere. Ait enim : « Hæc dicit Dominus exercituum. Et bibent Ægyptii aquam, quæ juxta mare est; fluvius autem deficiet, et sic-
B cabitur [84], » et quæ postea. Est vero Scripturæ familiare, lacus ipsos maria vocare. *Per spiritum* deinde *vehementem*, austri in aquas furentis impetum significat; cujus flatu adeo ipsa Nili ostia exaruerint, *ut a calceatis trajici* queant. Sunt vero nonnulli qui in prophetis quidem alia, prout scribuntur; alia autem per allegoriam intelligi debere arbitrentur. Exempli gratia, in Jessæ nomen, nihil præter quam quod verbo dicitur; in illius autem *radicis virga*, figurate quid aliud significari. Item cum gentes dixit, ad litteram sumi; cum varias autem ferarum species supra nominavit, tropice aliquid aliud designari. In his deinde, quæ jam agimus, ubi de *Ægypto* loquitur, regionem ipsam sensibus patentem, et Ægyptiis notam habitatoribus significari; quam non se *desolaturum*, sed
C *mare exarefactum*, id est, idolorum turbam dicit Dominus. Hoc enim videtur innuere, si ad Hebræorum fontes, et reliquorum in vertendo consensum respicias, qui *detestaturum Dominum linguam maris Ægypti* dixerunt. Solet vero Scriptura *maris* appellationem, vel impiorum multitudinem, vel nequitia, tanquam maris salsugine, plenos fluctus designare. Atque hinc est, quod in eo draconem habitare (alia enim in ipso etiam exsistere certum est), apud Davidem reperimus, ubi ait: « Et draco, quem formasti ad illudendum ei [85]. » Itaque et ipso nunc *linguæ* nomine, impios eorum sermones, qui Deum olim ignorarunt, intelligit : qualem exsti-
D tisse verbis ipsius Pharaonem colligimus. Ait enim : « Dominum non novi, nec Israelem dimittam [86]. » Hanc igitur *detestaturum* se significat, ut errorem Ægyptia lingua tueri non pergat, sed sancta Dei oracula eloqui, et in Domini exercituum nomine, sicut in sequentibus ait, jurare addiscat. Hinc apud illos nec jam oracula respondere videmus amplius, nec ullum **193** erroris genus et incantationis Ægyptiacæ vigere, ex quo Salvatorem versari in terris contigit.

Quominus autem *fluvium percussum iri* dubitemus, ex iis, quæ superius jam dicta sunt, adduci nos patimur, quod populum hunc, qui aquas Siloæ leniter fluentes rejecerat, multam rapidioris fluvii aquam, id est Assyriorum, perpessurum

[84] Isa. XIX, 4, 5. [85] Psal. CIII, 26. [86] Exod. V, 3.

VARIÆ LECTIONES

[a] γρ. ἀξιοῦνται.

Digitized by Google

monuit. Sic igitur et nunc Ægyptium regnum, quod a sæculo exstabat, propheta significat, sicut et ipse antea Assyrium demonstravit. Ipse deinde Ezechiel allegorice *Ægypti fluvios* usurpavit, quos se Pharao fecisse gloriatur. Est vero *desolatio* quæ scelerum causa mittitur, si idoneo tempore contingat, pro magno Dei beneficio numeranda. Neque vero si *spiritum vehementem* Romanum imperatorem dixeris, a quo Ægyptiaci regni cepit eversio; meo judicio aberraris. Fuere enim postea Ægypto a Romanis præfecti alii, qui distincto et peculiari munere, res eorum urbanas et militares administrarent, quos nunc *valles* appellat, ut loci concavitatem simul, et summum, quod fuit antea *fluvii* nomine designatum imperium, humilius jam factum esse intelligas. Numero deinde *septenario*, eorum, qui præsunt Ægypto multitudinem expressit: quibus tandem peractis, ipsa Ægypti regio Evangelium docentibus patuit. Hos enim *populi relicti nomine, qui fluvium calceatus trajecturus sit*, ideo fortasse significat, quod Mosem et Josuam pedum calceamenta dimittere, propter terræ, quam calcabant, sanctitatem, jussos esse legimus [86a]: cui cum valde dissimilis sit Ægyptus (profana nimirum et impura), fluvium calceatis pedibus trajicere jubentur. Arescit autem qui Dei *spiritu vehementi* victus ac superatus est. Itaque non meretur Ægypti solum, ut nudum transeuntium sanctorum vestigia sentiat. Indeque eos [86] qui pascha edere jubebantur, calceis pedes habere munitos oportebat [87]. At qui ad sacrum pervenerit locum, is jam solvat calceamenta. Hinc que illud est, quod apostolos ulla gestare Christum defendisse legimus [87a]. *Et erit*, ait, *Israel, sicuti dies illa quando* **194** *exiit de terra Ægypti.* Tunc enim, aiunt, et Rubrum mare, et ipse Jordanis fluvius, calceatis patuit. Placet vero nonnullis, quando fluvium transire, et libere ubique Ægyptum omnem permeare contigerit, alacres carmen a propheta editum, huic non multum dissimile, quod ita incipit: « Cantemus Domino; gloriose enim magnificatus est [88]; » in lætitiæ signum cantaturos.

πολὺ, τὸν βασιλέα τῶν Ἀσσυρίων. Οὕτως οὖν καὶ νῦν τὸ ἐξ αἰῶνος ἐν Αἰγύπτῳ βασίλειον ὁ προφήτης δηλοῖ, καθὰ φθάσας αὐτὸς ἐπὶ τοῦ βασιλέως τῶν Ἀσσυρίων ἐρμήνευσαν P. Καὶ Ἰεζεκιὴλ δὲ ἀλληγορικῶς Αἰγύπτου λέγει *ποταμοὺς*, οὓς Φαραὼ πεποιηκέναι ἀλαζονεύεται. Εὐεργεσίας δὲ Θεοῦ ἡ ἀπὸ μοχθηρῶν πραγμάτων *ἐρήμωσις* ἐν καιρῷ ἐπαγομένη δεκτῷ· *πνεῦμα* δὲ *βίαιον* οὐκ ἂν ἁμάρτοις λέγων τὸν πρῶτον καθελόντα τὴν βασιλείαν Αἰγύπτου Ῥωμαίων ἄρχοντα. Μεθ' ὃ λοιπὸν μερικοὶ παρὰ τούτοις ὑπὸ Ῥωμαίων κατέστησαν ἄρχοντες ἐν Αἰγύπτῳ πολιτικοί τε καὶ στρατιωτικοὶ, νῦν ὀνομαζόμενοι *φάραγγες*, διὰ τὸ κοῖλον, ὥσπερ καὶ ταπεινότερον τῆς καθόλης ἐν αὐτῇ πρώην ἀρχῆς, ἣν κέκληκε *ποταμόν*. Τὸ δὲ πλῆθος τῶν κατ' Αἴγυπτον ἀρχόντων ὁ τῶν *ἑπτὰ* παρίστησιν ἀριθμός. Τούτων δὲ γενομένων, βατὴ γέγονε λοιπὸν τοῖς εὐαγγελιζομένοις ἡ χώρα. Τούτους γὰρ [καλεῖ] *καταλειφθέντα λαὸν ἐν ὑποδήμασι τὸν ποταμὸν διαβαίνοντα*, τάχα ἐπειδὴ Μωϋσεῖ καὶ Ἰησοῦ λέλεκται λῦσαι τὸ ὑπόδημα τοῦ ποδὸς, διὰ τὸ τὴν γῆν, ἐφ' ἧς εἱστήκεσαν, ἁγίαν εἶναι· μὴ τοιαύτην δὲ εἶναι τὴν Αἴγυπτον, ἀλλὰ βέβηλον, κελεύονται τὸν ποταμὸν ὑποδεδεμένοι καταπατεῖν. Ξηραίνεται δὲ *βιαίῳ* Θεοῦ κεκρατημένος *πνεύματι*. Διόπερ ἀνάξιόν ἐστι τὸ ἔδαφος Αἰγύπτου γυμνὸν δέξασθαι τὸ ἴχνος τῶν διαπορευομένων ἁγίων. Ὅθεν καὶ οἱ τὸ πάσχα ἐσθίοντες τοὺς πόδας ὑποδήμασιν ἀσφαλίζονται. Φθάσας δέ τις ἐπὶ τὸν ἅγιον τόπον, ὑπολυέσθω. Διὸ καὶ τοῖς ἀποστόλοις ἐλέγετο, μὴ ὑποδήματα αἴρειν. *Καὶ ἔσται*, φησὶ, *τῷ Ἰσραὴλ, ὡς ἡ ἡμέρα ὅτε ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου.* Τότε γὰρ, φασὶ, παρῆλθον τὴν Ἐρυθρὰν θάλασσαν, καὶ τὸν Ἰορδάνην ποταμὸν ὑποδεδεμένοι. Τινὲς δέ φασιν, ὡς ὁμοίως ἠσθήσονται ποσὶν τὸν ποταμὸν διαβαίνοντες, ἀκώλυτόν τε ποιούμενοι τὴν πανταχοῦ τῆς Αἰγυπτίων q ὁδὸν, καὶ ᾄδοντες ᾠδὴν, ἣν ὁ προφήτης ἐκτίθεται παρόμοιον οὖσαν τῇ, « Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται. »

CAPUT XII.

V. 1-6. *Et dicet in die illa: Benedicam tibi, Domine, quoniam iratus es mihi, et avertisti iram tuam, et misertus es mei. Ecce Deus meus, Salvator meus, confidens ero in eo; salvabor in eo, et non timebo: quia gloria mea, et laus mea Dominus, et factus est mihi in salutem*, etc.

ΚΕΦΑΛ. ΙΒ'.

α'-ς'. Καὶ ἐρεῖ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Εὐλογήσω σε, Κύριε, διότι ὠργίσθης μοι, καὶ ἀπέστρεψας τὸν θυμόν σου, καὶ ἐλέησάς με. Ἰδοὺ ὁ Θεός μου, Σωτήρ μου. Πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ, σωθήσομαι ἐν αὐτῷ, καὶ οὐ φοβηθήσομαι· διότι ἡ δόξα μου, καὶ ἡ αἴνεσίς μου Κύριος, καὶ ἐγένετό μοι εἰς σωτηρίαν, κ. τ. λ.

Cum enim Evangelium docerent in Judæorum synagogis, Ecclesias autem de gentium conversione facerent; novum eos carmen, quibus tantæ fuerant utilitatis auctores, modulari docebant. Tanquam enim vetere apud se flumine, marique tempestuoso sublatis: *Ecce*, aiunt, *Deus meus, Sal-*

Τοῖς γὰρ Ἰουδαίοις τὸ Εὐαγγέλιον κηρύττοντες ἐν συναγωγαῖς, ἐκ δὲ τῆς τῶν ἐθνῶν ἐπιστροφῆς Ἐκκλησίας ποιούμενοι, καινὸν ᾆδειν ᾆσμα τοὺς ὑπ' αὐτῶν ὠφελουμένους ἐδίδασκον. Ὡς γὰρ ἀναιρεθέντος τοῦ πάλαι παρ' αὐτοῖς ποταμοῦ, καὶ τῆς κυματουμένης θαλάσσης, φασίν· *Ἰδοὺ ὁ Θεός μου, Σωτήρ*

[86a] Exod. III, 5; Josue, v, 16. [87] Exod. XII, 11. [87a] Luc. x, 4. [88] Exod. XV, 21.

VARIÆ LECTIONES

P γρ. εἰρμήνευσε. q γρ. Αἰγύπτου.

Digitized by Google

μου· πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ. Καὶ οὐ φοβηθήσομαι, τῶν εὐσεβεῖν κωλυόντων ἀνηρημένων. Ἀντὶ δὲ τῶν πάλαι δαιμόνων, δόξα μου καὶ ἡ αἴνεσίς μου ὁ Κύριος. Ὠργίσθης δέ μοι, φησὶν, ἐξομολογούμενος, ὡς δίκαια παθὼν ἀποστραφεὶς τὸν Θεόν. Τὴν δὲ δοθεῖσαν τῶν ἁμαρτημάτων ἄφεσιν διὰ Χριστοῦ παρίστησι, λέγων· Ἀπέστρεψας τὸν θυμόν σου, καὶ ἠλέησάς με. Πολλάκις γὰρ ἀφίεταί τις καταλειπόμενος ἅπαξ τοῖς Αἰγυπτιακοῖς συναπαχθεὶς χρόνον ἀπολαῦσαί τινα τῆς ἰδίας ἀδουλίας, ἵνα θερίσῃ ἃ κακῶς ἔσπειρεν. Ἐλεηθεὶς δὲ δι' ἀνακλήσεως, ᾄδει τὴν παροῦσαν ᾠδήν. Ὅμοιον δὲ τοῦτο τῷ· « Ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ. » Καὶ τό, « Οὐ γὰρ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ. » Αἰσθανόμενος δὲ τῆς εὐεργεσίας, καὶ λέγων, ὅτι ὠργίσθης μοι, καὶ ἠλέησάς με, φησίν· Ἰδοὺ ὁ Θεός μου, Σωτήρ μου. Οὔτε δὲ οἱ ποιοῦντες τὴν ἐλεημοσύνην ἔμπροσθεν τῶν ἀνθρώπων, οὔτε οἱ δόξαν παρ' ἀλλήλων ζητοῦντες, δύνανται λέγειν, ὅτι ἡ δόξα μου, καὶ ἡ αἴνεσίς μου ὁ Κύριος. Ἀλλ' οἱ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ ζητοῦντες, καὶ τὴν τοῦ, μὴ γινώμεθα κενόδοξοι, μὴ παραβαίνοντες ἐντολήν. Ἐπαγγελλομένου δὲ Θεοῦ, ὡς τοὺς δοξάζοντάς με δοξάσω, δῆλον ὡς καλῶς τις δοξάζων Θεὸν, δεδοξασμένος ἐστὶ παρ' αὐτῷ.

A rator meus; confidens ero in eo; nec sublatis jam, quæ pietatis in me studium morabantur, quidquam metuam; sed erit in locum dæmonum, quibus olim serviebam, gloria mea, et laus mea Dominus. Ideo autem iratum sibi Dominum dixit, ut non injusta se, qui eum esset aversatus, pati significaret. Neque vero allatam nobis Christi nomine peccatorum veniam reticet, cum avertisti iram tuam, et misertus es mei, addit. Persæpe enim semel Ægyptios mores, et cultum amplexus aliquis, ea tandiu retinere sinitur, donec, persolutis imprudentiæ pœnis, male metat, quæ male seminavit: qui tamen miserente Deo revocatus, carmen istud modulatur. Est vero et huic non multum dissimile: « Iram Domini portabo, B quia peccavi ei [59]. » Item illud: « Non enim in finem irascetur, neque in sæculum iracundiam servabit [60]. » Cæterum tanquam bene percepto libertatis munere, cum iratum prius Dominum, suique misertum confessus esset, Ecce Deus meus Salvator meus, intulit. Neque vero illorum quisquam, qui vel in hominum luce pauperibus largiuntur, vel se laudari mutuo postulant, vere laudem et gloriam suam Dominum esse dixerit; sed qui Paulini mandati gloriæ cupiditatem prohibentis, diligens observator veram in Deo tantum quæsierit. At Deo ipso gloria se illos affecturum pollicente, a quibus ea afficitur; nemini jam **195** dubium esse queat, quin a quibus id recte fieri videat, eisdem et ipse gloriam reponat.

Καὶ Μωϋσέως γὰρ ἐδοξάσθη τὸ πρόσωπον, ἐπειδὴ καλῶς ᾔδει δοξάζειν Θεόν. Οὐδεὶς δὲ διημαρτημένας ἔχων ὑπολήψεις περὶ Θεοῦ, δεκτὴν ἔχει τὴν αἴνεσιν. Ἑνὸς γὰρ ἄμφω αἰνεῖν τε καὶ δοξάζειν καλῶς. Κεκτήμεθα δὲ τούτων ἑκάτερον ἠλεημένοι ὑπὸ Θεοῦ. Οὐ γὰρ κατὰ τὰ ἔργα ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἡ δοθεῖσα χάρις ἡμῖν. Καὶ ἄλλως δὲ, τὰ ἐν Αἰγύπτῳ, τοῖς ἐπὶ τῆς [r] ἐπιδημίας παρόμοια· δουλείας γὰρ ἐλευθερία γεγένηται, τότε μὲν αἰσθητοῦ, νυνὶ δὲ νοητοῦ Φαραώ. Τότε μὲν εἰς αἷμα τὸ ὕδωρ μετεσκευάζετο, νῦν δὲ σωτήριον γέγονεν διὰ τοῦ ἁγίου βαπτίσματος. Οἱ τὸν Ἰσραὴλ διώκοντες ἐπὶ θαλάσσης Ἐρυθρᾶς ἀπεπνίγοντο· διὰ δὲ τῶν ἁγίων ἐδιδάσκοντο μαθητῶν τῶν τοῦ παρόντος βίου κυμάτων τε τῶν ἐν αὐτῷ διανήχεσθαι κλύδωνα. Χάλαζα τότε δεινὴ· νῦν ὁ θεῖος εἰς νοῦν αὐτοῖς καταβέβηκεν ὑετὸς ἐγκάρπους ἀποτελῶν. Σκότος τότε βαθύ· νῦν δὲ φῶς ἐν Χριστῷ. Ἐθρήνησαν Αἰγύπτιοι τὰ πρωτότοκα· νῦν δὲ σέσωκεν αὐτοὺς ὁ πρωτότοκος ἐκ νεκρῶν, ὡς πάλαι τοῦ Ἰσραὴλ τὰ πρωτότοκα. Πῶς οὖν οὐκ ἦν ἐπὶ τούτοις ἀκόλουθον, εὐφραινομένους τὸν δοτῆρα τούτων ὑμνεῖν; Ὁ δὲ Θεὸς ἕτοιμος ὢν εἰς ἀντίδοσιν, τοὺς γνησίως αὐτὸν δοξάζοντας, πνευματικαῖς ἀμείβεται δωρεαῖς, λέγων, Καὶ ἀντλήσετε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. Νοήσει δέ τις αὐτὸ τοῦ Σωτῆρος ἀκούων εἰπόντος, « Εἴ τις

Nam et Mosis vultus ideo *gloriam* consecutus C est, quod Moses Deum *gloria* digne noverat afficere [60a]. Neque vero Deo quisquam laudes acceptas decantarit, qui falsas de eodem cogitationes mente tueatur. Unius enim utrumque est, gloria et laude recte afficere, neque utroque prius potiemur, quam Dei *misericordiam* consequamur. Neque enim secundum opera, quæ fecimus nos; sed secundum misericordiæ ipsius ubertatem gratia nobis data est [61]. Præterea, ut aliam explicationem non omittamus; quæ in Ægypto accidisse legimus, a Salvatoris in terra nobiscum peregrinatione differre nihil videantur. Tum enim sub sensum cadentis; hoc autem loco, Pharaonis mente comprehensi servitutis jugum excussum est. Tum in sanguinem rursus aqua mutari visa est, quæ D jam sacri baptismatis ope salutaris est effecta. Tum deinde qui Israelem persequebantur, in Rubri maris undis exstincti sunt; cum qui hujus vitæ fluctibus agitabantur, sanctorum discipulorum præceptis adjuti incolumes enatarint. Non defuit tum copia grandinis calamitosa: cum nunc in eorum mentes fecundans illabatur imber. Profundæ tum tenebræ: sed jam in Christo lucis fulgor amplissimus. Luxerunt sua Ægyptii primogenita; sed per eum jam, qui primus ex mortuis excitatus est [62], sicut olim in primogenitis Israelis

[59] Mich. VII, 9. [60] Psal. CII, 9. [60a] Exod. XXXIV, 29. [61] Psal. LXXVIII, 8; II Timoth. I, 9. [62] Coloss. I, 18.

VARIÆ LECTIONES.

[r] Ισ. γρ. γῆς.

Digitized by Google

factum est, salvi incolumesque remanserunt. Quis ergo non eos tantorum auctorem beneficiorum merito laudasse qui eorumdem essent magna cum voluptate memores, arbitretur? At Deus, qui in gratia reponenda minime cunctator est, si quando digne gloria afficiatur, spiritualibus confestim respondens donis : *Et haurietis aquas*, ait, *cum gaudio, de fontibus Salvatoris*. Quod si obscure dictum cuiquam videatur, Salvatorem ipsum in hæc verba audiat : « Si quis sitit, veniat ad me, et bibat. Qui credit in me, quemadmodum ait Scriptura, flumina de ventre ejus fluent aquæ viventis. Hoc autem dicebat de Spiritu, quem erant accepturi, qui credidissent in ipsum [63]. » Et rursus : « Si quis aquam bibat, **196** quam ego dabo ei, fiet in ipso fons aquæ salientis in vitam æternam [64]. » Sunt ergo *salutis fontes*, vel sancti apostoli, vel libri, qui Spiritu dictante tanquam imbre, cœlitus immissi sunt. Sunt vero et prophetarum scripta Israelis *fontes* apud Davidem, ubi ait : « In ecclesiis benedicite Dominum de fontibus Israel [65]. » Quod si idololatriæ populum argui constat, ubi Me dereliquerunt fontem aquæ viventis, legitur [66]; et hic certe credentem, sitimque suam Dei decretis explere cupientem, *cum gaudio de fontibus Salvatoris aquas esse hausturum* nemini innuere dubium est; quas esse bibituri Ægyptii, et qui salutarem illis potum propinarunt prædicuntur. Sed eorum, qui illam biberunt, gaudium satis illud expressit, quod his verbis scribitur : « Sitivit anima mea ad Deum fortem vivum [67]. » Quo enim quisque sitit magis, eo etiam amplius idem bibendo delectatur. *Haurire* vero *aquas cum gaudio* is dicitur, qui Domini legem die ac nocte meditatur [68]. « Os enim justi, dicit Psaltes, meditatur sapientiam [69]. » Recte siquidem qui quærit, idem arcano Scripturæ sensu percepto, *aquam cum gaudio hauriet;* Verbumque Dei vivum laticem, reperiet, a quo per spiritum mortalibus cunctis, a quibus ipse antea fuit ignoratus scaturientes monstrati sunt discipuli; de quibus ita Davidem loqui comperimus : « Apparuerunt fontes aquarum, et revelata sunt fundamenta orbis terræ [70]. » Lapis enim in Sionis, id est Ecclesiæ, fundamenta electus, et a Patre ipso positus, cui per fidem ædificamur domus spiritualis, in templum sanctum, in habitaculum Dei in spiritu, Christus est. Sunt vero secundum ipsum et lapides etiam, id est orbis terræ fundamenta nominati, qui per prædicationem principes exorsi, nos in fidei veritatisque rectitudine et firmitudine retinuerunt. Non est autem prætermittendum, si ad Hebræa verba respicias, hic de communi omnium salutis auctore Jesu mentionem fieri; cum ubi *Salvatoris* vocem usurpamus, *Jesum* Hebraica habeant. Verbi causa, ubi legitur : *Ecce Deus Salvator meus*, **197** et ibi ; *factus est mihi in salutem.* Et hic denique, cum de *fontibus Salvatoris* dixit.

Prophetiam enim, quæ *de radice Jessæ* habetur, *Jesu Salvatoris* appellatione destituti cum de eo esset instituta, nequaquam decebat. Ad hæc, sermone ad Evangelistas converso, quid eis, qui

A διψᾷ, ἐρχέσθω πρὸς μὲ, καὶ πινέτω. Ὁ πιστεύων εἰς ἐμὲ, καθὼς εἶπεν ἡ Γραφὴ, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. Τοῦτο δὲ ἔλεγεν περὶ τοῦ Πνεύματος, οὗ ἤμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν. » Καὶ πάλιν· « Ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα. Ἀλλὰ τὸ ὕδωρ, ὃ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. » *Πηγαὶ* τοίνυν *σωτηρίου*, ἢ οἱ ἅγιοι ἀπόστολοι· ἢ λόγοι πνευματικοὶ ἐξ ἁγίου Πνεύματος ἀνομβρωμένοι. Καὶ οἱ προφητικοὶ δὲ λόγοι, *πηγαὶ* ὠνομάζοντο Ἰσραὴλ, λέγοντος τοῦ Δαβίδ· « Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ. » Εἰ δὲ ὁ εἰδωλολατρήσας ἐγκαλεῖται λαὸς, τὸ Ἐμὲ ἐγκατέλιπεν πηγὴν ὕδατος ζῶντος· δῆλον,

B ὡς ὁ πιστεύων, καὶ τοῖς θείοις ποτιζόμενος δόγμασιν, *ἁρτλεῖ ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου*, ἀφ' ὧν Αἰγύπτιοι πίεσθαι προφητεύονται, καὶ οἱ τούτοις τὸ σωτήριον ποτὸν διακονήσαντες. Τὴν δὲ τῶν τοῦτο πινόντων εὐφροσύνην παρίστησιν τὸ, « Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ἰσχυρὸν τὸν ζῶντα· » ὅσον γάρ τις διψᾷ, τοσοῦτον πίνων εὐφραίνεται. *Ἀντλεῖ* δὲ *ὕδωρ μετ' εὐφροσύνης* ὁ τὸν νόμον τοῦ Κυρίου μελετῶν ἡμέρας τε καὶ νυκτός. « Στόμα γὰρ δικαίου μελετήσει σοφίαν. » Διὰ τοῦ γὰρ ζητεῖν ὀρθῶς, τὸ πνευματικὸν βούλημα συνιεὶς τῆς Γραφῆς, *ἁρτλήσει ὕδωρ μετ' εὐφροσύνης*, τόν τε τοῦ Θεοῦ Λόγον τὸ ζῶν ὕδωρ εὑρήσει, ὃς τοὺς ἀποστόλους ἀνέδειξε διὰ τοῦ πνεύματος πᾶ-

C σιν αὐτὸν τοῖς ἀγνοοῦσι πηγάζοντας. Περὶ ὧν φησιν ὁ Δαβίδ· « Ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης. » Λίθος μὲν γὰρ ἐκλεκτὸς ὁ Χριστὸς εἰς τὰ θεμέλια Σιὼν, παρὰ τοῦ Πατρὸς τεθεῖσθαι λεγόμενος, τοῦτ' ἔστι τῆς Ἐκκλησίας. Αὐτῷ γὰρ διὰ πίστεως οἰκοδομούμεθα οἶκος πνευματικὸς, εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύματι. Λίθοι δὲ μετ' αὐτὸν, ἤτοι θεμέλια τῆς οἰκουμένης, οἱ διὰ τοῦ κηρύγματος

D ἀνέχοντες ἡμᾶς πρὸς ἑδραιότητα τὴν ἐν πίστει καὶ ἀληθείᾳ. Σημειωτέον δὲ ὡς Ἰησοῦ τοῦ Σωτῆρος ἡμῶν ὁ παρὼν μέμνηται λόγος, κατὰ τὴν τῶν Ἑβραίων φωνὴν, ἀντὶ τοῦ *Σωτὴρ*, ἀεὶ τὸ *Ἰησοῦ* περιέχουσα. Ἐν τῷ, *Ἰδοὺ ὁ Θεός ὁ Σωτήρ μου*. Καὶ ἐν τῷ, *ἐγένετό μοι εἰς σωτηρίαν*. Καὶ ἐν τῷ, *ἐκ τῶν πηγῶν τοῦ σωτηρίου*.

Ἔπρεπε γὰρ τῇ περὶ τοῦ *ἐκ ῥίζης Ἰεσσαὶ* προφητείᾳ, τοῦ *Σωτῆρος Ἰησοῦ* τὴν προσηγορίαν ἐπενέγκαι. Αὐτὸς γὰρ ἦν ὁ προφητευόμενος. Ἐπὶ τούτοις προσφωνεῖ τοῖς εὐαγγελισταῖς, ἃ δεῖ τοῖς ἐξ

[63] Joan. VII, 37-39. [64] Joan. IV, 14. [65] Psal. LXVII, 27. [66] Jerem. II, 13. [67] Psal. XLI, 3. [68] Psal. I, 2. [69] Psal. XXXVI, 30. [70] Psal. XVII, 16.

Digitized by Google

Αἰγύπτου μαθητευομένοις ἐρεῖν, *Ὑμνεῖτε*, λέγων, Κύριον· *βοᾶτε τὸ ὄνομα αὐτοῦ*. Τοῖς ἄλλοις ταῦτα παραγγέλλειν εἰπών, ὅταν ἐμπλησθῶσιν αὐτοὶ τοῦ πνευματικοῦ πόματος. Ἡ δὲ *βοὴ*, φωνή ἐστι μέγεθος ἔχουσα δυνάμενον διϊκνεῖσθαι καὶ πρὸς τοὺς πόρρω. *Βοᾶτε* οὖν ἀντὶ τοῦ, μὴ μικρὰ φρονεῖτε περὶ Θεοῦ· μεγάλη δὲ θεολογεῖτε διανοίᾳ περὶ αὐτοῦ, ὡς καὶ τοῖς μακρὰν τῆς σωτηρίας ἐξάκουστον γενέσθαι τὸν λόγον, διὰ τὸ τῆς διδασκαλίας τρανόν. Ὅ δηλοῖ διὰ τῶν ἑξῆς, *Ἀναγγείλατε*, λέγων, *ἐν τοῖς ἔθνεσιν τὰ ἔνδοξα αὐτοῦ*. Εἴπατε αὐτοῦ τὰ θαυμάσια. Τοῦτ' ἔστι, δείξατε τοῖς ἀνοήτοις τὴν περὶ τὸν κόσμον διάταξιν, ἵνα προσαχθῶσι τῇ ἀγάπῃ τοῦ Κτίσαντος. *Ὑψηλὰ* δέ φησιν ὅσα πεποίηκεν ἐν οὐρανῷ καὶ ἐν γῇ, νοητά τε καὶ αἰσθητά. Ἡ περὶ τῆς ἐν ἡμῖν χρηστότητος ὅτι ὑψοῖ τοὺς τεταπεινωμένους καὶ συντετριμμένους τὴν καρδίαν. Ταπεινωθέντας γὰρ τῇ ἁμαρτίᾳ τῇ ἰδίᾳ ὑπερύψωσε δόξῃ. Τὰ δὲ προκείμενα λέγειν φασί τινες τὸν ἀρτίως μυσταγωγούμενον, ὃς *τῶν τοῦ σωτηρίου πηγῶν ἀρυσάμενος*, τοσοῦτον ἐπέδωκεν, ὡς ἀποστολικὴν ἐνδείκνυσθαι λειτουργίαν τοῖς ἄλλοις, *ὑμνεῖν τε* λέγοντα *Κύριον* [a]. Τίσι δὲ προστάττει *βοᾷν*, ἐπήνεγκε λέγων· *Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔνδοξα αὐτοῦ*. Πῶς γὰρ οὐκ ἔνδοξος γένους ἀνθρώπων ἀνάπλασις, δαιμονικῆς τυραννίδος καθαίρεσις, αἰχμαλώτων ἐλευθερία, τυφλῶν ἀνάβλεψις, δικαίωσις, ἁγιασμὸς, υἱοθεσία τῶν πρὶν φυγάδων ἀπὸ Θεοῦ, γνῶσις Θεοῦ, νεκροὶ ἀνιστάμενοι, λεπροὶ καθαιρόμενοι; Οἱ ἐν ἀσθενείαις ἐῤῥώννυντο· ἠλαύνοντο δαίμονες· φλεγμαίνουσαν ἀπηύνασε θάλατταν· ἐφ' οἷς *ἀγαλλιᾶσθε*, φησὶν, τοῖς *κατοικοῦσι Σιὼν* τοῖς ἐν Ἐκκλησίᾳ βεβαίαν ἔχουσι πίστιν. *Σιὼν* γὰρ ὁ εὐαγγελικὸς λόγος, ἐφ' οὗ ἡ Ἐκκλησία Θεοῦ ᾠκοδόμηται. Ἐπεὶ οὖν *ὁ ἅγιος τοῦ Ἰσραὴλ* ἐν μέσῳ τῆς Ἐκκλησίας ὑψώθη, *εὐφραίνεσθε* οἱ ἐν αὐτοὶ [b] μέσον ἔχοντες αὐτόν· κατὰ τὸ, « Ὅπου δύο καὶ τρεῖς συνηγμένοι εἰσὶν ἐν τῷ ὀνόματί μου, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. » *Ὑψώθη τοίνυν ἐν μέσῳ αὐτῆς*, εἰ καὶ γέγονεν ἄνθρωπος, λαβὼν δούλου μορφὴν, Θεὸς ἀληθινὸς ἐκ τῶν ἀποτελεσμάτων τοῖς ἀγνοοῦσιν ἀναδειχθείς. Ὀνόματι δὲ *Ἰσραὴλ καὶ Σιὼν*, εἰς εὐθυμίαν ἄγει τοὺς ἐκ περιτομῆς, διὰ τοῦ νομίζειν εἰρῆσθαι περὶ αὐτῶν, ὡς ἂν τὴν παροῦσαν περιέποιεν βύβλον, οἷα δὴ τὰ κάλλιστα περὶ αὐτῶν θεσπίζουσα.

Ægyptii doctrinam amplectuntur, dicere conveniat, innuit; cum *hymnum cantate* Domino admonet, et *inclamare nomen ejus*, ut ista etiam aliis annuntiare, quando spirituali potu repletos esse contigerit, meminerint. Est autem *clamor* eo usque vocis contentione elatus sermo, ut ad eorum aures, qui procul absunt, pervenire valeat. *Inclamare* ergo cum præcipit, idem facit, ac si non humilia de Deo sentire, sed sursum erecta mente de eo philosophari, et ita disserere jubeat, ut vel remotissimis gentibus ipsa docendi perspicuitate clarum et celebre salutis verbum evadat. Quod certe significari non ambigas, si ad ea, quæ sequuntur, aspexeris. Ait enim: *Annuntiate in gentibus gloriosa ejus*. Dicite ipsius mirabilia, id est, eum qui in mundo est, rerum ordinem rudibus ostendite, ut Conditoris saltem dilectione pelliciantur. Cum autem *sublimia* dixit, cuncta intellexit, quæ vel in cœlo, vel in terra, sive mente, sive sensibus ipsis comprehenduntur, ab ipsa facta esse audimus. Nisi mavis ad ejus erga nos facilitatem respexisse dicere; quem humiliatos et contritos corde in sublime videmus attollere. Quos enim scelerum depresserat gravitas, eosdem gloria sua sublimes et excelsos effecit. Non desunt tamen, qui quæ superius posita sunt, ad eum, qui recenter initiatus sit referant, quem *hausta de fontibus Salvatoris* aqua, eos voluit fecisse progressus, ut apostolicum aliis ministerium demonstrare, *Dominique verbum celebrare* queat. Neque vero quibus *inclamare* præcipiat, omisit, cum statim *annuntiare in gentibus gloriosa ejus* præcipit. Qui enim ipsa gloriosa non sit hominum formatio, dæmoniacæ tyrannidis eversio, ademptæ libertatis, visionis, **198** justificationis, sanctificationis restitutio, filiorum, qui prius a Deo recesserant, adoptio, Dei cognitio, mortuorum suscitatio, lepræ denique purgatio? Morbo laborantes sanavit, dæmonas fugavit, maris æstus compescuit. Itaque non immerito *Sion habitatores*, id est, eos qui servata fidei constantia in Ecclesiis remanserunt, *exsultare* dixit. *Sionem* enim verbum evangelicum, in quo Dei ædificatur Ecclesia, intelligimus. Quando igitur *sanctum Israel* in medio Ecclesiæ exaltari contigit; *lætamini* jam, qui eum in ipsa medium habeatis. Ait enim: « Ubicunque fuerint duo, vel tres, in nomine meo congregati, illic sum in medio eorum [71]. » Est ergo *in medio ipsorum exaltatus*, quantumvis homo, accepta servi forma [72]; Deus tamen operibus ipsis, a quibus ignorabatur, verus demonstratus. *Israelis* porro et *Sionis* apposito nomine Judæos alacriores facit, ut cum de se sermonem institui arbitrantur, libri hujus, qui tam præclara de se vaticinetur, lectionem amplectantur.

ΚΕΦΑΛ. ΙΓ'.

α-ια'. *Ὅρασις κατὰ Βαβυλῶνος, ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμώς. Ἐπ' ὄρους πεδινοῦ ἄρατε σημεῖον. Ὑψώσατε τὴν φωνὴν αὐτοῖς. Μὴ φοβεῖσθε. Παρακαλεῖτε τῇ χειρὶ, ἀνοίξατε, οἱ ἄρχοντες. Ἐγὼ συντάσσω, καὶ ἐγὼ ἄγω αὐτούς. Ἡγια-*

CAP. XIII.

199 Vers. 1-11. *Visio contra Babylonem quam vidit Isaias filius Amos. In monte campestri attollite signum. Elevate vocem ipsis. Ne metuatis. Adhortamini manu; aperite, principes. Ego instruo, ego duco eos. Sanctificati sunt, et ego duco eos. Gigantes*

[71] Matth. XVIII, 20. [72] Philipp. II, 7.

VARIÆ LECTIONES.

[a] γρ. λόγον τοῦ Κυρίου. [b] γρ. ἐν αὐτῇ.

Digitized by Google

veniunt, ut implant iram meam, gaudentes simul et insultantes. Vox gentium multarum in montibus, similis gentium multarum, etc.

Postquam de Christo vaticinatus est, novem adversus gentes intuitus visiones (in quibus vallem Sionis complectitur, inter exteros Judæorum etiam populum annumerans) in novum jam, facto a *Babyloniis* exordio, argumentum ingreditur : earumque ideo meminit, quod solæ Judæos assidue impeterent. Inde est igitur, quod injuriam perpessos consolatur, et injuriarum auctoribus pœnas, ipsisque ab exsilio revocationem impendere denuntiat : ut, cum eventu prophetiam veram esse probari contigerit, Deum firmius, quem et scelera ulcisci, et longe ante præmovere viderint, amplectantur. Sunt vero quæ ad Dei cognitionem prosunt, non Judæis modo, sed ipsis etiam quibuscunque gentibus nuntiata et proposita. Ipso enim statim totius libri principio, cum ab ea, quæ de Jerusalem est, prophetia, dicere cœpisset; a Babyloniis **200** jam ea, quæ de gentibus sunt, exordium ita sumit, ut ad ipsam tandem Jerusalem iterum se recipiat. Adeo est apud Deum personarum acceptio nulla [73]; qui a suis incipere, et in eosdem desinere voluerit. Orbis autem imperio trecentis et mille annis, eo usque potiti sunt Assyrii, donec expugnatis Hierosolymis in victos sæviores inhumanioresque facti, non gloriam Deo, cujus numine hostibus potiti fuerant, acceptam retulerunt : sed sacram templi supellectilem idolis impie dedicarunt. Fit autem prophetica *visio*, cum mens ipsa divinitus illustrata, ipsique adeo interiores oculi, non eorum more, qui extra se positi, a dæmonibus torquentur, futura, tanquam præsentia, intuentur. Neque enim illi, quas intus habent, imagines vident, sed videre se falso arbitrantur; non aliter quam qui insaniunt, dum montes et flumina, virosque et feras absentes intueri se putant; quorum visio nihil aliud, quam mentis error operatione sua carentis, esse queat. At inquit Deus : « Ipse sum, qui visiones multiplicavi [74]; » quas cum largitur, non quam ipse construxit et ornavit, mentem obcæcat, sed spiritus præsentia lucidiorem et clariorem facit. Unde sunt et prophetæ *videntes* nominati; quasi dicas ingenti quodam et acuto mentis *visu* præditos. Quis igitur fecit videntem et cæcum? Alterum quidem prophetam : alterum autem suo scelere in futurarum rerum cognitione prorsus cæcutientem? Neque enim unquam beatorum spectacula profanorum sunt intuituri oculi. Unde ait : « In judicium ego in mundum veni, ut non videntes videant, et qui vident cæci fiant [75]. » Est vero a propheta Patris nomen additum, ut eo se in prophetandi disciplina magistro; quem non

A σμέροι εἰσί, καὶ ἐγὼ ἄγω αὐτούς. Γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου, χαίροντες ἅμα καὶ ὑβρίζοντες. Φωνὴ ἐθνῶν πολλῶν ἐπὶ τῶν ὀρέων, ὁμοία ἐθνῶν πολλῶν, κ. τ. λ.

Ἑτέρας ὑποθέσεως ἄρχεται, μετὰ τὰ περὶ Χριστοῦ θεσπισθέντα, κατ' ἐθνῶν ἀλλοφύλων ἐννέα τὰς ὁράσεις ἰδών, ἀπὸ *Βαβυλῶνος* ἀρξάμενος. Αἷς καὶ τὴν φάραγγα Σιὼν περιείληφεν, τοῖς ἀλλοφύλοις καὶ τὸν Ἰουδαίων λαὸν συγκαλέσας [1*], τούτων δὲ τῶν ἐθνῶν ἐποιήσατο μνήμην, ἃ καὶ μόνα τοῖς Ἰουδαίοις συνεχῶς ἐπετίθετο. Διὸ παραμυθεῖται τοὺς πεπονθότας κακῶς, εὐαγγελιζόμενος τῶν κακῶς αὐτοῖς χρησαμένων τὴν τιμωρίαν, καὶ τὴν ἐκ τῆς αἰχμαλωσίας ἀνάκλησιν, ὡς ἂν εἰς ἔργον τῆς προφητείας ἐλθούσης, βέβαιοι γένοιντο περὶ τὸν Θεὸν, τὸν καὶ δίκην ἐπ-
B άγοντα, καὶ πρὶν γενέσθαι μηνύοντα. Τὰ δὲ τῆς θεογνωσίας χρηστὰ, οὐκ Ἰουδαίοις μόνοις, ἀλλὰ τοῖς ἔθνεσι πᾶσιν εὐαγγελίζεται. Ἐν ἀρχῇ δὲ τῆς ὅλης βίβλου, περὶ τῆς Ἱερουσαλὴμ τῆς προφητείας ἀρξάμενος, καὶ τῶν ἐθνῶν τὴν ἀρχὴν ἀπὸ Βαβυλωνίων νῦν ποιησάμενος, εἰς Ἱερουσαλὴμ πάλιν κατήντησεν. Οὕτως οὐδεμία προσωποληψία παρὰ Θεῷ ἀπὸ τῶν οἰκείων ἀρξαμένῳ καὶ λήξαντι. Ἦρξαν δὲ τῆς οἰκουμένης Ἀσσύριοι ἐπὶ ἔτη χίλια τριακόσια, μέχρι πολιορκήσαντες Ἱερουσαλὴμ ἀπάνθρωποι περὶ τοὺς ἁλόντας ἐγένοντο, μὴ δόντες δόξαν τῷ παραδεδωκότι
C Θεῷ· τὰ ἱερὰ δὲ σκεύη τοῖς εἰδώλοις ἀσεβῶς ἀναθέντες. Ὅρασις δὲ προφητικὴ, καὶ διὰ νοῦ, καὶ τῶν ἔνδον ὀφθαλμῶν παραγίνεται, ὡς παρόντα βλεπόντων τὰ μέλλοντα Θεοῦ τὸν νοῦν καταλάμποντος, οὐκ ἐκστασιν ὑπομενόντων, ὡς ἐπὶ τῆς δαιμονικῆς ἐνεργείας. Ἐκεῖνοι γὰρ οὐχ ὁρῶσι τὰς ἐγγιγνομένας αὐτοῖς φαντασίας, ἀλλὰ παρορῶσιν, ὥσπερ οἱ δαιμονῶντες, ὄρη καὶ ποταμοὺς, ἄνδρας τε καὶ θηρία μὴ παρόντα θεώμενοι, ὧν οὐδὲν ὅρασίς ἐστιν, ἀλλὰ παρεφορὰ τοῦ νοῦ τὴν ἰδίαν ἐνέργειαν ἀπολέσαντος.
D Θεὸς δέ φησιν· « Ἐγὼ ὁράσεις ἐπλήθυνα. » Ὅρασιν δὲ χαριζόμενος, οὐ τυφλοῖ τὸν νοῦν, ὃν αὐτὸς κατεσκεύασεν· φωτίζων δὲ, ποιεῖ διαυγέστερον τῇ παρουσίᾳ τοῦ πνεύματος. Διόπερ ὁρῶντας τοὺς προφήτας ὠνόμαζον, ὡς ἂν ἐπιταθείσης αὐτοῖς κατὰ νοῦν τῆς ὁράσεως. Τίς οὖν ἐποίησε βλέποντα καὶ τυφλόν; Τὸν μὲν, ὄντα προφήτην, τὸν δὲ, διὰ κακίαν πρὸς τὸ μέλλον τυφλώττοντα; ὀφθαλμοὶ γὰρ βέβηλοι τὰ τῶν μακαρίων οὐχ ὁρῶσι θεάματα. Διό φησιν· « Εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. » Τῷ δὲ προφήτῃ τοὔνομα πρόσκειται τοῦ Πατρὸς, τοῦ λόγου δεικνύντος, ὡς καὶ προφητείας αὐτῷ διδάσκαλος γέγονεν, ἁγίας αὐτοῦ φροντίσας ἀνατροφῆς καὶ παιδεύσεως. Τίς οὖν ἡ *Βαβυλὼν*, καθ' ἧς ἡ ὅρασις γέγονεν, κατὰ μὲν τὴν ἱστορίαν, τόπος ἔνθα συνεχύθησαν τῶν πυργοποιούντων αἱ γλῶτται. Σύγχυσις γὰρ ἑρμηνεύεται τοὔνομα. Κατὰ δὲ τὸ νοητὸν, συγκεχυμένον ἐστὶ νοῦς ὑπὸ τῶν ἰδίων κακῶν θεομαχῶν

[73] Coloss. II, 25. [74] Osee XII, 10. [75] Joan. IX, 39.

VARIÆ LECTIONES.

[1*] γρ. συγκλείσας.

Digitized by Google

ἀεὶ, καὶ πλάττων ἀλλότρια δόγματα, καὶ τὸ δοκεῖν αὐτοῖς *συνυψούμενος*.

A parum de sancta sua educatione sollicitum habuisset, usum esse doceret. Cæterum quam hic destgnari *Babylonem*, adversus quam *visio* est, arbitramur? Locum equidem ipsum, si ad historiam spectes, in quo linguas eorum qui turrim ædificabant confusas esse accepimus. Confusionem enim, si nominis ratio quæritur, significat. Quod si arcanum postulas intellectum, mentem optime Babylonem dixeris, quæ suis confusa malis Deo semper adversatur, quæque **201** conflictis dogmatibus alienis, dum illis delectatur, *elevatur*.

Φησὶ δ' οὖν *τοῖς Βαβυλωνίοις* ὁ προφήτης ἐπιπηδῶν, *Ἐπ' ὄρους πεδινοῦ ἄρατε σημεῖον*. Ἐπεὶ γὰρ ἀμέτρως ἐχρήσαντο τοῖς ἐξ Ἰσραὴλ, εἰ καὶ δι' εἰδωλολατρείαν αὐτοῖς παρεδόθησαν, ἀγανακτεῖ Θεὸς εἰκότως, καὶ διὰ Ζαχαρίου φησίν· « Ἐζήλωκα τὴν Ἰερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ ἐπιτιθέμενα· ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. » Καὶ πρός γε τὴν *Βαβυλῶνά* φησιν· « Ἐγὼ δέδωκα αὐτοὺς εἰς τὰς χεῖράς σου, σὺ δὲ οὐκ ἔδωκας B αὐτοῖς ἔλεος. » Ἀνθ' ὧν αὐτὴν παρέδωκε Κύρῳ τῷ Μήδων καὶ Περσῶν βασιλεῖ, πρὸς ὃν ἐν Ἡσαΐᾳ φησί· « Τάδε λέγει Κύριος τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς, ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ πόλεις οὐ συγκλεισθήσονται. Ἐγὼ ἔμπροσθέν σου πορεύσομαι, καὶ ὄρη ὁμαλιῶ. Θύρας χαλκᾶς συντρίψω, καὶ μοχλοὺς σιδηροῦς συγκλάσω. » Διὸ νικήσας ἀνῆκεν τῆς αἰχμαλωσίας τὸν Ἰσραὴλ, καὶ τὸν νεὼν ἀνεδείματο. Τοιγαροῦν Ἱερεμίας περὶ τῆς ἁλώσεως Βαβυλῶνος εἰπὼν, καὶ ὡς ἀνέβη ἐπ' αὐτὴν ἔθνος ἀπὸ βορρᾶ, τούτοις ἐπήνεγκε· « Τῷ καιρῷ ἐκείνῳ ἥξουσιν οἱ υἱοὶ Ἰσραὴλ καὶ οἱ υἱοὶ Ἰούδα ἐπὶ τὸ αὐτό. Βαδίζοντες καὶ κλαίοντες πορεύσονται τὸν Θεὸν αὐτῶν ζητοῦντες. » Καὶ πάλιν, εἰπὼν, ὡς C Ἐκδικῶ ἐπὶ τὸν βασιλέα Βαβυλῶνος, ἐπήνεγκε· Καὶ ἀποκαταστήσω τὸν Ἰσραὴλ εἰς τὴν νομὴν αὐτοῦ. Μήδοις οὖν καὶ Πέρσαις ὁ προφήτης ἐπιφωνεῖ, ὡς ἤδη *Βαβυλῶνος* κεκρατηκόσιν, αἴρειν ὕψοῦ τῆς νίκης τὸ σύμβολον, ἐμφανὲς ἐγείρασι τρόπαιον ἐπὶ τῇ κακοδαίμονι πόλει, περὶ ἧς αὐτός φησι· « Πῶς ἐάλω καὶ συνετρίβη ἡ σφῦρα πάσης τῆς γῆς; » Τὴν ὠμότητα ταύτης καὶ πλεονεξίαν δηλῶν. Διόπερ αὐτοις τὸ τελευταῖον οἱ ἐξ Ἰσραὴλ παρεδόθησαν ἐπιτείναντες τὴν ἀσέβειαν, πρώην ἔθνεσιν τοῖς ὁμόροις παραδιδόμενοι. *Ὄρος* δὲ *πεδινὸν* ἐκάλεσεν τὸ γεώλοφον. Ἐπὶ μετρίου γὰρ ὕψους ἡ τῶν τροπαίων ἐγίνετο στάσις. Πρὸς δὲ νοῦν, ἐπιδείκνυται πῶς ἡ δυναστεία τῶν τὴν σύγχυσιν ἐργαζομένων ἁλίσκεται, ἐπειδὰν ἐπ' *ὄρος* ἀνέλθωμεν μὴ ἀπόκρημνον, ἀλλ' ὥστε ὕψος μὲν ἔχειν διὰ τὸ ἀνάστημα, ἀσφάλειαν δὲ παρέχειν τοῖς ἐφιστημένοις διὰ τὴν ὑπτιότητα. Βούλεται γὰρ ἡμᾶς ἀμφότερα περὶ Θεοῦ νοεῖν ὑψηλά τε καὶ ἀσφαλῆ. Ὁ δὲ τὰ περὶ τοῦ σταυροῦ κηρύττων μεγαλοφώνως, οὕτως [u] *ἦρεν ἐπ' ὄρους τὸ σημεῖον*, τὸν περὶ τοῦ πάθους λόγον μεγαλῦναι δυνάμενος, ἐξομαλισμῷ τε καὶ σαφηνείᾳ [v] περὶ τῶν ἐπαγγελλομένων παραδιδούς· περὶ δὲ τῶν τοιούτων ἐπήνεγκεν· *Ὑψώσατε τὴν φωνήν*. Τοῦτ' ἔστιν, ἐξ ἑαυτῶν λάβετε τὸ ὕψος τῆς

Tanquam igitur in *Babylonios* propheta insurgeret, *In monte campestri elevari signum* imperavit. Quoniam enim Israelitas, qui propter idololatriam eis fuerant traditi, inhumanius acceperant; non immerito Deus indignatur, et per Zachariam ait in hunc modum : « Zelatus sum Jerusalem, et Sion zelo magno. Et ira magna irascor super gentes irruentes : quia ego iratus sum parum, ipsi vero addiderunt ad mala [76]. » Et ipsam rursum *Babylonem* sic alloquitur : « Ego dedi ipsos in manus tuas, tu autem non dedisti eis misericordiam [77]. » Atque inde est, quod a Cyro Medorum Persarumque rege subacta est; de quo apud Isaiam locutum Dominum his verbis reperias : « Hæc dicit Dominus christo meo Cyro, cujus apprehendi dextram, ut subjiciam ante faciem ejus gentes, et urbes non claudentur. Ego ante te ibo, et montes adæquabo, portas ferreas conteram, et vectes ferreos confringam [78]. » Inde victoria potitus, captivos Israelitas domum dimisit, templumque instauravit. Jeremias itaque, cum de Babylonica expugnatione, deque gentis aquilonicæ in eam expeditione disseruisset, hæc addidit : « In tempore illo venient filii Israel, et filii Juda in idem. Ambulantes et flentes properabunt Deum suum quærentes [79]. » Rursum, ubi se in Babylonium animadversurum, deque eo pœnas sumpturum dixisset, Israelem se in pascua sua reducturum paulo post intulit. Est ergo ad Medos et Persas prophetæ sermo directus; ut tanquam *Babylone* jam potiti, victoriæ symbolum in altum attollant, et tropæum urbi infelici videndum aperte proponant; de qua in hæc etiam verba apud eumdem legimus : « Quomodo captus est et contritus malleus universæ terræ [80]? » quibus summam ejus sævitiam, summamque avaritiam procul dubio significasse putamus. Atque hinc est, quod in eorum tandem manus Israelitæ, cum suam ipsi impietatem bene dilatassent, traditi sunt; cum jam tamen antea in vicinarum gentium potestatem venissent. *Campestris* autem *montis* nomine, collem significavit. Non enim nisi mediocriter erecto in loco tropæa **202** erigebantur. Sed si sensum postulas altiorem, ut eorum tandem, qui confusionis auctores exstiterunt, potentia ruitura sit ostendere videtur; cum *montem* non præruptum, aut præcipitem, sed magnitudine aliquatenus elatum, sua tamen etiam humilitate in eo manentibus securum et tutum conscenderimus. Vult enim utraque nos de Deo, ex-

[76] Zachar. I, 14, 15. [77] Isa. XLVII, 6. [78] Isa. XLV, 1, 2. [79] Jerem. L, 4. [80] ibid. 23.

VARIÆ LECTIONES.

[u] *γρ.* οὗτος. [v] *l.* τὰ.

Digitized by Google

celsa videlicet, et tuta sentire. At qui magna vocis contentione crucem prædicat, is *in monte signum elevare*, id est potenti oratione Christi mortem amplificare posse dicitur, et promissiones planas apertasque reddere. Hos autem cum *vocem exaltare* jussit, Deum profecto, ac si quam in seipsis illi ex communibus notitiis Deum prædicandi materiam habent, assumere, in eaque laborare moneret, dixisse videtur. Qui enim vultu demisso terrenis rebus incumbit, humilem profecto de Deo (quasi in convallibus habitet) *vocem* edit; cum ejus humilitatem in præconibus ipsæ, quibus deprimuntur, animi perturbationes efficiant. *Ne metui* igitur, ne lucro, ne tentationibus ipsis quo sublimis evadat nobis prædicatio, succumbamus. Ad litteram autem, Persas pro superatis Babyloniis verborum applausu excipere, *vocemque* edere triumphalem jubet. Forsitan etiam et confidenti esse animo adversus eos, in quos pugnaturi sunt, adhortatur. Hoc enim ipsum, quod *nolite timere* dixit, significat; cum Deo quantumvis exercitum vincere promptum sit. Deinde, *adhortamini manu*, adjicit. Nutibus enim potius in bello quam voce, quæ tumultu, strepituque intercepta satis esse nequit, quæ volumus significamus. Qui rursum afflictis per bona opera consolationem affert, paupertatem largitrice manu leviorem reddit. Largiendo enim potius consolationem attuleris, quam si verbis ad ferendam fortiter paupertatem adhortatus fueris. Quod autem *manum* illis *aperire* suadet, de erogando certe admonet. Juxta illud : « Aperiente te manum tuam, omnia implebuntur bonitate [81]. » Quod certe imprimis efficere *principes*, quo subditis in exemplum ipsi evadant, exposcit. Decet vero et quæ imperitis occlusæ **203** sunt, Scripturas *aperire*, contra quam a Scribis (qui regni claves habebant [82],) effectum est.

Recte siquidem *principes*, quibus est ea clavium scientiæ potestas, nominantur. Indeque est, quod os suum Corinthiis patere dicebat Paulus [83]. Ad litteram autem, aut Babylonios jam, tanquam victos; aut sanctas ipsas potestates, inita cum Persis societate, portas jubet aperire. Invictam enim *manus* potentiam ostendens *ipse*, ait, *instruo : ipse*, inquam, *duco eos*. Aut nos (si via placet contemplationis) pro viribus ad operationis studium exhortari videtur. *Ducem* enim habent Dominum, qui unumquemque in Ecclesiæ corpore pro sua dignitate *ordinat*. Deinde quantos adversus *Babylonem ducat*, subjicit, cum *tanquam gigantes venire* addit : *Gaudentes* quidem et alacres, ut qui victuros se non diffidant; adversarios autem superbe, tanquam viribus impares, contemnant : quod quidem *injuriæ* verbo ipsi significatum est. Minitatur autem et aliter, nonnullorum (quibus est cum Deo bellum gerere familiare) in sceleratorum pœnas instare adventum; a quibus sese suos eripere cum exoptet, eosdem erecto salutis *signo*, *in montem tamvestrem educit*. Admonet præterea, ut eos, qui

A φωνῆς, τὰς ἐνυπαρχούσας ὑμῖν ἀφορμὰς ἐκ τῶν κοινῶν ἐννοιῶν πρὸς Θεοῦ δοξολογίαν ἀνακινήσαντες. Ὁ γὰρ κάτω βλέπων καὶ χθίνος, ταπεινὴν ἔχει περὶ τοῦ Θεοῦ τὴν *φωνὴν*, οἰκῶν ὥσπερ ἐν φάραγγι. Πάθος γὰρ ἕκαστον, μεθ' οὗ τις κηρύττει, ταπεινὴν φωνὴν ἀπεργάζεται. Μὴ οὖν ὑπείκωμεν, *μὴ φόβῳ*, μὴ κέρδει, μὴ πειρασμοῖς, ὡς ἂν ἡμῶν ὑψηλὸν ὑπάρχῃ τὸ κήρυγμα. Κατὰ δὲ τὸ ῥητὸν, ἀλαλάζειν τοῖς Πέρσαις ἐπὶ τῇ Βαβυλῶνι παρακελεύεται, καὶ *φωνὴν* ἠχεῖν ἐπινίκιον. Τάχα δὲ καὶ θαῤῥεῖν πρὸς τὴν κατὰ τούτων μάχην παρακελεύεται. Τοῦτο γὰρ τὸ, *μὴ φοβεῖσθαι* δηλοῖ, Θεοῦ νικῶντος καὶ τὴν ἄμαχον δύναμιν. Εἶτα *παρακαλεῖτε*, φησὶ, *τῇ χειρί*. Νεύμασιν γὰρ ἐν πολέμῳ τὰ δοκοῦντα μᾶλλον σημαίνεται, μηδεμιᾶς πρὸς τὸν θόρυβον ἀρκούσης φωνῆς.

B Καὶ ἄλλως δὲ, ὁ τὴν παράκλησιν τοῖς θλιβομένοις δι' ἀγαθῶν ἔργων προσφέρων, τῇ μεταδοτικῇ χειρὶ τὴν πενίαν παρεμυθήσατο. Διδοὺς γὰρ μᾶλλον παρακαλέσει, κ λόγῳ παραινῶν τὴν πενίαν γενναίως ὑφίστασθαι. Τὴν δὲ *χεῖρα* τοῖς τοιούτοις *ἀνοίγειν* προτρέπεται, ὃ δηλοῖ τὴν μετάδοσιν, κατὰ τὸ, « Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος. » Ὃ δὴ ποιεῖν πρώτους ἐθέλει τοὺς *ἄρχοντας*, ὡς ἂν εἰς τύπον τοῖς ὑπὸ χεῖρα γενήσονται. Δεῖ δὲ καὶ τὰ κεκλεισμένα τῆς Γραφῆς τοῖς ἀγνοοῦσιν *ἀνοίγειν*. Ὅπερ οὐκ ἐποίουν οἱ Γραμματεῖς, τὰς κλεῖς ἔχοντες τῆς βασιλείας.

manum illis *aperire* suadet, de erogando certe admonet. Juxta illud : « Aperiente te manum tuam, omnia implebuntur bonitate [81]. » Quod certe imprimis efficere *principes*, quo subditis in exemplum ipsi evadant, exposcit. Decet vero et quæ imperitis occlusæ **203** sunt, Scripturas *aperire*, contra quam a Scribis (qui regni claves habebant [82],) effectum est.

C Ἄρχοντες γὰρ οἱ τοιοῦτοι τὰς κλεῖς τῆς γνώσεως ἔχοντες. Ἐντεῦθεν ὁ Παῦλός φησι· « Τὸ στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι. » Πρὸς δὲ ῥητὸν, ἢ τοῖς Βαβυλωνίοις, ὡς ἤδη κεκρατημένοις, τὰς πύλας ἀνοίγειν παρακελεύεται· ἢ δυνάμεσιν ἁγίαις συναιρομέναις τοῖς Πέρσαις. Τὸ γὰρ ἄμαχον ἐπιδεικνύμενος τῆς *χειρὸς*, *ἐγὼ συντάσσω*, φησὶ, καὶ *ἐγὼ ἄγω αὐτούς*· ἢ κατὰ θεωρίαν, φησὶν ὡς ἡμᾶς χρὴ τὰ πρὸς δύναμιν ἐνεργεῖν. Ὁ γὰρ *ἄγων* αὐτοὺς, Κύριός ἐστιν, *ὁ κατατάσσων* ἕκαστον ἐν τῷ σώματι τῆς Ἐκκλησίας πρὸς τὴν ἰδίαν ἀξίαν. Ἐφ' οἷς ἐπάγει, ὅσους *ἄγει κατὰ Βαβυλῶνος*. *Ὡς γίγαντες ἔρχονται*. *Χαίροντες* μὲν, ὡς θαῤῥοῦντες ὅτι κρατήσουσιν. Περιφρονοῦντες δὲ τοὺς ἐναντίους, ὡς ἀσθενεῖς· ὅπερ *ὕβριν* ἐκάλεσεν. Ἀπειλεῖ δὲ καὶ ἄλλως θεομάχων τινῶν ἐπιδημίαν ἐπὶ δίκῃ τῶν πλημμελούντων, ἐξ ὧν φυγεῖν ἐθέλων τοὺς ἑαυτοῦ, *πρὸς ὄρος ἀνήγαγε πεδινὸν*, *τὸ σημεῖον* αὐτοῖς διδοὺς φυλακτήριον. Καὶ τὴν δι' ἔργων ἀγαθῶν παρασκευὴν *ὑποτίθεται χειρὶ* τοὺς θλιβομένους *παρακαλεῖν*, *ἀνοίγειν τε τὸ στόμα* τοῖς μανθάνειν ἐθέλουσιν, ἵνα τοὺς *γίγαντας* φύγωσιν ἐπὶ κακοῦ τὰ πολλὰ ταττομένους,

[81] Psal. CIII, 28. [82] Luc. XI, 53. [83] II Cor. VI, 11.

VARIÆ LECTIONES.

κ *Ισ. λ.* ἡ.

Digitized by Google

οὺς ἀγγέλους πονηροὺς λέγων, ἔοικεν παραδηλοῦν ὁ Δαβὶδ, οἵπερ ἐπιχαίρουσι μαστιζομένοις ἡμῖν δι' ὠμότητα, καὶ τὴν ἡμετέραν ὀδύνην ἰδίαν κρίνοντες ἀπόλαυσιν, ἐνυβρίζουσι, καί τοι τοσαῦτα ὁρῶντες ὅσα Θεὸς συγχωρεῖ. *Φωνὴ ἐθνῶν πολλῶν ἐπὶ τῶν ὀρέων·* καὶ τὰ ἑξῆς. Τὴν παμμιγῆ δείκνυσι τῶν ἐν τῷ πολέμῳ *φωνὴν*, ἀνθρώπων, ἵππων, νικώντων, φευγόντων. Ἥτις, φησὶν, οὐ τοιαύτη τίς ἐστιν, ὡς ὀλίγων ἀνθρώπων νομίζεσθαι. *Ἀρχόντων* δὲ *πλείστων*, καὶ ἀρχομένων, *Βαβυλωνίων* μὲν θρηνούντων, Περσῶν δὲ ἀλαλαζόντων. Οὓς καὶ *ὁπλομάχους* ἀποκαλεῖ, καὶ *πόρρωθεν ἐρχόμενον ἔθνος* ἀπ' αὐτῆς ἤδη τῆς ἄρκτου, καὶ τῶν ὑπὸ ταύτῃ μερῶν. Ὡς κατὰ βούλησιν δὲ Θεοῦ χωροῦντας *ἰδίους* καλεῖ. *Οἰκουμένην* δὲ φθειρομένην, οὐ τὴν καθόλου φησὶ· τὴν περὶ ἣν δὲ πρόκειται χώραν, ἴσως καὶ τὸ μέγα [y] καὶ πολυάνθρωπον αὐτῆς ἐνδεικνύμενος, ἀντιδιαστέλλων τε τὴν μετὰ τὴν ἅλωσιν ἐρημίαν. Εἰκὸς δὲ ταῦτα δηλοῦν καὶ τῶν κατὰ τὴν Ἐκκλησίαν διαφόρων ἐθνῶν τὴν *φωνὴν*, ἣν καὶ *πεδινὸν ὄρος* ἔφη, πρὸς τὴν συλλογὴν τοῦ πλήθους εὐρυχωρίαν ταύτῃ διδοὺς, ἐπὶ τὸ ὕψος ἀναβαινόντων τῆς γνώσεως τοῦ Θεοῦ, μίαν τε *φωνὴν* ἐχόντων τῆς πίστεως. Μία δὲ οὖσα τῇ συμφωνίᾳ, πολλαῖς ἔοικε, διὰ τὸ μερισθῆναι γλώσσαις πυρὸς παρὰ τοῦ ἁγίου Πνεύματος ἐφ' ἕκαστον τῶν ἀποστόλων μελλόντων τοῖς ἔθνεσι κηρύξαι πᾶσιν τὸ Εὐαγγέλιον, ὧν τοὺς ἐκλεκτοὺς, *βασιλέας* καλεῖ, ὡς υἱοὺς τῆς βασιλείας ὑπάρχοντας. Ἐκ δὲ τοῦ, *Κύριος ἐντέταλται ἔθνει ὁπλομάχῳ ἔρχεσθαι*, διδασκόμεθα κρίσει Θεοῦ τὰς τιμωρίας ἐπάγεσθαι, καὶ ὡς οὐ δεῖ δεδιέναι τὸν τύπτοντα, τὸν ἐπιτάττοντα δὲ μᾶλλον παρακαλεῖν· οὐδὲ μιμεῖσθαι τοὺς λέγοντας ἀσεβῶς, δεῖν θυσίαν προσάγειν πνεύμασι πονηροῖς, ὡς ἂν αὐτῶν τὴν κακίαν ἐκμειλιζώμεθα. Εἴτε γὰρ θεραπεύητε, εἴτε καὶ μὴ, δρᾷν αὐτοὺς ἀνάγκη τὸ προστατόμενον τῷ δοθέντι μέτρῳ χρωμένους. Ἡ δὲ τούτων πανοπλία τῇ τῶν δικαίων ἀντίκειται. Τοῖς μὲν γὰρ θυρεός ἐστι πίστεως· τοῖς δὲ ἀπιστίας. Τοῖς μὲν λόγου μάχαιρα, τοῖς δὲ ἀλογίας. Τοῖς μὲν θώραξ δικαιοσύνης πρὸς τὴν ἀσφάλειαν, τοῖς δὲ ἀδικίας. Σωτηρίας τούτοις περικεφάλαια, τούτοις δὲ ἀπωλείας, ἕτοιμοι τούτοις οἱ πόδες πρὸς τὸ Εὐαγγέλιον τῆς εἰρήνης, ὀξεῖς ἐκείνοις πρὸς τὸ ἐκχέαι αἷμα. Οἳ καὶ *ἀπὸ γῆς* εἰσι, *πόρρωθεν* μὲν *Θεοῦ*, *πόρρωθεν* δὲ τοῦ βίου τούτου πρὸς κόλασιν ἐκεῖθεν ἀγόμενοι. Οἱ γὰρ συνεργοῦντες ἡμῖν τὰ πρὸς σωτηρίαν, σύνοικοί τε καὶ γείτονες. Ἐκείνων δὲ κατακέχρηται τῇ ὠμότητι πρὸς θεραπείαν ἡμετέραν ἡ Πρόνοια, ὡς ἰατρὸς ἐχίδνης ᾧ οὓς [z] οὐ τὸ πνεῦμα ἀλλ' ἡ σὰρξ παραδίδοται, ἵνα τὸ πνεῦμα σωθῇ. Φύγελός τε καὶ Ἑρμογένης αὐτοῖς παρεδόθησαν οὐκ εἰς ἀπώλειαν, ἵνα δὲ παιδευθῶσι μὴ βλασφημεῖν.

afflicti sunt, bene merendo, tanquam *manu adhortemur*; utque discendi cupidis *os aperiamus*, doceamusque qua ratione malo fine multa molientes *Gigantes* effugere valeant, quos malorum nomine angelorum Davidem intellexisse probabile est [84]; qui cum nos crudeliter cæsos viderint, lætantur, et ex doloris nostri gravitate voluptatem capientes, contumeliose nobis insultant; licet non majora, quam eis a Deo conceditur, efficiant. *Vox gentium multarum in montibus*, et quæ sequuntur; promiscuam eorum *vocem* ostendit, qui in prælio sunt hominum, equorum, vincentium, fugientium: qualem paucorum hominum, haud quisquam dixerit, sed *principum multorum*, et subditorum; id est lugentium *Babyloniorum*, et Persarum exsultantium, quos *bellicosos, et gentem procul*, id est, **204** ab ipso aquilone, vicinisque locis, *venturam* asseruit. Suos autem vocat, ut Dei voluntate progredi non dubites. Quod vero *perditam terram* dixit, non orbem universum, sed de qua sermo instituitur regionem innuit: quam ideo forsan sic nominavit, ut gentem magnam et populosam esse doceret; eamque, quæ expugnationem secuta est, solitudinem distingueret. Nec vero incongruum est, talibus variarum etiam gentium *vocem* in Ecclesia (quam per *montem campestrem* intellexit) significari: cui, ad multitudinis collectionem, loci amplitudinem ascribit; cum ad eam, propter divinæ cognitionis altitudinem, uniusque fidei *vocem* ascendant multi. At consensu ipso una eademque cum sit, multiplex ideo videtur, quod linguis igneis, Spiritus sancti opera, in quemlibet apostolorum, qui gentibus universis erant Evangelium prædicaturi, dissecta fuit [85]: quorum de numero qui delecti sunt, *reges* eos, tanquam regni filios, appellat. In quo præterea *gentem bellicosam venire jubet Dominus*; pœnas certe Dei judicio immitti, neque inferentem metuere, sed jubentem potius deprecari docemur oportere; non eorum imitari impietatem, qui malorum spirituum nequitiam sacrificiis demulcere adhortantur; quos sive ambias, sive negligas, agere tamen et sævire, prout imperanti placet, necessum est. Est vero illorum tota, ei, qua teguntur justi, contraria plane armatura. His enim fidei clypeus in promptu est, illis autem incredulitatis. Iis fulget rationis et verbi gladius; illis temeritatis. Iis inest ad securitatem justitiæ lorica; illis injustitiæ. His item salutis galea; illis perditionis. His pedes ad sectandum pacis Evangelium prompti paratique; illis ad effundendum sanguinem veloces. Illi item sunt *de terra* longinqua, *longe* quidem a Deo remoti, de *longe* etiam ad hujus vitæ scelera ulciscenda acciti. Sunt enim quorum opera ad salutem utimur, non externi, sed domestici vicinique. Sed illorum crudelitate ad medelam curationemque nostram Dei abutitur providentia; non aliter quam viperæ veneno medicus; quibus in carnem tantum, quo spiritus servetur incolumis

[84] Psal. LXXVIII, 4. [85] Act. II, 1 seqq.

VARIÆ LECTIONES.

[y] *Lείπ. Ισ.* ἔθνος. [z] *γρ.* οἷς.

Digitized by Google

205 potestas permittitur : qua ratione Phylegum et Hermogenem non in interitum, sed ut blasphemandum non esse discerent, traditos legimus [86].

Eosdem rursum *de terra longinqua* venire dixit, A quod in terra sedem locumque sibi elegerint, nec a summo cœlo, unde olim primum dejecti sunt, parum distent. Sequitur deinde : *Ululate, quia prope est dies Domini :* tanquam præter lamenta et luctum nihil jam Babyloniis restare moneat. Deo namque metum animis eorum incutiente *manus omnis dissolvetur, et omnis anima hominis timebit.* Vani siquidem tum fuerint, quicunque ad impediendum conatus adhibebuntur. Quis enim ut scribitur, manum erectam queat evertere? Aliter vero et ad Dei minas, quas a *bellicosis* impendere dixit, *ululatus* et lamentationes, quibus Deum placari certum est, addidit. Solet enim pro suo in homines amore Deus minitari; et cum eos pœnituerit, minas avertere. Qui enim Ninivitis interitum de- B nuntiasset, si pœnitentes odisset? Ab ipso enim *contritio*, qui perdidit quæ *contritione* digna sunt : ut Satanam sub pedibus justi, ut bella, ut cedros Libani, id est superbos, et veritati insurgentes, conterere Dominum legimus [87]. Decet autem eos, qui Dei *contritionem* effugere cupiant, suum ipsos cor elatum tumidumque *conterere*, ut sacrificii vicem ipsius gerat humilitas. Est enim, si cum pœnas exigente Deo conferatur, *omnis imbecilla manus, et omnis timida anima.* Nec vero, aiunt, immerito *hominis* adjectum est vocabulum; cum sit illa, quæ angelorum est timiditati minime obnoxia; contra, quæ brutorum; quam pavere quidem et terreri, sed timidam esse non volunt qui placitorum defectum, quæ a fortitudine petuntur, timiditatem definiunt. Quod autem *turbatum iri legatos* ait, idolorum cultores significat; qui, ut par est, instante Cyri adventu, quæ ex usu erant vaticinabantur, et supplicationibus pro regione intercedentes dæmonas fatigabant. Sed pudore suffundentur, cum in contrarium omnia cessisse viderint, **206** mutuoque lugebunt (hoc enim ipsum est, quod *condolendi* verbo significavit). Væ forsan, et si quæ sunt ejusmodi miseriarum judicia, usurpantes. Ita autem præ maximo animi dolore nigrescent eorum *vultus*, ut esse marcidi cineris reliquiæ videantur : nisi si natum ex pudore ruborem etiam significare voluisse existimes. Jamjam enim tempus appetit, quo implacabilis *Dei furor* Chaldæos omnes *populatus regionem vastabit, peccatoresque perdet ex ea ;* D quod certe idem est, ac si scelerate viventes ad unum omnes deleturum se dicat. Neque enim quidquam discriminis gratia addidit, qui justis Babylonem destitui non ignorabat. Quia deinde calamitatum magnitudo vel ipso diei tempore, vel cum luna stellisque nox illustratur; tenebras hominum animis et caliginem offundit; ideo, non natura

Οἱ αὐτοὶ δὲ καὶ *ἀπὸ γῆς πόρρωθεν*, ὅτι τὸν περίγειον εἵλοντο τόπον, καὶ ἀπ' ἄκρου τοῦ οὐρανοῦ, ὅθεν αὐτοῖς ἡ πρώτη γέγονε πτῶσις. Εἶτά φησιν· *Ὀλολύξατε· ἐγγὺς γὰρ ἡ ἡμέρα Κυρίου·* ὡς οὐδενὸς τοῦ θρηνεῖν ὑπολελειμμένου Βαβυλωνίοις. Θεοῦ δὲ κατασείοντος εἰς δειλίαν τὰς τούτων ψυχάς, *πᾶσα χεὶρ ἐκλυθήσεται, καὶ πᾶσα ψυχὴ ἀνθρώπου δειλιάσει.* Πάντα γὰρ ἀνόνητα τότε πρὸς κώλυμα. Τὴν γὰρ χεῖρα τὴν ὑψηλήν τις ἀποστρέψει; κατὰ τὸ γεγραμμένον, καὶ ἄλλως δέ, πρὸς τὴν ἀπειλὴν τοῦ Θεοῦ, τὴν διὰ *τῶν ὁπλομάχων, ὀλολυγμὸς* καὶ θρῆνος προστέτακται, δι' ὧν ἔστι δυσωπῆσαι Θεόν· φιλάνθρωπος γὰρ ὢν ἀπειλεῖ, καὶ τῶν μετανοούντων ἀποστρέφει τὴν ἀπειλήν. Εἰ μὴ γὰρ ἠβούλετο τοῦ ἁμαρτωλοῦ τὴν μετάνοιαν, τί τὴν ἀπειλὴν τοῖς Νινευίταις ἐκήρυττεν; παρ' αὐτοῦ γὰρ ἡ *συντριβή*, τὰ *συντριβῆς* ἀφανίζοντος ἄξια. Ὡς συντρίβει τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας τοῦ δικαίου καὶ, Κύριος συντρίβων πολέμους, καὶ, Συντρίβει Κύριος τὰς κέδρους τοῦ Λιβάνου, τοὺς ἀλαζόνας καὶ τοὺς ὑπεραιρομένους κατὰ τῆς ἀληθείας. Δεῖ δὲ φθάνοντας τοῦ Κυρίου τὴν *συντριβὴν*, τὴν ἑαυτῶν μεγαλόφρονα καρδίαν *συντρίβειν*, ἵνα γένηται θυσία ἡ ταπείνωσις αὐτῆς. Ὡς πρὸς Θεὸν γὰρ τιμωρούμενον, *πᾶσα χεὶρ ἀσθενὴς καὶ ψυχὴ δειλή. Ἀνθρώπου* δὲ, φασὶν, εἰκότως προσέθηκεν. Ἡ μὲν γὰρ τῶν ἀγγέλων, κρειττόων δειλίας, ἡ δὲ τῶν ἀλόγων ἐλάττων. Ἡ δὲ γὰρ πτοεῖται μὲν, οὐ δειλιᾷ δέ. Δειλία γάρ ἐστιν ἔλλειψις τῶν ἀπὸ τῆς ἀνδρείας δογμάτων. *Πρέσβεις* δέ φησι *ταραχθήσεσθαι*, τοὺς τῶν εἰδώλων θεραπευτὰς, οἳ κατὰ τὸ εἰκὸς, τῶν περὶ Κῦρον C προσδοκωμένων, κατεμαντεύοντο χρηστὰ καὶ λιτὰς προσῆγον τοῖς δαίμοσιν, ὑπὲρ τῆς χώρας πρεσβεύοντες. Αἰσχυνθήσονται δὲ τῶν ἐναντίων γενησομένων, καὶ ὀδυρῶνται πρὸς ἀλλήλους. Τοῦτο γὰρ τὸ *συμφορᾶσουσιν*, οὐαὶ τυχὸν, καὶ συμφορᾶς προφέροντες ῥήματα. Ἐξ ἀθυμίας δὲ αὐτῶν *τὰ πρόσωπα* μελανθήσεται, ὡς σποδοῦ μαρανθείσης λείψανον εἶναι δοκεῖν· ἢ καὶ τὸ ἐκ τῆς αἰσχύνης παρίστησιν ἔρευθος. Ἔρχεται γὰρ καιρὸς, καθ' ὃν ἀπαραίτητος *ὀργὴ Θεοῦ* τὴν τῶν Χαλδαίων ὅλην *ἐρημώσει χώραν, καὶ τοὺς ἁμαρτωλοὺς ἐξ αὐτῆς ἀπολέσει·* τοῦτ' ἔστι, πάντας ὄντας ἁμαρτωλοὺς ἀπολέσει. Οὐ γὰρ ἀντιδιαστέλλει δικαίους οὖσιν ἐν Βαβυλῶνι. Καὶ ἐπὶ * τὰ μεγέθη τῶν συμφορῶν, σκότου καὶ ἀχλύος τὸν ἀνθρώπινον καταπίμπλησι νοῦν, κἂν ὁ τῆς ἡμέρας τύχῃ καιρὸς, κἂν σελήνῃ καὶ ἄστροις ἡ νὺξ καταλάμπηται, τούτου χάριν ταῦτά φησι, *σκοτισθήσεται*, οὐ φύσει, τῶν δὲ ἀθυμούντων οὕτω δοκούντων ὁρᾷν. Τὸ δὲ, *Ἐντελοῦμαι κακὰ*, ἢ ἀντὶ τοῦ, ἀπειλήσω· ἢ ἀπενεχθῆναι προστάξω. Δι' *Ὠρίωνος* δὲ, τὰ λαμπρὰ τῶν ἀστέρων ἐδήλωσεν. Ἄλλως δὲ παρ' Ἑβραίοις τὸ ἄστρον τοῦτο λεγόμενον, οἱ ἑρμη-

[86] II Tim. II, 16, 17. [87] Rom. XVI, 20.

VARIÆ LECTIONES.

* γρ. ἐπεί.

Digitized by Google

νεύσαντες πρὸς τὴν κρατοῦσαν παρ' Ἕλλησι συνήθειαν ἐκδεδώκασι. Καὶ ἐν Ἰὼβ δέ φησιν ἡ Γραφὴ, Πλειάδα καὶ Ἕσπερον καὶ Ἀρκτοῦρον, καὶ ταμιεῖα [b] νότου πάλιν οὕτως ἐξ Ἑλλήνων λεγόμενα. Τινὲς δὲ τὰ προειρημένα ῥητὰ, διὰ τὸ λέγεσθαι τῇ οἰκουμένῃ πάσῃ κακὰ, τοῦτον ἐξηγοῦνται τὸν τρόπον. Μέλλων γὰρ, φασὶν, ὁ λόγος μερικὴν ἀπειλὴν κατὰ *Βαβυλῶνος* ποιήσασθαι, περὶ τῆς καθολικῆς τοῦ Θεοῦ προεκτίθεται κρίσεως, καθόλου περὶ τῶν ἀσεβῶν οἷα πείσονται διηγούμενος· εἶθ' οὕτως ἐπὶ τὴν μερικὴν τῆς *Βαβυλῶνος* μετέρχεται κόλασιν. Περὶ δὲ τῆς γενικῆς τέως λέγων· *Ἐπ' ὄρους*, φησὶ, *πεδινοῦ ἄρατε σημεῖον*. Τοῦτο δὲ τὸ προφητικὸν πνεῦμα ἐκ προσώπου τοῦ Θεοῦ Λόγου προφέρεται, κελεύει τε τοῖς ἀμφ' αὐτὸν ἀγγέλοις ἀνοῖξαι θύρας κεκλεισμένας, καὶ τοῖς ἔνδον οὖσι προϊέναι, παρακελεύσασθαι [c], καὶ σπεύδειν ἐπὶ τὴν τῶν ἀσεβῶν τιμωρίαν. Δι' ὧν εἰκὸς δηλοῦσθαι χώραν ἀφωρισμένην δυνάμεσιν ἀντικειμέναις οἱονεὶ δεσμωτήριον τούτων ὑπάρχουσαν.

quidem, sed præ dolore animi rem ita se videre putantibus, *obtenebratum iri* solem significavit. Quod autem *mandaturum se mala* adjicit, vel se nimis territurum, vel certe, ut tollantur mandaturum innuit. Deinde per *Orionem*, stellarum insignium splendorem significavit. Alias vero quod apud Hebræos hujus astri nomine designatur, ad eam, quæ tum vigebat in Græcia, loquendi consuetudinem traxerunt interpretes. In Jobi deinde libro, quod Pleiadem et Arcturum, austrique penetralia legimus [87]; et ipso etiam Græcorum more dici debemus existimare. Non desunt tamen qui superiora, quoniam orbi universo mala denuntiari videant, hoc modo explicent. Cum enim, aiunt, in *Babylonem* peculiares minas edere propheta instituisset; quæ prius ad universum Dei judicium spectabant, notatis impiorum omnium pœnis, demonstrari et proponi voluit, ut deinceps ad singularem scelerum *Babylonis* ultionem transiret; de universo vero illa exsistere, quibus *in monte campestri signum elevari* jussit. Hoc autem prophetæ spiritus, tanquam ex divini Verbi persona profert, et angelis, quibus ipse stipatur, clausas portas jubet aperire, ad eosque, qui intus clauduntur accedere, necnon impiorum pœnas urgere. Unde certam **207** aliquam, qua regionem designari non fuerit dissentaneum.

Καὶ μήποτε αὐτή ἐστιν ἡ ἄβυσσος, ἣν πεπληρῶσθαι δρακόντων δηλοῖ τὸ, *δράκοντες* καὶ πᾶσαι ἄβυσσοι, εἰς ἣν μὴ πεμφθῆναι πρὸ καιροῦ τὸν Χριστὸν παρεκάλουν οἱ δαίμονες, ὡς εἰδότες ἔσεσθαί ποτε τούτου καιρόν; Τὰς δὲ τοιαύτας δυνάμεις *γίγαντάς* φησιν, ἢ ὡς *γιγάντων* οὔσας ψυχάς· ἢ τῶν ἐξ οὐρανοῦ κατελθόντων ἀγγέλων, ἐξ ὧν *οἱ γίγαντες* ἐγεννήθησαν ταῖς τῶν ἀνθρώπων θυγατράσι μιγέντων, ἢ καὶ ἑτέρας ἀποστατικὰς δυνάμεις μέχρι τοῦ τῆς κρίσεως δεδεμένας καιροῦ. Ἐπειδ' ἂν δὲ τὸ τοῦ Θεοῦ δικαιωτήριον ἐπιστῇ, ἀποστελεῖ μὲν, ὡς αὐτός φησι, τοὺς ἀγγέλους αὐτοῦ μετὰ σάλπιγγος μεγάλης, καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ, ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἕως ἄκρων αὐτοῦ, τὰς δὲ κολάσεις ὥσπερ διὰ δημίων τῶν ἀντικειμένων δυνάμεων τοῖς κολασθησομένοις ἐπάξει, προστάξας τοῖς ἀμφ' αὐτὸν ἀγγέλοις ἀνεῖναι τούτων τὸ δεσμωτήριον, ὡς ἂν προελθοῦσαι τοὺς ἀσεβεῖς τιμωρήσονται, μέλλουσαι καὶ αὗται τὴν οἰκείαν ἐκδέχεσθαι κρίσιν. *Ὄρος* δὲ *πεδινὸν*, τὸν περίγειον ἐκάλεσε τόπον, καὶ πᾶν τὸ τῶν ἀνθρώπων οἰκητήριον, ἔνθα *τὸ σημεῖον* παρασχεῖν τῆς μελλούσης ἐπιτίθεσθαι τοῦ Θεοῦ κρίσεως παρακελεύεται (περὶ οὗ τάχα φησὶ, Καὶ ὄψονται τὸ σημεῖον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου) καὶ *ὑψηλῇ φωνῇ* συγκαλεῖν ἐπὶ τὸ κριτήριον. Εἶτά φησι, *Παρακαλεῖτε τῇ χειρὶ· ἀνοίξατε, ἄρχοντες*. Ἀνθ' οὗ Σύμμαχός φησι· *Κινήσατε χεῖρα, καὶ ἐξελευθέτωσαν θύρας*. Δῆλον ὡς ἀπὸ τοῦ ἐξωτάτου σκότους, ἐν ᾧ καθειργμέναι τυγχάνουσιν. Αἳ οὐκ ἂν ἐξῆλθον, μὴ τοῦ κριτοῦ τοῦτο προστάξαντος. Ἐπιφέρει δὲ ὡς *γίγαντές* εἰσιν οἱ

Eamne vero abyssum illam esse arbitremur, quam serpentibus impletum iri, serpentes et omnes abyssos nominans Scriptura dixit [88]; in quam ne ante tempus mittantur, Christum dæmones deprecantur, tanquam se tandem aliquando mitti debere confiteantur [89]? Ejusmodi vero potestates vel *gigantas* nominat, vel *gigantum* illis non absimiles animas; vel certe angelos quosdam, qui e cœlo delapsi cum filiabus hominum coisse, et *gigantas* procreasse feruntur [90]. Vel denique transfugas potestates alias, quæ ad judicii usque tempora vinctæ clausæque cohibeantur. Cum enim Dei instabit judicium, mittet, ut ipse ait [91], angelos suos cum tuba magna, et congregabunt electos ejus, a summis colorum, usque ad terminos eorum. Pœnas autem puniendis per adversarias potestates, tanquam tortores, immittet; ipsisque stipatoribus angelis eorum vincula solvere, ut impios adortæ ulciscantur, suam tamen et ipsæ postea sententiam subituræ peculiariter, imperabit. *Montis* vero *campestris* nomine, vicinum terræ locum, atque adeo hominum quodlibet domicilium significat, in quo *signum* divini instantis judicii (ad quod forsan non male dictum istud, Et videbunt signum Filii hominis [92], retulerit) præbere jubet, et *voce elata* ad illud omnes convocare. Postea adjicit, *adhortamini manu; aperite, principes*, quorum vice, ita Symmachus: *Movete manum, et egrediantur portis:* tanquam nimirum profundissimis e tenebris, in quibus vinctæ coercentur, unde nec ipsæ, nisi judicis imperio, poterant exire. Quos autem *gigantas* vo-

[87] Job. IX, 8, 9. [88] Psal. CXLVIII, 7, 9. [89] Matth. VIII, 28-33. [90] Gen. VI, 2-4. [91] Matth. XIV, 31. [92] Matth. XXIV, 30.

VARIÆ LECTIONES.

[b] *γρ.* ταμεῖα. [c] *ἀγρ.* τὸ παρακελεύσασθαι.

Digitized by Google

cavit, *potentes* Aquila et Symmachus interpretantur: intelligitque scelerum ultrices potestates. Nam et id Scriptura testatur, cum de Ægyptiis ad hunc modum loquitur : « Misit in eos iram indignationis suæ: indignationem, et iram, et tribulationem, immissiones per angelos malos [93]. » Quorum, ut in eos, quos ulcisci decet, immanitas significetur, *gaudii* nomen et *injuriæ* adhibuit. Sed quæ de istis dicunt, hactenus. De **208** gentibus deinceps, quæ judicandæ sunt, disputatio instituitur; quæ *vocem* adversum se edituræ sunt, suam ipsæ calamitatem ejulatu testificantes, *subditi* simul et *reges*, propter *bellatores* Dei jussu terram omnem disperdentes: quos *gigantas* esse longe distantes, et tanquam *cœli fundamentis* concludi dixit; qui suo evocati tempore, quando justorum secretionem fieri contigerit, malorum terram omnem disperdituri vastaturique sunt. Eadem prorsus et in Evangeliis usurpantur, ubi dextros quidem ad præparatum sibi a constitutione mundi regnum vocari, sinistros autem ignis æterni supplicio terreri legimus [94]. Atque his quidem quæ de futuro judicio (cujus nondum tempus advenit) proferuntur, peccatores ad pœnitentiam longe prius quam contingant, hortari, et instantibus malis retectis, ad luctum provocare studet. *Veniet* enim, ait, *iræ dies*, ante significata, et prope est. Jamdiu siquidem ipsa appetere, prophetis quoque testantibus omnibus, ideo dicitur; ut eorum nullus, qui ceciderunt, tanquam ea procrastinante imparatus offendatur. Quinam vero isti sint *legati*, *quos*, cum dies Domini advenerit, *turbatum iri* significavit? Ili nimirum, quotquot obscure nobis in parabola Dominus aperuit. « Homo enim quidam nobilis, inquit, abiit in regionem longinquam, ut acciperet sibi regnum, et reverteretur [95]. » Deinde sermone de decem mnis absoluto : « Cives autem ipsius, adjicit, oderant eum, et miserunt legationem post illum dicentes : Nolumus hunc regnare super nos [96]. » Qui enim nobilem non dixerimus, qui ex Patris essentia suam habet exsistentiam? Ipse præterea secundum carnem homo, relato ad Davidem genere, nobilis non immerito censeatur. Abit igitur in regionem longinquam : sed non ita locorum intervallo, atque negotiorum ratione dissitam et remotam. Bonis enim ut semper adest Deus, ita longe a peccatoribus recedit [97] : qui diabolica tyrannide opprimi mortales intuitus, tam misera conditione permotus regendos eos et protegendos assumpsit. Nec est profecto quod ipsius imperii finis exspectetur, donec inimicos suis ipse pedibus subjecerit. **209** Venit ergo in remotam a Deo regionem, ut terrenum locum, id est, imperium in gentes, acciperet; juxta illud : « Postula a me, et dabo tibi gentes hæreditatem tuam [98]. » Qui vero sub hujus sæculi principe degunt, non

καλούμενοι. Ἀνθ' οὗ, Ἀκύλας καὶ Σύμμαχος *δυνατοὺς* ἐκδεδώκασι. Λέγει δὲ δυνάμεις τὰς τιμωρητικάς. Τοῦτο γὰρ ἡ Γραφὴ λέγουσα περὶ τῶν Αἰγυπτίων παρίστησιν· « Ἀπέστειλεν ἐπ' αὐτοὺς [a] ὀργὴν καὶ θυμὸν καὶ θλῖψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν· » ὧν δηλοῖ τὴν ἐπὶ τοῖς κολαζομένοις ὠμότητα, *χαρὰν* αὐτῶν λέγων καὶ *ὕβριν*. Ταῦτα μὲν οὖν φασι περὶ τούτων. Τὰ δὲ ἑξῆς, περὶ τῶν κριθησομένων ἐθνῶν ἐπιλέγει, οἳ *φωνὰς* ἀφήσουσι, καθ' ἑαυτῶν ἐξομολογούμενοι, τὰς ἑαυτῶν ὀλοφυρόμενοι συμφορὰς, *ὑπήκοοί* τε καὶ *βασιλεῖς*, διὰ τοὺς *ἐπλομάχους* τοὺς φθείροντας Θεοῦ προστάξει τὴν οἰκουμένην. Τούτους ἔλεγε *γίγαντας* μακρὰν ὄντας πάλαι, καὶ ὥσπερ ἐν *θεμελίοις τοῦ οὐρανοῦ* ἀποκεκλεισμένους, οἳ κατὰ καιρὸν κληθέντες φθείρουσι [b] πᾶσαν τὴν τῶν κακῶν οἰκουμένην, μετὰ τὸν ἀφορισμὸν τῶν δικαίων. Οὕτω καὶ ἐν Εὐαγγελίοις τῶν ἐκ δεξιῶν κληθέντων ἐπὶ τὴν ἡτοιμασμένην αὐτοῖς βασιλείαν ἀπὸ καταβολῆς κόσμου, ἐπὶ τοὺς ἐν ἀριστεροῖς ἡ ἀπειλὴ τοῦ πυρὸς ἐξενήνεκται. Ταῦτα περὶ τῆς μελλούσης εἰπὼν κρίσεως, ἐπεὶ μήπω ταύτης καιρὸν [c], ἐπὶ μετάνοιαν πρὶν γενέσθαι ταύτην καλεῖ τοὺς ἁμαρτωλούς, ἐπὶ τοῖς· ἰδίοις κακοῖς ἀποκλαίεσθαι παραινῶν. *Ἥξει* γὰρ, φησὶν, *ἡ προλεχθεῖσα τῆς ὀργῆς ἡμέρα*, καὶ πλησίον ἐστίν. Πολὺς δὲ ὁ χρόνος ἀφ' οὗ ἐγγίζειν αὐτὴ λέγεται πάντων τῶν προφητῶν διαμαρτυραμένων αὐτῆς τὴν ἐγγύτητα, ὡς ἂν μηδεὶς ἀναπεπτωκὼς, ὡς χρονιζούσης αὐτῆς ἀνέτοιμος εὑρεθῇ. Τίνες δὲ *οἱ πρέσβεις οἱ ταρασσόμενοι*, ἡνίκα ἂν ἐπιστῇ ἡ τοῦ Κυρίου ἡμέρα; Δῆλον ὅσους διὰ παραβολῆς ἠνίξατο Κύριος. « Ἄνθρωπος γὰρ, φησὶν, εὐγενὴς ἐπορεύθη εἰς χώραν μακρὰν λαβεῖν ἑαυτῷ βασιλείαν, καὶ ὑποστρέψαι. » Εἶτα περὶ τῶν δέκα μνῶν τῶν δοθεισῶν τοῖς δούλοις εἰπὼν φησιν· « Οἱ δὲ πολῖται αὐτοῦ ἐμίσουν αὐτὸν, καὶ ἔπεμψαν ὀπίσω αὐτοῦ πρέσβεις, ὅτι Οὐ θέλομεν τοῦτον βασιλεῦσαι ἐφ' ἡμᾶς. » Καὶ πῶς γὰρ οὐκ εὐγενὴς ὁ ἐκ τῆς οὐσίας τοῦ Πατρὸς ἔχων τὴν ὕπαρξιν; καὶ ὁ κατὰ τὸν Σωτῆρα [d] δὲ ἄνθρωπος, εὐγενὴς ἂν λέγοιτο γεγονὼς ἐκ σπέρματος Δαβίδ. Πορεύεται οὖν εἰς χώραν μακρὰν, οὐ τοσοῦτον τῷ τόπῳ διεστῶσαν, ὅσον τῇ καταστάσει τῶν πραγμάτων. Ἐγγὺς γὰρ ὁ Θεὸς τῶν ἀγαθῶν, τῶν δὲ πλημμελούντων ἀπῴκισται. Ὃς διαβόλου τυραννίδι τὸν κόσμον ἰδὼν ὑποκείμενον, ἐλεήσας τοὺς ἀνθρώπους, βασιλεὺς αὐτῶν γενέσθαι κατεδέξατο. Δεῖ γὰρ αὐτὸν βασιλεῦσαι, ἄχρις οὗ θῇ τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ. Ἦλθεν οὖν εἰς χώραν μακρὰν τοῦ Θεοῦ, τὸν περίγειον [e] τόπον τὴν ἐπὶ τὰ ἔθνη βασιλείαν λαβεῖν, κατὰ τὸ, « Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου. » Οἱ δὲ τελοῦντες ὑπὸ τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, οὐ μόνον ἄνθρωποι, ἀλλὰ καὶ δυνάμεις, τὴν αὐτοῦ βασιλείαν οὐ κατεδέξαντο. Δόντος δὲ αὐτοῦ τὰς ἐντολὰς, καὶ τὴν ἐργασίαν ἐπιζητοῦντος

[93] Psal. LXXVII, 49. [94] Matth. XXV, 34-46. [95] Luc. XIX, 12. [96] ibid. 14. [97] Psal. CXVIII, 155. [98] Psal. II, 8.

VARIÆ LECTIONES.

[a] *Alii.* ὀργὴν θυμοῦ αὐτοῦ. [b] *gr.* φθεροῦσι. [c] *gr.* καιρός. [d] *gr.* τὴν σάρκα. [e] *gr.* περίγειον.

Digitized by Google

αὐτῶν, ἔπεμψαν *πρέσβεις* ὀπίσω αὐτοῦ ἀρνούμενοι τὴν αὐτοῦ βασιλείαν. Εἶεν δ' ἂν *οἱ πρέσβεις*, οἱ τὸν θάνατον ἐνεργήσαντες αὐτοῦ, νομίσαντες διὰ τοῦ σταυροῦ διακόπτειν αὐτοῦ τὴν βασιλείαν, λέγοντες τῷ Πιλάτῳ· « Μὴ γράφε ὅτι βασιλεὺς τῶν Ἰουδαίων, ἀλλ' ὅτι ἐκεῖνος εἶπε, βασιλεύς εἰμι· » οἳ κατακριθέντες ἐκ τῆς ἑαυτῶν πονηρίας ἐμποδὼν οὐ γεγόνασι τῇ οἰκονομίᾳ. Οὐδεὶς δὲ θέλει φαῦλα πράττων, ὑπὸ Χριστοῦ βασιλεύεσθαι. Περὶ ὧν, ὅτι *ταραχθήσονται*, φησὶν ὁ προφήτης, ὅταν ἴδωσι τὸν Κύριον μετὰ δόξης *ἐρχόμενον*. *Ἰδοὺ γὰρ ἡμέρα Κυρίου ἔρχεται ἀνίατος*. Ταύτην ἄλλην εἶναί φασι παρὰ τὴν προτέραν, περὶ ἧς εἶπεν· *Ἐγγὺς ἡ ἡμέρα Κυρίου*. Ἐκείνη γὰρ, περὶ τῆς ἰδίας ἑκάστου συντελείας, ἥτις ἐγγὺς πάρεστιν· ἡ δὲ νῦν, περὶ τῆς καθολικῆς, ἥπερ δὴ καὶ κυρίως ἐστὶν ἡμέρα. Νυκτὶ γὰρ οὐ διακόπτεται. Διὸ καὶ ἐν αὐτῇ φανεροῦται τὰ κρυπτὰ τοῦ σκότους. Ὁ δὲ παρὼν βίος, νύξ· ἐν ᾧ ταῦτα συγκέκρυπται. Ἐκείνην οὖν *ἀνίατον* ἔφησεν. Οὐκ ἔστι γὰρ ἐξετάσασθαι τοὺς προσαγομένους ἐν αὐτῇ πόνους. Οἰκονομικὸν[i] δὲ τοῦτο, φασὶ, φόβον ἐμποιοῦν πρὸς τὸ ἐργάζεσθαι, ἕως ἡμέρα ἐστίν· ἔρχεται γὰρ νὺξ, ὅτε οὐδεὶς δύναται ἐργάσασθαι· δεδεμένος δὲ χεῖρας καὶ πόδας τῷ δεσμῷ τῶν ἰδίων ἁμαρτημάτων, εἰς τὸ σκότος ἐμβάλλεται. Τότε δὲ, φησὶν, *οἱ ἀστέρες τοῦ οὐρανοῦ τὸ φῶς οὐ δώσουσι*, λέγοντος τοῦ Κυρίου. Εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων, *ὁ ἥλιος σκοτισθήσεται*, καὶ τὰ ἐπὶ τούτοις, οἷς ἐπιλέγει· καὶ κόψονται πᾶσαι αἱ φυλαὶ τῆς γῆς. ὯΙ σύμφωνον τό· *Φωνὴ ἐθνῶν πολλῶν ἐπὶ τῶν ὀρέων. Φωνὴ βασιλέων καὶ ἐθνῶν συνηγμένων.*

A homines modo, sed potestates etiam, haudquaquam imperium ejus ferre voluerunt. Sed cum ea præciperet, quæ fieri postularet, missa ad eum *legatione* regem esse suum ipsi postea pernegarunt et abjurarunt. Dicantur forsan et *legati* non male, qui mortis ejus auctores, ejusdem regnum se cruce posse exscindere arbitrati, Pilato, ne regem eum esse Judæorum scriberet, sed quod regem se esse diceret, inclamabant. Sed suo ipsi scelere convicti dispensationem morari vel avertere nequiverunt[99]. Nullus autem, qui scelesta operatur, Christo rege unquam gaudere poterit. Quo fit ut de hoc hominum genere *turbabuntur* verbum usurpavit propheta; quo tempore nimirum cum gloria Dominum *venientem* viderint. Sequuntur vero: *Ecce enim dies Domini venit implacabilis.* Quam esse a superiore aliam, de qua *prope est dies Domini* scribebatur, aiunt. Illam enim de cuilibet imminente consummatione exsistere; hanc autem universam omnium, quæ proprie dies appellatur, intelligi. Neque enim tum nocte intercidetur aliqua: nec quæ in tenebris latent, fugere quemquam poterunt, quibus vita hæc significatur, in qua ista occultantur. Illam ergo *implacabilem* nuncupavit, cujus mederi doloribus nihil quidquam valeat. Provide autem et sapienter, ut, donec dies est, laboremus istis metum incuti arbitrantur. Venit namque nox, cum nemo poterit operari[1]: sed suis, tanquam vinculo, peccatis quisque manibus et pedibus constrictis in tenebras detrudetur. Tunc enim, ait, jubente Domino, ipsæ *cœli stellæ lumen non dabunt*: sed illorum statim temporum miseriam *Solis* excipient *tenebræ*, aliaque, quæ sequuntur, quibus omnes tribus e terra amputandas esse colligit. Quale fuit et illud antea: *Vox gentium multarum in montibus; vox regum et gentium congregatorum.*

ιβ-ις'. *Καὶ ἀπολῶ ὕβριν ἀνόμων, καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω. Καὶ ἔσονται οἱ καταλελειμμένοι ἔντιμοι μᾶλλον, ἢ τὸ χρυσίον τὸ ἄπυρον, καὶ ἄνθρωπος μᾶλλον ἔντιμος ἔσται ἢ ὁ λίθος ὁ ἐκ Σουφείρ*, κ. τ. λ.

210 Vers. 12-16. *Et perdam injuriam iniquorum, et contumeliam superborum deprimam. Et erunt, qui relicti sunt, pretiosiores auro obrizo, et homo pretiosior lapide ex Suphir*, etc.

Καὶ ταῦτα πάλιν, οἱ μὲν τοῖς περὶ τῆς καθόλου κρίσεως προσκεῖσθαί φασιν, οἱ δὲ περὶ Χαλδαίων ἰδικώτερον λέγεσθαι, ἀγαθότητος δὲ Θεοῦ τὸ, *ὕβριν ἀνόμων καὶ ὑπερηφάνων ἀπολεῖν τε καὶ ταπεινοῦν*, ὡς ἂν ἀποκαταστήσῃ καθαρὸν ἀπὸ πάσης κακίας τὸ ἑαυτοῦ δημιούργημα· ὡς καὶ τὴν σοφίαν τῶν σοφῶν ἀθετεῖ διελέγχων, οὐκ οὖσαν ἀληθῆ καθ' ἃ τοῖς πλανωμένοις δοκεῖ. Οὕτως ὑπὸ ἰατροῦ νόσος ἀπόλλυσθαι λέγεται, καὶ σκότος ὑπὸ ἡλίου. Διὸ καὶ Ἰακὼβ εὐλογῶν τοὺς υἱοὺς Συμεὼν καὶ Λευὶ, Ἐπικατάρατος, φησὶν, ὁ θυμὸς αὐτῶν· τὴν πονηρὰν γὰρ ἔξιν διὰ τῆς κατάρας ἐξαναλίσκει, ὡς ἂν τὸ καταλειπόμενον ἐν αὐτοῖς ἄξιον τῆς εὐλογίας τοῦ πατριάρχου γένηται. Οὕτω καὶ Νῶε φησιν· Ἐπικατάρατος Χαναάν· καίτοι Χὰμ ἦν ὁ λελυπηκὼς, ἀλλ' ὅμως οὐκ αὐτῷ καταρᾶται, ἀλλὰ τῷ γεννήματι αὐτοῦ,

Et hæc etiam ad universum judicium alii, alii autem ad Chaldæos tantum referunt. Sed in eo Dei apparet bonitas, quod *injuriam iniquorum, et superbiam perditurum se, atque repressurum dicit*, ut suum ipse opus omni scelere et labe vacuum efficiat: quo, veluti morbus ope medici, vel tenebræ solis adventu, fugari dicuntur; sic sapientiam sapientum (licet errantibus vera et recta videantur) pravam convincat, et evertat. Itaque et Jacob, cum filiis suis Simeoni et Levi fausta precaretur, eorum furori maledixit, ut postquam imprecatione malus esset deletus habitus, quod in ipsis erat reliquum patriarchæ dignum benedictione fieret[2]. Quomodo et illa Noe sumenda sunt, quibus Chanaam exsecratur[3]. Etsi enim patrem dolore Cham ipse affecerat, non filio tamen imprecatus est pa-

[99] Joan. XIX, 21. [1] Joan. IX, 4. [2] Gen. XLIX, 5-7. [3] Gen. VIII, 20-27.

VARIÆ LECTIONES.

[i] *γρ.* οἰκονομικῶς.

Digitized by Google

rens, sed proli ipsius, et operi, unde symbolice nomen **211** est adeptus Chanaan Significat enim tanquam æstum, sive commotionem, si verbi ratio requiratur. Perturbationem siquidem is absolvit habitus, qui in motu exsistit.

Est deinde *injuria*, quam se *perditurum* dicit, cujuslibet iniquitatis non obscura significatio. *Injuriam* enim *faciunt* qui iniqui sunt, et templo ipsi, et proximo, et Dei imagini a qua ad Conditorem a se auditum *injuria* : non aliter quam quæ progreditur a læsa regis imagine, ad regem ipsum. Estque imprimis certum et indubitatum, in quo quisque peccat, in hoc ipso sibi contumeliam afferre [k]. Et certe peccatum omne *contumeliæ* soboles est ; quæ sui primum auctorem adoritur et multat. Pari ratione et *iniquitatis* soror esse dicatur *superbia*. Ideo enim quisque peccat, quod oppositam sceleri virtutem superbe despicit. Qui *superbis* igitur resistit Dominus [g], quique peccatores ad terram usque *deprimit*, *injuriam se superborum depressurum* pollicetur, et ea quam cum diabolo *superbiæ* parente habent [e], abstersa similitudine, in ejus scholam, qui discere a se præcipit, quia mitis sit et humilis corde [f], deducturum. Sed universe ista de judicio, quod in extrema mundi periodo futurum est, aiunt intelligi : indeque fieri, ut cum in eis *terræ totius* meminerit, nihil de *Babylone* quidquam adjunxerit. Cæterum ubi contigerint quæ dicta sunt ; qui ex infinito numero, integritate animi conservata, cum iniquis societatem non iniverint, sed per infinita tentationum tormenta probati, exactum voluntatis suæ testimonium dederint ; omni re illi quantumvis *mortalibus* eximia, *pretiosiores* erunt ; hominis videlicet appellatione digni : quippe qui incorrupto et illæso rationis munere ; quod a natura possident, non cum aliis feritatem amplexi, *homines* esse se testati sint. Dicitur autem *aurum* id *obrizum*, quod purum putum natura exsistens, quia generis alterius nihil admistum habet, coctione non indiget. Est vero *Suphir*, Indiæ regio, in qua pretiosos lapides aiunt reperiri. Significat ergo vel proborum, vel eorum certe, qui capta Babylone superstites futuri **212** sunt, paucitatem. Quod si de ista sermo est, in quibus *iram cœli* subjicit, non animatum asserri, quod placuit quibusdam, sed quæ sunt in ipso virtutes designari putamus. Quo locutionis genere cum urbem egressam esse, eamdemque a principe suo petivisse aliquid dicimus, nihil aliud quam urbis cives intelligimus. Cum ipso enim Domino adversus impios, auctoris sui partes amplexa mundi fabrica movetur, non aliter quam propter eos, qui resipiscunt, lætari cœlum et gaudere dicitur [g]. Et alicubi rursum propter sceleratos

καὶ τῷ ἔργῳ, ὅπερ συμβολικῶς ὀνομάζεται Χαναάν. Ἑρμηνεύεται γάρ, ὡς σάλος. Ἐν κινήσει γὰρ ἡ ἕξις γινομένη τὸ πάθος ἐπιτελεῖ.

Ἡ δὲ *ὕβρις*, ἣν *ἀπολεῖν* φησι, πάσης ἐστὶν ἀνομίας ἐμφατική. Οἱ γὰρ ἄνομοι ὑβρίζουσι μὲν εἰς τὸν ναὸν, *ὑβρίζουσι* δὲ εἰς τὸν πλησίον, καὶ εἰς τὸ κατ' εἰκόνα. Καὶ διὰ τῆς εἰκόνος ἡ *ὕβρις* ἀναβαίνει ἐπὶ τὸν κτίσαντα, καθὰ καὶ εἰς βασιλέα, διὰ τῆς εἰκόνος ὑβριζομένης. Καὶ πρὸ πάντων, δι' ὧν τις ἁμαρτάνει, ἑαυτὸν καθυβρίζει· *ὕβρεως* ἄρα γέννημα πᾶσα ἁμαρτία· καὶ τοῦ ὑβριστοῦ πρώτου καθάπτεται· οὕτω δὲ καὶ *ὑπερηφανία* τῆς *ἀνομίας* ἐστὶν ἀδελφή. Ὃ γὰρ ἄν τις ἁμάρτῃ, τὴν ἐναντίαν ἀρετὴν ὑπερηφανεῖ τῷ πλημμελήματι. Ὁ οὖν ἀντιτασσόμενος *ὑπερηφάνοις* Κύριος, καὶ *ταπεινῶν* ἁμαρτωλοὺς ἕως γῆς, ἐπαγγέλλεται *τὴν ὕβριν τῶν ὑπερηφάνων ταπεινώσειν*, ῥυόμενος αὐτοὺς ἐκ τῆς πρὸς τὸν διάβολον ὁμοιότητος, ὃς πατήρ ἐστιν *ὑπερηφανίας*, ἐνάγων αὐτοὺς πρὸς τὸ μαθητεύεσθαι τῷ εἰπόντι· Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ. Ταῦτα δὲ, φασὶ, καθολικῶς περὶ τῆς ἐπὶ συντελείᾳ τοῦ κόσμου κρίσεως εἴρηται· διὸ ἐν αὐτοῖς, *τῆς οἰκουμένης ὅλης* μεμνημένος, οὐδεμίαν *Βαβυλῶνος* πεποίηται μνείαν, μετὰ δὲ τὸ ἐπενεχθῆναι τὰ εἰρημένα, οἱ ἐκ πολλῶν εὑρισκόμενοι ἄνθρωποι μηδὲν βλαβέντες τὴν ψυχὴν ἀπὸ τῆς πρὸς τοὺς ἀνόμους κοινωνίας, διὰ δὲ πειρασμῶν μυρίων βάσανον δεδωκότες ἀκριβῆ τῆς ἑαυτῶν προαιρέσεως, παντὸς *τιμίου* δοκοῦντος *ἐν ἀνθρώποις* ἔσονται *τιμιώτεροι*, τῆς ἀνδρὸς εὑρεθέντες ἄξιοι προσηγορίας, καὶ τὸ κατὰ φύσιν λογικὸν διασώζοντες, χρηματίζοντες *ἄνθρωποι*, τῷ μὴ τεθηριῶσθαι τοῖς ἄλλοις ὁμοίως. Ἄπυρος *δὲ χρυσὸς*, ὁ διὰ τὸ φύσει καθαρὸν καὶ ἀμιγὲς πρὸς ἄλλα, πυρώσεως οὐ δεόμενος. *Σουφεὶρ* δὲ χώρα τῆς Ἰνδικῆς, ἔνθα γίνεσθαι τὰς τιμιωτάτας λίθους φησί [k]. Δηλοῖ τοίνυν ἢ τῶν ἀρετὴν ἐχόντων τὸ σπάνιον, ἢ τῶν ὅλως ζώντων μετὰ τὴν ἅλωσιν Βαβυλῶνος· εἴγε περὶ ταύτης ὁ λόγος, ἐφ' οἷς *οὐρανοῦ θυμὸν* ὑποτίθεται, οὐχ ὡς ἐμψύχου, καθ' ἃ δή τινες οἴονται, ἀλλὰ τὰς ἐν αὐτῷ δυνάμεις δηλῶν, ὥσπερ φαμὲν, Ἡ πόλις ἐκβόβηκε, Πᾶσα ἡ πόλις ᾔτησέ τι παρὰ τοῦ ἄρχοντος, τοὺς ἐνοικοῦντας σημαίνοντες. Συγκινεῖται δὲ τῷ Δεσπότῃ κατὰ τῶν ἀσεβούντων ἡ κτίσις· ὡς καὶ χαρὰ γίνεται ἐν τοῖς μετανοοῦσιν ἐν οὐρανῷ. Καὶ ἀλλαχοῦ δὲ ἐπὶ τοῖς ἀνόμοις ὁ οὐρανὸς ἐξίσταταί τε καὶ φρίττει· καὶ ἐν Αἰγύπτῳ γὰρ ὕδωρ μὲν εἰς αἷμα μετέβαλεν· ἐξῆρψε [l] δὲ βατράχους ἡ γῆ· καθῆκε δὲ χάλαζαν οὐρανός· ὁ δὲ ἀὴρ σκότος ὑπῆρχε βαθύτατον. Οὕτω δὲ καὶ νῦν *οὐρανοῦ θυμὸν* νοητέον, ὡς ἅπερ ἐξ αὐτοῦ τοῖς κολαζομένοις ἐπάγεται φοβερὰ, ἄστρων ἐκλείψεις, σκηπτοί τε καὶ σκληραὶ βρονταὶ, καὶ

[g] Sap. xi, 17. [h] Prov. iii, 34, Jac. iv, 10 ; I Petr. v, 5. [e] Job xli, 25. [f] Matth. xi, 29. [g] Psal. ciii, 11.

VARIÆ LECTIONES.

[k] γρ. φασί. [l] γρ. ἐξέρευξε.

Digitized by Google

ἀέρος ἀχλὺς, ἃ δὴ γίνεται *διὰ θυμὸν ὀργῆς Κυρίου*, οὔτω λεγομένης τῆς κατὰ κόλασιν ἀναθυμιάσεως, καὶ τῆς ἐπὶ τοῖς ἡμαρτηκόσιν ἐξάψεως. *Γῆ* δὲ, φησὶν, *ἐν τῶν θεμελίων σεισθήσεται·* τοῦτ' ἔστιν, οὐκ ἐπιβολῆς [m] ἔχουσα τὸν βρασμόν. *Θεμέλια δὲ γῆς* ἄγνωστά φησιν ἐν Ἰὼβ ἀνθρώπου φύσει Κύριος. « Ποῦ ἦς ἐν τῷ θεμελιοῦν με τὴν γῆν; ἀπάγγειλον δή μοι εἰ ἐπίστασαι σύνεσιν, τίς ἔθετο τὰ μέτρα αὐτῆς, εἰ οἶδας; ἢ τίς ὁ ἐπαγαγὼν σπαρτίον ἐπ' αὐτήν; ἐπὶ τίνος οἱ κρίκοι αὐτῆς πεπήγασιν; τίς δέ ἐστιν ὁ βαλὼν λίθον γωνιαῖον ἐπ' αὐτῆς; » Οἱ δὲ τῆς ἔξω σοφίας φασὶ τεθεμελιῶσθαι τὴν γῆν ἐν τῷ κέντρῳ τῆς περιεχούσης οὐρανοῦ σφαῖρας αὐτήν. Ἰσόρροπος γάρ περ ἀφισταμένη [n] πανταχόθεν, ἐστὶν ἀκλόνητος· καὶ ταῦτα δὴ, φασὶ, τὰ ῥητὰ δηλοῖ τὴν συντέλειαν. Οἱ δὲ περὶ *Βαβυλωνίων* εἰρῆσθαι νομίζοντες λέγουσιν, ὡς οἱ προφῆται τὴν θείαν καὶ ἄφραστον δύναμιν δεχόμενοι κατὰ νοῦν, ὑπερβολικῶς αἴρουσιν ὑψοῦ τὰς φωνὰς, καὶ μεγέθη τοῖς διηγήμασιν ἐπινοοῦσιν ἐξαίρετα. Οἱ δὲ *φεύγειν*, φησὶ, τότε πειρώμενοι τὰ δεινὰ, δόξουσιν ἐοικέναι *δορκαδίῳ σμικρῷ*, ἀλλ' οὐ τελείοις, κοῦφόν τε καὶ ταχὺν ποιουμένοις τὸν δρόμον· εὐπτόητον δὲ τὸ ζῶον, κἂν ταῖς φυγαῖς οὐχ ἱστάμενον.

A moveri et inhorrere cœlum dicitur [9]. In Ægypto siquidem aquam in sanguinem mutatam esse; terram item ranas ebullisse; cœlum deinde grandinem demisisse, aerem denique in profundissimas tenebras esse conversum sine controversia est. Haud absimili et hic ratione, *cœli iram* par est ea intelligi quibus terrentur impii; cujusmodi ipsi sunt planetarum defectus, tonitrua, fulmina, aeris caligines: quæ certe fiunt propter *iram Dominici furoris* quo nomine vindictæ fervor et eorum, qui peccaverunt, incensio significatur. *Terra* autem *ab ipsis*, ait, *movebitur fundamentis*. Quo certe nihil aliud, quam ne superficie tenus æstum et concussionem passuram credamus, monuisse videtur. Sunt vero Domino teste in Jobi libro, ipsa B humanæ naturæ ignota *terræ fundamenta*. « Ubi enim eras, ait, quando ponebam fundamenta terræ? Indica mihi, si habes intelligentiam, quis posuit mensuras ejus, si nosti; vel quis tetendit super eam lineam? Super quo bases illius solidatæ sunt? aut quis demisit lapidem ejus angularem [10]? » At ipsam externæ disciplinæ sectatores in ambientis undique cœli puncto stabiliri fundarique non dubitant asserere. Æquo enim suspensam libramine, cum pari distet undique intervallo, immotam esse necesse est. Significant ergo verba ista nihil aliud, inquiunt, quam consummationem. Qui autem ad *Babylonios* referunt, prophetas putant, postquam divinam et ineffabilem virtutem mente exceperint, supra modum voces attollere, narrationesque suas eximio quodam et alto dicendi genere excogitato exornare. Qui autem **213** *fuga*, addit, calamitatem evadere conabuntur, *damulæ* ii, robore adhuc ad cursum velocitatemque destitutæ quæ adultis in promptu sunt similes exsistent. Est enim damarum genus pavidum maxime, neque quam inceperit, fugam sistere didicit.

Καὶ ὡς *πρόβατον ἔσονται πλανώμενον*. Οὐ γὰρ C ἔχει σύνεσιν οἰκείαν *τὸ πρόβατον*, ὡς ὁρμίσαι μὲν ἐπὶ τὰς τροφίμους νομὰς, αὐλισθῆναι δὲ ἐν τόποις ἀσφαλεστέροις, ἢ πόθεν ἑαυτοῖς ἐκζητῆσαι, ἐὰν μή τις ᾖ ποιμαίνων, καὶ ἐπ' αὐτὰ καθηγούμενος. Οὕτως οὖν τοῖς φεύγουσί φησιν, Οὐκ ἔσται τις ἀρχῶν ὁ καὶ συνάγειν δυνάμενος, καὶ *καταφυγὴν* αὐτοῖς παρασχεῖν. Οἱ μὲν γὰρ διασπείρονται [o] διωκόμενοι· οἱ δὲ *μένοντες, ἡττηθήσονται*· ἢ καὶ, κατὰ τοὺς λοιποὺς ἑρμηνευτὰς, *ἐκκεντηθήσονται*. Οἱ δὲ κἂν συστῶσι ἀλλήλων, *ὑποπεσοῦνται τῇ μαχαίρᾳ τῆς ὀργῆς τοῦ Θεοῦ*. Οὐ μόνον δὲ ταῦτα διαθήσουσιν τοὺς ἀσεβεῖς αἱ δυνάμεις αἱ τιμωρητικαὶ, ἤγουν *τοὺς Βαβυλωνίους οἱ Πέρσαι*· ἀλλὰ καὶ *γυναῖκας* καὶ *παῖδας*, ὡς ὁμοίως ὑπάρχοντας ἀσεβεῖς. Τὸ δὲ *εἰς τὴν χώραν αὐτοῦ διῶξαι* [p], ἀντὶ τοῦ ἐπειχθῆναι. Διδιότας γὰρ τοὺς πολεμίους, φησὶ, καὶ τὴν ἡδίστην αὐτοῖς *φεύξονται χώραν*. Συμφωνεῖ δὲ τῷ *τοὺς παῖδας ἅψουσιν* [q], ὁ Δαβὶδ πρὸς τὴν Βαβυλῶνα λέγων, « *Μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν.* » Εἰ δὲ δεῖ νοητῶς περὶ τῶν συμβεβηκότων Ἀσσυρίοις εἰπεῖν, εὕροις ἂν ἀκωλύτως τῇ περὶ τοῦ Χριστοῦ προφητείᾳ λεχθείσῃ τὰ περὶ τῆς νοητῆς Βαβυλῶνος, καὶ τοῦ ταύτης ἄρχοντος

Et erunt, addit, *tanquam ovis errans*. Nam et *pecudes* ipsæ haud ita suapte natura sagaces sunt et providæ, ut vel ad pascua per se exire, tutisque locis stabulari, aut adaquari, nisi pastore, tanquam duce, prævio valeant. Ad hunc igitur modum, inquit, aliquo, qui *fugientibus* præsit, et palantes congregare, effugiumque præbere valeat, destituentur. Dispergentur enim alii fugati et abacti: quibus autem manere satius visum fuerit, *vincentur* et ipsi; aut, ut aliis placet interpretibus, *transfigentur*. Denique ne ipsi quidem, quotquot coire, congregarique contigerit, evadent; sed *furoris divini gladio occumbent*. Neque vero ista solum in impios, ultrices scelerum potestates (id est, in *Babylonios* Persæ) committent; sed in eorum etiam D *uxores et liberos*, tanquam impietatis participes, desævient. Quod deinde *in regionem suam impulsum iri* dixit, idem significavit, ac si hostium metu vel jucundissimam sibi *regionem fugituros* esse demonstraret. Convenit porro quod *pueros allident*, cum Davide, qui Babylonem alloquens, beatum fore prædicat, « qui tenebit, et allidet parvulos ejus ad petram [11]. » Quod si arcano sensu de his, quæ Assyriis contigerunt, dicere opus est; nihil repu-

[9] Isa. XIII, 13. [10] Job XXXVIII, 4-6. [11] Psal. CXXXVI, 9.

VARIÆ LECTIONES.

[m] γρ. ἐπιπολῆς. [n] γρ. ἰσορρόπως γὰρ περιαφισταμένη. [o] γρ. διασπεροῦνται. [p] γρ. διώξεται. [q] γρ. ῥήξουσιν.

Digitized by Google

gnat, quæ de Christi prophetia dicta sunt, ad Babylonem intelligibilem, ejusque principem diabolum referri ; qui ad regis morem in historia designatum, adversus eos qui Deum colunt, assidue bella gerens, permultos valde captivos facit ; quibus idem, posteaquam patria, sanctaque terra expulit, insultat. Sed excitatum tandem est Salvatoris signum, divina scilicet illa crux ; hymnoque adversus eum triumphali magna cum lætitia decantato in ejus laudem, qui propter nos, nostroque nomine victoriam adeptus est, fidei professionem edentes *vocem elevavimus. Imperavit* **214** porro *bellicosæ genti* Dominus ut veniret : sanctis nimirum, qui pugna, non adversus carnem et sanguinem, sed adversus principatus et potestates commissa [12], victoria potiti, easque veluti urbem, id est idololatriam gravem olim et inexpugnabilem, Christo duce et protegentibus angelis, ita diripuerunt, ut pauci jam ex eorum numero, qui ab ipsis capti sunt, et ii quidem magno metu consternati, neque ullo modo resistere valentes, remaneant. Ad hujusmodi nos allegoriæ contemplationem cum vellet adducere propheta, posteaquam de Salvatore dixisset ; de Babyloniis esse sibi agendum existimavit.

A διαβόλου λεγόμενα, ὃς κατὰ τὸν ἱστορικὸν βασιλέα πολεμεῖ μὲν ἀεὶ τοῖς ἀνακειμένοις Θεῷ, πολλούς τε λίαν αἰχμαλώτους ἐργάζεται, καὶ τούτοις ἐπιχαίρει τῆς πατρίδος ἐληλαμένοις, καὶ γῆς τῆς ἁγίας. Ἀλλ' ἐγήγερται τὸ τοῦ Σωτῆρος σημεῖον ὁ θεῖος σταυρὸς, καὶ ἠλαλάξαμεν κατ' αὐτοῦ ᾠδὴν ἅδοντες ἐπινίκιον τῷ δι' ἡμᾶς ὑπὲρ ἡμῶν τε νενικηκότι, καὶ *τὴν φωνὴν ὑψώσαμεν*, τῆς πίστεως τὴν ὁμολογίαν ποιούμενοι. *Ἐντέταλται* δὲ καὶ ὁ Κύριος ἐρχεσθαι *ἔθνει ὁπλομάχῳ*, δηλονότι τῷ τῶν ἁγίων, οἷς ἡ μάχη οὐ πρὸς αἷμα καὶ σάρκα, πρὸς ἀρχὰς δὲ μᾶλλον καὶ ἐξουσίας, ἀντετάξαντό τε καὶ νενικήκασιν ἀντεπάγοντες αὐταῖς τὴν πολιορκίαν οἷά τινα πόλιν, τὴν εἰδωλολατρείαν πορθοῦντες τὴν πάλαι δεινὴν καὶ ἀνάλωτον Χριστοῦ στρατηγοῦντος, καὶ τῶν ὑπερασπιζόν-
B των ἀγγέλων, ὡς εὐαριθμήτους λείπεσθαι τῶν ὑπ' ἐκείνων ἁλόντων, καὶ τούτους περιδεεῖς καὶ ἀπειρηκότας παντελῶς τὴν ἀντίστασιν. Ἐπὶ τοιαύτην ἡμᾶς ὁ προφήτης ἀλληγορίαν κινῶν, μετὰ τὰ περὶ τοῦ Σωτῆρος, τὰ περὶ τῶν Βαβυλωνίων ἐπήνεγκεν.

Vers. 17-22. *Ecce suscito vobis Medos, qui argenti rationem non habent, neque auro indigent. Arcus juvenum conterent, et filiorum vestrorum non miserebuntur, neque liberis vestris parcent oculi eorum. Cito veniet, et non tardabit.*

ιζ-κβ'. *Ἰδοὺ ἐγείρω ἡμῖν τοὺς Μήδους, οἳ ἀργύριον οὐ λογίζονται, οὐδὲ χρυσίου χρείαν ἔχουσι. Τοξεύματα νεανίσκων συντρίψουσι, καὶ τὰ τέκνα ὑμῶν οὐ μὴ ἐλεήσωσιν, οὐδὲ ἐπὶ τοῖς τέκνοις σου φείσονται οἱ ὀφθαλμοί αὐτῶν. Ταχὺ ἔρχεται, καὶ οὐ χρονιεῖ.*

Qui superiora ad commune omnium judicium referri existimant, hinc peculiarem de Assyriis disputationem institui volunt. Nec vero Medi longo post **215** hanc prophetiam tempore, sicut ex historia notum est, in Assyriorum regnum irruperunt : sed hos Persarum primus idem sibi subjecit Cyrus, qui Judæis libertatem restituit, et est suo nomine deinceps a propheta nuncupatus [13].

Οἱ περὶ καθολικῆς κρίσεως εἰρῆσθαι τὰ προλαβόντα
C νομίσαντες, ἐντεῦθεν ἰδιάζειν τὰ περὶ τῶν Ἀσσυρίων φασίν. Οὐ πολλοῖς δὲ ὕστερον χρόνοις τῆς παρούσης προφητείας, ὡς ἡ ἱστορία παρέδωκεν, ἐπέθεντο Μῆδοι τῇ τῶν Ἀσσυρίων ἀρχῇ. Πρῶτος δὲ τούτους Κῦρος ὁ Περσῶν ὑπέταξε βασιλεὺς, ὁ καὶ τὴν αἰχμαλωσίαν τῶν Ἰουδαίων ἀνεὶς, οὗπερ ὀνόματι διὰ τῶν ἑξῆς ἐμνημόνευσεν.

Præterea vero et nunc verum esse illud ostenditur, quod *in perpetuum tempus non habitatum iri* dicitur. Quanquam non desint, qui solitudinis vastitatisque *tempus*, quo elapso rursus *habitanda* sit, definiri contendant. Intelligit autem eos *Arabum* nomine, quos nunc Saracenos vocamus ; qui olim mercaturæ causa in ipsa Babylone tentoria excitabant : quo sensu *non ibi tentorio positurum Arabem* dixisse Symmachum putamus : vel eos
D profecto, qui Persis vicini felicem illam Arabiam incolebant. Verumenimvero cum grege plurimum in solitudines ad pabula deducto, ibidem pastores sibi, suisque ovibus tentoria soleant excitare : ne ad id quidem *Babylonem* commodam, sed mansuetudine omni et ratione præditis animalibus vacuam, dæmonum *ferarumque* latibulum fore significat. Gaudent enim desertis incultisque locis ipsi dæmones. Est deinde advertendum, quosdam inter-

Εἰσέτι δὲ καὶ νῦν ἀληθὲς δείκνυται καὶ τὸ, *Οὐ κατοικηθήσεται εἰς τὸν αἰῶνα χρόνον*. Τινὲς δέ φασιν, ὡς ὁρίζει *χρόνῳ* τὴν ἐρημίαν, ὡς μετὰ ταῦτα πάλιν *οἰκηθησομένης*. Ἄραβας δέ φησιν, ἢ τοὺς νῦν καλουμένους Σαρακηνούς, οἳ πάλαι δι' ἐμπορίαν καὶ ἐπ' αὐτῆς ἐσκηνοποιοῦντο *τῆς Βαβυλῶνος*· διό φησι Σύμμαχος, *οὐδὲ σκηνοποιήσει ἐκεῖ Ἄραψι* τοὺς [r] ἐκ τῆς ὁμόρου Πέρσαις εὐδαίμονος Ἀραβίας. Ἀλλ' ἐπεὶ πολλὰ τῶν ἐρήμων ἐπινέμονται τόπων ποιμένες, μάνδρας τοῖς ἑαυτῶν θρέμμασιν ἑαυτοῖς ποριζόμενοι, οὐδ' εἰς τοῦτο χρησίμην ἔσεσθαι *τὴν Βαβυλῶνά* φησιν· ἡμέρων δὲ καὶ λογικῶν ζώων ἔρημος γενομένη, δαίμοσιν ἐνδιαίτημα καὶ θηρίοις γενήσεται. Φιλήδοῦσι γὰρ τοῖς ἐρήμοις τόποις οἱ δαίμονες. Διά τε τῶν *θηρίων* τὸ ἄγνωστον, τὴν Ἑβραϊκὴν θέντες λέξιν *σιεῖν*, οἱ λοιποὶ τῶν ἑρμηνευτῶν ἐκδεδώκασιν· ἀντὶ δὲ τοῦ *σειρῆνες*, τοῦ [s] *στρουθοκαμήλους*. Φιλέρημον γὰρ ὂν τὸ ζῶον, ταῖς ἀγρω-

[12] Ephes. VI, 12. [13] Isa. XLIV, XV.

VARIÆ LECTIONES.

[r] *γρ.* Ἄραψ, ἢ τούς. [s] *γρ.* τούς.

Digitized by Google

τάταις ἐναυλίζεται ψάμμις. Καὶ ἀντὶ τοῦ *ὀνοκέν-* A *taurois, siein* πάλιν ἐξέδωκαν. Ἀντὶ δὲ *τῶν ἐχίνων, σειρῆνας*. Τάχα που διὰ τὸ τῶν δαιμόνων ἀπατηλόν· ὁποίας ὁ μῦθος τὰς *Σειρῆνας* παρέδωκεν. Τινὲς δὲ *Σειρῆνας* ἐξηγήσαντο, τὰ εὐστομεῖν εἰδότα πτηνά· ἢ κατά γε, φασὶ, τὴν Ἑβραίων ἔκδοσιν, *τὴν γλαῦκα*· τοὺς δέ γε τῶν ὄνων ἀγρίους, φασὶν, *ὀνοκενταύρους* ὠνόμασεν· *ἐχίνους* δὲ τοὺς ἀκάνθαις ὀξείαις οἱονεὶ φρίττοντας μύας· ἅπαντα τὴν ἐρημίαν δηλοῖ. Διὸ καὶ *ἤχου* φησὶ *τὰς οἰκίας πλησθήσεσθαι*, τὴν τῶν ἀοικήτων σημαίνων ἠχώ. Λέγει δὲ τοὺς *Μήδους*, διὰ τὸ πλουτεῖν, *χρημάτων ὑπερορᾷν*, ὡς ἄπορον εἶναι Βαβυλωνίοις παρὰ τούτων ἐξωνεῖσθαι τὴν ἄλωσιν. Τὸ δὲ *Μήδων* ὄνομα μεταλαμβανόμενον, σημαίνει ἀπὸ ἱκανοῦ. Οὐκοῦν ὁ ἱκανὸς ἐν πᾶσιν ἐπάγειν ἑκάστῳ τὰ πρὸς ἀξίαν, οὕτος *τοὺς Μήδους* κινεῖ. Ἢ B τάχα ἐπειδὴ ὁ Μαδαῖ κτίστης ἐστὶ *τῆς Μηδίας*, ὃς ἑρμηνεύεται *ἐκμέτρησις*, λέγοιντο οἱ Μῆδοι ἐπάγεσθαι εἰ; τὸ κολάζειν ἐν μέτρῳ τοὺς κακῶς βεβιωκότας. Ὃ γὰρ μέτρῳ μετρεῖ ἕκαστος ἀγαθὰ ἢ κακὰ, τὰ τῆς ἀμοιβῆς ἢ κολάσεως; ἀπολήψεται. Ὃ ἀκόλουθον καὶ *τέκνα* Βαβυλωνίων νοεῖν, τοὺς καρποὺς, καὶ τὰ γεννήματα τῆς ἐκείνων ψυχῆς· οἷα καὶ τὰ τοῦ μακαριζομένου παρὰ τῷ Ψαλμῳδῷ, ἐν ᾧ ἡ μὲν γυνὴ, ἡ σοφία ἐστὶν, ἣν ἐκζητήσας νύμφην ἠγάγετο, τοῦ κάλλους αὐτῆς ὁ δίκαιος γενόμενος ἐραστής. Υἱοὶ δὲ νοῦ [t] καὶ σοφίας ἅμα συνελθόντων γεννήματα τοιαῦτα παρίστησιν ἐν ἑκατοστῷ τριακοστῷ ἕκτῳ ψαλμῷ λέγων, Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος· ἧς τὸν τὰ *τέκνα* πρὸς τὴν πέτραν ἐδαφίζοντα μεμακάρικεν, C προβλέπων ὁμοῦ μηδεμίαν *ἀπὸ Μήδων ἐτομένην φειδώ*. Οὐ μακαρίζει δὲ τὸν ὀπισθοῦν ἀνελόντα Βαβυλώνιον *τέκνον*, τὰ νήπια δὲ καὶ ἀρτιγενῆ ἐλθεῖν μὴ συγχωροῦντα πρὸς αὔξησιν, ὡς ἂν μὴ γένωνται χείρω, καὶ ἀναιροῦντα ἰδίᾳ σοφίᾳ τοῦ συγκεχυμένου τὰ γεννήματα, ὃς ὀνομάζεται Βαβυλώνιος, ταῦτα πρὸς τὴν πέτραν ἀράσσοντα· πέτρα δὲ κἀν τούτῳ Χριστός. Τοῦτο δ' ἂν γένοιτο τῶν φαύλων συγκρουομένων δογμάτων τῷ λόγῳ τῆς ἀληθείας. Ταχὺ δὲ ἥξειν ταῦτά φησι. Καὶ τὸ παρ' ἡμῖν γὰρ μακρότατον, βραχὺ λίαν ἐστὶ παρὰ Θεῷ. Χίλιά γ' οὖν ἔτη ἐνώπιον αὐτοῦ, ὡς ἡ ἡμέρα ἡ χθὲς, εἴρηται, καὶ ὡς φυλακὴ ἐν νυκτί [u]· Καὶ οὐκ εἰς μακρὰν δὲ φασι, τῆς προφητείας ἐγένετο. Ὁμοῦ δὲ τοῖς μὲν Βαβυλωνίοις πικροτέραν ἐμβάλλει φροντίδα· τοῖς δὲ Ἰσραηλίταις, διὰ D τὴν αἰχμαλωσίαν παράκλησιν. Τῆς δὲ *Βαβυλῶνος* ὥσπερ ἐπώνυμον ἦν τὸ, *ἔνδοξος*. Καὶ ἔλεγον; *ἡ ἔνδοξος Βαβυλών*. Ἐναργῶς δὲ λίαν δείκνυσιν, ἐξ οἵας εἰς οἵαν ἥξει κατάστασιν. Αἴτιος δὲ ὁ βασιλεὺς Χαλδαίων βασίλειον αὐτὴν ἰσχυρόν τε καὶ λαμπρὸν ποιησάμενος· ἀπεικάζει δὲ *Σοδόμοις* καὶ *Γομόρρᾳ* τὴν ἑρμηνείαν [v] αὐτῆς. Ἑρμηνεύεται δὲ *Σόδομα*, τύφλωσις, καὶ στείρωσις, καὶ ἐστῶσα σιωπὴ, καὶ ὁμοίωμα, καὶ ἔγκλησις καὶ θεμέλιος αὐτῶν. *Γόμορρα* δὲ, μέτρον καὶ στάσις. Οἷς ἡ *Βαβυλὼν* ὁμοίως κα- pretes, propter ferarum ignorationem, vocem Hebraicam *siin* retinuisse; pro *Sirenibus* autem *struthiocamelos* reddidisse. Gaudet enim genus hoc animalis locorum solitudine, et in arenis quam maxime infertilibus stabulatur; rursum pro *onocentaurorum* nomine, Hebraicum *siin* usurparunt, et pro *echinis*, Sirenas; ita forsan dæmonum naturam fraudibus aptam significantes; qualia de *Sirenibus* fabulæ tradiderunt. Sunt vero qui *Sirenas* volucrum genus esse quoddam interpretantur, quod modulari et canere didicerit, vel *noctuam*, ut Hebræis placet: *onocentauros* autem asinos agrestes; *echinos* vero mures spinis acutis horridos, quæ omnia vastitatem et solitudinem significant. Itaque, *et sonitu*, addit, *implebuntur domus;* ut vagorum et sede carentium ejulatus exprimeret. Quod autem *Medos*, gentem divitiis abundantem, *pecunias aspernari* **216** dicit; id ideo facit, ut ab illis expugnationem servitutemque pecunia redimendi, si quam animo conceperint, spem moveat amputari. Significat vero *Medorum* nomen, per transsumptionem, quasi dicas ab idoneo, sive potenti, ut ab eo, qui quemque, prout dignus, accipere queat, *Medos* exciri intelligamus. Nisi forte a *Mediæ* conditore Madai (quod nomen *mensuram* significat) derivari, et ad pœnas digne de sceleratis et cum mensura exigendas, induci malis: cum unumquemque qua mensura bona vel mala metitur, eadem prorsus vel præmium, vel vindictam exspectare conveniat [16]. Quo sensu Babyloniorum *filios*, fructus a patribus editos, et illorum animæ fetus intelligi non est incongruum. Hujusmodi etiam istius illa sunt, qui a Psalmorum auctore beatus prædicatur, ubi uxoris partes tuetur sapientia, quam uxorem justus decore illius irretitus ambivit et duxit [15]. Mentis vero et sapientiæ simul coeuntium filios, tanquam fetus ejusmodi, psalmo CXXXVI proponi, videas ubi filiam Babylonis miseram, et qui ejus liberos ad petram collidat, ideo beatum prædicat, quod ipsis nihil quidquam *parcituros Medos* prævideret [16]. Nec tamen beatum prædicari, qui Babylonium *puerum* quemlibet interfecerit putandum est: sed qui recens in luce editos crescere prohibuerit, dederitque operam ne deteriores fiant; quique suæ sapientiæ auxilio confusæ mentis (quæ Babylonis nomine designatur) elisos fetus ad petram, qui Christus est, enecarit: quæ tum demum accidisse videbimus, cum ad veritatis verbum falsa dogmata offendere et diffringi contigerit; quæ cito esse eventura affirmare non dubitat. Quod enim longissimum temporis esse spatium putamus, Deo modicum et breve valde est; apud quem mille anni tanquam dies sunt hesterna, et tanquam custodia in nocte [17]. Aiunt præterea non longe ista a prophetiæ tempore contigisse. Est porro adverten-

[14] Matth. VII, 2. [15] Psal. XLIV, 10-14. [16] Psal. CXXXVI, 8, 9. [17] Psal. LXXXIX, 4.

VARIÆ LECTIONES.

[t] γρ. υἱοῖς. [u] γρ. ἡ. [v] γρ. ἐρημίαν.

Digitized by Google

dum, eadem simul opera Babyloniis acerbiorem curam ; Israelitis autem, propter servitutis jugum, consolationem afferri. Cæterum, *Babylonis* fere tam invaluerat *inclytæ* cognomen, et eo titulo passim vocitabatur. At non obscure profecto **217** unde prodierit, et quo etiam abitura sit, demonstravit. Fuerat vero tantæ celebritatis auctor Chaldæorum rex, qui illam regiam præclaram et munitam esse voluerat : cujus tamen solitudinem, ei, quæ *Sodomis* et *Gomorrhæ* contigit, comparare non veretur. Significat autem *Sodomorum* appellatio, si ejus rationem postules, cæcitatem, sterilitatem; silentii constantiam, similitudinem, accusationem, fundamentum denique eorum. *Gomorrhæ* vero, mensuram et seditionem; quibus non dissimilem interitum Babyloniis denuntiat. Quos enim a *Deo everti* videas, beneficiis cumulari putandum est ; non aliter, quam cum a medico depelli cæcitatem contigerit. Est vero videndi principium cæcitatis ipsa depulsio. Sterilitatem deinde *evertit*, cum fecunditatem largitus justitiæ opera edere, et tanquam procreare facit. *Evertit* item silentii constantiam, ut cordi sermonem ad laudes Deo decantandas immittat. *Evertit* præterea mensuram et seditionem, quo peccati mensuram, et ejus comites turbas auferat ; ut qui tumultuantur, vitamque paci contrariam sectantur, meliores fiant, et honestatem pro scelere reponant. Cæterum quicunque fatum amplectitur, et astrorum motum vim rebus afferre necessitatis arbitratur, totis ille viribus auditores a pietate arcere, et *inclytæ Babylonis* facta amplecti putandus est. Mentis enim cogitationes ista perturbant, providentiamque, et ipsam arbitrii libertatem sic tollunt ; ut merito *Babylonici* nominis rationem resipere astrologiam agnoscas. Hanc ergo *evertit* Dominus ; et eamdem, quia ipse recessit ab ea, sive urbem intelligas, sive animam, occupant dæmones : nec in ea amplius, quæ eversa est, bonus pastor *stabulatur;* sed *sonitu repletur*, nihil quidquam disertum edens, nihil quod articulatæ vocis speciem referat, sed sonos inconditos, perturbationum tantummodo judices. Quale illud est, quod edunt vocis inflexione malæ potestates, sive ipsa modulatione, sive alio quodam modo voluptatis illecebras, et patriæ oblivionem inducant. Est vero *echo*, vox illa, quæ a solido corpore repercussa ad auctorem **218** suum revertitur ; quod est in solitudine fieri usitatum, et facile. In locis autem habitatis non ita ; cum multa hinc inde obstrepent, rerum præterea necessariarum, vel corporum agitatio aerem perturbet ; unde illam disrumpi dissiparique contingit ; quibus cum plane nox careat, die magis esse sonoram non mirum est. Talis est qui aurium pruritu a veritate avocatus, dum fabularum inanitatem sequitur [18], ab efficaci rigidoque verbo abhorret, nec increpari se et reprehendi patitur ; sed adulatione totus et mollitie diffluit. *Saltare* autem in nobis, quæ nostros nobiscum moderantur affectus, *dæmonia* tum dicuntur, cum alia, tanquam *saltatoris* assumpta persona, ex hoc in illud, tanquam in membrorum motu, transeunt. Lasciviunt enim ipsa in nobis, et tanquam

A ταστραφήσεται. Θεὸς γὰρ εὐεργετῶν [x] τοὺς *καταστρεφομένους*, ὡς ἰατρὸς *καταστρέφει* τυφλότητα. *Καταστροφὴ* δὲ τυφλότητος, ὁράσεως ἀρχή. Καὶ *καταστρέφει* στείρωσιν, τὴν ἀγωνίαν ἐλαύνων, γεννήματα δικαιοσύνης ἔργων δωρούμενος, καὶ σιωπὴν ἐστῶσαν, ἵνα λόγον ἐμβάλῃ καρδίας πρὸς τὸ δοξάζειν τὸν Θεόν. Καὶ μέτρον καὶ στάσιν, ἵνα τῆς κακίας τὸ μέτρον τῆς ἐν αὐτῇ καὶ τὴν ταραχὴν καθέλῃ, ὡς ἂν οἱ στασιάζοντες, καὶ ἐν τῇ καταστάσει τῇ ἐναντίᾳ τῆς εἰρήνης ὄντες βελτιωθῶσιν ἀντιμετροῦντες ἀρετὴν τῇ κακίᾳ. Πᾶς δὲ πρεσβεύων εἱμαρμένην, καὶ τὴν τῶν ἄστρων κίνησιν ἀναγκαστικὴν εἶναι πάντων ὑποτιθέμενος, ὅσον ἐπ' αὐτὸν τῆς εὐσεβείας ἀφιστῶν τοὺς ἀκούοντας, *ἔνδοξα* καλεῖ *τῶν Βαβυλωνίων* τὰ πράγματα. Συγχυτικὰ γὰρ ταῦτα διανοίας, ἀναιροῦντα τὴν Πρόνοιαν, καὶ τὸ ἐφ' ἡμῖν, ἄξιά τε τὸ [y] εἶναι *Βαβυλῶνος* ὁμώνυμα. Χαλδαίων γὰρ ἀστρολογία γέγονε εὕρημα. Ταύτην *καταστρέφει* Κύριος, καὶ ἐνοικίζονται δαίμονες ἀποστάντος αὐτῆς τοῦ Θεοῦ, εἴτε πόλιν αὐτὴν, εἴτε ψυχὴν ἐθέλοις εἰπεῖν, ἐν ᾗ κατεστραμμένῃ ποιμὴν ἀγαθὸς οὐκ ἐναυλίζει τὴν ποίμνην, ἥτις *καὶ ἦχου πληροῦται* μηδὲν ἐν αὐτῇ τρανὸν ἢ διηρθρωμένον ἔχουσα ῥῆμα, παθῶν δὲ θόρυβον ἄσημον, ἣν κατεπάδουσι πονηραὶ δυνάμεις ἐγκλίσει φωνῆς ὑποθέλγουσαι, ἢ διὰ φωνῆς, ἢ δι' ἄλλου τρόπου τινὸς ἡδονὴν ἐμποιοῦσαι πρὸς θήραμα καὶ λήθην τῆς ἰδίας πατρίδος ἀπεργαζόμεναι. Ἠχὼ δέ ἐστιν ἀνακλωμένη φωνὴ ἀπὸ σωμάτων ἀντιτύπων, ἐπανιοῦσά τε πάλιν ἐπὶ τὸν ταύτην προέμενον, ὅπερ ἐν ἐρημίᾳ μέν ἐστιν B ἀκώλυτον. Ἐν οἰκουμένοις δὲ τόποις ὑπὸ τῶν ἄλλοθεν ἄλλων ἀντηχούσων φωνῶν, τῶν τε παραφερομένων σκευῶν ἢ σωμάτων διακοπέντος τοῦ ἀέρος, εἴωθε παραθραύεσθαι· ὧν ἡ νὺξ ἀπηλλαγμένη μᾶλλον ἠχώδης ἐστίν. Τοιοῦτος καὶ ὁ κνηθόμενος τὴν ἀκοὴν, ἀπὸ μὲν τῆς ἀληθείας ἀποστρέφει· ἐπὶ δὲ τοὺς μύθους τραπείς, εὐτόνου μὲν μὴ ἀνεχόμενος λόγου, μηδὲ τῆς ἐπ' ἐλέγχοις ἐπιτιμήσεως, χαίρων δὲ μόνῳ τῷ κολακεύοντι. Ὀρχεῖσθαι δὲ λέγεται τὰ ἐνεργοῦντα ἐν ἡμῖν τὰ πάθη *δαιμόνια*, ἄλλοτε ἄλλου πάθους ὥσπερ *ὀρχηστοῦ* ὑποδυόμενα πρόσωπον, καὶ ἐξ ἑτέρου πρὸς ἕτερον, ὡς ἐν κινήσει μελῶν μεταβαίνοντα· κατασκιρτᾷ γὰρ ἐν ἡμῖν ἐγχορεύοντα. Τὸ δὲ *τῶν ὀρχηστηρίων* ὄνομα σύνθετον, ἐμφαίνει τινὰ καὶ ἀλλόκοτον δαίμονα, νῦν μὲν ἡμᾶς πρὸς ἀνθρώπινα C ποιοῦντος ὁρᾷν· νῦν δὲ πρὸς τὰ κτηνώδη παρασύροντος πάθη. Τούτους δὲ, φασὶ, *τριχιῶντας* Ἀχύλας ὠνόμασε, δηλῶν κάθυλον καὶ ἐσκοτισμένον *δαίμονα*. Ὁ δὲ *ἐχῖνος*, δαιμόνιον ἕτερον δύσληπτον καὶ πανοῦργον.

[18] II Tim. iv, 3, 4.

VARIÆ LECTIONES.

[x] γρ. εὐεργετεῖ. [y] γρ. τοῦ.

Digitized by Google

choreas ducunt. Est vero ideo *onocentaurorum* nomen haud simplex additum, ut dæmonis monstrosum quoddam genus significetur, cujus impulsu mox ad humanarum rerum contemplationem oculos convertamus; mox item ad brutorum rapiamur affectus. Itaque et istos, aiunt, *hirsutos* nominavit Aquilas, ut obscenum *dæmonem* et caliginosum indicaret. Significat deinde *echinus* et dæmonium aliud astutum, et captu difficile.

ΚΕΦΑΛ. ΙΔ'.

α'ζ'. *Καὶ ἐλεήσει Κύριος τὸν Ἰακὼβ, καὶ ἐκλέξεται ἔτι τὸν Ἰσραήλ. Καὶ ἀναπαύσονται ἐπὶ τῆς γῆς αὐτῶν, καὶ ὁ γειώρας προστεθήσεται πρὸς αὐτούς, καὶ προστεθήσεται πρὸς τὸν οἶκον Ἰακώβ, καὶ λήψονται αὐτοὺς ἔθνη, καὶ εἰσάξουσιν εἰς τὸν τόπον αὐτῶν, καὶ κατακληρονομήσουσι, καὶ πληθυνθήσονται ἐπὶ τῆς γῆς τοῦ Θεοῦ εἰς δούλους καὶ δούλας*, κ. τ. λ.

Εἰπὼν δὲ πείσεται Βαβυλὼν δυσχερῆ, τὰ περὶ τῶν Ἰουδαίων ἐπιφέρει, χρηστὰ τὴν ἐπὶ Κύρου λέγων ἀνάκλησιν. Ἀντὶ δὲ τοῦ *ὁ γειώρας*, ἐξέδωκαν οἱ λοιποὶ *ὁ προσήλυτος*: Οὐχ ἁπλῶς δὲ *προσήλυτος*, φασί τινες, ἀλλ' ὅτι [z] γεωργίᾳ προσκείμενος. Κυρίως μὲν οὖν ὁ γειώρας δηλοῖ τὸν ἰθαγενῆ, καὶ αὐτόχθονα. Συνανιόντες δὲ Βαβυλωνίων αὐτόχθονες ἤμελλον εἶναι παρ' Ἰουδαίαν *προσήλυτοι*. Φέρει τοίνυν εἰς ταυτὸν ἑκατέρα διάνοια. Εὐπραξίας γὰρ ἐπὶ τοσοῦτον ἥξειν Ἰουδαίους φησὶν, ὡς τοὺς πρὶν αὐτοὺς ἑλόντας συναναβῆναι εἰς τὴν Ἰουδαίαν αὐτοῖς. Τοῦτο μὲν συγγένειαν πρὸς αὐτοὺς ἐσχηκότας, τοῦτο δὲ τῆς αὐτῶν θεοσεβείας ὡς ἐν χρονίῳ μετειληφότας διατριβῇ, καὶ τοὺς πρὶν εἰδωλολάτρας *δούλους καὶ δούλας* γενέσθαι Θεοῦ. Ἔθνη δέ φησι τοὺς Ἰουδαίους προπέμποντα πρὸς τὴν ἰδίαν εἰσοίσουσι γῆν. Ὁ δὴ Κύρου προστάξαντος γέγονεν, ἡνίκα τῶν ἀναβάντων Ἰησοῦς καὶ Ζωροβαβὲλ ἡγήσαντο. Καὶ Ξέρξου τοῦ μετ' αὐτὸν, ἡνίκα τὸν Ἔσδραν μετὰ πολλῶν πέμπων ἐπιστολῶν, παραπέμπειν, αὐτὸν δεξιῶς καὶ τοὺς σὺν αὐτῷ, τοῖς ἐν μέσῳ προσέταξεν ἔθνεσιν. Καὶ Νεεμίου μετὰ ταῦτα πρὸς τὴν Ἰουδαίαν χωροῦντος πρὸς τὸ γράψαι τοῖς πέραν τοῦ ποταμοῦ καὶ φύλακας αὐτῷ συναπέστειλεν ἀνδρας δυνάμεως ὁ τῶν Περσῶν βασιλεύς· ταυτὶ γὰρ Ἔσδρας ἱστόρησεν. Προλέγει δὲ καὶ τοὺς τὸν Ἰσραὴλ Βαβυλωνίους *αἰχμαλωτίσαντας, δοριαλώτους* ὑπὸ Κύρου δηλονότι γενήσεσθαι. Ἢ καὶ τάχα, διὰ τὸ τοὺς συναναβάντας αὐτοῖς ὑπὸ ζυγὸν γενέσθαι τοῦ νόμου καθάπερ *αἰχμαλώτους*, ἑαλωκότας τὴν καλὴν καὶ σωτήριον ἅλωσιν. Κατ' ἐκεῖνο δὲ τοῦ καιροῦ ἀνεθήτει *τοῦ θυμοῦ σου*, φησίν.

ΚΕΦΑΛ. ΙΕ'.

ΤΟ ΡΗΜΑ ΤΟ ΚΑΤΑ ΤΗΣ ΜΩΑΒΙΤΙΔΟΣ.

α'-θ'. *Νυκτὸς ἀπολεῖται ἡ Μωαβῖτις. Νυκτὸς γὰρ ἀπολεῖται τὸ τεῖχος τῆς Μωαβίτιδος. Λυπεῖσθε ἐφ' ἑαυτοῖς. Ἀπολεῖται γὰρ καὶ Γεβὼν, οὗ ὁ βωμὸς ὑμῶν, ἐκεῖ ἀναβήσεσθε κλαίειν ἐπὶ Ναβὰν τῆς Μωαβίτιδος*, κ. τ. λ.

. . . . . τοῦ οὐκ ἔρχεται πρὸς τὸ

[19] I Esdr. -x; II Esdr. i, ii.

CAP. XIV.

219-220 VERS. 1-7. *Et miserebitur Dominus Jacob, et eliget adhuc Israel, et requiescent in terra sua, et advenia illis adjungetur, et adjungetur domui Jacob, et capient eos gentes, et inducent in locum suum, et possidebunt, et implebuntur in terra Dei in servos et servas*, etc.

221 Expositis quas perpessura esset Babylon asperitatibus, jam quæ Judæos læta et prospera sub Cyro maneant, reditum nimirum adjungit. Verum quem hic *advenam*, Græce γειώραν dicit, *proselytum* cæteri interpretantur. At non *proselytum* nonnulli simpliciter, sed qui agrorum cultui incumbat. Est igitur proprie γειώρας, idem quod vernaculus et indigena. Futurum autem erat, ut qui de Babyloniis indigenæ Judæos sequerentur, apud illos *proselytorum* nomen haberent, quo fit, ut in idem cadat utriusque sensus. Eo enim felicitatis res Judæorum perventuras dicit, ut a quibus antea capti essent, iidem sint secum in Judæam, partim contracta cum eis affinitate, partim longa religionis communione persuasi, commigraturi: neque recusent, abjectis idolis quæ antea colebant, *Dei servi et ancillæ* fieri. Significat vero non sine gentium comitatu in patriam reversuros esse Judæos; quod Cyro primum jubente factum legimus, cum Jesum et Zorobabelem reversionis duces habuerunt: deinde imperante Cyri successore Xerxe, cum Esdram multis ad præfectos litteris instructum, multoque gentium præsidio septum, Artaxerxe denique, cum Nehemiam, cui rex, facta redeundi in Judæam potestate, præterquam quod in Mesopotamiam litteras dedit, etiam ad itineris securitatem copias militares adjunxit. Ita enim litteris Esdras consignavit [19]. Prædicit vero Babylonios, qui Israelem *ceperant*, tum quidem etiam sed a Cyro *capiendos*. Vel forsan etiam, quia secuti redeuntes legis jugum subire non recusarent, pulchra illa et salutari ratione *capiendos esse* significat. At eo tempore inquit, remittes *furorem tuum*. . .

CAP. XV.

VERBUM CONTRA MOABITIDEM.

222-223 VERS. 1-9. *Nocte peribit Moabitis, nocte enim peribit murus Moabitidis. Contristemini in vobis. Peribit enim et Gebon ubi ara vestra, illuc ascendetis ad plorandum super Naban Moabitidis*, etc.

. . . . . non venit ad lucem quibus in

VARIÆ LECTIONES.

[z] γρ. ὁ τῇ.

Digitized by Google

nocte versantibus, et *murus* ipse, *noctis* videlicet propugnacula sophistica concidunt. Istis enim, tanquam firmissimis, gloriabantur, quibus jam eversis et dirutis, non sine dedecore lamentantur, qui etiam absurda de Deo sentientes, *aram Deebon* oracula reddentem exstruunt, quam pœnitentes jam ascendere jubentur, non ut prius, cum, Creatore despecto, creaturæ serviebant, **224** inque altaribus alienis laudis sacrificia sua offerebant; pro quibus lugere nunc, eoque, qui secundum Deum est, et salutem affert non pœnitendam, dolore affici jubentur. Tales eos etiam dixerim, qui spem fluxis in rebus habuerunt. Jubet ergo eos *lugere*, quorum boni mores malis commerciis depravati sunt : cum usurpato *calvitii* nomine (quo talis abjiciendus innuitur ornatus) doctrinas eas exuere docet oportere Sunt enim *capitis* instar doctores. Ad litteram autem ignominiam significat, cujus est symbolum *calvitium; ut planctus et luctus ipsa brachiorum dissectio :* vel quia idolorum cultoribus vultum et brachia sibi dissecare esset usitatum. Innuunt autem ista probitate vitæ minuendas et deprimendas esse malorum doctorum de rebus agendis præceptiones, velutique dissectione probandas : qui sæpe probitatis specie in absurda dogmata deducunt, et nisi deprehendantur, vita similes efficiunt, perque *vias latas* ad voluptatis illecebras ducunt. Jubet itaque probatum vitæ genus amplexos et pœnitentes *dissecari*, viamque vitæ angustam et tritam quærere, et *sacco* indutos, *lumbos* sibi, quibus tam sæpe peccarunt, præcingere *et lugere. Lumborum* enim vocabulo spermaticas sæpe intelligi partes inde constiterit, quod Levi adhuc in Abrahæ lumbis exstitisse dicat Scriptura [20]; et alibi lumbos habere præcinctos [21], id est appetitus qui generationi subserviunt cohibere admoneat. Describit autem urbis expugnationem, in qua aliis per *plateas* et angiportus magno ejulatu discurrentibus, ipsæ etiam mulieres cum infantibus hostiles copias intuitæ miserabiliter lamentantur. *Tectorum* deinde nomine, sublimes et inanes disciplinas; sicut per *Moabitidis vicos*, cogitationum ipsarum et rationum velut distributiones. Quisquis ergo sive adversus Dei cognitionem sublimis, sive dialecticis rationibus de quavis re proposita ad disputandum idoneus attollitur, jam pœnitentiam amplexus lugeat. Fuerant enim *Moabitarum* non divinis, sed humanis innixæ rationibus præceptiones. **225** Qui autem quod in littera habetur, *Moabitidis lumbos clamare animumque ejus cognoscere* intelligemus? An ideo dictum putabimus, quod insignes, et quæ vitari nequeunt, calamitates magni semper præcurrunt animorum cruciatus?

A φῶς. Ὧν ὄντων ἐν νυκτὶ, καὶ τὸ τεῖχος πίπτειν *νυκτὸς* τὰ ὀχυρώματα τὰ σοφιστικά. Τούτοις γὰρ, ὡς ἀσφαλέσιν, ἠλαζονεύοντο. Ὧν δὴ πιπτόντων ἐν ἐλέγχοις ὀδύρονται· οἱ καὶ τοὺς περὶ Θεοῦ λόγους ἀστάτους ἔχοντες *βωμὸν* οἰκοδομοῦσι πεσούμενον *Δεηβὼν* χρηματίζοντα, εἰς ὃν ἀνιέναι παρακελεύονται μετανοοῦντες, οὐ θύσοντες, ὡς ὅτ' ἂν ἐλάτρευον τῇ κτίσει παρὰ τὸν Κτίσαντα, τὴν θυσίαν τῆς ἑαυτῶν αἰνέσεως ἐπ' ἀλλοτρίων θυσιαστηρίων προσάγοντες, ἀνθ' ὧν *κλαιέτωσαν* τῆς κατὰ Θεὸν λύπης σωτηρίαν αὐτοῖς ἀμεταμέλητον προξενούσης. Τοιοῦτοι καὶ οἱ τὰς ἐλπίδας ἐπὶ ῥευστοῖς ἔχοντες πράγμασιν. *Κλαίειν* οὖν κελεύει τοὺς, ὧν τὰ ἤθη τὰ χρηστὰ διέφθειραν ὁμιλίαι κακαί. Ὧν καὶ τῆς διδασκαλίας ἀπογυμνοῦσθαι δεῖν διδάσκει, διὰ *τοῦ φαλακρώματος* μηκέτι τὸν B κόσμον περικειμένους τὸν ἐξ αὐτῶν. Ἀντὶ *κεφαλῆς* γάρ εἰσιν οἱ καθηγηταὶ, κατὰ δὲ τὸ ῥητὸν, ἀτιμίαν δηλοῖ. Σύμβολον γὰρ ἀτιμίας *φαλάκρωμα*, ὥσπερ οὖν *κατατομὴ βραχιόνων*[a], *τοῦ κόπτεσθαι καὶ θρηνεῖν*. Ἢ ὅτι τοῖς εἰδωλολάτραις ἔθος ἐντομίδας ποιεῖν ἐν παρειαῖς καὶ βραχίοσιν. Αἰνίττεται δὲ τὸ, δι' ἀγαθῆς πολιτείας ἐξευτελίζειν τῶν πονηρῶν διδασκάλων τὰς ὑποθήκας τὰς πρακτικὰς εἰς ἔλεγχον ἀγομένας διὰ δὲ [b] τῆς διαιρέσεως· οἱ καὶ πολλάκις τὸν βίον εἶναι δοκοῦντες ὀρθὸν, πρὸς ἄτοπα καθέλκουσι δόγματα, καὶ ἤδη [c] φωραθέντες ἴσους τὸν βίον ἐργάζονται, ἄγοντες διὰ *τῆς πλατείας ὁδοῦ* τῆς τῶν πρὸς ἡδονὴν φερόντων ψυχαγωγίας. Ἔνθα κελεύει *κόπτεσθαι* τὸν βεβασανισμένον βίον προαιρουμένους ἐπὶ ταῖς ἡδοναῖς μετεγνωκότας, ὁδὸν ζητοῦντας C τὴν στενὴν τε καὶ τεθλιμμένην, *σάκκον τε* περικειμένους *πενθεῖν*, ἐφ' οἷς διὰ *τῆς ὀσφύος* ἐξήμαρτον, ἥτις ἀντὶ τῶν γεννητικῶν πολλάκις παραλαμβάνεται· ἔτι γὰρ ἦν ἐν τῇ ὀσφύϊ τοῦ πατρὸς Ἀβραὰμ ὁ Λευΐ· καὶ, Ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι διὰ τὸ δεῖν συστέλλαι τὰς ὁρέξεις τὰς ὑπουργοὺς τῆς γεννήσεως. Διαγράφει δὲ πόλιν ὑπὸ πολέμου κατειλημμένην, ὅτε περ οἱ μὲν *ἐν πλατείαις* καὶ στενωποῖς οἰμώζοντες διαθέουσιν, τὸ δὲ θῆλυ γένος, καὶ νήπια ἐνορῶντα ταῖς φάλαγξι [d] τῶν πολεμίων ὀδύρεται. Τὰ δὲ ὑψηλὰ καὶ διάκενα τῶν μαθημάτων ἐκάλεσε *δώματα*. Τὰς δὲ οἱονεὶ διαιρέσεις τῶν νοημάτων *ῥύμας τῆς Μωαβίτιδος*· εἶτ' οὖν τις ἐφ' ὑψωμάτων ἐγένετο ἐπαιρομένων κατὰ τῆς γνώσεως τοῦ Θεοῦ· εἶτ' ἐν D διαλεκτικῇ τινι λόγων διαιρέσει δοκούντων εὐκρινῶς περὶ ἑκάστου διαλαμβάνειν τῶν προβλημάτων· ὁ τοιοῦτος ὀλολυζέτω διὰ τῆς μετανοίας. Οὐ θεῖοι γὰρ, ἀλλ' ἀνθρώπινοι λογισμοὶ *τῶν Μωαβιτῶν τὰ διδάγματα*. Πῶς δὲ κατὰ τὴν λέξιν, *ἡ ὀσφὺς βοᾷ τῆς Μωαβίτιδος, καὶ ἡ ψυχὴ αὐτῆς γνώσεται;* ἢ ὅτι προεισβάλλουσιν ἀεὶ τῶν ἀνηκέστων κακῶν ἀθυμίαι δειναί;

[20] Hebr. VII, 10. [21] Luc. XII, 35.

VARIÆ LECTIONES.

[a] γρ κατατομή. [b] ἄγρ. τὸ, δέ. [c] γρ. μή. [d] γρ. τὰς φάλαγγας.

Digitized by Google

Δηλοῖ τοίνυν ἡ τῆς ὀσφύος βοή, ὡς ἐν ὠδῖσιν ἡ Μωαβῖτις ἐστι κεκρυμμένους ἔχουσα πόνους, φυσικῶς τε συναισθανομένη, καὶ ταῖς φήμαις σαλεύουσα. Βοᾷ γὰρ μέχρι [e] Σηγὼρ, ἣν ὁρίζειν τὴν Μωαβῖτιν φασὶ, τοῦτ' ἔστιν ἡ πᾶσα χώρα μέχρι περάτων αὐτῆς, ἐξ ὧν ἡ Παλαιστίνη τὴν Ἀραβίαν ἐκδέχεται. Ἄλλως δὲ, τὸ ἐπικείμενον πένθος τῇ Μωαβίτιδι αἴτιον βίου γενόμενον σώφρονος, Βοᾷ ἐπὶ τῇ κραυγῇ τῆς Ἐσεβὼν καὶ Ἐλεάλη, καὶ Ἰασσά· τοῦ λόγου τὴν ἐπὶ μετανοίᾳ προκοπὴν ὑπεμφαίνοντος. Ὅτε θρηνοῦμεν ἑαυτούς τε καὶ τοὺς συνημαρτηκότας ἡμῖν, διὰ τῆς βοῆς κἀκεῖνοις γεγονότες ὑπόδειγμα μέχρι πόρρω, διὰ τῆς βοῆς τῆς μετανοίας τὸν τρόπον δημοσιεύοντες. Κωμῶν δὲ καὶ πόλεων τὰ κατειλεγμένα τῆς Μωαβίτιδός ἐστιν ὀνόματα μέχρι τοῦ παρόντος γνωριζόμενα, αἳ πᾶσαι τὴν ἐκ τῶν Ἀσσυρίων ὑπέμειναν ἅλωσιν. Καὶ Ἀριὴλ γὰρ μέχρι νῦν μεγίστη καθέστηκεν Ἀρεοπόλεως κώμη, καθὰ καὶ αἱ λοιπαί. Καὶ διάκενον τὸ περὶ τούτων ἀλληγορεῖν, τοσοῦτον γνῶναι δέον, ὡς τῆς εἰδωλολατρείας αὐτῶν τὴν δι' ἐρημίας ἀπώλειαν προφωνεῖ διὰ τοῦ βωμοῦ τοῦ Δαίμων [f] καὶ τοῦ ἄρχοντος· παρ' οἷς νῦν ἡ τοῦ Θεοῦ γνῶσις ἐκκλησίαι τε πανταχοῦ καθεστήκασιν. Ἐπάγει δὲ τίνος ἕνεκα τὰ προειρημένα συμβαίνει τὴν Μωαβῖτιν παθεῖν, λέγων· Δάμαλις ἐστι τριετής. Ὁ γὰρ τρίτος ἐνιαυτὸς τοῖς ἀλόγοις τῶν ζώων ἀρκεῖ πρὸς ἀκμὴν, εἴς τε τὸ σφριγῶσαν αὐτοῖς ἐνεργάσασθαι δύναμιν. Ἡ Μωαβῖτις τοίνυν ἰσχυρά τις οὖσά καὶ ἀπειρόζυγος ἐπεπήδα τοῖς πέλας, κατασκιρτῶσα πως τῶν ἀσθενεστέρων ἤγουν τελεία τίς ἐστιν ἡ τριετίζουσα δάμαλις, τοῦ τε γεννᾶν ἔχει δύναμιν, καὶ τοῦ τὸν τράχηλον ὑπέχειν ζυγῷ, δι' ἧς δείκνυσι τῶν δυναμένων ἐπιστρέφειν τὸ ἴδιον, ὡς τελειοῦσθαι μὲν κατὰ τὴν τῆς ψυχῆς ἡλικίαν, ἔχειν δὲ τὸν λόγον δυνάμενον ὑποβαίνειν τῷ ζυγῷ τῆς ἀληθείας. Ὧν τις ἐστερημένος οὐκ ἀπαιτεῖται τῆς μετανοίας τὰ ἔργα.

A Significat ergo *lumborum* clamor iste, occulte jam laborare *Moabitidem*, quæ naturali quodam impetu id præsentiat, et rumore jam perterrita agitetur. *Clamat* enim ad Segor usque, quo *Moabitidis* volunt produci limites : id est, tota ipsa suis terminis comprehensa regio, quibus Arabiam excipit Palæstina. Alias autem fuit iste Moabitidis luctus vitæ eidem temperantioris occasio. *Ad Esebon* porro *clamorem clamant et Eleale et Jassa :* quibus verbis pœnitentiæ progressus et utilitas ostenditur. Cum enim nostram ipsi sortem, et eorum qui nobiscum peccaverunt, lugemus, eo etiam illis in posterum clamore ad pœnitentiam, tanquam edito publice exemplo, auctores sumus. Sunt vero quæ hoc loco *Moabitidis* urbes et pagi nominantur, huc usque celebres, *Assyriorum* direptionem omnes experturæ et toleraturæ. *Ariel* enim vicus ingens, superest adhuc, ut reliquæ, et Arcopolis dicitur. In his etiam quoniam allegorias sectari vanum et otiosum est, hoc tantum videtur tenendum, cultum idolorum vastitate et solitudine apud eos propter *aram Deebon*, et principem, tollendum significari. Quibus locis nunc verum Dei cultum vigere, et ubique ecclesias exstructas esse constat. Nec vero quare *Moabitidem* ista pati contingat, ignorari voluit, qui *vitulam esse triennem* addidit : cum brutis ad ætatis florem et perfectionem, ad lasciviam denique et conceptum triennium satis sit. *Moabitis* igitur, cum potens esset neque jugum adhuc experta, vicinis insultabat, et in infirmiores se quodammodo petulantiorem præbebat. Alias certe perfecta quædam est, quæ *trium sit annorum vitulæ*, habetque generandi, jugumque collo subeundi facultatem : in qua illorum partes describuntur, qui possunt resipiscere ; nimirum, ut perfectam quidem **226** animæ ætatem, rationem autem, quæ veritatis jugum subire valeat, habeant. Quibus qui destituuntur non est quod ab eis pœnitentiæ opera exspectes.

B

C

Διὸ καὶ τῷ Ἀβραὰμ ἔφησεν ὁ Θεός· « Λάβε μοι δάμαλιν τριετίζουσαν, καὶ κριὸν τριετίζοντα. » Τρυγόνα δὲ καὶ περιστερὰν οὐ περιέγραψε χρόνῳ, διὰ τὸ εὐθὺς τὰ ζῶα ταῦτα τῆς γεννήσεως ἄρχεσθαι, ἐπὶ δὲ τῆς ἀναβάσεως, φησὶ, τῆς λουδ [g] κλαίοντες ἀναβήσονται. Ἀρχὴ γὰρ εὐφροσύνης ἐστὶ τὸ κλαίειν καλῶς, τὴν διὰ προκοπῆς τε ἀνάβασιν ἡ κατὰ Θεὸν λύπη ποιεῖ. Ἐφ' ᾗ καὶ Παῦλος εὐφραίνετό τοὺς ἑαυτοῦ λόγους ὁρῶν εἰς συναίσθησιν ἄγοντας. Κλαίων γάρ τις ἐπὶ τοῖς ἰδίοις κακοῖς, μὴ ἔχων ἔτι κατάβασιν, οὐκ εἰσελεύσεται εἰς τὰ κατώτατα τῆς γῆς. Πρὸς δὲ τὸ ἀναβαίνειν αὐτὸν ἡ τοιαύτη λύπη χειραγωγεῖ. Ὑψηλὴν δὲ εἶναί φασι καὶ λεωφόρον τινὰ τὴν Ἀρωνειμ, ἀνακομίζειν τε εἰς αὐτὴν τοὺς ἐξ ἑτέρων φεύγοντας πόλεων. Διό φησι, κλαίοντες ἀναβήσονται. Φωνὴ δὲ τοῖς κλαίουσι, σύντριμ-

D Hinc et Abrahamum his verbis alloquitur Dominus : « Sume tibi vitulam et arietem triennes [22]. » Columbæ autem et turturis ætatem ideo tempore non definiunt, quod cito id genus animalium generandi facultatem sortiatur. *In ascensu autem luith*, inquit, *lugentes ascendent.* Est enim lætitiæ principium *luctus* idoneus, *ascensumque* cum fructu dolor ille efficit, qui secundum Deum est. Isto et Paulus lætabatur, cum verba sua eos qui sibi essent conscii, commovisse animadverteret [23]. Cum enim peccata sua quis *luget*, gressum ille sistens, in profundissima terræ loca descendere non pergit ; et ad *ascensum* fere tali *dolore*, tanquam manu deducitur. Altam autem esse, et viam quamdam publicam *aronim* dicunt, in quam se qui ex aliis urbibus fugiebant, recipere solebant ; unde *lugentes ascensuros* dixit. Vox autem lugen-

[22] Gen. xv, 9. [23] II Cor. vii, 4 seqq.

VARIÆ LECTIONES.

[e] γρ. μέχρι. [f] γρ. Δειβών. [g] γρ. λουείθ.

Digitized by Google

tibus *contritio* fuerit et *concussio*, cum eas calamitates, quas bello urbem et cives ipsos concutiente, sensuri sunt, clamore ante significabunt. *Conteri* vero et fastum ipsa ratio, cum sensus pravitatem invadit; suisque cogitationibus, tanquam salum excitat; dum quæ non bene decreta sunt avellere, quæ meliora autem inducere conatur. Atque inde est, quod cor contritum non destruere Deum legimus [24]. Pravis enim affectionibus contritis, *lugebunt et ascendent* : quorum neutrum, quandiu stare illas contigerit, esse poterit. Sequitur deinde *aquam nebrid desertam fore* : ad quod urbem hanc in extrema regione sitam esse, et Erythræo mari vicinam, aquis deinde et pascuis ita abundare, ut equorum alendæ multitudini (unde bellicosissimi habitatores fiant), apta sit : quæ tamen invadente hoste, *aquis ita deserta futura sit et viridi herba* destituta, ut equos viribus destitutos fame tandem perire contingat. Quod cum fiet, inquit, annon erit quod ita de se magnifice sentiat? Significat vero etiam depravatæ **227** opinionis *aquam*, quæ prius abunde fluebat, esse desituram : cui ea opponitur, quæ refectionis dicitur [25]; qua gregem suum nutrire Dominus consuevit; et quam credentibus largitur, ut in se fontem aquæ in vitam æternam salientis habeant [26] : cum mala *aqua* mox periturum *fenum* tantum, id est animas ad fluxam et caducam hujus mundi gloriam institutas, tanquam sublato irrigatore verbo jamjam marcescentes, brevique morituras enutriat.

Quod autem quærit, *num ita servari queat* ; Moabitidem oerta quadam via, et asperiore vitæ instituto ad salutem posse deduci significat. Quod deinde *perituram nocte*, et ejus generis alia, prius affirmavit; ad ejus ista salutem agitari demonstrat. Præterea quod *Arabas inducturum* se in *vallem* dicit; eos forsan, qui hoc nomine vicini sunt, intelligit; vel iis etiam longe interiores Saracenos : quibus se quoque Moabitas ideo forte traditurum interminatur, quod essent ipsi Assyrios secuti. In Persidem enim usque a Damasco extensi cum Babyloniis militarunt. Est porro consentaneum *vallem Nebrid* appellare, ut loci concavitatem indicet, cum aliarum situs sit excelsior. Ac priores quidem gemitu salvandos esse, reliquos autem propter animi pertinaciam, plaga ab *Arabibus* accepta, perituros significat. Sunt autem *Arabes*, si nominis rationem sequaris, idem quod vespertini : aut ipsæ tenebris assuetæ potestates, per quas correctrices plagæ pertinacibus mittuntur. Quod autem *Moabitidis terminos attigisse clamorem* dicit, totam replevisse regionem significat. Deinde, quia idem *Moabiticæ* gentis initium et *terminus* esse potest; nunc a principio nomen accepit. Et *ululatus* ejus omnia implevit *usque ad puteum Elim*. Nominatim vero designat *Agallim et puteum Elim*;

μα καὶ σεισμὸς, προαναφωνοῦσι τὰ ἐκ τοῦ πολέμου συμβησόμενα πάθη πᾶσαν σείοντος πόλιν καὶ τοὺς ἐνοικοῦντας συντρίβοντος. Καὶ λόγος δὲ καθαπτόμενος τὸ φρόνημα *συντρίβει* τὸ πονηρὸν, καὶ σάλον ὥσπερ τοῖς αὐτοῦ λογισμοῖς ἐνεργάζεται πρὸς τὸ τοὺς μὲν ἐκριζωθῆναι, τοὺς δὲ ὑγιεῖς ἀντεισάγεσθαι λόγους. Διὸ καρδίαν συντετριμμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Συντριβείσης γὰρ τῆς μοχθηρᾶς διαθέσεως, *κλαύσονταί τε καὶ ἀναβήσονται*. Ὧν οὐδέτερον ἔσται συνεστηκυίας καὶ μήπω σεσαλευμένης. *Τὸ ὕδωρ τῆς Νεβρὶδ ἔρημον ἔσται*. Πόλιν δὲ ταύτην, φασὶ, κειμένην μὲν ἐν ἐσχατιᾷ τῆς χώρας, Ἐρυθρᾷ δὲ γειτνιῶσαν θαλάττῃ εὔυδρόν τε καὶ εὔβοτον, ὡς ἀρκεῖν ἵππῳ πολλῇ, εἶναί τε τοὺς οἰκοῦντας μαχιμωτάτους· ἀλλ' ἐπιόντων τῶν πυλεμίων *ἔρημος ὑδάτων ἔσται, καὶ χλωροῦ χόρτου*, ὡς τοὺς ἱππότας ἀσθενεῖν ἀνῃρημένης τῆς ἵππου διὰ λιμόν. Οὗ γεγονότος, φησὶ, μὴ ἄρα φρονήσει μέγα καὶ οὕτως ἐφ' ἑαυτῇ; δηλοῖ δὲ καὶ, ὡς τὸ τῆς ψευδοδοξίας *ὕδωρ πρότερον ῥέον ἀφθόνως*, ἀφανισθήσεται. Ὅπερ ἀντίκειται τῷ τῆς ἀναπαύσεως ὕδατι, ἐφ' οὗ Κύριος ἐκτρέφει τοὺς ὑπ' αὐτοῦ ποιμαινομένους. Ὃ καὶ δίδωσι τοῖς πιστεύουσιν εἰς αὐτὸν, ὡς ἂν σχοῖεν ἐν ἑαυτοῖς πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. Τὸ δὲ φαῦλον *ὕδωρ χόρτον* μόνον ἐκτρέφει. Καὶ αὐτὸς οὐκ ἔσται. Τοῦτ' ἔστιν, αἱ ψυχαὶ αἱ τὴν πρόσκαιρον ταύτην καὶ ταχὺ μαραινομένην τοῦ κόσμου δόξαν πεπαιδευμέναι ταχὺ ἀπανθήσουσι, τοῦ οἷον ἄρδοντος αὐτὰς ἐρημωθέντος λόγου.

Τὸ δὲ, *μὴ καὶ οὕτως μέλλει σωθῆναι*, δείκνυσιν ὡς ἡ Μωαβῖτις μέλλουσα σώζεσθαι ὁδοῖς τισι καὶ τοῖς ἐπιπονωτέροις παιδεύμασιν ἐναχθήσεται. Καὶ τὸ, *ἀπολεῖται γὰρ νυκτὸς*, καὶ τὰ τοιαῦτα, δείκνυσιν ὡς ταῦτα γίνεται πρὸς σωτηρίαν αὐτῇ. *Ἐπάξω* γὰρ, φησὶ, *ἐπὶ τὴν φάραγγα Ἀραβας*, τάχα που σημαίνων τοὺς πλησιοχώρους Ἄραβας, ἢ καὶ τοὺς τούτων ἐνδοτάτω Σαρακηνούς. Οἷς καὶ αὐτοῖς παραδώσειν φησὶ τὴν Μωάβ. Ἢ καὶ ὡς τοῖς Ἀσσυρίοις ἀκολουθήσασι. Μέχρι γὰρ τῆς Περσίδος μετὰ Δαμασκὸν παρατείνοντες τοῖς Βαβυλωνίοις συνεστράτευοντο. *Φάραγγα* δὲ, κατὰ τὸ εἰκὸς, ὀνομάζει *τὴν Νεβρὶδ*, διὰ τὸ κοῖλον τῆς θέσεως, τῶν ἄλλων ἐν ὕψει κειμένων. Δηλοῖ δὲ ὡς οἱ μὲν πρότεροι διὰ τοῦ κλαυθμοῦ σωθήσονται. Οἱ δὲ τὴν ἀμετανόητον ἔχοντες καρδίαν, διὰ τῆς ἐξ *Ἀράβων* ἐπαγομένης πληγῆς [ὀλέσονται], Ἄραβες δὲ οἱ ἐσπέριοι. Ἢ τάχα αἱ οἰκεῖαι τῷ σκότῳ δυνάμεις, δι' ὧν ἀποστέλλονται παιδευτικαὶ πληγαὶ τοῖς τὴν ἀμετανόητον καρδίαν ἔχουσιν. Τὸ δὲ, *συνῆψεν ἡ βοὴ τὸ ὅριον τῆς Μωαβίτιδος*, τὸ πληρῶσαι πᾶσαν δηλοῖ· καὶ ἐπεὶ τὸ αὐτὸ δύναται καὶ πέρας εἶναι χώρας καὶ ἀρχὴ τὸ *ὅριον τῆς Μωαβίτιδος*, νῦν ἀπὸ τῆς ἀρχῆς τὴν προσηγορίαν εἴληφεν. Καὶ *ὁλολυγμὸς* αὐτῆς πάντα πεπλήρωκεν ἕως τοῦ *φρέατος Ἐλείμ*. Ὀνομάζει δὲ τήν τε *Ἀγαλλείμ*, καὶ τὸ *φρέαρ τοῦ Ἐλείμ*, ὡς ἐξω

[24] Psal. L, 19. [25] Psal. XXII, 2. [26] Joan. IV, 14; VII, 38.

Digitized by Google

πόλεις οὖσας, ἐπ' αὐτοῖς κειμένας τέρμασιν. *Εὐθρο-* A
τάτην δὲ λόγος εἶναι *τὴν Ῥεμμῶν*, ἀλλ' ὅμως καὶ
τούτης *τὸ ὕδωρ* τῷ τῶν σφαττομένων αἵματι μολυν-
θήσεται. Τὸ δὲ *ὕδωρ τὸ Δεηβῶν*. Πάλιν *τὸ ὕδωρ* δι-
δασκαλίαν φησὶν, ὅπερ *αἵματος πλῆρες* εἶναι λέγει,
διὰ τὸ ἐνόχους θανάτου γίνεσθαι τοῖς διδασκομένοις
τοὺς κακῶς καθηγουμένους· τοιοῦτοι γὰρ οἱ ἀπολ-
λύντες τὰς ψυχὰς ὀλέθριοι λόγοι. Καὶ *ἀρῶ*, φησὶ, *τὸ*
σπέρμα Μωάβ. Τὸ μὴ μεταστὰν ἐπὶ τὰ κρείττονα,
ἀλλὰ μεῖναν ἐν τοῖς μὴ εἰσερχομένοις εἰς Ἐκκλησίαν
Κυρίου, σπέρμα τοῦ Μωάβ. Οὐκ εἰσελεύσονται γὰρ
Μωαβῖται εἰς Ἐκκλησίαν Κυρίου ἕως δεκάτης γε-
νεᾶς, καὶ ἕως εἰς τὸν αἰῶνα· ἐξαίρειν [h] ἀπειλεῖ. Ὃ
καὶ *σπέρμα τοῦ Ἀριὴλ* ὀνομάζει, ὅπερ ἑρμηνεύε-
ται λέγων [i]. Τοὺς γὰρ [j] φρονικοὺς καὶ ὁ Κύριος ἐκ
τοῦ διαβόλου γεγεννῆσθαί φησιν, ὁρῶν τῶν Ἰουδαίων B
τὴν κατ' αὐτοῦ φονῶσαν προαίρεσιν λέγων· « Ὑμεῖς
ἐκ τοῦ Πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστὲ, καὶ τὰ ἔργα
τοῦ Πατρὸς ὑμῶν ποιεῖτε. » Ἐκεῖνος ἀνθρωποκτόνος
ἦν ἀπ' ἀρχῆς. *Σπέρμα* οὖν *Μωὰβ* οἱ ἀποστάται τῆς
Ἐκκλησίας. *Σπέρμα* δὲ *Ἀριὴλ*, οἱ κατὰ τῶν ἀδελ-
φῶν φονῶντες ἀλεθρίαν λόγοις ταῖς αὐτῶν ψυχαῖς
ἐμποιοῦντες τὸν θάνατον. Εἶτά φησιν, καὶ *τὸ κατά-*
λοιπον Ἀδαμ. Τοῦτο δὲ σημαίνει τὴν γῆν τὴν
παρθενικὴν, ἀφ' ἧς Ἀδὰμ ἐπλάσθη.

ΚΕΦΑΛ. ΙϚ'.

α'-ε'. *Ἀποστελῶ ὡς ἑρπετὰ ἐπὶ τὴν γῆν. Μὴ*
πέτρα ἔρημος ἔσται, τὸ ὄρος Σιών; ἔσῃ γὰρ ὡς
πετεινοῦ ἀνιπταμένου νεοσσὸς ἀῳῤῥημένος, θύ- C
γατερ Μωάβ, κ. τ. λ.

Ἀποστελῶ ὡς ἑρπετὰ ἐπὶ τὴν γῆν. Τοῦτ' ἔστι,
τὸ κατάλοιπον τῶν ἀνθρώπων τῶν τὰ γήϊνα φρο-
νούντων, δι' οὗ [k] γεγενῆσθαι ἐκ τῆς ἑαυτῶν κακίας
ἑρπετὰ καὶ *ἰοβόλα*· *ἑρπετὰ* μὲν, τῷ τὸ ὕψος ἀποβα-
λεῖν, ἐφ' οὗ κατὰ τὴν πρώτην κατασκευὴν βεβηκότες
ἐτύγχανον. Ἰοβόλα δὲ, διὰ τὸ φθαρτικὸν τῶν συν-
όντων τούτους *ἐξαποστέλλειν* ὁ λόγος φησί. Μετὰ
οὖν τοὺς προτέρους Μωαβίτας, περὶ ὧν τὰ κρείττονα
εἴρηται, εἴ τις ἐν τῇ γῇ καταλείπεται, καὶ ὁμοιοῦται
τῷ ὄφει, περὶ οὗ εἴρηται, ὅτι « Γῆν φαγῇ πάσας τὰς
ἡμέρας σου· » οὗτος *ἐξαποστέλλεται, ὡς τὰ ἑρπετά*.
Ἐσθίει δὲ γῆν ὁ ἀπείρων εἰς τὴν σάρκα, καὶ ἐκ τῆς
σαρκὸς θερίζων φθοράν. Δηλοῖ δὲ τὸ, *ὡς ἑρπετὰ* τὸ D
ὑπολελειμμένον *ἀποσταλῆναι*, ὅτι πικροὶ ὄντες ἀεὶ
βαδιοῦνται εἰς αἰχμαλωσίαν, καθάπερ *ὄφεις* ἐπῳδαῖς
γεγοητευμένοι. Ἀναγάγοις δ' ἂν καὶ οὕτως ἄνωθεν
τὸ ῥητόν. Ψυχὴ τῷ θείῳ φόβῳ τετειχισμένη, ἰσχυρὰ
καὶ δυσάλωτος. Νικᾷ δὲ μᾶλλον ἀρχάς τε καὶ ἐξ-
ουσίας. Εἰ δὲ τοῦ Θεοῦ τὰς ἐντολὰς ἀποσείσαιτο,
ἀπογυμνοῖ πάσης αὐτὴν ἐπικουρίας, καὶ τεῖχος ὥσπερ
περιελὼν εὐάλιστον αὐτὴν τοῖς πάθεσιν ἀπεργάζεται.
Οὕτω παραδίδονταί τινες εἰς ἀδόκιμον νοῦν. Ἐὰν

tanquam externæ civitates sint, et in finibus ipsis collocatæ. *Remmon* autem, quam *aquis* abundare dicit, occisorum sanguine inquinatam iri significat. Sequitur deinde *aqua Deebon*; in quo rursus *aquæ* nomine doctrinam intelligit, eamque **228** *sanguine plenam esse* dicit, ut mortis causam doctores malos suis præceptionibus afferre demonstret. Tales enim ipsi sunt in animorum perniciem excogitati sermones. Et *tollam*, ait, *semen Moab*. Illud nimirum, quod ad meliora minime transire, sed cum iis, qui Domini Ecclesiam ingressi non sunt, remanere maluerit. Neque enim *Moabitæ* in Ecclesiam Domini in progeniem usque decimam, et in sæculum usque intraturi sunt [37]. Gentem igitur sublaturum se interminatur, et *semen ariel* (quasi Dei *leonem* dicas) appellat. Sanguinarios autem diabolo parente natos esse vel ipse testatus est Dominus [38], cum paratum ad cædem in se Judæorum animum intuitus, eos ex patre diabolo esse, et patris sui opera facere dixit, qui ab initio homicida exstitit. *Semen* ergo *Moab* ipsi sunt, qui Ecclesiam deserunt. *Semen* autem *Ariel*, qui fratrum sanguinem sitientes, perversis sermonibus animas eorum morti tradere non verentur. Sequitur deinde *et reliquum Adama*: quod virginem illam, ex qua effictus est Adamus, terram significat.

CAP. XVI.

VERS. 1-5. *Mittam tanquam serpentes in terram. Num petra deserta erit mons Sion? Eris enim sicut avis avolantis pullus ablatus, filia Moab*, etc.

229 *Mittam tanquam serpentes in terram*; id est, quod de hominibus superest, qui terrenis rebus addicti sunt; quando sua ipsi nequitia *serpentum* naturam et virus assumpserunt. *Serpentum* quidem, quia celsitudinem illam, quam a prima creatione fuerant adepti, abjecerunt. Virus autem, quia eos, quibuscum versantur, inficere et perdere soliti sunt: quo nomine eos se *missurum* etiam affirmat prophetia. Post primos igitur Moabitas, de quibus quæ fausta magis essent, prædicta sunt, si quis in terra reliquus sit *serpenti* illi similis, cui terra vesci toto vitæ tempore imperatum legimus [39]; *mittetur et ille tanquam serpentes*. Terram autem comedit; qui, facta in carne semente, ex eadem corruptionem percipit [40]. Ideo vero se *tanquam serpentes*, quod superfuerit, *missurum* dicit; quod acerbitate et sævitia exosi in captivitatem semper, tanquam *serpentes* incantationibus agendi sint. Poteris autem verba ista ad sensum arcanum ita trahere. Anima quæ divino timore, tanquam muro, cingitur, ita valida est et potens, ut non modo non expugnari, sed principatus et potestates superare

[37] Deut. xxiii, 2. [38] Joan. viii, 44. [39] Gen. iii, 14. [40] Galat. vi, 8.

VARIÆ LECTIONES.

[h] *Al. Ισ. οὖν τούτων γένος.* [i] *Ισ. γρ. λέων Θεοῦ.* [j] *γρ. φονικούς.* [k] *γρ. διὰ τό.*

Digitized by Google

quat. Quod si Dei præcepta semel a se rejecerit, omni prorsus auxilio destituitur, et tanquam sublato muro, perturbationibus cunctis opportuna, interituique proxima efficitur. Quo modo in reprobum sensum abeunt nonnulli. « Si enim, inquit, adversus hominem claudat, quis aperiat [31] ? » *Num petra deserta est mons Sion?* Moverat enim adversus Samariam olim Salmanasar Assyrius, et aliquot in eadem expugnatis urbibus, multa Judææam clade affecerat; unde ipsi insultantes Moabitæ, *petram desertam*, contumeliose ejusdem Deo virium imbecillitatem exprobrantes, appellabant [32]. Itaque non sine affectu jam in eos insurgit, et tanquam iis quibus exprobrabant, graviora passuri essent, *pullo* eos matris præsidio destituto comparat. Adeo prodest, cum ceciderit inimicus, ipsi non insultare, quoniam id Dominus aspicit, eique **230** displicet, et avertit iram suam ab eo [33]. *Petram* autem *desertam montem Sion*, tanquam parvam et sterilem, quæque nec incolis, nec pabulatoribus ad vitam sufficeret, appellabant; *ut pullum* qui, matre metu abacta, viribus ad injuriæ propulsationem et fugam destitutus esset. Sic quæ a malo et inquieto spiritu enutriuntur animæ, si per operum bonitatem, et Salvatoris invocationem, persecutorem adipiscantur; tum *desertæ* feliciter ad nutritionem, quæ in Christo perfectionem efficit, fiunt aptæ magis et idoneæ. Deinde vero, adjicit, *Arnon plura consule*. Direpta enim Moabitarum urbe, qui evaserant, in *Arnon* munitissimam, quam hic de profugorum salute admonet, se receperant. Alias etiam non sine affectu adhortatur, ut ad hujus rei *consilium* etiam a philosophia conflictas adjungat rationes, ut exsaturata tandem, et earum vanitatem agnoscens, sanam doctrinam amplectatur. Ab uno autem Moabitidis loco, totam nobis Arabiæ regionem proponit. Ita deinde hortatur : *Facite ipsi operimentum planctus*. Quos enim sua crimina, sive circa mores, sive circa doctrinam admissa ita angunt, ut ad verum luctum adigant, illi ipsi sunt, qui *luctus operimentum faciunt*. Nam ad eos, qui talia curant, sermo est; ut, exclusis diversa sentientium opinionibus, vero lumini locum concedant, quo in se credentium, et eorum etiam mentes illustret, qui pœnitentia ducti abditis et tenebrosis locis ad luctum se, externarumque rerum aspectum familiaritatemque vitandam, concluserunt. Ad litteram autem, converso ad *Arnon* sermone, rem humanitatis plenam ab eo excogitatam esse significat, quæ magno et intolerabili luctu oppressos tueri dignata sit. Eos enim *medio ipso die*, mente scilicet, mortis motu perturbatos invaserunt *tenebræ*; ideoque *obstupuisse* adjecit. Quantumlibet autem a *bello fugientes* serves, ait; mortuorum tamen exsistunt perparvæ reliquiæ.

A γὰρ κλείσῃ κατὰ ἀνθρώπου, φησὶ, τίς ἀνοίξει ; μεθ' ἃ φησι, *Μὴ πέτρα ἔρημός ἐστι τὸ ὄρος Σιών ; πάλαι* γὰρ ἐπιστρατεύσας τῇ Σαμαρείᾳ Σαλμανασσὰρ ὁ Ἀσσύριος, εἷλέ τε τὰς ἐν αὐτῇ πόλεις, καὶ τῶν ἐν Ἰουδαίᾳ πολλὰ προσηδίκησεν. Ἐφ' οἷς ἐπεμβαίνοντες οἱ Μωαβῖται, *πέτραν* αὐτὴν *ἠρημωμένην* ὠνόμαζον, ἀσθένειαν ὥσπερ ἐπιφέροντες τῷ ταύτης Θεῷ. Διὸ μετά τινος ἤθους πρὸς αὐτοὺς ἀποτείνεται, ὡς δὴ πεισαμένους τὰ χείρονα, ὧν ἐκείνοις ὠνείδιζον, *νεοσσῷ τε* τούτους ἀπείκασεν ἐψιλωμένῳ σκέπης μητρός. Οὕτως ἄρα χρήσιμον τὸ, Ἐὰν πέσῃ ὁ ἐχθρὸς, οὐ μὴ ἐπιχαρῇς αὐτῷ, ὅτι δψεται Κύριος, καὶ οὐκ ἀρέσει αὐτῷ, καὶ ἀποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ' αὐτοῦ. *Πέτραν* δὲ *ἔρημον τὸ ὄρος* ἐκάλουν *Σιών*, ὡς σμικρόν τε καὶ ἄσπορον, καὶ πρὸς τροφὴν οὐκ ἀρκοῦν, B οὔτε τοῖς οἰκοῦσιν, οὔτε τοῖς νεμομένοις. *Νεοσσὸς* δὲ, τῆς μητρὸς ἀναπτάσης τῷ φόβῳ, ἀδρανὴς μὲν πρὸς ἄμυναν, ἀδύνατος δὲ πρὸς φυγήν. Οὕτως αἱ ὑπὸ τοῦ πονηροῦ καὶ ἀστάτου πνεύματος ἐκτρεφόμεναι ψυχαὶ, ἐπειδ' ἂν ἐπιτύχωσι τοῦ δι' ἔργων ἀγαθῶν καὶ τῆς τοῦ Σωτῆρος ἐπικλήσεως αὐτὰς ἐκδιώκοντος, *ἐρημωθεῖσαι* τὴν καλὴν ἐρήμωσιν, εὐληπτότεραί εἰσι πρὸς τὴν ἐν Χριστῷ ἀνατροφὴν τὴν ἄγουσαν εἰς τελείωσιν. Ἔπειτα δὲ, *Ἀρνὼν πλείονα βουλεύου*. Πεπορθημένης γὰρ τῆς Μωαβιτῶν πόλεως, οἱ διαφυγόντες μετεφοίτησαν εἰς *Ἀρνὼν* πόλιν ὀχυρωτάτην, πρὸς ἣν φησι· Σκόπει πῶς δυνήσῃ διασῶσαι τοὺς πρὸς σὲ καταφυγόντας. Καὶ ἄλλως δὲ μετά τινος ἤθους προκαλεῖται τὴν περὶ πάντων τῶν κατὰ φιλοσοφίαν πεπλασμένων δογμάτων δοξάσασαν C ἔτι προστιθέναι τῇ περὶ τούτων *βουλῇ*, ὡς ἂν κόρον λαβοῦσα καὶ γνοῦσα τὸ τούτων ἀνόνητον, προσέλθῃ τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. Ἀπὸ ἑνὸς δὲ χωρίου τῆς Μωαβίτιδος ὅλον ἡμῖν ἐνδείκνυται τὸν τόπον τῆς Ἀραβίας. Εἶτα παραινεῖ, *Ποιεῖτε σκέπην πένθους αὐτῇ*. Οἱ γὰρ ἐπὶ τοῖς ἡμαρτημένοις, εἴτε κατὰ τὸν βίον, εἴτε κατὰ τὴν γνῶσιν ἐνεργαζόμενοι λύπην, ὥστε τινὰς ἐλθεῖν ἐπὶ τὸ μακαρίως πενθεῖν, οὗτοι *ποιοῦσι σκέπην πένθους*. Πρὸς γὰρ τοὺς τῶν τοιούτων ἐπιμελομένους ὁ λόγος, ἵν' ἐν τῷ ἀποκλεῖσαι τὴν ἐκ τῶν ἑτεροδοξούντων ἀπάτην, χώραν τῷ ἀληθινῷ δῶσι φωτὶ ταῖς καρδίαις ἐλλάμψαι τῶν εἰς αὐτὸν πιστευόντων, πρὸς τῷ καὶ τῶν μετανοούντων τινὰς κατακλείστους γεγονότας πενθεῖν περισκέπον- D τας ἑαυτοὺς ἀπὸ τῆς τῶν ἔξωθεν ὁμιλίας καὶ θέας. Πρὸς δὲ λέξιν, πρὸς τὴν *Ἀρνὼν*, Ναὶ, φησὶν, ἐσκέψω τι φιλάνθρωπον. Σκέπη γενοῦ [1] τοῖς ἀφορήτῳ πένθει κατειλημμένοις. *Σκοτία* γὰρ αὐτοὺς *ἐν μεσημβρίᾳ* κατείληφε, τὸν νοῦν αὐτοῖς τοῦ περὶ θανάτου φόβου θολώσαντος. Διό φησι, *Καὶ ἐξέστησαν*. Εἰ δὲ καὶ σώσεις, φησὶ, τοὺς *ἀπὸ πολέμου φυγόντας*, ἀλλὰ τῶν τεθνηκότων ἐλάχιστον τυγχάνουσι λείψανον. Οὐ γὰρ *ἐν ἀρχῇ* τοῦ πολέμου *τοὺς φυγάδας* ἐδέξω. Μετὰ πλείστην δέ *σοι παροικοῦσιν* ἀπώλειαν. Σὺ δὲ προσεδόκας ὅτι καὶ αὐτοὶ ἔσονταί *σοι σκέπη* κατὰ

[31] Isa. xxii, 22; Apoc. iii, 7. [32] IV Reg. xiv, 17. [33] Prov. xxiv, 18.

VARIÆ LECTIONES.

1 *Ισ.* ἐγένου.

Digitized by Google

καιρούς ἀπὸ προσώπου διώκοντος, ὅπερ ἀδύνατον. Ἦρθη γὰρ ἡ συμμαχία σου, καὶ ὁ ἄρχων ἀπώλετο ὁ καταπατῶν ἐπὶ τῆς γῆς.

A Non enim ipso belli *initio* excepisti *fugientes;* sed multa jam accepta clade *tecum habitant*... At quod **231** suo tempore tibi a *persequentis facie in tegumentum futuros* exspectabas, fieri omnino et illud quod *qui terram conculcabat, princeps periit.*

Ὁ γὰρ ἀεί σοι συνασπίσας τῶν Μωαβιτῶν ἡγούμενος, ὥσπερ τινὰ χοῦν *καταπατεῖν* εἰωθὼς τοὺς ἀνθεστηκότας, ἀπόλωλεν. Οὕτω τοῖς Μωαβίταις προσαπώλετο καὶ ἡ τοῦ δύνασθαι κρατῆσαι πάλιν ἐλπίς. Οἱ γὰρ ἀσεβεῖς ὀλόριζοι, φησὶν, ἐκ γῆς ὀλοῦνται. Πρὸς ἀναγωγῆς δὲ νοῦν, δοκεῖ τῆς *μεσημβρίας* τὸ φῶς [m] εἶναι λαμπρότερον. Τῆς οὖν ἀληθείας ἀπὸ κτίσεως κόσμου νοεῖσθαι δυναμένης, πανταχόθεν ὑπὸ τῆς τοῦ Θεοῦ σοφίας περιλαμπόμενοι, Θεοῦ τινες ἐνόησαν ἄγνοιαν, ὄντες ἐν *σκοτίᾳ* τῶν πραγμάτων *τὴν μεσημβρίαν* ἐχόντων. Οἳ καὶ δίκην μεμηνότων *ἐξέστησαν*, ἀνυπόστατα φαντασιούμενοι δόγματα. Ἑρμηνεία γὰρ *τοῦ μεσημβρινοῦ σκότους ἔκστασις*. *Μὴ ἀχθῇς* δὲ, φησὶ, προτρέπων μὴ πιθανοῖς τισιν ἄγεσθαι λόγοις ἢ δόγμασι, μὴ τοῖς τούτων διδασκάλοις ἀκολουθοῦντες κατακρημνισθῶμεν. « Τυφλὸς γὰρ τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον πεσοῦνται. » Τὸ δὲ, *Μὴ ἀχθῇς*, μὴ ἐξ ἀρχῆς παρέθετο ὁ τὴν πρὸ ταύτης φήσας ἐξήγησιν, ὅτι Μὴ *ἐν ἀρχῇ* πρὸς σὲ τοῦ πολέμου κατέφυγον. Μετὰ ταῦτα *τῇ θυγατρὶ Σιὼν* ὁ φιλάνθρωπος λέγει Θεὸς περὶ τῶν μετὰ τὴν ἐπιστροφὴν μελλόντων αὐτῇ παροικῆσαι Μωαβιτῶν μετὰ τὴν πάλαι φυγὴν πρὸς τὸν ἴδιον ἐπανηκόντων δεσπότην. *Σκεπασθήσονται* γὰρ, φησὶ, παρ' ὑμῖν πεισόμενοι μηδὲν ἀπὸ προσώπου *διώκοντος*. Οἱ γάρ ποτε συμμαχοῦντες διώξουσι Μωάβ πρὸς τὸν Θεὸν ἐπιστρέψαντα· καθάπερ γὰρ *νεοσσὸς* τῆς πονηρᾶς προστασίας ἁφῄρηται, τοῦ πρὶν ἄρχοντος ἐλευθερωθείς, ὃς ἀπώλετο δι' ὑπερηφανίαν καὶ τυραννίδα πάντας πατῶν. Ἐφ' ᾧ ἀρθέντι ἐπάγει ἡ προφητεία τὰ ἐσόμενα ἀγαθὰ περὶ *τοῦ θρόνου Δαβίδ*. *Ἄρχοντα* δὲ καλεῖ, τὸν τῷ ἔθνει πονηρὸν ἐφεδρεύοντα δαίμονα, ἢ τὸν ἄρχοντα τοῦ ἔθνους, οἷος ὁ Ἑλλήνων, ἢ Βαβυλωνίων ἄρχων, ὃν *ἀπολεῖσθαι* φησιν. Ἐπείπερ τὰς ψυχὰς αὐτῶν *κατεπάτει*, ὡς ἄνω βλέπειν μὴ δύνασθαι· ἐπ' αὐτῷ δὲ πάλαι τὰς τῆς συμμαχίας τῆς ἐν πολέμοις ἐλπίδας ἐτίθεντο. Μεθ' ὃν ἀπολωλότα φησὶ, καὶ *κατορθωθήσεται μετ' ἐλέους ὁ θρόνος*. Ἕδει γὰρ ἀπολομένης εἰδωλολατρείας, ἀγαθῶν ἐλπίδας εὐαγγελίζεσθαι, ὡς *σκηνὴ Δαβὶδ καὶ θρόνος Θεοῦ* συστήσεται παρ' αὐτοῖς, οὐκ ἀνθρώπων σπουδῇ, φιλανθρωπίᾳ δὲ μόνῃ Θεοῦ. Ἀκύλας δὲ καὶ Θεοδοτίων ἐξέδωκαν· *Καὶ ἑτοιμασθήσεται ἐν ἐλέῳ, ἥξουσι μετ' ἐλέους, θρόνος*. Τίνι δὲ ἑτοιμασθήσεται, ἢ πάντως Χριστῷ τῷ ἐκ σπέρματος τεχθησομένῳ *Δαβίδ*; *σκηνὴν* δὲ *Δαβὶδ* εἰωθεν ἡ προφητεία τὴν Ἐκκλησίαν καλεῖν. Ἐπεὶ καὶ Δαβὶδ καλεῖν ἔθος αὐτῇ τὸν Χριστὸν, ὡς υἱὸν ὄντα *Δαβίδ*. *Θρόνον* δὲ τὸν ἐν Ἐκκλησίᾳ τὸν ταύτης ἐκάλεσε πρόεδρον, ὃς τὸν σωματικὸν ἐπέχει θρόνον, τὸ [n]

Occidit enim Moabitarum ille, quo duce solebas repugnantes, tanquam pulverem, *conculcare*. Simul ergo cum isto Moabitis in posterum vincendi potestas omnis, et spes excidit; neque enim impios radicitus a terra perituros, dictante Scriptura, dubitamus. Quod si anagogicum sensum spectemus, luce *meridiana* veritatis lumen clarius esse apparet. Quamvis ergo ab ipsa mundi creatione videri et percipi veritas potuerit, non defuere tamen, qui, divina undique sapientia illustrati, Dei B ignoratione laborarunt; cum in *tenebris* rerum *meridianam* lucem habentium versarentur · qui etiam furentium more, cum absurda sibi dogmata fingerent, *obstupuerunt*. Habet enim *noctis meridianæ* significationem *stupor* ipse. Quod autem *ne ducaris* addit, verborum nos, vel opinionum probabilitate adduci prohibet, ne ejusmodi magistros secuti cum illis præcipites ruamus. « Cæcus enim si cæco ducatum præstet, ambo in foveam casuri sint [24]. » At pro eo, quod *ne ducaris* dictum est, *non ab initio* ille posuit, qui non nisi bello propemodum confecto, ad Arnon confugisse Moabitas annotavit. Post hæc, *filiam Sion* Deus ipse pro sua in homines benevolentia de Moabitis alloquitur, qui resipiscentes, ad suum tandem Dominum reversi, juxta eam habitaturi sunt. *Protegentur* enim, inquit, a vobis C nullo a *persequente* accepto detrimento. Qui namque belli societatem inierant, conversos ad Deum Moabitas persecuturi sunt. Exsistunt enim tanquam *pullus* a mala potestate erepti, et priori Domino, qui fastu et tyrannide elatus omnia conculcabat, liberati: quo jam sublato, quæ *Davidis thronum* maneant, prophetia adjungit. *Principem* autem appellat, vel malum dæmonem, qui genti insidiatur; vel gentis ducem, qualis est Babyloniorum **232** aut Græcorum aliquis; quem ideo *periisse* dicit, quod eorum animas ita *conculcabat*, ut ne sursum quidem aspicere permitteret. In eo autem cum bellis oppressi, spem auxilii jampridem collocas- D sent; ipso jam exstincto, *cum misericordia thronum directum iri* significat. Sublato siquidem idolorum cultu, bonorum spem annuntiari decuit; *Davidis* nempe *tabernaculum*, *Deique thronum* apud eos non hominum cura et diligentia, sed sola ejusdem esse humanitate erigendum. Cæterum quod Aquilas et Theodotio *in misericordia præparandum thronum* dixerunt, *cum misericordia* significare voluerunt. Cui autem, nisi Christo omnino, qui ex *Davidis* semine nasciturus erat, præparatum iri putemus? Solet præterea *tabernaculum David*, Eccle-

[24] Matth. xv, 14.

VARIÆ LECTIONES.

[m] *Ic. add.* τῆς ἀληθείας. [n] *gr.* τόπον.

Digitized by Google

siam significare prophetia [35]; sicut et Davidis nomine Christum ipsum, tanquam *Davidis* filium. Per *thronum* deinde in Ecclesia exsistentem, ejus præsidem significant, qui, corporeum thronum occupans, locum veluti Christo reservat. Verum ne non *tabernaculi* nomine collectam ex gentibus Ecclesiam intellexisse putemus; abunde id primus ille Hierosolymitarum antistes Jacobus in apostolorum Actibus docuit, ubi ait : « Viri fratres, audite me. Symeon narravit quemadmodum Deus curavit assumere ex gentibus populum nomini suo : et hinc concordant prophetarum verba, quemadmodum scriptum est : Post hæc revertar, et collapsum Davidis tabernaculum instaurabo, dirutaque ejus rursum ædificabo, et ipsum erigam, ut Dominum reliqui homines requirant, et omnes gentes super quas invocatum est nomen meum, dicit Dominus [36]. » Hæc igitur non figuris aut symbolis, sed *in veritate* futura demonstrat. Collecta enim apud Moabitas Ecclesia, qui eidem præfuerit, juste *judicans sedebit*. Vel certe thronum ideo dicit, ut a Christo omnes regendos et gubernandos significet. Juxta illud : « Oportet enim ipsum regnare, donec ponat inimicos suos sub pedibus suis [37]. » Tum demum enim *reparari* **233** *et erigi thronus* dicitur, cum ea recte, in quæ imperium exercemus, disponuntur et reguntur : quod non eorum, qui regendi sunt dignitate sed summa Dei unius benignitate et *misericordia* efficitur.

Sedebit ergo *David*, ait, id est, manu et potestate idoneus Christus *cum veritate*, *et regnabit in tabernaculo, donec judex de omnibus sententiam ferat.* Ostendit autem quod *cum veritate* sessurum dicit, falsitatis et mendacii profligationem. Quod deinde regnaturum ait, donec judicium fecerit; justum ejus in omnibus fore judicium innuit, qui non temere, non cunctanter, sed cura magna et diligentia quid quemque deceat exquirendo, quo jus suum tandem quivis consequatur, sententiam laturus sit. Non desunt, qui historiæ sensum secuti, ad eam quæ Cyro imperante divina miseratione contigit, reversionem trahant; quo tempore Judæorum res instauratas, et in suum ordinem restitutas fuisse legimus. Hoc enim significare *throni* nomine, in quo *sedebit in veritate judicans in tabernaculo David*. Ideoque *tabernaculum Davidis* regiam ipsius, in qua qui degebant ex legum sensu jus dicebant; *thronumque* juste, quanquam non omnes, obire consueverant. Neque vero in Judam et Israelem amplius ab ipso reversionis tempore regni divisio fuit, sed uno omnes, qui Hierosolymis esset, gaudebant principatu. Quod etiam ab alio propheta legimus ita significatum : « Et ascendent ex terra, et paululum in rege et principe ungendo laborabunt [38]. » Atque hæc sunt, quæ in *Moabitas montem Sion petram desertam* appellantes, usurpantur, in quibus Judæorum reversio, et istorum interitus sempiterna significantur.

πατηρῶν ὥσπερ Χριστῷ. Ὅτι δὲ *σκηνὴν* τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν δηλοῖ, παρέστησεν ἐν Πράξεσιν τῶν ἀποστόλων Ἰάκωβος ὁ πρῶτος Ἱεροσολύμων ἐπίσκοπος γεγονώς, « Ἄνδρες ἀδελφοί, λέγων, ἀκούσατέ μου. Συμεὼν ἐξηγήσατο καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ, καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν, καθὼς γέγραπται· Μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, καὶ τὰ κατεστραμμένα αὐτῆς ἀνοικοδομήσω, καὶ ἀνορθώσω αὐτὴν, ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον. Καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου, λέγει Κύριος. » Ταῦτ' οὖν ἔσεσθαι, φησὶν, οὐ διὰ τύπων καὶ συμβόλων, ἀλλὰ *μετὰ ἀληθείας*. Ἐκκλησίας γὰρ παρὰ τοῖς Μωαβίταις συστησομένης, ὁ ταύτης προεστὼς *καθιεῖται κρίνων* δικαίως. Ἤγουν *θρόνον* φησὶ, δηλῶν ὅτι πάντες βασιλευθήσονται ὑπὸ τοῦ Χριστοῦ, κατὰ τὸ, « Δεῖ γὰρ αὐτὸν βασιλεύειν ἕως ἂν θῇ τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. » *Διορθοῦται* δὲ *ὁ θρόνος, τῷ διορθώσεως* τυχεῖν τὰ βασιλευόμενα· ὅπερ γίνεται οὐ κατὰ τὴν ἀξίαν τῶν μελλόντων βασιλευθήσεσθαι, κατὰ δὲ *τὸν ἔλεον* καὶ τὴν χρηστότητα τοῦ Θεοῦ.

Καθεδεῖται [o] οὖν, φησὶν, *ὁ Δαβὶδ*, ὁ ἱκανὸς χειρὶ καὶ δυνάμει Χριστὸς *μετὰ ἀληθείας, καὶ βασιλεύσει ἐν σκηνῇ, ἕως ποιήσῃ κρίνων τὴν ἐπὶ πᾶσι κρίσιν.* Ἡ δὲ *μετὰ ἀληθείας* καθέδρα δείκνυσι τὸν τοῦ ψεύδους ἀφανισμόν. Βασιλεύσει δὲ ἕως ποιήσῃ κρίσιν. Τὴν ἐπὶ πᾶσιν αὐτοῦ δικαιοκρισίαν καθίστησι, καθ' ἣν οὐχ ὡς ἔτυχεν ἀποφαίνεται, τὸ δὲ πρέπον ἑκάστῳ ζητῶν, ὡς πρὸς τέλος ἀγαθὸν φέρειν ἑκάστῳ τὸ κρῖμα, κατεπείγων τὴν δικαιοσύνην, οὐκ ἀνειμένως ποιῶν, σπουδῇ δὲ πλείστῃ. Καθ' ἱστορίαν δὲ ταῦτά τινες ἐξηγήσαντο, ὡς δηλοῦντα τὴν ὑπὸ Κύρου γενομένην ἄφεσιν τοῦ λαοῦ, Θεοῦ τοῦτον οἰκτείραντος, καὶ τὴν παρ' Ἰουδαίοις βασιλείαν διορθουμένου, εἴς τε τὴν οἰκείαν ἄγοντος τάξιν. Τοῦτο γὰρ *τὸν θρόνον* δηλοῦν, *ἐφ' οὗ καθιεῖται μετ' ἀληθείας ἐν σκηνῇ Δαβὶδ κρίνων σκηνὴν*, λέγοντες *Δαβὶδ* τὰ βασίλεια, ἐν οἷς ποιούμενοι τὰς διατριβὰς, ἐδίκαζον ἐννόμως, *τὸν θρόνον* διέποντες δικαίως, εἰ καὶ μὴ πάντες τοιοῦτοι γεγόνασιν. Οὐκ ἔτι δὲ διῄρητο βασιλεὺς Ἰούδα καὶ Ἰσραὴλ μετὰ τὴν ἐπάνοδον, ἐτέλουν δὲ πάντες ὑπὸ μίαν ἐν Ἱεροσολύμοις ἀρχήν. Τοῦτο δέ τις προφήτης ἐμήνυσε λέγων; « Καὶ ἀναβήσονται ἐκ τῆς γῆς, καὶ κοπιάσουσι μικρὸν τοῦ χρίειν βασιλέα καὶ ἄρχοντα. » Ταῦτα μέντοι πρὸς *τὴν Μωὰβ* εἴρηται *τὴν ἔρημον πέτραν τὸ Σιὼν ὄρος* καλέσασαν, δηλοῦντα τὴν Ἰουδαίων ἀνάκλησιν, καὶ τὴν ἀδιον ἐκείνης ἀπώλειαν.

[35] Amos IX, 11, Act. XV, 16. [36] Act. XV, 13-17. [37] I Cor. XV, 25. [38] Osee I, 11.

VARIÆ LECTIONES.

[o] γρ. καθιεῖται.

Digitized by Google

ς'-ιδ'. *Ἠκούσαμεν τὴν ὕβριν Μωάβ. Ὑβριστὴς* A *σφόδρα, τὴν ὑπερηφανίαν ἐξῆρα. Οὐχ οὕτως ἡ μαντεία σου, οὐχ οὕτως. Ὀλολύξει Μωάβ· ἐν γὰρ τῇ Μωαβίτιδι πάντες ὀλολύξουσι. Τοῖς κατοικοῦσι δὲ Σὴθ μελέτησις. Καὶ οὐκ ἐντραπήσῃ τὰ πεδία Ἐσεβών*, κ. τ. λ.

Τὴν Μωαβιτῶν ἀλαζονείαν προλαβόντες καὶ ἀπὸ τῆς Ἱερεμίου προφητείας ἐδείκνυμεν, καὶ νῦν δὲ ταύτην ὁ προφήτης ἐδήλωσεν. Χρηστὰ δὲ περὶ τῆς ἐπαγγελίας εἰπὼν τοῦ θρόνου Δαβίδ, καὶ διὰ μέσου, κατὰ τὸ σύνηθες τῇ Γραφῇ, διαναπαύσας, τὴν α...ην r πρὸς τὰ σκυθρωπότερα, χάριν ἐπιστροφῆς ἐπανέρχεται. Ὡς ἂν μὴ τοῦ πλούτου καταφρονήσωμεν τῆς χρηστότητος, ὀργὴν ἑαυτοῖς θησαυρίζοντες. Οὕτως εἰπὼν ὁ Δαβίδ, χρηστὸς Κύριος τοῖς σύμπασιν· καὶ ἐπεξεργασάμενος, ὅτι ὑποστηρίζει τοὺς κατα- B πίπτοντας, ὅτι δίδωσι τὴν τροφὴν ἐν εὐκαιρίᾳ, οὐκ ἐν τούτοις κατέληξεν· ἀλλ' ἔφη· Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. Καθάπερ δέ τι μυστήριον Ἡσαΐας ἐν μέσῳ τὸ περὶ τῆς τοῦ Σωτῆρος ἐπιδημίας κατέκρυψε τοῖς ἀξίοις τοῦ ταῦτα συνιέναι παρεμβαλών. Συναφῆ τοιγαροῦν τὰ νῦν τοῖς πρὸ τῶν περὶ τοῦ θρόνου λελεγμένων Δαβίδ. Κατὰ δέ τινας, τὰ περὶ τῆς ἀποκαταστάσεως τῶν ἐξ Ἰσραὴλ αἰχμαλώτων εἰπὼν, πρὸς τοὺς ἐπιχαρέντας αὐτοῖς αὖθις τῶν Μωαβιτῶν ἐπιφέρει τὰ δυσχερῆ, διὰ τὴν αὐτῶν ὑπερήφανον ἐπ' ἀσεβείᾳ προαίρεσιν, ὡς ἐκ προσώπου λέγων τῶν προφητῶν, *Ἠκούσαμεν τὴν ὕβριν Μωάβ*. Συναινοῦσι γὰρ ὡς ἐν δίκῃ κολάζοντι C τῷ Θεῷ, ὡς ἀκηκοότες οἷα διὰ τοῦ Βαλαὰμ ἐφ' ὕβρει τοῦ τῶν ὅλων ἐμηχανῶντο Θεοῦ, ὅσα τε μετὰ ταῦτα τῇ τοῦ Θεοῦ μαχόμενα πεποιήκασι δόξῃ. Ἀνθ' ὧν ἀμείβεται τοῖς εἰρηκόσι τοῦτο Θεὸς, *τὴν ὑπερηφανείαν ἐξῆρα*, αὐτόχρημα τοὺς *Μωαβίτας ὑπερηφανείαν* εἰπών. *Ὑπερηφάνοις* γὰρ ὁ Θεὸς ἀντιτάσσεται, καὶ μάλιστα νοσοῦσιν ἀσέβειαν. Διὸ πρὸς αὐτὴν ἀποστρέφεται, καὶ φησιν· *Οὐχ οὕτως ἡ μαντεία σου, οὐχ οὕτως*, δηλῶν ὡς Ἐγὼ μὲν ἐξέκοψα τὴν Μωάβ. Ἀλλ' οὐ τοῦτο προύλεγον αἱ παρ' αὐτοῖς οὖσαι μαντεῖαι τἀναντία μηνύουσαι. Μεγάλα γὰρ ἐφρόνουν ἐπὶ τῷ μαντευομένῳ δαίμονι παρ' αὐτοῖς· ὁ δὲ Σύμμαχος, *Οὐχ οὕτω*, φησὶν, *οἱ βραχίονες αὐτοῦ*. Δηλῶν ὡς οἷς ἀλαζονεύεται πράξεις ὁμοίας οὐκ ἔχει. Τινὲς δέ φασιν, ὡς τὸ πάλαι τῆς D τοῦ Βαλαὰμ μαντείας ἀνόητον ἐπιδείκνυσιν. *Ὀλολύξει Μωάβ*, δείκνυσιν ὡς ἃ μὴ προσεδόκων ἐκ τῆς *μαντείας* ἀπήντηκεν. *Ὀλολυγμὸς* δὲ ὀδυνηρὰ φωνὴ γυναικῶν βαρυτάτῳ πένθει κεχρατημένων. Δείκνυσι δὲ νῦν καὶ τῆς πληγῆς τὸ ἀλγεινὸν, καὶ τῶν πασχόντων τὸ ἀσθενὲς, *τοῖς κατοικοῦσι τὸ Ἀσεδὲθ* q *μελέτησις*. Πόλις αὕτη Μωὰβ θρῆνον ἴσος r ἐμμελῆ καθ' ἑαυτῶν ἐμελέτησαν. Ὁ δὲ Σύμμαχος οὕτως ἐξέδωκε· *Τοῖς εὐφραινομένοις ἐν τῷ τείχει τῷ ὀστρακίνῳ* φθέγξασθε, τὸ ἀσθενὲς δηλῶν τοῦ,

234 VERS. 6-14. *Audivimus injuriam Moab. Contumeliosus valde est. Superbium sustuli. Non sic divinatio tua, non sic. Ululabit Moab. In Moabitide enim omnes ululabunt. Habitantibus autem Seth meditatio. Et non reverebitur campos Esebon*, etc.

235 Et hic etiam Moabitarum arrogantiam, quam ex Jeremiæ sententia superius attigimus [39], propheta insectatur. Sed ubi quæ læta essent de throno Davidis attulit, medio veluti cursu respirans aliquantum, quod ad resipiscentiam excitandam Scripturæ usitatum est, aliam rursus de atrocioribus comminationem aggreditur; ne, divitias bonitatis contemnentes, iram sibi ipsi thesaurizent [40]. Sic et David, cum per benignum in omnibus Dominum, labentesque fulcire, cibumque idoneo tempore præbere dixisset, in his sibi non quiescendum putavit, sed omnes se, a quibus diligitur, servaturum; omnes etiam sceleratos perditurum adjunxit. Occultavit autem in medio, veluti arcanum quid, quod erat de Salvatoris adventu mysterium Isaias; ut in eorum gratiam, qui ejus intelligentia digni essent, intercalaretur. Itaque non est quod ista cum superioribus, quæ de Davidis throno dicta sunt, conjungi dubitemus. Placet nonnullis, post absolutum sermonem de Israelitici populi reversione, alium rursus in Moabitas, qui in eumdem contumeliose insultarent, tanquam prophetarum voce institui, qui ad retundendam eorum in impietate audaciam, *Moabitarum se injuriam audivisse* clamitent. Deo enim, aiunt, qui juste in eos animadvertat, ipsi congratulentur, tanquam quæ per Balaamum contumeliose in Deum universorum, et quæ bello postea adversus ejusdem gloriam tentarint, audiverint [41]: pro quibus, ista loquentibus respondet Deus *superbiam se sustulisse*, ut vere *superbos esse Moabitas* demonstret: qui *superbis* sese opponere, et iis præcipue, qui pietatem oppugnant, in more habeat. Atque hinc est quod converso ad eum sermone: *Non sic divinatio tua, non sic*, intulit; tanquam se Moabitidem excidisse significaret: quod a suis oraculis contraria plane docentibus minime prædictum fuerat. Insolescebant enim quia dæmonem apud se vaticinantem habebant. Quod autem *non sic brachia ejus* interpretatus est Symmachus; actiones ipsas, quibus elata superbit, dissimiles esse significat. Alii vero Balaami inutilem divinationem notari **236** putant. Deinde quod *ululabit Moab* addidit: Alium *divinationis* eventum, quam putabant fuisse demonstrat. Est vero *ululatus* mulierum vox illa, quæ luctus acerbissimi dolorem exprimit maximum. Quod autem *habitatoribus Seth meditatio* sequitur, ita nunc et plagæ dolorem, et affectarum virium imbecillitatem ejus significat. Est porro hæc Moabitarum

[39] Jerem. XLVIII, I seqq. [40] Rom. II, 5. [41] Num. XXIV, I seqq.

VARIÆ LECTIONES.

r γρ. ἄλλην. q γρ. Σ.Θ. r γρ. ἴσος.

Digitized by Google

civitas, quæ in eos forsan lamentationes fuerat versibus meditata. Symmachus autem, *Exsultantibus in muro testaceo dicite*, interpretatus est; ut dæmonis imbecillitatem, cujus responsis tantopere confidebant, ostenderet. Sequitur: *Et non reverebitur campos Esebon*, in quo ad Assyrios esse sermo videtur, de *Esebon Moabitica* civitate; cujus latifundia suburbiorum, quibus ipsa cingebatur, ita cum *Sebama* male jubet afficere; ut ipsæ etiam excisæ *vites lugere* quodammodo videantur. Ideo autem Assyrios *gentes absorbere* ait, quod *Moabitarum* direptionem ad *Iazir* usque ejusdem regionis civitatem, illis imperet. *Vitium* deinde nomine ejus quoque regionis incolas forte significat, quos ligna et silvas appellare Scripturis usitatum est. Hujus generis est et illud: « Vinea Domini Sabaoth, homo Juda, nova plantatio dilecta [42]. » Significant vero autumnus, et messis, et vitis, alio modo florentis et integræ ætatis. Robur omni voluptatum generi, quibus, tanquam ebrii, impie delectabantur, idoneum. Quod deinde nihil parcendum *jubet*, ita Dei opus, non vires Assyriorum ostendit; quos rursus eos, qui *in desertum* aufugerunt, *non attingere*, sed relinquere; non interfectis addere, sed *errore* et oblivione præteriri jubet. Neque enim Deus, etiam cum scelera ulciscitur, humanitatem ponere est solitus. Vocat deinde Assyrios tanquam a se missos. Quod autem *relictos esse* adjecit, in his nequaquam futuram Moabitidem, nisi a *Deo relicta esset*, significavit. *Propter hoc, plorabo*, ait, *tanquam ploratum Iazir*: lugeat, usurpantur.

Iazir autem præter cæteras amplius direptam, ut par erat, esse significat. Et *Sabama* pariter atque *Esebon*, urbes alias, *vitium* nomine eorumdem incolas intelligens, lamentatur: quorum *messem et vindemiam* hostilis exercitus ita se, *ut omnia decidant conculcaturum*, ita denique effecturum dicit, ut ab ejus *vitibus omnis lætitia et exsultatio tollatur*. Impii enim cum essent, re nulla magis quam dæmonibus sacrificandi, et iisdem se consecrandi occasione semper gaudebant: quo nomine, *vinum eos non calcaturos* dicit. Quod quidem si ad *vites referatur*, apertum est: sin autem ad homines, liberos etiam cum parentibus ipsis, quia ne prægnanti quidem mulieri parcatur, esse perituros significatur. Cujus generis illud est, quod diebus illis, et ipsas etiam uterum gestantes feminas, miseras et infelices fore minatur.

Sequitur vero: Propter hoc *venter meus ad Moab, velut cithara sonabit*. Omni enim ait *sublato* a te *lætitiæ* genere, calamitates tuas cunctis annuntians, easdem in carmen et cantilenam abire faciam; tanquam in terram desertam et incultam regio transierit: unde et eos antea ad gemitum horta-

ὥπερ φθεγγομένῳ ἐπεποίθεσαν, δαίμονος. *Καὶ οὐκ ἐντραπήσῃ τὰ πεδία Ἐσεβών.* Πρὸς Ἀσσυρίους ἔοικε λέγειν, περὶ πόλεως *τῶν Μωαβιτῶν Ἐσεβὼν* εὐρυχωρίαν ἐχούσης ἐν τοῖς περικειμένοις αὐτῇ προαστείοις ἣν μετὰ τῆς *Σεβαμὰ* παρακελεύεται διαθεῖναι κακῶς, ὡς *πενθῆσαί* πως τεμνομένας τὰς τούτων *ἀμπέλους*. *Ἔθνη δὲ καταπίνοντας*, τοὺς Ἀσσυρίους καλεῖ· τὴν δὲ *Μωαβιτῶν* αὐτοῖς παρακελεύεται δήωσιν, μέχρι *τῆς Ἰαζὴρ* πόλεως Μωαβίτιδος. Λέγοι δ' ἂν ἴσως *ἀμπέλους* καὶ τῶν Μωαβιτῶν τοὺς οἰκήτορας, οὓς καὶ ξύλα καὶ δρυμὸν ἔθος καλεῖν τῇ Γραφῇ. Κατὰ τὸ, « Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον. » Δηλοῖ δὲ ἡ ὑπώρα, καὶ ὁ θερισμὸς, καὶ ἡ ἄμπελος καθ' ἕτερον τρόπον, τὸ εὐθαλὲς, καὶ ἀκμαῖον, καὶ ὡραῖον, καὶ τρυφηλὸν τῆς ἐκείνων ζωῆς· ἐν ᾗ, καθάπερ μεθύοντες, διῆγον ἐντρυφῶντες τῇ δυσσεβείᾳ. Ἡ δὲ *πρόσταξις* τοῦ μὴ δεῖν *ἐντραπῆναι*, δηλοῖ Θεοῦ τὸ ἔργον, οὐκ Ἀσσυρίων τὴν δύναμιν, πρὸς οὓς αὖθίς φησιν, *Οὐ μὴ συνάψητε* τοὺς εἰς τὴν *ἔρημον* ἐξ αὐτῶν φυγόντας, κελεύων ἐᾷν αὐτοὺς, καὶ μὴ τοῖς ἀνῃρημένοις προσθεῖναι, *πλάνην* δὲ καὶ λήθην εἰληφέναι τούτων δοκεῖν. Ὁ γὰρ Θεός ἐστι καὶ κολάζων φιλάνθρωπος. Ὡς δὲ παρ' αὐτοῦ πεμφθέντας καὶ ἀπεσταλμένους τοὺς Ἀσσυρίους καλεῖ· προσέρριπται δὲ τὸ, *ἐγκατελείφθησαν*, μᾶλλον [a] ὡς οὐκ ἂν ἐν τούτοις γέγονεν ἡ Μωάβ, εἰ μὴ Θεὸς αὐτὴν *ἐγκατέλιπε*. *Διὰ τοῦτο κλαύσομαι, ὡς τὸν κλαυθμὸν Ἰαζήρ.* Τοῦτό φησιν ὁ προφήτης ἐπιστένων ταῖς αὐτῶν συμφοραῖς.

quæ a propheta, tanquam eorum calamitates **237**

Πεπορθῆσθαι δὲ *τὴν Ἰαζὴρ* ὑπὲρ τὰς ἄλλας παρίστησιν, ὡς ἂν πρέποι ταύτην οὕτω τὰς ἄλλας θρηνῶν *Σάβαμά τε καὶ Ἐσεβὼν, ἀμπέλους* αὐτῶν καλῶν τοὺς οἰκήτορας. *Ὧν ἐπὶ τῷ θερισμῷ καὶ τῷ τρυγητῷ* στρατὸς ὁ τῶν πολεμίων ἐλάλησεν τὸ, *καταπατήσω, καὶ ἅπαντα πεσοῦνται.* Καὶ τὸ, *ἀρθήσεται εὐφροσύνη καὶ ἀγαλλίαμα ἐκ τῶν ἀμπέλων σου.* Δυσσεβεῖς γὰρ ὄντες πρόφασιν εὐφροσύνης τὸ θύειν εἶχον ἀεὶ, καὶ τελεῖσθαι τοῖς δαίμοσιν· ἀνθ' ὧν, φησὶν, *οὐ μὴ πατήσετε οἶνον.* Εἰ μὲν ἐπὶ *τῶν ἀμπέλων*, δῆλον· εἰ δὲ ἐπ' ἀνθρώπων νοητέον, ὡς ἅμα γονεῦσι τὰ τούτων οἰκήσεται τέκνα, μὴ φειδομένου μηδὲ γυναικὸς κυοφορούσης τινός. Ὅπερ ὅμοιον τὸ, Οὐαὶ ταῖς τικτούσαις, καὶ ταῖς ἐν γαστρὶ ἐχούσαις, ἐν ἐκείναις ταῖς ἡμέραις.

Διὰ τοῦτο ἡ κοιλία μου ἐπὶ Μωὰβ, ὡς κιθάρα ἠχήσει. Πάσης γάρ σου φησὶν, *εὐφροσύνης ἀφῃρημένης*, ᾠδὴν καὶ μέλος τὰς σὰς ποιήσομαι συμφορὰς, πᾶσι κηρύττων αὐτὰς, ὡς εἰς χέρσον μεταβληθείσης τῆς χώρας. Διὸ καὶ προῦλεγεν αὐτοῖς ἀποκλαύσασθαι. Εἶθ' ὡς ὑπεραλγῶν ἐπὶ τῇ τῶν ψυ-

[42] Isa. v, 7.

VARIÆ LECTIONES.

[a] *Ισ. γρ.* μηνύω.

Digitized by Google

χῶν ἀπωλείᾳ καὶ πλάνῃ (ἐπεὶ καλέσας αὐτοὺς διὰ τοῦ ἀποκλύσασθαι πρὸς μετάνοιαν, πειθομένους οὐκ ἔσχεν), τὸν ὑπὲρ αὐτῶν ἀναλαμβάνει κλαυθμόν, εἰπὼν μὲν ἤδη, Διὰ τοῦτο κλαύσομαι. Καὶ νῦν δὲ, φησὶ, *τὰ ἐμὰ δάκρυα*, καὶ ὁ κλαυθμὸς δι' οὐδὲν ἕτερον, ἢ εἰς τὸ ἐντραπῆναί σε, ἤγουν, ἐντραπήσῃ μάτην καλοῦσα πολλάκις τοὺς μὴ σῶσαι δυναμένους θεούς. Ὡς τεῖχος ᾧ [1] *ἐνεκαίνισας*. Ἐπὶ γὰρ σεισμῷ τὸ τεῖχος κατέπεσεν, ὡς ἐλέγομεν, ἀνεκαίνισαν αὐτὸ μοχθοῦντες ἀνόνητα. *Κλαύσομαι* οὖν φησὶ, μετὰ τῶν ἄλλων σου συμφορῶν, καὶ ὁ μάτην ᾠκοδομήσω *τεῖχος* ὑπὸ τῶν πολεμίων κατενεχθέν. Εἶτά φησι· *Τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησεν Κύριος ἐπὶ Μωάβ, ὁπότε καὶ ἐλάλησεν*. Οἱ δὲ λοιποὶ ἐξέδωκαν, *ἐι τότε καὶ νῦν ἐλάλησεν*. Δηλοῖ δὲ ἡ Γραφὴ, ὅτι πάλαι μὲν λόγοις ἐθεσπίζετο, νυνὶ δὲ καὶ ἔργοις ἐπιτελεῖται. Καὶ πρὸ τοῦ παρόντος γὰρ προφήτου, διὰ Μωσέως; ἐῤῥέθη· Οὐκ εἰσελεύσεται Ἀμμανίτης καὶ Μωαβίτης εἰς Ἐκκλησίαν Κυρίου ἕως δεκάτης γενεᾶς· ὁ τοίνυν πάλαι *λαλήσας* περὶ αὐτῆς, καὶ νῦν τοῦτο ποιεῖ δι' ἐμοῦ.

batur. Ipse deinde animorum errore et interitu commotus (quando lacrymis ad pœnitentiam invitatos audientes non habuit) eorum jam nomine, tanquam luctu revocato, *ob id se ploraturum* significat : quasi ad lacrymas et ploratum nullo alio fine, quam ut pudore saltem suffundantur, excitari se dicat : ac si frustra sæpe diis invocatis elusos, in quibus nullam servandi potestatem experti sint, pudore tandem confusum iri demonstret. Sequitur deinde, *tanquam murum, quem instaurasti*. Postquam enim terræ motu *murus* ipse, uti dicebamus, corruisset, eumdem renovari frustra curaverant. Plorabo igitur, ait, cum cæteris calamitatibus tuis, et istud etiam, quod murum ab hostibus dejectum frustra excitaveris. Deinde ait : *Hoc est verbum quod locutus* **238** *est Dominus ad Moab, quando etiam locutus est*. Ubi reliqui transtulerunt; *jam inde et nunc locutus est*. Significat autem Scriptura, Deum verbis quidem olim prædixisse, nunc vero reipsa efficere; quandoquidem longe ante hujus etiam prophetæ tempora in Domini Ecclesiam nec Ammonitas, nec Moabitas ad decimam usque generationem ingressuros esse a Mose pronuntiatum sit [48]. Qui ergo de illa dudum *locutus fuerat, istud* idem nunc per me, inquit, perficit.

Καὶ νῦν λέγω, Ἐν τρισὶν ἔτῶν μισθωτοῦ. Ὁ δὲ Σύμμαχος ἀντὶ τοῦ *μισθωτοῦ, ὡς ἐπὶ μισθωτοῦ*, φησίν. Οἱ δὲ τρεῖς τὰ μετὰ ταῦτα διέστειλαν εἰπόντες· *Ἀτιμασθήσεται ἡ δόξα Μωάβ*. Ὁ γὰρ καὶ σύνδεσμος τῶν ἑξῆς ἑτέραν ἔδειξε τὴν διάνοιαν τῶν πρόσθε, δηλούντων *ὡς ἐν τρισὶν ἔτεσιν τὰ περὶ τῆς Μωὰβ ἐλάλησε Κύριος* διὰ τοῦ προφήτου, *ὡς μισθωτόν τινα τὸν ἄνδρα πρὸς* τὴν τῶν ῥημάτων διάνοιαν λαβών. Οὐ γὰρ ὥσπερ ἡμεῖς ἀθρόως συνάπτοντες τὸ πᾶν ἀνάγνωσμα διερχόμεθα, οὕτω καὶ ὁ προφήτης· ἀλλὰ κατὰ *μέρος* ἐν διαφόρῳ τῷ χρόνῳ μέχρι *τρίτου ἔτους* ἐπλήρωσεν. Τινὲς δὲ τὸ, *ὁπότε ἐλάλησε*, δηλοῦν φασι τὸ σπάνιον τῆς τοῦ Θεοῦ πρὸς τοὺς Μωαβίτας γενομένης φωνῆς. Τῷ μὲν γὰρ Ἰσραὴλ συνεχῶς διαλέγεται· τοῖς δὲ ἔθνεσιν ὡς ἀλλοτρίοις σιγᾷ. Πλὴν ὅτι γεύει καὶ τούτους τῆς ἰδίας φιλανθρωπίας, ἵνα διὰ τῆς ἐν ὀλίγοις πείρας, πρὸς τὴν τῶν τελείων ἐπιθυμίαν ὁρμῶσι. Τινὲς δέ φασιν, ὡς ἀνακομίζει πρὸς ἱστορίαν τὸν λόγον, ὅτεπερ αἱ δέκα φυλαὶ τῆς Δαβὶδ βασιλείας ἀποσπασθεῖσαι τῇ τοῦ ἀποστήσαντος Ἱεροβοὰμ δυσσεβείᾳ παρηκολούθησαν. Ἐφ' οἷς ἀγανακτήσας Θεὸς οἱονεὶ Σαλμανασσὰρ *ἐμισθώσατο* τὸν Ἀσσύριον, ὃς ἀνάστατον τὴν τούτων ἀπέδειξε χώραν τρισὶν ὅλοις ἔτεσιν ἐνιζήσας αὐτῇ, ὅτε δὴ καὶ τὴν Μωὰβ ἐχειρώσατο. Εἰ τοίνυν *λελάληκε καὶ πάλαι Θεὸς, ἀλλὰ καὶ νῦν λέγω, ὅτι ἐν τοῖς τρισὶν ἔτεσιν τῶν ἐτῶν τοῦ μισθωτοῦ* Σαλμανασσὰρ *ἀτιμασθήσεται ἡ δόξα Μωάβ* · τοῦτ' ἔστιν ἡ βασιλεία, ἢ τὰ μεγέθη τῶν πόλεων, καὶ τῶν ἐνοικούντων τὸ πλῆθος, ἢ καὶ δηλοῖ τὴν ἡλικίαν τὴν μάχιμον.

Quod deinde sequitur : *Et nunc dico in tribus annis mercenarii;* primum Symmachus *tanquam sub mercenario* dixit. Deinde quæ postea sequuntur, ita tres distinguunt interpretes, et legunt : *Et auferetur gloria Moab*. Ipsa enim *et* conjunctionis particula, aliam sequentium sententiam ostendit, quam fuerat præcedentium, quibus *in tribus annis res Moab locutum esse Dominum* per prophetam significatum est; *tanquam mercenarium aliquem virum* ad verborum sensum explicandum assumpsisset. Non enim confertim, ut nos lectionem totam conjungentes facimus; sed vario membratim tempore, donec *tertius* impleretur *annus*, prophetam dixisse existimant. Nonnulli autem hisce, *quando locutus est*, rarum Domini ad Moabitas sermonem ideo significari putaverunt; quod Israelem sæpe, gentes autem, tanquam a se alienas, nunquam alloquitur : talibus autem suam ideo benevolentiam degustandam præbere, ut cum eam parvis in rebus experti fuerint, in magnas et perfectas ferantur avidius. Non desunt tamen, qui sermonem ad ejus temporis historiam putent referri, quo decem tribus, relicto Davidis regno, ad impium Jeroboamum defecerunt; qua re indignatus Dominus, Assyrium Salmanassarem *tanquam mercede* conduxit, ut triennio integro in eorum regione moratus, eam populareturr; quo tempore et Moabitide etiam potitus est. Si ergo aiunt, *olim locutus est Dominus, et nunc etiam dico,* **239** *quod in tribus annis mercenarii* Salmanassaris *ignominia afficietur gloria Moab* : quibus verbis, vel regnum ipsum; vel urbium amplitudinem, et civium frequentiam; vel denique bello idoneum ætatis illius robur significari par sit.

[48] Deut. XXIII, 3.

[1] *Isa.* ὃ.

VARIÆ LECTIONES.

Digitized by Google

Quod si ad allegoriæ leges ab initio placet revocare, per *contumeliosum Moab* calamitatis auctorem apostatam dæmonem intelleximus. Neque enim in Creatorem modo, sed et in homines ipsos etiam contumeliosus fuit; eosque quos cepit, probris alios insectari, pravisque et hæreticis opinionibus intumescere docuit; in eos denique, a quibus refutantur, quando nihil apte jam respondere valent, *contumeliis* insurgere. Quem sanare tamen, et tanquam gravi morbo liberare cum studeat Dominus, *superbiam* se sustulisse adjicit. Sunt vero etiam *injuria et furor*, inquit, privato jure ad eum pertinentes morbi. *Ululabit* item ait, non sine dolore, cum suam ipse virium imbecillitatem senserit. Significat deinde *muri testacei* nomine, illorum disserendi facultatem, quibus est sapientiæ opinione intumescere jucundum. Quod autem *loqui* ad eos imperat, qui *in muro isto testaceo* lætantur; ita vanam eorum et imbecillam esse operam demonstrat, qui studium suum ad Dominicæ legis meditationem conferre debuerant. Nec tamen ait, *convertentur*; et eos ob id ulciscetur *camporum Esebon* infertilitas; cujus si nominis rationem postules, idem ac si cogitationem dicas, significabit.

A

B

A nerunt, ut docet sequentibus verbis, dum *quis ultra illum* sit, quærit : quorum loco Symmachus *post quem non ultra haberi* interpretatus est. Erat vero gens ista sine spe, quales ii sunt, quos nec fidem nec Deum in mundo habere dicit Apostolus [83]. Cui certe non erit illud incongruum, quod pergens apponet propheta, cum non spe destitutos homines lætitia impletum iri dicet ; qualis illa *gens* exstitit, quæ a diabolo *conculcata est*. Hos autem ut confidere, bonoque esse animo faciat, *nunc fluvii terræ in vestra via habitabuntur* adjicit ; *fluviorum* nomine, eorum multitudinem intelligens, qui ad Deum confluxerunt, ut et *regionum* appellatione Ecclesias ipsas significavit. Sicut enim infideles antea agitato mari similes fecit, sic et fideles B jam dulcibus aquis sedatisque *fluminibus* comparavit. De his et alibi legimus, cum ait : « Elevaverunt flumina, Domine, elevaverunt flumina vocem suam [84], » et : « Flumina plaudent manu simul [85]. » Ideo nimirum, quod cum prius minime habitarentur, a Deo alienos esse, et *regionem* pietate carere contingebat : quam jam, ipsaque adeo *flumina* vestra *habitari* faciet Evangelii promulgatio. Ita deinde crucis manifestum et conspicuum *signum* futurum est, ut *in monte elevari* ; ita rursus *buccinæ sonus* ingens futurus ; ut ab omnibus, qui attendere velint, exaudiri facile et intelligi vestra queat prædicatio. Deinde, qua ratione tuto *habitari* possit, ostendit. Neque enim *civitatem suam* (de qua « Gloriosa dicta sunt de te, civitas Dei [86] ; » C et rursus : « Fluminis impetus lætificabunt civitatem Dei [87], » legimus) : *securitate* carere patietur Dominus. Nec est quod in ea vulgare *lumen* aliquod exspectes ; sed quale *meridiana luce*, nullo intuentium dispendio, *roris nube* temperatum conspicitur. **255** Lumen est ad hæc et ipsum Dei Verbum, quod Ecclesiam illustrat ; ut *roris nubes* sanctus ipse Spiritus, quo ii inumbrantur, qui ad summam unigeniti Filii divinitatem intendere aciem non possent.

Οὕτω γὰρ τὸ ταύτης ἄκρατον κεκραμένον ἔσται, διὰ τὴν τοῦ θείου Πνεύματος ὥσπερ τινὸς *νεφέλης* ὑποδρομήν. Ἅπερ ἔσται, φησὶ, *πρὸ τοῦ θερισμοῦ*, τὰς ἐν ταῖς Ἐκκλησίαις τοῦ Θεοῦ δηλῶν δίκην ἀσταχύων *ἀνθούσας*, καθὰ προύλεγε· καὶ « Εὐφρανθήσονται ἐνώπιόν σου, ὡς οἱ εὐφραινόμενοι ἐν ἀμήτῳ· » ἃς λευκὰς χώρας φησὶν ὁ Σωτὴρ δεομένας πολλῶν ἐργατῶν. Καὶ ταῦτα μὲν ἔσται περὶ τὴν τοῦ Θεοῦ *πόλιν* πρὸ τῆς *συντελείας*. Μετὰ δὲ τοῦ παρόντος βίου *τὸν θερισμὸν*, καὶ αὐτῆς ἀκράτου μεθέξουσι τῆς θεότητος οἱ τοῦ *τέλους* ἐκείνου καταξιούμενοι. D Ὅτε καὶ διάκρισις τῶν ἐν τῇ τοῦ Θεοῦ συναγομένων Ἐκκλησίᾳ γενήσεται, τῶν περιττῶν τῆς ἀμπέλου *κλημάτων*, καὶ τῶν ἐν αὐτῇ *βοτρύων ἀφαιρουμένων*, εἰς βοράν τε ταῖς κολαστικαῖς ἐκδιδομένων δυνάμεσιν, τῶν δὲ καρποφόρων ψυχῶν τῆς παρὰ τῷ Θεῷ τευξομένων ἐλπίδος. Τίς δὲ *ἀφέλει*, καὶ τίς *ἐκκόψει*, δεδήλωκεν αὐτὸς ὁ Σωτὴρ παριστὰς τὴν ἄμπελον καὶ τὰ κλήματα, τούς τε ἀγαθοὺς καὶ ἀνονήτους καρποὺς, λέγων· « Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, ὁ Πατήρ μου ὁ γεωργός. » Πᾶν κλῆμα ἐν ἐμοὶ

Ita enim divini Spiritus auxilio, tanquam *nubis* alicujus effusione, ejus temperabitur puritas. Atque hæc quidem erunt, inquit, *ante messem*, ut in Dei Ecclesiis, spicarum more *florentes* significaret, sicut antea, cum « Lætabuntur coram te, tanquam qui lætantur in messe [88], » dixit ; quas etiam regiones albescere [89], et operariis multis indigere [90] ipse etiam docuit Salvator. Atque hæc quidem de Dei *civitate* ante *consummationem* futura sunt. Post autem hujus vitæ *messem*, et meræ deitatis evadent participes qui hujus *consummationis* digni reperientur, quo tempore collectorum in Ecclesia Dei discrimen habebitur : *amputatis* nimirum superfluis de vite *sarmentis*, *sublatisque* ab eodem *racemulis*, et ultricibus in cibum potestatibus abjectis ; animis autem, qui fructus ediderunt, sua spe in Deo potientibus. Quis autem esset *ablaturus*, quos item *amputaturus*, non etiam Salvator ignorari voluit, cum de vite, de sarmentis, de bonis inutilibusque fructibus in hæc verba locutus est : « Ego sum vitis vera, Pater meus est

[83] Ephes. II, 12. [84] Psal. XCII, 3. [85] Psal. XCVII, 8. [86] Psal. LXXXVI, 3. [87] Psal. XLV, 5. [88] Isa. IX, 3. [89] Joan. IV, 35. [90] Luc. X, 2.

Digitized by Google

agricola [91]. » Omnem palmitem in me, qui fructum non facit, tollet eum, ut uberiorem fructum edat. Idem rursum fusius, cum ablata similitudine adjunxit : Si quis in me non manet, foras, tanquam palmes, ejectus est, et aruit, qui postea collectus, et in ignem missus comburetur : quasi vitem se ipse, *palmites* autem discipulos appellaret. Neque vero incongruum fore arbitror, eos *racemorum* nomine, qui ab apostolis edocti sunt, significari : de quibus tanquam demortui *racemuli*, vitalisque facultatis expertes, tum demum illi abjiciuntur, qui ipso consummationis tempore nihil fructus edidisse reperientur. Sic Judas ille proditor, non aliter quam *botrus* inutilis, abscissus est. In Ecclesia deinde, quot *racemorum*, tot et animarum differentias reperias; quarum, cum *palmitum* instar habeant doctores, **256** *uvam acerbam* producit alius; alius item perfectam et maturam, alius denique ventorum malignitate corruptam. Talis eorum ergo, qui fructus edere nullos consueverunt, futurus est finis. Aliorum deinceps qui frugiferi dicuntur, ratio sequitur, cum ait : *Et afferentur munera Domino exercituum de populo attrito, et divulso.* Enimvero is fortasse fuerit, qui angustum et *tritum* ad vitam iter ingressus, a communi hominum vitæ genere separatur, ac *divellitur;* hunc etiam *magnum* evasurum affirmat apud Deum; quippe cui nec rationalia dona, nec sanguine carentes hostiæ, quæ Deo nostris istis futurisque temporibus perpetuo offerantur, unquam defuturæ sint. Aiunt vero qui *hic populus* habetur, gentem illam, quam *conculcatam et sperantem* dixit antea, significari. *Sperantem* quidem, propter patientiam : « Patientia enim magno teste Apostolo, spem operatur; spes autem non confundit [92] : » sed a persequentibus *conculcatam.* Vertit enim et Aquilas ipse, *gentem tolerantem et conculcatam.* Deinde adjicit propheta : *Quæ est in parte fluminis regionis ejus.* Verum cujusnam tandem, si non Dei? Eam enim, cum in Ecclesia versari continget, ex parte cognoscere, ex parte autem prophetare, audiemus [93]. Neque enim omne flumen Dei Verbum declarata *regio* excepit. Alios deinde *cujus terram flumina diripuerunt* transtulisse reperiemus. Hujus enim persecutores *terram diripuisse,* cum Dei civitatem conculcarunt, vel eo constat, quod fluvios venisse, et flavisse ventos, et torrentem animam nostram pertransisse legimus [94]. Cæterum liberatus Dei *populus munera Domino in monte Sion,* cœlesti nimirum civitate, qua per summum pontificem Christum dignus est habitus, deferet; cum ad montem Sion, ad civitatem Dei viventis, cœlestem Jerusalem, ascendere jubeamur [95]. At sunt, qui verba ista aliter interpretari, mirum putant, cur, cum sit in Damascum prophetia, in *Æthiopiæ* **257** mentionem inciderit. Volunt itaque Deum, qui variis modis in se peccantem Israelem castigare statuisset, id crebris hostium incursionibus effecisse; quibus cum resi-

μὴ φέρον καρπὸν, αἴρει αὐτό. Καὶ πᾶν τὸ καρπὸν φέρον καθαίρει αὐτὸ, ἵνα καρπὸν πλείονα φέρῃ. Καὶ πάλιν πλατύτερον εἰπὼν, τὴν παραβολὴν ἐπήγαγεν, Ἐὰν μή τις μείνῃ ἐν ἐμοὶ, ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, καὶ ἐξηράνθη · καὶ συνάξουσιν αὐτὸ, καὶ εἰς πῦρ βαλοῦσι, καὶ καίεται · ἑαυτὸν μὲν ἄμπελον εἰπὼν, *κλήματα* δὲ, τοὺς μαθητάς. Οἷς ἀκόλουθον *βότρυς* νοεῖν τοὺς ὑπὸ τοῖς ἀποστόλοις μαθητευομένους· ὧν τὰ ὥσπερ νεκρίμαῖα *βοτρύδια*, καὶ ζωτικῆς δυνάμεως ἄμοιρα, κατὰ τὸν τῆς συντελείας καιρὸν, μετὰ τῶν μὴ φερόντων καρπὸν κλημάτων ἀποβληθήσεται. Οὕτως Ἰούδας ὁ προδότης, ὡς *βότρυς* ἄχρηστος ἀπεκόπτετο · καὶ ἐν Ἐκκλησίᾳ δὲ, ὅσαι *βοτρύων* διαφοραὶ, τοσαῦται ψυχῶν. Τῶν διδασκάλων *εἰς κλημάτων* λόγον λαμβανομένων κυπρίζει τις, ἡ δὲ *δμῶαξ*, ἡ δὲ τελεία, ἡ δὲ ἀνεμόφθορος. Τῶν μὲν οὖν ἀκάρπων τὸ τέλος τοιοῦτον · τῶν δὲ καρποφόρων ἐπήνεγκε λέγων · *Καὶ ἀνεσχέθησεται δῶρα Κυρίῳ Σαβαὼθ ἐκ λαοῦ τεθλιμμένου καὶ ἐκτετιλμένου.* Εἴη δ' ἂν οὗτος ὁ τὴν στενὴν καὶ *τεθλιμμένην* ὁδεύων τὴν ἀπάγουσαν εἰς τὴν ζωὴν, ὃς *ἐκτέτιλται* τῆς κοινῆς τῶν ἀνθρώπων ἠλλοτριωμένος ζωῆς. Ὃν καὶ *πολὺν* φησιν, ὡς παρὰ Θεῷ τοιοῦτον ὑπάρχοντα, οὗ τὰ λογικὰ δῶρα, καὶ τὰς ἀναιμάκτους θυσίας μὴ διαλείπειν φησὶ Θεῷ προσφερομένας ἔν τε τῷ νῦν αἰῶνι καὶ μέλλοντι. Ὁ δὲ *λαὸς οὗτος*, τὸ ἄνω ῥηθὲν ἐστιν ἔθνος *καταπεπατημένον* φασὶ καὶ *ἐλπίζον*. Διὰ μὲν τὴν ὑπομονὴν *ἐλπίζον*. « Ἡ γὰρ ὑπομονὴ ἐλπίδα [κατεργάζεται], ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, » κατὰ τὸν μέγαν Ἀπόστολον. Ὑπὸ δὲ τῶν διωξάντων *καταπεπατημένον*. Καὶ γὰρ Ἀκύλας ἐξέδωκεν, *ἔθνος ὑπομένον καὶ συμπεπατημένον*. Μεθ' ἃ φησιν ὁ προφήτης, *ὃ ἐστιν ἐν μέρει ποταμοῦ τῆς χώρας αὐτοῦ*. Τίνος δὲ, ἢ τοῦ Θεοῦ; ἐρεῖ γὰρ ἐν Ἐκκλησίᾳ πολιτευόμενον, ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. Οὐδὲ γὰρ τὸν πάντα *ποταμὸν* ἐχώρει τὸν τοῦ Θεοῦ λόγον ἡ δηλωθεῖσα χώρα. Κατὰ δὲ τοὺς ἄλλους ἑρμηνευτὰς, *οὗ διήρπασαν ποταμοὶ τὴν γῆν*, εἴρηται · τούτου γὰρ *τὴν γῆν* οἱ διῶκται *διήρπασαν*, τὴν τοῦ Θεοῦ καταπατήσαντες πόλιν, ὡς δηλοῖ τό · ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ τὸ χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν. Ὁ δὲ τοῦ Θεοῦ *λαὸς* ἐλευθερωθεὶς ἀνοίσει *δῶρα Κυρίῳ ἐν ὄρει Σιὼν* τῆς ἐπ' οὐρανίου πόλεως καταξιωθεὶς ὑπ' ἀρχιερεῖ τῷ Χριστῷ. Προσεληλύθατε γάρ, φησὶ, Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος Ἱερουσαλὴμ ἐπ' οὐρανίῳ. Τὴν δὲ παροῦσαν ῥῆσιν ἄλλως τινὲς ἐξηγούμενοι θαυμαστόν φασιν εἰ κατὰ Δαμασκοῦ μὲν ὁ λόγος, *Αἰθιοπίας* δὲ πεποίηται μνήμην. Πρὸς ὃ φασιν, ὡς διαφόρως ἀσεβοῦντα Θεὸς παιδεύων τὸν Ἰσραὴλ, πυκνὰς αὐτοῖς πολεμίων ἐπήγετο προσβολὰς · καὶ δέον ἐπὶ τούτοις μετανοεῖν, ποτὲ μὲν τοὺς Σύρους, ποτὲ δὲ τοὺς Αἰγυπτίους πρὸς συμμαχίαν ἐκάλουν, ὧν καὶ τὰς λατρείας ἐζήλουν· Ἄχαζ γ' οὖν ἐν Δαμασκῷ γεγονὼς, περιττὸν ἰδὼν ἐκεῖ τῇ κατασκευῇ βωμὸν, ἐμφερὲς ποιήσας ἀνέθηκεν ἐν οἴκῳ Κυρίου.

[91] Joan. xv, 1. [92] Rom. v, 4, 5. [93] I Cor. xiii, 9. [94] Psal. cxviii, 5. [95] Hebr. xii, 22.

Digitized by Google

pisci ere, ad eumque redire debuisset, ad Syros potius, et Ægyptios, quos in belli societatem imitato religionis cultu advocabant, sese contulisse. Achazus enim operosam et vario instructam ornatu Damasci aram intuitus, eidem persimilem in Domini domum excitari et consecrari curavit.

Γέγονε τοίνυν ἡ ὅρασις κατὰ *Δαμασκοῦ*. Τὸν δὲ A λόγον ἐπὶ τοὺς *Αἰγυπτίους* μεθίστησιν, ὧν οἱ ἐξ Ἰούδα μάλιστα τῆς συμμαχίας ἐξήρτηντο, καθ' ὃν αὐτοῖς καιρὸν ἐπῆλθον οἱ Βαβυλώνιοι. Φωνὴ δὲ τοῦτο προφήτου παρίστησιν, οὐαὶ λέγουσα οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις καὶ ἅρμασι πεποιθότες. Ὅτε δὲ Ναβουχοδονόσωρ κατὰ Ἰουδαίας ἐστράτευσεν, ὁδοῦ πάρεργον τὰς τῆς ἑῴας ἐληΐζετο πόλεις. Τὴν δὲ Σύρον [c] νῆσον οὖσαν ἀπορίᾳ πλοίων ἐλεῖν μὴ δυνάμενος, μέσῳ χώματι συνάψας πρὸς ἤπειρον πεζῇ διαβὰς ἐπολιόρκει τὴν πόλιν. Τὸ δὲ μέλλον δεδιότες οἱ Τύριοι, μετεσκευάσαντο πρὸς τὰς ναῦς ἐρήμην ἀφέντες τὴν πόλιν. Διὸ ταύτην ἀφεὶς, τὴν *Αἰγυπτίων* ἐλθὼν ἐχειρώσατο, θεοῦ παραδόντος διὰ τὴν ἀλαζονείαν, ἣν εἶχον κατ' αὐτοῦ, καὶ τῶν Ἰουδαίων Αἰγύπτιοι πρὸς ἐπικουρίαν B ὑπὸ τούτων καλούμενοι, ὡς δὴ τούτους τοῦ Θεοῦ μὴ σώζειν ἰσχύοντος, δυνατωτέρους θεοὺς τοὺς ἰδίους νομίζοντος. Ταῦτα δηλῶν πρὸς Ἰεζεκιὴλ φησιν ὁ Θεός· « Υἱὲ ἀνθρώπου, Ναβουχοδονόσωρ βασιλεὺς Βαβυλῶνος κατεδουλώσατο αὐτοῦ τὴν δύναμιν δουλείᾳ μεγάλῃ ἐπὶ Τύρον. Πᾶσα κεφαλὴ φαλάκρωμα, καὶ πᾶς ὦμος μαδὼν, καὶ μισθὸς οὐκ ἐγενήθη αὐτῷ, καὶ τῇ δυνάμει αὐτοῦ, ἀντὶ τῆς δουλείας τῆς σκληρᾶς ἧς ἐδούλευσεν ἐπὶ Τύρῳ. Ἀντὶ τούτου ἔδωκα αὐτῷ γῆν Αἰγύπτου. » Διόπερ ὁ προφήτης αὐτῇ ἐπιφωνεῖ τὸ, *Οὐαί. Αἰθιοπίας δὲ ποταμοὺς* τὰ ἑπτὰ στόματα τοῦ Νείλου δηλοῖ· γῆν δὲ ἐπέκεινα *ποταμῶν* ὀνομάζει τὴν νῦν Ἀλεξάνδρειαν, τότε καλουμένην Ὦρ [d]. Καὶ Ἀμὼν δέ φασί τινες ἐξηγησάμενοι τὸν C Ἱερεμίαν, ἐλέγετο. Ἀφέστηκε δὲ τοῦ τελευταίου στόματος, ὅπερ Ἡράκλειον ὀνομάζεται, σταδίοις τάχα που τὸν ἀριθμὸν ὀγδοήκοντα. Διὸ ταύτην *ἐπέκεινα*, φησὶ, *ποταμῶν*. Οὗτοι δὲ τὸν Νεῖλον ἄνω κάτω διέπλεον, τὰ μὲν ἐξάγοντες, τὰ δὲ κομιζόμενοι. Διὸ ταλανίζει τὰς τούτων *ὁλκάδας*, δι' αὐτῶν δηλῶν τοὺς ἐμπλέοντας, ὡς διαφθαρησομένης αὐτοῖς, καθ' ὃν ἁλώσονται χρόνον, τῆς ἐμπορείας. *Πτέρυγας* δὲ *πλοίων* τὰ ἱστία καλεῖ. Πτηνοῦ γὰρ δίκην ἐμπιπτόντων αὐτοῖς τῶν πνευμάτων αἱ νῆες διέρχονται.

Est ergo in *Damascum* visio quidem : sed ad *Ægyptios* etiam, ad quorum auxilium Judas eo tempore confugerat, quo a Babyloniis premebatur, oratio transfunditur. Atque id ipsum quidem vel prophetæ sermo indicat, cum illis imprecatur, qui ab Ægyptiis in equis et curribus gloriantibus auxilium petere non dubitarunt. Nabuchodonosor autem cum in Judæam exercitum duceret, orientis urbes obiter deprædabatur. Verum cum navigiorum penuria, et Tyrum quoque adhuc insulam capere non posset, opere interjecto continenti additam pedestri milite tandiu oppugnare non destitit, quoad rei eventum exstimescentes Tyrii deserta urbe salutem sibi tutam navibus esse maluerunt. Itaque cum urbe relicta in *Ægyptios* movisset, illis potitus est, propter arrogantiam, qua adversus ipsum et Judæos usi fuerant, a quibus se in auxilium accersitos putabant, tanquam eos servare Deus non posset, aut potentiora numina haberent. Quod Dei ipsius ad Ezechielem verbis pateat, cum ait : « Fili hominis, Nabuchodonosor rex Babylonis servire fecit exercitum suum servitute magna adversus Tyrum. Omne caput calvum est redditum, et omnis humerus detritus est, et merces non est reddita ei, neque exercitui ejus de Tyro, pro servitute dura, quam servivit mihi adversus eam. Ob id dedi ei terram Ægypti [96]. » Hinc est igitur, quod *væ* in eam exclamat Isaias. Deinde per *Æthiopiæ fluvios*, septem Nili ostia significat, ut per terram supra *fluvios* urbem nunc Alexandriam nomine, vel *No* tunc temporis, vel, ut nonnullis placet, qui Jeremiam explicarunt, *Amon* appellatam. Abest autem ab ultimo fluvii ostio, quod Heraclium vocant, **258** stadiis fere octoginta : unde est, quod *supra fluvios* esse dicit. Verum quia sursum deorsum ab illis Nilus mercibus partim educendis, partim inducendis navigabatur, eorum ideo *naviculas*, id est naviculis delatos, infelices dicit, quod quo capientur tempore, ista etiam illis mercaturæ exercendæ peritura sit facultas. Deinde quod *alas navium* dixit, vela certe significare voluit ; cum irruentibus in ea ventis, more avium per mare ferri naves videamus.

Ὁμήρα δὲ διὰ *θαλάσσης καὶ βιβλίνας ἐπιστολὰς* οὕτω φασί. Κινύραν λέγουσί τινες ποιηταὶ Μύρρᾳ τῇ θυγατρὶ συγγενόμενον, παῖδα ποιῆσαι τὸν Ἄδωνιν. Τὴν δὲ πρᾶξιν αἰδεσθεὶς ἐν ὄρει τοῦτον ἐξέθετο. Νύμφαι δὲ τοῦτον ὀρεάδες ἐξέθρεψαν. Εὐπρεπὴς δὲ τὴν ὥραν γενόμενος μετήρχετο κυνηγέσια. Ὃ συνῆλθεν Ἀφροδίτη τὸ κάλλος θαυμάσασα· ἐφ' ᾧ ζηλοτυπήσας Ἄρης (ἦν γὰρ αὐτῆς ἐραστὴς) εἰς σῦν μεταβληθεὶς θηρῶντα τοῦτον ἀπέκτεινε. Τὸ δὲ πάθος Ἀφροδίτη μὴ φέρουσα, καὶ πρὸς αὐτὸν ἐχώσει τὸν D

Præterea cur *obsides per mare et biblinas epistolas* addidit, sic explicat. Placet poetis quibusdam Cinyram olim cum Myrra filia rem habuisse, natumque inde filium Adonim nomine, cujus rei cum patrem puderet, in monte fuisse expositum, et a nymphis Oreadibus educatum. Cum autem ad florem ætatis pervenisset, et venatione delectaretur, Venerem ejus pulchritudine victam, cum adolescente esse congressam : Martem deinde Veneris amore captum, et id ipsum ægre ferentem, cum se

[96] Ezech. xxix, 18, 19.

VARIÆ LECTIONES.

[c] γρ. Τύρον. [d] γρ. Νῶ.

Digitized by Google

in aprum mutasset, venantem interemisse : Venerem autem cum mortis dolorem ferre non posset, etiam ad inferos, ut amasium inde referret, penetrasse. Verum cum et ibi etiam a Plutonis conjuge adamari eumdem contigisset, anno in duo tributo, ut adolescente sex mensibus divæ alternis potirentur inter easdem convenisse. Postea vero, cum id reversa amicis narrasset, instituta festorum celebritate sicut antea desiderium absentis luctu testati fuerant, eosdem revertenti esse congratulatos. Atque horum utrumque in posterum ad nostra etiam usque tempora (si hujus sententiæ auctori credimus) Alexandriæ celebrari cujusmodi ritum orgiorum etiam Judæi veræ pietatis immemores postea sibi assumpserunt. Nam et apud Ezechielem in hæc verba legimus : « Et vidi, et ecce sedentes mulieres Thammuz (id est Adonim) lugebant[37]. » Tale vero quiddam erat, quod urbis illius cives efficiebant. In testam litteras ad mulieres, quæ *bibli* erant, tanquam Adonide reperto, conjiciebant ; quod,obsignata postea, sacrisque peractis in mare demissa, ut dicebant, qui mittebant, Biblum sponte deferebatur, lugendique civitatis mulieribus finem adventu **259** faciebat. *Væ* ergo cum *navibus*, inquit, tum iis etiam, *qui in mari obsides mittunt*, nimirum qui traditis inter se sceleris societatisque pignoribus, eodem impietatis morbo laborarunt, *neque nares*, sed commissam *maris tergo* testam mittunt.

Non solum itaque qui *supra Æthiopiæ fluvios* degunt, petentibus Israelitis auxilium promiserunt, sed quod fuerant polliciti, quanquam nec ita valde profecerunt, miserunt. Exacerbati siquidem inde Babylonii cum in Ægyptios arma pararent, missis ex Judæa cursoribus, quos *celeres nuntios* appellat Isaias, belli hujus apparatus certiores facti sunt. Quod deinde *gentem excelsam Ægyptios* dicit, id ideo facit, ut eorum vel fastum, vel dementiam designet. Non aliter quam cum *peregrinam et gravem*, ut omnes asperitate vincere demonstret. *Quis* enim, inquit, *supra illum?* id est *quis* in his quæ dicta sunt, *Ægyptiis* superior? Fuerunt autem idololatriæ addictissimi Ægyptii, unde *gentem esse conculcatam*, veluti quæ fide in Deum destituta, dæmonumque fraudibus objecta ab Assyriis etiam *conculcaretur*, significavit. Neque vero expugnationis modum reticuit, cum *Ægypti fluvios*, id est aquæ divortia ; cum paludes ipsas quibus tantum superbiebant, ut iis inexpugnabilem esse Ægyptum crederent, transituros Assyrios cum omni aquarum denique congerie desiccata, regionem eam tanquam habitabilem futuram esse dixit. Ita autem cunctis *Ægyptiorum*, ait, nota erit afflictio, ut palam *signum* exercitui intuendum elevari, aut *ipsam tubæ vocem*, quo possit audiri facilius, attolli putes. Nec in his tamen est, ait, quod *urbem meam perire* me passurum arbitreris ;

ᾄδην ἀνοίσουσα τὸν ἐρωμένον. Ὡς δὲ καὶ ἡ τοῦ Πλούτωνος ἀντήρα τούτου γυνὴ, συνέθεντο πρὸς ἀλλήλας μερισθέντος εἰς δύο τοῦ ἔτους, πρὸς ἥμισυ συνεῖναι τῷ νέῳ. Ὡς δὲ ἀνελθοῦσα τοῦτο τοῖς φίλοις ἀπήγγειλε, πανήγυριν ἦγον τὴν ἄνοδον, ὥσπερ οὖν καὶ θρῆνον τὴν κάθοδον. Ἅπερ ἄμφω καὶ διὰ τῶν μετὰ ταῦτα χρόνων ἐκράτησεν. Καὶ δὴ καὶ κατ' Ἀλεξάνδρειαν ἡ τοιαύτη πανήγυρις ἦγετο μέχρι τῶν καθ' ἡμᾶς χρόνων, φησὶν ὁ τὴν ἐξήγησιν τὴν παροῦσαν εἰπών. Τῶν τοιούτων ὀργίων καὶ Ἰουδαῖοι δυσσεβοῦντες μετέλαβον. Φησί γ' οὖν Ἰεζεκιὴλ, « Καὶ εἶδον, καὶ ἰδοὺ ἐκεῖ γυναῖκες καθήμεναι θρηνοῦσαι τὸν Θαμμοὺζ, ὅπερ ἐστὶ τὸν Ἄδωνιν. » Ἐποίουν δέ τι τοιοῦτον οἱ τὴν εἰρημένην πόλιν οἰκοῦντες. Κέραμον λαβόντες ἐνέβαλλον ἐπιστολὴν πρὸς τὰς ἐν *βίβλῳ* γυναῖκας ὡς εὑρηθέντος Ἀδώνιδος. Εἶτα σφραγίσαντες ἐνέβαλλον τῇ θαλάττῃ, τελετάς τινας ἐπ' αὐτῷ ποιησάμενοι, καὶ, ὡς οἱ πέμποντες ἔλεγον, αὐτομάτως εἰς βίβλον ἀπεκομίζετο, καὶ πέρας θρήνου ταῖς ἐκεῖ γυναιξὶν ἀπειργάζετο. *Οὐαὶ* τοίνυν, φησὶ, *πρὸς τοῖς πλοίοις καὶ τοῖς ἀποστέλλουσιν ἐν θαλάσσῃ ὄμηρα*, τοῦτ' ἔστι τῆς ὁμοφροσύνης ἐνέχυρα τοῖς τὴν αὐτὴν νοσοῦσιν ἀσέβειαν, *οὐ πλοίοις*, ἀλλ' ἐπὶ *νώτων θαλάττης* ἀφιεῖσι τὸν κέραμον.

Οἱ οὖν *ἐπέκεινα ποταμῶν Αἰθιοπίας* αἰτοῦσιν ἐπικουρίαν τοῖς ἐξ Ἰσραὴλ οὐκ ἐπηγγείλαντο μόνον, ἀλλὰ γὰρ καὶ πεπόμφασιν, εἰ καὶ ὤνησαν οὐδὲν ἀποστείλαντες. Διόπερ ἀγαναχτήσαντες ἐπῆλθον Αἰγυπτίοις οἱ Βαβυλώνιοι. Μελλόντων οὖν αὐτοῖς τούτων ἐπιστρατεύειν, δρομαῖοί τινες ἐκ τῆς Ἰουδαίας τὴν μέλλουσαν ἀπήγγελον ἐφοδον. Τούτους ὁ προφήτης *κούφους ἀγγέλους* καλεῖ. *Ἔθνος* δὲ *μετέωρον τοὺς Αἰγυπτίους* καλεῖ, τὸ ὑπερήφανον, ἢ τὸ ἄφρον δηλῶν. *Σέον δὲ καὶ χαλεπὸν*, ὡς ξενίζον ἐν χαλεπότητι, καὶ πρὸς τοῦτο μηδένα ἔχον ἐπέκεινα. *Τίς* γὰρ *αὐτοῦ ἐπέκεινά* φησι; Τοῦτ' ἔστι, *Τίς* ἐν τοῖς εἰρημένοις *Αἰγυπτίους* νικᾷ ; Σφόδρα δὲ ἦσαν εἰδωλολάτραι. Διὸ καὶ *ἀνέλπιστον ἔθνος* καὶ καταπεπατημένον τούτους εἶναί φησιν, ὡς οὐκ ἔχον ἐπὶ Θεῷ τὴν ἐλπίδα, καὶ ὑπὸ δαιμόνων ταῖς ἀπάταις *καταπατούμενον*. Διὸ καὶ ὑπὸ τῶν Ἀσσυρίων *καταπεπάτηνται*. Τὸν δὲ τῆς ἀλώσεως τρόπον ἐπήνεγκεν, οὕτως εἰπὼν τοὺς Ἀσσυρίους διαβήσεσθαι *τῆς Αἰγύπτου τοὺς ποταμούς*, τὰς διώρυχας. Οὕτω καὶ τὰς λίμνας εἰπὼν, ἐφ' οἷς ἐφρόνουν ὡς ἀνάλωτον αὐτοῖς ποιοῦσι τὴν Αἴγυπτον, ὡς δοκεῖν πως; καὶ χώραν εἶναι τούτους[e] κατοικουμένην ἀποξηραινομένης πάσης ὑδάτων συστάσεως. Τὸ δὲ *τῶν Αἰγυπτίων* πάθος φησὶν, οὕτω πᾶσι δῆλον γενήσεται, ὡς *σημεῖον* ἀφ' ὕψους σύνθημα στρατοπέδῳ γινόμενον, καὶ ὡς *φθεγγομένη σάλπιγξ* ἀκουστόν; Ὧν δὴ γινομένων φησὶ, *τὴν πόλιν σώσω τὴν ἐμαυτοῦ*, τὰ κατὰ Ῥαψάκην, καὶ

[37] Ezech. VIII, 14.

VARIÆ LECTIONES.

[e] γρ. τούτων.

Digitized by Google

τας ρπε' χιλιάδας ἀπολομένας δηλῶν. Οὕτω δέ φησι τὰ τῆς σωτηρίας ἔσται πᾶσι περιφανῆ, καθ' ἃ δὴ καὶ φῶς ἡλίου *μεσημβρινὸν*, καὶ τοῖς κινδυνεύουσι τὰ τῆς ἐμῆς ἐπικουρίας καὶ σκέπης ὡς *νεφέλη δρόσου γενήσεται πρὸ τοῦ θερισμοῦ*. Δρόσου γὰρ οἱ *θερίζοντες* δέονται εὐαφεῖς αὐτοῖς προποιούσης τοὺς στάχυας. Καὶ κατ' εὐχὰς αὐτοῖς ἡ *δρόσος* δεομένοις ἐγγίνεται, καθὰ καὶ τοῖς Ἰουδαίοις ἡ παρὰ Θεοῦ σωτηρία. Μεταφορικῶς δὲ λοιπὸν ἀπὸ τῶν γεωργούντων τὰ μέλλοντα πάθη παρίστησιν, ἢ τοῖς πολιορκήσασιν Ἱερουσαλὴμ Ἀσσυρίοις [ἢ καὶ τοῖς Αἰγυπτίοις]· ἐπειδ' ἂν γὰρ *οἱ βότρυες ἐξανθήσωσιν καὶ ὄμφακες γένωνται*, περικόπτουσι *τῶν κλημάτων* καὶ τῶν *βοτρύων* τὰ περιττὰ, καὶ οἷον ἐπιφυλλίδας, ὡς μὴ συμπνίγειν τὰ κρείττονα καὶ χρηστότερα.

A Rapsacen his verbis [98], et virorum centum octoginta quinque millium, qui postea perierunt, exercitum significans. Ita autem, ait, quæ ad ejus salutem spectant, clara omnibus et manifesta apparebunt; ut cum Solis *lumen ipso meridie* intuemur. Ille deinde, qui in periculo versantur, *tanquam roris* **260** *nubes ante messem*, protectio mea, meumque auxilium nunquam defuturum est. *Rore* enim *messores* indigent, ut stipularum mollior exsistat complexus: qui se egentibus fiat tum ex voto contingit maxime: non aliter quam Judæis a Domino cum salus concessa est. Deinceps autem sumpta ab agricolis metaphora, quæ ab Assyriis Jerusalem obsidentibus, vel Ægyptiis etiam eventura sint declarat. Solent enim *in sarmentis et botris*, qui *flore deposito* in *fructum acerbum* jam evaserunt, superflua et tanquam tenuiorum pampinorum luxuriem, ne quod melius et præstantius est suffocetur, amputare agricolæ.

Οὕτως οὖν ἐπὶ μὲν τῶν Ἀσσυρίων τὸν πολὺν καὶ λεπτὸν ἀνεῖλε λαὸν ὁ Θεός. Ὧν τὰ πτώματα τρυφῇ [f] γέγονε *τοῖς θηρίοις καὶ πετεινοῖς*. Ὁ δὲ *μεγάλου βότρυος* δίκην ἐπέχων ὁ βασιλεὺς τοῖς ἐπηκόοις οὐ συναπόλωλεν. Ἐπὶ δὲ τῶν Αἰγυπτίων νοήσεις, ὅτι μὴ πᾶσαν αὐτῶν τὴν χώραν εἷλον οἱ δυσμενεῖς· ἀλλ' οἷον μικρσῖς *βοτρυδίοις*, ταῖς κατὰ τόπους συνοικίαις ἢ κώμαις ἐπαφιέντες τὴν μάχαιραν, συνεμέτρησαν τοὺς θυμοὺς τοῦ φιλανθρώπου Θεοῦ, παιδεύοντος μὲν τοὺς προσκρούοντας, οὐκ εἰς ἅπαν δὲ συγχωροῦντος τοὺς παιδευομένους ἀπόλλυσθαι. Τοιγαροῦν ἐφεξῆς περὶ τῆς αὐτῶν ἐπιστροφῆς διεξέρχεται. Τὴν γὰρ τῶν εἰδώλων ἀσέβειαν ἀρνησάμενοι, τὴν εἰς Θεὸν τῶν ὅλων προσδέξονται πίστιν, *δῶρα* προσφέροντες εἰς ὀσμὴν εὐωδίας, ἐλπίδα, πίστιν, ἀγάπην. Διὰ δὲ τὰς ἐκ Θεοῦ παιδείας ἐπενεχθείσας αὐτοῖς, *λαὸν* αὐτὸν *τεθλιμμένον* [g] πρὸς ἀμείνω ζωὴν, δίκην μοσχείας ὠφελούσης πρὸς αὔξησιν. Ὥσπερ γὰρ ἐκ πλάνης εἰς θείας ἐννοίας μετεφυτεύθησαν καὶ καρποφοροῦσι διηνεκῶς. Ὅθεν αὐτοὺς καὶ μέγαν ὀνομάζει λαὸν ἐν τοῖς κατὰ Χριστὸν πᾶσιν ἀκμάζοντας ὅσον ἐν πλάνῃ τὸ πρότερον. Οὗ γὰρ ἐπερίσσευσεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις. Τὸν δὲ τῆς καρποφορίας *τόπον* διὰ τῆς *Σιὼν* τὴν Ἐκκλησίαν ἐκάλεσεν, διὰ τὸ ταύτης ὕψος ὄρος εἰπών. Οὐδὲν γὰρ χθαμαλὸν ἐν αὐτῇ, καὶ δηλοῖ τοὔνομα σκοπευτήριον. Τὸ δὲ, Ὃ ἐστιν *ἐν μέρει ποταμοῦ τῆς χώρας αὐτοῦ*, ὅτι περ ἡ πρὸς Θεὸν τῶν Αἰγυπτίων ἐπιστροφὴ ἐκ μέρους ἀρξαμένη τῆς χώρας, διὰ πάσης διέδραμεν Ῥινοκορούριων, τυχὸν ἢ τινος τῶν αὐτόθι πόλεων *ἐπέκεινα* κειμένων *τοῦ ποταμοῦ*. Λέξει γὰρ προῶν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται θυσιαστήριον τῷ Κυρίῳ ἐν χώρᾳ Αἰγυπτίων, καὶ στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ Κυρίῳ. *Πεπατημένον* δέ φησι *τὸν λαὸν* τοῖς τοῦ πολέμου δεινοῖς, *ἐλπίζειν* δὲ ὡς δὴ θέμενον ἐπὶ Θεῷ τὴν ἐλπίδα.

B Ad hunc igitur modum qui inter Assyrios numerosior et tenuior erat populus, a Domino sublatus est, eorumque cadavera rege excepto qui *magni botri* instar cladem evasit, *feris et avibus* in escam relicta. Possis vero ad Ægyptios referre, si non universam ipsorum regionem hostes cepisse, sed in ædes aliquot et vicos, dum se ad clementis et mansueti Dei in puniendo rationem temperarent, qui castigare magis, quam delere funditus consuevit, tanquam in *racemulos* gladium convertisse intellexeris. Atque hinc quidem est quod de eorum conversione, in iis quæ postea sequuntur disputari videmus. Fidem enim, ait, in Deum universi, abjurata idolorum impietate, *donisque* in suavitatis odorem, spe, fide atque C dilectione oblatis, amplexabuntur. *Populum* autem ipsum, propter pœnas, quas immittente Deo perpessus est, *afflictum* vocat. Vocat et avulsum, ut facto ad vitam præstantiorem transitu, ista tanquam viviradicum usitata agricolis translatione, nonnihil ad incrementum profuisse ostendat. Ab errore enim in veram Dei cognitionem veluti transplantati, fructus edere nunquam desinunt. Atque hinc est, quod eos populum magnum, id est, tantum jam fidei in Christum, quantum antea errore potentes et florentes appellat. Ubi enim abundavit peccatum, ibi et gratia. Nec vero offerendorum fructuum *locum* ignorari voluit, qui *Sionis*, id est Ecclesiæ, quam ab altitudine montem appellavit, D meminerit. **261** Nihil enim in ea humile, vel ipsa nominis ratione, quæ speculum significet reperias. Ideo autem quæ est *in parte fluvii regionis ejus* adjecit, ut Ægyptiorum ad Deum conversionem, sumpto a parte initio, universam regionem percurrisse, et ad Rinocoruros usque, vel aliam aliquam urbem quæ *supra fluvium* sit, pervenisse demonstret. Dicet enim postea fore die illa altare Domino in Ægyptiorum regione, et columnam in finibus ipsius Domino. At quod *populum attritum* addidit, ad belli calamitates retulit. Quod item *sperantem*, ad spem, quæ in Deum est.

[98] IV Reg. XIX, 1 seqq.

VARIÆ LECTIONES.

[f] γρ. τροφῇ. [g] Ἰσ. λείπει, καὶ εἶτα καὶ τετιλμένον, ὡς μεταβάσεως.

Digitized by Google

CAP. XIX.

VISIO ÆGYPTI.

262 VERS. 1 - 15. *Ecce Dominus sedet super nubem levem et veniet in Ægyptum, et movebuntur manufacta Ægypti a facie ejus, et cor eorum superabitur in eis; et excitabuntur Ægyptii in Ægyptios, et bellabit homo adversus fratrem suum, et homo contra proximum suum, civitas adversus civitatem, regio adversus regionem*, etc.

263 Superioribus, quæ mari fluvioque Ægypti convenirent (unde et eorum, qui Christum annuntiarent, viam fore perfacilem patuit), allata sunt. Jam Ægyptiis quæ faustissima impendeant, istis demonstrantur. Neque vero in præcedentium visionum ulla *venire in nube leni* Dominum, sed peculiaria quædam de singulis dici reperias. Inscribitur autem *Ægypti visio*, non adversus Ægyptum, ut superiores nonnullas, vel quod perspicaciori mente, quæ dicuntur, *intuitura sit Ægyptus*, vel quod *Ægypto* quæ conducant, prophetia contineat. Quid enim quam quod in ea peregrinatus est Dominus, et suæ participem cognitionis effecit, habeat beatius? *in nube* autem, ait, id est, eo quod de Spiritu sancto, sanctaque Virgine assumpsit, corpore *veniet*. Ut enim aere terræque exhalatione *nubem*, sic Spiritu sancto, terrenaque substantia Domini corpus constare credimus : quo cum veheretur, puer in *Ægyptum venit*, ut eam ineffabili quadam virtute, sua ista peregrinatione maximis cumularet beneficiis. Ea enim maxime omnium præter cæteros *Ægyptii* indigere videbantur, qui tam longe a religione recesserant, ut ne a brutorum quidem animalium cultu abstinerent ; qui regem rursus, magno adversus providentiam universique gubernationem fastu, Deum a se ignorari publice profitentem haberent ; qui denique Israelitas hostili semper infestoque animo fuissent insectati. Hinc est igitur quod eum maxime ignorantibus, sublato omni idolorum cultu, hujus futura longo ante tempore cognitio prædicitur. Quod si *in nube* non adjecisset, virtute quadam corporis experte, qua omnia in omnibus exsistens moderatur, id facere videatur. In mundo enim erat, mundusque per ipsum factus est [99], qua ratione et in *Ægypto* etiam ante fuisse, in qua Moseu et Aaronem allocutum esse constat, nemo negabit. Erat præterea et Dominus cum Josepho : superfluumque videatur ad singulas regiones ejus virtutem accommodare. Enimvero *nubis* nomine, corpus ipsum, in quo nobiscum versatus est, ideo forsitan significavit, quod terrenis motibus liberatus, peccatum ullum admisisset, nec in ore fraudis

Sunt tamen qui per *levem nubem* sacrosanctam Virginem, a qua in Ægyptum ulnis est delatus,

[99] Joan. I, 10. [1] Isa. LIII, 9 ; I Petr. II, 22.

ΚΕΦΑΛ. ΙΘ'.

ΟΡΑΣΙΣ ΑΙΓΥΠΤΟΥ.

α'-ιε'. *Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς. Καὶ ἐπεγερθήσονται Αἰγύπτιοι ἐπ' Αἰγυπτίους, καὶ πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ, πόλις ἐπὶ πόλιν, καὶ νομὸς ἐπὶ νομόν*, κ. τ. λ.

Συγγεγενημένη[h] δὴ τοῖς εἰρημένοις ἐῤῥέθη περὶ θαλάσσης Αἰγύπτου καὶ ποταμοῦ. Πλὴν ἀλλ' ἐκεῖνα μὲν ἐδήλου ῥᾷστην ὁδὸν ἔσεσθαι τοῖς εὐαγγελιζομένοις Χριστόν· τὰ δὲ παρόντα προεφώνει[i] τοῖς Αἰγυπτίοις τὰ κάλλιστα. Ἐπ' οὐδεμιᾶς δὲ τῶν εἰρημένων ὁράσεων ἥξειν ὁ Κύριος *ἐπὶ νεφέλης κούφης* ἐλέγετο. Ἕτερα δέ τινα περὶ αὐτῶν ἰδιάζοντα· Αἰγύπτου δὲ ὅρασις, ἀλλ' οὐ κατ' Αἰγύπτου, καθάπερ ἐπὶ τῶν ἄλλων προγέγραπται· ἢ ὡς αὐτῆς *Αἰγύπτου μελλούσης ὁρᾶν* νῷ διορατικῷ τὰ λεγόμενα· ἢ ὡς τῆς προφητείας περιεχούσης *Αἰγύπτῳ* τὰ κάλλιστα· τί γὰρ μακαριώτερον τοῦ ἐπιδημῆσαι ταύτῃ τὸν Κύριον, καὶ γνώσεως μεταδιδόναι τῆς ἑαυτοῦ; Ἥξει δέ φασιν *ἐπὶ νεφέλης κούφης*, ἢ ὑπὲρ ἀνείληφε σώματος ἐξ ἁγίου Πνεύματος καὶ τῆς ἁγίας Παρθένου. Ὡς γὰρ ἡ *νεφέλη* οὐκ ἄλλοθεν ἔχει σύστασιν, ἢ ἐξ ἀέρος καὶ ἀναθυμιάσεως τῆς γῆς· οὕτως ἐπὶ τοῦ Κυρίου τὸ σῶμα ἐξ ἁγίου Πνεύματος ὑπέστη καὶ γεώδους οὐσίας. Ὃ δὴ Θεὸς ἐποχούμενος κατὰ τὴν νηπίαν ἡλικίαν *ἦλθεν εἰς Αἴγυπτον* ὠφελουμένην ἀῤῥήτῳ δυνάμει διὰ τῆς εἰς αὐτὴν ἐπιδημίας τὰ μέγιστα. Ταύτης γὰρ οἱ κατ' *Αἴγυπτον* ἐξαιρέτως ἐδέοντο δεισιδαιμονέστατοι γεγονότες ἁπάντων, ὡς καὶ μέχρι τῆς τῶν ἀλόγων ζώων ἐκπεπτωκέναι λατρείας· ὡς καὶ γυμνῇ κεφαλῇ τὸν τούτων βασιλέα βοᾷν, οὐκ οἶδα τὸν Κύριον. Οὕτως ἀδέσποτόν τε καὶ ἀπρονόητον ἡγοῦντο τὸ πᾶν. Διαπαντὸς δὲ καὶ τοῖς ἐξ Ἰσραὴλ ὑπῆρχον πολέμιοι. Διὸ τοῖς ἀγνοοῦσιν ἄγαν αὐτὸν ἡ τούτου προθεσπίζεται γνῶσις, πάσης εἰδώλων ἀσεβείας ἀνηρημένης. Εἰ δὲ μὴ τὸ, *ἐπὶ νεφέλης* προσέκειτο, ἔδοξεν ἂν ἀσωμάτων[k] λέγεσθαι δυνάμει, καθ' ἣν διέπει τὸ πᾶν, ὑπάρχων ἐν ἅπασιν. Ἐν τῷ κόσμῳ γὰρ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο. Ὃ τρόπῳ καὶ ἐν *Αἰγύπτῳ* πρότερον ἦν. Εἶπεν γὰρ Κύριος πρὸς Μωσέα καὶ Ἀαρὼν ἐν γῇ *Αἰγύπτου*. Καὶ πάλιν ἦν Κύριος μετὰ Ἰωσήφ. Καὶ περιττὸν ὑπῆρχεν ἐπὶ πάσης χώρας ἁρμόσαι δυνάμενον[l]. Ἀλλὰ γὰρ τὴν μετὰ σώματος ἐπιδημίαν ἐδήλωσεν, τοῦτο *νεφέλην* εἰπών. Τάχα καὶ διὰ τὸ κινημάτων ἀπηλλάχθαι γεωδεστέρων, ἐπιθυμίας τε σωματικὰς ὑπερίπτασθαι, ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη ἐν τῷ στόματι αὐτοῦ δόλος.

264 corporeisque perturbationibus, qui nec quidquam habuisset [1], superior semper fuerit.

Ἕτεροι δὲ *κούφην* ὑπειλήφασιν εἰρῆσθαι *νεφέλην* τὴν ἁγίαν Παρθένον, ἧς ἐν ἀγκάλαις εἰς Αἴγυ-

VARIÆ LECTIONES.

[h] *γρ.* συγγεγενημένα. [i] *ἴσ.* προσφωνεῖ. [j] *γρ.* ἐφ. [k] *γρ.* ἀσωμάτῳ. [l] *ἴσ. γρ.* ὑπῆρχεν ἂν ἐπὶ πάσης χώρας ἁρμόσαι δύναμιν αὐτοῦ.

Digitized by Google

πτον ἐκομίζετο· ἤγουν φασὶν, ὡς ἐπὶ ὀρόνου ὑψηλοῦ τοῦτον εἶδεν Ἡσαΐας ὑπὸ δυνάμεων θείων ὑμνούμενον. Καὶ παλαιὸν ἡμερῶν ὁ Δανιὴλ ἐπὶ θρόνου καὶ ὡς ὢν [ἀνθρώπου] μετὰ τῶν νεφελῶν ἐρχόμενον. Ἰεζεκιὴλ τε εἶδος ἀνθρώπου ἐξ ἠλέκτρου τε καὶ πυρός. Ἅπερ ἐμφασίν τινα δόξης θεοπρεπῶς καὶ μυστηρίου τοῦ κατὰ Χριστὸν ὑπαινίττεται. Οὕτω καὶ νῦν *τὴν νεφέλην* ληπτέον ἐφ' ὑετοῦ τε καὶ *δρόσου* πνευματικῆς, αὐτοῦ τε τοῦ σωτηρίου βαπτίσματος. Τοιγαροῦν τοὺς ἐξ Ἰσραὴλ ὁ Παῦλος βεβαπτίσθαι φησὶν ἐν τῇ νεφέλῃ, καὶ ἐν τῇ θαλάσσῃ. Προηγεῖτο δὲ αὐτῶν ἐν μὲν ἡμέρᾳ, νεφέλη· ἐν δὲ νυκτὶ, στύλος πυρός. Εἰ χρὴν[m] οὖν ἐπὶ καθαιρέσει τῶν Αἰγυπτίων θεοπρεπῶς ἰόντα τὸν Κύριον ἐπὶ *κούφης* ὁρᾶσθαι *νεφέλης*, δι' ἧς ἦν καὶ μόνης τῆς εἰδωλολατρείας, ἀποσμήχεσθαι τὰς κηλίδας. *Κούφη* δὲ *κούφους* ἐργάζεται τὸ τῶν ἁμαρτημάτων ἀποθεμένους φορτίον. Ἡ δὲ *κάθισις* ἢ ἀνάπαυσιν, ἤγουν ἐξουσίαν αἰνίττεται. Ἐπαναπαύεται γὰρ οὐ νομικῇ λατρείᾳ Χριστὸς, τῇ δὲ τελειώσει τῇ διὰ τοῦ βαπτίσματος, δι' ἧς καὶ βασιλεύει τῶν ἐπὶ γῆς. Κατορθοῖ δὲ τοῖς Αἰγυπτίοις ἐπιδημῶν, τὸ[n] σεισθῆναι τούτων τὰ εἴδωλα, ὅτε Θεοῦ μὲν Ἐκκλησίαι καθ' ὅλης Αἰγύπτου καθίδρυντο. Ἐπεσκόπει δὲ ταύτας ἐπιδημῶν ὁ Θεὸς κατὰ τὸ, ὅπου δύο ἢ τρεῖς συνηγμένοι εἰσὶν εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. *Καρδίαν* δὲ *τῶν Αἰγυπτίων* φησὶν *ἠττηθήσεσθαι*, μὴ ἀντιβαινόντων τῷ θείῳ κηρύγματι, τὴν δὲ καλὴν ἥτταν ἡττησομένων. Τινὲς δὲ *καρδίαν* φασὶν εἰρῆσθαι τῶν ἀγαλμάτων τοὺς δαίμονας, οὓς *ἠττηθήσεσθαι*, ἢ κατὰ τοὺς λοιποὺς ἑρμηνέας, *τακήσεσθαι* ἀφανεῖ καὶ ἀοράτῳ δυνάμει. Τούτων γὰρ ἡ πλάνη, ἐξ οὗ γεγόνασιν αὐτοῖς Ἐκκλησίαι, κατ' ὀλίγον ἐσβέννυτο. Ἐπεδήμει δὲ ταύταις ὁ Κύριος ἐνδόξῳ σώματι, τὸ[o] ἐκ νεκρῶν ἀναστάσεως, ὅπερ ἂν εἴη *νεφέλη κούφη* μεταβληθὲν τῆς φθαρτῆς καὶ γεώδους οὐσίας.

A intelligi arbitrentur : vel qua plane ratione ab Isaia cœlestium virtutum hymnis ipse laudari visus est [2] : quo pacto item Antiquus dierum in throno tanquam Filius hominis in nubibus a Daniele venire [3] ; quo denique modo humana specie electro et igne constante Ezechieli apparere. Quæ quidem ut divinæ gloriæ et arcani in Christo mysterii speciem demonstrant, sic et *nubis* nomen, pluviæ, *rorisque* spiritualis, et salutaris etiam baptismi significationem habet. Indeque est, quod in nube et mari Israelitas, quos die ipso nubes, nocte autem columna ignis anteibat, Paulo teste, baptizatos esse legimus [4]. Dominum igitur oportuit, qui ad purgandos Ægyptios observato divinitatis decoro proficiscebatur, in nube levi, qua sola idololatriæ B sordibus abluerentur, apparere. *Levem* autem ideo dicit, ut, deposito peccatorum onere, agiliores nos fieri intelligas : sicut et *sessione* ipsa vel requiem, vel certe potentiam significari. Neque enim in legis observatione, sed in ea, quæ per baptismum est, perfectione, qua etiam regnat in terris, Christus requiescit. Prospere autem ideo feliciterque Ægyptiis hic cedit adventus, quod eorum idola, quo tempore tota regione propagari Ecclesias contigit, commoveri necessum fuit. Obiisse vero ipsas, et in eis esse Deum versari solitum inde credimus, quod ubicunque duo vel tres ejus nomine congregari animadvertisset eorum in medio futurum se pollicitus sit [5]. Cæterum quod *superatum iri cor Ægyptiorum* dixit, C non divinæ prædicationi reluctaturos, sed pulchra ista utilique ratione in victoriam sese præbituros significavit. Non desunt, qui *cordis* nomine latentes in simulacris dæmonas (quos vel *superari debere*, vel, ut alii interpretantur, ignota quadam et invisibili virtute *tabe confectum iri* aiunt) ideo significari putent, quod ex quo tempore Ecclesias eos habere contigit, eorumdem fraudes excidisse paulatim videamus. **265** Ad eas vero accedebat Dominus suo illo post resurrectionem glorioso corpore (quod *nubes levis*, propter corruptibilem terrenamque substantiam immutatam dici queat) quod cum illis per Ægyptum invisibiliter ferebatur, quibus annuntiabatur.

Ἐφ' ᾧπερ ἀοράτως ὀχούμενος ἐπεδήμει συμπράττων ἐν Αἰγύπτῳ τοῖς αὐτὸν καταγγέλλουσιν. Κἂν ὅτε δὲ παῖς ὢν Αἰγυπτίοις ἐπεδήμησεν, εἴπωμεν ἀῤῥήτῳ δυνάμει, τῇ Χριστοῦ παρουσίᾳ νοητέον ἠσθενηκέναι τοὺς δαίμονας καθηρημένης αὐτῶν τῆς δυνάμεως. Ὅτε καὶ *ἐπαναστήσονται*, φησὶν, *Αἰγύπτιοι ἐπ' Αἰγυπτίους*. Ἀντὶ δὲ τοῦ *ἐπαναστήσονται*, *ἡττήσω*[p] μὲν Ἀκύλας *Αἰγυπτίους Αἰγυπτίοις· συμβαλῶ* δὲ Σύμμαχος εἰρηκεν· κατὰ τὸ, « Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν. » Οἱ μὲν γὰρ προσέτρεχον, οἱ δὲ ἀντέτεινον τῷ κηρύγματι, ὡς διεστάναι πάντα μὲν *οἶκον*, πᾶσαν δὲ κώμην, καὶ πόλιν, *καὶ χώραν*. *Νομοὺς* γὰρ ἐκάλουν τὰς χώρας. Καὶ ἄλλως δὲ, δαιμόνων *νόμος* λατρείας τῷ κατὰ Χριστὸν ἀντετάσσετο πρὸς αὐτοῦ καθαιρούμενος

Nec male præterea cum puer in Ægypto versatus est, ineffabili quadam præsentia virtutis ejus dæmonas ipsos erepta sibi potestate *superatos fugisse* dicamus, quo tempore etiam in *Ægyptios* ipsos *insurrecturi sunt Ægyptii*. Quo loco *seditionem* quidem *inter Ægyptios* Dominum *excitaturum*, D Aquilas ; *in sese* autem *commissurum* dixit Symmachus ; qua ratione idem se, non ut pacem, sed ut gladium in terram mittat, venisse profitetur [6]. Cum enim ad Evangelii promulgationem acclamarent alii, alii contra reluctarentur, eo ventum est, ut *domus* omnis omnisque vicus, omnis etiam civitas, omnis denique *regio*, *νομός* vocabulo hic significata, divideretur. Alio deinde interpretationis modo, et ipsa dæmonum lex de colendis idolis,

[2] Isa. VI, 1-3. [3] Dan. VII, 13. [4] I Cor. X, 2. [5] Matth. XVIII, 20. [6] Matth. X, 34.

VARIÆ LECTIONES.

[m] *γρ.* ἐχρῆν. [n] *γρ.* τῷ. [o] *γρ.* τῇ. [p] *γρ.* στασιάσω.

Digitized by Google

Græce *κῶμος* appellata, quam dissipato malarum voluntatum consensu in Ægypto abrogavit Dominus, ut *excitandi, in se committendique* verbis significavit) Christianæ repugnabat. Hoc enim demum est, quos duos in tres, et tres in duos dividendos esse legimus. Ideo ergo *Ægyptiorum spiritum turbatum* iri (quod *rumpendi* quidem verbo Symmachus, *dividendi* autem Theodotio, Aquila vero *laxandi* extulerunt), **affirmant.** Quæ certe omnia, dissipato religionis impiæ consilio, in Ægyptiorum utilitatem futura sunt, quo tempore in angustias redacti ad nullum non genus oraculorum et vaticiniorum, sicut ipsis usitatum erat, convertentur. *Vocat* autem *de terra loquentes*, eos qui per mortuos vaticinantur; et *ventriloquos*, qui de suo corde vel inhabitantis in eo vel dæmonis opera loquuntur: quales exsistunt et arioli ipsi, et qui ex visceruum inspectione de futuris pronuntiant, quibus omnibus, eo præcipue tempore cum in Romanorum potestatem venerunt, utebantur. **266** Appellat enim *duros*, tanquam invictum infractumque clade qualibet animum possiderent. Nec vero quo tempore idola peritura sint, reticuit, cum Ægyptiaci regni interitum notavit. Quo enim in Ægyptum tempore salutis ingressa est promulgatio, ab eodem quoque, si non ab ipso potius Salvatoris natali, Cæsare Augusto imperante, regni cœpit abrogatio. Primus enim iste devictam Ægyptum imperio Romano adjecit, quam, qui postea secuti sunt imperatores, missis in regionem ducibus et copiis, sibi servire coegerunt. Nec vero illorum *duritiem* male significavit, cum ferreum imperium eorum, ferreisque unguibus et dentibus præditam feram nominavit [7].

Sequitur deinde: *Et bibunt aquam Ægyptii, quod est juxta mare:* quo loco Aquilas *aquæ a mari absorbentur* interpretatus est, Symmachus autem, *exterminabuntur.* Significatur vero per *mare* ipsa Ægyptiorum multitudo, quo pacto gentes multas antea, tanquam mare fluctibus agitatum dixit. Quo deinde loco de radice Jessæ disseruit, et mare Ægypti desertum se redditurum minitantem Dominum introduxit. Hujus quoque amplitudinem et Jeremias ipse locustis et saltui comparavit, ubi ait: « Succidite saltum ejus, dicit Dominus, quia non supputabitur, quia multiplicabit super locustam, et non est eis numerus [8]. » Ad quod *desiturum fluvium* dixit, de regno certe, non aliter quam antea (cum de radice Jessæ sermo esset) in ejus fluvios immissurum manum, cæteraque alia, Dominum monuit, intellexit. Et mox etiam *desiturum fluvium, omnemque aquæ congregationem aridam futuram* adjecit. Quod autem cum *principe fluvio et fossas* etiam *defecturas* dixit, cum regno ipso et *principes* etiam sigillatim perituros demonstravit, ipsas quoque militares copias *congregationis* nomine significans. Neque sane ab istis discrepant

A λυομένης Αἰγύπτῳ [q] τῆς ἐπὶ κακῷ συμφωνίας, δ δηλοῖ μάλιστα τὸ, *στασιάσω καὶ συμβαλῶ*. Τοῦτο γάρ ἐστι τὸ, ἔσονται μεμερισμένοι δύο ἐπὶ τρεῖς, καὶ τρεῖς ἐπὶ δυσίν. Διὸ καὶ *ταραχθήσεται τὸ Πνεῦμα τῶν Αἰγυπτίων*, φησὶ, κατὰ Σύμμαχον δὲ *ῥαγήσεται*, *σχισθήσεται* δὲ κατὰ Θεοδοτίωνα. Κατὰ δὲ Ἀκύλαν *πλαδαρωθήσεται*. Ἅ δὴ πάντα ἐπὶ προκοπῇ τῶν Αἰγυπτίων γενήσεται, διασκεδαννυμένης τῆς δεισιδαίμονος ἐκείνων βουλῆς, ὅτε καὶ ἀποροῦντες κατὰ τὸ σύνηθες αὐτοῖς ἐπὶ χρησμοὺς καὶ μαντείας διαφόρους τραπήσονται. Ἐκ γῆς δὲ *φωνοῦντας τοὺς* νεκρομάντεις φησίν. Ἐγγαστριμύθους δὲ, τοὺς ἐκ τῆς αὐτῶν καρδίας, ἢ δαίμονος τοῦ ἐνοικοῦντος ἐρευγομένους, ὥσπερ οὖν καὶ γνώστας, τοὺς σπλαγχνοσκοποῦντας ἐκάλεσεν. Μάλιστα δὲ ταύταις τῶν Ῥωμαίων αὐτοῖς ἐπιόντων ἐκέχρηντο. Τούτους γὰρ B *σκληροὺς* ὡς ἀνικήτους, καὶ πρὸς πᾶσαν ἥτταν ἀνενδότους καλεῖ. Δηλοῖ δὲ διὰ τούτων τῆς τῶν εἰδώλων καθαιρέσεως τὸν καιρὸν, τῆς τῶν Αἰγυπτίων βασιλείας ἐκβαλλομένης. Συνεισῆλθε γὰρ τῷ σωτηρίῳ κηρύγματι καὶ ἡ τῶν ἐν Αἰγύπτῳ βασιλέων καθαίρεσις· μᾶλλον δὲ καὶ αὐτῇ τῇ τοῦ Σωτῆρος γεννήσει ἐπὶ Αὐγούστου Καίσαρος γενομένη. Δυνατὸς γὰρ ὢν οὗτος βασιλεὺς τὴν Αἴγυπτον πρῶτος τοῖς Ῥωμαίοις ὑπέταξε. Μεθ' ὃν ὁμοίως οἱ Ῥωμαίων ἅπαντες κραταιοὶ βασιλεῖς κατεδουλοῦντο τὴν Αἴγυπτον, στρατιωτικοὺς αὐτοῖς ἐκπέμποντες ἄρχοντας. Ὧν *τὸ σκληρὸν* ἐδήλωσε Δανιὴλ, σιδηρᾶν αὐτῶν τὴν βασιλείαν εἰπών. Καὶ θηρίον ἔχον ὀδόντας σιδηροῦς, καὶ ὄνυχας σιδηροῦς.

C Οἷς ἐπιφέρεται· *Καὶ πίονται ὕδωρ Αἰγύπτιοι τὸ παρὰ θάλασσαν*. Ἀνθ' οὗ φησιν Ἀκύλας, *Ἀναποθήσεται ὕδατα ἀπὸ θαλάσσης*. Ὁ δὲ Σύμμαχος, *Ἀφανισθήσεται*. Τροπικῶς δὲ *θάλασσα*, τὸ ταραχῶδες πλῆθος τῶν Αἰγυπτίων [r] διὸ καὶ ἀνωτέρω τὰ πολλὰ ἔθνη ὡς θάλασσαν ἔφη κυμαίνουσαν. Καὶ ἐν οἷς περὶ τοῦ ἐκ ῥίζης Ἰεσσαὶ διελάμβανεν, ἔλεγε· καὶ ἐρημώσει Κύριος τὴν θάλασσαν Αἰγύπτου. Ταύτης δὲ τὸ πλῆθος καὶ Ἱερεμίας ἀκρίσιν ἀπείκασε καὶ δρυμῷ, λέγων· « Ἐκκόψατε τὸν δρυμὸν αὐτῆς, λέγει Κύριος, ὅτι οὐ μὴ εἰκασθῇ, ὅτι πολὺ πληθυνεῖ ὑπὲρ ἀκρίδα, καὶ οὐκ ἔστιν αὐτοῖς ἀριθμός. » Ἡ δὲ *τοῦ ποταμοῦ ἔκλειψις*, τῆς βασιλείας ἐστὶ σημαντική, ὡς κἂν τοῖς περὶ τοῦ ἐκ ῥίζης ἔφασκεν Ἰεσσαὶ, καὶ ἐπιβαλεῖ Κύριος τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν, καὶ τὰ D ἑξῆς. Καὶ ἀλλαχοῦ δὲ εἴρηται, *Ὁ δὲ ποταμὸς ἐκλείψει, καὶ ξηρανθήσεται πᾶσα συναγωγὴ ὕδατος*. Μετὰ δὲ τὸν *πρῶτον ποταμὸν*, καὶ ἑτέρους *ἐκλείψειν* φησὶ καὶ *τὰς διώρυγας*, μετὰ τῆς βασιλείας καὶ *τοὺς ὄρχοντας* τοὺς κατὰ μέρος δηλῶν. *Συναγωγὰς* δὲ τὰς πολεμικὰς αὐτῶν δυνάμεις ἐκάλεσε. Καὶ Ἰεζεκιὴλ δὲ συνῳδὰ τούτοις φησί· Τάδε λέγει Κύριος· « Ἰδοὺ ἐγὼ ἐπὶ σὲ Φαραὼ τὸν ἄρχοντα τὸν

[7] Dan. II et VII. [8] Jerem. XLVI, 23.

VARIÆ LECTIONES.

[q] γρ. Αἰγύπτου. [r] *Isa. l.* λέγεται.

Digitized by Google

μέγαν, τὸν καθήμενον ἐν μέσῳ τῶν ποταμῶν αὐτοῦ.» Μεθ' ὃ καί φησι· « Προσκολλήσω τοὺς ἰχθύας τοῦ ποταμοῦ πρὸς πτέρυγάς σου. » Καὶ μεθ' ἕτερα· « Καὶ ἐκκενώσουσι πάντες τὰς μαχαίρας αὐτῶν εἰς Αἴγυπτον, καὶ πλησθήσεται ἡ γῆ τραυματιῶν. Καὶ δώσω τοὺς ποταμοὺς αὐτῶν ἐρήμους. » Καὶ πάλιν· « Ἐξεράτιζες τοῖς ποταμοῖς σου, καὶ κατεπάτεις τοὺς ποταμούς σου. »

Καὶ Ἱερεμίας δέ φησι· « Τίς οὗτος; ὡς ποταμὸς ἀναβήσεται, καὶ ὡς ποταμοὶ κυμαίνουσιν ὕδωρ. Ὕδατα Αἰγύπτου [ὡς ποταμὸς ἀναβήσεται]. » Αἱ' ὧν δηλοῦται τὰ πλήθη τῶν παρ' αὐτοῖς στρατευομένων, ὧν μέσων ἐγκαθήμενον τὸν δράκοντα [a] εἰκὸς ἦν μεγαλαυχεῖν. Ἰχθύας δὲ τοὺς ὑποκειμένους τοῖς κατὰ μέρος νοήσομεν ἄρχουσιν. Ἐξεράτιζε δὲ τοῖς ὑπ' αὐτῷ στρατευομένοις οὓς [b] καὶ καταπατεῖν αὐτὸν ἔφη τυραννικῶς δυναστεύοντα. Τροπικῶς γάρ φασιν ἀνάγκη ταῦτα νοεῖν, ὡς καὶ τὸ πρόσθεν ῥηθὲν ἔθνος ἀνέλπιστον καὶ καταπεπατημένον, οὗ οἱ ποταμοὶ διήρπασαν τὴν γῆν. Εἰ μὲν οὖν ἐπὶ τούτοις καὶ ἀνθρώπων ἀφανισμὸν ἐπῆγεν ἡ προφητεία, οὐδὲν ἐλείπετο ζητεῖν. Ἀκόλουθον γὰρ ἦν καὶ τὰ ζῶα πᾶσι τοῖς ὕδασι συναπόλλυσθαι. Νῦν δὲ μετὰ τὴν τῶν *ὑδάτων* ἀπώλειαν, πολυπληθίας ἐσομένης κατ' *Αἴγυπτον* μέμνηται, καὶ ὡς ἔσται θυσιαστήριον Κυρίῳ, ἐν ᾧ θύειν τοὺς Αἰγυπτίους [φησί]. Καὶ πῶς ἐγίνοντο [c], εἰ τὸ ὕδωρ ἅπαν ἐξέλιπεν; ὅθεν τροπικῶς νοητέον ταῦτα σημαίνοντα τῶν Αἰγυπτίων τὴν βασιλείαν καὶ τὰ πλήθη τῆς μαχίμου δυνάμεως. Ἄλλοι δὲ ῥητῶς τὰ προειρημένα νοοῦντές φασιν, ὡς Οὐασπασιανὸς τὴν Ἰουδαίαν ἑλὼν κατ' Αἰγυπτίων ἐστράτευσε. Καὶ Θεὸς αὐτῷ κατὰ πάντα ποιήσας, *πᾶσαν ὑδάτων συναγωγὴν ἀπεξήρανεν*, ὡς *ὑδάτων* ἐνδείᾳ, τοῖς παρ' αἰγιαλὸν ὀρύγμασιν πότιμον πῶς ὕδωρ Αἰγυπτίους ζητεῖν, δι' ὧν τὸ τῆς θαλάσσης διηθούμενον ὕδωρ ποτιμώτερον γίνεται. Τότε φασὶν εἰς Αἴγυπτον ἐλθεῖν καὶ τοὺς τὸ σωτηρίον κήρυγμα διαγγέλλοντας. Τῶν δὲ τὴν Αἴγυπτον οἰκούντων οἱ μὲν τὰ πεδία, οἱ δὲ τὰ ἕλη κεκλήρωνται, οἵπερ ἕλειοι καὶ βούκολοι διὰ πλῆθος τῶν παρ' αὐτοῖς γινομένων βοῶν ὀνομάζονται. Χρῶνται δὲ οὐ σίτῳ καὶ οἴνῳ τούτων ἀποροῦντες, *ἰχθύσι* δὲ καὶ γάλακτι καὶ *ζύθῳ* [d] καὶ τοῖς ἐξ ἑλῶν ἁπαλοῖς τεμνομένοις οἳ καὶ *τὸ λινὸν ἐργαζόμενοι τὸ σχιστόν*. Ὧν ἔνδεια, φησί, πάντων ἐκλελοιπότων τῶν ὑδάτων γενήσεται.

Οἱ δὲ τὴν πρώτην ἐκδεδωκότες ἐξήγησιν, καὶ τοῦτον αὖθις ἀλληγοροῦσι τὸν τρόπον. Νόει *ποταμὸν* λέγοντες καὶ τὴν πάλαι παρ' Αἰγυπτίοις φιλοσοφίαν ἀκμάζουσαν. Εἴρηται γὰρ, καὶ ἐπαιδεύθη Μωσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων, ἧς λόγος ἔρρει πολύς. Οὗ μέρη καὶ *ποταμοὶ* καὶ *διώρυχες* τῶν καθ' ἕκαστον παρ' αὐτοῖς μαθημάτων οἱ λόγοι, ἐξ ὧν ἐφύοντο οὐκ

A quæ in hæc verba apud Ezechielem legimus, « Ecce ego contra te Pharao, princeps magne, qui cubas in medio fluminum tuorum [9]. » **267** Deinde adjicit : « Agglutinabo pisces fluvii alis tuis [10]. » Rursum post nonnulla : « Et stringent omnes gladios suos in Ægyptum, terraque vulneratis implebitur, et dabo fluvios eorum desertos [11]. Et rursum : « Insultabas fluviis tuis, fluviosque tuos conculcabas [12]. »

Et apud Jeremiam : « Quis iste? tanquam fluvios ascendet, et tanquam fluvii inundant aquam. Aquæ Ægypti tanquam fluvius ascendent [13]. » Quibus certe verbis militares copias innuit; quarum in medio cum princeps sederet, extulisse se, et superbisse par est. Pisces autem cum nominat, B suis quosque ducibus subjectos milites intelligit, in quos ita insultasse significat, ut eos præ sævitia et crudelitate pedibus conculcare non dubitaverit. Tropice porro et ista, sicut illud prius : Gens infidelis et conculcata, cujus fluvii terram diripuerunt, intelligi volunt. Si istis ergo et hominum interitum prophetia adjecisset, nihil amplius, quod postulares reliquisset. Sequebatur enim, ut cum aquis omnibus et animalia etiam ipsa simul interirent. Nunc vero post *aquarum* interitum, magnæ etiam in *Ægypto* futuræ multitudinis, imo altaris etiam, in quo Domino sacra facturi sint, meminit. Verum qui fiat, si aqua omnis deficiat? Hinc ergo Ægyptiorum imperium et bellici exercitus amplitudinem C tropice ista nobis innuere arbitramur. Alii plane ad Vespasiani tempora referri arbitrantur, quibus armis Ægyptum occupavit : cui quidem ita per omnia favit Dominus, ut *omni dessiccata aquarum congregatione*, propter earum penuriam, fossas ipso in littore, in quas marinæ receptæ mora aliqua potui aptiores evaderent, Ægyptios conficere, itaque aquam quærere necesse fuerit; eoque maxime tempore salutaris nuntii præcones in Ægyptum penetrasse. Quia vero eorum, qui in Ægypto degunt, agros quidem alii, alii autem paludes incolunt, ob id palustres alios, alios autem armentarios, a boum, quibus abundant, copia, nominari. Neque vero pane et vino, qui illis careant, sed *piscibus*, lacteque, et *zytho*, cæterisque tenellis D aliis quibuscunque possunt, per paludes in cibum refectis, vesci, *linumque fissile operari* : quorum omnium, deficientibus **268** aquis, summam fore penuriam significat.

Verum qui primam attulerunt explicationem, et istum rursus allegoriæ sensum proponunt. Intellige, aiunt, *fluvii* nomine, veterem illam, quæ apud Ægyptios olim viguit, philosophandi rationem. Nam et Mosen ipsum universa Ægyptiorum sapientia, fama apud omnes celebri, instructum fuisse legimus, cujus partes *fluviorum et fossarum* appella-

[9] Ezech. XXIX, 3. [10] ibid. 4. [11] ibid. 10. [12] Ezech. XXXII, 2. [13] Jerem. XLVI, 7, 8.

VARIÆ LECTIONES.

[a] γρ. ἄρχοντα. [b] γρ. ὡς. [c] γρ. γένοιτο. [d] γρ. ζύθῳ.

Digitized by Google

tione designatæ, ipsi sunt, qui de singulis disciplinis apud eos habentur libri ; ex quibus nec olea, nec vitis, nec rerum necessariarum utiliumve quidquam, sed *calamus* tantum, *juncusque et papyrus* producantur. Dicitur et draco, quem fecit, ut illa foret ei, apud Jobum [14], juxta *papyrum, et calamum*, et hutonium, cubile suum ponere. Vocavit vero et Ezechiel Pharaonem draconis nomine. Merito igitur ut apud istos draco ille Ægyptius, ejusque cesset philosophia, peregrinatur Dominus, qui illa præsentia sua tollit, in eorumque locum recentium aquarum salutarem potum (quo de prius intellexit, cum hausturos aquas de fontibus Salvatoris dixit) et pro *flumine* flumen, cujus impetus civitatem Dei lætificet, reponere consuevit. Vides ergo ut in Ægyptiorum utilitatem ista prædicentur? Atque inde est, quod interpretes Septuaginta, *et bibent Ægyptii aquam juxta mare : fluvius* autem *deficiet*, reddiderunt. Quibus enim nihil Ægyptiacæ aquæ supersit, cum sit ad potum marina inutilis, novum aliud aquæ genus annuntiatur. Sed enim cum Ægyptiacæ aquæ defecerint, tum illi demum *lugebunt*, quibus pisces, id est hominum animas, venari usitatum fuerat; quia illis plane repugnent, qui piscatores hominum ut fierent, a Domino vocati sunt [15]. Sua enim illi philosophia et incantatione deceptas animas, verborum involucris, tanquam *retibus* contraria ejus omnino *sagenæ* ratione, quæ in mare missa omne piscium genus amplectitur, regnumque cœlorum, et homines ipsos significat [16], involvebant. *Lugeant* ergo qui eas artes sibi per Christi adventum ablatas esse vident, juxta illud : « Perdam sapientiam sapientium, et prudentiam **269** prudentium destruam [17]. » *Et confusio apprehendet eos, qui operantur linum*, id est, qui non solidam et firmam, sed præfractam et minime cohærentem rationem sequuntur. *Et byssus* deinde *Ægyptiorum fluvio irrigabatur.* Lugebunt itaque rerum istarum opifices, quando non sibi amplius ad amictum, suæque sapientiæ ornatum, telas istas, quibus falsa verborum lenocinio, tanquam velis obtegere solebant, suppetere deprehendent. Cum his *lugebunt* et illi, qui *adulterinum vinum*, non quod *ex vite* nasci solet, effecerunt. Quæ certe omnia cum ab Ægypti fluvio suppeditari alius propheta cerneret, ita verbis avertere conatus est, cum ait : « Quid tibi cum Ægypti terra, ut bibas aquam Geon [18]? » Quæ autem deinceps sequuntur, et *principibus* obscuris, qui magnis et illustribus civitatibus, *Tani* videlicet, et *Memphi* insidiabantur, prædicuntur. . . .

270 VERS. 16-25. *Die illa erunt Ægyptii tanquam mulieres in timore, et tremore, a facie manus Domini Sabaoth, quam ipse immittet. Et erit regio Judæorum Ægyptiis in terrorem. Quicunque eam no-*

ἐλαία καὶ ἄμπελος, οὐκ ἀναγκαῖον ἢ κάρπιμον οὐδὲ ἕν, *κάλαμος* δὲ *καὶ ἄχι, καὶ πάπυρος*. Ὁ δὲ δράκων, ὃν ἔπλασεν ἐμπαίζειν αὐτῷ, παρ' Ἰὼβ λέγεται κοιτάζεσθαι παρὰ *πάπυρον* καὶ *κάλαμον* καὶ βούτομον. Καὶ Ἰεζεκιὴλ δὲ τὸν Φαραὼ κέκληκε δράκοντα· Ἵν' οὖν ἐκλείπῃ ταῦτα, δράκων τε Αἰγύπτιος, καὶ ἡ τούτου φιλοσοφία, Κύριος εἰκότως τούτοις ἐπιδημεῖ, ταῦτα μὲν παύων τῇ παρουσίᾳ, ἀντιδοὺς δὲ ποτὸν καινῶν ὑδάτων σωτήριον, περὶ οὗ πρόσθεν ἐλέγετο, καὶ ἀντλήσετε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. Καὶ ἀντὶ *ποταμοῦ* ποταμὸν, οὗ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. Ὁρᾷς ὡς ἐπὶ ὠφελείᾳ ταῦτα τῶν Αἰγυπτίων θεσπίζεται; Διὸ κατὰ τοὺς ἑβδομήκοντα λέγεται τὸ, *πίονται οἱ Αἰγύπτιοι τὸ ὕδωρ τὸ παρὰ θάλασσαν*. Ὁ δὲ *ποταμὸς ἐκλείψει*. Μὴ ὑφεστῶτος γὰρ ὕδατος Αἰγυπτιακοῦ, μηδὲ ποτίμου τοῦ θαλαττίου τυγχάνοντος, καινὸν ὕδωρ αὐτοῖς ἐπαγγέλλεται. Ἀλλὰ γὰρ ἐκλειπόντων τῶν Αἰγυπτιακῶν ὑδάτων, οἱ θηραταὶ τῶν ἰχθύων, δηλαδὴ τῶν ἀνθρωπίνων ψυχῶν, *πενθήσει*· λέγονται τυγχάνοντες ἐναντίοι τοῖς, πρὸς οὓς ἔλεγεν ὁ Σωτήρ· Δεῦτε, καὶ ποιήσω ὑμᾶς *ἁλιεῖς* ἀνθρώπων. Ἐκεῖνοι γὰρ διὰ τῆς παρ' αὐτοῖς φιλοσοφίας καὶ γοητείας, τὰς ψυχὰς ἐδελέαζον οἱονεὶ *σαγήνῃ*, ταῖς τῶν λόγων πλοκαῖς συλλαμβάνοντες. Ἐναντία δὲ ταύτῃ *σαγήνῃ* περὶ ἧς εἴρηται· ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν, καὶ συλλαβούσῃ ἀπὸ παντὸς γένους ἰχθύων. Τὸν λόγον τὸν περὶ τῆς βασιλείας τῆς παραβολῆς καὶ ἰχθύας τοὺς ἀνθρώπους ὑποδηλούσης. *Πενθοῦσιν* οὖν, ὡς μηκέτι διὰ τὸν παύσαντα Χριστὸν ἔχοντες ἐργασίαν, κατὰ τὸ, « Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. » *Καὶ* [x] *τοὺς ἐργαζομένους τὸ λίνον*, οὐ τὸ στέρρον καὶ ἀρραγὲς, ἀλλὰ τὸν λόγον τὸν διερρωγότα καὶ ἐσχισμένον. Καὶ *βύσσος δὲ τοῦ τῶν Αἰγυπτίων ἠρδεύετο ποταμοῦ* [y]. Οἱ τοίνυν τούτων ἐργάται στενάζουσιν, ὅτε μηκέτι αὐτοῖς πρὸς περιβολὴν, καὶ κόσμον τῆς παρ' αὐτῶν σοφίας εὐπορεῖτο τὰ τούτων ὑφάσματα λόγοις τὸ ψεῦδος καλύπτουσιν ἀπατηλοῖς τε καὶ πιθανοῖς. Μεθ' ὧν *στενάξουσι* καὶ οἱ *τὸν κόθορνον οἶνον*, οὐ τὸν ἐξ *ἀμπέλου* κατασκευάζοντες. Ὧν δὴ πάντων χορηγὸς ὁ Αἰγυπτιακός ἐστι ποταμὸς, οὗ ἀποτρέπων ἕτερος προφήτης φησί· Τί σοι καὶ τῇ γῇ Αἰγύπτου τοῦ πιεῖν ὕδωρ Γηών ; Τὰ δὲ τούτων ἑξῆς περὶ ἀφανῶν *ἀρχόντων* προλέγεται, οἳ ταῖς περιφανέσι καὶ μεγίσταις ἐφέδρευον πόλεσι, τῇ τε *Τάνει* καὶ *Μέμφει*.

[ις'-κε'.] *Τῇ δὲ ἡμέρᾳ ἐκείνῃ ἔσονται οἱ Αἰγύπτιοι ὡς γυναῖκες, ἐν φόβῳ, ἐν τρόμῳ, ἀπὸ προσώπου τῆς χειρὸς Κύριου Σαβαὼθ, ἣν αὐτὸς ἐπιβαλεῖ αὐτοῖς. Καὶ ἔσται ἡ χώρα τῶν Ἰουδαίων τοῖς Αἰγυπτίοις*

[14] Job XL, 10 seqq. [15] Matth. IV, 19. [16] Matth. XIII, 47. [17] Isa. XXIX, 14 ; I Cor. I, 19. [18] Jerem. II, 18.

VARIÆ LECTIONES.

[x] *J.* αἰσχύνη λήψεται. [y] γρ. τῷ τῶν Αἰγυπτίων ἠρδεύετο ποταμῷ.

Digitized by Google

εἰς φόβητρον. Πᾶς ὃς ἐὰν ὀνομάσῃ αὐτὴν αὐτοῖς, φοβηθήσονται διὰ τὴν βουλὴν ἣν βεβούλευται Κύριος ἐπ' αὐτούς, κ. τ. λ.

. . . ἐν κρίσει τοὺς θλίβοντας μετερχόμενος. Τούτῳ γὰρ τῷ τρόπῳ καὶ γνώσονται τὸν Κύριον ἐν τῷ τῆς θλίψεως καιρῷ, ὃν ἡμέραν ἐκάλεσε. Τινὲς δὲ πρὸς αὐτὴν ὅλως τὴν ἐπιδημίαν τὸν λόγον ἐξέλαβον. Τῆς γὰρ ἀνθρωπίνης φύσεως ὑπὸ τῶν δαιμόνων τυραννουμένης, φορτίῳ τε κακῶν συνεχομένης πολλῷ, ὡς αὐτοῦ βοῶντος τοῦ πράγματος, Θεὸς τὸ γένος ἠλέησεν. Οὕτω γὰρ λέγεται καὶ αἷμα τοῦ Ἄβελ βοᾷν, τὴν ἀτοπίαν τοῦ πράγματος βδελυξαμένου Θεοῦ. Πῶς γὰρ ἐκάλουν, φασὶν, ὃν ἠγνόουν τὸ πρότερον, ἀλλ' ἢ δι' ὧν ἔπασχον μόνον, ὅτε καὶ τὸν Λόγον αὐτοῖς ἐν ἀνθρωπείᾳ πέμπει μορφῇ; *Καὶ σέσωκε κρίνων*, τοῦτ' ἔστι δικαίαν ἐπ' αὐτοῖς ἐκφέρων τὴν κρίσιν, ἀειραῖς ζόφου τοὺς θλίβοντας παραδούς. Διό φησιν αὐτός· Νῦν κρίσις ἐστὶν τοῦ κόσμου τούτου· νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. Οὕτω Χριστὸς *ἐδίκασε* τυράννῳ καὶ κόσμῳ, εἵλκυσέν τε καὶ *τοὺς Αἰγυπτίους* πρὸς ἑαυτόν· ἀνθ' ὧν χαριστήρια *θυσίας* ἐκτελοῦσιν ἐπαγγελλόμενοι, μέχρι τε παντὸς τοῖς τῆς πίστεως ἐναθλοῦσιν ἀγῶσι κατὰ τό· « Εὔξασθε καὶ ἀπόδοτε. »

Ἐπιστῆσαι δὲ τὸν νοῦν ἀνάγκαῖον, ὡς καινοῦ νόμου καὶ Καινῆς Διαθήκης παρίστησιν ὁ λόγος εἰσαγωγήν. Μωσέως γὰρ ἀπαγορεύσαντος ἐκτὸς, Ἱερουσαλὴμ μὴ δεῖν γενέσθαι *θυσιαστήριον*, καὶ τὴν τοῦ Λευῒ μόνην ἱερατεύειν φυλὴν ἐπιτάξαντος, πῶς ἡ προφητεία *θυσιαστήριον ἐν Αἰγύπτῳ* καθίστησιν, ἱερέας τε Θεοῦ τοὺς Αἰγυπτίους γενέσθαι φησί; Κατὰ δὲ τὸν Ἀπόστολον, μετατιθεμένης ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. Μετὰ δὲ τὰ εἰρημένα φησὶν ὁ προφήτης· *Καὶ πατάξει Κύριος τοὺς Αἰγυπτίους πληγῇ, καὶ ἰάσεται αὐτούς.* « Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει. Μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. » *Πληγὴν* οὖν *ἐπάγει τοῖς Αἰγυπτίοις*, ὅτ' ἂν τύχωσι τούτου δεόμενοι, μὴ μηκύνων αὐτοῦ τὴν ὀργήν. Τινὲς δέ φασιν ὡς *πληγὴν* καλεῖ τὴν ὑπὸ Ῥωμαίοις δουλείαν, δι' ἧς αὐτοὺς ἴάσατο, πάροδον εἰς αὐτοὺς παρασχὼν τῷ σωτηρίῳ κηρύγματι. Πρότερον γὰρ οὐκ ἦν ἐπιφοιτᾶν ἀμίκτως διακειμένοις. Πλὴν ὠφελείᾳ, καὶ οὐ θυμῷ *πληγὴν ἐπάγει* Θεός. Ὅπερ εἰδότες οἱ προφῆται φασι· « Παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ. » Καὶ πάλιν· « Ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν. » Καὶ τῇ τῶν Ἰουδαίων Συναγωγῇ φησιν· Ἐν πόνῳ καὶ μάστιγι παιδευθήσῃ, Ἱερουσαλήμ. Μεθ' ἃ φησι· *Τῇ ἡμέρᾳ ἐκείνῃ*, κατὰ τὸν αὐτὸν δηλονότι καιρὸν, *ἔσται ὁδὸς Ἀσσυρίοις πρὸς Αἰγυπτίους*, οὕτω λέγων κατὰ τὴν παλαιὰν συνήθειαν, τούς τε Συρίαν καὶ Μεσοποταμίαν οἰκοῦντας, οἳ τοῖς Αἰγυπτίοις πολέμιοι διετέλεσαν, ὅτε πρὸ τῆς Ῥωμαίων ἀρχῆς ἰδίοις βασιλεῦσιν ἐκέχρηντο·

. . . in judicio supplicium de *opprimentibus* sumens. Hoc enim pacto, id est, ipso afflictionis tempore, quod *diei* nomine significavit, Dominum agnoscent. Sunt autem nonnulli, qui ad ipsam omnino incarnationem locum referri existiment. Cum enim in homines tyrannidem exercerent dæmones, malorumque onere gravissimo, ut rebus ipsis patuit, premerentur, eorum tandem misertus est Dominus. Ita siquidem et Abelis sanguis indignum facinus abominante Deo, clamare dicitur [19]. Qui enim aiunt, cum invocassent, **271** quem antea ignorabant; nisi iis tantum adducti, quæ misso in hominis forma Verbo passi sunt? *Et salvavit judicans*; id est, justa sententia tenebrarum catenis eos a quibus opprimebantur, tradidit. Atque hoc est, quod jam adesse mundi hujus judicium, jamque ejusdem principem foras expulsum iri dixit [20]. Sic igitur tyrannum et mundum Christus *judicavit*; sic denique *Ægyptios* omnes ad se ipse pertraxit. In quorum memoriam premissis gratiarum *hostiis*, fideique in perpetuum certaminibus defuncti (juxta illud, quo vovere, votaque persolvere monetur [21]) certamen ineunt.

Est vero hic mente diligenter attendere necessarium, nobis hic novæ legis Novique Testamenti rudimenta proponi. Qui enim Mosis lege nonnisi intra Hierosolyma *altare* erigi, nullamque tribum aliam, præter Leviticam sacerdotio fungi cavente, *in Ægypto* jam *altare* excitatum iri, futurosque sacerdotes Ægyptios affirmat prophetia? Atqui auctore Apostolo, mutato sacerdotio, et legis mutatio fiat necesse est [22]. Adjicit vero ad superiora propheta, his verbis: *Et percutiet Dominus Ægyptios plaga, et sanabit eos.* Quem enim diligit, castigat, et quemcunque verberibus cædit, in filium amplectitur [23]. *Plagam* ergo in *Ægyptios*, qua maxime opus habere videbantur, inducit; neque iram suam protrahit. Sunt porro qui *plagæ* nomine, quam passi sunt a Romanis servitutem intelligant, per quam in eo sunt sanati, quod hac via salutis sit ad eos delatus nuntius. Neque enim ad eos antea pervenire poterat, qui ab hominum reliquorum consuetudine abhorrerent. Sed utilitatis ergo, non iræ indulgens *inducit plagam* Dominus. Quod quidem cum minime a prophetis ignoraretur, ita eum compellant: « Domine, castiga nos, verum in judicio, et non in ira [24]. » Et rursus: « In afflictione parva tua nobis castigatio [25]. » Deinde, converso ad Judæorum Synagogam sermone: In labore et verberibus castigaberis, Jerusalem. Addit postea: *Die illa*, illo videlicet tempore, *erit via Assyrius ad Ægyptios*; ita veteri **272** et usitata consuetudine eos significans, qui Syriam et Mesopotamiam inco-

[19] Gen. IV, 10. [20] Joan. XII, 31. [21] Psal. LXXV, 12. [22] Hebr. VII, 12. [23] Hebr. XII, 6. [24] Jerem. XXX, 11. [25] Isa. XXVI, 16.

Digitized by Google

lebant, crantque Ægyptiis maxime infesti, cum, in Romanorum potestatem nondum redacti, propriis regibus, hi quidem Antiochi successoribus, illi autem Ptolemæis uterentur. Quorum medii Ægyptii cum interdum ab utrisque impeterentur ; ipso Christi adventu, tanquam communi pacis vinculo, non terrena modo cœlestibus, sed ipsæ inter se gentes etiam ita coiere, *ut tres istæ* quæ multa inter se odia semper exercuerant, una jam benedictione dignæ credantur, nec Israel amplius, tanquam Dei populus, solusque *benedictus*, efferatur. Ita enim pietatem amplexi sunt omnes, ut mutuam inter se charitatem colant et retineant. Confractis enim gladiis et lanceis, cum in jugum unum, spiritualiter quidem Dei, Romanorum autem corporaliter, venerint, arma in sese nequaquam rapiunt.

A οὗτοι μὲν τοῖς ἀπὸ Ἀντιόχου, Πτολεμαίοις δὲ ἐκεῖνοι· μέσοι δὲ ὄντες Ἰουδαῖοι ὑπ' ἀμφοτέρων ἀνὰ μέρος ἐβάλλοντο. Χριστὸς δὲ παραγενόμενος, ἡ πάντων εἰρήνη, οὐ μόνον τὰ ἐπίγεια τοῖς ἐπουρανίοις συνῆψεν· ἀλλὰ καὶ τὰ ἔθνη πρὸς ἄλληλα. Καθὰ καὶ ταῦτα *τὰ τρία* δυσμενῶς διακείμενα, καὶ μιᾶς ἠξίωσεν εὐλογίας, ὡς μηκέτι τὸν Ἰσραὴλ κατεπαίρεσθαι λαὸν Θεοῦ χρηματίζοντα καὶ μόνον *εὐλογημένον*. Πάντες γὰρ εὐσέβειαν ἐδιδάχθησαν, καὶ [z] τῆς πρὸς ἀλλήλους ἀγάπης ἀντέχεσθαι. Τὰς γὰρ μαχαίρας εἰς [a] ζιβύνας συγκόψαντες, ταύτας ἐπ' ἀλλήλους οὐκ αἴρουσιν ὑπὸ ζυγὸν ἕνα γεγονότες, πνευματικῶς μὲν Θεοῦ, σωματικῶς δὲ Ῥωμαίων.

Quod deinde *Assyriis servire Ægyptios* inquit, vel charitatis servitutem intellexit, vel, quod nonnullis placet, id ideo dixit, ut missum Romano nomine *Syrorum in Ægyptum* exercitum, Syroque duce aliquo in servitutem redactos esse Ægyptios significet. Qui est ergo *benedictus in Ægypto, et inter Assyrios populus* per Ecclesiarum, quæ in eis sunt, frequentiam apparet. Viget autem qui *ex Israel* est ab ipso prædicationis tempore. Fuit enim fidei in Christum primitiæ, a quibus et evangelistæ, et discipuli, et apostoli et alii promanarunt ; unde *trium gentium omnes in terra benedicti sunt*. Cæterum pro eo quod *in Assyriis* legimus, *in Assur* alii transtulerunt ; ne Judæos quisquam, qui in Syria degunt, sed *Ægyptios* simul *Assyriosque* significari putaret. Est vero maxime mirum, cur qui filiorum omnium est natu maximus *tertius* nominetur. Sed ex quo in Christum contumeliosus exstitit, jam inde in gentium terga rejectum esse deprehendimus. Quo enim tempore gentium intraverit plenitudo, totus et ipse tum demum salvabitur Israel [26]. Deinde per *benedictam* a Domino *terram* Ecclesiam non **273** male (modo illam in cœlo mitibus destinatam [27], cœlestem nimirum Jerusalem, montemque sanctum intelligas) significari dixeris. Potest et *Israelis* nomine piorum sanctorumque gentis Judaicæ hominum, qui vita defuncti sunt, chorus intelligi. Est enim « *fumiculus hæreditatis ejus Israel*, » inquit Moses [28]. Cæterum miratus propheta quod omnium maxime superstitiosi Ægyptii, Judæorum, quos oderunt, Deum amplectantur et colant, significanter valde ista de Ægyptiis continue adjecit : *Et erunt Ægyptii jurantes nomini Domini Sabaoth*. Deinde : *Erit altare Domino in regione Ægyptiorum*. Et rursus : *Erit in signum in perpetuum Dominus in terra Ægypti*. Itemque : *Erit notus Dominus inter Ægyptios*. Denique cognoscent Ægyptii Dominum. *Syriam* præterea emphasi vel inde complexum esse videri putant, quod in ea veri adoratores, et qui fraternum vicinumque Ægyptiorum studium amplectantur, non defuturi sint.

B *Δουλεύουσι δὲ τοῖς Ἀσσυρίοις Αἰγύπτιοι* τὴν τῆς ἀγάπης δουλείαν. Ἢ, ὥς φασί τινες, διὰ τὰ Ῥωμαϊκὰ *Σύρων ἐν Αἰγύπτῳ* στρατόπεδα, Σύρους τέ τινας ἀρχικῆς ἐξουσίας δυνάμει καταδουλουμένους αὐτούς. Ὁ μὲν οὖν *εὐλογημένος ἐν Αἰγύπτῳ καὶ ἐν Ἀσσυρίοις λαός*, διὰ τῆς τῶν Ἐκκλησιῶν ὁρᾶται πολυπληθίας, ὁ δὲ ἐκ *τοῦ Ἰσραὴλ* κατὰ τὸν τοῦ κηρύγματος ἥκμασε χρόνον. Ἀπαρχὴ γὰρ τῆς εἰς Χριστὸν ἐγένοντο πίστεως, ἐξ ὧν εὐαγγελισταί, καὶ μαθηταί, καὶ ἀπόστολοι· διὸ *πάντες οἱ τῶν τριῶν ἐθνῶν ἐπὶ γῆς εὐλόγηνται*. Ἀντὶ δὲ τοῦ, *καὶ ἐν Ἀσσυρίοις, καὶ Ἀσσοὺρ* ἐξέδωκαν οἱ λοιποὶ, ὡς ἂν μή τις τοὺς ἐν Αἰγύπτῳ καὶ Συρίᾳ νομίσειεν Ἰουδαίους, ἀλλ' αὐτοὺς *Αἰγυπτίους* καὶ αὐτοὺς *Ἀσσυρίους*. Τὸ δὲ θαυμαστὸν, ὅτι ὁ πρωτότοκος ἐν τέκνοις *τρίτος* ὠνόμασται. Παροινήσας γὰρ εἰς Χριστὸν, κατόπιν τέθειται τῶν ἐθνῶν. Ὅτ' ἂν γὰρ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε καὶ πᾶς Ἰσραὴλ σωθήσεται. *Γῆν* δὲ *τὴν εὐλογημένην* ὑπὸ Κυρίου νοήσεις τὴν Ἐκκλησίαν, καὶ μάλιστα τὴν ἐπουράνιον, ἣν οἱ πραεῖς κληρονομήσουσιν, ὅπου καὶ Ἱερουσαλὴμ ἐπουράνιος, καὶ ὄρος Σιών· νοοῖτο δ' ἂν *Ἰσραὴλ* καὶ ὁ Θεοφιλὴς τῶν ἁγίων χορὸς ἐκ τοῦ τῶν Ἰουδαίων ἔθνους προεξεληλυθότων τοῦ βίου· διόπερ εἴρηται, *καὶ ἡ κληρονομία μου Ἰσραήλ*. Σχοίνισμα γὰρ κληρονομίας αὐτοῦ Ἰσραὴλ, καθὰ δὴ λέγει Μωσῆς. Ὁ δὲ προφήτης θαυμάζων, εἰ οἱ τῶν ἄλλων δεισιδαίμονες μᾶλλον Αἰγύπτιοι τὸν τῶν ἐχθρῶν Θεὸν Ἰουδαίων τιμήσουσιν, ἐμφατικώτατα λίαν, συνεχῶς τοῦτον, ἃ τὸ [b] τῶν Αἰγυπτίων φησί· ποτὲ μέν· *Ἔσονται Αἰγύπτιοι ὀμνύοντες τῷ ὀνόματι Κυρίου Σαβαὼθ*· ποτὲ δέ· *Ἔσται θυσιαστήριον τῷ Κυρίῳ ἐν χώρᾳ Αἰγυπτίων*. Καὶ πάλιν· *Ἔσται εἰς σημεῖον εἰς τὸν αἰῶνα Κύριος ἐν χώρᾳ Αἰγύπτου*. Καὶ αὖθις· *Ἔσται γνωστὸς Κύριος τοῖς Αἰγυπτίοις*. Καὶ πάλιν· *Γνώσονται οἱ Αἰγύπτιοι τὸν Κύριον*. Καὶ *Συρίαν* δὲ, ὡς ἔοικεν, ἐν ἐμφάσει παρέλαβεν, ἐν ᾗ φασι γνησίους προσκυνητὰς, καὶ ἀδελφὴν, καὶ γείτονα τῆς Αἰγυπτίων ἐπιτηδεύοντας ἄσκησιν.

[26] Rom. xi, 25, 26. [27] Matth. v, 4. [28] Deut. xxxii, 9.

VARIÆ LECTIONES.

[z] ὡς. [a] γρ. καὶ. [b] γρ. ταῦτα περὶ.

Digitized by Google

ΚΕΦΑΛ. Κ'.

α-ς'. *Τοῦ ἔτους οὗ εἰσῆλθε Ταράθαρ εἰς Ἄζωτον, ἡνίκα ἀπεστάλη ὑπὸ Ἄρρα βασιλέως Ἀσσυρίων, καὶ ἐπολέμησε τὴν Ἄζωτον, καὶ κατελάβετο αὐτὴν, τότε ἐλάλησε Κύριος πρὸς Ἡσαΐαν, λέγων· Πορεύου καὶ ἄφελε τὸν σάκκον ἀπὸ τῆς ὀσφύος σου*, κ. τ. λ.

Ἅλωσιν Αἰγυπτίων ὑπ' Ἀσσυρίων προλέγει ὁ περὶ τῆς εἰρήνης αὐτῶν ἐν τοῖς πρὸ τούτων διαλαβών· Ἐροῦμεν οὖν, ὡς τὰ μακροῖς ὕστερον χρόνοις ἐσόμενα διὰ τῶν ὅσον οὔπω μελλόντων πληροῦσθαι πιστοποιεῖ. Τὰ μὲν γὰρ εἰρημένα χρηστὰ, τὴν τοῦ Σωτῆρος ἐπιδημίαν ἀνέμενεν ἐπὶ νεφέλης κούφης ἥξειν εἰς Αἴγυπτον μέλλοντος. Τὰ δὲ νῦν ἐπ' αὐτῶν τῶν τοῦ προφήτου χρόνων συμβέβηκεν. Ταῦτα δὲ τοῖς Ἰουδαίοις προλέγεται τῇ τῶν *Αἰγυπτίων* συμμαχίᾳ προσδοκῶσι διαφεύγειν τὴν *ὑπ' Ἀσσυρίων* μέλλουσαν ἅλωσιν, οἳ καὶ δὴ πλησίον ἦσαν ἐλόντες *τὴν Ἄζωτον* τῆς Παλαιστίνης μεγίστην καὶ δυνατωτάτην πόλιν ὑπάρχουσαν, ὡς ἂν τοῖς ἐκ γειτόνων πτοηθέντες κακοῖς, πᾶσαν ἀνθρωπίνην ἀπογνόντες ῥοπὴν, ἐπιστραφέντες πρὸς Κύριον, τὰ μέλλοντα κερδάνωσι δυσχερῆ. Καί γ' οὖν τις ἔφη προφήτης· « Καὶ ἦν Ἐφραὶμ περιστερὰ ἄνους οὐκ ἔχουσα καρδίαν· « Αἴγυπτον ἐπεκαλεῖτο καὶ εἰς Ἀσσυρίους ἐπορεύθησαν.

Καὶ ὁ παρὼν δὲ προφήτης φησίν· « Οὐαὶ οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις πεποιθότες καὶ ἐφ' ἅρμασιν. » *Ταράθαρ* δὲ στρατηγὸς τοῦ τῶν Ἀσσυρίων βασιλέως ὑπάρχων εἶλε *τὴν Ἄζωτον*. Τότε τοίνυν ὁ προφήτης ἑνὶ πρότερον χρώμενος ἱματίῳ τριχώδει τε καὶ παχεῖ δι' ἄκραν φιλοσοφίαν, καὶ διὰ τὸ πενθεῖν τοὺς ἀσεβοῦντας ἐν Ἰσραὴλ, ἀποδύσασθαι καὶ τοῦτο προστάττεται, *γυμνός τε καὶ ἀνυπόδετος* περινοστεῖν Ἱερουσαλὴμ εἰς τύπον τῆς μελλούσης Αἰγυπτίοις αἰχμαλωσίας· τὸ γὰρ τῆς θέας παράδοξον, ψιλοῦ λόγου μᾶλλον ὑπῆρχε πιστότερον, ἐναργῶς τε φόβον εἰργάζετο, καὶ μάλιστα τοῖς εἰωθόσι προφητικῶν λόγων ὑπεροράν, καὶ τοῖς προφήταις λέγειν· Ἄλλα ἡμῖν λαλεῖτε, καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν· ὡς ἂν ὁρῶντες τὴν ἀτοπίαν τοῦ σχήματος, αὐτοὶ τούτου τὴν αἰτίαν πυνθάνοιντο. Τὸν δὲ προφητικὸν θαυμάζειν ἄξιον βίον, περὶ ὧν φησιν ὁ θεῖος Ἀπόστολος· « Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν. » Καὶ ὡς Θεῷ μὲν ἦσαν εὐπειθεῖς πᾶσαν δὲ ἀνθρωπίνην ὑπερενήχοντο δόξαν. Ὡς *Ἰουδαῖοι* δὲ τῇ τῶν *Αἰγυπτίων* ἐθάρρουν δυνάμει, οὕτω τὴν τῶν *Αἰθιόπων Αἰγύπτιοι*. Ὧν ἔθνος οἱ Βλέμμυες εὔστοχοι τοξόται καὶ χρίοντες ὀλεθρίῳ φαρμάκῳ τῶν βελῶν τὰς ἀκίδας, ὑφ' ὧν οἱ βληθέντες ὡς ἑρπετῶν ἰοβόλων ἀπώλλυντο. *Τριετῇ* δὲ χρόνον τούτοις ἀμφοτέροις περικαθήμενος, κατὰ μέρος ἐχειροῦτο τὰς πόλεις τῶν *Ἀσσυρίων* ὁ βασιλεὺς, ὡς θαυμάσαι τοὺς *Αἰγυπτίους*, εἰ καὶ τοὺς *Αἰθίοπας* ἐδυνήθη χειρώσασθαι. Οὕτως ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον μᾶλλον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. Καὶ ἐπικατάρατος μὲν ὃς

CAP. XX.

274 VERS 1-6. *Anno quo ingressus est Tanathan Azotum, cum missus est ab Arna rege Assyriorum, et pugnavit contra Azotum, et cepit eam, tunc locutus est Dominus ad Isaiam, dicens : Vade, et aufer saccum tuum a lumbis tuis*, etc.

Ægyptiorum per Assyrios expugnationem prædicere aggreditur, qui de eorum pace superius disputavit. Iis ergo quæ longo postea tempore eventura essent, per ea, quæ jamjam instabant, fidem afferre dicemus. Quæ enim de prospero rerum successu dicta sunt, ad ea Salvatoris tempora, quibus in Ægypto, tanquam levi in nube, peregrinaturus esset, referenda fuerunt. Quo de autem nunc agitur, idipsum prophetæ ætate factum est. Prædicuntur vero ista Judæis, qui instantem *ab Assyriis* expugnationem, *Ægyptiorum* auxilio arcere se posse confidebant, cum *Azotum* jam illi, urbem Palæstinæ maximam et munitissimam, cepissent : ut vicinorum malis deterriti, desperato prorsus humanæ opis momento, ad Dominum conversi ingruentia damna valeant effugere. Ita vero de istis ait et quidam propheta : « Et erat Ephraim columba **275** amens, et vecors [39]. » Ægyptum advocare, et ad Assyrios confugere non dubitavit.

Quin et Isaias noster ita loquitur : « Væ qui in Ægyptum auxilii causa descendunt, qui in equis et curribus confidunt [40]. » Fuit autem *Tanathan* Assyrii exercitus, a quo *Azotus* ipsa expugnata est, præfectus. Tum ergo propheta, qui uno tantum pallio antea, eoque trito et crasso utebatur, propter summum sapientiæ studium, et dolorem, quo de Israelis impietate angebatur : eo etiam nunc exuere se, *nudusque et sine calceis*, quo futuræ Ægyptiorum calamitatis specimen edat, Hierosolymam redire jubetur. Ad metus enim incussionem inusitatus hic habitus, nudo sermone iis præcipue futurus erat efficacior, qui prophetarum monita ita parvi penderent, ut alium eos errorem sibi annuntiare juberent, quo absurdam illi inusitatamque vestitus formam intuiti, ad ejus postulandam causam invitarentur. Est vero vita prophetarum digna imprimis, quæ nos in sui admirationem trahat : tum quod eos Apostolus circumivisse in melotis, in caprinis pellibus dicat [41] : tum quod Deo facti obtemperantes, omni humana gloria superiores evaserint. Cæterum qua ratione *Ægyptiorum* opibus *Judæi* eadem et *Æthiopum Ægyptii* confidentiores evaserant. Inter Ægyptios deinde et Blemmyes ipsi numerantur, quibus magnam sagittandi peritiam inesse, venenoque sagittarum spicula oblinire, ut qui eis petuntur, tanquam serpentum morsibus pereant, usitatum narrant. *Triennio* autem cum ab *Assyrio* utrique obsiderentur, singulis tandem expugnatis urbibus victi

[39] Osee VII, 11. [40] Isa. XXXI, 1. [41] Hebr. XI, 37.

Digitized by Google

sunt; unde fit, ut qua ratione subjugari *Æthiopas* contigerit, mirentur *Ægyptii*. Adeo est in Domino sperare satius, quam hominibus confidere [32]. Exsecrandus deinde qui spem in homine habet, benedictus autem qui confidit in Domino, et Dominus spes ejus [33]. Deinde quod *insulam Ægyptum* appellavit, eam intellexit, quam Nilus undique complectitur.

A τὴν ἐλπίδα ἔχει ἐπ' ἄνθρωπον, εὐλογημένος δὲ ὃς πέποιθεν ἐπὶ Κυρίῳ. Καὶ ἔσται Κύριος ἐλπὶς αὐτοῦ. *Νῆσον* δὲ τὴν Αἴγυπτον εἰρηκεν, ἣν δὴ περισφίγγει πανταχόθεν ὁ Νεῖλος.

CAP. XXI.

VERBUM DESERTÍ MARIS.

276 VERS. 1-10. *Sicut procella per desertum transit, de deserto veniens e terra. Horrenda visio et dura renuntiata est mihi. Evertens evertit, qui iniquus est, iniquiter facit. In me Elamitæ, et legati Persarum in me veniunt*, etc.

277 *Ad Babylonem* proculdubio ista referuntur; sive quod ipsam *cecidisse* asserit, et in eam *venturos esse Elamitas Persarumque legatos*: sive Symmachi interpretationem sequaris, qui *Elamitas surgere, Medosque obsidere* imperat; cum et cæteri etiam, ipsaque adeo Hebræorum lectio *Medorum* nomen habeant, a quibus deletum est *Babyloniorum* imperium; quorum et antea Isaias meminit [34], cum « Ecce Medos in vos excitabo, » dixit. De iisdem et Jeremias quoque sic loquitur: « Suscitavit Dominus spiritum regis Medorum, quoniam adversus Babylonem ira ejus [35]. » Et rursus: « Date in Babylonem arietes [36]. » Dici vero queat etiam secundum interpretes Septuaginta non ita diu post *Medos*, Persas esse subsecutos, a quibus etiam *Babylonis* reliquias deleri contigit. Conferunt autem isthæc nonnihil ad Ægypti visionem; quantumvis secundum quosdam peculiaris Babyloni visio habeatur, ut Babyloniis Judæos minime confidere doceat, qui et ipsi capientur. Sic enim apud prophetam quendam legimus: « Ægyptum invocabat, et ad Assyrios profecti sunt [37]; » tanquam causis allatis, quibus *ab Assyriis* urbem et templum contigit expugnari, adhortarentur. Sin autem eos, qui sunt accuratiores, sequamur, post designatam Ægypti et Æthiopiæ per *Assyrios* expugnationem, qualia et expugnatores ipsos maneant, declarat. Justa enim sententia Deus Ægyptios Assyriis, Assyrios Medis, Medos Persis, Persas denique, propter fastum et superbiam, aliis evertendos concesit. Verum quod *desertam Babylonem* vocat, instare ejus vastitatem et *solitudinem* significat. Deinde quod Hebraica lectio, cæterique interpretes, *maris* vocabulum addiderunt; ita plebe urbem olim abundasse, et tanquam fluctuasse significavit. Cui sententiæ et Jeremias quoque astipulatur [38], cum tanquam ex Dei persona, mare ipsum desolaturum se interminatur. Idem deinceps et Medorum adventantem in eam multitudinem hoc nomine innuit, cum mare in Babylona ascendisse ait, qui ante de eadem locutus, instar cicadarum multitudinem **278** in eam se immi-

ΚΕΦΑΛ. ΚΑ'.

ΤΟ ΡΗΜΑ ΤΗΣ ΕΡΗΜΟΥ.

α-ι'. *Ὡς καταιγὶς δι' ἐρήμου διέλθοι, ἐξ ἐρήμου ἐρχομένη ἐκ γῆς, φοβερὸν τὸ ὅραμα καὶ σκληρὸν ἀπηγγέλη μοι. Ὁ ἀθετῶν ἀθετεῖ. Ὁ ἀνομῶν ἀνομεῖ. Ἐπ' ἐμοὶ οἱ Ἐλαμῖται, καὶ οἱ πρέσβεις τῶν Περσῶν ἐπ' ἐμὲ ἔρχονται.* κ. τ. λ.

Περὶ *Βαβυλῶνος* μὲν τὰ προκείμενα, ὡς δηλοῖ τό· *Πέπτωκε Βαβυλών.* Καὶ τό· *Ἐπ' ἐμοὶ οἱ Ἐλαμῖται καὶ πρέσβεις τῶν Περσῶν.* Ἢ κατὰ Σύμμαχον, *Ἀνάστηθι Ἐλάμ. Πολιόρκει Μῆδοι.* Καὶ οἱ λοιποὶ δὲ, καὶ τὸ Ἑβραϊκὸν, *Μῆδοι*, φασὶν, οἱ καὶ καθεῖλον τὴν *Βαβυλωνίων* ἀρχήν. Πρὸς οὓς ἔλεγεν ἄνω· « Ἰδοὺ ἐπεγερῶ ὑμῖν τοὺς Μήδους. » Περὶ ὧν καὶ Ἱερεμίας φησίν· « Ἤγειρε Κύριος τὸ πνεῦμα βασιλέως Μήδων, ὅτι εἰς Βαβυλῶνα ἡ ὀργὴ αὐτοῦ. » Καὶ πάλιν· « Δότε [εἰς] τὴν Βαβυλῶνα βελοστάσεις. » Ῥηθείη δὲ καὶ κατ' αὐτοὺς Ἑβδομήκοντα, ὅτι Πέρσαι τοὺς *Μήδους* οὐκ εἰς μακρὰν διαδεξάμενοι *καθεῖλον τῆς Βαβυλῶνος* τὰ λείψανα. Πρὸς δὲ τὴν ὅρασιν Αἰγύπτου τι ταῦτα συντείνει καίτοι τῆς Βαβυλῶνος ἰδίας τυχούσης ὁράσεως κατὰ μέν τινας, ἵνα πείσῃ τοὺς Ἰουδαίους μὴ θαρρεῖν ἐπὶ τοῖς Βαβυλωνίοις, ὡς καὶ αὐτοῖς ἀλωσομένοις. Φησὶ γάρ τις προφήτης· « Αἴγυπτον ἐπεκαλεῖτο, καὶ εἰς Ἀσσυρίους ἐπορεύθησαν. » Ἢ παρακαλῶν αὐτοὺς, ἐφ' οἷς εἶλον τὴν πόλιν καὶ τὸν ναὸν *οἱ Ἀσσύριοι.* Κατὰ δὲ τοὺς ἀκριβεστέρους, περὶ τῆς ὑπ' *Ἀσσυρίων* ἁλώσεως Αἰγύπτου, καὶ τῶν Αἰθιόπων εἰπών, ἀναγκαίως διδάσκει καὶ οἷα τοῖς ἑλοῦσι συμβήσεται. Θεὸς γὰρ κρίσει δικαίᾳ τοὺς μὲν Αἰγυπτίους Ἀσσυρίοις, τούτους δὲ Μήδοις, κἀκείνους Πέρσαις, καὶ τούτους ἑτέροις εἰς καθαίρεσιν τῆς μεγαλαυχίας παρέδωκεν. *Ἔρημον* δὲ *Βαβυλῶνα* καλεῖ, τὴν μέλλουσαν ταύτης *ἐρημίαν* δηλῶν. Τὸ δὲ Ἑβραϊκὸν καὶ οἱ λοιποὶ τὸ, *θαλάσσης* προσέθηκαν, ὡς τῆς πόλεως πάλαι κυμαινούσης τοῖς πλήθεσιν. Περὶ ἧς Ἱερεμίας ὡς ἐκ προσώπου λέγει Θεοῦ. « Καὶ ἐρημώσω τὴν θάλασσαν αὐτῆς. » Ἑξῆς δὲ πάλιν ὁ αὐτὸς τὸ πλῆθος τῶν ἐπελθόντων αὐτῇ Μήδων παρίστησι λέγων· « Ἀνέβη ἐπὶ Βαβυλῶνα ἡ θάλασσα. » Πρὸ δὲ τούτων ἔφη περὶ αὐτῆς. « Ἀνεβίβασα ἐπ' αὐτὴν ὡς ἀκρίδων πλῆθος. » Τὰ δὲ τῆς ῥήσεως τῆς παρούσης διαφόροις προσώποις διῄρηται· καὶ τὴν ἀρχὴν οἱ μὲν ἀπὸ προσώπου *Βαβυλῶνός* φασιν, ὡς ἀκουσάσης τὰ μέλλοντα δυσχερῆ, καὶ Εἴθε *παρέλθοι*, λεγούσης, ὡς πνεῦμα δι' *ἐρήμου* χωροῦν. Τίς γὰρ ἡ ἀκοὴ φοβεῖ, τίς ἡ πεῖρα γενήσεται; μὴ οὖν γένοιτο τὴν φήμην εἰς ἔργον ἐλθεῖν. Κατὰ δέ τινας, ὁ προφήτης, ἀναγγελθέντων αὐτῷ παρὰ Θεοῦ τῶν συμβησομένων αὐτῇ περὶ Μήδων, φησὶν ὡς

[32] Psal. cxvii, 8. [33] Jerem. xvii, 5, 7. [34] Isa. xiii, 17. [35] Jerem. l, 9. [36] Jerem. li, 40. [37] Osee vii, 11. [38] Jerem. li, 32.

VARIÆ LECTIONES.

• *Ισ. γρ. ὡς.*

Digitized by Google

οὕτω διελεύσονται *τὴν ἔρημον* καθιππεύοντες, ὡσανεὶ καὶ ἀνέμων καταιγὶς δι' *ἐρήμου διέλθοι*, τὴν κόνιν ἐξανιστᾶσα καὶ συγχέουσά πως τὸ πᾶν.

A sisse dixerit. Volunt autem personarum varietate præsentem distingui orationem, ejusque principium a *Babylone* peti, quæ auditis sibi impendentibus malis, ea ipsa *transire*, tanquam spiritum *per desertum*, exoptat. Ad quorum enim auditum perterremur, ea cum experiri contigerit, quid facturum putamus? Absit igitur, ut quod fama jactatur, re experiamur. Placet vero nonnullis prophetam, ubi ea audivit a Deo, quæ per Medos ipsi essent eventura, quo more ventorum procella excitato *per desertum* pulvere rebusque fere permistis omnibus *pertransit*; sic et *desertum* percussuros esse equites significare.

Ἀνηγγέλη δέ μοι, διὰ τοῦτό φησιν, ἐπείπερ ὁμοῦ τῇ θέᾳ καὶ τῶν πραγμάτων τὴν ἔκβασιν ἐδιδάσκετο. Εἶτά φησιν· Ὁ ἀθετῶν ἀθετεῖ. Ἀνεπίπληκτον γὰρ τῶν ἐπιόντων τὸ θράσος μηδὲν μήτε μέτρου μήτε φειδοῦς λογιζόμενον. Ἔλεγεν δὲ καὶ ἐν τῇ κατὰ Βαβυλῶνος ὁράσει· Ἰδοὺ ἐγὼ ἐπάγω ὑμῖν τοὺς Μήδους, οἳ οὐ λογίζονται ἀργύριον, οὐδὲ χρυσίου χρείαν ἔχουσι. Τοξεύματα νεανίσκων συντρίψουσιν. Τῆς τούτων B οὖν *καταιγίδος* ἐπ' ἐμὲ χωρούσης, τί πράξω, φησὶν, *ἢ Βαβυλὼν*, ἀλλ' ἢ *στενάξω* μόνον ἐμαυτὴν *παραμυθουμένη*, ἡ πρὶν ὑπερήφανος, καὶ τοῖς ἄλλοις ἐπάγουσα στεναγμούς; Ἡ γὰρ ὀσφύς μου, φησὶν, ὑπὸ τῆς ἀγγελίας *ἐκλέλυται γυναικὸς τικτούσης* δίκην, ἡ πρότερον ἐσφιγμένη τε καὶ νεανική. Τινὲς δὲ ὡς ἀπὸ προσώπου τοῦ βασιλέως Ἀσσυρίων εἰρῆσθαί φασιν, Ἄπτου. Ὁ ἀθετῶν ἀθετεῖ. Εἴτε δὲ οὗτος, εἴτε Βαβυλὼν, *Ἠδίκησα τὸ μὴ βλέπειν*, φησὶν, ἐνἐξομολογήσεως τρόπῳ. Οὐκ ἠνείχόμην γὰρ παραινέσεως σπουδὴν ποιουμένη *μηδὲν βλέπειν* ὀρθὸν ἥγουν ποιούμενος. Νυνὶ γυναικοπρεπὲς ἀφίησι δάκρυον, ἥγουν· Δυσήκοος γέγονα, οὐκ ἀξιώσας βλέπειν τίς ὁ φύσει Θεός. Ἤκουσα γὰρ τὴν Ἰουδαίων λατρείαν ἐπιστρατεύσας αὐτοῖς τήν τε πόλιν πορθήσας καὶ τὸν ναόν. Ἀλλὰ καὶ Ἰωνᾶς ἡμῖν ἦλθε κηρύττων μετάνοιαν, καὶ μετανοήσας πάλιν ἠδίκησα.

Annuntiata autem *sibi* esse ideo dicit, quod simul cum visione et rerum eventum ipse didicerit. Deinde adjicit, *evertens evertit*; ut imperterritam eorum qui invadunt, ferocitatem demonstret; quibus nec parcere cuiquam, nec agere quidquam moderate placeat. Dicebat vero et in Babylonis visione hoc modo: Ecce ego Medos in vos induco, qui argentum non curant, nec auro opus habent. Arcus juvenum conterent. Horum igitur in me, ait, irruente *tempestate*, quid aliud ego *Babylon* faciam, quam *luctu* miserias meas *consolabor*, quæ elata prius et fastuosa gemitus causam aliis suggerebam? *Lumbi* enim *mei*, inquit, hoc nuntio, *tanquam parientis mulieris* firmæ prius et robore præstantis, dissoluti sunt. Sunt vero nonnulli, qui tanquam assumpta regis Assyrii persona, verba ista *apprehende, evertens evertat*, velint intelligi. Cæterum sive ad regem, sive ad Babylonem referas, confessionis modo usurpata, tanquam se, *ne videant, injuste fecisse* fateantur, dicere valeas. Ambo enim adhortatione neglecta, et eo quod rectum esset, *videndo* parum fuerunt solliciti. Itaque profusis nunc muliebri more lacrymis, a videndo abhorruisse se, nec quid Deus natura exsisteret, intueri dignatos esse lamentatur. *Audisse*, eum de Judæorum religione, cum urbe expugnata templo ipsi non pepercerunt. Imo et cum Jonæ verbis ad pœnitentiam **279** tracti, ad impietatem statim redierunt.

Πρὸς τὸ χρήσιμον δὲ τῶν ἀκουόντων φίλον ἐστὶ προσωποποιεῖν τῇ Γραφῇ. Ἐφ' οἷς φησιν· *Ἑτοιμάσατε τράπεζαν*. Τοῦτό φησιν ὁ προφήτης σαφῆ τῆς ἐπ' αὐτοῖς ὀργῆς τὴν αἰτίαν ποιῶν, τοῦ Βαλτάσαρ τὸ δεῖπνον τὸ παρὰ Δανιὴλ αἰνιττόμενος, ὅτε τοῖς σκεύεσιν ἐμπαροινήσας τοῖς ἱεροῖς, καὶ μὴ γνοὺς ὅτι Θεοῦ δυνάμει τὴν Ἰουδαίαν κεχείρωται, ἀναθεὶς δὲ τὴν αἰτίαν τοῖς ἑαυτοῦ θεοῖς, τὴν γραφὴν εἶδεν ἐν τῷ τοίχῳ σημαίνουσαν αὐτῷ τὴν τῆς βασιλείας καθαίρεσιν. Ἐν ἤθει τοίνυν αὐτοῖς τρυφᾷν ὁ D προφήτης παρακελεύεται· καὶ τί τὸ μετὰ τοῦτο; πόλεμοι τὴν πανήγυριν διαδέξονται, ὡς μικροῦ δεῖν ἐξ αὐτοῦ δραμεῖν τοῦ ποτοῦ πρὸς ὅπλα. Τινὲς δὲ τὸ, *ἑτοιμάσατε τράπεζαν*, τὸ προφητικὸν πνεῦμα λέγειν φασὶ πρὸς τοὺς μέλλοντας ἐλεῖν Βαβυλῶνα, *Ἐλαμίτας, καὶ Μήδους*, καὶ τοὺς πρέσβεις *Περσῶν*, διεγεῖρον αὐτοὺς πρὸς τὸν πόλεμον καὶ τὴν ἐπ' ἀδείας ὡς ἐπὶ νίκῃ μελλούσῃ τρυφήν. Ὁ δὲ τὸ πνεῦμα προφήτης ἔχων· Ταῦτα λέγω, φησὶν, *Ἐπειδήπερ οὕτως εἶπε Κύριος πρός με· Βαδίσας στῆσον σεαυτῷ σκοπόν· καὶ ὃ ἂν ἴδῃ ἀπαγγειλάτω*, ὁ σκοπὸς δηλονότι. *Καὶ εἶδεν ἀναβάτας ἱππεῖς δύο*. Ὁ δὲ Σύμμαχος *ἅρμα*

Est vero Scripturæ, ad eorum utilitatem, qui audiunt, usitata personarum fictio. Sequitur deinceps, *parate mensam;* quod ait propheta, ut divinæ in eos iræ causam ostendat, Baltasarisque per Danielem traditum convivium innuat, in quo contumeliose sancta vasorum supellectile rex abusus, cum non Domini, sed deorum suorum virtute Judæa se potitum crederet, scripturam in pariete, quæ regni notaret interitum, contemplatus est [29]. De more itaque eos luxu diffluere jubet propheta. Verum quid postea? Bella ludos festosque dies brevi adeo subsequentur, ut parum absit quin a poculis ad arma concursum esse credatur. Sunt præterea, qui *parate mensam*, verba prophetici spiritus ad *Elamitas, Medos, Persarumque* legatos, qui Babylonem invasuri sunt, et hic ad bellum, certamque futuræ victoriæ spem, non secus atque ad epularum luxuriem invitantur, esse existiment. At ego propheta, qui spiritum habeo, hæc dico, ait: *Quoniam sic dixit Dominus ad me: Profectus tibi constitue speculatorem, et quod viderit, renuntiet*, speculator scilicet. *Et vidit sessores equites*

[29] Dan. v, 2 seqq.

Digitized by Google

duos, quo loco *bigas* interpretatur Symmachus. *Videt* item et *duos*, alterum quidem *asino*, alterum autem *camelo* devectos. Significabant vero qui equis insidebant, hostium exercitum : ut clitellarii duo (quibus ad necessariorum vecturam utimur) ipsam spoliorum asportationem. Nam et alicubi sic ait : « Ferebant in asinis et camelis divitias suas [49]. » Ista igitur postquam *speculatori visa sunt*, sic prophetam alloquitur Dominus : *Audi auditionem multam, et voca Uriam in speculam :* ubi pro *Uriæ* nomine, *leonem* Aquilas, *leœnam* Symmachus, Theodotio vero *Ariel*, cum Hebræis, ne superius memoratum sacerdotem designari existimes, interpretantur. *Audi igitur*, ait, *auditionem multam, et voca Ariel*, ut et ipsum *speculator* tecum queat intueri. Tanquam cum ipsi adstaret **280** B Propheta, *stetisse se per totum diem*, ait, *ut futuram leonis visionem exspectaret*. Ubi autem *diem* integrum et *noctem* perdurasset : *Ecce* ait, *ascensor bigæ venit*, quem certe vel angelum quemdam, Ariel forsan appellatum esse credas, qui ad sumendum de Babylone supplicium missus, ejusdem expugnationem urgeat, vel eum potius, qui tanquam leo rugiens, quærit quem devoret [50]. At ubi ultorem angelum esse animadvertit, *Cecidit, cecidit Babylon*, inclamat.

Prior igitur *speculator* prophetæ longe inferior, eorum, qui Babylonem essent invasuri, multitudinem intuebatur : sed alter, idem qui et propheta, videt angelicam et magis reconditam, *Babylonis casum* nimirum, et idolorum ipsius, quod per *auditionem multam* spiritus significavit. Quod autem *pergens sibi speculatorem adhibere* jubet, ita accipiunt nonnulli, ut collectum esse debere ad contemplationem animum, et tanquam in specula haberi intelligant. Est enim prophetis istud usitatum, ut ad eorum captum, quæ ostenduntur auditores excitentur. Sic enim apud quemdam legimus : « In custodia mea stabo, et ascendam super petram, et speculabor, ut videam quid in me loquatur, et quid respondeam ad reprehensionem meam [51]. » Aiunt vero *auditionis multæ* nomine, portentosas calamitatum narrationes, quæ *Babylonem* essent invasuræ, significari. Usque adeo enim deserta et vasta penitus remansit, ut Cyrum postea (cui reconditos in tenebris thesauros, nullique cognitos proditurum se et daturum pollicitus erat Dominus [52]) ne illi quidem qui sese in speluncis abdiderant, latere potuerint. Atque inde est, quod his verbis Babylonem Hierosolyma alloquatur : « Ne mihi insultes, hostis mea ; » cæteraque de eadem, quæ proxime sequuntur, his verbis : « Et erit in conculcationem, tanquam lutum in vils [53]. » Jubetur vero, inquiunt, *Uriam* ideo in testem assumere, ut Judæi, qui prophetis non facile credere assuevissent, eum saltem, quem apud suos honoratissimum scirent, visionis socium non respue-

ζεῦγος ἵππων. Καὶ πάλιν ἑξῆς δύο, τὸν μὲν ἵππῳ τὸν δὲ καμήλῳ ὀχούμενον. Ἐδήλουν δὲ οἱ μὲν ὄντες ἐφ' ἵππων τὴν τῶν πολεμίων παράταξιν. Οἱ δὲ τὴν ἐπὶ τῶν νωτοφόρων πρὸς τὴν χρείαν παραγωγὴν καὶ λαφύρων μέλλουσαν ἀποκομιδήν. Καὶ ἀλλαχοῦ γάρ φησιν· « Ἔφερον ἐπ' ὄνων καὶ καμήλων τὸν πλοῦτον αὐτῶν. » *Τοῦ σκοποῦ* ταῦτα *τεθεαμένου*, Κύριος τῷ προφήτῃ φησίν· *Ἀκρόασαι ἀκρόασιν πολλὴν, καὶ κάλεσον Οὐρίαν εἰς τὴν σκοπιάν*. Τὸ δὲ *Οὐρίαν* Ἀκύλας ἐξέδωκε *λέοντα*. Ὁ δὲ Σύμμαχος *λέαιναν*. Ὁ δὲ Θεοδοτίων Ἀριήλ. Οὕτω γὰρ ἔχει καὶ τὸ Ἑβραϊκόν. Ἀλλ' οὐκ *Οὐρίαν*, ὡς μὴ δύνασθαι τὸν εἰρημένον πρόσθεν ἱερέα σημαίνεσθαι. *Ἀκρόασαι τοίνυν ἀκρόασιν*, ἔφη, *πολλὴν, καὶ κάλει τὸν Ἀριήλ*, ὡς ἂν καὶ τοῦτον ὁ *σκοπὸς* ἅμα σοὶ θεωρήσειεν. Ὡς σὺν αὐτῷ γὰρ ἱστάμενος ὁ προφήτης φησίν· *Ἔστην διὰ παντὸς ἡμέρας κυριδοκῶν τὴν μέλλουσαν δῆψιν τοῦ λέοντος. Ἡμέραν* δὲ διατελέσας καὶ *νύκτα*, φησίν· *Ἰδοὺ* αὐτὸς *ἔρχεται ἀναβάτης ξυνωρίδος*. Ἦν δὲ οὗτος ἢ τιμωρός τις ἄγγελος ἐπάγων Βαβυλῶνι τὴν τῆς ἀλώσεως δίκην, ὁ Ἀριὴλ ἴσως ὀνομαζόμενος· ἢ αὐτὸς ἐκεῖνος, Ὁ ὡς λέων ὠρυόμενος καὶ ζητῶν τίνα καταπίῃ. Νοήσας δὲ ὡς τιμωρητικός ἐστιν ἄγγελος βοᾷ· *Πέπτωκε, πέπτωκε Βαβυλών*.

Ὁ μὲν οὖν πρῶτος *σκοπὸς* ὑποδεέστερος ὢν τοῦ προφήτου τὸ πλῆθος ἑώρα τῶν ἐπιόντων τῇ Βαβυλῶνι μελλόντων· ὁ δὲ δεύτερος αὐτὸς ὢν ὁ προφήτης, τὴν ἀγγελικήν τε καὶ ἀποῤῥητοτέραν ὄψιν ὁρᾷ. Τὴν τε C *Βαβυλῶνος πτῶσιν*, καὶ τῶν εἰδώλων αὐτῆς, ἅπερ *ἀκρόασιν πολλὴν* ἐκάλει τὸ πνεῦμα. Τινὲς δὲ τὸ, *Βαδίσας σεαυτῷ στῆσον σκοπὸν*, οὕτω φασίν· τὸ δεῖν συνάξαι πρὸς τὴν θεωρίαν τὸν νοῦν, καὶ ἐν τῇ τούτου γενέσθαι περιωπῇ. Τοῦτο γὰρ ἔθος προφήταις πρὸς τὴν τῶν δεικνυμένων ἀντίληψιν. Τοιγαροῦν τις τούτων φησίν· « Ἐπὶ τῆς φυλακῆς μου στήσομαι καὶ ἐπιβήσομαι ἐπὶ πέτραν καὶ ἀποσκοπεύσω τοῦ ἰδεῖν τί λαλήσει ἐν ἐμοὶ, καὶ τί ἀποκριθῶ ἐπὶ τὸν ἔλεγχόν μου. » *Ἀκρόασιν* δέ φασι *πολλὴν*, διὰ τὰ παράδοξα τῶν ἐσομένων *Βαβυλῶνι* συμφορῶν διηγήματα· παντελῶς γὰρ γέγονεν ἔρημος, ὡς μηδὲ τοὺς ἐν σπηλαίοις κρυφθέντας τὸν Κύρον λαθεῖν, πρὸς ὃν ἔφη Θεός· ὅτι « Δώσω σοι θησαυροὺς σκοτεινούς, ἀποκρύφους, ἀοράτους ἀνοίξω σοι. » Διὸ πρὸς D Βαβυλῶνά φησιν Ἱερουσαλήμ· « Μὴ ἐπίχαιρέ μοι, ἡ ἐχθρά μου. » Μετ' ὀλίγα τε λέγει περὶ αὐτῆς, ὅτι « Ἔσται εἰς καταπάτημα ὡς πηλὸς ἐν ταῖς ὁδοῖς, » καὶ τὰ ἑξῆς. Τὸν δὲ *Οὐρίαν*, φασὶ, τὸν ἱερέα παραλαβεῖν κελεύεται μάρτυρα, ὡς ἂν εἰωθότες ἀπειθεῖν Ἰουδαῖοι προφήταις τῷ παρ' αὐτοῖς τιμιωτάτῳ πεισθήσονται [κοιν]ωνῷ γεγονότι τῆς θέας. Τὸ δὲ, *αὐτὸς ἔρχεται*, ὁ Πέρσης, φασὶ, καὶ Ἐλαμίτης, ἢ ὁ τούτων Κύρος ἡγούμενος· ἀπὸ Θεοῦ τε εἰρῆσθαι τὸ, *πέπτωκε Βαβυλών*. *Καταλελειμμένους* δὲ λέγει τοὺς μὴ μετὰ τῶν ἄλλων αἰχμαλώτους ἀπαχθέντας, οἳ καὶ τὴν χώραν, καὶ τὴν πόλιν, καὶ τὸν ναὸν, τούς

[49] Zachar. XIV, 15. [50] I Petr. V, 8. [51] Habac. II, 1. [52] Isa. XLV, 1 seqq. [53] Isa. LVII, 16-20.

Digitized by Google

τε πεσόντας, καὶ ληφθέντας ὠδύροντο. Τούτοις οὖν παραμυθίαν, τὴν τῶν αὐτοὺς πεπορθηκότων ἀπήγγειλε συμφοράν. Τινὲς δὲ *καταλελειμμένους* τοὺς μὴ συμπλανηθέντας τῇ τῶν ἄλλων ἀσεβείᾳ φασὶν, οἱ βραχεῖς τινες ὄντες, τοὺς πλανηθέντας ὠδύροντο. Οἷς δὴ καὶ φησιν *ἀναγγεῖλαι* τὰ προλαβόντα τὸν Κύριον, ὡσεὶ ἔλεγεν· Ὑμῖν γὰρ ἐξέφηνεν ὡς δι' ἑρμηνέως ἐμοῦ. Τοῦτο τῆς περὶ Αἴγυπτον προφητείας τὸ τέλος.

A rent. Quod deinde *ipsum* **281** *venisse* adjicit Persam et Elamitam, aut eorum ducem Cyrum voluntintelligi; ut cum *cecidisse Babylonem* asserit, Dei vocem exsistere. Præterea *derelictorum* nomine eos ipsos significat, qui cum reliquis minime abducti, regionem ipsam et urbem, templumque, et cæteros etiam lugerent, qui vel ceciderant, vel in hostium manus venerant: quibus consolationem denuntiat, cum eorum, a quibus cladem istam senserunt, calamitatem significat. Non desunt autem qui *derelictos* eos esse velint, qui impietatis aliorum nequaquam participes (quamvis pauci illi quidem) cæteros errantes lugeant. Quibus certe et Dominum superiora *annuntiasse* ait, tanquam illis interprete se ipsum innotuisse significet. Atque hic quidem Ægypti prophetiæ finis est.

ΤΟ ΟΡΑΜΑ ΤΗΣ ΙΔΟΥΜΑΙΑΣ.

κα-ιζ'. *Πρὸς ἐμὲ κάλει παρὰ τοῦ Σηείρ· Φυλάσσετε ἐπάλξεις. Φυλάσσω τὸ πρωΐ, καὶ τὴν νύκτα. Ἐὰν ζητῆς ζήτει, καὶ παρ' ἐμοὶ οἴκει. Ἐν τῷ δρυμῷ ἑσπέρας κοιμηθήσῃ. Ἐν τῇ ὁδῷ Δαιδὰν, συνάντησιν διψῶντι ὕδωρ φέρετε*, κ. τ. λ.

B

VISIO IDUMÆÆ.

VERS. 11-17. *Ad me voca de Seir : Custodite propugnacula. Custodiam mane, et nocte. Si quæris, quære, et apud me habita. In salu vespere dormies. In via Dædam in occursum sitienti ferte aquam*, etc.

Καὶ οὗτοι τοῖς ἐξ Ἰσραὴλ ἦσαν πολέμιοι, καὶ συνεχῶς αὐτοῖς ἐπετίθεντο· καὶ μάρτυς Δαβὶδ λέγων· « Κατὰ σοῦ διαθήκην διέθεντο τὰ σκηνώματα τῶν Ἰδουμαίων, καὶ οἱ Ἰσραηλῖται, Μωὰβ, καὶ Ἀγαρηνοί, Γεβὰλ καὶ Ἀμμὼν, καὶ Ἀμαλήκ. » Προὔταξε γὰρ τῶν ἄλλων *τοὺς Ἰδουμαίους*. Ἔθνος δὲ τοῦτο μέγιστον ἀμφὶ τὴν Πέτραν τῆς Ἀραβίας, ἐκ τοῦ Ἡσαῦ καταγόμενον, ὃς Ἐδὼμ ἐκλήθη, ὅστις ἑρμηνεύεται γήϊνος. Τοιοῦτος γὰρ ὁ βίος αὐτῷ. Καὶ ἀντὶ βρώσεως μιᾶς, ἀπέδοτο τὰ πρωτοτόκια τῷ Ἰακὼβ ἀδελφῷ ὄντι, ὃς καὶ Ἰσραὴλ ὠνομάζετο. Ἐξ οὗ τὸ τῶν Ἰουδαίων κατήγετο γένος. Ἀδελφῶν γὰρ παῖδες Ἰουδαῖοι ἐξ Ἐδὼμ οὕτω λεγόμενοι. Καὶ ὅμως οὐδὲ φιλὴν πάροδον ἐξ Αἰγύπτου παρέσχον Ἰσραὴλ εἰς γῆν τῆς ἐπαγγελίας ἰόντι. Καὶ μετὰ ταῦτα πικρῶς οὕτω διέκειντο πρὸς αὐτοὺς, ὡς ὁ προφήτης ὁ λέγων δηλοῖ· « Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Ἰδουμαίας, καὶ ἐπὶ ταῖς τέτταρσιν οὐκ ἀποστραφήσομαι αὐτούς, ἕνεκεν τοῦ διῶξαι αὐτοὺς ἐν ῥομφαίᾳ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἐλυμήνατο πατέρα ἐπὶ γῆς, » κατὰ δὲ Σύμμαχον *σπλάγχνα ἴδια*· ἐξ ἀδελφῶν γὰρ, ὡς εἴρηται, γνησίων ἐγένοντο. Ἔοικε δὲ τοῖς ἑαυτοῦ γνωρίμοις ὁ Θεὸς προσφωνεῖν λέγων· *Πρὸς ἐμὲ κάλει παρὰ τοῦ Σηείρ* · ἢ κατὰ τοὺς λοιποὺς, *τοὺς φεύγοντας παρὰ τοῦ Σηείρ*. Ὅπερ ἦν ὄρος ἐν Ἀραβίᾳ, τοῦ Ἡσαῦ πόλις τε λαμπρὰ, καθ' ἣν αὐτοῦ συνίστατο τὰ βασίλεια. Οὕτω δὲ τὸ ὄρος λεγόμενον εἰσέτι τοῖς ἐπιχωρίοις γνωρίζεται. Τοῖς οὖν ἀγωνιῶσι τὸν ἀπὸ *τῶν Ἰδουμαίων φόβον*, πρὸς ἐμὲ λέγει, Σπεύδοντες ἥκετε, καὶ παρ' ἐμοὶ γενόμενοι, *τὰς* ἑαυτῶν *ἐπάλξεις φυλάσσετε*, κἀμὲ φύλακα νυκτὸς ἔχοντες καὶ ἡμέρας. Ζητείτω τοίνυν παρ' ἐμοῦ τὴν βοήθειαν ὁ ταύτης ἐπιδεής. Οἰκείωτε [d] παρ' ἐμοὶ πᾶς ὁ τῆς ἑαυτοῦ σωτηρίας πεφροντικώς. Ἐπαγγέλλεται γὰρ αὐτοῖς τὴν ἑαυτοῦ βοήθειαν, εἴπερ ἔλοιντο παραμένειν αὐτῷ. Τὰ δὲ ἑξῆς· ὁ προφήτης ἑτέρας ὑποθέσεως

C

282 Et hi etiam Israelitarum hostes erant, perpetuoque eis insidiabantur, Davide teste, cum ait: « Adversum te fœdus inierunt tabernacula Idumæorum, et Ismaelitæ, Moab, et Agareni, Gebal et Ammon, et Amalec [46]. » *Idumæos* enim omnium primos nominavit. Gens est autem hæc ad Arabiæ Petram maxima, ab Esau deducta, qui Edom dictus, ideo terram significat, quod terreno vitæ genere delectatus Jacobo fratri (cui et alterum Israelis nomen fuit, deque hujus genere et nomine vocati sunt postea Judæi), primogenituræ suæ prærogativam edulio unico vendidit. Licet autem a fratribus utraque gens orta sit, nunquam tamen Israelitas per agros suos vel simplici itinere, cum in promissam regionem migrarent, Idumæi transire passi sunt. Quam autem acerbe in eosdem se postea gesserint, vel prophetæ verbis intelligas, cum ait: « In tribus impietatibus Idumææ, et in quatuor, non convertam eos, quoniam illi in gladio persecuti sunt fratrem suum, et patrem in terra læserunt [46]. » Ubi pro *patre*, *viscera propria*, legit Symmachus. Erant enim ut dictum est, ex germanis fratribus prognati. Videtur autem probatæ sibi et cognitæ fidei aliquos, vel, ut aliis placet, fugientes, cum *ad se de Seir clamare* jubet, Dominus alloqui. Est vero Seir mons ejus nominis in Arabia, et illustris Esau civitas, ejusdem olim regia, montique hoc tempore ista manet etiam appellatio incolis usitata. Eos igitur, qui *Idumæorum* metu terrentur, ut ad se accedant propere, suaque ibi *propugnacula tueantur*, tanto custode nocte et die usi, hortatur. Jam ergo, ait, non ab alio, quam a me, qui eget, auxilium quærat. Mecum habitet, qui salutis suæ curam habet. Illis enim suam ipse operam, suumque auxilium pollicetur, si apud eum velint permanere. Quæ dein-

D

[46] Psal. LXXXII, 7, 8. [46] Amos II, 1.

VARIÆ LECTIONES.

[d] *γρ.* οἰκειούτω.

Digitized by Google

ceps sequuntur, tanquam alterius sint argumenti, aggreditur propheta divino Spiritu correptus : unde et *assumptionis* nomine orationem suam appellavit, quæ non de *Idumæis* tantum, sed de omnibus *Arabiæ* incolis, bellaque adversus Israelem gerentibus loquitur, quos posita animi ferocitate ad impendentium calamitatum agnitionem **283** deducere conatur. Irruentibus enim in eos hostibus, admonet bello perituros esse permultos ; paucos autem evasuros : quibus *fuga metuque dispalatis, et laborantibus, ipsi prodibunt obviam Themanitæ*, cibisque perhumaniter oblatis, fame percuntes in desertis et saltibus, ubicunque nox eos occuparit, recreabunt.

Addit vero et certum interitus tempus, cum eorum more, qui pacta mercede servitio addicti, anxie diebus singulis computando, temporis finem exspectant, annum se dicit numerare. Est vero Arabiæ civitas *Cedar*, quam cum aliis quoque perituram, et ex universis incolumes evasuros esse paucos significat. Reperias autem et peculiarem de *Cedar*, deque *Idumæa*, et monte *Seir*, apud Ezechielem prophetam [57]. Quin et Jeremias ipse sapientiam quamdam Idumæorum nobis describit, cum ait : « Non erit amplius sapientia in Theman. Periit sapientum consilium. Defecit sapientia eorum [58]. » Sed et qualis eorum futurus sit exitus ita subjungit : « Dedi te in gentibus facile aspernandum [59]. » Et rursus : « Erit Idumæa in desertum [60], » cæteraque quæ sequuntur. Non desunt, qui crudelitati, quam olim Hierosolyma passa est, et iste putent adjici. Expugnata enim per Assyrios Hierosolyma, totaque adeo Judææ regione, cum ferro cecidissent alii, alii autem in manus hostium venissent, qui servati cladem vix evaserunt, in Idumæam vicinam et cognatam sese recipiebant. Sed tantum abest, ut ibi servarentur, ut ab ea multo quam ab hoste sævius exciperentur. Ista vel Abdiæ voce omnibus patebunt, cum ait : « In illa die perdam sapientes ex Idumæa ; » quorum post nonnulla et causa additur, his verbis : « Propter internecionem et impietatem qua in fratrem suum Jacob usi sunt [61]. » Et paulo post : « Et alieni ingressi sunt portas ejus, et in Jerusalem miserunt sortes, et tu eras tanquam unus ex eis [62]. » Aiunt ergo, Judæa, capta, Assyrios, cum patriam repeterent, Idumæam obiter diripuisse, sibique subjecisse. Idumæos porro in hæc verba alloquitur Abdias : « Quomodo fecisti, sic erit et tibi, retributio tua in caput tuum redundabit [63]. » Inde est igitur, quod prophetam hoc loco, *ad se* vocare **284** *Seir* Deus imperat, tanquam ad fugam paratos jamjam significet, et in Judæam fugientes ad preces confugere jubeat, ut sicut antea victis contumeliose insultarunt, et ipsi jam ab Assyriis superati rideantur. Eos igitur, affectu quodam exprobratione usus, frustra circum muros

A ἐπιλαβόμενος λέγει ληφθεὶς ὑπὸ τοῦ ἁγίου Πνεύματος. Διὸ καὶ *Λῆμμα* τὸν λόγον καλεῖ, οὐ περὶ *τῶν Ἰδουμαίων* λέγοντα μόνον, ἀλλὰ καὶ περὶ πάντων τῶν *τὴν Ἀραβίαν* οἰκούντων, καὶ πολεμούντων Ἰσραήλ. Οὓς βούλεται παυσαμένους τοῦ θράσους ἐπιγνῶναι μᾶλλον τὰς ἑαυτῶν συμφοράς. Τῶν γὰρ πολεμίων ἐπιόντων αὐτοῖς ἀποτελεῖσθαι μὲν τοὺς πλείους, ὀλίγοις δὲ οὖσι *τοῖς φεύγουσι φόβῳ τε λελυμένοις καὶ κόπῳ, προαπαντᾷν τοὺς ἀπὸ Θεμὰν* φιλανθρώπως ἐπιδιδόντας τροφὴν ἀποθανεῖν κινδυνεύουσιν, ἔνθαπερ τύχοιεν φεύγοντες ἐν ἐρημίαις τε καὶ δρυμοῖς καταλαβούσης ἑσπέρας.

Τὸν δὲ χρόνον τῆς ἀπωλείας προστίθησι, μετ' B ἐνιαυτὸν εἰπὼν ἀκριβῶς ἀριθμούμενον ὡς ἐπιμισθωτοῦ καραδοκοῦντος ἐλευθερωθῆναι μισθώσεως, καὶ καθ' ἡμέραν, ὡς εἰπεῖν, ἀριθμοῦντος τὸν χρόνον. Πόλις δὲ τῆς Ἀραβίας *Κηδὰρ*, ἣν μετὰ τῶν ἄλλων ἀπολεῖσθαί φησιν, ὡς ὀλίγους ἐκ πάντων σωθήσεσθαι· εὕροις δ' ἂν καὶ παρ' Ἰεζεκιὴλ ἰδιάζουσαν προφητείαν περὶ *Κηδὰρ* καὶ *Ἰδουμαίας* καὶ ὄρους *Σηείρ*. Ὁ δὲ Ἱερεμίας καὶ σοφίαν οὐσάν τινα παρὰ τοῖς Ἰδουμαίοις παρίστησιν λέγων· « Οὐκ ἔστιν ἔτι σοφία ἐν Θεμάν. Ἀπώλετο ἡ βουλὴ ἐκ συνετῶν. Ἤχετο ἡ σοφία αὐτῶν. » Τὸ δὲ τέλος αὐτοῖς οἷον ἔσται, παρίστησι· « Δέδωκά σε ἐν τοῖς ἔθνεσιν εὐκαταφρόνητον. » Καὶ πάλιν· « Ἔσται ἡ Ἰδουμαία εἰς ἄβατον, » καὶ τὰ ἐπὶ τούτοις. Τινὲς δὲ λέγουσιν, ὡς πρὸς τῇ πάλαι καθ' Ἱερουσαλὴμ ὠμότητι, ἔτι καὶ τάδε προσέθηκαν. Ἀλούσης γὰρ Ἱερουσαλὴμ, καὶ πάσης τῆς C Ἰουδαίας ὑπ' Ἀσσυρίων, καὶ τῶν μὲν ἀνῃρημένων, τῶν δὲ ἀνδραποδιζομένων, οἱ μόλις σωθέντες, ὡς εἰς ὅμορον τὴν Ἰδουμαίαν καὶ συγγενῶν οὖσαν κατέφευγον. Οἱ δὲ πρὸς τῷ μὴ σώζειν, χείρους ἐπ' αὐτοῖς τῶν πολεμίων ἐγένοντο. Δῆλα δὲ ταῦτα πεποίηκεν Ἀβδιοῦ λέγων· « Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολῶ σοφοὺς ἐκ τῆς Ἰδουμαίας. » Καὶ μεθ' ἕτερα δεινὰ τὴν αἰτίαν προσέθηκε λέγων· « Διὰ τὴν σφαγὴν καὶ τὴν ἀσέβειαν τὴν εἰς τὸν ἀδελφόν σου Ἰακώβ. » Καὶ μετ' ὀλίγα· « Καὶ ἀλλότριοι εἰσῆλθον εἰς πύλας αὐτοῦ. Καὶ ἐπὶ Ἱερουσαλὴμ ἔβαλον κλήρους. Καὶ σὺ ἦς ὡς εἷς ἐξ αὐτῶν. » Οἱ τοίνυν Ἀσσύριοι τὴν Ἰουδαίαν φασὶν, ἐλόντες πρός τε τὰ οἴκοι χωροῦντες, ὁδοῦ D πάρεργον ἐποιοῦντο τῆς Ἰδουμαίας τὴν δῄωσιν, καὶ πάντας αὐτοὺς ἐχειρώσαντο. Πρὸς οὓς Ἰδουμαίους φησὶν Ἀβδίας· « Ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς κεφαλήν σου. » Διὸ νῦν, φησὶ τῷ προφήτῃ Θεός· *Πρός με κάλει Σηείρ*, ὡς μελλόντων ὅσον οὔπω τραπήσεσθαι πρὸς φυγήν. Τοῦτ' ἔστιν, Ἡκέτωσαν καὶ αὐτοὶ φεύγοντες εἰς τὴν Ἰουδαίαν, ἵν' ὡς ἐπετόθαζον ἡττημένοις, καὶ αὐτοὶ γελασθήσονται τῶν Ἀσσυρίων ἥττους γενόμενοι. Πρὸς οὓς ἐν ἤθει τινὶ φησιν ὀνειδίζων, ὡς Ἀνόνητα μοχθεῖτε περὶ τὰ τείχη, διαφυγεῖν τοὺς ἐπιόντας ἐλπίζοντες, καὶ μὴ τὴν θείαν συμμαχίαν αἰτούμενοι. Οἱ δὴ καί φασι· *Φυλάσσω τὸ πρωΐ*

[57] Ezech. xxvii, 21; xxv, 12, 8. [58] Jer. xlix, 7. [59] ibid. 13. [60] ibid. 17. [61] Abd., 10. [62] ibid. 11. [63] ibid. 15.

Digitized by Google

καὶ τὴν νύκτα. Ἀλλ', « Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. » Ἐὰν οὖν βούλῃ, φησὶν, ἐπικουρίαν ζητεῖν, ζήτει ταύτην παρ' ἐμοῦ τοῦ διασώζειν ἰσχύοντος. Καὶ οἶκει παρ' ἐμοί. Τοῦτ' ἔστιν, Ἐμὸς ἔσο, καὶ φρόνει τἀμά, τῶν εἰδώλων ἀφέμενος, κατὰ τό· « Ὁ ἐμὲ ἀγαπῶν, ἐμοὶ ἀκολουθείτω. » Καί, « Ὅπου εἰμὶ ἐγὼ, ἐκεῖ καὶ ὁ διάκονος ὁ ἐμὸς ἔσται. » Ἐπιόντων δέ σοι τῶν πολεμίων ἔξω πόλεων ἔσο καὶ οἴκων, ὁμοῦ τε ταῖς ἀγρίαις συναυλίζου θηρίοις. Ἀποτίσεις γὰρ τὴν ἴσην ποινήν. Προτείνει τε * αὐτοῖς ἅπερ ἔδει ποιεῖν τοῖς φυγοῦσιν ἐξ Ἰσραήλ. Ἐχρῆν γὰρ, φησὶν, ὑμᾶς ὦ *ἐκ Θεμὰν ἐν τῇ ὁδῷ Δαιδὰν προαπαντῆσαι, τοῖς φεύγουσιν* τὰ *πρὸς* τὴν χρείαν προτείνοντας· ὃ μὴ ποιήσαντες πείσεσθε μετ' *ἀναυτὸν* τὰ δεινότατα. Θεοῦ γὰρ εἰπόντος, ἔσται πάντως τὰ προλεγόμενα. Ὁμοίως δὲ νοήσεις, καὶ διωγμῶν ἐπικειμένων Ἑλληνικῶν, τοὺς ἐκ τῶν αἱρέσεων τοῖς ὀρθὰ φρονοῦσι συνεπιτίθεσθαι δοκοῦντας εἶναι Χριστιανούς, οὓς οὐκ εἰς μακρὰν ἡ θεία δίκη μετέρχεται.

Sed non desunt, qui verba hæc ita interpretentur: Qui multo in Deum amore adversus sceleratos Judæorum ausus propheta excitatus *eis mala addi* postularat; cum eorum jam nomine Deum deprecari deberet, si quid illis condoleret; eam jam pro sui defensione utilitatem proponit, quæ ex *damnis et calamitatibus* divinitus immissis percipitur; solere ejus in nobis Dei *recordationem* exci-

A Κύριος παιδεύει. Τῷ γαρ σῷ πόθῳ **πᾶσα θλίψις** *μικρά* τις ἡμῖν ἐνομίζετο λογιζομένοις, ὡς *Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλύπτεσθαι εἰς ἡμᾶς*. Διὸ πᾶσαν ὑπομένοντες **θλῖψιν**, ἐώκειμεν *κυούσῃ* γυναικὶ, καὶ ὅσον οὔπω μελλούσῃ τεκεῖν. Καὶ τὸν γὰρ *ἀγαπητόν σου* καὶ μονογενῆ Λόγον ἔχοντες ἔνδον, καὶ τὸν ἡμῖν κατασπαρέντα *φόβον* τῆς σῆς εὐσεβείας πάλαι ἐκαρτεροῦμεν γενναίως, δεδιότες ἐξαμβλῶναι τὸν ἐν ἡμῖν ἀγαπητόν σου κυούμενον, καὶ τὸν φόβον τὸν σόν. Τοιγαροῦν οὐκ ἐσφάλημεν τῆς ἐλπίδος, τέλος ἀμφοῖν τὴν *σωτηρίαν τοῦ πνεύματος* τοῦ ἡμετέρου κτησάμενοι. Τοῦτο γὰρ *ἀπογεννήσαντες* φανερὸν *τοῖς ἐπὶ* γῆς κατεστήσαμεν, ὡς ἂν ζηλοῦντες γένοιντο παραπλήσιοι. Μὴ λαβόντες γὰρ τοῦτον *τὸν φόβον*, *μηδὲ τεκόντες τὸ πνεῦμα τῆς σωτηρίας*, ἄγονοι δὲ καὶ ἄκαρποι μείναντες, ἐλπίδος *ἐκπεσοῦνται* τῆς παρὰ σοῦ. Οἱ δὲ τῆς σῆς ὄντες μερίδος, εἰ καὶ μέχρι θανάτου πρὸς τὴν ἁμαρτίαν διαγωνίσαιντο, τῆς παρὰ σοὶ ζωῆς οὐκ ἀποπεσοῦνταί ποτε. *Ἀναστήσονται γὰρ οἱ νεκροί*· ἢ κατὰ τὸν Ἀκύλαν, *ζήσονται οἱ τεθνεῶτές σου*. Ἡ κατὰ Σύμμαχον καὶ Θεοδοτίωνα, *ζήσονται οἱ νεκροί σου*. *Νεκροὶ* δὲ αὐτοῦ τίνες ἂν εἶεν, ἢ οἱ ἅγιοι αὐτοῦ μάρτυρες ἕτεροι ὄντες παρὰ τοὺς ἀνωλεχθέντας *νεκρούς*; Οἱ δὲ [v] *νεκροὶ* ζωὴν οὐ μὴ ἴδωσιν, ὡς ἡμαρτηκότες πρὸς θάνατον. *Νεκροὶ* δὲ Κυρίου, οἱ πάντα δι' αὐτὸν ὑπομείναντες (περὶ ὧν οὐ *τεθνηκότων*, ἀλλ' ὡς *κοιμηθέντων* ἐξέδωκαν οἱ λοιποὶ) κατὰ μὲν τὸ πρῶτον, *ἐξυπνίσεσθε* [x] οἱ ἐν τοῖς μνημείοις· κατὰ δὲ τὸ δεύτερον, *Ἀγαλλιάσονται*, ἢ *αἰνέσουσιν* κατὰ τὸν Ἀκύλαν, ἢ *ἀλαλάξουσι*, κατὰ τὸν Θεοδοτίωνα. Κοίμησις γὰρ ὀνομάζεται τῶν ἁγίων *ὁ θάνατος*. Αἰτία δὲ τῆς ἀναστάσεως αὐτοῖς *ἡ παρὰ σοῦ δρόσος*, ὁ μονογενής σου Λόγος δηλαδὴ, ὃς ἐπιστάξας τὰς ἑαυτοῦ ζωοποιοὺς σταγόνας τοῖς αὐτοῦ *νεκροῖς*, ὁμοῦ μὲν ἔσασιν τῶν ἀνθρωπίνως αὐτοῖς ἡμαρτημένων παρέξει, ὁμοῦ δὲ *ἀνάστασιν* τῶν ἐπὶ γῆς ἐσπαρμένων σωμάτων, ὡς *ἡ δρόσος* ἡ αἰσθητὴ ἡμέρα κατιοῦσα πρὸς γῆν, ἐκτρέφειν καὶ αὔξειν ποιεῖ τὰ ἐναποκείμενα σπέρματα. Ἀλλ' οὐ τὰ τῶν ἀσεβῶν τοιαῦτα. *Πεσεῖται* γὰρ αὐτῶν *ἡ γῆ*. Ὡς οὖν *ἐκπεσόντες* Θεοῦ, αὐτοῖς σώμασι καὶ ψυχαῖς εἰς τιμωρίαν παραδοθήσονται.

B

C

D Τινὲς δὲ τὴν ῥῆσιν οὕτως ἑρμήνευσαν· Ἐκ πολλῆς ὁ προφήτης φιλοθεΐας κατὰ τῶν Ἰουδαϊκῶν τολμημάτων κινηθεὶς, καὶ φήσας, *Πρόσθες αὐτοῖς κακὰ, Κύριε*· δέον ὑπὲρ αὐτῶν παρακαλεῖν τὸν Θεὸν, εἶγε τούτοις συνέπασχε, τὸ τῶν *κακωτικῶν θλίψεων* πρὸς ἀπολογίαν ἐπήνεγκε χρήσιμον, ὡς Θεοῦ *μνήμην* πέφυκε πᾶσιν ἐργάζεσθαι, ὥσπερ οὖν λήθην οἶδε ποιεῖν εὑροοῦντα τὰ πράγματα. *Ἐν θλίψει γὰρ*

[13] Hebr. XII, 6. [14] Rom. VIII, 18.

VARIÆ LECTIONES.

[v] γρ. γάρ. [x] γρ. ἐξυπνίσονται.

Digitized by Google

μικρὰ παιδευόμεθα, Θεοῦ τὴν ὀργὴν συγκεραννύντος πᾶσιν ἡμέρως. Ἐξ ἀγάπης ἄρα τὸ, *Πρόσθες αὐτοῖς*, ἔφη, *κακά*. Προαιρέσει γὰρ ἀκάρπῳ λυσιτελούντως ἀνάγκη προσφέρεται. Τοιοῦτον τό· « Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄξεις τῶν μὴ ἐγγιζόντων πρὸς σέ. » Ἀλλ' οὐχ ἡμεῖς, φησὶ, κατ' ἐκείνους ἐπὶ τῷ *ἀγαπητῷ σου* διετέθημεν υἱῷ· δίκην δὲ μᾶλλον *ὠδινούσης* γυναικὸς, τῶν ταῦτα τολμώντων κατεδοήσαμεν τὴν ψυχὴν ὀδυνώμενοι. Τοιοῦτος Ἡσαΐας βοῶν· « Ὑμεῖς δὲ προσαγάγετε ὧδε, υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης. Ἐν τίνι ἐνετρυφήσατε, καὶ ἐπὶ τίνι ἠνοίξατε τὸ στόμα ὑμῶν; » Περὶ ὧν ἔφασκε καὶ Δαβίδ· « Σκοτισθήσονται οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, » καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον. Τινὲς δὲ *θλῖψιν μικρὰν*, τὴν μὴ χωροῦσαν εἰς ἔργα φασὶν ἀπειλήν. Φιλανθρώπως γὰρ ἀπειλεῖ Θεὸς, φόβῳ τῶν κακῶν ἀπεῖρξαι βουλόμενος. Οὐ μισεῖ γὰρ τὸ ἴδιον πλάσμα, οὐδὲ παρήγαγεν [y] ὡς ἂν τιμωρήσηται. Εἰ γὰρ ἦν τοιοῦτος, ἐνῆν αὐτῷ καὶ σιωπῇ τὴν τιμωρίαν ἐργάζεσθαι. Νῦν δὲ σώζειν ἐθέλων προαπειλεῖ.

A tare, quæ rebus prosperis et ad voluntatem fluentibus obliteratur. Nos enim *parva erudit afflictio*, quoties iram Deo mansuetudine temperare in omnes libuit. Est igitur benevolentiæ et charitatis, quod *eis mala adjici* propheta postulavit; cum nullius frugis voluntati utiliter ipsa vis accedat necessitatis. Tale illud est : « In camo et freno maxillas eorum constringe, qui non approximant ad te [15]. » At nos, ait, ut illi, nequaquam *in dilectum* filium tuum sumus affecti; quin potius *parturientis* instar mulieris, illos qui ista conati sunt, magno animi dolore vociferantes arguimus. Talem agnoscas Isaiam, ubi ita inclamat : « Vos autem accedite huc, filii, semen adulterorum et fornicariæ. In quo vos deliciati estis? et in quo aperuistis os vestrum [16]? » De his et illa sunt Davidis : « Obtenebrentur eorum oculi ne videant; **332** et dorsum eorum semper incurva [17]. » Quidam vero *afflictionem parvam*, eas tantum minas intelligunt, quæ ad opus usque non excurrunt : cum pro sua in homines benevolentia hoc tantum fine, ut eos a malis arceat, Deus minitetur. Non enim suum ipse odit figmentum; neque, ut ulciscatur, in lucem educit; quod alioquin, si talis esset, eidem vel non præmonenti liceret. At nunc minas præmittit, ut servare se velle doceat.

B

Ἐπεὶ τοίνυν φησὶ τὰ ἡμέτερα τοιαῦτα γέγονεν, ὡς διὰ μεγάλων τιμωριῶν τὸ χρέος ἐκτινύναι, χρεία *τοῦ σοῦ ἀγαπητοῦ* τὰς συμφορὰς ἡμῖν διαλύοντος χάριτι. Ἀφ' οὗ γὰρ κατὰ τὴν προφητείαν ἡ παρθένος λέγεται τετοκέναι, πανταχοῦ εὐαφόρμως μνημονεύει τοῦ παιδίου. Οἱ δὲ λέγοντες ἐκ φιλοθεΐας γενέσθαι τῷ *ἀγαπητῷ* τοῦ Πατέρος ὅπερ *ὠδίνουσα* γυνὴ, ἐμμένουσι τῇ τροπῇ, *σωτηρίας* λέγοντες *πνεύματα τεκεῖν τοῖς ἐπὶ τῆς γῆς*· ὅπερ ἁρμόττει προφήταις, ἀποστόλοις τε καὶ εὐαγγελισταῖς. Τῆς γὰρ θείας μυσταγωγίας ἄνωθεν πλουτοῦντες τὰ σπέρματα, τοῖς *ἐπὶ τῆς γῆς πνεῦμα σωτηρίας ἐξέτεκον*, τὴν ἐν πνεύματι δηλονότι διδασκαλίαν. Φίλον γὰρ τῇ Γραφῇ *πνεῦμα* καλεῖν ἔσθ' ὅτε τάς τινων συγγραφάς, κατὰ τό· « Δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ τοῦ θείου εἰσίν. » [z] Πνεύματι γὰρ ἁγίῳ τὸ σωτήριον κήρυγμα λέγεται, κοσμικῷ δὲ, τὰ τούτῳ μαχόμενα. Διό φησιν ὁ Παῦλος· « Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου τούτου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ. » *Πνεῦμα* τοίνυν *σωτηρίας*, τὸ εὐαγγελικὸν ἐκάλεσε κήρυγμα τὴν αἰώνιον ζωὴν προξενοῦν. Τινὲς δέ φασιν τὴν ἐκ τῆς ἀπειλῆς ὠφέλειαν ἐμφαίνειν. Ὡς ἀγαθὸν γὰρ σπέρμα *τὸν σὸν φόβον* δεξάμενοι, καὶ τοῦτον κυοφορήσαντες, ἐν καιρῷ τῷ δέοντι *σωτηρίαν* ἐκαρπωσάμεθα. Ἔτι γὰρ οὖσιν ἡμῖν ἐπὶ γῆς καιρὸν μετανοίας ἐχαρίσω, μὴ προανελὼν τῇ κατ' ἀξίαν δίκῃ, ἀλλ' ἐνδοὺς ἐπιστραφεῖσι σωθῆναι. Καὶ *νεκροὶ ὄντες* τοῖς παραπτώμασι, νῦν *ἐγερθησόμεθα* ὡς ἀπὸ μνημείων, ἀντιλήψεως τυχόντες τῆς παρὰ σοῦ. Ὑφ' ἧ τελοῦντες, *ἀγαλλιασόμεθα* τῶν κακῶν ἔργων ἀπεσχημένοι. Τὸν σὸν γὰρ ἔλεον ὡς

Quoniam igitur, ait, eo res nostræ reciderunt, ut magnis ultionibus debitum nobis luendum sit : *dilecto tuo*, qui gratis calamitates nostras tollat, opus est. Statim enim ex quo, secundum prophetiam, virgo peperisse audita est, opportune ubique pueri mentionem facit. At qui se divinitatis amore *dilecto* Patris instar mulieris *parturientis* fuisse dicunt, eidem loquendi figuræ insistunt, dum *spiritum salutis iis*, qui sunt *in terra*, *peperisse* se inferunt; quod prophetis ipsis, apostolisque atque adeo evangelistis convenit, qui divinæ mystagogiæ seminibus superne ditati, iis qui sunt *in terra salutis spiritum*, id est spiritalem doctrinam, *peperer-unt*. Est enim Scripturæ usitatum, ut quorumdam aliquando scripta, *spiritus* appellatione dignetur, quale est illud : « Probate spiritus an ex Deo sunt [18]. » Opera siquidem Spiritus sancti editur salutaris prædicatio; mundani autem, quæ huic adversantur; unde sunt et illa Pauli : « Nos autem spiritum hujus mundi non accepimus, sed spiritum qui ex Deo est [19]. » Patet itaque *spiritum salutis* evangelicam illam prædicationem, quæ vitam æternam conciliat, appellasse. Aiunt vero nonnulli, eam, quæ ex minis oritur, utilitatem significari. Tanquam enim semen, inquiunt, *metum tuum* complexi, et eo prægnantes, idoneo tempore *salutem* percepimus. Nam adhuc in terra degentibus pœnitendi spatium prorogasti, cum dilata morte justas de nobis pœnas tum non sumpsisti; sed resipiscendi tempus; ut servares, indulsisti. Qui prius ergo propter peccata *mortui eramus*, nunc tanquam de **333** monumentis re-

C

D

[15] Psal. xxxi, 9. [16] Isa. lvii, 3, 4. [17] Psal. lxviii, 24. [18] I Joan. iv, 1. [19] I Cor. ii, 12.

VARIÆ LECTIONES.

[y] Ἴσ. Λ. εἰς φῶς. [z] Ἴσ. Λ. ἐν.

Digitized by Google

surgemus tua ope adjuti, in qua degentes et ipsi malis operibus liberati *exsultabimus*. Pereuntibus enim impiis, tuam in nos ipse miserationem velut *rorem* ad *medelam* demittes. Utitur vero naturæ consentientibus ad rei cognitionem exemplis. Quin et apud Ezechielem, cum spem Judæi propter temporis diuturnitatem abjicerent, ipsum de captivitate reditum, ipsamque adeo templi instaurationem Deus ostensurus, ossa mortuorum ipsa etiam prophetæ prædicatione in vitam jussit revocari [20]; ut populi dubitantis animum per eorum suscitationem, quæ desperata videbantur, in spem excitaret.

A δρόσον ἐφ ἡμᾶς ἐκπέμπεις *latikὴν* τῶν ἀσεβῶν ἀπολλυμένων. Τοῖς φύσει δὲ συμβαίνουσι παραδείγματι [a] χρῆται πρὸς κατανόησιν. Καὶ παρ' Ἰεζεκιὴλ δὲ τῶν Ἰουδαίων ἀπειρηκότων εἰ διὰ μακρὸν χρόνον, τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον, καὶ τοῦ ναοῦ τὴν οἰκοδόμησιν ὁ Θεὸς ὑποδείκνυσι τῷ προφήτῃ, νεκρῶν ὁστᾶ καὶ διὰ κηρύγματος τοῦ προφήτου ζωοποιεῖσθαι κελεύει, ζωπυρῶν τῷ λαῷ τὰς ἐλπίδας διὰ τῆς τῶν ἀπεγνωσμένων ἀναβιώσεως.

Sic autem explicant nonnulli. Quandoquidem *spiritum salutis in terra pariturum* dixit; mortem autem iis, qui in terra degunt adhuc esse superiorem apparet; tanquam exsistat aliquis, qui ubi sit evangelici præconii utilitas, ubi *salutis spiritus* quærat; defensione adducta *resurrecturos mortuos* significat. Omnium enim nomine, inquit Apostolus, mortem gustavit Christus [21]; qui ut factus est dormientium omnium primitiæ [22], ita revocatis in vitam omnibus, mortis imperium, quantumvis exspectato resurrectionis tempore ipsius legibus subjaceamus, irritum faciet; quo tempore sunt omnes resurrecturi. Cæterum quis modus? ipse *ros tuus*, *medela* ipsis est. Ipsam vero vivifici Spiritus vim sic vocat, per quam resurrecturi sunt; de qua sunt ista Davidis: « Te enim faciem tuam avertente, turbabuntur, et in pulverem suum convertentur. Emittes spiritum tuum, et creabuntur, et renovabis faciem terræ [22*]. » Verum qui *in terra* ceciderint, reviviscent: ipsa autem *impiorum terra cadet*; quod certe Judæorum terram, quæ in Christum, et eos qui *spiritum salutis in terra pepererunt*, contumeliosa fuit, constat pertulisse.

Τινὲς δέ φασιν, ἐπείπερ ἔφη *πνεῦμα τεκεῖν ἐπὶ τῆς γῆς σωτηρίας*, ὁρᾶται δὲ τῶν ἐπὶ γῆς ἔτι κατισχύων ὁ θάνατος, ὥς τινος ζητοῦντος, ποῦ τῶν εὐαγγελικῶν κηρυγμάτων ἡ ὄνησις. Ποῦ δὲ τῆς *σωτηρίας τὸ πνεῦμα*; τὴν ἀπολογίαν ἐπάγων φησὶν, *ἀναστήσονται οἱ νεκροί*. Ὑπὲρ παντὸς γὰρ, καθά φησιν ὁ Ἀπόστολος, ἐγεύσατο θανάτου Χριστὸς, καὶ πάντων τῶν κεκοιμημένων γέγονεν ἀπαρχὴ, καὶ πάντων ἀνισταμένων τοῦ θανάτου τὸ κράτος καταργηθήσεται, εἰ καὶ νῦν ἔτι θνήσκομεν, μήπω τοῦ τῆς ἀναστάσεως παρόντος καιροῦ. Τότε γὰρ ἀναστήσονται πάντες. Καὶ τίς ὁ τρόπος; Ἡ *δρόσος* ἡ παρὰ σοῦ *ἴαμα* αὐτοῖς ἐστίν. Τὴν δὲ ζωοποιὸν τοῦ πνεύματος ἐνέργειαν οὕτω καλεῖ, δι' ἧς ἀναστήσονται. Καὶ τοῦ Δαβὶδ λέγοντος· « Ἀποστρέψαντος γάρ σου τὸ πρόσωπον, ταραχθήσονται, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. » Ἀλλ' οἱ μὲν ἐν γῇ πεσόντες ἀναβιώσονται· ἡ δὲ γῆ *πεσεῖται τῶν ἀσεβῶν*. Ὃ δεῖ [b] παθεῖν τῇ τῶν Ἰουδαίων χώρᾳ συνέβη. Πεπαρῳνήκασι γὰρ εἰς Χριστὸν, καὶ τοὺς *τῆς σωτηρίας τεκόντας πνεῦμα τοῖς ἐπὶ γῆς*.

B

C

334 Vers. 20, 21. *Vade, populus meus: ingredere in cubiculum tuum: claude ostium tuum: abscondere paululum quantulumcunque, donec pertranseat ira Domini*, etc.

κ', κα'. *Βάδιζε, λαός μου· ἔσελθε εἰς τὸ ταμεῖόν σου, ἀπόκλεισον τὴν θύραν σου. Ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ Κυρίου*, κ. τ. λ.

335 Post allatam de mortuorum suscitatione doctrinam, eum in idem sanctos coivisse, altera autem ex parte iram animo conceptam impios adoriri propheticus videret spiritus; sanctos ad modicum tempus secedere, ne et ipsi eorum videant interitum, voce hortatur. Intelligit autem *cubiculorum* nomine, mansiones eas, quæ apud Patrem multæ [22*], singulis pro meriti ratione tributæ sunt; in quas *ingressus*, quid porro cum impiis agatur, non valde curandum; sed cum *ira pertransierit*, apertis *cubiculi januis* magna cum potestate ad novi illius sæculi, regnique a Deo promissi contemplationem prodeundum monet. Sunt tamen qui dicant Dei personam eos demulcentem introduci, qui salvatorem spiritum cunctis annuntiantes gravibus in terra, immedicabilibusque malis, mortique ipsi futuri erant obnoxii, omnesque unius nomine verbis

Μετὰ τὴν διδασκαλίαν τῆς ἐκ νεκρῶν ἀναστάσεως, τὸ πνεῦμα τὸ προφητικὸν ὁρῶν τοὺς ἁγίους ἐπὶ ταὐτὸ συνηγμένους, τήν τε ἐπιοῦσαν ἐξ ἑτέρου μέρους τοῖς ἀσεβέσι κατανοῆσαν ὀργὴν, προσφωνεῖ τοῖς ἁγίοις ἀναχωρεῖν πρὸς βραχὺ, μηδὲ θεωροὺς γενέσθαι τῆς τῶν ἀσεβῶν ἀπωλείας. *Ταμεῖα* δὲ αὐτῶν, αἳ πολλαὶ παρὰ τῷ Πατέρι τυγχάνουσι μοναὶ δικαίως ἅπασι διαιρούμεναι, εἰς ἃς *εἰσελθὼν*, φησὶ, μὴ περιεργάζου τὰ πόῤῥω τοῖς ἀσεβέσι γινόμενα. *Παρελθούσης* δὲ τῆς *ὀργῆς*, ἀναπετάσας τῶν σῶν *ταμιείων τὰς θύρας*, μετὰ πολλῆς ἐξουσίας πρόϊθι τὸν νέον ἐποπτεύων αἰῶνα, καὶ τὴν ἐπηγγελμένην σοι βασιλείαν τοῦ Θεοῦ. Τινὲς δέ φασιν, ὡς ἐπείπερ ἤμελλον οἱ τὸ σωτήριον πνεῦμα πᾶσι καταγγέλλοντες τοῖς ἐπὶ γῆς δεινοῖς ἀνηκέστοις καὶ θανάτῳ περιπεσεῖν, τούτους ἐπαλεῖφον τὸ τοῦ Θεοῦ *πρόσωπον* ἐπεισάγεται λέγον· *Εἴσελθε εἰς τὰ ταμεῖά σου*, τὰ μνήματά φασι,

D

[20] Ezech. xxvii, 1 seqq. [21] Hebr. ii, 9. [22] 1 Cor. xv, 20. [22*] Psal. ciii, 29, 30. [22] Joan. xiv, 2.

VARIÆ LECTIONES.

[a] *γρ.* παραδείγμασι. [b] *γρ.* δή.

Digitized by Google

τάπι γῆς εὐφήμως οὕτω καλῶν, παραγγέλλων ἐν ἴσῳ τοῖς ἀποκρυπτομένοις *ἀποκλεῖειν τὰς θύρας μέχρι παρέλθῃ ἡ ὀργὴ Κυρίου*. Εἴρητο μὲν γὰρ τῷ Ἀδάμ· « Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ. » Λυθήσεται δὲ τῆς ἐκ κατάρας φθορᾶς ἐν τῇ συντελείᾳ καταργουμένου θανάτου. Συμβουλεύει τοίνυν ἀνασχέσθαι τοῦ θανάτου *μέχρι παρέλθῃ*, κἂν μυσταγωγοῦντας συμβαίνῃ τοῦτο παθεῖν πρὸς τῶν μισούντων τὴν ὑπ' αὐτῶν κηρυττομένην ἀλήθειαν. *Ἐπάξει* γὰρ αὐτοῖς *ἐξ ἁγίου* τὴν πρέπουσαν *ὀργὴν ὁ Θεός*. Τὸ δὲ, *Θεὸς ἐξ ἁγίου*, ὅμοιον τῷ· « Ἔβρεξε Κύριος παρὰ Κυρίου ἐπὶ Σόδομα πῦρ, καὶ θεῖον, » ὁ Υἱὸς ἀπὸ τοῦ Πατέρος· « Ὁ γὰρ Πατὴρ, φησὶ, κρίνει οὐδένα, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκεν τῷ Υἱῷ. » *Τῆς* οὖν *ὀργῆς ἐπαγομένης* κατὰ τῶν τοῖς ἡγιασμένοις ἐπενεγκάντων χεῖρας φονικὰς, *οὐ κατακρύψει τοὺς ἀνῃρημένους* ἡ γῆ. Τοῦ· ἔστι, Τοῦ Θεοῦ τὴν κρίσιν οὐδὲν διαφεύξεται, τῶν ἁγίων μαρτύρων ἐν μνήμῃ κειμένων αὐτοῦ. Καὶ Μωσῆς γὰρ ἔφη, Τὸ αἷμα τῶν υἱῶν αὐτοῦ [c]. Ἤγουν φησὶ μηδένα λαθεῖν τῶν ἐν τῇ γῇ πάλαι τὰς ψυχὰς ἀνῃρημένων διὰ τῶν πρὸς θάνατον ἁμαρτημάτων, ὀργῆς ἐπ' αὐτοὺς φερομένης δηλαδὴ τῶν ἐν ταῖς κολάσεσι διακονουμένων ἀγγέλων, κατὰ τὸ ῥηθὲν ἐπ' Αἰγυπτίων· « Ἀπέστειλεν ἐπ' αὐτοὺς ὀργὴν καὶ θυμὸν καὶ θλῖψιν ἀποστολὴν δι' ἀγγέλων πονηρῶν. » Καὶ ἑκάστη δὲ ψυχὴ γεώδης καὶ φιλοσώματος, *τὰ αἵματα*, τοῦτ' ἔστι τὰ πρὸς θάνατον ἑαυτῇ πλημμεληθέντα ἐξομολογουμένη πάντως *ἀποκαλύψειε*.

A istis, *ingredere in cubicula tua*, compellare, sepulcra deinde, quæ in terra sunt, ita leniter appellando, per cubicula significare, et eis ex æquo, qui occultantur, ut eatenus *ostia claudant, donec pertranseat ira Domini*, præcipere. Dictum enim est Adamo « : Terra es, et in **336** terram reverteris [26]. » Sed ea tum demum corruptione, quam intulit maledictio, liberabitur, cum in consummatione, mortis vires exstinctæ jacebunt. Suadet ergo mortem tolerare *donec pertranseat*, quantumvis arcanorum doctores id pati ab eis contingat, quibus exosa veritas annuntiatur. *Inducet* enim *super eos* meritam *iram de sancto Dominus*. Verum quod hic *de sancto Dominus* dicitur, ei dissimile non est, in quo habetur : Pluit Dominus a Domino B ignem in Sodomam, et sulphur [25] » Filius a Patre. « Neque enim Pater, ait, judicat quemquam, sed judicium omne dedit Filio [26]. » Cum *iram* igitur in eos *exseruerit* : qui piorum sanguine manus sibi contaminarunt, *non abscondet interfectos terra* : id est, nihil Dei judicium effugiet, qui sanctorum martyrum nunquam obliviscitur, sanguinemque filiorum suorum, Mose teste [27], ulciscatur. Vel certe eorum neminem latere posse significat, qui suas quondam in terris animas peccatis ad mortem interfecerunt; cum iram in eos exserere, et angelorum ministerio ad ulciscendum uti Domino placebit, quale illud est in Ægyptios dictum : Misit in ipsos iram, et furorem, et afflictionem, immissiones per angelos malos [28]. » Anima præterea quælibet, quæ se terrenis corporisque voluptatibus oblectarit, si *sanguinem suum*, id est, quæ morte digna peccavit, confiteatur, *revelare* procul dubio dicatur.

Τινὲς δὲ οὕτως ἐξηγήσαντο· Πρὸς τὰ ἐν ψυχῇ κεκρυμμένα κινήματα Θεὸς ἐφαρμόττεται. Ἐπειδὴ γὰρ, ποτὲ μὲν ἠπείλει, ποτὲ δὲ χρηστὰς ἐλπίδας παρείχετο, ἐξ ὧν ἐθορυβοῦντο, μὴ εἰδότες ὃ πρόξουσιν, εἰκότως ἐπιστροφὴν τῇ ψυχῇ ἐργαζόμενος, χωρεῖν εἰς ἑαυτὴν κελεύει, ἔργα τε ἐποπτεύειν τὰ ἴδια, οὐ μεταβατικῇ κινήσει, τῇ δὲ τῶν λογισμῶν ἀνακρίσει πορευομένων, ὡς ἂν προφθάσαντες τὸν μηνυθέντα κριτὴν, εἶτι μὲν πονηρὸν, ὡς ὕλην ὑπάρχον πυρὸς δαπανήσωσι, φυλάττοιεν δὲ τὰ χρηστὰ δίκην χρυσίου δοκιμαζόμενα. Ὁμοίως καὶ ὁ Σωτὴρ παρακελεύεται *τοῦ ταμιείου* κλείειν τὰς θύρας ὁμοῦ μὲν τὰς αἰσθητὰς, ὁμοῦ δὲ παιδεύων τῆς τῶν περιττῶν ἀπαλλάττεσθαι προσπαθείας, ὡς ἂν ὁρῶν Θεὸς σχολάζουσαν τὴν διάνοιαν, ὡς εἰς καθαρόν τινα πίνακα τὰ ἴδια γράφῃ βουλεύματα. Οὕτως ἐννοοῦντος Ἱερεμίου τὰ Ἡσαΐᾳ προφήταις τε λοιποῖς πραχθέντα παρὰ τῶν Ἰουδαίων, καὶ προσδοκῶντος πείσεσθαι χείρονα, καὶ τῆς ἰδίας κρείττω δυνάμεως, πρὸς ταῦτα τῆς ψυχῆς αὐτοῦ τὰ κινήματά φησιν ὁ Θεός· [c] Πολεμήσουσί σε, καὶ οὐ μὴ δύνωνται πρὸς σέ. » Διότι μετὰ τοῦ [d] ἐγώ εἰμι τοῦ ἐξαιρεῖσθαί σε, λέγει Κύριος. *Ὀργὴν δὲ ἐπαγομένην ἀπὸ Κυρίου*, οὐ τὴν ἐκ θυμοῦ φησὶ τροπὴν (ὀπαθὲς γὰρ τὸ θεῖον) τὴν δὲ πρὸς τὰ παρ'

C Alii tamen ita explicant; ut ad eas velint, quæ latent in animo, cogitationes Deum sese accommodare. Quandoquidem enim minas illis aliquando, aliquando etiam bonam spem Deus proponebat; unde persæpe quid agerent ignaris tumultuari contingebat; merito jam conversionem animæ operatus, in se descendere, et sua opera contemplari, neque ullos rationis motus præterire, sed ita dijudicatis singulis procedere, ut vel irati judicis præoccupato animo, si mali quid insit, tanquam igne ligna, consumatur; bona autem, non aliter quam aurum probatum, custodiantur. Eadem plane ratione et Salvator ipse *cubiculi* januas partim quidem sensui objectas **337** claudere, partim etiam rerum superfluarum affectus amputare præcepit; D ut tranquillum animum Deus intuitus, in eo, tanquam in rasa, nondumque inquinata tabula, sua ipse consilia depingat. Sic et Jeremiæ cogitanti quæ cum Isaia reliquisque prophetis per Judæos acta essent, quasi graviora et viribus eorum majora passuros existimaret, ad ejusmodi cogitationes sic respondet Deus : « Bello te quidem adorientur, sed in te nihil poterunt : quia ego tecum sum, ut te eruam, dicit Dominus [29]. » *At iram, quæ a Domi-*

[25] Gen. III, 19. [25] Gen. XIX, 24. [26] Joan. V, 22. [27] Deut. XXXI, 43. [28] Psal. LXXVII, 49. [29] Jerem. I, 19.

VARIÆ LECTIONES.

[c] *Isa. Δ.* ἐκδικεῖται. [d] *γρ.* μετά σου.

Digitized by Google

no inducitur, non excandescentis animi affectionem (est enim perturbationum expers Deus), sed pœnas peccatis nostris debitas intelligit; quas non in advenas, sed *in terræ habitatores*, qui præsentis tantum sæculi voluptate delectati, omni ejus, quod futurum est, spe abjecta, « Edamus et bibamus, cras enim morimur [20], » inquiunt : quibus eorum plane contrarius est animus, qui ut advenæ in terra versantur. Cæterum cum pœnæ inducentur, tunc aperta fient singulorum flagitia; quæ Deo patienter et leviter agente, adhuc occultantur. Neminem enim, cum *ira inducetur*, latere poterit, justitiam esse, quæ operum pravitatem ulciscatur; quantumvis ea prius ignoretur. Illud etiam de vobis futurum est, ait, qui filios vestros dæmoniis mactastis. Et vos igitur ipsa accusabit *terra*, quæ *sanguinem* eorum exceperit. Atque hæc quidem illi.

A ἡμῶν πλημμεληθέντα δίκην ὀφειλομένην, ἣν ἐπάγει οὐ πρὸς τοὺς παροικοῦντας, ἀλλὰ *κατοικοῦντας ἐπὶ τῆς γῆς*, οἱ τοῦ παρόντος αἰῶνος μόνον εἰσὶ τὰς πρὸς τὸ μέλλον ἐλπίδας ἁπάσας ἀπειρηκότες, λέγοντες· « Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. » Οἷς ἐναντία τῶν παροικούντων ἐπὶ τῆς γῆς ἡ διάθεσις. Τῆς δὲ δίκης ἐπαχθείσης, τὰ ἑκάστου κακὰ πρόδηλα γίνεται, ἅπερ μακροθυμοῦντος ἔτι τοῦ Θεοῦ συγκαλύπτεται. Πᾶσι γὰρ δῆλον *ἐπαγομένης ὀργῆς* ὡς ἡ δίκη πονηρῶν ἐστι πράξεων τιμωρὸς, εἰ καὶ πρώην ἐλάνθανον. Τοῦτο καὶ ἐφ' ὑμῶν ἔσται, φησὶ, θυσάντων τὰ τέκνα τοῖς δαιμονίοις. Καὶ αὕτη τοίνυν ὑμῶν *ἡ γῆ* κατηγορήσει δεξαμένη τούτων *τὰ αἵματα*. Καὶ ταῦτα μὲν οὗτοι.

CAP. XXVII.

VERS. 1-11. *Die illa inducet Deus gladium sanctum, et magnum et validum super serpentem draconem fugientem, super draconem colubrum sinuosum, et interficiet serpentem*, etc.

Qui autem ista de consummatione dici voluerunt, et ad judicium illud, quod in ea futurum est, referri, significarunt fore ut, illis adimpletis, mors ipsa (qui ultimus est omnium hostis) conficeretur : itaque inde esse, quod in ipso rerum omnium extremo, consummatisque omnibus (id enim *in die illa* significat) *gladium sanctum* (*durum* aiunt interpretes reliqui) *et validum Deus sit inducturus*, qui in nullum alium *inductus* mensuræ malignitatis ejus servabatur : qualiter et ei contigit, qui Adamum in paradiso supplantavit, eoque gradu, quem erat apud Deum consecutus, deturbavit. Ille nimirum, de quo scribitur : Erat autem serpens prudentissimus **338** bestiarum omnium quæ sunt in terra [21]; » ille, inquam, qui primis parentibus, et eorum posteritate per fraudem deceptis, percommode *serpens* ideo nominatus est, quod humi repere, hominumque pedibus insidiari soleat, ut injecto veneno de recta ad Deum via depellat. « Ipse enim conteret caput tuum, ait Dominus [22], et tu ejus calcaneo insidiaberis. » Moses igitur fraudem ejus recitasse contentus, quid cum supplicii maneret prætermisit, quod nunc a propheta docetur. Virga Dei igitur recta, et disciplinæ idonea; legimus enim : « Virga directionis virga regni tui [23] : » illis, qui peccatorum medicinam admittunt, ad correctionem servata est. At *serpens* totus ubique sinuosus, et pravus, humi deinde in ventrem et pectus repens, omniumque calces observans, post impiorum omnium interitum, *duro illi et magno, validoque gladio* (quem Septuaginta notant interpretes) tradetur; cujus nomine verbum Dei vivens et efficax, et quolibet gladio ancipiti [24]

B

C

D

ΚΕΦΑΛ. ΚΖ'.

α-ια'. *Τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ Θεὸς τὴν μάχαιραν τὴν ἁγίαν, καὶ τὴν μεγάλην, καὶ τὴν ἰσχυρὰν ἐπὶ τὸν δράκοντα τὸν ὄφιν φεύγοντα· ἐπὶ τὸν δράκοντα ὄφιν σκολιὸν, καὶ ἀνελεῖ τὸν δράκοντα*, κ. τ. λ.

Οἱ δὲ περὶ τῆς συντελείας εἰρῆσθαι ταῦτα, καὶ τῆς ἐπὶ ταύτῃ νομίσαντες κρίσεως, ἔφασαν, ὡς τούτων ἐπιτελεσθέντων ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. Διὸ ἐπὶ τέλει τῶν ὅλων, καὶ μετὰ πάντα (τοῦτο γάρ ἐστι τὸ, *τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ Θεὸς τὴν μάχαιραν τὴν ἁγίαν καὶ τὴν ἰσχυρὰν* μήτι [e] δὲ τοῦ *τὴν ἁγίαν* (*σκληρὰν* ἐξέδωκαν οἱ λοιποὶ), ἥτις μηδενὶ τῶν ἄλλων *ἐπαχθεῖσα* ἐτηρεῖτο [f] τῆς αὐτοῦ κακίας, ἀναλόγως τῷ τὸν Ἀδὰμ ἐν τῷ παραδείσῳ σκελίσαντι, καὶ στάσεως καταβαλόντι τῆς παρὰ τῷ Θεῷ. Περὶ οὗ φησὶν, « Ὁ δὲ ὄφις ἦν φρονιμώτερος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς. » Ὁ μετὰ τοὺς πρωτοπλάστους καὶ τοὺς ἐξ αὐτῶν δι' ἀπάτης ἑλὼν, προσφυῶς ὄφις ῥηθεὶς, ὡς ἕρπων τε χαμαὶ καὶ τοῖς τῶν ἀνθρώπων ἐφεδρεύων ποσὶν, ὡς ἂν αὐτοῖς τὸν ἰὸν ἐμβαλὼν τῆς ὀρθῆς καὶ πρὸς τὸν Θεὸν ἀγούσης καταβάλοι πορείας. « Αὐτὸς γάρ σου, φησὶ, τηρήσει [g] κεφαλὴν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. » Μωσῆς μὲν οὖν τὴν ἐξ αὐτοῦ μόνον ἀπάτην εἰπὼν, τὴν μένουσαν αὐτὸν δίκην παρέλιπεν, ἣν ὁ παρὼν προφήτης ἐδίδαξεν. Ἡ μὲν οὖν τοῦ Θεοῦ ῥάβδος εὐθεῖά τις οὖσα καὶ παιδευτικὴ, κατὰ τό· « Ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου, » τοῖς ἰάσιμα ἡμαρτηκόσι τετήρηται πρὸς διόρθωσιν. Ὁ δὲ [*ὄφις*] ὅλος δι' ὅλου καμπύλος καὶ σκολιὸς ἕρπων τε χαμαὶ ἐπὶ κοιλίαν καὶ στῆθος καὶ τὰς ἁπάντων πτέρνας τηρῶν, μετὰ τοὺς ἀσεβεῖς πάντας, τῇ *σκληρᾷ καὶ μεγάλῃ καὶ ἰσχυρᾷ μαχαίρᾳ* παραδοθήσεται, ἣν ἔφασαν οἱ Ἑβδομήκοντα· δι' ἧς ὁ τοῦ Θεοῦ σημαίνεται λόγος ὁ ζῶν καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, ὃς ὡς ἐναντίῳ τῷ *δράκοντι* ἐπελθὼν *ἀνελεῖν* [h] φασὶν αὐτὸν, ἐξ ὄντων τὴν ὑπόστασιν ἀφανίζων αὐτοῦ, καὶ πρὸς τὸ

[20] Isa. XXII, 13; I Cor. XV, 32. [21] Gen. III, 1. [22] ibid. 15. [23] Psal. XLIV, 7. [24] Hebr. IV, 12.

VARIÆ LECTIONES.

[e] *Ἴσ.* ἀντὶ, [f] *λ. ἴσ.* μέτρῳ. [g] *Ἴσ.* τειρὴ σου. [h] *γρ.* ἀνέλει.

Digitized by Google

μὴ δν ἀναλύων τὴν ὕπαρξιν, οὐ δὲ γὰρ *τῆς ὀργῆς* τοῦ Θεοῦ καταξιοῦται παιδευτικῆς οὔσης καὶ ἐπιστρεπτικῆς, περὶ ἧς φησί· « Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μὴ δὲ τῇ ὀργῇ σου παιδεύσῃς με. » Τὸ μὲν γὰρ ἐλεγκτικὸν, τὸ δὲ παιδευτικόν. Ἅπερ ἁρμόττει τοῖς ἡμαρτηκόσιν ἱάσιμα, ἀλλ' οὐ *τῷ Δράκοντι* τῷ ἐξαφανισθῆναι μόνον ὀφείλοντι. *Τὴν* δὲ *ἐπαγομένην* θεασάμενος *μάχαιραν* χωρήσεται πρὸς *φυγὴν*, δι' ἀφροσύνην λέγειν οὐκ οἷός τε ὢν, « Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω ; » Πειράσεται δ' οὖν εἰς τοὺς ἰδίους ἀποφεύγων ἰσχυοὺς [*f.* ἰωχμοὺς] [1] κατακρύπτεσθαι τῇ καλουμένῃ θαλάσσῃ, ἐν ᾗ εἴρηται δράκων οὗτος, « ὃν ἔπλασας, ἐμπαίζειν αὐτῷ. » Περὶ οὗ φησιν Ἰώβ· « Ἄξεις δὲ δράκοντα ἐν ἀγκίστρῳ. Καὶ μεθ' ἕτερα· Τοῦτό ἐστιν ἀρχὴ πλάσματος Κυρίου πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων αὐτοῦ. » Καὶ πάλιν· « Αὐτός ἐστι βασιλεὺς πάντων τῶν ἐν τοῖς ὕδασιν. » Διδάσκει δὲ τούτου χάριν αὐτῷ συγκεχωρῆσθαι τὸ ζῆν, ἐπὶ τῷ πρὸς τῶν ἁγίων ἐγκαταπαίζεσθαι γυμναζομένων τῇ πρὸς αὐτὸν πάλῃ. Λελυμένου δὲ τοῦ ἀγῶνος, καὶ τῶν ἀμοιβῶν ἑκάστῳ δικαίως παρεχομένων μετὰ τὴν κατὰ τῶν ἀσεβῶν κρίσιν, ἡ *μάχαιρα ἐπαχθήσεται ἐπὶ τὸν δράκοντα ὄφιν φεύγοντα, ἐπὶ τὸν δράκοντα ὄφιν σκολιόν*. Ὡς δὲ Σύμμαχος, *κατὰ Λευϊαθὰν τοῦ ὄφεως τοῦ σκολιοῦ, καὶ ἀποκτενεῖ τὸν δράκοντα τὸν ἐν τῇ θαλάσσῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ*. Ὡς δὲ Ἀκύλας, *ἐπὶ Λευϊαθὰν ὄφιν ἐσκιρωμένον ἢ ἐπειρωμένον* [*f.* ἐσκιρρωμένον ἢ ἐπερρωμένον], *καὶ ἀποκτενεῖ σὺν τὸ κῆτος τὸ ἐν τῇ θαλάσσῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ*.

A acutius significatur, quod tanquam adversarium *draconem* impetens, ipsum deleta prorsus et in nihilum redacta ejus subsistendi ratione, *occisurus* est. Neque enim *ira Dei*, quæ ad correptionem et conversionem inducitur (de qua nimirum : « Domine, ne in furore tuo arguas me, neque in ira tua corripias me [38], » habetur) dignus est. Est namque ad arguendum alia, alia etiam ad corripiendum comparata [39]; quorum iis tantum utraque, qui peccati medelam ferunt, non *serpenti* congruit, qui tantum deleri et perdi metuit. Imo *eductum* in se *gladium* intuitus in *fugam* statim convertetur, minime propter vecordiam dicere ausus : « Quo ibo a spiritu tuo, et quo a facie tua fugiam [37]? » Conabitur ergo ad agmina sua con-
B fugiens mari sese occultare, in quo dicitur esse draco ille, « quem formasti ad illudendum [38]. » De quo et Jobi illa sunt : « Ages autem draconem in hamo; » et postea : « Hoc est principium plasmatis Domini, quod factum est, ut eidem illudatur ab angelis tuis [39]. » Et rursus : « Ipse est rex omnium quæ sunt in aquis [40]. » Docet autem illi ideo vitam indulgeri, ut sancti **339** eidem illudentes, ea se adversus ipsum pugna exerceant. Sed finito tandem certamine, cum lata in impios sententia, singulis fuerit pro meritorum ratione quod justum est repositum : *Gladius inducetur super draconem colubrum fugientem, super draconem colubrum tortuosum*. Quod Symmachus interpretatus est, *adversus Leviathan serpentem sinuosum; et*
C *interficiet draconem, qui est in mari, in die illa*. Aquilas autem : *Super Leviathan serpentem squalidum aut invalidum, et occidet cetum, qui est in mari in illa die*.

Notabis autem ubique secundum Hebraicam lectionem, tanquam proprium nomen, *Leviathan* reperiri. Nam et quo loco habetur : « Qui magnum cetum capturus est, » Leviathan scribitur [41]. Et isto : « Draco ille [42], » etc. Et isto etiam : « Ages draconem in hamo [43]. » Habet vero, ut capita, sic nomina permulta. Reperias enim et draconem, et serpentem, et diabolum, et cetum, et Satanam, et Leviathan, et leonem [44], et basiliscum appellari [45]. Neque vero *suo* in eum uti *gladio* et *interficere* priori adventu Salvator voluit, sed aloriri tantum, ejusque vires infringere et conculcare, qui super
D aspidem et basiliscum ambulandi, leonemque et draconem conculcandi potestatem haberet, qua etiam discipulos uti, in serpentesque et scorpiones ambulare videmus [46]. Sed *interficiet* tandem penitus, in ipsa mundi consummatione, quo tempore omnium futurum est judicium, cujus hic ratio describitur. Aiunt autem nonnulli patrem ipsum Satanam etiam cum filiis, qui sanctos viros inter-

Ὡς δὲ κύριον ὄνομα τὸ *Λευϊαθὰν* πανταχοῦ, κατὰ τὸ Ἑβραϊκὸν, ὀνομάζεται. Κἂν τῷ γὰρ, « Ὁ μέλλων τὸ μέγα κῆτος χειροῦσθαι, » Λευϊαθὰν εἴρηται. Καὶ ἐν τῷ, « Δράκων οὗτος. » Καὶ ἐν τῷ « Ἄξεις δράκοντα ἐν ἀγκίστρῳ. » Πολυώνυμος δέ ἐστιν, ὡς πολυκέφαλος. Δράκων, καὶ ὄφις, καὶ διάβολος, κῆτός τε, καὶ Σατανᾶς, καὶ Λευϊαθὰν, καὶ λέων, καὶ βασιλίσκος ὀνομάζεται. Ἐπὶ δὲ τῆς πρώτης ὁ Σωτὴρ παρουσίας οὐκ ἐχρήσατο *αὐτῷ ὡς μαχαίρᾳ* i, οὐδὲ *ἀνεῖλεν* αὐτὸν, ἐπέβη δὲ μόνον αὐτῷ, καὶ τὰς δυνάμεις αὐτοῦ κατεπάτησεν. Πρὸς ὃν εἴρηται· « Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα, καὶ δράκοντα. » Καὶ νῦν δὲ αὐτὸν πατεῖ, διδοὺς τοῖς μαθηταῖς πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. Τῇ δὲ συντελείᾳ παντελῶς αὐτὸν *ἀνελεῖ*. Κάνταῦθα ὁ περὶ τῆς καθολικῆς τοῦ Θεοῦ κρίσεως περιγράφεται λόγος. Ἕτεροι δέ φασιν, ὡς τοῖς αὐτοῦ τέκνοις τοῖς ἀποκτείνασι τοὺς ἁγίους συνανελεῖ καὶ τὸν Σατανᾶν, ὃν καὶ *φεύγοντα* διὰ δειλίαν καλεῖ, καὶ *σκολιὸν*, διὰ πανουργίαν. Πλὴν ἀναιρεθήσεται. Καὶ γὰρ

[38] Psal. xxxvii, 2. [39] II Tim. iii, 16. [37] Psal. cxxxviii, 7. [38] Psal. civ, 26. [39] Job xl, 24. [40] Job xli, 25. [41] Job xl, 20. [42] ibid. [43] ibid. 26. [44] Apoc. xx, 2. [45] Psal. xc, 13. [46] Luc. x, 19.

VARIÆ LECTIONES.

i *Isc.* λόχους, ἢ τόπους. i αὐτοῦ τῇ μαχαίρᾳ.

Digitized by Google

fecerunt esse confecturum : quem *fugere* quidem, propter metum, et *sinuosum* esse, propter calliditatem dicit; sed interitum tamen evitare non posse. Cessabit enim tandem aliquando vel potius impuritatis postulatus, supplicium dabit extremum; cum inferni claustris conclusus flammis fine carentibus in perpetuum ulciscendus tradetur. Alii volunt *gladii* verbo multæ vim intelligi, **340** *sanctumque* a propheta nominari; partim ut minarum horrorem molliat, partim ut non perituros quos ultio apprehendit; sed iis qui resipiscant, sanctimoniæ causam esse allaturum demonstret. Neque enim ut perdat, castigat Dominus; sed ut resipiscentes purget et sanctificet. Intelligit autem *draconis* nomine, vel Assyrium, vel Chaldæum. Respicit deinde ad nequitiæ parentem diabolum, qui post factam omnium consummationem, post mundi partium interitum, quæ errorem ipsi cupiditatemque . . . . . meam potestatem. Sed ista, qui Deo adversantur, usurpent. Nos autem, ut ex his, quæ passi sunt, sapiamus, *pacem cum eo faciamus*. De his enim suæ partis homines ideo propheta admonet quod durum sit in Dei viventis manus incidere. Quinam autem venturi sint, indicavit, cum *filios Jacob* esse *germinaturos*, cæteraque deinceps [47], intulit; non ambigue apostolicum chorum significans, de quo superius : « Nisi Dominus nobis semen reliquisset [48], » usurparat. Judæi enim cum essent, *filios Jacob* exstitisse clarum est. Ediderunt autem non ligna, non fenum, non calamum; sed *germen bonum*, et *florem suavem* adeo, ut ejus odoris bonitate universus orbis repletus sit. Hinc est igitur, quod ipsos, eorumque discipulos, *ut pacem cum eo faciant*, propheta adhortatur. Quæ tum demum adimpleri contigit, cum gratiam et pacem a Deo Patre nostro, et Domino Jesu Christo, per orbem universum prædicare visi sunt. Inde iis illa pedum pulchritudo, per quos bona pacis annuntiabantur. Volunt tamen nonnulli omnes ubique populos ad ista prophetam adhortari. Sed quia in Redemptorem impie egit Israel, et recalcitravit primogenitus; ipsi jam, qui statu tempore a tenebris ad lucem, ab errore ad scientiam, a peccatis ad justificationem perventuri eramus, posito veteri odio *pacem faciamus*. Peccato enim **341** et Satana *interemptis*, nihil est, quod Domino libare, ejusque mandatis obtemperare impediat. Ejusmodi sunt et ista ad gentes Pauli verba : « Justificati igitur ex fide, pacem habeamus cum Deo per Dominum nostrum *Jesum Christum* [49]. » Postquam igitur *venientes* eos adhortatus est, de quibus et David his verbis : « Annuntiabitur generatio ventura [50], » locutus est; lætus ad apostolos ideo sermonem transtulit, quod orbem terrarum Christo subdiderunt. Neque vero quod hic, *implebitur orbis fructu ejus*, legimus, ab eo dissentit, quod alibi : In omnem terram sonum eorum emanasse dici-

ἀπρακτήσει λοιπόν. Μᾶλλον δὲ τοὺς τῆς ἀνοσιότητος ἀποτίσει λόγους, ποινὴν ὑποστὰς τὴν ἐσχάτην, καὶ ταῖς ᾅδου πύλαις κάτοχος γεγονὼς, τῆς εἰς αἰῶνα φλογὸς ἀτελεύτητον ὑπομένων τὴν κόλασιν. Ἄλλοι δὲ λέγουσιν, ὡς *μάχαιραν* ἐνταῦθα τὴν ἐνέργειαν τῆς δίκης καλεῖ, ἣν *ἁγίαν* φησὶν, ὁμοῦ μὲν παραμυθούμενος τὸ φοβερὸν τῆς ἀπειλῆς, ὁμοῦ δὲ δεικνὺς, ὡς οὐκ εἰς ἀπώλειαν οἱ τιμωρούμενοι καταστρέψουσιν, ἁγιωσύνης δὲ αἴτιον αὐτοῖς ἔσται μετανοήσασιν. Καὶ γὰρ οὐκ ἀπολέσαι βούλεται Θεὸς παιδεύων, ἀλλὰ καθᾶραι καὶ ἁγιάσαι ἐπιστρέψοντας. *Δράκοντα* δὲ τὸν Ἀσσύριον, ἢ τὸν Χαλδαῖον καλεῖ. Τὴν δὲ ἀναφορὰν ἐπ' αὐτὸν ποιεῖται τὸν τῆς κακίας γεννήτορα τὸν διάβολον, ὃς τῆς παντελοῦς συντελείας ἐπενεχθείσης, καὶ τῶν τοῦ κόσμου μερῶν παρελθόντων, ἃ τὴν πλάνην αὐτῷ καὶ τὴν ἐπιθυμίαν.... τὴν ἐμὴν δύναμιν. Ἀλλ' οἱ μὲν τοῦ Θεοῦ πολέμιοι. Ἡμεῖς δὲ, ὡς ἂν σωφρονισθέντες ἀφ' ὧν ἐκεῖνοι πεπόνθασιν, *εἰρήνην ποιήσωμεν αὐτῷ*. Ταῦτα γὰρ ὁ προφήτης τοῖς τῆς ἰδίας μερίδος φησί· « Χαλεπὸν γὰρ τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. » Οἱ δὲ ἐρχόμενοι τίνες εἰσιν ἐπενήνοχεν. *Τέκνα Ἰακὼβ βλαστήσει*, καὶ ἐξῆς· σαφῶς τὸν χορὸν τὸν ἀποστολικὸν αἰνιττόμενος, περὶ οὗ πρότερον ἔλεγε· « Καὶ εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα. » Ἰουδαῖοι γὰρ ὄντες, *τέκνα* ἦσαν *τοῦ Ἰακώβ*. Ἐξήσθησαν [k] δὲ οὐ ξύλα, χόρτον, καλάμην, *βλαστὸν* δὲ *ἀγαθὸν*, καὶ *ἄνθος εὐῶδες* πᾶσαν γῆν τῆς εὐωδίας πληρώσαντες. Αὐτοῖς οὖν, καὶ τοῖς αὐτῶν ποττηταῖς, τὸ *ποιήσωμεν εἰρήνην αὐτῷ*, παραινῶν φησὶν ὁ προφήτης. Ἐπληροῦντο δὲ ταῦτα ὅτε εἰς πᾶσαν τὴν οἰκουμένην ἐκήρυττον· « Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατέρος ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ. » Διὸ καὶ πόδας εἶχον ὡραίους, δι' ὧν τ' ἀγαθὰ τῆς εἰρήνης εὐηγγελίζοντο. Τινὲς δέ φασι τοῖς ἁπανταχόθι λαοῖς ταῦτα παραινεῖν τὸν προφήτην. Ἐπειδὴ δὲ δεδυσσέβηκεν εἰς τὸν λυτρωτὴν Ἰσραὴλ, καὶ ἀπελάκτισεν ὁ πρωτότοκος, ἡμεῖς οἱ μέλλοντες ἥξειν κατὰ καιροὺς ἀπὸ σκότους εἰς φῶς, ἀπὸ πλάνης εἰς γνῶσιν, ἐξ ἁμαρτιῶν εἰς δικαίωσιν, *ποιήσωμεν εἰρήνην*, τὴν ἀρχαίαν καταλύσαντες ἔχθραν. Ἀνηρημένης γὰρ τῆς ἁμαρτίας, καὶ *καθηρημένου* τοῦ Σατανᾶ, οὐδὲν ἐμποδὼν σπείσασθαι τῷ Κυρίῳ, καὶ τοῖς ἐκείνου πειθαρχῆσαι προστάγμασιν. Τοιαῦτα καὶ Παῦλος τοῖς ἐξ ἐθνῶν· « Δικαιωθέντες οὖν ἐκ πίστεως εἰρήνην ἔχωμεν πρὸς τὸν Θεὸν, διὰ τοῦ Κυρίου ἡμῶν *Ἰησοῦ Χριστοῦ*. » Παρακαλέσας δὲ τοὺς *ἐρχομένους* (περὶ ὧν φησὶ καὶ Δαβὶδ, « Ἀναγγελήσεται αὐτῷ γενεὰ ἡ ἐρχομένη »), τὸν λόγον ἐπὶ τοὺς ἀποστόλους μετήνεγκε χαίρων, ὅτι Χριστῷ τὴν οἰκουμένην ἐκτήσαντο. Σύμφωνον δὲ τῷ, *ἐμπλησθήσεται ἡ οἰκουμένη τοῦ καρποῦ αὐτοῦ*, τὸ, « Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. » Καρποὶ γὰρ ἱδρώτων ἀποστολικῶν οἱ πιστεύσαντες, οὓς χάριν [l] καὶ στέφανον ὁ μακάριος ὠνόμασε Παῦλος.

[47] Hebr. x, 31. [48] Isa. i, 9. [49] Rom. v, 1. [50] Psal. xxi, 32.

VARIÆ LECTIONES.

[k] γρ. ἐξήνθησαν. [l] γρ. χαράν.

Digitized by Google

tur [51]. Sunt enim sudorum apostolicorum fructus credentes ipsi, quos gaudium et coronam vocavit Apostolus [52].

Τινὲς δέ φασι τοῖς ἐφ' αὐτοῦ ταῦτα συμβουλεῦσαι τὸν προφήτην μὴ βουλόμενον αὐτοὺς τῶν προηπειλημένων εἰς πεῖραν ἐλθεῖν. Μεταθέσθε γάρ, φησίν, οἱ πρὸς τὸν ἑαυτῶν δημιουργὸν ἀράμενοι πόλεμον, ἄμαχον αὐτὸν ἔχειν τὴν φύσιν ἐπεγνωκότες. Οὕτω γὰρ καὶ τὰ τοῦ γένους ἐπίδοσιν λήψεται, καὶ ἡ οἰκουμένη πᾶσα παρ' ὑμῶν οἰκηθήσεται. Ἀντὶ δὲ τοῦ, *εἰρήνην ποιήσωμεν αὐτῷ οἱ ἐρχόμενοι*, παρέθεντό τινες κατὰ τοὺς ἄλλους ἑρμηνευτὰς, *εἰρηνοποιήσει μοι τοὺς ἐρχομένους*, καὶ εἶπον· Εἰς γὰρ τοὺς τελευταίους ἡ ἐπιστροφή. Εἶτα φησὶν ὁ προφήτης· *Μὴ ὡς αὐτὸς οὕτως ἐπάταξε, καὶ αὐτὸς οὕτως πλήγησεται;* ὁ δὲ νοῦς· Μήτι κακὸν ἀντὶ κακοῦ τοῖς ἔθνεσιν ἀπεδίδοσαν οἱ κηρύττοντες αὐτοῖς εἰρήνην, καὶ ταῦτα παρ' αὐτῶν πάσχοντες τὰ δεινότατα; διὸ πρὸς τοὺς ἀπίστους φησίν· *Οὐ σὺ ἦσθα ὁ μελετῶν τῷ πνεύματι τῷ σκληρῷ ἀνελεῖν αὐτοὺς πνεύματι θυμοῦ;* ἀλλ' ἔπει πάντα ἔφερον γενναίως διὰ Χριστὸν, ἐπήνεγκεν· *Ἀφαιρεθήσεται ἡ ἀνομία Ἰακὼβ*, τοῦτο αἴτιον τῆς τῶν ἁμαρτιῶν ἀφέσεως, καὶ τῆς εὐλογίας εἰπών. Εἰ γὰρ σωθήσεται διὰ τῆς τεκνογονίας, ἐὰν μείνωσιν ἐν πίστει καὶ ἀγάπῃ καὶ ἁγιασμῷ μετὰ σωφροσύνης, κατὰ τὸν Ἀπόστολον, ἀκόλουθόν ἐστι καὶ *τὸν Ἰακὼβ τέκνα βλαστήσαντα*, διὰ τῆς τούτων ἀρετῆς κοινωνῆσαι αὐτῶν τῇ εὐλογίᾳ. Δηλοῖ δὲ πολλοὺς διὰ τῆς ἀποστολικῆς σωθήσεσθαι χάριτος καὶ τῶν κατὰ σάρκα γειτνιώντων αὐτοῖς. Μάλιστα δὲ ταῦτα γενήσεσθαί φησι τῆς εἰδωλολατρείας καταργουμένης τῇ τῶν εἰρημένων διδασκαλίᾳ.

A Sed non desunt, qui prophetam, cum superiores minas in suos cadere nollet, eisdem ista putent consulere. Sententiam enim, aiunt, mutate, qui opificem vestrum bello adorti, invictum natura exsistere agnoscitis. Sic enim et generis magna fiet amplificatio, et *orbis* universus a vobis habitabitur. Verum quo loco, *Pacem faciamus ei venienti*, habemus, sunt qui alios secuti, *pacificos mihi venientes reddet*, interpretentur, et ad ultimos sermonem converti existiment. Pergit vero in hunc modum propheta : *Nunquid sicut ipse percussit, et ipse sic percutiet?* quorum hic sensus est : Num malum gentibus pensarunt, qui pacem eis annuntiantes gravissima quæque ab eisdem passi sunt? Hinc est igitur, quod ad incredulos ait : *Nonne tu eras, qui* B *meditabaris spiritu duro eos interficere spiritu furoris?* At quoniam omnia fortiter Christi nomine ferebant, *Auferetur*, addidit, *iniquitas Jacob* ; tanquam eam consequendæ peccatorum remissionis, atque adeo benedictionis causam esse fateatur. Si enim propter filiorum procreationem salvus futurus est ; si in fide, si in dilectione, si in sanctificatione denique et sobrietate, ait Apostolus [53], permanserint ; *et Jacobum* ipsum **342** qui *filios produxit*, eorumdem virtutis et benedictionis participem fieri consequens fuerit. Significat autem apostolica gratia permultos ex eorum etiam numero, qui propinquitate sanguinis illos attingunt, salutem esse consecuturos. Ista autem tum fore maxime, cum per eorum, quos supra nominavi, doctrinam idolorum C cultus evanuerit.

Τινὲς δέ φασιν, ἐπειδήπερ εἶπεν, *ὡς ἡ οἰκουμένη τοῦ καρποῦ τοῦ Ἰσραὴλ ἐμπλησθήσεται*, ὥς τινος ἀνθυποφέροντος· καὶ μὴν γέγονε *σκληρὸς*, καὶ τοὺς ἁγίους ἀπέκτεινέ φησιν, ὡς οὐ πρὸς ἃ ἔπραξαν αὐτοῖς, ἡ τῆς ἡμερότητος [m] προσῆλθεν πηγὴ, νικῶν δὲ φιλανθρωπίᾳ, οὐκ εἰς ἅπαξ ἀπολεῖ τὸ διὰ τοὺς πατέρας ἀπόλεκτον γένος. Τοιγαροῦν φησὶ διά τινος τῶν προφητῶν ὁ Θεός· « Τί σοι ποιήσω, Ἐφραΐμ; Τί σοι ποιήσω, Ἰούδα; Ὡς Ἀδαμὰ θήσομαί σε, καὶ ὡς Σεβωείμ; Μετεστράφη ἡ καρδία μου ἐν τῷ αὐτῷ. Συνεταράχθη ἡ μεταμέλειά μου. Οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου. Οὐκ ἐγκαταλείψω τοῦ ἐξαλειφθῆναι τὸν Ἐφραΐμ, διότι Θεὸς ἐγὼ ἐν σοὶ, καὶ οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος. » Ὡς γὰρ Θεὸς ἄφατον D ἔχει τὴν ἡμερότητα. Τινὲς δέ φασιν ὡς οὐ τῶν ὁμοίων ἔτυχον. Αὐτοὶ μὲν γὰρ ἀνέστησαν εἴδωλα πρὸς ἀναίρεσιν τῆς αὐτοῦ θεότητος ὅσον τὸ ἐπ' αὐτούς· αὐτὸς δὲ οὐ παντελῶς αὐτοὺς ἀναιρεῖ, ἀλλὰ τὰ μὲν ἐπιπλήττων, τὰ δὲ ὑπομιμνήσκων, ὧν ἔτυχον ἀγαθῶν, τὴν ἀνάκλησιν τῆς αἰχμαλωσίας ἐποιήσατο. Λέγων δὲ, *Οὐ σὺ ἦσθα ὁ μελετῶν τῷ πνεύματί σου τῷ σκληρῷ ἀνελεῖν αὐτούς;* ὑπομιμνήσκει τῆς ἀπειλῆς, ἧς

Aiunt vero nonnulli, *quia fructu Israelis orbem terrarum repletum iri* dixit, tanquam occurrente aliquo, et monente, *durum* eum exstitisse, non ad ea usque, quæ in istos ille patrarit, divinæ mansuetudinis fontem esse progressurum, sed tanquam humanitate superiorem, propter patrum memoriam delectum genus, non penitus esse perditurum prophetam respondere. Atque hinc esse, quod alium quemdam in hæc verba alloquatur Deus : « Quid tibi faciam, Ephraim? quid tibi faciam, Juda? Tanquam Adama ponam te, aut tanquam Seboin? conversum est cor meum in hoc ipso. Commota est pœnitudo mea. Non faciam secundum iram furoris mei, non permittam ut deleatur Ephraim; quoniam Deus ego in te, et non homo in te sanctus [54]. » Habet enim, ut Deus, ineffabilem mansuetudinem. Volunt alii paria nequaquam esse consecutos. Ipsos enim, licet idola ad ejus divinitatis exstinctionem, quantum in se fuerat, erexissent, non penitus sustulit tamen, sed partim territos, partim etiam in bonorum memoriam revocatos, quibus a se affecti sunt, ab exsilio revocavit. Cum autem

[51] Psal. xviii, 5; Rom. x, 18. [52] Philipp. iv, 1. [53] I Tim. ii, 9. [54] Osee ii, 8, 9.

VARIÆ LECTIONES.

[m] Ἰσ. λ. Θεοῦ.

Digitized by Google

dicit : *Nonne tu eras, qui eos spiritu duro interficere meditabaris ?* minas illas in memoriam revocat, quibus in idola confidenter usi, ea se contrituros sponte pollicebantur, quod nunc re ipsa præstare adhortatur. Ita enim, ait, et *peccatis vestris* liberari vos contigerit.

Sed enim ad primam explicationem revertamur. Ista siquidem cum apostoli præstiterint, terramque prædicatione repleverint ; qui grex olim *longe habitabat*, ideo *relinquetur*, quod pastorem bonum, qui animam suam pro ovibus ponat [55], non admiserunt. Itaque animas **343** suas, veluti regiones aliquas, *in pascua* abire passi sunt, quas vastavit aper de silva, quas ferus singularis depastus est, et in eis requieverunt corruptores. Quæ quidem ita reddidit Symmachus [56] : *Civitas enim munita sola, speciosa relinquetur, et dimittetur tanquam deserta. Ibi pascetur vitulus, et ibi accubabit, et consumet ramos ejus. In siccitate messis ejus conteretur* : quibuscum convenit et reliquorum etiam interpretatio. Est vero et ea ipsa, quæ prius *civitas munita*, et vitis pulchra nominata est, quam post stabilitam confirmatamque apostolorum prædicationem, post sublatam etiam *idololatriam desertam* fore pronuntiavit.

Aiunt nonnulli, postquam se non æquas iis, quæ in sanctum Israel admiserunt, pœnas repositurum dixisset ; qualis tandem hujus commotionis modus futurus sit, illum adjungere. *Rixans et exprobrans emittet eos*, id est, a sui consortio et familiaritate rejiciet. *Rixans* enim, id est objurgans, a se Israelem rejecit Salvator. Nec nisi *exprobrantis* illa sunt, ubi ait : « Jerusalem, Jerusalem, quæ occidis prophetas [56*], » et quæ deinceps. Vides, ut objurgando eos a se removerit. Ita tamen ut servatæ sint reliquiæ, de quibus ita apud Isaiam : Si fuerit numerus filiorum Israel instar arenæ maris, reliquiæ servabuntur [57]. » *Exprobrat* vero ipsis magna usus libertate vir sanctus, tanquam qui de sanctis interficiendis meditari non erubuerint : quod si negare velint, vel ipse ait, in testimonium prodeat, qui dicit : « Quem enim prophetarum patres vestri non interfecerunt [58] ? » Et rursus : « Non decet prophetam perire extra Jerusalem [59]. » Interea autem et ista in eos reprehensione usus, ad ea rursum, quæ super inceperat, revertitur ; velutique assumpta Dei persona adjicit : *Propterea auferetur iniquitas Jacob*. Sed quorsum *propterea* addidit ? Ideo nimirum, quod non ut interfecit, sic et ipse interficietur. Nam et ei suo tempore peccata condonabuntur, quod *ejusdem* **344** *benedictionis* nomine significatum est. Si enim pro delicti magnitudine pœnas reposceret, non re præstitisset, quod Abrahamo verbis fuerat pollicitus cui : « Benedicens tibi benedicam, et multiplicans multiplicabo te [60], » dixit, cum toties posterorum ejus peccatis lacessitus sit. At enim, ait,

κατὰ τῶν εἰδώλων ἐποιοῦντο θρασέως ἐπαγγελλόμενοι ἐκτρίψειν αὐτὰ, παρακαλῶν αὐτοὺς εἰς ἔργον ἀγαγεῖν τὴν ὑπόσχεσιν. Οὕτω γὰρ, φησὶ, καὶ *ἀπὸ τῶν ἁμαρτιῶν ὑμῶν* καθαρισθήσεσθε.

Ἀλλὰ γὰρ ἐπὶ τὴν πρώτην ἐξήγησιν ἐπανέλθωμεν. Ταῦτα γὰρ τῶν ἀποστόλων πεποιηκότων, καὶ τοῦ κηρύγματος πεπληρωκότων τὴν γῆν, τὸ πάλαι *κατοικούμενον πολύμυιον ἀφεθήσεται*. Οὐ γὰρ ἐδέξατο τὸν καλὸν ποιμένα τὸν θέντα τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ τῶν προβάτων. Διὰ τὰς ἑαυτῶν ψυχὰς, οἷα δὴ χώρας τινὰς, ἐπῄσαν *βόσκημα*, ἃς ἐλυμήνατο ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο, καὶ ἐν αὐταῖς οἱ φθείροντες ἀνεπαύσαντο. Ἅπερ οὕτως ἐξέδωκε Σύμμαχος· *Πόλις γὰρ ὠχυρωμένη μόνη, καλὴ ἀφεῖται, καὶ ἐγκαταλέλειπται, ὡς ἔρημος. Ἐκεῖ νεμηθήσεται μόσχος, καὶ ἐκεῖ κοιτασθήσεται, καὶ ἀναλώσει τοὺς κλάδους αὐτῆς. Ἐν τῷ ξηρανθῆναι τὸν θερισμὸν αὐτῆς, συντριβήσονται.* Οἷς καὶ τὰ τῶν λοιπῶν ἑρμηνευτῶν συμφωνεῖ. Αὕτη δέ ἐστιν ἡ καὶ πρὶν εἰρημένη *πόλις ὀχυρὰ* καὶ ἀμπελὼν ἡ καλὴ, ἣν φησιν *ἔρημον* ἔσεσθαι μετὰ τὸ τῶν ἀποστόλων πανταχοῦ κυρωθῆναι τὸ κήρυγμα, καὶ τὴν *τῆς εἰδωλολατρείας* καθαίρεσιν.

Τινές φασιν, ὡς εἰπὼν μὴ τὴν ἴσην ἀπαιτηθήσεσθαι δίκην ὧν κατὰ τῶν ἁγίων ἐπλημμέλησεν Ἰσραὴλ, ἐπάγει ποῖον ἄρα τὸ μέτρον τῆς ἐπ' αὐτοῖς ἔσται κινήσεως. *Μαχόμενος καὶ ὀνειδίζων ἐξαποστελεῖ αὐτούς*, δηλονότι τῆς πρὸς αὐτὸν οἰκειότητος. Ἀπεπέμψατο γὰρ τὸν Ἰσραὴλ ὁ Σωτὴρ *μαχόμενος*, ἀντὶ τοῦ ἐπιπλήττων. Ἔφασκε γὰρ *ὀνειδίζων* αὐτοῖς· « Ἰερουσαλὴμ, Ἰερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, » καὶ τὰ ἑφεξῆς. Ὁρᾷς ὡς ἐπιπλήττων, αὐτοὺς ἀπεπέμψατο. Ἀλλὰ σέσωσται τὸ κατάλειμμα, καθά φησιν Ἡσαΐας· « Ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ, ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. » *Ὀνειδίζει* δὲ καὶ ὁ προφήτης μετὰ παῤῥησίας αὐτοῖς, ὡς μελέτην πεποιημένοις ἀναιρεῖν τοὺς ἁγίους. Κἂν ἀρνήσησθε, φησὶν, μάρτυς ὁ λέγων· « Τίνα γὰρ τῶν προφητῶν οὐκ ἀπέκτειναν οἱ πατέρες ὑμῶν ; » Καὶ πάλιν· « Ὅτι οὐκ ἐνδέχεται προφήτην ἀπολέσθαι ἔξω Ἰερουσαλήμ. » Διὰ μέσου δὲ τούτους ἐλέγξας, πάλιν ἔχεται τῆς πρώην ἀκολουθίας ὡς ἐκ Θεοῦ λέγων· *Διὰ τοῦτο ἀφαιρεθήσεται ἡ ἀνομία Ἰακώβ. Διὰ τοῦτο* ποῖον ; ἐπειδὴ οὐχ ὡς αὐτὸς ἀνεῖλεν, οὕτως ἀναιρεθήσεται. Ἀνήσει γὰρ καὶ αὐτῷ κατὰ καιροὺς τὰ ὀφλήματα. Καὶ τοῦτό ἐστιν *ἡ εὐλογία αὐτοῦ*. Εἰ γὰρ ἀπῄτει πρὸς ἀξίαν τὴν δίκην, οὐκ ἂν ἔργῳ προῆλθε τὸ ῥηθὲν Ἀβραὰμ, « Εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε, » τοσαῦτα πεπλημμεληκότων τῶν ἐξ αὐτοῦ. Πότε δὲ, φησὶν, ἔσῃ τῶν πλημμελημάτων ἐλεύθερος ; ὅτε οἱ διὰ πίστεως κεκλημένοι τῆς ἀρχαίας καταστρατεύσωνται πλάνης, πᾶν αὐτῆς ἐξαλείφοντες λείψανον, συμφώνως τοῖς

[55] Jean. x, 15. [56] Psal. LXXIX, 14. [56*] Matth. XXIV, 37. [57] Isa. x, 21 : Rom. IX, 27 ; XI, 5. [58] Act. VII, 52. [59] Luc. XIII, 33. [60] Gen. XVI, 10.

Digitized by Google

ἀποστολικοῖς· «ὅτ' ἂν δὲ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται. *Κατοικούμενον* δὲ *πολύμιτον* ὀνομάζει τὸν Ἰσραὴλ, ὡς πάλαι ποιήσειν [n] ἀγαθοῖς πληθυνόμενον. Ὃ *καταλειφθὲν* οἱ νοητοὶ κατανεμεθήσονται θῆρες, μηδενὸς ἔτι τὰς πονηρὰς ἀποσοβοῦντος δυνάμεις. Ἀλλ' οὐδὲ Ῥωμαῖοι δηλοῦντες [o] ἀπεῖπον πρινὴ καὶ τῶν σμικροτάτων ἀπέδειξαν ἔρημον. Τινὲς δὲ *βόσκημα* τὴν ἐκ τῶν πολεμίων φορολογίαν σημαίνειν φασίν. Ὡς γὰρ *εὐλογίαν* παυομένοις τῆς *εἰδωλολατρείας* ἐπήγγελται, οὕτως ἐρημίαν μετὰ δουλείας τοῖς ἀπομείνασιν.

A quando tandem peccatis liber evades? Quo tempore nimirum errori veteri per fidem vocati bellum indicent, nec ejus aliquas superesse reliquias patientur, magna cum verbis Apostoli concordia, qui tum demum salutem consecuturum esse totum Israelem monuit, cum plenitudo gentium ingressa fuerit [61]. *Gregem* autem *translatum* ideo Israelem nominat, quod eum bonis olim pastoribus abundasse constat; quem *derelictum* nunc feræ illæ, id est malæ potestates, quæ mente concipiuntur, nullo arcente depascuntur. Imo ne Romani quidem prius eam populari desierunt, quam vel minimis rebus

destitutum viderunt. Neque vero desunt, qui pensionem significari dicant. Ut enim eis se, si cessent ab *idolorum cultu*, *benedicturum*; sic in exsilium et servitutem si in eo perrexerint, eos se missurum pollicitus est.

pascuorum nomine, imperatam per hostes tributi

ια-ιγ'. *Γυναῖκες ἐρχόμεναι ἀπὸ θέας, δεῦτε. Οὐ γὰρ λαός ἐστιν ἔχων σύνεσιν· διὰ τοῦτο οὐ μὴ οἰκτειρήσει ὁ ποιήσας αὐτούς, οὐδὲ πλάσας αὐτούς, οὐ μὴ ἐλεήσει. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συμφράξει Κύριος ἀπὸ τῆς διώρυγος τοῦ ποταμοῦ ἕως Ῥινοκορούρων*, κ. τ. λ.

B Vers. 11-13. *Mulieres venientes a spectaculo, adeste. Non enim est populus, qui habeat intelligentiam. Propterea non miserebitur eorum, qui fecit eos, et qui formavit eos, non parcet. Et erit in die illa concludet Dominus a fossa fluminis, usque ad Rhinocorcuram*, etc.

B Αἰγύπτῳ βασιλέων χρηματισμός, ὡς τῶν Ῥωμαίων ὁ Καῖσαρ. Ἐπελέγετο γὰρ τούτῳ καὶ τὸ Κύριον ὄνομα, οἷον Φαραὼ Νεχάω. Τὰ δὲ διὰ Μωσέως παράδοξα, καθά φησιν ὁ Δαβὶδ, ἐν πεδίῳ γέγονε *Τάνεως*. Καὶ ἄνω δὲ περὶ *Αἰγύπτου* λέγων ὁ προφήτης, « Ἐξέλιπον, ἔφησεν, οἱ ἄρχοντες Τανέως » εἰκότως. Ἐπειδὴ περὶ τῆς τοῦ Σωτῆρος ἔλεγε παρουσίας· νῦν δὲ περὶ τῶν Ἱερεμίου λέγων καιρῶν, οὗ φησιν ἐκλελοιπέναι, ἀλλ' εἶναί τινας *ἀρχηγοὺς ἀγγέλους πονηροὺς*, τοὺς αὐτοὺς λέγων τοῖς ἄνω λεχθεῖσιν ἄρχουσι Τάνεως. Δαίμονάς τινας ἐμφαίνων, οἵπερ ἐνήργουν τὰ ἐν *Τάνει* γενόμενα. Ἐνταῦθα γὰρ ἦν τότε τοῦ *Φαραὼ* τὸ βασίλειον.

Πρὸς δὲ τῷ μὴ δύνασθαι βοηθεῖν ὑμῖν, γενήσονται C αἰσχύνη καὶ ὄνειδος. Ἦλωσαν γὰρ σὺν αὐτοῖς Ἰουδαῖοι *Αἰγύπτιοι*. Τινὲς δὲ τὰ μέχρι τοῦ, *οἱ καταβαίνοντες εἰς Αἴγυπτον*, περὶ τῶν ἐπαναστάντων εἰρῆσθαί φασι τῷ Χριστῷ. Πονηρὰ δὲ βουλευόμενοι, μετὰ Θεοῦ πῶς ἐβουλεύοντο, μεθ' οὗ βουλεύεται μόνος εἴ τις εὐσεβής τε καὶ δίκαιος; γέγραπται γὰρ, Λογισμοὶ δικαίων κρίματα. Οἱ δὲ περὶ τοῦ Σωτῆρος ἔφασκον· « Τί ποιοῦμεν, ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ; Ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν καὶ τὴν πόλιν, καὶ τὴν χώραν. » Ἄλλος ἔλεγεν, ὅτι συμφέρει ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. Καὶ κατὰ τὴν παραβολὴν δὲ ἔφασκον, « Οὗτός ἐστιν ὁ κληρονόμος. Δεῦτε, ἀποκτείνωμεν αὐτόν. »

D Καὶ πρὸς τοῖς δούλοις τοῖς προφήταις καὶ τὸν κληρονόμον ἀπέκτειναν. Πρὸς ὅπερ οἰκείως ἔφη, « Οἱ προστιθέντες ἁμαρτίας ἐφ' ἁμαρτίαις. » Ὅτι δὲ αὐτοῖς ἄνωθεν ἡ γνώμη πρὸς ἀπόστασιν [ὁ] τὴν ἀπὸ Θεοῦ, δηλοῖ καὶ ἡ πάλαι κάθοδος εἰς Αἴγυπτον γενομένη παρὰ γνώμην Θεοῦ. Τὸ δὲ· *Εἰσὶ γὰρ ἐν Τάνει ἀρχηγοὶ, ἄγγελοι πονηροὶ*, ἐπειδήπερ ᾤοντο τὴν τῶν ἐκεῖ βασιλέων αὐτοῖς ἐπαρκέσαι ῥοπήν. Ἀλλ' ἦλθόν τινες ἀγγέλλοντες τοῖς κρατοῦσι τῆς χώρας ἀφόρητα· Τὴν γὰρ Τύρων ἑλὼν, ἐπεστράτευσε τοῖς Αἰγυπτίοις ὁ Βαβυλώνιος. Ἠσχύνθησάν οὖν οἱ ἐπὶ τούτους ἐλπίσαντες, μεθ' ὧν ἀπεσφάττοντο, μὴ μαθόντες παρὰ Δαβὶδ τὸ,

[5] Jerem. XLII, 1 seqq. [6] Jerem. XLIII, 1 seqq. [7] Ibid. 50. [8] Psal LXXVII, 43. [9] Prov. XII, 5. [10] Joan. XI, 47, Matth. XXI, 38.

Digitized by Google

« Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄνθρωπον. »

A ibi essent, auxilium ad sui salutem sufficere arbitrarentur. Sed tandem appulerunt qui **365** terræ dominis ea impendere nuntiarent, quæ nec ferre ipsi, nec a se valerent repellere. Tyro enim expugnata, in Ægyptios etiam movit Assyrius. *Erubuerunt* igitur, qui aliquam in eis spem collocarant, quibuscum et ipsi etiam interempti sunt : neque Davidem, qui tutius in Domino, quam in homine sperare monet *****, audierunt.

ΟΡΑΣΙΣ ΤΩΝ ΤΕΤΡΑΠΟΔΩΝ ΤΩΝ ΕΝ ΤΗ ΕΡΗΜΩ.

ς-ιζ'. *Ἐν τῇ θλίψει καὶ τῇ στενοχωρίᾳ, λέων καὶ σκύμνος λέοντος ἐκεῖθεν, καὶ ἀσπίδες, καὶ ἔκγονα ἀσπίδων πετομένων, οἳ ἔφερον ἐπὶ ὄνων καὶ καμήλων τὸν πλοῦτον αὐτῶν πρὸς ἔθνος, ὃ οὐκ ὠφελήσει αὐτοὺς εἰς βοήθειαν, ἀλλὰ εἰς αἰσχύνην, καὶ ὀνειδος*, κ. τ. λ.

Ἀντὶ τοῦ, ἡ ὅρασις, *λῆμμα* Σύμμαχός φησιν. Ἀντὶ δὲ *τῶν τετραπόδων τῶν ἐν τῇ ἐρήμῳ, κτηνῶν νότου* πάντες ἐξέδωκαν. Αἰνίττεται δὲ *τὰ τετράποδα*, ζῶα τὰ παρ' Αἰγυπτίοις θεοποιούμενα, κεῖται δὲ κατὰ *νότειον* κλῖμα τῆς Ἰουδαίας ἡ Αἴγυπτος, *ἔρημος* οὖσα Θεοῦ, πάσης ἀλογίας ἐν αὐτῇ τιμωμένης, καὶ τῶν παρ' αὐτοῖς ἐνεργούντων δαιμόνων, οὓς ἀνηγόρευον θεοὺς, στενοὶ καὶ τεθλιμμένοι τυγχάνοντες τὰς ψυχάς. *Ἐν θλίψει* γὰρ καὶ *στενοχωρίᾳ* τόπον εἶχον *ἀσπίδες* καὶ *λέοντες* καὶ τὰ τοιαῦτα κακὰ, ὧν εἰκόνες ἦσαν ζῶα τὰ παρ' ἐκείνοις θεοποιούμενα. Οἷς δὴ καὶ πόλεις ἐπωνύμους ἐκτήσαντο, τὴν *λεόντων*, καὶ τὴν κυνῶν, καὶ κροκοδείλων ἄλλην, καὶ τοιαύτας ἑτέρας, πρὸς οὓς Ἰουδαῖοι τὸν *πλοῦτον* ἀπέφερον. Τῆς γὰρ αὐτῶν ψυχῆς τὰ ταμιεῖα τῇ *τῶν Αἰγυπτίων* παρεδίδοσαν πλάνῃ, *φέροντες αὐτὸν ἐπ' ὄνων τε καὶ καμήλων*, ἅπερ αὐτῶν τὴν ἀλογίαν καὶ τὴν ἀφροσύνην δηλοῖ. Βοηθεῖν γὰρ αὐτοῖς οὐκ εἶχεν, αἰσθητός τις Αἰγύπτιος, ἢ νοητός.

366 *VISIO QUADRUPEDUM IN DESERTO.*

VERS. 6-17. *In tribulatione et angustia leo, et catulus leonis inde, et aspides, et progenies aspidum volantium, qui ferebant super asinos et camelos divitias suas ad gentem, quæ eis non proderit in auxilium, sed in dedecus, et probrum*, etc.

Pro visione, sumptionem posuit Symmachus. B Deinde pro *quadrupedum in deserto*, reliqui omnes *jumentorum Austri* interpretati sunt. Innuit autem *quadrupedum* nomine, animalia illa, quæ apud Ægyptios pro diis habebantur. Ad *australem* deinde Judææ regionem sita est Ægyptus Deo *vacua*; et cujuslibet absurditatis, quam studiose amplectitur, imo et dæmonum ibi vim suam exercentium abundans, quos ipsi deos, pro sua **367** animi tenuitate et vecordia, vocaverunt, *in tribulatione* enim *et angustia*, locum sibi et *aspides* et *leones*, etsi quæ sunt illis mala similia, repererunt ; quorum imagines, ea, quæ ab illis in deos assumuntur, animalia exstiterunt : iisdemque urbes etiam de *leonum*, de canum, de crocodilorum, deque cæterorum ejusmodi nominibus vocatas C exstruxerunt, in quas *divitias suas* Judæi comportabant. Animæ enim suæ penetralia *Ægyptiorum* errori re vera patefecerunt, qui *suas eis divitias in asinis et camelis detulerunt*, ne quid ad amentiam stultitiæque suæ significationem relinqueretur ; cum nihil eos quidquam Ægyptius, sive animo comprehensum, sive oculis subjectum intelligas, juvare potuerit.

Τινὲς δέ φασιν, ὡς *ἔρημον* τὴν Ἱερουσαλὴμ ἐνταῦθα καλεῖ, ὥσπερ οὖν αὐτὴν ἔλεγεν Ἀριὴλ, ὀνειδίζων τοῖς οἰκοῦσιν αὐτὴν, ὡς δίκην *θηρίων ἐν ἐρήμῳ νεμομένων* ἐπολιτεύοντο, μὴ τὴν παρὰ Θεοῦ δοθεῖσαν αὐτοῖς τιμὴν λογιζάμενοι, δι' ὃν ἡ πόλις ηὐξήθη, καὶ ναὸν ἔσχε Θεοῦ, Ἁγιά τε ἁγίων, καὶ ὥσπερ ἀνῆπτο παντὶ τῷ κόσμῳ λαμπτήρ· ἀλλ' εἰς ἀλόγους ἐτράπησαν ἡδονὰς τὰ τῶν ἀλόγων ἠθημούμενοι [a], διὸ, *τετράποδα* καλεῖ, καὶ *τὴν ὅρασιν* οὐχ ὡς πρὸς ἀνθρώπους λέγει κομίζεσθαι. Τινὲς δέ φασιν ἐν τῇ κληροδοσίᾳ τῆς γῆς τὴν τοῦ Ἰούδα φυλὴν τὰ πρὸς ἠώ τε καὶ νότον τῆς χώρας λαχεῖν προσπαρακειμένης αὐτοῖς τῆς ἐρήμου, δι' ἧς ἦν ἀπιέναι τοὺς θέλοντας εἰς τὴν Αἴγυπτον. Ἐν καιρῷ τοίνυν τῆς τῶν Ἀσσυρίων ἐφόδου (τοῦτον γὰρ *θλῖψιν καὶ στενοχωρίαν* ἐκάλεσεν) *λέων, καὶ σκύμνος λέοντος ἐκεῖθεν*. Λέοντας μὲν λέγων τοὺς δυνατούς τε καὶ ἄρχοντας, *σκύμνους* δὲ τοὺς αὐθὺς μετ' αὐτοὺς, ἢ καὶ ἐξ αὐτῶν· καὶ τοὺς λοι-

Tradunt autem nonnulli *deserti* nomine Jerusalem hoc loco innui, quam nuper Ariel appellavit ; et incolis ipsis exprobrare, quod *ferarum ritu in deserto pascentium*, vitam agerent, nihil ad concessum sibi a Deo honorem advertentes, per quem urbs ipsa crevit, quæ templum Dei, et Sancta sanctorum sortita, toto orbe terrarum tanquam fax elucet ; sed ad insanas voluptates conversi brutorum mores imitentur. Atque hinc est, quod *quaD drupedum* nomine præfixo jumentis potius, quam hominibus, *visionem* offerri movet. Alii in ipsa terræ sortitione, eam Judæ tribui portionem, quæ Solis ortum et meridiem intuetur, estque vicino deserto proxima, obtigisse dicunt ; per quam in Ægyptum, qui vellent, transire possent. Quo tempore igitur eam invasit Assyrius (id enim per *tribulationem et angustiam* significat), *inde leonem et catulum leonis* prodiisse intelligit ; *leones* vocans potentiores ipsos et principes ; *catulos* autem, qui

* Psal. cxvii, 8.

VARIÆ LECTIONES.

[a] γρ. ἤθη μιμούμενοι.

Digitized by Google

statim post ipsos, aut etiam ab ipsis secuti sunt : reliquos deinceps pro malitiæ ratione venenatorum nomine et *voluntium* notans, propter eam, quæ valet ad absurdissima quæque, proclivitatem, et celeritatem. Et ipse deinde Salvatoris Præcursor viperarum progeniem **368** eosdem dixit [10] ; quos alibi Scriptura equos emissarios evasisse conqueritur [11]. Malis enim assidue vexati, cum ad Deum bonorum fontem confugere decuisset, *in Ægyptum divitias suas transtulerunt*, cujus alioquin vel nomen odisse et adversari oportuit, veterem servitutem in animum revocantes, quantisque illam plagis olim Dominus Israelitarum nomine ultus sit. Inde est, quod dicit : *Sedens scribe in buxo hæc.* Tanquam enim certis temporibus hæc eventura non dubitet, *scribi* imperat ; ut ex convenienti eorum exitu non falso prædicta esse appareat quasi quæ a prophetis dicuntur, palam in dies, vel ad usque sæculi hujus consummationem, fieri debere moneat. Vel certe, aiunt, quia non eos adeo viva vox, qua reprehenduntur, ac quæ litteris consignatur, urget oratio, ista *conscribi* imperavit. Fortasse vero et loquitur, sterilitatem, et inopiam *buxo* notaret.

Itaque tanquam scripta testimonia per singulas domos, ne in posterum ignorationem excusent, viritim jubet omnibus in hunc modum recitare : *Vano ipsi auxilio confidistis*, et ad lacus neque propriam, neque alienam aquam conservare valentes, me relicto, qui vobis abunde semper omnia suppeditavi, profecti estis ; neque monentibus illo tempore prophetis, ut, Deo saltem prædicente, vestri curam haberetis, quidquam credidistis. Merito autem *mendaces* appellat, qui Mosi legem roganti, omnia, quæ jussisset Dominus Deus rata habere se, et observaturos esse professi ; lege tamen Deum adorare, eique soli servire et ab idolorum confectione abstinere imperante, Deo relicto ad idola sese receperunt. Atque hinc est, quod *mendaces filios* appellat. Canit vero et David : « Hostes Domini mentiti sunt ei [12]. » Deinde, tanquam assumpta Christi persona : « Filii alieni mentiti sunt ei [13] : » quæ certe legi repugnantes constat admisisse. Nam ut alia incredulitatis exempla minime attingam ; et Jeremiæ etiam maxime adversati sunt, eum enim graviter ideo quod Ægyptiacam profectionem dissuaderet, **369** accusarunt. Itaque infert, *dicentes prophetis : Nolite nobis annuntiare*, et quæ sequuntur. Quæ hunc in modum Symmachus : *Et videntibus : Nolite videre nobis quæ recta sunt. Loquimini nobis lenia. Videte nobis errores. Absistite a via, declinate a me semitam. Cessare facite a facie nostra sanctum Israel.* Pro quibus, tanquam *expugnata jam civitate*, et *murus* ipse, ait, id est peccatum, quam citissime vobis excindetur ; imo et *urbs* ipsa ita *conteretur*, ut *vas* solet *testaceum*, quando in minutas adeo particulas *confringitur*, ut nulla jam, quæ ad *prunarum*, vel *aquæ modicæ*

A πους, κατὰ λόγον τῆς πονηρίας, ἰοβόλα ζῶα καλῶν, καὶ *πετόμενα*, διὰ τὴν ἐφοτιοῦν τῶν ἀτοπωτάτων ὀξύτητα. Καὶ ὁ τοῦ Σωτῆρος δὲ Πρόδρομος ὄφεις αὐτοὺς ἐκάλει καὶ γεννήματα ἐχιδνῶν. Καὶ ἵπποι δὲ θηλυμανεῖς ἐγενήθησάν, φησὶν ἡ Γραφή. Τοῖς γὰρ κακοῖς συνεχόμενοι, δέον ἐπὶ Θεὸν τὴν τῶν ἀγαθῶν καταφεύγειν πηγήν, *εἰς Αἴγυπτον τὸν πλοῦτον μετέφερον*, ἧς καὶ τὴν προσηγορίαν ἐχρῆν ἀποστρέφεσθαι, λογιζομένους τὴν πάλαι δουλείαν, καὶ ὅσαις αὐτὴν ὁ Θεὸς ὑπὲρ αὐτῶν μετῆλθε πληγαῖς. Διό φησιν, *Καθίσας γράψον ἐπὶ πυξίου ταῦτα.* Ὡς ἐσομένων κατὰ καιροὺς τῶν πραγμάτων, *γραφῆναι* ταῦτα ποιεῖ, πρὸς τὸ δειχθῆναι συμβαίνουσαν λαχόντα τὴν ἔκβασιν· τὰ δὲ τῶν προφητῶν ἔσται γνώριμα καὶ μέχρι συντελείας τοῦ παρόντος αἰῶνος. Ἤγουν, φασὶν, Ἐπειδὴ μὴ τοσοῦτον ὁ λόγος καθικνεῖται τῶν νουθετουμένων, ὡς ἔγγραφος φωνὴ, τούτου χάριν *γράψαι* προσέταξεν. Τάχα δὲ, καὶ τὸ ἄκαρπον τῶν περὶ ὧν ἡ Γραφὴ, τὸ *πυξίον* δηλοῖ.

Σχεδὸν οὖν ἔγγραφον μαρτυρίαν πρόθες κατ' οἶκον καὶ κατ' ἄνδρα· πᾶσιν ἀνάγνωθι, μήπως ὡς μὴ μαθόντες ὕστερον προφασίσειντο· ἡ δὲ μαρτυρία, ὅτι *ψευδεῖ βοηθείᾳ πεποίθασι*, καὶ λάκκοις τοῖς οὐ δυναμένοις ὕδωρ συνέχειν, οὔτε ἴδιον, οὔτε φερόμενον ἔξωθεν, τὸν τάγαθὰ πλουσίως αὐτοῖς χορηγοῦντα καταλιπόντες ἐμέ. Ἀπειθεῖς δὲ ὄντες, καὶ τοῖς λέγουσι τότε προφήταις ἐντραπήσονται ταῦτα περὶ αὐτῶν προειρηκότος ἐμοῦ. Ψευδεῖς δὲ αὐτοὺς εἰκότως ἐκάλει, ὅτι τοῦ Μωσέως αὐτοῖς τὴν νομοθεσίαν ἐκφήναντος ἔλεγον· « Πάντα ὅσα εἶπεν Κύριος ὁ Θεὸς, ποιήσομεν καὶ ἀκουσόμεθα. » Καὶ τοῦ νόμου διαγορεύοντος, « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. Καὶ οὐ ποιήσεις σεαυτῷ εἴδωλον· » τὸν Θεὸν ἀφέντες πρὸς εἴδωλα κατεσύροντο. Δι' ὅπερ υἱοὺς αὐτοὺς ὀνομάζει *ψευδεῖς*. Ψάλλει δὲ καὶ Δαβίδ· « Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτόν. » Καὶ ὡς ἀπὸ Χριστοῦ δέ φησιν· « Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι. » Ἅπερ ἐποίουν ἀπειθοῦντες τῷ νόμῳ· ἀντέλεγον γὰρ Ἱερεμίᾳ πρὸς ταῖς λοιπαῖς ἀπειθείαις ψεύδους αὐτὸν αἰτιώμενοι μὴ συγχωροῦντα κατελθεῖν εἰς τὴν Αἴγυπτον. Διόπερ ἐπιφέρει, *Λέγοντες τοῖς προφήταις, Μὴ ἀναγγέλλετε ἡμῖν*, καὶ τὰ ἑξῆς. Ἀνθ' ὧν ἐξέδωκε Σύμμαχος· *Καὶ τοῖς ὁρῶσι, μὴ ὁρᾶτε ἡμῖν ὀρθῶς. Λαλήσατε ἡμῖν λεῖα. Ὁρᾶτε ἡμῖν πλάνας. Ἀπόστητε ἀπὸ τῆς ὁδοῦ. Ἐκκλίνατε ἀπ' ἐμοῦ τρίβον. Παύσατε ἐκ προσώπου ἡμῶν τὸν ἅγιον τοῦ Ἰσραήλ.* Ἀνθ' ὧν, φησὶν, ὡς *ἁλούσης πόλεως, τεῖχος* ὑμῖν ἡ ἁμαρτία ἐπιπεσεῖται, καὶ τοῦτο ταχέως. *Πόλεως* δὲ τῆς οὕτω *συντετριμμένης*, ὦ; *ὀστράκινον ἄγγος* εἰς λεπτὰ *συντριβόμενον*, ὡς ἄχρηστον εἶναι πρὸς *ἀνθράκων* κομιδὴν, ἢ *σμικροῦ* τινος *ὕδατος*, ὃ δηλοῖ φεύξεισθαι [f] τούτων τὴν δίκην μηδενί [g]. Ἡ

[10] Matth. III, 7. [11] Jerem. V, 8. [12] Psal. LXXX, 16. [13] Psal. XVII, 46.

VARIÆ LECTIONES.

[f] γρ. φεύξεσθαι. [g] μηδένα.

Digitized by Google

τάχα δηλοῖ, ὡς Ἡ ἐλπισθεῖσα παρ' ὑμῶν τῶν Αἰγυπτίων βοήθεια, *καθάπερ τεῖχος πεπτωκὸς συντριβήσεται.*

Χριστὸς δὲ ὢν ὁ Θεὸς, καὶ τῶν ἀπειλῶν τὰς αἰτίας ἐκτίθεται, καὶ ὅπως ἔσται ταύτας διαφυγεῖν παραινεῖ, ὡς μὴ θέλων τὸν θάνατον τοῦ ἀποθνήσκοντος, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς, καὶ ζῆν αὐτὸν, ὡς ἐν Ἰεζεκιὴλ αὐτός πού φησι, καὶ νῦν οὖν εἶπεν· *Ὅτ' ἂν ἐπιστραφεὶς στενάξῃς, τότε σωθήσῃ.* Ὁ δὲ Σύμμαχος, *ἐν μετανοίᾳ*, φησὶ, *καὶ ἀναπαύσει σωθήσεσθε, καὶ Ἐν ἐλπίδι ἔσται ἡ δύναμις ὑμῶν.* Ἐὰν γὰρ κάθησθε, φησὶν, ἐν τῷ τόπῳ τῆς Ἱερουσαλὴμ μετανοήσαντες καὶ παυσάμενοι, τῆς ἐπὶ τὴν Αἴγυπτον ὁρμῆς, τότε *σωθήσεσθε ἐν ἡρεμίᾳ γενόμενοι καὶ ἀναπαύσει.* Ἀλλὰ καὶ *ἡ δύναμις ὑμῶν ἐν ἐλπίδι ἔσται.* Ἐλπίσαντες γὰρ ἐπὶ τὸν Θεὸν, δυνήσεσθε σωθῆναι. Λέγεται δὲ Κύριος ἐν τούτοις *ἅγιος τοῦ Ἰσραὴλ*, οὐ μόνον ὡς αὐτὸ [b] τυγχάνων ἁγιωσύνη, ἀλλ' ὡς καὶ ἁγιάζων τὸν Ἰσραήλ. Ἄνω μὲν γὰρ ἅγιον ἔθνος ἐλέγετο καὶ ἱεράτευμα. Ἀποβαλόντας δὲ τὸν ἁγιασμὸν αὖθις αὐτοὺς ἁγιάσει, ἐὰν μετανοήσωσιν ἐφ' οἷς ἥμαρτον. Οὐκ ἀρκεῖ δὲ μόνον πρὸς τοῦτο στεναγμὸς, ἀλλὰ καὶ τρόπων *ἐπιστροφὴ*, ὅτε τις ἑαυτοῦ λαμβάνει συναίσθησιν, ἔνθα ἦν ἀπάτης καὶ κακῶν ἐγνωκώς. Οἷα καὶ τῆς [i] νοσούμεθα νόσον ἡ γνῶσις ἀναθεωροῦντος ἐπ' ἀδείας τοῦ λογισμοῦ, καὶ σὺ δὲ *γνώσῃ* καταφυγὼν πρὸς τοὺς σώζειν ἑαυτοὺς οὐκ ἰσχύοντας. Θαῤῥοῦσι δὲ *τῇ φυγῇ*, καὶ μὴ βουλομένοις *ἀκούειν* φησί· *Φεύξεσθε* μὲν, οὐ μὴν *διαφυγεῖν* ἕξετε τῶν Βαβυλωνίων τὴν χεῖρα. Εἰς τοσοῦτον δὲ αὐτοὺς *φεύξεσθε, ἕως ἂν καταλειφθῶσιν ὡς ἱστὸς ἐπ' ὄρους, καὶ ὡς σημεῖα ἐπὶ βουνοῦ.* Ἡ κατὰ τὸν Σύμμαχον, *ὡς ἱστὸς ἐπάνω ὄρους, καὶ ὡς ἱστία ἐπὶ βουνοῦ.* Ὥσπερ γὰρ νηὸς διαπεσούσης ἐκ ναυαγίας *σημεῖον ἐπ' ὄρους ἱστὸς*, ὡς ἄχρηστος κείμενος, μετὰ καὶ τῶν ἱστίων· οὕτως αὐτῶν ἐπίσημον γενήσεσθαί φησι τὴν ἀπώλειαν.

Τινὲς δέ φασιν, ἐφ' ὑψηλῶν χωρίων τίθεσθαι τοῖς στρατιώταις παρὰ τῶν στρατηγούντων σημεῖα, τῶν πρακτέων δηλωτικά. Ἢ, καθά φασιν ἕτεροι, οὕτως ἡ καθ' ὑμῶν ἔσται τιμωρία περιφανὴς, ὡς οὐκ ἔστι λαθεῖν *ἱστὸν ἐπ' ὄρους, καὶ σημεῖον ἐπὶ βουνοῦ.* Πλὴν οὐ πάντη πάντας ἀπολεῖσθαί φησι. Τινὰς γὰρ *ἐλεήσει* Θεὸς οἶκτον λαβὼν ἐπ' αὐτοῖς, δι' ὧν *ἐλεεῖ* δοξαζόμενος. Ὡς γὰρ δίκαιος κριτὴς, τοὺς μὲν ἀξίους τιμωρεῖται· τοὺς δὲ δυναμένους *ἐλέους* τυχεῖν, *ἐλεεῖ.* Διό φησιν· Μακάριος ὁ μὴ ἀπογινώσκων ἐν τοῖς καταλαμβάνουσιν ἡμᾶς περιστατικοῖς. Τινὲς δὲ ταῦτα εἰρῆσθαί φασι διὰ τὸ σωθησόμενον τοῦ Ἰσραὴλ ἐγκατάλειμμα. Τινὲς δὲ τὴν διὰ τοῦ Κύρου σημαίνειν ἐπάνοδον. Ἄλλοι τὴν ἐν τῇ καθόλου χρίσει

comportationem sufficiat, relinquatur. Quibus certe aut istorum nemini licere vindictam effugere demonstrat; aut speratum ab Ægyptiis auxilium, *tanquam murum dejectum, et contritum iri.*

At Christus, Deus exsistens, et minarum causas exponit, quibus modis eas evitemus, docet: cum se dicit non peccatoris morte, sed ejus resipiscentia delectari, ut avertatur a via mala, et vivat; sicut apud Ezechielem alicubi [16], et hic etiam loquitur: *cum reversus ingemueris, tunc salvus eris.* Cujus loco Symmachus: *In pœnitentia et requie salvabimini, et in spe erit fortitudo vestra*, interpretatus est: Si enim resipiscentes, ait, Hierosolymis quieti, nec amplius de Ægyptiaca profectione solliciti manseritis: *In pace non tantum et requie salvabimini*, sed *in spe vobis erit fortitudo vestra*, cum spem in Deo collocantes salvari queatis. Dicitur vero in his Dominus *sanctus Israel*, non eo tantum, quod sanctitas ipse sit, sed quod sanctum Israelem faciat. Superius enim et gentem sanctam et sacerdotium esse dixerat; sed quia sanctimoniam a se rejecerunt, eosdem rursum, si a peccatis resipiscant, sanctos redditurum se pollicetur. **370** Neque vero ad id ingemere tantum satis fuerit; sed ea etiam morum *conversione* et emendatione opus est, qua sui sensu quis excitatus, quo usque fraude et scelere fuerat delatus, cognoscat. Qualis ea exsistit mentis cognitio, quæ metu nullo perturbata, quo morbo laboremus, contemplatur; eadem *cognosces* et ipse quid egeris, cum ad eos, qui servare se nequeant, appuleris. At vero *fugæ* confidentes, neque *audire* volentes hunc in modum alloquitur, *fugietis* quidem, sed Babyloniorum manum nunquam *effugere* poteritis. Eousque autem *Fugietis, donec relinquamini ut malus in monte, et ut signum in colle*, vel, secundum interpretationem Symmachi, *tanquam malus in montis vertice, et tanquam vela in colle.* Ut enim navis ejus, quæ naufragium passa est, malus in *signum cum velis in monte* positus manet inutilis: sic et eorum non obscurum fore interitum pronuntiat.

Aiunt vero nonnulli signa militaria a ducibus loco excelsiore collocari, ut ita suis quid agi debeat, significetur. Vel, ut dicunt alii, tam fore insignem et apertam Judæorum ultionem demonstrat, quam facile *malus in monte erectus*, aut *signum in colle* omnibus solet apparere. Neque tamen funditus omnes perituros intelligit. Quorumdam enim, converso ad luctum eorum animo, Deus ipse, cui *miserationes* in gloriam cedunt, *miserebitur.* Ut enim tanquam justus judex, meritos ulciscitur; ita eorum, qui *miseratione* digni sunt, *miseretur*, indeque est, quod eos, qui in calamitatibus animum non desponderunt, beatos prædicat. Quidam autem ad reliquias Israelis, quæ salvandæ sunt;

[16] Ezech. xviii, 23; xxxiii, 11.

VARIÆ LECTIONES.

[b] *γρ.* αὐτός. [i] *γρ.* τήν.

Digitized by Google

statim post ipsos, aut etiam ab ipsis secuti sunt : reliquos deinceps pro malitiæ ratione venenatorum nomine et *voluntium* notans, propter eam, quæ valet ad absurdissima quæque, proclivitatem, et celeritatem. Et ipse deinde Salvatoris Præcursor viperarum progeniem **368** eosdem dixit [10]; quos alibi Scriptura equos emissarios evasisse conqueritur [11]. Malis enim assidue vexati, cum bonorum fontem confugere decuisset, *divitias suas transtulerunt*, cujus ali... odisse et adversari oportuit, v... in animum revocantes, qua... olim Dominus Israelitarum ... est, quod dicit : *Sedens s...* quam enim certis tem... dubitet, *scribi* imper... exitu non falso pr... prophetis dicur... sæculi hujus ... Vel certe, ... oratio, is... loquitu...

Ita... mos... jul... a...

(

Πούς, κατὰ λόγον τῆς πον... καὶ *πετόμενα*, διὰ ... ὀξύτητα. Καὶ ... αὐτοὺς ἐν... θη... Ἀπειλῶν δὲ φοβεῖ, καὶ ...ενος, ἵνα μὴ τὸ μὲν ἀπαγόμενον ἀπεργάσηται. ...genium; illo, ne effusum et disso-

Καὶ πάλιν μενεῖ ὁ Θεὸς τοῦ οἰκτειρῆσαι ὑμᾶς. Καὶ διὰ τοῦτο ὑψωθήσεται τοῦ ἐλεῆσαι ὑμᾶς, διότι κριτὴς Κύριος ὁ Θεὸς ὑμῶν· καὶ ποῦ καταλείψετε δόξαν ὑμῶν; Μακάριοι οἱ ἐμμένοντες ἐν αὐτῷ. διότι λαὸς ἅγιος ἐν Σιὼν οἰκήσει, καὶ Ἱερουσαλὴμ κλαυθμῷ ἔκλαυσεν, κ. τ. λ.

Ἀκολούθως θεσπίζει τὴν ἐπάνοδον *τοῦ λαοῦ* μετὰ τὰ γεγονότα ἐπὶ Ἱερεμίου κακὰ, ἡνίκα πεπλήρωτο τῶν μὲν οἰκητόρων ἡ πόλις, τῶν δὲ γεωργούντων ἡ χώρα. Πάλιν δὲ ὁ τοῦ Θεοῦ ἀνῳκοδομήθη ναὸς ἐπὶ Ζοροβάβελ καὶ Ἰησοῦ, προφητευόντων Ἀγγαίου καὶ Ζαχαρίου. Μεθ' οὓς, Ἔσδρας, εἶτα Νεεμίας πρὸς τελείωσιν τῇ πόλει συνέπραξαν, ἐφ' οἷς ἔμεινεν ἐπὶ πλεῖστον χρόνον ἀνάλωτος· ἅπερ δηλῶν ὁ προφήτης φησὶ, Καὶ *πάλιν μένει ὁ Θεὸς τοῦ οἰκτειρῆσαι ἡμᾶς*. Καὶ ὅτι *κριτὴς ὢν* ἡμῶν, τοὺς μὲν ἀξίους αἰχμαλωσίας, παρεδίδου. Οὓς δὲ *δίκαιον ἐλεεῖν*, ἔσωζε. Διὸ *μακάριον τὸ ἐμμένειν ἐν αὐτῷ*. Ἤ, κατὰ Σύμμαχον, τὸ *ὑπομένειν αὐτόν*. Οἰκτειρήσας γὰρ Ἱερουσαλὴμ, ἀνοικοδομήσει πάλιν αὐτήν. Τὸ δὲ ἅγιος, ἐν τῷ, *λαὸς ἅγιος*, οὐ πρόσκειται παρ' Ἑβραίοις, οὔτε κατὰ τὰς ἐκδόσεις τῶν ἄλλων· εἰκότως. Οὐδὲ γὰρ πάντως ἅγιος ὁ τὴν πόλιν μετὰ τὴν ἐπάνοδον οἰκήσας *λαός*. Ἀλλὰ καὶ ἐν τῷ, *κλαυθμῷ ἔκλαυσεν*, τὸ Ἑβραϊκὸν *Οὐκ ἔκλαυσεν* ἔχει. Διὸ Σύμμαχος, *Οὐ κλαύσεις*, φησίν. Ὁ δὲ Θεοδοτίων, *Οὐ κλαυθήσεται*. Εὐφροσύνης γὰρ ἦν καιρὸς, *οὐ κλαυθμοῦ* τοῖς ἀπειληφόσι τὴν πόλιν *ἐλέῳ Θεοῦ*. Κατὰ τό· « Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει αἴροντες τὰ δράγματα αὐτῶν. » Ἀντὶ δὲ τοῦ, *Τὴν φωνὴν τῆς κραυγῆς σου ἡνίκα εἶδεν ἐπήκουσέν σου*· ὁ Σύμμαχος φησι· *Πρὸς τὴν φωνὴν τῆς βοῆς σου, καθὼς ἂν ἀκουσθῇ, ἀκούει σου*. Ὁποῖον τῷ ..., « Κατὰ τὴν πίστιν σου γενηθήτω σοι. » Πρὸς μὲν τὸ παρὸν φησιν, *Ἄρτον θλίψεως δώσει σοι*, κατὰ τὴν ἀρχὴν τῆς ἐπανόδου λέγων, τῶν περιχώρων θλιβόντων αὐτούς.

sens quidem, ait : *Panem afflictionis dabit tibi*, principium reversionis intelligens : quo tempore a vicinis affligebantur.

373 Deinceps enim omnem illis ubertatem et copiam denuntiat, imprimisque errore carentem securitatem, cum eodem se liberari semel agnoscent : quantumvis non defuturi sint, qui advertere, et *in vias quaslibet* inducere conentur. *Via* enim, aiunt, media, et *regia*, aliis utrinque declinatis, *ambulabis*, cum exsecranda idola ista, tanquam judicio tuo turpe aliquid et exsecrandum maxime, contaminaveris. Tum demum tibi omnia ad bruta usque, sed ea maxime, quæ agrorum cultui subserviunt, prospere cessura sunt. At corporeis hue-

Μετὰ γὰρ ταῦτα πᾶσαν αὐτοῖς εὐετηρίαν κατεπαγγέλλεται, καὶ πλάνης πρῶτον ἐλευθερίαν, τῷ γνῶσιν ἔχειν, ὅτι πλάνῃ καθέστηκεν [k], κἂν διαστρέφοιέν τινες ἐπ' *ἀλλοκότους ὁδοὺς* προκαλούμενοι. *Ὁδῷ* γὰρ, φησὶ, *πορεύσῃ* μέσῃ τε καὶ *βασιλικῇ* τὰς ἑκατέρωθεν ἐκκλίνων, ὅτε καὶ *μιανεῖς* τὰ εἴδωλα μιαρὰ ταῦτα, καθάπερ τι τῶν ἄγαν ἀκαθάρτων ἡγούμενος. Τότε σοι τὰ τῆς εὐθηνίας, μέχρι τῶν ἀλόγων ζώων, γεωργικῶν δὲ μάλιστα, παρατείνεται [l]. Σωματικὰς δὲ μέχρι τούτου τὰς ἐπαγγελίας αὐτοῖς παρασχὼν, ἐπάγει τὰς θειοτέρας τοῖς τούτων ἀξίοις,

[10] Psal. cxxv, 6. [16] Matth. ix, 29.

VARIÆ LECTIONES.

[j] γρ. τό. [k] γρ. ἀφέστηκε. [l] *Ισ.* παρατενεῖται ἢ παραταθήσεται.

Digitized by Google

καὶ τὸν αὐτῶν χρόνον προσθεὶς λέγων· Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὅτ' ἂν ἀπολῶνται πολλοί, καὶ ὅταν πέσωσι πύργοι. Ἢ κατὰ Σύμμαχον, ἐν ἡμέρᾳ σφαγῆς πολλῆς, ἐν τῷ πεσεῖν μεγάλους, κατὰ τὸν τῆς κρίσεως δηλονότι καιρόν. Πολλοὶ γὰρ κατ' ἐκεῖνον ἀπολοῦνται τὸν χρόνον, ἐν ᾧ καὶ τὰ ἐπηγγελμένα τοῖς ἁγίοις δοθήσεται, ἅπερ ἐστὶν ὕδωρ διαπορευόμενον ἐπὶ παντὸς ὄρους ὑψηλοῦ καὶ βουνοῦ. Κατὰ δὲ Σύμμαχον, καὶ ἐπὶ παντὸς βουνοῦ ἐπηρμένου διαιρέσεις ἀγωγῶν ὑδάτων. Ὅπερ δὲ Σιὼν ὄρος τὸ ἐπουράνιον πολλάκις ἐλέγομεν, οὕτως αἱ πολλαὶ μοναὶ παρὰ τῷ Πατέρι, ὄρη ἐστὶν οὐράνια πρὸς τὴν ἀξίαν ἀποδιδόμενα, ἐφ' ὧν τὸ διαπορευόμενον ὕδωρ τὸ ἀπὸ πηγῆς ἀναβλύζον ἂν εἴη, περὶ ἧς φησιν· « Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, » ἀφ' ἧς ὁ ποταμὸς τοῦ Θεοῦ προχεῖται, περὶ οὗ γέγραπται· « Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων, » καὶ· « Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ· » ὅς ἐστιν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος. Οὗ μεταλαβόντες, ἀθανασίαν ἕξομεν, καὶ ζωὴν, ἅπερ ἐστὶ κατ' οὐσίαν αὐτός. Ὅτε καὶ αὐτὴ, φησὶν, ἡ κτίσις ἐλευθερωθεῖσα τῆς δουλείας τῆς φθορᾶς, ἀπολήψεται τῶν καμάτων τὰς ἀμοιβάς, ὥσπερ ἥλιός τε καὶ σελήνη μεῖζον φῶς καὶ δόξαν λαμβάνοντες, ἅτε δὴ καμόντες τῷ τοῦ Θεοῦ καλῶς διακονούμενοι νεύματι.

Ταῦτα δὲ ἔσται ὅτ' ἂν οἱ ἄξιοι σφαγῇ παραδοθήσονται, καὶ οἱ ἐν τῷ παρόντι βίῳ ἐπηρμένοι καὶ μεγάλαυχοι πέσωσι, καθαίρεσιν τοῦ ὕψους λαμβάνοντες. Διό φησιν ὁ Ἀκύλας· *Ἐν ἡμέρᾳ ἀποκταμένου πολλοῦ, ἐν τῷ πεσεῖν μεγαλυνομένους, καὶ ὅταν ἰάσηται Κύριος τὸ σύντριμμα τοῦ λαοῦ αὐτοῦ. Καὶ οὐκ ἐμνήσθη τοῦ Ἰσραὴλ, οὐδὲ τοῦ Ἰακώβ.* Παντὶ γὰρ ἀξίῳ πρόκειται τῆς ἐπαγγελίας τὰ δῶρα. Ἐντεῦθεν ὁρμώμενος ὁ θεῖος Ἀπόστολος ἔφησεν· « Ἡ γὰρ ἀποπαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. » Τέκνων λέγων ἐλευθερίαν, ἣν ὁ προφήτης εἶπεν *ἴασιν τοῦ λαοῦ*. Πολλὴν γὰρ εἶχον συντριβὴν ἐν τῇ παρούσῃ ζωῇ, ὡς λέγεσθαι· « Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. » Καί· « Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον. » Ὅθεν φησὶν ὁ Παῦλος· « Οἱ γὰρ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρυνόμενοι. » Καὶ ἐπὶ τοῖς ἁμαρτάνουσιν ἐβαρύνοντο, κατὰ τό· « Πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων. Ἀλλ' ἀνακτήσεται αὐτῶν ὁ Θεὸς τὰ συντρίμματα. »

ΚΕΦΑΛ. ΛΑ'.

α-θ'. *Οὐαὶ οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν. Οἱ ἐφ' ἵπποις πεποιθότες, καὶ ἐφ' ἅρμασιν. Ἔστι γὰρ πολλὰ, καὶ ἐφ' ἵπποις πλῆθος σφόδρα, καὶ οὐκ ἠκουσαν πεποιθότες ἐπὶ τὸν* usque promissionibus adhibitis diviniores jam, notato tempore, adjungens, id *eo die* futurum ait : *quo perierunt multi, et cum ceciderint turres.* Aut secundum Symmachi interpretationem, *In die interfectionis multæ, cum cadent magni ;* quibus judicii tempus indicasse putamus. *Multi* enim illo tempore *peribunt*, in quo dignis tribuentur quæ annuntiata sunt, *a qua* nimirum *montem excelsum omnem, et collem percurrens, aut etiam*, si interpretationem Symmachi requiris, *super omnem collem excelsum divisiones ductarunt aquarum.* Ut autem montem Sion, supercœlestem persæpe diximus : sic multæ illæ apud Patrem mansiones [17], *montes* quidam cœlestes, singulis pro meriti ratione assignati fuerint, quos percurrens aqua eo fonte scaturiat, de quo legitur : « Apud te fons vitæ [18] : » a quo flumen Dei illud emanat, quod his verbis significatur : « Flumen Dei repletum est aquis [19], » et illis etiam : « Fluminis impetus lætificat civitatem Dei [20]. » Verbum Dei scilicet unigenitum, cujus facti participes immortalitatem et vitam (quæ quidem ejus essentiam consequuntur) tum demum habituri sumus, cum ipsa creatura servitute et corruptione liberata, sua feret laborum præmia; non aliter quam *solem* et *lunam* majus lumen, et gloriam ampliorem consecutos esse videmus, tanquam qui Dei voluntati bene paruerint.

Est vero istud tum demum futurum, cum qui internecione **374** digni sunt, eidem tradentur; et qui in hac vita elate et superbe se gerunt, amputato fastu tollentur. Atque inde est Aquilæ isthæc, quæ sequitur, interpretatio : *Illo die multis interfectis cum ceciderint elati, et cum sanaverit Dominus contritionem populi sui. Nulla rursum Israelis, nulla Jacobi mentio addita est ;* ut dignis omnibus, quæ promittuntur, dona proponi demonstret. Inde igitur excitatus Apostolus ait : « Nam exspectatio creaturæ revelationem filiorum Dei exspectat; quia et ipsa creatura liberabitur a servitute corruptionis in libertatem gloriæ filiorum Dei [21]; » in quibus idem ille filiorum libertatem intelligit, ac *populi sui sanationem* propheta. Tantam enim adeo in terris contritionem passos esse constat, ut merito dicatur : « Cor contritum et humiliatum Deus non despiciet [22]. » Item : « Sacrificium Deo spiritus contribulatus [23]. » Hinc est Pauli illud : « Nam et qui sumus in hoc tabernaculo, ingemiscimus onerati [24]. » Deinde peccatorum onere premebantur, juxta illud : « Lugebo multos eorum, qui ante peccaverunt, neque tamen pœnitentiam egerunt. Sed Deus reparabit contritiones eorum [25]. »

375-376 CAP. XXXI.

VERS. 1-9. *Væ qui descendunt in Ægyptum auxilii causa ; qui in equis confidunt, et in curribus. Sunt enim multi, et in equis multitudo ingens, et non audierunt confisi super sanctum Israel, et Deum non*

[17] Joan. XIV, 2. [18] Psal. XXXV, 10. [19] Psal. LXIV, 10. [20] Psal. XLV, 5. [21] Rom. VIII, 10-21. [22] Psal. L, 19. [23] ibid. 19. [24] II Cor. V, 2. [25] II Cor. XII, 21.

Digitized by Google

quæsiverunt. Et ipse sapiens induxit super eos mala. Et verbum ejus non frustrabitur, etc.

377 . . . . . libertatem : quod multi certe fecerunt, qui a pietate ad vitam *idololatricam et Ægyptiam* defecerunt. Istis autem reversionem a captivitate adjungit. Ut enim *leo*, inquit, *ad prædam cibi* causa conversus, in greges ipsos irruit, nihil *pastorum clamorem, nihil insequentium multitudinem moratus;* sic hostes aggrediens Dominus Israelem ipsum liberabit. At ubi Hierosolymam usque perduxerit; sic eosdem rursum proteget, ut solet *in nido pullos suos avis defendere.* Atque hinc est, ut pro quibus hic habemus, *et vociferabitur super ea, donec impleantur montes ejus voce, et vincantur, sic extulerit* Symmachus : *Complentibus omnia pastoribus a voce eorum non vincetur, neque a multitudine eorum subjicietur.* Verum si ad Septuaginta interpretes respicis, ita habeas. *Leonem* ferunt, postquam *rugitu* primum greges et pastores terruerit, eosdem aggredi. Ad hunc modum et *Dominus* ipse, postquam minas proposuit, non pœnitentes ulciscitur; quod vel in superbientibus Assyriis videas; atque etiam cum ab accolarum injuria, quam post reversionem patiebatur, Israelem tueri placuit. Ad utrumlibet similitudinem alteram accommodavit. At quæ *leonem* habuit, non desunt, qui ad Israelitas referant, qui ne ferarum quidem metum erga Deum ducem suum retinuerunt. Unde et eos se *leonum* more gesturum significat. Alias si pœnitere et resipiscere contigerit, eosdem se, *avis* instar, quæ *pullos tuetur, esse protecturum.* Tale vero et ipsi etiam, si ad priorem sensum respicimus, Salvatoris auxilium sumus experti. Omnes enim quotquot sunt, mortales, intelligibilis ille ceperat Assyrius; nisi Christo ipso tanquam *leone* irruente, verbo oris ejus, qui *Sionis* Ecclesiæ nomine decertavit, occidisset. Se namque orbem terrarum, ut nidum, manu
378 sua comprehensurum minabatur. At hic in se credentes, ut pullos gallina, sub alis cogit [16]. Atque hæc cum de Jerusalem monuisset, ad eos jam, qui in Ægyptum se recipiunt, in hunc modum exclamat : *Convertimini, qui profundum consilium inieratis et iniquum;* et iterum Jerusalem redire, quando spes ejus instaurandæ fiat, hortatur; quæ ita expressit Symmachus : *Pœnitemini, filii Israel, sicut de transgrediendo profunde cogitastis.* Significat autem eos quæ mala sunt, alte quidem cogitare; quæ Dei autem, superficie tenus inquirere et meditari.

Cæterum postquam ab Assyriis redire contigerit, et ipsi tum demum, ait, idololatria liberabimini. Quod ab historiæ fide minime dissentire reperias, cum omni prorsus idololatria, quo tempore instaurabatur templum, caruerint. Quidam

ἄγιον τοῦ Ἰσραήλ, καὶ τὸν Θεὸν οὐκ ἐζήτησαν· Καὶ αὐτὸς σοφὸς ἦγεν ἐπ' αὐτοὺς κακὰ, καὶ ὁ λόγος αὐτοῦ οὐ μὴ ἀθετηθῇ, κ. τ. λ.

. . . . ἐλευθέρωσιν. Ὃ δὴ πολλοὶ πεποιήκασι θεοσεβείας ἀποστάντες πρὸς βίον εἰδωλικὸν καὶ Αἰγύπτιον. Τούτοις ἐπισυνάπτει τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον. Ὡς γὰρ λέων φησὶν ἐπὶ θήρᾳ τροφῆς κινηθεὶς, τοῖς ποιμνίοις ἐφάλλεται, οὐ κραυγὰς ποιμένων, οὐ διωκόντων πλῆθος ἐπιστρεφόμενος· οὕτω τοῖς πολεμίοις ὁ Κύριος ἐπιστὰς ἐξελεῖται τὸν Ἰσραήλ. Ἀγαγὼν δὲ πρὸς Ἱερουσαλὴμ οὕτως αὐτῶν ὑπερασπίσει, ὡς ὄρνις τῶν ἐν καλιᾷ νεοττῶν. Ὅθεν ὁ Σύμμαχος ἀντὶ τοῦ, καὶ κεκράξῃ ἐπ' αὐτῇ ἕως ἐμπλησθῇ τὰ ὄρη τῆς φωνῆς αὐτοῦ, καὶ ἠττήθησαν, οὕτως ἐξέδωκεν· Πληρώματος ποιμένων ἀπὸ φωνῆς αὐτῶν οὐκ ἠττηθήσεται, οὐδὲ ἀπὸ πλήθους αὐτῶν οὐχ ὑποταγήσεται. Κατὰ δὲ τὴν ἔκδοσιν τῶν Ἑβδομήκοντα νοητέον οὕτω· Φασὶ τὸν λέοντα βοῇ προκατάπλήττοντα τὰς ἀγέλας καὶ τοὺς ἐφεστηκότας οὕτω ποιεῖσθαι τὴν ἔφοδον, οὕτω καὶ Κύριος προκαταπλήττων ἀπειλαῖς, οὐ μετανοοῦσιν ἐπιφέρει τὴν δίκην. Ὥσπερ οὖν καὶ τοῖς Ἀσσυρίοις μεγαλαυχήσασι σκέπων τὸν Ἰσραὴλ, καὶ ἀπὸ τῶν περιχώρων τῶν μετὰ τὴν ἐπάνοδον ἐπιτεθέντων αὐτῷ. Πρὸς ἑκατέρους γὰρ τῶν παραβολῶν τὴν ἑτέραν ἐφήρμοσεν. Τὴν δὲ τοῦ λέοντος ἐπὶ τῶν ἐξ Ἰσραήλ. Τινὲς παρειλήφασι, μηδὲ τὸν τῶν ἀλόγων παρεσχηκότων πρὸς τὸν ἡγεμόνα Θεὸν φόβον. Ὅθεν καὶ τὰ λεόντων, φησὶν, ὑμᾶς διαθήσει. Μετανοούντων δὲ, καθάπερ νεοττῶν ὄρνις ὑπερμαχήσεται. Κατὰ δὲ τὴν πρώτην ἐξήγησιν, τοιαύτη γέγονεν ἐφ' ἡμᾶς ἡ τοῦ Σωτῆρος ἐπικουρία. Πάντας γὰρ ἀνθρώπους ὁ νοητὸς εἷλεν Ἀσσύριος. Ἀλλὰ Χριστὸς, οἷα λέων, ἐπιπηδήσας αὐτῷ κατήργησεν αὐτὸν, τῷ ῥήματι τοῦ στόματος αὐτοῦ, τῆς Σιὼν τῆς Ἐκκλησίας ὑπεραγωνισάμενος. Ὁ μὲν γὰρ ἠπείλει, Τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρί μου ὡς νοσσιάν. Ὁ δὲ συνήγαγε τοὺς πιστεύοντας εἰς αὐτὸν, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νόσσια αὐτῆς ὑπὸ τὰς πτέρυγας. Ταῦτα περὶ τῆς Ἱερουσαλὴμ ἐπαγγελλόμενος, προσφωνεῖ τοῖς ἀπελθοῦσιν εἰς Αἴγυπτον, Ἐπιστράφητε, οἱ τὴν βαθεῖαν βουλὴν βουλευόμενοι καὶ ἄνομον, προτρέπων εἰς Ἱερουσαλὴμ αὐτοὺς πάλιν ἐπανελθεῖν, διὰ τὰ ἐπηγγελμένα περὶ τοῦ ταύτης ἀνοικισμοῦ. Ὅπερ ὁ Σύμμαχος οὕτως ἐξέδωκε· Μετανοήσατε, ὡς ἐβαθύνατε παραβῆναι, οἱ υἱοὶ Ἰσραήλ. Δηλοῖ δὲ αὐτοὺς ἐνβαθύνοντας μὲν τοῖς κακοῖς, τοῖς δὲ κατὰ Θεὸν ἐπιπολέους ὑπάρχοντας [m].

Μετὰ δὲ τὴν ἐξ Ἀσσυρίων ἀπαλλαγὴν, ἔσται, φησὶν, ὑμῖν πάσης εἰδωλολατρείας ἀπαλλαγή. Καὶ σύμφωνος ἡ ἱστορία. Τὸν γὰρ ναὸν ἀναδειμάμενοι, καθαροὶ πάσης εἰδωλολατρείας ἐγένοντο. Τινὲς δὲ τοῦτό φασι γεγενῆσθαι καθ' ὃν χρόνον ὑπερῆσπισε τῆς Ἰε-

[16] Matth. xxvi, 23.

VARIÆ LECTIONES.

[m] γρ. ἐπιπολαίους.

Digitized by Google

ρουσαλὴμ ὁ Χριστὸς Ἐκκλησίας. Πρὸς αὐτὴν γὰρ πάλιν ὁ λόγος ἀνέδραμεν, ὅτι τῆς εἰδωλολατρείας ἀπολομένης, καὶ ὁ νοητὸς αὐτῇ συναπῆλθεν Ἀσσοὺρ, *οὐκ ἀνδρὸς μαχαίρᾳ* πληγείς, λόγῳ δὲ θείῳ πεμφθεὶς εἰς τὴν ἄβυσσον σὺν ταῖς ἰδίαις δυνάμεσιν, ἃς διὰ *τῶν ἰσχυρῶν νεανίσκων* ἐδήλωσεν ἀῤῥαγεῖ πέτρᾳ τῷ Χριστῷ *περιληφθείσας, ὡς χάρακι*. Οἱ δὲ ἄλλοι φασὶν, Ἐπειδὴ *τὸν Ἀσσύριον* Ἰουδαῖοι δείσαντες εἰς Αἴγυπτον ἀπεχώρησαν, ἐπαγγέλλεται τούτοις τὴν ἐκείνου καθαίρεσιν, τὴν εἰδωλολατρείαν διὰ τούτων δηλῶν ἐκ θείας πεπτωκυῖαν δυνάμεως, εἰ καὶ ἄνθρωποι ταύτῃ διακονοῦντες τὴν Ἀσσυρίων καθεῖλον ἀρχήν. Διὸ καὶ περὶ Βαβυλῶνος ἔλεγε προφητεύων· Ἰδοὺ ἐπεγείρω ὑμῖν τοὺς Μήδους. Ἀντὶ δὲ τοῦ, *Πέτρα περιληφθήσονται ὡς χάρακι*, ὁ Σύμμαχος; ἔφη, *Πέτρα αὐτοῦ ἡ φοβερὰ παρελεύσεται, καὶ ἡττηθήσονται οἱ ἄρχοντες αὐτοῦ, φησὶ Κύριος*, δηλαδὴ τοῦ Ἀσσυρίου. *Πέτραν* γὰρ αὐτοῦ τὸ στερρὸν ἐκάλεσε τῆς ἀρχῆς. Προτρέπων δὲ τοὺς ἐν Αἰγύπτῳ φυγάδας ὑποστρέφειν εἰς Ἰερουσαλὴμ; *Μακάριος*, φησὶν, ὃς *ἔχει ἐν Σιὼν σπέρμα, καὶ οἰκείους ἐν Ἰερουσαλὴμ*, διὰ τὸ μέλλειν αὐτὴν εἰς τὴν ἀρχαίαν ἀνακτίζεσθαι δόξαν, μᾶλλον δὲ κρείττονα. Διό φησιν ἐν ἑτέροις· « Καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη, ὑπὲρ τὴν πρώτην. » Ὠφέλισται δὲ τὸ, *μακάριος*, ὡς μὴ κείμενον. Τὸ δὲ λοιπὸν ὁ μὲν Σύμμαχός φησιν, *Ἔχει πῦρ ἐν Σιὼν καὶ κλίβανον ἐν Ἰερουσαλήμ*. Ὁ δὲ Ἀκύλας καὶ Θεοδοτίων, *Φῶς αὐτῷ ἐν Σιὼν, καὶ κλίβανος αὐτῷ ἐν Ἰερουσαλὴμ*, περὶ Θεοῦ λέγοντες τοῦ καθελόντος τὸν Βαβυλώνιον. Δι' οὗ πυρὸς κατακαίει τοὺς τῆς αὐτοῦ καταφρονήσαντας πόλεως, μάλιστα δὲ τῆς Ἐκκλησίας, περὶ ἧς εἴρηται· « Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. » Καί· « Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. » Ἐν αὐτῇ γὰρ *πῦρ* ἐστι καὶ *κλίβανος* εἰς τὸ καταφλέγειν ἑκάστης ψυχῆς ξύλα, χόρτον, καλάμην. Καὶ κατὰ τὸν Ἀκύλαν δὲ, *φῶς* ἐκεῖ πρὸς τοὺς ἀξίους φωτίζεσθαι, καὶ *πῦρ* πρὸς τοὺς δεομένους καθάρσεως.

A autem in ea tempora, quibus Hierosolymorum Ecclesiam Christus ipse protexit incidisse putant. Tum demum enim ad ipsam iterum verbum rediit, cum sublato idolorum cultu, et Assur ipse animo comprehensus, *non viri gladio*, sed verbo divino percussus, cum suis potestatibus (has enim *juvenum fortium* nomine significavit, quæ lapidi nunquam frangendo, id est Christo, *tanquam vallo circumdantur*) in abyssum detrusus est. Volunt alii, Judæis, quia metu *Assyrii* in Ægyptum confugerant, eumdem, id est, idolorum cultum, divina auxiliante potentia delendum esse significari : quamvis ab hominibus, qui ei se nuncuparunt, Assyriorum imperium eversum sit. Unde etiam, cum de Babylone prophetaretur, in eam se Medos B excitaturum monuit. Cæterum pro quo, *Petra circumdabuntur quasi vallo* habemus; ita Symmachus : *Petra ejus metuenda pertransibit, et vincentur principes ejus, ait Dominus*, Assyrios significans. Nam *petræ* nomine, imperii ejus robur intellexit. Verum, ut eos, qui in Ægyptum profugerant, ad redeundum Jerusalem invitaret, *Beatus*, inquit, *qui habet* **379** *in Sion semen, et domesticos in Jerusalem*; quia pristinam non tantum gloriam, sed majorem etiam recuperatura sit. Itaque dicit alibi : « Et gloria domus hujus postrema, supra priorem [27]. » At enim obelo confoditur *beatus*, ut adjici significetur. Sic autem reliqua, *Habet ignem in Sion, et clibanum in Jerusalem*, C expressit Symmachus; Aquila vero et Theodotio : *Lumen ei in Sion et clibanus in Jerusalem*, de Deo, qui Babylonium sustulit, verba facientes. Atque hoc igne illos comburit, qui ejus urbem, et Ecclesiam præcipue ausi sunt contemnere, de qua dictum legimus : « Gloriosa dicta sunt de te, civitas Dei [28]. » Et : « Fluminis impetus lætificat civitatem Dei [29]. » Est enim *ignis* in ipsa quidem et *clibanus*; ut uniuscujusque animæ ligna, fenum et stipulam comburere valeat. Secundum Aquilam autem, *lumen* ibi, ut meritos illuminet; et *ignis*, ut quos opus est, expiet.

ΚΕΦΑΛ. ΛΒ'.

α-η'. *Ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσι, καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ. Καὶ κρυβήσεται ὡς ὰφ' ὕδατος φερομένου. Καὶ φανήσεται ἐν Σιὼν, ὡς ποταμὸς φερόμενος ἔνδοξος ἐν γῇ διψώσῃ*, κ. τ. λ.

Ἡ μὲν τῶν Ἑβδομήκοντα ἔκδοσις συνάπτει ταῦτα τοῖς εἰρημένοις. Προειποῦσα γὰρ τὸ, « Μακάριος ὃς ἔχει ἐν Σιὼν σπέρμα, καὶ οἰκείους ἐν Ἰερουσαλὴμ, » ἀκολούθως ἐπήγαγε τὸ, *Ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει*. Ἐπεὶ γὰρ ταῦτα μέλλει γίνεσθαι ἐν Ἰερουσαλὴμ, εἰκότως *μακαρίζει* τοὺς τούτων ἀπολαύειν μέλλοντας ἐν αὐτῇ. Οἱ δὲ λοιποὶ τὰ νῦν [a] καὶ

CAP. XXXII.

380 VERS. 1-8. *Ecce enim rex justus regnabit, et principes cum judicio imperabunt : et erit homo* D *occultans sermones suos, et occultabitur, ut ab aqua, quæ fertur. Et apparebit in Sion sicut fluvius currens, inclytus in terra sitienti*, etc.

Interpretes Septuaginta isthæc cum præcedentibus jungunt. Cum enim præmisissent beatum exsistere, qui in Sione semen haberet, et domesticos in Jerusalem, ordine jam, *Ecce enim Rex justus regnabit*, adjunxerunt. Quod quia in Jerusalem futurum est, non eos immerito, qui ejus futuri sunt participes, *beatos* appellat. Verum ea ipsa, de quibus agimus, alte-

[27] Aggæi II, 10. [28] Psal. LXXVI, III, 3. [29] Psal. XLV, 5.

VARIÆ LECTIONES.

[a] γρ. εἶναι.

Digitized by Google

rius esse principii voluerant alii. Quo fit, ut consentientibus plane cæteris : *Ecce ad justitiam regnabit rex*, interpretatur Symmachus. Credant Hebræi quantumlibet ad Zorobabelem, qui ducto a Juda et Davide genere, liberato restitutoque populo imperavit, sermonem referri, et per principes *cum judicio*, Jesum ipsum sacerdotem designari : nunquam tamen efficient, ut cum verbis istis, *apparebit in Sion, sicut fluvius currens, inclytus in terra siticuli*, et quæ deinceps sequuntur, convenire possint. Tanquam igitur ea quæ Jeremiæ temporibus essent eventura, absolvisset; alium jam de Christi divina in terris apparitione sermonem exorditur. Solum enim *justum* inter mortales *regem* fuisse, apostolos autem Ecclesiæ ipsi *cum judicio* præfuisse notum est. Deinde ad statum revocatæ gentis confirmandum ea conjungi bona decuit, quæ istis per Christum maxima contigissent, et quæ seculuris paulo post, progressu longo temporis erant eventura. Eos vero **381** *beatos* prædicat, qui sub Christo Ecclesiam incoluerint; ad quos Salvatorem in hunc modum esse locutum legimus : « Multi prophetæ et justi cupierunt videre quæ videtis, neque tamen viderunt. Vestri autem beati oculi, quod videant [30]. » Ejusmodi illi fuerunt, qui cum eo illa intelligibili Christo fructus ediderunt.

A ἀρχῆς ἑτέρας ἀπέδωκαν. Διό φησι Σύμμαχος· *Ἰδοὺ εἰς δικαιοσύνην βασιλεύσει βασιλεὺς*, συμφώνως τοῖς ἄλλοις. Οἰήσονται μὲν οὖν παῖδες Ἑβραίων εἰς Ζοροβάβελ τὸν λόγον ἀνάγεσθαι, ὃς ἐξ Ἰούδα καὶ Δαβὶδ καταγόμενος, ἦρξε μετὰ τὴν ἐπάνοδον τοῦ λαοῦ. Ἄρχοντας δὲ *μετὰ κρίσεως* τοὺς περὶ τὸν Ἰησοῦν τὸν ἱερέα φήσουσι λέγεσθαι. Ἀλλ' οὐ συνᾴδει τὰ ἑφεξῆς τὸ [a], *Φανήσεται ἐν Σιὼν ὡς ποταμὸς φερόμενος ἔνδοξος ἐν γῇ διψώσῃ*. Ὡς οὖν πληρώσας τὰ περὶ τῶν Ἱερεμίου χρόνων ὁ λόγος, ἐξ ἑτέρας ἀρχῆς τὰ περὶ τῆς θεοφανείας θεσπίζει Χριστοῦ. *Βασιλεὺς* γὰρ μόνος ἐν ἀνθρώποις πέφηνε *δίκαιος*· καὶ οἱ ἀπόστολοι τῆς Ἐκκλησίας κατὰ *κρίσιν* ἠγήσαντο τὴν αὐτοῦ. Καὶ ἦν ἀκόλουθον τῇ μετὰ τὴν ἐπάνοδον καταστάσει τοῦ ἔθνους τῶν ἀγαθῶν ἐπι- B συναφθῆναι τὰ μέγιστα διὰ Χριστοῦ τούτοις γενόμενα, καὶ τοῖς μετὰ χρόνον ὀλίγον τὰ μετὰ πλεῖστον ἐσόμενα. *Μακαρίους* δὲ λέγει τοὺς ἐπὶ Χριστοῦ τὴν Ἐκκλησίαν οἰκήσαντας, πρὸς οὓς φησιν ὁ Σωτήρ· « Ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον. Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσιν. » Οὗτοι δέ εἰσιν οἱ διὰ Πνεύματος οἰκειωθέντες αὐτῷ, καὶ Χριστὸν καρποφορήσαντες ἐν Σιὼν τῇ νοητῇ.

Habuimus porro Spiritus sancti beneficio domesticos, id est arcanarum rerum beatos interpretes. Est vero utraque ratione *justus* Christus, et quia justitia idem ipsa est, et quia carne indutus omni culpa et reprehensione caruit. *Et regnabit*, ait, *ad justitiam*, nova scilicet regnandi ratione; qui non ad hominum opinionem, vel gloriam, sed *ad justitiam* sit imperaturus. Sic se et ejus *principes* in obeundo munere gesserunt; qui illud non ad honorem et *dignitatem*, sed ad *justitiam* susceperunt. Itaque verterunt cæteri : *Et principes* in judicium *imperabunt*. Ubi rursus : *Et erit homo occultans sermones suos* legimus, ita Symmachus : *Et erit vir sicut absconsio a spiritu, et procella :* quibus *regem*, quantumvis natura Deus sit, et divinitatem occultet, hominem fore tamen significavit. Aquila autem : *Sicut qui abscondit spiritum, et absconsio impetus*, extulit : ita vero Septuaginta reddiderunt interpretes, quod omnia in parabolis idem loqueretur, qui apud Davidem in parabolis os suum aperturum se dixit [31]; quas tamen privatis interpretationibus discipulis ignotas esse noluit. *Et abscondetur*, ait, *quasi ab aqua, quæ fertur. Aqua enim est, quæ fertur*, et perit, Judaicus ipse populus. Et ex his eos etiam, qui adversum se coierant, cum nondum pati statuisset, nihil profuturas tentationes vocabat. Itaque cum saxis peteretur, id ipsum nihili faciens medios pertransibat illæsus [32]. Hinc illa Davidis : « Nihil

Εἰσήκαμεν δὲ οἰκείους κατὰ Πνεῦμα τοὺς ἁγίους μυσταγωγούς. Κατ' ἄμφω δὲ *δίκαιος* ὁ Χριστὸς, καὶ ὡς αὐτοδικαιοσύνη, καὶ ὡς κατὰ σάρκα γενόμενος ἄμωμος. *Καὶ βασιλεύσει*, φησὶν, *εἰς δικαιοσύνην*. C Καινὴν λέγων βασιλείαν οὐκ εἰς δόξαν ἀνθρώπων, ἢ τὴν ἐκ τούτων τιμὴν, ἀλλ' εἰς *δικαιοσύνην*. Οὕτω καὶ *οἱ ἄρχοντες* αὐτοῦ χρηματίζουσιν, οὐκ ἀνθρώπων λαβόντες ἀξίωμα *τὴν ἀρχὴν*, ἀλλ' εἰς *κρίσιν*. Ὅπερ ἐξέδωκαν οἱ λοιποί· *Καὶ ἄρχοντες εἰς κρῖμα ἄρξουσιν*. Ἀντὶ δὲ τοῦ· *Καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ*, ὁ Σύμμαχος, *Καὶ ἔσται*, φησὶν, *ἀνὴρ ὡς ἀποκρυφὴ ἀπὸ πνεύματος καὶ λαίλαπος*. Δηλῶν, ὡς *ὁ βασιλεὺς* ἀνὴρ ἔσται κατὰ φύσιν ὑπάρχων Θεὸς, κρύπτων αὐτοῦ τὴν θεότητα. Καὶ Ἀκύλας δέ φησιν, *Ὡς κρύπτων πνεῦμα. Καὶ ἀποκρυφὴ ἐντιναγματος*. Κατὰ δὲ τοὺς Ἑβδομήκοντα, ἐπειδὴ πάντα ἐλάλει ἐν παραβολαῖς, ὃς καὶ λέγει παρὰ Δαβίδ· « Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου. » Ἃς κατ' ἰδίαν τοῖς μαθηταῖς ἐξηγούμενος ἔλεγεν· « Ὑμῖν δέδοται γνῶναι. » *Καὶ κρυβήσεται*, φησὶν, *ὡς ἀφ' ὕδατος φερομένου*. P *Πλῆθος γὰρ φερόμενον* καὶ ἀπολλύμενον, τὸ πλῆθος τοῦ Ἰουδαίων λαοῦ. Καὶ τοὺς ἐξ αὐτῶν συνισταμένους αὐτῷ, καλεῖ q πειρασμοὺς οὐδὲν ὠφελοῦντας, ὅτε μὴ πάσχειν ἠβούλετο. Τοιγαροῦν λίθου; βαλλόντων, αὐτοὺς ἐπορεύετο διὰ μέσου αὐτῶν, καὶ παρῆγεν οὕτως. Τοῦτ' ἔστι φροντίζων οὐδέν. Διό φησιν ὁ Δαβίδ· « Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν. » Ὅθεν r ἐξ Ἰουδαίων

[30] Luc. x, 24. [31] Psal. LXXVII, 2. [32] Joan. VIII, 59.

VARIÆ LECTIONES.

[a] γρ. τῷ. P γρ. ὕδωρ. q *Isc.* ἐκάλει. r *Deest. Isc.* καὶ τοῖς.

Digitized by Google

ἀποκρύπτων τοὺς λόγους, τοῖς μαθηταῖς ἀπεκάλυπτεν. Ὁ δηλοῖ λέγων, *Καὶ φανήσεται ἐν Σιὼν, ὡς ποταμὸς φερόμενος ἔνδοξος ἐν γῇ διψώσῃ.* Τὴν *Σιὼν*, τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, *γῆν διψῶσαν* ἐκάλεσεν, ἤτις ἦν πάλαι ἔρημος καὶ διψῶσα, καὶ ταύτῃ [a] γέγονεν οὐ *ποταμὸς* ἁπλῶς, ἀλλ' *ἔνδοξος*. Ἐπὶ πολλοὶ *ποταμοὶ*, κατὰ τὴν Γραφὴν, ἐχρημάτισαν. Ὡς οἱ τοὺς διδασκομένους ποτίζοντες ἅγιοι, περὶ ὧν φησιν ἐν Ψαλμοῖς· « Ἐπῆραν οἱ ποταμοὶ, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν. » Ἐξάκουστοι μὲν γὰρ αἱ τῶν ἀποστόλων φωναί. Ἀλλ' οὐδεὶς οὕτως *ἔνδοξος*, ὡς ὁ χειμάρρους τῆς τρυφῆς, παρ' οὗ καὶ οἱ λοιποὶ τὰ θεῖα δέχονται νάματα.

A proficiet inimicus in eo, et filius iniquitatis non apponet nocere ei [33]. » Hinc item sermones suos Judæis occultans, discipulis **382** aperire soleba:. Quod judicare videtur cum *apparituram in Sion, sicut fluvium currentem, inclytum, in terra sitienti* dixit; *Sionis* nomine conflatam ex gentibus Ecclesiam innuens, quæ *terra sitiens* etiam appellata, deserta quondam et arida, jam non *fluvius* quilibet, sed *inclytus* evasit. Multos enim in Scriptura vocari *fluvios* reperias : quales fuerunt sancti, qui discentium siti levare conantes his Davidis verbis judicantur : « Elevaverunt flumina, Domine, elevaverunt flumina vocem suam [34]. » Claræ siquidem fuerunt et ad audiendum faciles apostolorum voces : sed nullus adeo fuit *inclytus*, atque ipse deliciarum torrens, ex quo cæteri etiam divinos latices hauriunt.

Καὶ οὐκ ἔτι ἔσονται πεποιθότες ἐν ἀνθρώποις. B Ἀνθ' οὗ, φησὶ Σύμμαχος· *Οὐκ ἀμαυρωθήσονται οἱ ὀφθαλμοὶ αὐτῶν*· διορατικοὺς δηλῶν τοὺς ἐν Ἐκκλησίᾳ νοοῦντας καλῶς τὸν ἐμφανῆ γενόμενον αὐτοῖς ποταμὸν, περὶ οὗ φησιν· « Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπλήρωθη ὑδάτων. » Καί· « Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. » Ἔλεγέν τε· « Ὃς ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, » καὶ τὰ μετὰ ταῦτα. Κατὰ δὲ τοὺς Ἑβδομήκοντα νοητέον, ὡς καὶ ἐθνικοὶ καὶ Ἰουδαῖοι πρότερον *ἐπ' ἀνθρώποις ἐπεποίθεσαν*· οἱ μὲν, τοὺς περὶ θεῶν καὶ δαιμόνων διδάσκοντας· οἱ δὲ, τοὺς ἐντάλματα παραδιδόντας ἀνθρώπων. Ὤοντο γὰρ μηδὲν τῶν περὶ τοῦ Θείου σοφοὺς ὄντας λανθάνειν αὐτούς. Ἀλλὰ τούτων ἀποστάντες *Προσέξουσι τὰ ὦτα τῶν τοῦ Σωτῆρος ἀκροᾶσθαι ῥημάτων.* Καὶ ἡ πρὶν ἀσθενοῦσα καρδία συνετισθήσεται. Σύμμαχος γὰρ ἐξέδωκε· *Καὶ ἡ καρδία τῶν ἀκουόντων προσέξει τοῦ ἀκούειν.* Ἀντὶ δὲ τοῦ *λαλεῖν εἰρήνην, λαλεῖν τραυλά.* Ψελλίζουσας δὲ γλώσσας φησὶ, τὰς τῶν περὶ Θεοῦ νοούντων ἢ λαλούντων οὐδὲν, οἵτινες ὕστερον ἔμαθον *εἰρήνην λαλεῖν*, τοῦτ' ἔστι Χριστόν. « Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, » ἐξ οὗ *τραυλὰ λαλοῦσιν* ἐθνικοὶ μὲν, ἐγνωκότες Θεόν· Ἰουδαῖοι δὲ, παυσάμενοι τῆς τοῦ νόμου σκιᾶς, καὶ τῶν περιττῶν ἐνταλμάτων. *Καὶ οὐκ ἔτι μὴ εἴπωσι τῷ μωρῷ ἄρχειν*· ὅπερ ἐποίουν πρότερον *μωροῖς* διδασκάλοις ἑαυτοὺς ἐπιτρέποντες, τοῖς σοφοῖς τοῦ αἰῶνος τούτου, ὧν *ἐμώρανεν* ὁ Θεὸς τὴν σοφίαν. Τοιοῦτοι δὲ ἦσαν καὶ οἱ τῶν Ἰουδαίων καθηγηταὶ, τὸν διὰ Μωσέως ἐν νόμῳ D σκιαγραφούμενον οὐκ ἐπεγνωκότες, καὶ περὶ τοὺς προφητικοὺς ἀνοηταίνοντες λόγους· οἱ δὲ τούτων *ὑπηρέται* τοὺς ἀντιλέγοντας ἀνέστελλον, λεπτότερα συζητεῖν περὶ τῆς ἀληθείας οὐκ ἐπιτρέποντες, ἀναντιῤῥήτους εἶναι μηχανώμενοι τὰς ἐκείνων φωνάς· ὡς καὶ τοῖς Πυθαγόρου μαθηταῖς ἔθος ἦν τὸ, « Αὐτὸς ἔφα, » λέγειν. Καὶ ψυχὰς ἐρώσας ἀληθείας οὐ συνεχώρουν μαθεῖν. Εἰ γάρ τις μέτριος καὶ *ταπεινὸς*

Sequitur : *Et non erunt amplius confidentes in hominibus;* pro quibus Symmachus : *Non obscurabuntur oculi eorum*, ut perspicaces illos judicaret, qui in Ecclesia de manifesto eis fluvio recte sentirent; de quo ait : « Flumen Dei repletum est aquis [35]. » Et : « Fluminis impetus lætificat civitatem Dei [36]. » Denique : « Qui biberit aquam, quam ego dabo ei [37], » et quæ sequuntur. Quod si ad interpretes Septuaginta respicis, et gentes, et Judæos prius *in hominibus confidisse* reperias; illas quidem, quia deorum et dæmonum cultum amplexi sunt, istos autem, quia mandata hominum secuti sunt : cum se, qui sapientiam profiterentur, nihil quod Dei esset, latere posse arbitrarentur. Verum his relictis *aures suas dabunt ad audiendum verba Salvatoris.* Et quod prius infirmum cor fuerat, intelligentia roborabitur. Ita enim Symmachus : *Et cor audientium attendet ad audiendum;* et pro *loqui pacem loqui diserta* interpretatur. Deinde *balbutire eorum linguas* dicit, qui cum nihil de Deo vel cogitare, vel dicere valerent, *pacem* tamen postea, id est Christum *loqui* didicerunt : « Ipse enim est pax nostra [38]; » per quem et gentes ipsæ, ex quo Dei cognitionem adeptæ **383** sunt; et Judæi etiam, ex quo legis umbram et superflua mandata reliquerunt, *diserta* et aperta *loquuntur. Et non amplius dicent stulto, ut princeps sit;* quod prius facere erant soliti, cum *stultis* se magistris, et sæculi hujus sapientibus crederent : quorum Deus sapientiam in *stultitiam* convertit [39]. Tales exstiterunt et ipsi Judæorum doctores; qui eo ignorato, quod in lege Mosis adumbrabatur, etiam in propheticis verbis stultitiam suam prodierunt. Quorum *ministri* contradicentes reprimere, et si quod exactius de veritate quæreretur, a se poscentes depellere soliti erant; ut his artibus, quæ ipsi pronuntiassent, a nemine in dubium vocarentur; non aliter quam Pythagoræ discipulos, ipse dixit,

[33] Psal. LXXXVIII, 23. [34] Psal. XCII, 3. [35] Psal. LXIV, 10. [36] Psal. XLV, 5. [37] Joan. IV, 13. [38] Ephes. II, 14. [39] I Cor. I, 20.

VARIÆ LECTIONES.

[a] γρ. ταυῦν.

Digitized by Google

usurpasse legimus. Sic igitur veritatis amantes animas eamdem discere non permittebant. Si quis enim modestus et *humilis* rectum quid de veritate protulisset, idipsum statim detorqueri improbe et dissipari curabant.

ὀρθὸν περὶ ἀληθείας προίφερεν τὸν λόγον, τοῦτον διασκεδαννύντες ἠφάνιζον.

Fortasis autem et ipso *humilium* nomine beatos arcanarum rerum interpretes significasse videatur; quorum *sermones oppugnabant* cum *eorum in judicio verba dissipare* conarentur, quos pios nominat, et *sapienter consuluisse*, eorumque *consilium*, illo, quod impiorum est, dissipato, permansurum adjicit. Quod si libet ad Symmachi mentem respicere; absoluta in stultos principes narratione, ita colligit : *Princeps vero ea, quæ principis sunt, cogitabit, et dux erigetur. Duces* enim nobis apostolos *rex justus* largitus est, qui in Psalmis ita loquitur : « Tu vero homo unanimis, dux meus, et notus meus [40]. » Nulla autem hic omnino vel Israelis, vel Jacobi, vel Judæ mentio facta reperitur, quod de Christo et Ecclesiæ præfectis sermo instituitur, in qua vetus illud et florens beatorum hominum germen fructus adeo uberes edidit, ut orbem universum sua benedictione repleverit. Atque hinc est, quod beatos illos pronuntiavit, qui in Sione semen haberent, prophetas nimirum, dicentes : **384** « Nisi Dominus Sabaoth reliquisset nobis semen, tanquam Sodoma, et Gomorrha facti essemus [41]; » qui semen et domesticos ex Ecclesiæ sectatoribus possederunt. Aiunt autem nonnulli, urbem, et ejus incolas beatos appellare, quorum curam gerens Dominus invisibili plaga Assyrium acceperit; urbisque *regem justum*, secundum historiam quidem, Ezechiam esse; proprie autem Salvatorem significari. Veram enim beatitudinem eorum tantum esse qui supernæ Sionis cives effecti, Christi regis titulo inscribuntur, ad quem summam illam justitiam referimus, nullum inter mortales, qui labi non queat experti : non aliter quam de hominibus loquentes, eisdem vitiositatis quidem partem aliquam, uni autem diabolo vitium integrum et summum ascribimus. Sequitur : *Et erit homo occultans sermones suos*, cæteraque deinceps. Qui enim in seipsos *sermones Dei* in justitia meditatur, ab imminente ira protegitur. Hinc illa Davidis : « Lex tua in medio ventris mei [42]. » Et alia Salvatoris : « Flumina de ventre ejus fluent aquæ viventis [43]. » Deinde : *Et non amplius erunt confidentes in hominibus*, adjicit. Est enim consentaneum, eos, qui in Deum sperassent, ex quo Ægyptios bello per Assyrium impeti animadvertissent, eorum auxilium contempsisse. Nam qui nullum antea de vero cultu *sermonem* proferre poterant, eosdem jam diserta *lingua pacis* arbitrum et moderatorem profitentes videas, qui sibi *Ægyptium* (quem *stultum* nunc propheta, propter impietatem nominat) *imperare* noluissent : cujusmodi etiam ducum confusionem ferre non

Λέγοι δ' ἂν *ταπεινοὺς* καὶ τοὺς ἁγίους μυσταγωγοὺς, ὧν *ἐν λόγοις κατεστρατεύοντο*, τοὺς ἐν *κρίσει λόγους αὐτῶν ἀχαρίσαι* σπουδάσαντες. Περὶ ὧν ἐπήγαγεν, *οἱ δὲ εὐσεβεῖς συνετὰ ἐβουλεύσαντο*· ὧν καὶ *ἡ βουλὴ* μένει πάσης ἀσεβοῦς κατηργημένης *βουλῆς*. Κατὰ δὲ τὸν Σύμμαχον· μετὰ τὴν κατὰ τῶν μωρῶν ἀρχόντων διήγησιν, ἐπιλέγεται· *Ἄρχων δὲ ἀρχοντικὰ βουλεύσεται, καὶ ἡγεμὼν ἀναστήσεται.* Ὁ γὰρ *δίκαιος βασιλεὺς ἡγεμόνας* ἡμῖν τοὺς ἀποστόλους δεδώρηται. Ὅς καί φησιν ἐν Ψαλμοῖς· « Σὺ δὲ, ἄνθρωπε, ἰσόψυχε ἡγεμών μου, καὶ γνωστέ μου. » Ἐν ἅπασι δὲ τούτοις οὐδαμοῦ Ἰσραὴλ, ἢ Ἰακὼβ, ἢ Ἰούδας ὠνόμασται, ἅτε περὶ Χριστοῦ τοῦ λόγου τυγχάνοντός, καὶ τῶν ἐν Ἐκκλησίᾳ ἐξάρχων, ἐν ᾗ τὸ σπέρμα τῶν πάλαι μακαρίων ἀνδρῶν ἐξανθῆσαν ἐκαρποφόρησε, πᾶσάν τε τὴν οἰκουμένην τῆς ἰδίας εὐλογίας ἐπλήρωσε. Διὸ τοὺς ἔχοντας ἐν Σιὼν σπέρμα μακαρίους ὠνόμαζε, τοὺς προφήτας δηλονότι τοὺς λέγοντας· « Εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμορρα ἂν ὡμοιώθημεν, » οἱ σπέρμα καὶ οἰκείους τοὺς ἐκ τῆς Ἐκκλησίας ἐκτήσαντο. Τινὲς δέ φασιν ὡς μακαρίζει τὴν πόλιν, καὶ τοὺς ταύτης οἰκήτορας, ὧν Θεὸς κηδόμενος, ἀοράτῳ πληγῇ μετήρχετο τὸν Ἀσσύριον. Ἧς *δίκαιον βασιλέα* καθ' ἱστορίαν μὲν τὸν Ἐζεκίαν φησὶ· κυρίως δὲ δηλοῖ τὸν Σωτῆρα. Τὸ γὰρ ἀληθῶς μακάριον, τῶν οἰκούντων τὴν ἄνω Σιὼν, καὶ βασιλέα Χριστὸν ἐπιγραφομένων, εἰς ὃν τὴν ἄκραν δικαιοσύνην ἀνάγομεν, μὴ εὑρίσκοντες ἐν ἀνθρώποις τὸ ἄπτωτον· ὥσπερ οὖν ἐπ' ἀνθρώπων τὸ μὲν μερικὸν τῆς κακίας ὁριζόμεθα, αὐτὴν δὲ πᾶσαν τὴν κακίαν τῷ διαβόλῳ προσνέμομεν. *Καὶ ἔσται ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ*, καὶ τὰ ἑξῆς. Ὁ γὰρ ἐν ἑαυτῷ *τοὺς λόγους τοῦ Θεοῦ* μελετῶν ἐν δικαιοσύνῃ, ἀπ' ὀργῆς ἐπαγομένης σκεπάζεται. Διό φησιν ὁ Δαβίδ· « Ὁ νόμος σου ἐν μέσῳ τῆς κοιλίας μου. » Τοῦ δὲ τοιούτου, φησὶν ὁ Σωτὴρ, « Ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. » Καὶ *οὐκέτι ἔσονται πεποιθότες ἐπ' ἀνθρώποις*, φησίν. Ἐπιόντος γὰρ τοῦ Ἀσσυρίου πρὸς πόλεμον, ἀκόλουθον ἦν τοὺς ἠλπικότας ἐπὶ Θεὸν, τῆς τῶν Αἰγυπτίων βοηθείας ὑπεριδεῖν· τότε γὰρ ἂν ὑπῆρξεν ἰδεῖν τοὺς μὴ διαρθροῦντας τῆς θεοσεβείας *τὸν λόγον*, τρανῇ τῇ *γλώττῃ* τὸν τῆς *εἰρήνης* ὁμολογοῦντας βραβευτὴν, μὴ προϊσταμένους *ἄρχειν* αὐτῶν *τὸν Αἰγύπτιον*· ὃν *μωρὸν* ὁ λόγος, ὡς ἀσεβῆ, καθεστηκότα καλεῖ. Καὶ οὐκ ἂν ἠνέσχοντο τῆς τῶν τοιούτων ἀρχόντων συγχύσεως. Ἀκόλουθον γὰρ ἦν τὸν μωραίνοντα τὰ πρὸς Θεὸν, ἀνομίαν ποιεῖν, καὶ πλανᾶσθαι. Εἰς ὃν οἱ ἐλπίζοντες ἐξ ἀπάτης ἀλλήλων τὰς ἐλπίδας ἐκένουν δι' αὐτοῦ τὸν κίνδυνον ἀποφεύγειν οἰόμενοι, τῶν εὐσεβῶν τὴν

[40] Psal. LIV, 14. [41] Isa. I, 9. [42] Psal. XXI, 15. [43] Joan. VII, 38.

Digitized by Google

ἐναντίαν τούτοις ἐχόντων *βουλὴν* ψυχωφελῆ παρ' ἃ ὅλην αὐτῶν ὑπάρχουσαν τὴν ζωήν.

potuissent. Eum enim, qui in his, quæ Dei sunt desideret, iniqua agere et hallucinari par fuerat. Nec poterant qui in eo spem suam collocarant fraude mutua non decidi, et spe sua excidere, qui tali auxilio se periculum effugere posse crederent : contra quam piis solet accidere, quibus suum est animæ toto vitæ suæ tempore *consilium* profuturum.

θ'-κ'. *Γυναῖκες πλούσιαι, ἀνάστητε καὶ ἀκούσατε τῆς φωνῆς μου. Θυγατέρες, ἐν ἐλπίδι ἀκούσατε λόγους μου. Ἡμέρας ἐνιαυτοῦ μνείαν ποιήσασθε ἐν ὀδύνῃ μετ' ἐλπίδος. Ἀνήλωται ὁ τρυγητός. Πέπαυται ὁ σπόρος, καὶ οὐκέτι μὴ ἔλθῃ*, κ. τ. λ.

385 VERS. 9-20. *Mulieres opulentæ, surgite, et audite vocem meam. Filiæ, in spe audite sermones meos. Diei anni memoriam facite in dolore cum spe. Consumpta est vindemia. Cessavit semen, ut non amplius veniat*, etc.

Περὶ τῆς θεοφανείας, καὶ τῶν ἀποστόλων τῆς τε κλήσεως εἰπὼν τῶν ἐθνῶν, νῦν τῷ ἐκ περιτομῆς προσφωνεῖ λαῷ παρακελευόμενος θρηνεῖν, ὡς ἐκπεπτωκότι τῆς χάριτος ἐξ ἀπιστίας. Οὓς διὰ τὸ τῆς ψυχῆς ἔκλυτον, *γυναῖκας* καλεῖ. Ἤγουν τὰς αὐτῶν συναγωγὰς οὕτω δηλοῦσθαί φασιν. Οἱ δὲ λοιποὶ τῶν ἑρμηνευτῶν, *γυναῖκες εὐθηνοῦσαι*, φασὶν, ἀντὶ τοῦ *πλούσιαι*. Πάλαι γὰρ *ἐπλούτουν εὐθηνοῦσαι κατὰ Θεόν*. Ἐτρύφων δὲ ἴσως καὶ *πλούτῳ* σωματικῷ. Τινὲς δέ φασιν, ὡς ἔθος τῇ Γραφῇ *γυναῖκας* καλεῖν πόλεις, ἢ κώμας. Καὶ μητροπόλεως οὔσης μιᾶς, *θυγατέρας* αὐτῆς προσαγορεύειν τὰς ἄλλας. Οὕτω ὁ Θεῖος Δαβίδ· Ἤκουσε, φησὶ, καὶ ηὐφράνθη Σιών. Καὶ ἠγαλλιάσαντο αἱ θυγατέρες τῆς Ἰουδαίας. Τοῦ δὲ Σωτῆρος τὸ πρόσωπον ταῖς πόλεσιν Ἰουδαίας τὰ νῦν συμβουλεύον φησιν, *Ἀκούσατε τῆς φωνῆς μου*, πρὸς τὸ εὐαγγελικὸν αὐτὰς ἀνακαλούμενον κήρυγμα. Καὶ, ὡς ἔτι πολυάνδρους *πλουσίας* καλεῖ, γενησομένας ἐρήμους, εἰ μὴ πείθοιντο λέγοντι. Τὸ δὲ *ἐπ' ἐλπίδι*, φασὶν οἱ λοιποὶ, πεποιθυῖαι. *Γυναῖκας* δὲ λέγει τὰς ἐπὶ τῶν παλαιῶν χρόνων παρ' Ἰουδαίοις συνόδους, αἷς διαναστῆναι *καὶ ἀκοῦσαι* παρακελεύεται. *Θυγατέρας* δὲ, τὰς μετὰ ταῦτα συστάσας τῶν αὐτῶν Συναγωγὰς, *ἃς ἐνωτίσασθαι* βούλεται. Ἀμφοτέρας δὲ κινεῖ πρὸς σύντονον ἀκοὴν τῶν λόγων ἀκούειν [t] ἐπ' ἐλπίδι λαμπρᾷ. *Ἐνιαυτοῦ* δὲ μεμνῆσθαι παρακαλεῖ, καθ' ὃν ὁ Σωτὴρ ἐν ἀνθρώποις τὸ σωτήριον ἐποιήσατο κήρυγμα, παρὰ τῷ προφήτῃ λέγων· « Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέν με. » Καὶ προϊὼν φησι καλέσαι ἐνιαυτὸν Κυρίου δεκτόν. Τούτου βούλεται μεμνῆσθαι τὰς προειρημένας μετ' ὀδύνης κατανυττομένας ἐφ' ὃν [*] τετολμήκασιν, ἔχειν καὶ τὴν ἐπηγγελμένην τοῖς ἐφ' οἷς ἔπραξαν μετανοοῦσιν ἐλπίδα. Ὅτε μὲν οὖν ὑπῆρχεν *ἀμπελὼν Κυρίου ὁ οἶκος τοῦ Ἰσραὴλ*, πολὺς ἦν παρ' αὐτοῖς τρυγητὸς, παντὸς τοῦ ἔθνους τῷ τοῦ Θεοῦ καρποφοροῦντος ναῷ. Νῦν δέ φησιν, *Ἀνήλωται*, οὐχ ὡς [u] ἀναληφθῆναι πάλιν, ὅπερ γέγονε μετὰ τὴν ἐξ Ἀσσυρίων ἐπάνοδον. Νῦν γὰρ οὐκ ἔτι φησὶν, ἀλλὰ καθάπαξ ἐκτέτμηται.

386 Postquam de Dei apparitione, deque apostolorum et gentium vocatione disseruit, ad circumcisum populum orationem convertit, eumque, quod propter incredulitatem ceciderit, ad luctum hortatur, et propter animi mollitiem *mulieres* vocat, ut hoc nomine synagogas eorum notari demonstret. Reliqui autem interpretes, *mulieres bene habentes*, pro *opulentis* dixerunt. Olim enim cum *bene cum Deo haberent, divitiis abundabant* : fortassis etiam et corporeis *voluptatibus* indulgebant. Aiunt vero nonnulli Scripturæ usitatum esse, ut urbes et pagos *mulieres* appellet, et cum multarum princeps, tanquam mater, una est, *filiarum* nomine cæteras designet. Sic et beatus David : « Audivit, inquit, et lætata est Sion, et exsultaverunt filiæ Judæ[44]. » Assumpta ergo Salvatoris persona nunc Judææ urbibus *vocem suam audire*, quæ ad evangelicam prædicationem hortatur, consulit; ideoque *opulentas* vocat, quod adhuc incolarum frequentia abundent; sed desertæ tandem, si non paruerint, futuræ sint. At quod in *spe* habemus, reliqui credentes expresserunt. Significantur item et *mulierum* nomine prisci illi Judæorum conventus, a quibus jam recedere, et se *audire* hortatur; *filiarum* autem, quæ ab ipsis postea constitutæ sint synagogæ; quas *aures* etiam cupit *arrigere*. Ambo ergo præclara spe ad verba sua attendere, et *anni illius* meminisse hortatur, quo salutarem inter mortales prædicationem complevit Dominus, dum his prophetæ verbis usus est : « Spiritus Domini **387** super me ; propter quod unxit me[45]. » Deinde paulum progressus, vocare annum Domini acceptabilem, adjecit[46]. Hujus igitur prædictas meminisse, et eorum quæ patrarunt, dolore cruciari; eam denique, quæ anteactæ vitæ pœnitentes manet, spem conservare postulat. Cum ergo Domini *vinea ipsa domus esset Israel*, multa erat apud ipsos *vindemia*, quo tempore scilicet in Dei templo fructus suos edebat populus universus. Sed ita *consumpta est*, inquit, ut deinceps (sicut post Assyriacam reversionem contigit), recuperari non valeat. Non enim stat illa amplius, inquit, sed jacet excisa penitus.

Δείκνυσι δὲ, φασί τινες, ὡς ἀπειθοῦντι τῷ Ἰσραὴλ οὐκ ἀζήμιον τὸ χρῆμα γενήσεται. Ἤμελλον γὰρ

Significat autem, aiunt nonnulli, incredulo Israeli rem non impune cessuram. Erat enim futurum,

[44] Psal. xcvi, 8. [45] Isa. lxi, 1 ; Luc. iv, 18. [46] Isa. lxi, 2 ; Luc. iv, 19.

VARIÆ LECTIONES.

[t] *Forte* τὸ ἀκούειν. [*] γρ. ἐφ' ὧν. [u] γρ. ὡς οὐκ.

Digitized by Google

statim post ipsos, aut etiam ab ipsis secuti sunt : reliquos deinceps pro malitiæ ratione venenatorum nomine et *voluntium* notans, propter eam, quæ valet ad absurdissima quæque, proclivitatem, et celeritatem. Et ipse deinde Salvatoris Præcursor viperarum progeniem **368** eosdem dixit [10]; quos alibi Scriptura equos emissarios evasisse conqueritur [11]. Malis enim assidue vexati, cum ad Deum bonorum fontem confugere decuisset, *in Ægyptum divitias suas transtulerunt*, cujus alioquin vel nomen odisse et adversari oportuit, veterem servitutem in animum revocantes, quantisque illam plagis olim Dominus Israelitarum nomine ultus sit. Inde est, quod dicit : *Sedens scribe in buxo hæc.* Tanquam enim certis temporibus hæc eventura non dubitet, *scribi* imperat; ut ex convenienti eorum exitu non falso prædicta esse appareat quasi quæ a prophetis dicuntur, palam in dies, vel ad usque sæculi hujus consummationem, fieri debere moneat. Vel certe, aiunt, quia non eos adeo viva vox, qua reprehenduntur, ac quæ litteris consignatur, urget oratio, ista *conscribi* imperavit. Fortasse vero et id fecisse videatur, ut eorum, de quibus Scriptura loquitur, sterilitatem, et inopiam *buxo* notaret.

Itaque tanquam scripta testimonia per singulas domos, ne in posterum ignorationem excusent, viritim jubet omnibus in hunc modum recitare : *Vano ipsi auxilio confidistis*, et ad lacus neque propriam, neque alienam aquam conservare valentes, me relicto, qui vobis abunde semper omnia suppeditavi, profecti estis ; neque monentibus illo tempore prophetis, ut, Deo saltem prædicente, vestri curam haberetis, quidquam credidistis. Merito autem *mendaces* appellat, qui Mosi legem roganti, omnia, quæ jussisset Dominus Deus rata habere se, et observaturos esse professi ; lege tamen Deum adorare, eique soli servire et ab idolorum confectione abstinere imperante, Deo relicto ad idola sese receperunt. Atque hinc est, quod *mendaces filios* appellat. Canit vero et David : « Hostes Domini mentiti sunt ei [12]. » Deinde, tanquam assumpta Christi persona : « Filii alieni mentiti sunt ei [13]: » quæ certe legi repugnantes constat admisisse. Nam ut alia incredulitatis exempla minime attingam ; et Jeremiæ etiam maxime adversati sunt, eum enim graviter ideo quod Ægyptiacam profectionem dissuaderet, **369** accusarunt. Itaque infert, *dicentes prophetis : Nolite nobis annuntiare*, et quæ sequuntur. Quæ hunc in modum Symmachus : *Et videntibus : Nolite videre nobis quæ recta sunt. Loquimini nobis lenia. Videte nobis errores. Absistite a via, declinate a me semitam. Cessare facite a facie nostra sanctum Israel.* Pro quibus, tanquam *expugnata jam civitate*, et *murus* ipse, ait, id est peccatum, quam citissime vobis exscindetur; imo et *urbs* ipsa ita *conteretur*, ut *vas* solet *testaceum*, quando in minutas adeo particulas *confringitur*, ut nulla jam, quæ ad *prunarum*, vel *aquæ modicæ*

A πους, κατὰ λόγον τῆς πονηρίας, *ἰοβόλα ζῶα καλῶν*, καὶ *πετόμενα*, διὰ τὴν ἐφοτιοῦν τῶν ἀτοπωτάτων ὀξύτητα. Καὶ ὁ τοῦ Σωτῆρος δὲ Πρόδρομος ὄφεις αὐτοὺς ἐκάλει καὶ γεννήματα ἐχιδνῶν. Καὶ ἵπποι δὲ θηλυμανεῖς ἐγενήθησάν, φησὶν ἡ Γραφή. Τοῖς γὰρ κακοῖς συνεχόμενοι, δέον ἐπὶ Θεὸν τὴν τῶν ἀγαθῶν καταφεύγειν πηγὴν, *εἰς Αἴγυπτον τὸν πλοῦτον μετέφερον*, ἧς καὶ τὴν προσηγορίαν ἐχρῆν ἀποστρέφεσθαι, λογιζομένους τὴν πάλαι δουλείαν, καὶ ὅσαις αὐτὴν ὁ Θεὸς ὑπὲρ αὐτῶν μετῆλθε πληγαῖς. Διό φησιν, *Καθίσας γράψον ἐπὶ πυξίου ταῦτα.* Ὡς ἐσομένων κατὰ καιροὺς τῶν πραγμάτων, *γραφῆναι* ταῦτα ποιεῖ, πρὸς τὸ δειχθῆναι συμβαίνουσαν λαχόντα τὴν ἔκβασιν· τὰ δὲ τῶν προφητῶν ἔσται γνώριμα καὶ μέχρι συντελείας τοῦ παρόντος αἰῶνος.

B Ἤγουν, φασὶν, Ἐπειδὴ μὴ τοσοῦτον ὁ λόγος καθικνεῖται τῶν νουθετουμένων, ὡς ἔγγραφος φωνὴ, τούτου χάριν *γράψαι* προσέταξεν. Τάχα δὲ, καὶ τὸ ἄκαρπον τῶν περὶ ὧν ἡ Γραφὴ, τὸ *πυξίον* δηλοῖ.

Σχεδὸν οὖν ἔγγραφον μαρτυρίαν πρόθες κατ' οἶκον καὶ κατ' ἄνδρα· πᾶσιν ἀνάγνωθι, μήπως ὡς μὴ μαθόντες ὕστερον προφασίσειντο· ἡ δὲ μαρτυρία, ὅτι *ψευδεῖ βοηθείᾳ πεποίθασι*, καὶ λάκκοις τοῖς οὐ δυναμένοις ὕδωρ συνέχειν, οὔτε ἴδιον, οὔτε φερόμενον ἔξωθεν, τὸν ταγαθὰ πλουσίως αὐτοῖς χορηγοῦντα καταλιπόντες ἐμέ. Ἀπειθεῖς δὲ ὄντες, καὶ τοῖς λέγουσι τότε προφήταις ἐντραπήσονται ταῦτα

C περὶ αὐτῶν προειρηκότος ἐμοῦ. *Ψευδεῖς* δὲ αὐτοὺς εἰκότως ἐκάλει, ὅτι τοῦ Μωσέως αὐτοῖς τὴν νομοθεσίαν ἐκφήναντος ἔλεγον· « Πάντα ὅσα εἶπεν Κύριος ὁ Θεὸς, ποιήσομεν καὶ ἀκουσόμεθα. » Καὶ τοῦ νόμου διαγορεύοντος, « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. Καὶ οὐ ποιήσεις σεαυτῷ εἴδωλον· » τὸν Θεὸν ἀφέντες πρὸς εἴδωλα κατεσύροντο. Δι' ὅπερ υἱοὺς αὐτοὺς ὀνομάζει *ψευδεῖς*. Ψάλλει δὲ καὶ Δαβίδ· « Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτόν. » Καὶ ὡς ἀπὸ Χριστοῦ δέ φησιν· « Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι. » Ἅπερ ἐποίουν ἀπειθοῦντες τῷ νόμῳ· ἀντέλεγον γὰρ Ἱερεμίᾳ πρὸς ταῖς λοιπαῖς ἀπειθείαις ψεύδους αὐτὸν αἰτιώμενοι μὴ συγχωροῦντα κατελθεῖν εἰς τὴν Αἴγυπτον. Διόπερ ἐπιφέρει, *Λέγοντες τοῖς προφήταις, Μὴ ἀναγγέλλετε ἡμῖν*,

D καὶ τὰ ἑξῆς. Ἀνθ' ὧν ἐξέδωκε Σύμμαχος· *Καὶ τοῖς ὁρῶσι, μὴ ὁρᾶτε ἡμῖν ὀρθῶς. Λαλήσατε ἡμῖν λεῖα. Ὁρᾶτε ἡμῖν πλάνας. Ἀπόστητε ἀπὸ τῆς ὁδοῦ. Ἐκκλίνατε ἀπ' ἐμοῦ τρίβον. Παύσατε ἐκ προσώπου ἡμῶν τὸν ἅγιον τοῦ Ἰσραήλ.* Ἀνθ' ὧν, φησὶν, ὡς *ἁλούσης πόλεως*, τεῖχος ὑμῖν ἡ ἁμαρτία ἐπιπεσεῖται, καὶ τοῦτο ταχέως. *Πόλεως* δὲ τῆς οὕτω *συντετριμμένης*, ὦ; *ὀστράκινον ἄγγος* εἰς λεπτὰ *συντριβόμενον*, ὡς ἄχρηστον εἶναι πρὸς *ἁρθράκων* κομιδὴν, ἢ *σμικροῦ* τινος *ὕδατος*, ὃ δηλοῖ φεύξεισθαι [f] τούτων τὴν δίκην μηδενί [g]. Ἡ

[10] Matth. III, 7. [11] Jerem. V, 8. [12] Psal. LXXX, 16. [13] Psal. XVII, 46.

VARIÆ LECTIONES.

[f] γρ. φεύξεσθαι. [g] μηδένα.

Digitized by Google

τάχα δηλοῖ, ὡς Ἡ ἐλπισθεῖσα παρ' ὑμῶν τῶν Αἰγυπτίων βοήθεια, *καθάπερ τεῖχος πεπτωκὸς συντριβήσεται.*

Χριστὸς δὲ ὢν ὁ Θεὸς, καὶ τῶν ἀπειλῶν τὰς αἰτίας ἐκτίθεται, καὶ ὅπως ἔσται ταύτας διαφυγεῖν παραινεῖ, ὡς μὴ θέλων τὸν θάνατον τοῦ ἀποθνήσκοντος, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς, καὶ ζῆν αὐτὸν, ὡς ἐν Ἰεζεκιὴλ αὐτός πού φησι, καὶ νῦν οὖν εἶπεν· *Ὅτ' ἂν ἐπιστραφεὶς στενάξῃς, τότε σωθήσῃ.* Ὁ δὲ Σύμμαχος, *ἐν μετανοίᾳ*, φησὶ, *καὶ ἀναπαύσει σωθήσεσθε, καὶ Ἐν ἐλπίδι ἔσται ἡ δύναμις ὑμῶν.* Ἐὰν γὰρ κάθησθε, φησὶν, ἐν τῷ τόπῳ τῆς Ἱερουσαλὴμ μετανοήσαντες καὶ παυσάμενοι, τῆς ἐπὶ τὴν Αἴγυπτον ὁρμῆς, τότε *σωθήσεσθε ἐν ἡρεμίᾳ γενόμενοι καὶ ἀναπαύσει.* Ἀλλὰ καὶ *ἡ δύναμις ὑμῶν ἐν ἐλπίδι ἔσται.* Ἐλπίσαντες γὰρ ἐπὶ τὸν Θεὸν, δυνήσεσθε σωθῆναι. Λέγεται δὲ Κύριος ἐν τούτοις *ἅγιος τοῦ Ἰσραὴλ*, οὐ μόνον ὡς αὐτὸ [h] τυγχάνων ἁγιωσύνη, ἀλλ' ὡς καὶ ἁγιάζων τὸν Ἰσραήλ. Ἄνω μὲν γὰρ ἅγιον ἔθνος ἐλέγετο καὶ ἱεράτευμα. Ἀποβαλόντας δὲ τὸν ἁγιασμὸν αὖθις αὐτοὺς ἁγιάσει, ἐὰν μετανοήσωσιν ἐφ' οἷς ἥμαρτον. Οὐκ ἀρκεῖ δὲ μόνον πρὸς τοῦτο στεναγμὸς, ἀλλὰ καὶ τρόπων *ἐπιστροφὴ*, ὅτε τις ἑαυτοῦ λαμβάνει συναίσθησιν, ἔνθα ἦν ἀπάτης καὶ κακῶν ἐγνωκώς. Οἷα καὶ τῆς [i] νοσούμεθα νόσου ἡ γνῶσις; ἀναθεωροῦντος ἐπ' ἀδείας τοῦ λογισμοῦ, καὶ σὺ δὲ *γνώσῃ* καταφυγὼν πρὸς τοὺς σώζειν ἑαυτοὺς οὐκ ἰσχύοντας. Θαῤῥοῦσι δὲ *τῇ φυγῇ*, καὶ μὴ βουλομένοις *ἀκούειν* φησί· *Φεύξεσθε* μὲν, οὐ μὴν *διαφυγεῖν* ἕξετε τῶν Βαβυλωνίων τὴν χεῖρα. Εἰς τοσοῦτον δὲ αὐτοὺς *φεύξεσθε*, *ἕως ἂν καταλειφθῶσιν ὡς ἱστὸς ἐπ' ὄρους, καὶ ὡς σημαία ἐπὶ βουνοῦ.* Ἢ κατὰ τὸν Σύμμαχον, *ὡς ἱστὸς ἐπάνω ὄρους, καὶ ὡς ἱστία ἐπὶ βουνοῦ.* Ὥσπερ γὰρ νηὸς διαπεσούσης ἐκ ναυαγίας *σημεῖον ἐπ' ὄρους ἱστὸς*, ὡς ἄχρηστος κείμενος, μετὰ καὶ τῶν ἱστίων· οὕτως αὐτῶν ἐπίσημον γενήσεσθαί φησι τὴν ἀπώλειαν.

Τινὲς δέ φασιν, ἐφ' ὑψηλῶν χωρίων τίθεσθαι τοῖς στρατιώταις παρὰ τῶν στρατηγούντων σημεῖα, τῶν πρακτέων δηλωτικά. Ἢ, καθά φασιν ἕτεροι, οὕτως ἡ καθ' ὑμῶν ἔσται τιμωρία περιφανὴς, ὡς οὐκ ἔστι λαθεῖν *ἱστὸν ἐπ' ὄρους, καὶ σημεῖον ἐπὶ βουνοῦ.* Πλὴν οὐ πάντη πάντας ἀπολεῖσθαί φησι. Τινὰς γὰρ *ἐλεήσει* Θεὸς οἶκτον λαβὼν ἐπ' αὐτοῖς, δι' ὧν *ἐλεεῖ* δοξαζόμενος. Ὡς γὰρ δίκαιος κριτὴς, τοὺς μὲν ἀξίους τιμωρεῖται· τοὺς δὲ δυναμένους *ἐλέους* τυχεῖν, *ἐλεεῖ*. Διό φησιν· Μακάριος ὁ μὴ ἀπογινώσκων ἐν τοῖς καταλαμβάνουσιν ἡμᾶς περιστατικοῖς. Τινὲς δὲ ταῦτα εἰρῆσθαί φασι διὰ τὸ σωθησόμενον τοῦ Ἰσραὴλ ἐγκατάλειμμα. Τινὲς δὲ τὴν διὰ τοῦ Κύρου σημαίνειν ἐπάνοδον. Ἄλλοι τὴν ἐν τῇ καθόλου κρίσει

A comportationem sufficiat, relinquatur. Quibus certe aut istorum nemini licere vindictam effugere demonstrat; aut speratum ab Ægyptiis auxilium, *tanquam murum dejectum, et contritum iri.*

At Christus, Deus exsistens, et minarum causas exponit, quibus modis eas evitemus, docet: cum se dicit non peccatoris morte, sed ejus resipiscentia delectari, ut avertatur a via mala, et vivat; sicut apud Ezechielem alicubi [16], et hic etiam loquitur: *cum reversus ingemueris, tunc salvus eris.* Cujus loco Symmachus: *In pœnitentia et requie salvabimini, et in spe erit fortitudo vestra*, interpretatus est: Si enim resipiscentes, ait, Hierosolymis quieti, nec amplius de Ægyptiaca profectione solliciti manseritis: *In pace non tantum et requie salvabimini*, sed *in spe vobis erit fortitudo vestra*, cum spem in Deo collocantes salvari queatis. Dicitur vero in his Dominus *sanctus Israel*, non eo tantum, quod sanctitas ipse sit, sed quod sanctum Israelem faciat. Superius enim et gentem sanctam et sacerdotium esse dixerat; sed quia sanctimoniam a se rejecerunt, eosdem rursum, si a peccatis resipiscant, sanctos redditurum se pollicetur. **370** Neque vero ad id ingemere tantum satis fuerit; sed ea etiam morum *conversione* et emendatione opus est, qua sui sensu quis excitatus, quo usque fraude et scelere fuerat delatus, cognoscat. Qualis ea exsistit mentis cognitio, quæ metu nullo perturbata, quo morbo laboremus, contemplatur; eadem *cognosces* et ipse quid egeris, cum ad eos, qui servare se nequeant, appuleris. At vero *fugæ* confidentes, neque *audire* volentes hunc in modum alloquitur, *fugietis* quidem, sed Babyloniorum manum nunquam *effugere* poteritis. Eousque autem *Fugietis, donec relinquamini ut malus in monte, et ut signum in colle*, vel, secundum interpretationem Symmachi, *tanquam malus in montis vertice, et tanquam vela in colle.* Ut enim navis ejus, quæ naufragium passa est, malus in *signum cum velis in monte* positus manet inutilis: sic et eorum non obscurum fore interitum pronuntiat.

Aiunt vero nonnulli signa militaria a ducibus loco excelsiore collocari, ut ita suis quid agi debeat significetur. Vel, ut dicunt alii, tam fore insignem et apertam Judæorum ultionem demonstrat, quam facile *malus in monte erectus*, aut *signum in colle* omnibus solet apparere. Neque tamen funditus omnes perituros intelligit. Quorumdam enim, converso ad luctum eorum animo, Deus ipse, cui *miserationes* in gloriam cedunt, *miserebitur.* Ut enim tanquam justus judex, meritos ulciscitur; ita eorum, qui *miseratione* digni sunt, *miseretur*, indeque est, quod eos, qui in calamitatibus animum non desponderunt, beatos prædicat. Quidam autem ad reliquias Israelis, quæ salvandæ sunt;

[16] Ezech. XVIII, 23; XXXIII, 11.

VARIÆ LECTIONES.

[h] γρ. αὐτός. [i] γρ. τήν.

Digitized by Google

quidam item ad Cyri adventum, quidam vero ad summi illius judicii dignam pro factorum ratione mercedem, ista respexisse volunt. Terret porro minitando, et salvando consolatur. Isto, ne pertinacem et repugnantem; illo, ne effusum et dissolutum efficiat.

πρὸς ἃ πράττομεν ἀμοιβήν. Ἀπειλῶν δὲ φοβεῖ, καὶ θεραπεύει παραμυθούμενος, ἵνα μὴ τὸ μὲν ἀπαγόρευσιν, τὸ δὲ διάχυσιν ἀπεργάσηται.

371 Vers. 18 26. *Et rursum exspectat Deus, ut misereatur vestri : et propterea in altum tolletur, quoniam judex Dominus Deus vestri, et ubi relinquetis gloriam vestram? Beati, qui manent in eo; quoniam populus sanctus in Sion habitabit, et Jerusalem fletu flevit*, etc.

ιη'-κς'. *Καὶ πάλιν μενεῖ ὁ Θεὸς τοῦ οἰκτειρῆσαι ὑμᾶς. Καὶ διὰ τοῦτο ὑψωθήσεται τοῦ ἐλεῆσαι ὑμᾶς, διότι κριτὴς Κύριος ὁ Θεὸς ὑμῶν· καὶ ποῦ καταλείψετε δόξαν ὑμῶν; Μακάριοι οἱ ἐμμένοντες ἐν αὐτῷ, διότι λαὸς ἅγιος ἐν Σιὼν οἰκήσει, καὶ Ἱερουσαλὴμ κλαυθμῷ ἔκλαυσεν*, κ. τ. λ.

372 Populi reversionem deinceps vaticinatur, quæ post gravia Jeremiæ tempora exstitit, cum habitatoribus quidem civitas, agricolis autem regio ipsa abundaret. Est vero rursus instauratum templum sub Zorobabele et Jesu, prophetantibus Zacharia et Aggæo : quos Esdras et Neemias insecuti, nihil non ad urbis perfectionem operæ et industriæ contulerunt; unde et illa diu permansit inexpugnabilis : quæ ut propheta significaret, *Deum rursus, ut nostri misereatur exspectare*, proque suo *judicis officio*, qui de nobis captivitate digni fuerunt, eidem illos tradidisse; quorum autem *misereri justum* fuit, conservasse adjicit; itaque *beatum esse in ipso manere*, aut secundum Symmachi interpretationem, *ipsum sustinere*, qui Jerusalem misertus, ipsam rursum sit instauraturus. Cæterum advertendum est vocabulum, *sanctus*, ubi *populus sanctus* habetur, in Hebræa lectione, aliisque etiam editionibus, non immerito minime reperiri. Neque enim omnino *sanctus* fuit, qui urbem post reditum *populus* habitavit. Quinetiam ubi *fletu flevit* habemus; *non luxit* in Hebræo scribi; unde *non flebis* Symmachus, *non lugebitur* Theodotio dixerunt. Erat enim lætandi, *non flendi* iis occasio, qui urbem *Deo miserante* recepissent. Juxta illud : « Venientes autem venient cum exsultatione portantes manipulos suos [15]. » At quod *vocem clamoris tui quando vidit, audivit te* scribit, ita Symmachus : *Ad vocem clamoris tui, quemadmodum auditus fuit, audit te.* Cujus generis est illud : « Secundum fidem tuam fiat tibi [16]. » In præsens quidem, ait : *Panem afflictionis dabit tibi*, principium reversionis intelligens : quo tempore a vicinis affligebantur.

Ἀνολούθως θεσπίζει τὴν ἐπάνοδον τοῦ λαοῦ μετὰ τὰ γεγονότα ἐπὶ Ἱερεμίου κακὰ, ἡνίκα πεπλήρωτο τῶν μὲν οἰκητόρων ἡ πόλις, τῶν δὲ γεωργούντων ἡ χώρα. Πάλιν δὲ ὁ τοῦ Θεοῦ ἀνῳκοδομήθη ναὸς ἐπὶ Ζοροβάβελ καὶ Ἰησοῦ, προφητευόντων Ἀγγαίου καὶ Ζαχαρίου. Μεθ' οὓς, Ἔσδρας, εἶτα Νεεμίας πρὸς τελείωσιν τῇ πόλει συνέπραξαν, ἐφ' οἷς ἔμεινεν ἐπὶ πλεῖστον χρόνον ἀνάλωτος· ἅπερ δηλῶν ὁ προφήτης φησὶ, Καὶ *πάλιν μένει ὁ Θεὸς τοῦ οἰκτειρῆσαι ἡμᾶς*. Καὶ ὅτι *κριτὴς ὢν* ἡμῶν, τοὺς μὲν ἀξίους αἰχμαλωσίας, παρεδίδου. Οὓς δὲ *δίκαιον ἐλεεῖν*, ἔσωζε. Διὸ *μακάριον τὸ ἐμμένειν ἐν αὐτῷ*. Ἢ, κατὰ Σύμμαχον, τὸ *ὑπομένειν αὐτόν*. Οἰκτειρήσας γὰρ Ἱερουσαλὴμ, ἀνοικοδομήσει πάλιν αὐτήν. Τὸ δὲ ἅγιος, ἐν τῷ, *λαὸς ἅγιος*, οὐ πρόσκειται παρ' Ἑβραίοις, οὔτε κατὰ τὰς ἐκδόσεις τῶν ἄλλων· εἰκότως. Οὐδὲ γὰρ πάντως ἅγιος ὁ τὴν πόλιν μετὰ τὴν ἐπάνοδον οἰκήσας *λαός*. Ἀλλὰ καὶ ἐν τῷ, *κλαυθμῷ ἔκλαυσεν*, τὸ Ἑβραϊκὸν *Οὐκ ἔκλαυσεν* ἔχει. Διὸ Σύμμαχος, *Οὐ κλαύσεις*, φησίν. Ὁ δὲ Θεοδοτίων, *Οὐ κλαυθήσεται*. Εὐφροσύνης γὰρ ἦν καιρὸς, *οὐ κλαυθμοῦ* τοῖς ἀπειληφόσι τὴν πόλιν *ἐλέῳ Θεοῦ*. Κατὰ τό· « Ἐρχόμενοι δὲ ἥξουσιν ἐν ἀγαλλιάσει αἴροντες τὰ δράγματα αὐτῶν. » Ἀντὶ δὲ τοῦ, *Τὴν φωνὴν τῆς κραυγῆς σου ἡνίκα εἶδεν ἐπήκουσέν σου*· ὁ Σύμμαχος φησι· *Πρὸς τὴν φωνὴν τῆς βοῆς σου, καθὼς ἂν ἀκουσθῇ, ἀκούει σου*. Ὁποῖον τῷ· « Κατὰ τὴν πίστιν σου γενηθήτω σοι. » Πρὸς μὲν τὸ παρόν φησιν, *Ἄρτον θλίψεως δώσει σοι*, κατὰ τὴν ἀρχὴν τῆς ἐπανόδου λέγων, τῶν περιχώρων θλιβόντων αὐτούς.

373 Deinceps enim omnem illis ubertatem et copiam denuntiat, imprimisque errore carentem securitatem, cum eodem se liberari semel agnoscent : quantumvis non defuturi sint, qui advertere, et *in vias quaslibet* inducere conentur. *Via* enim, aiunt, media, et *regia*, aliis utrinque declinatis, *ambulabis*, cum exsecranda idola ista, tanquam judicio tuo turpe aliquid et exsecrandum maxime, contaminaveris. Tum demum tibi omnia ad bruta usque, sed ea maxime, quæ agrorum cultui subserviunt, prospere cessura sunt. At corporeis hue-

Μετὰ γὰρ ταῦτα πᾶσαν αὐτοῖς εὐετηρίαν κατεπαγγέλλεται, καὶ πλάνης πρῶτον ἐλευθερίαν, τῷ γνῶσιν ἔχειν, ὅτι πλάνῃ καθέστηκεν [k], κἂν διαστρέφοιέν τινες *ἐπ' ἀλλοκότους ὁδοὺς* προκαλούμενοι. *Ὁδῷ* γὰρ, φησὶ, *πορεύσῃ* μέσῃ τε καὶ *βασιλικῇ* τὰς ἐκατέρωθεν ἐκκλίνων, ὅτε καὶ *μιανεῖς* τὰ εἴδωλα μιαρὰ ταῦτα, καθάπερ τι τῶν ἄγαν ἀκαθάρτων ἡγούμενος. Τότε σοι τὰ τῆς εὐθηνίας, μέχρι τῶν ἀλόγων ζώων, γεωργικῶν δὲ μάλιστα, παρατείνεται [l]. Σωματικὰς δὲ μέχρι τούτου τὰς ἐπαγγελίας αὐτοῖς παρασχὼν, ἐπάγει τὰς θειοτέρας τοῖς τούτων ἀξίοις,

[15] Psal. cxxv, 6. [16] Matth. ix, 29.

VARIÆ LECTIONES.

[j] γρ. τό. [k] γρ. ἀφέστηκε. [l] ἴσ. παρατενεῖται ἢ παραταθήσεται.

Digitized by Google

καὶ τὸν αὐτῶν χρόνον προσθεὶς λέγων· Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὅτ' ἂν ἀπολῶνται πολλοί, καὶ ὅταν πέσωσι πύργοι. Ἢ κατὰ Σύμμαχον, ἐν ἡμέρᾳ σφαγῆς πολλῆς, ἐν τῷ πεσεῖν μεγάλους, κατὰ τὸν τῆς κρίσεως δηλονότι καιρόν. Πολλοὶ γὰρ κατ' ἐκεῖνον ἀπολοῦνται τὸν χρόνον, ἐν ᾧ καὶ τὰ ἐπηγγελμένα τοῖς ἀξίοις δοθήσεται, ἅπερ ἐστὶν ὕδωρ διαπορευόμενον ἐπὶ παντὸς ὄρους ὑψηλοῦ καὶ βουνοῦ. Κατὰ δὲ Σύμμαχον, καὶ ἐπὶ παντὸς βουνοῦ ἐπηρμένου διαιρέσεις ἀγωγῶν ὑδάτων. Ὅπερ δὲ Σιὼν ὄρος τὸ ἐπουράνιον πολλάκις ἐλέγομεν, οὕτως αἱ πολλαὶ μοναὶ παρὰ τῷ Πατέρι, ὄρη ἐστὶν οὐράνια πρὸς τὴν ἀξίαν ἀποδιδόμενα, ἐφ' ὧν τὸ διαπορευόμενον ὕδωρ τὸ ἀπὸ πηγῆς ἀναβλύζον ἂν εἴη, περὶ ἧς φησιν· « Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, » ἀφ' ἧς ὁ ποταμὸς τοῦ Θεοῦ προχεῖται, περὶ οὗ γέγραπται· « Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπλήρωθη ὑδάτων, » καί· « Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ· » ὃς ἐστὶν ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος. Οὗ μεταλαβόντες, ἀθανασίαν ἕξομεν, καὶ ζωὴν, ἅπερ ἐστὶ κατ' οὐσίαν αὐτός. Ὅτε καὶ αὐτὴ, φησὶν, ἡ κτίσις ἐλευθερωθεῖσα τῆς δουλείας τῆς φθορᾶς, ἀπολήψεται τῶν καμάτων τὰς ἀμοιβὰς, ὥσπερ ἥλιός τε καὶ σελήνη μεῖζον φῶς καὶ δόξαν λαμβάνοντες, ἅτε δὴ καμόντες τῷ τοῦ Θεοῦ καλῶς διακονούμενοι νεύματι.

Ταῦτα δὲ ἔσται ὅτ' ἂν οἱ ἄξιοι σφαγῇ παραδοθήσονται, καὶ οἱ ἐν τῷ παρόντι βίῳ ἐπηρμένοι καὶ μεγάλαυχοι πέσωσι, καθαίρεσιν τοῦ ὕψους λαμβάνοντες. Διό φησιν ὁ Ἀκύλας· Ἐν ἡμέρᾳ ἀποκταμένου πολλοῦ, ἐν τῷ πεσεῖν μεγαλυνομένους, καὶ ὅταν ἰάσηται Κύριος τὸ σύντριμμα τοῦ λαοῦ αὐτοῦ. Καὶ οὐκ ἐμνήσθη τοῦ Ἰσραὴλ, οὐδὲ τοῦ Ἰακώβ. Παντὶ γὰρ ἀξίῳ πρόκειται τῆς ἐπαγγελίας τὰ δῶρα. Ἐντεῦθεν ὁρμώμενος ὁ θεῖος Ἀπόστολος ἔφησεν· « Ἡ γὰρ ἀποπαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ Θεοῦ ἀπεκδέχεται, ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ Θεοῦ. » Τέκνων λέγων ἐλευθερίαν, ἣν ὁ προφήτης εἶπεν ἴασιν τοῦ λαοῦ. Πολλὴν γὰρ εἶχον συντριβὴν ἐν τῇ παρούσῃ ζωῇ, ὡς λέγεσθαι· « Καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. » Καί· « Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον. » Ὅθεν φησὶν ὁ Παῦλος· « Οἱ γὰρ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρυνόμενοι. » Καὶ ἐπὶ τοῖς ἁμαρτάνουσιν ἐβαρύνοντο, κατὰ τό· « Πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων. Ἀλλ' ἀνακτήσεται αὐτῶν ὁ Θεὸς τὰ συντρίμματα. »

ΚΕΦΑΛ. ΛΑ'.

α-θ'. *Οὐαὶ οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν. Οἱ ἐφ' ἵπποις πεποιθότες, καὶ ἐφ' ἅρμασιν. Ἔστι γὰρ πολλὰ, καὶ ἐφ' ἵπποις πλῆθος σφόδρα, καὶ οὐκ ἤκουσαν πεποιθότες ἐπὶ τὸν* usque promissionibus adhibitis divitiores jam, notato tempore, adjungens, id *eo die* futurum ait: *quo perierunt multi, et cum ceciderint turres.* Aut secundum Symmachi interpretationem, *In die interfectionis multæ, cum cadent magni*; quibus judicii tempus indicasse putamus. *Multi* enim illo tempore *peribunt*, in quo dignis tribuentur quæ annuntiata sunt, *a qua* nimirum *montem excelsum omnem, et collem percurrens, aut etiam*, si interpretationem Symmachi requiris, *super omnem collem excelsum divisiones ductiarunt aquarum.* Ut autem montem Sion, supercœlestem persæpe diximus: sic multæ illæ apud Patrem mansiones [17], *montes* quidam cœlestes, singulis pro meriti ratione assignati fuerint, quos percurrens aqua eo fonte scaturiat, de quo legitur: « Apud te fons vitæ [18]: » a quo flumen Dei illud emanat, quod his verbis significatur: « Flumen Dei repletum est aquis [19], » et illis etiam: « Fluminis impetus lætificat civitatem Dei [20]. » Verbum Dei scilicet unigenitum, cujus facti participes immortalitatem et vitam (quæ quidem ejus essentiam consequuntur) tum demum habituri sumus, cum ipsa creatura servitute et corruptione liberata, sua feret laborum præmia; non aliter quam *solem* et *lunam* majus lumen, et gloriam ampliorem consecutos esse videmus, tanquam qui Dei voluntati bene paruerint.

Est vero istud tum demum futurum, cum qui internecione **374** digni sunt, eidem tradentur; et qui in hac vita elate et superbe se gerunt, amputato fastu tollentur. Atque inde est Aquilæ isthæc, quæ sequitur, interpretatio: *Illo die multis interfectis cum ceciderint elati, et cum sanaverit Dominus contritionem populi sui. Nulla rursum Israelis, nulla Jacobi mentio addita est*; ut dignis omnibus, quæ promittuntur, dona proponi demonstret. Inde igitur excitatus Apostolus ait: « Nam exspectatio creaturæ revelationem filiorum Dei exspectat; quia et ipsa creatura liberabitur a servitute corruptionis in libertatem gloriæ filiorum Dei [21]; » in quibus idem ille filiorum libertatem intelligit, ac *populi sui sanationem* propheta. Tantam enim adeo in terris contritionem passos esse constat, ut merito dicatur: « Cor contritum et humiliatum Deus non despiciet [22]. » Item: « Sacrificium Deo spiritus contribulatus [23]. » Hinc est Pauli illud: « Nam et qui sumus in hoc tabernaculo, ingemiscimus onerati [24]. » Deinde peccatorum onere premebantur, juxta illud: « Lugebo multos eorum, qui ante peccaverunt, neque tamen pœnitentiam egerunt. Sed Deus reparabit contritiones eorum [25]. »

375-376 CAP. XXXI.

VERS. 1-9. *Væ qui descendunt in Ægyptum auxilii causa; qui in equis confidunt, et in curribus. Sunt enim multi, et in equis multitudo ingens, et non audiverunt confisi super sanctum Israel, et Deum non*

[17] Joan. XIV, 2. [18] Psal. XXXV, 10. [19] Psal. LXIV, 10. [20] Psal. XLV, 5. [21] Rom. VIII, 19-21. [22] Psal. L, 19. [23] ibid. 19. [24] II Cor. V, 2. [25] II Cor. XII, 21.

Digitized by Google

quæsiverunt. Et ipse sapiens induxit super eos mala. Et verbum ejus non frustrabitur, etc.

377 . . . . . libertatem : quod multi certe fecerunt, qui a pietate ad vitam *idololatricam et Ægyptiam* defecerunt. Istis autem reversionem a captivitate adjungit. Ut enim *leo*, inquit, *ad prædam cibi* causa conversus, in greges ipsos irruit, nihil *pastorum clamorem, nihil insequentium multitudinem moratus ;* sic hostes aggrediens Dominus Israelem ipsum liberabit. At ubi Hierosolymam usque perduxerit ; sic eosdem rursum proteget, ut solet *in nido pullos suos avis defendere.* Atque hinc est, ut pro quibus hic habemus, *et vociferabitur super ea, donec impleantur montes ejus voce, et vincantur, sic extulerit* Symmachus : *Complentibus omnia pastoribus a voce eorum non vincetur, neque a multitudine eorum subjicietur.* Verum si ad Septuaginta interpretes respicis, ita habeas. *Leonem* ferunt, postquam *rugitu* primum greges et pastores terruerit, eosdem aggredi. Ad hunc modum et *Dominus* ipse, postquam minas proposuit, non pœnitentes ulciscitur ; quod vel in superbientibus Assyriis videas ; atque etiam cum ab accolarum injuria, quam post reversionem patiebatur, Israelem tueri placuit. Ad utrumlibet similitudinem alteram accommodavit. At quæ *leonem* habuit, non desunt, qui ad Israelitas referant, qui ne ferarum quidem metum erga Deum ducem suum retinuerunt. Unde et eos se *leonum* more gesturum significat. Alias si pœnitere et resipiscere contigerit, eosdem se, *avis* instar, quæ *pullos tuetur, esse protecturum.* Tale vero et ipsi etiam, si ad priorem sensum respicimus, Salvatoris auxilium sumus experti. Omnes enim quotquot sunt, mortales, intelligibilis ille ceperat Assyrius ; nisi Christo ipso tanquam *leone* irruente, verbo oris ejus, qui *Sionis* Ecclesiæ nomine decertavit, occidisset. Se namque orbem terrarum, ut nidum, manu **378** sua comprehensurum minabatur. At hic in se credentes, ut pullos gallina, sub alis cogit [n]. Atque hæc cum de Jerusalem monuisset, ad eos jam, qui in Ægyptum se recipiunt, in hunc modum exclamat : *Convertimini, qui profundum consilium inieratis et iniquum ;* et iterum Jerusalem redire, quando spes ejus instaurandæ fiat, hortatur ; quæ ita expressit Symmachus : *Pœnitemini, filii Israel, sicut de transgrediendo profunde cogitastis.* Significat autem eos quæ mala sunt, alte quidem cogitare ; quæ Dei autem, superficie tenus inquirere et meditari.

Cæterum postquam ab Assyriis redire contigerit, et ipsi tum demum, ait, idololatria liberabimini. Quod ab historiæ fide minime dissentire reperias, cum omni prorsus idololatria, quo tempore instaurabatur templum, caruerint. Quidam

[n] Matth. xxvi, 23.

ἄγιον τοῦ Ἰσραὴλ, καὶ τὸν Θεὸν οὐκ ἐζήτησαν· Καὶ αὐτὸς σοφὸς ἦγεν ἐπ' αὐτοὺς κακὰ, καὶ ὁ λόγος αὐτοῦ οὐ μὴ ἀθετηθῇ, κ. τ. λ.

. . . . ἐλευθέρωσιν. Ὁ δὴ πολλοὶ πεποιήκασι θεοσεβείας ἀποστάντες πρὸς βίον *εἰδωλικὸν καὶ Αἰγύπτιον*. Τούτοις ἐπισυνάπτει τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον. Ὡς γὰρ *λέων* φησὶν *ἐπὶ θήρᾳ τροφῆς* κινηθεὶς, τοῖς ποιμνίοις ἐφάλλεται, οὐ *κραυγὰς ποιμένων, οὐ διωκόντων πλῆθος ἐπιστρεφόμενος* · οὕτω τοῖς πολεμίοις ὁ Κύριος ἐπιστὰς ἐξελεῖται τὸν Ἰσραήλ. Ἀγαγὼν δὲ πρὸς Ἱερουσαλὴμ οὕτως αὐτῶν *ὑπερασπίσει, ὡς ὄρνις τῶν ἐν καλιᾷ νεοττῶν*. Ὅθεν ὁ Σύμμαχος ἀντὶ τοῦ, *καὶ κεκράξῃ ἐπ' αὐτῇ ἕως ἐμπλησθῇ τὰ ὄρη τῆς φωνῆς αὐτοῦ, καὶ ἠττήθησαν*, οὕτως ἐξέδωκεν· *Πληρώματος ποιμένων ἀπὸ φωνῆς αὐτῶν οὐκ ἡττηθήσεται, οὐδὲ ἀπὸ πλήθους αὐτῶν οὐχ ὑποταγήσεται*. Κατὰ δὲ τὴν ἔκδοσιν τῶν Ἑβδομήκοντα νοητέον οὕτω· Φασὶ τὸν *λέοντα βοῇ* προκατάπλήττοντα τὰς ἀγέλας καὶ τοὺς ἐφεστηκότας οὕτω ποιεῖσθαι τὴν ἔφοδον, οὕτω καὶ *Κύριος* προκαταπλήττων ἀπειλαῖς, οὐ μετανοοῦσιν ἐπιφέρει τὴν δίκην. Ὥσπερ οὖν καὶ τοῖς Ἀσσυρίοις μεγαλαυχήσασι σκέπων τὸν Ἰσραὴλ, καὶ ἀπὸ τῶν περιχώρων τῶν μετὰ τὴν ἐπάνοδον ἐπιτεθέντων αὐτῷ. Πρὸς ἑκατέρους γὰρ τῶν παραβολῶν τὴν ἑτέραν ἐφήρμοσεν. Τὴν δὲ *τοῦ λέοντος* ἐπὶ τῶν ἐξ Ἰσραὴλ. Τινὲς παρειλήφασι, μηδὲ τὸν τῶν ἀλόγων παρεσχηκότων πρὸς τὸν ἡγεμόνα Θεὸν φόβον. Ὅθεν καὶ τὰ *λεόντων*, φησὶν, ὑμᾶς διαθήσει. Μετανοούντων δὲ, καθάπερ *νεοττῶν ὄρνις ὑπερμαχήσεται*. Κατὰ δὲ τὴν πρώτην ἐξήγησιν, τοιαύτη γέγονεν ἐφ' ἡμᾶς ἡ τοῦ Σωτῆρος ἐπικουρία. Πάντας γὰρ ἀνθρώπους ὁ νοητὸς εἷλεν Ἀσσύριος. Ἀλλὰ Χριστὸς, οἷα *λέων*, ἐπιπηδήσας αὐτῷ κατήργησεν αὐτὸν, τῷ ῥήματι τοῦ στόματος αὐτοῦ, τῆς *Σιὼν* τῆς Ἐκκλησίας ὑπεραγωνισάμενος. Ὁ μὲν γὰρ ἠπείλει, Τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρί μου ὡς νοσσιάν. Ὁ δὲ συνήγαγε τοὺς πιστεύοντας εἰς αὐτὸν, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νόσσια αὐτῆς ὑπὸ τὰς πτέρυγας. Ταῦτα περὶ τῆς Ἱερουσαλὴμ ἐπαγγειλάμενος, προσφωνεῖ τοῖς ἀπελθοῦσιν εἰς Αἴγυπτον, *Ἐπιστράφητε, οἱ τὴν βαθεῖαν βουλὴν βουλευόμενοι καὶ ἄνομον*, προτρέπων εἰς Ἱερουσαλὴμ αὐτοὺς πάλιν ἐπανελθεῖν, διὰ τὰ ἐπηγγελμένα περὶ τοῦ ταύτης ἀνοικισμοῦ. Ὅπερ ὁ Σύμμαχος οὕτως ἐξέδωκε· *Μετανοήσατε, ὡς ἐβαθύνατε παραβῆναι, οἱ υἱοὶ Ἰσραήλ*. Δηλοῖ δὲ αὐτοὺς ἐνβαθύνοντας μὲν τοῖς κακοῖς, τοῖς δὲ κατὰ Θεὸν ἐπιπολέους ὑπάρχοντας [m].

Μετὰ δὲ τὴν ἐξ Ἀσσυρίων ἀπαλλαγὴν, ἔσται, φησὶν, ὑμῖν πάσης εἰδωλολατρείας ἀπαλλαγή. Καὶ σύμφωνος ἡ ἱστορία. Τὸν γὰρ ναὸν ἀναδειμάμενοι, καθαροὶ πάσης εἰδωλολατρείας ἐγένοντο. Τινὲς δὲ τοῦτό φασι γεγενῆσθαι καθ' ὃν χρόνον ὑπερήσπισε τῆς Ἰε-

VARIÆ LECTIONES

[m] ἐπικολαίους.

Digitized by Google

ρουσαλὴμ ὁ Χριστὸς Ἐκκλησίας. Πρὸς αὐτὴν γὰρ πάλιν ὁ λόγος ἀνέδραμεν, ὅτε τῆς εἰδωλολατρείας ἀπολομένης, καὶ ὁ νοητὸς αὐτῇ συναπῆλθεν Ἀσσοὺρ, *οὐκ ἀνδρὸς μαχαίρᾳ* πληγείς, λόγῳ δὲ θείῳ πεμφθείς εἰς τὴν ἄβυσσον σὺν ταῖς ἰδίαις δυνάμεσιν, ἃς διὰ *τῶν ἰσχυρῶν νεανίσκων* ἐδήλωσεν ἀῤῥαγεῖ πέτρᾳ τῷ Χριστῷ *περιληφθείσας, ὡς χάρακι*. Οἱ δὲ ἄλλοι φασὶν, Ἐπειδὴ *τὸν Ἀσσύριον* Ἰουδαῖοι δείσαντες εἰς Αἴγυπτον ἀπεχώρησαν, ἐπαγγέλλεται τούτοις τὴν ἐκείνου καθαίρεσιν, τὴν εἰδωλολατρείαν διὰ τούτων δηλῶν ἐκ θείας πεπτωκυῖαν δυνάμεως, εἰ καὶ ἄνθρωποι ταύτῃ διακονοῦντες τὴν Ἀσσυρίων καθεῖλον ἀρχήν. Διὸ καὶ περὶ Βαβυλῶνος ἔλεγε προφητεύων· Ἰδοὺ ἐπεγείρω ὑμῖν τοὺς Μήδους. Ἀντὶ δὲ τοῦ, *Πέτρα περιληφθήσονται ὡς χάρακι*, ὁ Σύμμαχος ἔφη, *Πέτρα αὐτοῦ ἡ φοβερὰ παρελεύσεται, καὶ ἡττηθήσονται οἱ ἄρχοντες αὐτοῦ, φησὶ Κύριος*, δηλαδὴ τοῦ Ἀσσυρίου. *Πέτραν* γὰρ αὐτοῦ τὸ στερρὸν ἐκάλεσε τῆς ἀρχῆς. Προτρέπων δὲ τοὺς ἐν Αἰγύπτῳ φυγάδας ὑποστρέφειν εἰς Ἱερουσαλὴμ, *Μακάριος*, φησὶν, ὃς *ἔχει ἐν Σιὼν σπέρμα, καὶ οἰκείους ἐν Ἱερουσαλὴμ*, διὰ τὸ μέλλειν αὐτὴν εἰς τὴν ἀρχαίαν ἀνακτίζεσθαι δόξαν, μᾶλλον δὲ κρείττονα. Διό φησιν ἐν ἑτέροις· « Καὶ ἔσται ἡ δόξα τοῦ οἴκου τούτου ἡ ἐσχάτη, ὑπὲρ τὴν πρώτην. » Ὠφέλισται δὲ τὸ, *μακάριος*, ὡς μὴ κείμενον. Τὸ δὲ λοιπὸν ὁ μὲν Σύμμαχός φησιν, *Ἔχει πῦρ ἐν Σιὼν καὶ κλίβανον ἐν Ἱερουσαλήμ*. Ὁ δὲ Ἀκύλας καὶ Θεοδοτίων, *Φῶς αὐτῷ ἐν Σιὼν, καὶ κλίβανος αὐτῷ ἐν Ἱερουσαλὴμ*, περὶ Θεοῦ λέγοντες τοῦ καθελόντος τὸν Βαβυλώνιον. Δι' οὗ πυρὸς κατακαίει τοὺς τῆς αὐτοῦ καταφρονήσαντας πόλεως, μάλιστα δὲ τῆς Ἐκκλησίας, περὶ ἧς εἴρηται· « Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. » Καί· « Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. » Ἐν αὐτῇ γὰρ *πῦρ* ἐστι καὶ *κλίβανος* εἰς τὸ καταφλέγειν ἑκάστης ψυχῆς ξύλα, χόρτον, καλάμην. Καὶ κατὰ τὸν Ἀκύλαν δὲ, *φῶς* ἐκεῖ πρὸς τοὺς ἀξίους φωτίζεσθαι, καὶ *πῦρ* πρὸς τοὺς δεομένους καθάρσεως.

A autem in ea tempora, quibus Hierosolymorum Ecclesiam Christus ipse protexit incidisse putant. Tum demum enim ad ipsam iterum verbum rediit, cum sublato idolorum cultu, et Assur ipse animo comprehensus, *non viri gladio*, sed verbo divino percussus, cum suis potestatibus (has enim *juvenum fortium* nomine significavit, quæ lapidi nunquam frangendo, id est Christo, *tanquam vallo circumdantur*) in abyssum detrusus est. Volunt alii, Judæis, quia metu *Assyrii* in Ægyptum confugerant, eumdem, id est, idolorum cultum, divina auxiliante potentia delendum esse significari : quamvis ab hominibus, qui ei se nuncuparunt, Assyriorum imperium eversum sit. Unde etiam, cum de Babylone prophetaretur, in eam se Medos B excitaturum monuit. Cæterum pro quo, *Petra circumdabuntur quasi vallo* habemus; ita Symmachus : *Petra ejus metuenda pertransibit, et vincentur principes ejus, ait Dominus*, Assyrios significans. Nam *petræ* nomine, imperii ejus robur intellexit. Verum, ut eos, qui in Ægyptum profugerant, ad redeundum Jerusalem invitaret, *Beatus*, inquit, *qui habet* **379** *in Sion semen, et domesticos in Jerusalem;* quia pristinam non tantum gloriam, sed majorem etiam recuperatura sit. Itaque dicit alibi : « Et gloria domus hujus postrema, supra priorem [27]. » At enim obelo confoditur *beatus*, ut adjici significetur. Sic autem reliqua, *Habet ignem in Sion, et clibanum in Jerusalem*, C expressit Symmachus; Aquila vero et Theodotio : *Lumen ei in Sion et clibanus in Jerusalem*, de Deo, qui Babylonium sustulit, verba facientes. Atque hoc igne illos comburit, qui ejus urbem, et Ecclesiam præcipue ausi sunt contemnere, de qua dictum legimus : « Gloriosa dicta sunt de te, civitas Dei [28]. » Et : « Fluminis impetus lætificat civitatem Dei [29]. » Est enim *ignis* in ipsa quidem et *clibanus;* ut uniuscujusque animæ ligna, fenum et stipulam comburere valeat. Secundum Aquilam autem, *lumen* ibi, ut meritos illuminet; et *ignis*, ut quos opus est, expiet.

ΚΕΦΑΛ. ΛΒ'.

α-η'. *Ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσι, καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ. Καὶ κρυβήσεται ὡς ὑῷ' ὕδατος φερομένου. Καὶ φανήσεται ἐν Σιὼν, ὡς ποταμὸς φερόμενος ἔνδοξος ἐν γῇ διψώσῃ*, κ. τ. λ.

Ἡ μὲν τῶν Ἑβδομήκοντα ἔκδοσις συνάπτει ταῦτα τοῖς εἰρημένοις. Προειποῦσα γὰρ τὸ, « Μακάριος ὃς ἔχει ἐν Σιὼν σπέρμα, καὶ οἰκείους ἐν Ἱερουσαλὴμ, » ἀκολούθως ἐπήγαγε τὸ, *Ἰδοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει*. Ἐπεὶ γὰρ ταῦτα μέλλει γίνεσθαι ἐν Ἱερουσαλὴμ, εἰκότως *μακαρίζει* τοὺς τούτων ἀπολαύειν μέλλοντας ἐν αὐτῇ. Οἱ δὲ λοιποὶ τὰ νῦν [a] καὶ

CAP. XXXII.

380 VERS. 1-8. *Ecce enim rex justus regnabit, et principes cum judicio imperabunt : et erit homo occultans sermones suos, et occultabitur, ut ab aqua, quæ fertur. Et apparebit in Sion sicut fluvius currens, inclytus in terra sitienti*, etc. D

Interpretes Septuaginta isthæc cum præcedentibus jungunt. Cum enim præmisissent beatum exsistere, qui in Sione semen haberet, et domesticos in Jerusalem, ordine jam, *Ecce enim Rex justus regnabit*, adjunxerunt. Quod quia in Jerusalem futurum est, non eos immerito, qui ejus futuri sunt participes, *beatos* appellat. Verum ea ipsa, de quibus agimus, alte-

[27] Aggæi II, 10. [28] Psal. LXXVI, III, 3. [29] Psal. XLV, 5.

VARIÆ LECTIONES.

[a] γρ. εἶναι.

Digitized by Google

rius esse principii voluerant alii. Quo fit, ut consentientibus plane cæteris : *Ecce ad justitiam regnabit rex*, interpretatur Symmachus. Credant Hebræi quantumlibet ad Zorobabelem, qui ducto a Juda et Davide genere, liberato restitutoque populo imperavit, sermonem referri, et per principes *cum judicio*, Jesum ipsum sacerdotem designari : nunquam tamen efficient, ut cum verbis istis, *apparebit in Sion, sicut fluvius currens, inclytus in terra sitienti*, et quæ deinceps sequuntur, convenire possint. Tanquam igitur ea quæ Jeremiæ temporibus essent eventura, absolvisset; alium jam de Christi divina in terris apparitione sermonem exorditur. Solum enim *justum* inter mortales *regem* fuisse, apostolos autem Ecclesiæ ipsi *cum judicio* præfuisse notum est. Deinde ad statum revocatæ gentis confirmandum ea conjungi bona decuit, quæ istis per Christum maxima contigissent, et quæ seculuris paulo post, progressu longo temporis erant eventura. Eos vero **381** *beatos* prædicat, qui sub Christo Ecclesiam incoluerint; ad quos Salvatorem in hunc modum esse locutum legimus : « Multi prophetæ et justi cupierunt videre quæ videtis, neque tamen viderunt. Vestri autem beati oculi, quod videant [30]. » Ejusmodi illi fuerunt, qui cum eo illa intelligibili Christo fructus ediderunt.

Habuimus porro Spiritus sancti beneficio domesticos, id est arcanarum rerum beatos interpretes. Est vero utraque ratione *justus* Christus, et quia justitia idem ipsa est, et quia carne indutus omni culpa et reprehensione caruit. *Et regnabit*, ait, *ad justitiam*, nova scilicet regnandi ratione; qui non ad hominum opinionem, vel gloriam, sed *ad justitiam* sit imperaturus. Sic se et ejus *principes* in obeundo munere gesserunt; qui illud non ad honorem et *dignitatem*, sed ad *justitiam* susceperunt. Itaque verterunt cæteri : *Et principes* in judicium *imperabunt*. Ubi rursus : *Et erit homo occultans sermones suos* legimus, ita Symmachus : *Et erit vir sicut absconsio a spiritu, et procella* : quibus *regem*, quantumvis natura Deus sit, et divinitatem occultet, hominem fore tamen significavit. Aquila autem : *Sicut qui abscondit spiritum, et absconsio impetus*, extulit : ita vero Septuaginta reddiderunt interpretes, quod omnia in parabolis idem loqueretur, qui apud Davidem in parabolis os suum aperturum se dixit [31]; quas tamen privatis interpretationibus discipulis ignotas esse noluit. *Et abscondetur*, ait, *quasi ab aqua, quæ fertur. Aqua enim est, quæ fertur*, et perit, Judaicus ipse populus. Et ex his eos etiam, qui adversum se coierant, cum nondum pati statuisset, nihil profuturas tentationes vocabat. Itaque cum saxis peteretur, id ipsum nihili faciens medios pertransibat illæsus [32]. Hinc illa Davidis : « Nihil

ἀρχῆς ἑτέρας ἀπέδωκαν. Διό φησι Σύμμαχος· *Ἰδοὺ εἰς δικαιοσύνην βασιλεύσει βασιλεὺς*, συμφώνως τοῖς ἄλλοις. Οἰήσονται μὲν οὖν παῖδες Ἑβραίων εἰς Ζοροβάβελ τὸν λόγον ἀνάγεσθαι, ὃς ἐξ Ἰούδα καὶ Δαβὶδ καταγόμενος, ἦρξε μετὰ τὴν ἐπάνοδον τοῦ λαοῦ. Ἄρχοντας δὲ *μετὰ κρίσεως* τοὺς περὶ τὸν Ἰησοῦν τὸν ἱερέα φήσουσι λέγεσθαι. Ἀλλ' οὐ συνάδει τὰ ἑφεξῆς τὸ ", *Φανήσεται ἐν Σιὼν ὡς ποταμὸς φερόμενος ἔνδοξος ἐν γῇ διψώσῃ*. Ὡς οὖν πληρώσα; τὰ περὶ τῶν Ἱερεμίου χρόνων ὁ λόγος, ἐξ ἑτέρα; ἀρχῆς τὰ περὶ τῆς θεοφανείας θεσπίζει Χριστοῦ. *Βασιλεὺς* γὰρ μόνος ἐν ἀνθρώποις πέφηνε *δίκαιος*· καὶ οἱ ἀπόστολοι τῆς Ἐκκλησίας κατὰ *κρίσιν* ἡγήσαντο τὴν αὐτοῦ. Καὶ ἦν ἀκόλουθον τῇ μετὰ τὴν ἐπάνοδον καταστάσει τοῦ ἔθνους τῶν ἀγαθῶν ἐπισυναφθῆναι τὰ μέγιστα διὰ Χριστοῦ τούτοις γενόμενα, καὶ τοῖς μετὰ χρόνον ὀλίγον τὰ μετὰ πλεῖστον ἐσόμενα. *Μακαρίους* δὲ λέγει τοὺς ἐπὶ Χριστοῦ τὴν Ἐκκλησίαν οἰκήσαντας, πρὸς οὓς φησιν ὁ Σωτήρ· « Ὅτι πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε, καὶ οὐκ εἶδον. Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσιν. » Οὗτοι δέ εἰσιν οἱ διὰ Πνεύματος οἰκειωθέντες αὐτῷ, καὶ Χριστὸν καρποφορήσαντες ἐν Σιὼν τῇ νοητῇ.

Ἐσχήκαμεν δὲ οἰκείους κατὰ Πνεῦμα τοὺς ἁγίους μυσταγωγούς. Κατ' ἄμφω δὲ *δίκαιος* ὁ Χριστὸς, καὶ ὡς αὐτοδικαιοσύνη, καὶ ὡς κατὰ σάρκα γενόμενος ἄμωμος. *Καὶ βασιλεύσει*, φησὶν, *εἰς δικαιοσύνην*. Καινὴν λέγων βασιλείαν οὐκ εἰς δόξαν ἀνθρώπων, ἢ τὴν ἐκ τούτων τιμὴν, ἀλλ' εἰς *δικαιοσύνην*. Οὕτω καὶ *οἱ ἄρχοντες* αὐτοῦ χρηματίζουσιν, οὐκ ἀνθρώπων λαβόντες ἀξίωμα *τὴν ἀρχὴν*, ἀλλ' εἰς *κρίσιν*. Ὅπερ ἐξέδωκαν οἱ λοιποί· *Καὶ ἄρχοντες εἰς κρῖμα ἄρξουσιν*. Ἀντὶ δὲ τοῦ· *Καὶ ἔσται ὁ ἄνθρωπος κρύπτων τοὺς λόγους αὐτοῦ*, ὁ Σύμμαχος, *Καὶ ἔσται*, φησὶν, *ἀνὴρ ὡς ἀποκρυφὴ ἀπὸ πνεύματος καὶ λαίλαπος*. Δηλῶν, ὡς ὁ *βασιλεὺς* ἀνὴρ ἔσται κατὰ φύσιν ὑπάρχων Θεὸς, κρύπτων αὐτοῦ τὴν θεότητα. Καὶ Ἀκύλας δέ φησιν, *Ὡς κρύπτων πνεῦμα. Καὶ ἀποκρυφὴ ἐντινάγματος*. Κατὰ δὲ τοὺς Ἑβδομήκοντα, ἐπειδὴ πάντα ἐλάλει ἐν παραβολαῖς, ὃς καὶ λέγει παρὰ Δαβίδ· « Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου. » Ἃς κατ' ἰδίαν τοῖς μαθηταῖς ἐξηγούμενος ἔλεγεν· « Ὑμῖν δέδοται γνῶναι. » *Καὶ κρυβήσεται*, φησὶν, *ὡς ἀφ' ὕδατος φερομένου*. [P] *Πλῆθος* γὰρ *φερόμενον* καὶ ἀπολλύμενον, τὸ πλῆθος τοῦ Ἰουδαίων λαοῦ. Καὶ τοὺς ἐξ αὐτῶν συνισταμένους αὐτῷ, καλεῖ [q] πειρασμοὺς οὐδὲν ὠφελοῦντας, ὅτε μὴ πάσχειν ἠβούλετο. Τοιγαροῦν λίθους βαλλόντων, αὐτοὺς ἐπορεύετο διὰ μέσου αὐτῶν, καὶ παρῆγεν οὕτως. Τοῦτ' ἔστι φροντίζων οὐδέν. Διό φησιν ὁ Δαβίδ· « Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν. » Ὅθεν [r] ἐξ Ἰουδαίων

per Spiritum familiaritatem adepti, in Sione

[30] Luc. x, 24. [31] Psal. LXXVII, 2. [32] Joan. VIII, 59.

VARIÆ LECTIONES.

[P] γρ. τῷ. [P] γρ. ὕδωρ. [q] *Ισ.* ἐκάλει. [r] *Λείπ. ἴσ.* καὶ τοῖς.

Digitized by Google

ἀποκρύπτων τοὺς λόγους, τοῖς μαθηταῖς ἀπεκάλυπτεν. Ὁ δηλοῖ λέγων, *Καὶ φανήσεται ἐν Σιὼν, ὡς ποταμὸς φερόμενος ἔνδοξος ἐν γῇ διψώσῃ.* Τὴν *Σιὼν*, τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, *γῆν διψῶσαν* ἐκάλεσεν, ἤτις ἦν πάλαι ἔρημος καὶ διψῶσα, καὶ ταύτῃ γέγονεν οὐ *ποταμὸς* ἁπλῶς, ἀλλ' *ἔνδοξος*. Ἐπεὶ πολλοὶ *ποταμοὶ*, κατὰ τὴν Γραφὴν, ἐχρημάτισαν. Ὧν οἱ τοὺς διδασκομένους ποτίζοντες ἅγιοι, περὶ ὧν φησιν ἐν Ψαλμοῖς· « Ἐπῆραν οἱ ποταμοὶ, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν. » Ἐξάκουστοι μὲν γὰρ αἱ τῶν ἀποστόλων φωναί. Ἀλλ' οὐδεὶς οὕτως *ἔνδοξος*, ὡς ὁ χειμάρρους τῆς τρυφῆς, παρ' οὗ καὶ οἱ λοιποὶ τὰ θεῖα δέχονται νάματα. A proficiet inimicus in eo, et filius iniquitatis non apponet nocere ei [33]. » Hinc item sermones suos Judæis occultans, discipulis **382** aperire soleba.. Quod judicare videtur cum *appariturum in Sion, sicut fluvium currentem, inclytum, in terra sitienti* dixit; *Sionis* nomine conflatam ex gentibus Ecclesiam innuens, quæ *terra sitiens* etiam appellata, deserta quondam et arida, jam non *fluvius* quilibet, sed *inclytus* evasit. Multos enim in Scriptura vocari *fluvios* reperias : quales fuerunt sancti, qui discentium siti levare conantes his Davidis verbis judicantur : « Elevaverunt flumina, Domine, elevaverunt flumina vocem suam [34]. » Claræ siquidem fuerunt et ad audiendum faciles apostolorum voces : sed nullus adeo fuit *inclytus*, atque ipse deliciarum torrens, ex quo cæteri etiam divinos latices hauriunt.

A Male autem non sine Dei numine civitatem adoriri se colligit in hunc modum: Si magnus est, et Judæam tuetur, aut eo nolente eamdem sumus adorti, et nulla est ejus potentia: aut eodem volente accessimus, et eadem quoque, sicut aliis, potiemur. Itaque et Israelem fratrem vestrum bello superatum captivum habemus; ne alios jam, qui sui non essent, Deum tradidisse afferatis. Sed Israelem jam a Deo, propter idololatriam, alienum fuisse ignorabat. Patet vero, aiunt, si ab eo ista consentanee dicuntur, ex quo Israelem ipsum, Dei populum scilicet, subjugavit, vel hoc sentire etiam, Deum sibi ut Judæos propter eorum scelera adoriatur, in animum inducere. Deinde ut urbis deditionem faciat, populum adhortatur; et celebrem B apud eos Ezechiæ pietatem studet extenuare. Quin et eumdem superius, tanquam *excelsa sustulisset*, vellicavit, quibus Achazo regnante populum gaudere noverat, Dei esse illa arbitratus. Ita deinde ratiocinatur: Si alios sui non servarunt dii, neque *Dominus Judæos*, quem cæteris præstare non video. At *nihil* ad blasphemias istas pius rex *responderi* passus est, ne ad majores provocaret; juxta illud: « Ne succendas carbones peccatoris [10]. » Inutile fuerit præterea cum illis, quibus est animæ salus deplorata, verbis decertare; quos silentio præstat retundere, sermonisque veritatem in nobis tandiu premere, donec idoneo tempore a Deo in eos excitemur. Neque enim tum adversum nos amplius, C sed adversum ipsum Deum bellum geritur. Quod ipso maxime persecutionum tempore præstare oportet, **417** interque blasphemas impiorum voces, Davidem audire psallentem his verbis: « Posui ori meo custodiam; cum consisteret adversus me peccator, obmutui, et humiliatus sum, et silui a bonis [11]. »

ΚΕΦΑΛ. ΛΖ'.

α-ζ'. Καὶ ἐγένετο ἐν τῷ ἀκοῦσαι τὸν βασιλέα Ἐζεκίαν, ἔσχισε τὰ ἱμάτια αὐτοῦ, καὶ περιεβάλετο σάκκον, καὶ ἀνέβη εἰς τὸν οἶκον Κυρίου, κ. τ. λ.

Ἔθος ἦν Ἑβραίοις ἐπὶ ταῖς κατὰ Θεοῦ βλασφημίαις περιῤῥήγνυσθαι τοὺς χιτῶνας· τοιγαροῦν εἰπόντος τοῦ Σωτῆρος, « Ἀπάρτι ὄψεσθε τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως, καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, » ὁ ἀρχιερεὺς διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ λέγων, « Ἐβλασφήμησεν. » Καὶ δι' ἑνὸς δὲ λέγει τῶν προφητῶν, « Διαῤῥήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια. » Τὰς ἑαυτῶν γὰρ ᾤοντο θεραπεύειν παρανομίας, εἰ ἐπὶ ταῖς κατὰ Θεοῦ βλασφημίαις *περιῤῥηγνύοιντο τὴν ἐσθῆτα*. Τοῦτο δὲ καὶ νῦν ἔδρων, ὡς δυσσεβῶν κεκοινωνηκότες *ῥημάτων* διὰ τῆς ἀκοῆς, ἢ ὡς δι' αὐτοῦ βλασφημουμένου Θεοῦ. Οὐ γὰρ ἀνελθεῖν [l] συνεχωρήθη μέχρι πυλῶν, ἵνα καὶ τοιαῦτα βλασφημοῦντος

CAP. XXXVII.

VERS. 1-7. *Et factum est cum audiret rex Ezechias, scidit vestimenta sua, et saccum induit, et ascendit in domum Domini*, etc.

418 Mos erat Hebræis, si quas in Deum blasphemias audissent, vestes suas lacerare. Indeque est, quod, cum dixisset Salvator: « Amodo videbitis D Filium hominis sedentem a dextris virtutis, et venientem in nubibus cœli; » sacerdotum princeps dirupit vestimenta sua, dicens, « Blasphemavit [12]. » Deinde sic apud prophetam quemdam legimus: « Discindite corda vestra, et non vestimenta vestra [13]. » Ita enim suis se purgari criminibus arbitrabantur, si, audita in Deum blasphemia, suas *vestes lacerassent*: quod et hic etiam faciebant, tanquam impiorum *verborum* exauditione facti participes, vel propter factam Deo contumeliam. Neque enim Rapsacæ ad portas usque progredi

[10] Eccli. VIII, 13. [11] Psal. XXXVIII, 2, 3. [12] Matth. XXVI, 64, 65. [13] Joel II, 13.

VARIÆ LECTIONES.

[k] γρ. ὡς ἂν. [l] γρ. ἂν ἐλθεῖν.

Digitized by Google

permissum esset, ut blasphemantem audirent, nisi ejus rei auctores ipsi exstitissent. Magno deinde in metu versabantur, ne et ipsi eadem, quæ Samaria, propter impietatem suam paterentur. *Sacco* vero indutus *rex*, lugentis habitu per medium templi cœtum incedebat; ita se depresso et afflicto animo esse, Deique misericordiam postulare testatus. Non dissimiliter etiam pro sacris vestibus indutos sacerdotes, quos ad prophetam mittit, his uti mandatis præcipit: *Hæc dicit Ezechias*, nomen *regis* subticens. Vocat deinde *redargutionis et iræ diem*, quo *iratus* Deus peccata eorum ultus est. Evasimus vero, inquit, *parturienti*, neque tamen dolores ferre valenti similes, qui dicere nequeamus: « A timore tuo, Domine, concepimus, et doluimus, et peperimus spiritum salutis [14]. » Itaque, **419** *Deum tuum*, ait, Deum nostrum nominare ausi non sumus. Sed ad *Rapsacæ verba* attendat, et quod sentit eloquatur, qui de eo, a quo missus est, docere instituerit, vel eidem se comitem præbuerit; te vero, propheta, qui nostrum omnem populum in hostium jam potestatem venisse non ignoras, pro nobis, qui *reliqui sumus*, *orare deprecamur*. At vero nondum quidquam locutos, cum appulissent, propheta prævertit; tanquam Ezechiam Deus exaudisset: « Adhuc enim te loquente, ait, dicam: Ecce adsum [15]; » et ante de *Rapsace*, de rege, deque iis, quæ respondenda essent, prophetam monuisset. Humanam etiam perturbationem ipso statim principio sedavit, cum *metu adempto*, quæ Assyrio impenderent, prædixit. Cum enim, virorum centum octoginta quinque millibus amissis, in suum se regnum fuga recepisset, diisque suis adeptæ salutis nomine gratias ageret, interfectus est, eorum vires infirmas esse expertus, quorum nutu, non concedente Deo, priora se gessisse arbitrabatur: cum ita moneret propheta: « Num attolletur serra, si desit qui trahat, aut gloriam consequetur securis, si desit qui tundat [16]? » *Spiritum* vero, inquit Deus, *in eum immittam*, quo delusus revertetur. Ibique prima hujus historiæ prophetia apparet.

420 VERS. 8-20. *Et reversus est Rapsaces, et deprehendit regem Assyriorum prœliantem adversus Lobnan. Et audivit rex Assyriorum quod profectus esset de Lachis, et quod exisset de Tharaca rex Æthiopum, ut obsideret eum: et audiens reversus est. Et misit nuntios ad Ezechiam, dicens: Sic dicetis Ezechiæ regi Judææ: Non te decipiat Deus tuus*, etc.

Re infecta derepente audax abierat *Rapsaces*, mentis a Deo factus impotens, cum rex ipse Assyrius expugnata *Lachis*, ad *Lobnan* Judææ **421** civitatem pervenit; quam dum *oppugnaret*, indeque *in Æthiopiam*, sicut antea prædixerat Deus,

ἀκούσωσιν, εἰ μὴ τούτου γεγόνασιν αἴτιοι. Ἔτι δὲ καὶ ἡγωνίων μὴ ἄρα πάθωσιν ἅπερ καὶ ἡ Σαμάρεια διὰ τὴν ἀσέβειαν τὴν αὐτῶν. *Σάκκον* δὲ πένθους ἔχων σχῆμα διὰ μέσης *ὁ βασιλεὺς* ἐχώρει τῆς ἀγορᾶς ἐν τῷ ναῷ, δεικνὺς ἑαυτὸν ταπεινὸν τῷ Θεῷ καὶ κεκακωμένον, ὡς ἂν ἐλέου τυχεῖν ἀξιῶν. Ὁμοίως δὲ πάλιν ἔχοντας ἀντὶ στολῶν ἱερατικῶν πρὸς τὸν προφήτην τοὺς *ἱερεῖς* ἀπέστειλεν παραγγείλας εἰπεῖν, *Τάδε λέγει Ἐζεκίας*, μὴ προσθεὶς *ὁ βασιλεύς*. *Ἐλεγμοῦ* δὲ καὶ *ὀργῆς τὴν ἡμέραν* καλεῖ, ἐν ᾗ Θεὸς *ὀργιζόμενος* τὰς αὐτῶν ἁμαρτίας διήλεγξεν. Ἐοίκαμεν δὲ, φησὶν, *ἐθελούσῃ τεκεῖν*, καὶ μὴ καρτερούσῃ τὴν βάσανον, μὴ δυνάμενοι λέγειν· « Ἐκ τοῦ φόβου σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σωτηρίας. » Διό φησι, *τὸν Θεόν σου*, Θεὸν ἑαυτῶν ὀνομάζειν οὐκ ἐτολμήσαμεν. Τοῖς *Ῥαψάκου* δὲ προσέχοι *λόγους* [m], καὶ τὸ δοκοῦν δρασάτω [n] περὶ τοῦ πέμψαντος ἐπιξιών, ἢ καὶ παραπεμπόμενος· οὐδὲ [o], ὦ προφῆτα, γινώσκων ὡς τὸ πᾶν ἡμῶν πλῆθος ἤδη ληφθὲν ὑπὸ τῶν πολεμίων γεγένηται, ὑπὲρ ἡμῶν *τῶν καταλειφθέντων* ἱκέτευσον. Μήπω δὲ μηδὲν εἰπόντας ὁ προφήτης ἐλθόντας προέφθασεν, ὡς ἂν εἰσακούσαντος Ἐζεκίου τοῦ Θεοῦ κατὰ τὸ, « Ἔτι σοῦ λαλοῦντος ἐρῶ, Ἰδοὺ ἐγὼ πάρειμι, » καὶ τῷ προφήτῃ προαποκαλύψαντος τὰ παρὰ *Ῥαψάκου*, καὶ τὰ παρὰ τοῦ βασιλέως, καὶ τὰ μέλλοντα τῷ Ἐζεκίᾳ λεχθήσεσθαι. Καὶ τὸ ἀνθρώπινον ἐν ἀρχῇ πάθος ἀνεῖλεν, *μὴ φοβηθῇς* εἰπών, προαγορεύει τε τὰ μέλλοντα καταλαβεῖν τὸν Ἀσσύριον. Ὡς γὰρ αἱ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδες πεπτώκασιν, εἰς τὴν ἑαυτοῦ φυγὼν τοῖς ἑαυτοῦ θεοῖς σωτηρίας προσέφερε χαριστήρια. Ἔγνω δὲ σφαγεὶς τὴν τούτων ἀσθένειαν, δι' ὧν ἐνόμιζε καὶ τὰ πρῶτα πεποιηκέναι, ἀλλ' οὐ τοῦ Θεοῦ συγχωρήσαντος· κατὰ τὸ λεχθὲν τῷ προφήτῃ· « Μὴ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτὸν, ἢ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος; » *Πνεῦμα* δὲ, φησὶν ὁ Θεὸς, *αὐτῷ ἐμβαλῶ*, ὑφ' οὗπερ ἀπατηθεὶς ἐπανήξει. Καὶ ταύτην πρώτην ποιεῖται προφητείαν ὁ λόγος ἐπὶ τῆς προκειμένης ἱστορίας.

ι-κ'. *Καὶ ἀπέστρεψε Ῥαψάκης, καὶ κατέλαβε τὸν Ἀσσυρίων πολιορκοῦντα Λοβνάν. Καὶ ἤκουσεν βασιλεὺς Ἀσσυρίων ὅτι ἐξῆλθε Θαρακὰ βασιλεὺς Αἰθιόπων πολιορκῆσαι αὐτὸν, καὶ ἀκούσας, ἀπέστρεψε. Καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἐζεκίαν, λέγων· Οὕτως ἐρεῖτε Ἐζεκίᾳ βασιλεῖ τῆς Ἰουδαίας· Μὴ σε ἀπατάτω ὁ Θεός σου*, κ. τ. λ.

Ἀθρόως ἄπρακτος ὁ Θρασὺς ἀπῆει *Ῥαψάκης* ἐκστὰς ὑπὸ Θεοῦ τὴν διάνοιαν. Ὁ δὲ τούτου βασιλεὺς μετὰ *τὴν Λαχεῖς*, *τὴν Λόβνα* τῆς Ἰουδαίας πόλιν *πολιορκῶν*, ἐσπευδεν *ἐπ' Αἰθιοπίαν*, καθὰ Θεὸς προεῖπεν, οὐκ ἀγαθῶν ἀγγελθέντων αὐτῷ, γέμου-

[14] Isa. xxvi, 17, 18. [15] Isa. lviii, 9. [16] Isa. x, 15.

VARIÆ LECTIONES.

[m] γρ. λόγοις. [n] γρ. φρασάτω. [o] γρ. σὺ δὲ.

Digitized by Google

σαν ἀπειλῶν καὶ πάσης βλασφημίας Ἐζεκίᾳ πέμψας ἐπιστολήν, ὡς ἰδίᾳ δυνάμει πάντα ἑλὼν ὑποχείρια, καθὰ φθάσας ὁ προφήτης πρὸ τῶν ἔργων ἐμήνυσεν, «Οὐαί, λέγων, Ἀσσυρίοις, ἡ ῥάβδος τοῦ θυμοῦ μου καὶ ὀργῆς ἐστιν ἐν ταῖς χερσὶν αὐτῶν,» καὶ ἑξῆς. Αὐτὸς δὲ οὐχ οὕτως ἐνεθυμήθη. Καὶ τὰς νῦν τοῦ *Σενναχηρεὶμ* ἀπειλὰς ἐπὶ τούτοις ἐπήνεγκεν, αἳ προῤῥηθεῖσαι νῦν ἐπληρώθησαν. Ὁ δὲ πάλιν ἐπὶ *τὸν ναὸν* καταφυγὼν τοῦ Θεοῦ, δείκνυσιν αὐτῷ τὴν ἐπιστολήν, οὐχ ὡς ἀγνοοῦντι, μάρτυρα δὲ τῆς τοσαύτης αὐτὸν βλασφημίας ποιούμενος, καὶ τὴν κατὰ πάντων αὐτοῦ δεσποτείαν ὁμολογῶν, καὶ ὡς ψευδεῖς οὐ λεγόμενοι τῶν ἐθνῶν εἶεν θεοί. Δι' ὑπερβάλλουσαν δὲ τὸ πρῶτον εὐλάβειαν, οὐκ εὐξάμενος ὅτε τὸν σάκκον ἐνεδύσατο, ὡς ἐπὶ Θεοῦ μηδὲ στόμα διᾶραι τολμῶν, πρεσβευτῇ δὲ μόνῳ τῷ προφήτῃ χρησάμενος, δι' αὐτοῦ νῦν ἀξιωθεὶς ἀποκρίσεως, θαῤῥεῖ τὴν προκειμένην ἀναπέμπειν εὐχήν.

A cogitaret; malo ad eum perlato nuntio, minarum et cujusvis blasphemiæ refertas ad *Ezechiam* litteras dedit; tanquam qui propria virtute omnia sibi subjecisset, sicut est a propheta demonstratum, his verbis: « Væ Assyriis, virga furoris mei, et iræ meæ in manibus eorum [17]; » et quæ sequuntur. At ipse ne sic intellexit quidem. Minas deinde quas intuemur, in *Sennacherim* adjunxit, quæ jam inde prædictæ nunc demum implentur. Sed rursus ad Dei *templum* confugiens Ezechias, eidem epistolam ostendit, non tanquam ignorare arbitretur; sed ut tantæ blasphemiæ testem adhibeat, ejusque dominium in omnes, et falsos esse gentium, qui dicuntur, deos profiteatur. Neque vero Deum statim (quæ summa ipsius fuit in eumdem reverentia) atque sacco indutus fuit, oratione aggressus B est; sed ne os quidem tunc ausus aperire prophetæ tantum unius ad id legatione usus, per quem hoc loco sibi responsum fuerat, prædictas preces offerre conatur.

κα-λη'. *Καὶ ἀπεστάλη Ἡσαΐας υἱὸς Ἀμὼς πρὸς Ἐζεκίαν, καὶ εἶπεν αὐτῷ· Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· Ἤκουσα ἃ προσηύξω πρός με, περὶ Σενναχηρεὶμ βασιλέως Ἀσσυρίων. Οὗτος ὁ λόγος, ὃν ἐλάλησε περὶ αὐτοῦ ὁ Θεός. Ἐφαύλισέ σε, καὶ ἐμυκτήρισέ σε, παρθένος θυγάτηρ Σιών*, κ. τ. λ.

422 Vers. 21 - 58. *Et missus est Isaias ad Ezechiam, et dixit ei: Hæc dixit Dominus Deus Israel: Audivi quæ precatus es me super Sennacherim rege Assyriorum. Hic est sermo, quem locutus est de illo Deus. Contemnit te et subsannat, virgo filia Sion*, etc.

Τοὺς προφήτας οἱ ἀκούοντες ἐγνώριζον εἶναι προφήτας οὐκ ἀπὸ τῶν χρόνοις ἐσομένων μακροῖς (ἠγνόουν γὰρ), ἀλλ' ἀπὸ τῶν μικρῶν P ὕστερον βεβαιουμένων ἔργοις προῤῥήσεων, ἀφ' ὧν καὶ περὶ τῶν ἄλλων ἐπίστευον. Ὅθεν προλέγει περὶ ὄνων ὁ Σαμουήλ· καὶ ἄλλος, περὶ νοσοῦντος βασιλέως υἱοῦ· ὁ δὲ, βασιλέως Ἰσραὴλ προαγορεύει τὸν θάνατον. Συνεχώρει δὲ τοῦτο Θεὸς, ὡς ἂν μὴ λιχνείᾳ προγνώσεως, ἐπ' εἰδωλολατρείαν τρέποιντο καὶ χρηστήρια καὶ τὰς πλάνας καθόλου τὰς μαντικάς. Ὅθεν καὶ νῦν Ἐζεκίας ἄνεισι μὲν ἐπὶ τὸν νεών. Ἀποκρίνεται δὲ τὸ μέλλον Θεὸς, διὰ τοῦ προφήτου φθεγξάμενος. Καὶ χρησμὸς δίδοται δεύτερος, Θεοῦ δεικνύντος ὡς ἀκήκοεν αὐτοῦ τῆς εὐχῆς. Καὶ πρὸς τὸν Ἀσσύριόν φησι· Σὺ μὲν *κατηλαζονεύσω* κατ' ἐμοῦ, καὶ τῆς ἀνακειμένης μοι *πόλεως*, φοβεῖν ἐλπίσας τὴν ἀδιάφθορον καὶ διὰ τοῦτο *παρθένῳ* παραβαλλομένην τοῦ Θεοῦ *πόλιν*, καὶ τὸν ἐν αὐτῇ λαὸν *θυγατέρα Σιὼν τε καὶ Ἰερουσαλὴμ* χρηματίζοντα. Καὶ αὐτὸς δὲ καθαρεύων εἰδωλολατρείας *παρθένος* ὠνόμασται. Διὸ καὶ τῷ ἰδίῳ θαῤῥήσας Θεῷ τὰς σὰς *ἐγέλασεν* ἀπειλὰς, ἀντὶ δὲ τοῦ, *ἐπὶ σοὶ κεφαλὴν ἐκίνησεν*, ἐξέδωκε Σύμμαχος, *ὄπισθέν σου κεφαλὴν ἐκίνησε*. Μὴ δοῦσα γάρ σοι πρὸς τὰς βλασφημίας ἀπόκρισιν, ἀποστρέψαντί φησιν, *ἐπὶ σοὶ κεκίνηκε κεφαλὴν*, ἔλεγέν τε μηκέτι σιγῶσα, *τίνι ὠείδισας καὶ παρώξυνας*; ἀνθ' οὗ, *ἐβλασφήμησας* ἐξέδωκαν οἱ λοιποὶ· οὐ λογισάμενος ὡς

423 Prophetas qui audiebant, tales esse non eo ipso agnoscebant, quod quæ longis postea C temporibus futura erant, ignorantibus prædicerent: sed quod quæ prædixissent, rebus paulo post comprobarent; unde cæterorum etiam fidem facerent. Atque hinc est, quod super asinis Samuel; et super ægro regis filio alius vaticinatur [18]; hic autem Israelitici regis mortem prædicit [19]. Hoc vero permittebat Deus, ne futurorum aviditate, ad idola, et oracula, cæterasque omnino fraudes, quæ divinatione constant, sese converterent. Hinc est etiam, quod cum in templum ascendisset Ezechias, eidem per prophetam de futuris respondet Dominus, editoque oraculo altero, preces ejus auditas esse demonstrat, et Assyrium his verbis alloquitur: Magna tua fuit in me, *urbemque* mihi consecratam *superbia*, qui incorruptam, ideoque D *virgini* comparatam Dei civitatem, ipsumque ejusdem incolam populum (qui et *filia Sion, et Jerusalem*, et *virgo* etiam **424** nominatur, cum nullam habet idololatriæ labem) perterriturum te sperasti. Non immerito itaque Deo suo innixa, minas tuas *risu excepit*. Verum quo loco, *in te caput movit*, habemus, *retro ipsum idem fecisse* dixit Symmachus. Cum enim, ait, ad blasphemias nihil putaret respondendum: *In te revertentem caput movit*; ruptoque silentio, *cui exprobrasti, et quem concitasti?* quæsivit; quorum loco, *in quem*

[17] Isa. x, 5. [18] I Reg. IX, 10; III Reg. XIV, 5 seqq. [19] Isa. XXXVIII, 1.

VARIÆ LECTIONES.

P γρ. μικρῷ.

Digitized by Google

blasphemasti cæteri reddiderunt : cum et Israelis Deum summum non esse, et a tuis nihil differre putares, equitumque virtute in eam regionem *ad montium usque* et *Libani ipsius fastigia* progressum esse ; *cupressos* denique, *et cedros* (quibus elata et superba cæterarum gentium regna significat) *succidisse*.

Ὑψιστός ἐστι καὶ Θεὸς Ἰσραήλ, οἰηθεὶς μηδὲν διαφέρειν τῶν ὑπὸ σοὶ γεγονότων θεῶν, καὶ ἱππικῇ δυνάμει τῆς ἑαυτοῦ ἀναβεβηκέναι *πρὸς ὕψος ὀρῶν* καὶ ἐπ' ἐσχάτου *Λιβάνου κυπαρίττους ἀποκεκοφέναι, καὶ κέδρους*, δηλῶν τὰς ἐπηρμένας τῶν λοιπῶν ἐθνῶν βασιλείας.

Cæterum pro *cupressis*, *abietes* Aquila ; *juniperos* Symmachus ; idemque pro verbis istis, *in altitudinem partis saltus*, alia, *in altitudinem summitatis ipsius in saltum*, usurpavit : ut ipsius Carmeli sterilia loca ; per *saltum* denique, gentes Dei cognitione privatas significaret. Eo præterea temeritatis et arrogantiæ progressus es, *ut pontem te posuisse* adjicias, *aquasque desolasse*, *et omnem congregationem aquarum* ; aut secundum Symmachum, *fodisse te*, *et bibisse aquam*, *pedisque tui vestigio fluvios omnes* (quibus gentium multitudo, earumque de diis opiniones indicantur) *cohærentes desolasse* ; nullaque re præclara magis quam regionum, adversus quas movisti, vastatione glorieris. Sunt tamen, qui *Libani* nomine, non Judæorum regionem tantum, sed et eam etiam, quæ a decem tribubus occupatur, intelligi velint. Altæ enim et excelsæ ambæ fuerunt, cum adjutorem Deum habuerunt. Frequentes deinde et copiosæ, quæ tot incolis abundarunt. Quarum altera jam prorsus occupata, alteram etiam se, paucis exceptis, propria virtute adjecisse sibi cum **425** Assyrius putaret : subjugato Israelis regno quod *altitudinem cedri* vocavit ; et Judææ altero, quod per *saltus partem* designavit, potiturum se arbitrabatur. Sequitur alia de *ponte*, deque *fluminibus exsiccatis* jactatio : qualia ab Asiæ regibus, qui militum multitudine gloriabantur, facta narrantur. Legimus enim et *fluvios ponte junxisse* ; et Xerxem Hellespontum ; et exhaustos bibentium multitudine amnes fluere desiisse. Sed non tua sunt, inquit, ista. Ego enim laborum illis patiendique terminum defixi. At tu, quæ mihi jamdudum certa constat, de impiarum gentium interitu, sententiam meam non vides.

Τὰς δὲ *κυπαρίττους* ὁ μὲν Ἀκύλας *ἐλάτας*, ὁ δὲ Σύμμαχος *ἀρκεύθους* ἐξέδωκεν. Καὶ ἀντὶ τοῦ, *εἰς ὕψος μέρους τοῦ δρυμοῦ, εἰς ὕψος τοῦ ἄκρου αὐτοῦ εἰς τὸν δρυμόν*, τοῦ Καρμήλου αὐτοῦ τὰ ἄκαρπα, καὶ Θεὸν οὐκ εἰδότα ἔθνη, καλέσας *δρυμόν*. Ἀπηυθαδίζετο δὲ κακεῖνο προσθείς, *καὶ ἔθηκα γέφυραν, καὶ ἠρήμωσα ὕδατα, καὶ πᾶσαν συναγωγὴν ὑδάτων*. Ἢ κατὰ Σύμμαχον, ἐγὼ ὤρυξα καὶ ἔπιον ὕδωρ, καὶ ἠρήμωσα ἐν ἴχνει ποδός μου *πάντας ποταμοὺς συνεχομένους*, τὰ τῶν ἐθνῶν πλήθη, καὶ τοὺς περὶ θεῶν λόγους αὐτῶν αἰνιττόμενος, καὶ ἐπ' οὐδενὶ μὲν ἀγαθῷ, ἐπ' ἀφανισμῷ δὲ ὧν ἐπέβη χωρίων καυχώμενος. Τινὲς δὲ τὴν τῶν Ἰουδαίων χώραν *Λίβανον* εἰρῆσθαί φασι, καὶ τὴν ἐν ᾗ κατῴκουν αἱ ι' φυλαί· *ὑψηλαὶ* μὲν γὰρ αὐταὶ, Θεὸν ἔχουσαι βοηθόν. Δασεῖαι δὲ τοσούτους ἔχουσαι τοὺς οἰκήτορας, ὧν τὴν μὲν εἶλε παντελῶς, τὴν δὲ πλὴν ὀλίγων, ἃς ἐνόμισας, φησὶν, ἰδίᾳ δυνάμει χειρώσασθαι, καὶ κρατῆσαι τῆς Ἰσραὴλ βασιλείας, ἣν ἐκάλεσεν *ὕψος κέδρου*, *μέρος* δὲ *δρυμοῦ*, τὸ τῆς Ἰουδαίας ἀπολωλός. Εἶτα περὶ *γεφύρας* φησὶ, *καὶ ποταμῶν ἀφανιζομένων*, ἅπερ ἐποίουν οἱ τῆς Ἀσίας κρατοῦντες, πολυχειρίᾳ θαῤῥοῦντες. Τοὺς μὲν γὰρ *ἐγεφύρουν τῶν ποταμῶν*. Ὁ δὲ Ξέρξης καὶ τὸν Ἑλλήσποντον. Οἱ δὲ ἀπέλειπον ὑπ' ἐκείνων γενόμενοι τῷ τῶν πινόντων οὐκ ἀντέχοντες πλήθει. Ἀλλ' ουστον [q] ἐστι ταῦτα, φησίν. Ἐγὼ γὰρ κατ' ἐκείνων, τοῦ παθεῖν τὸν ὅρον ἐξήνεγκα. Σὺ δὲ τὴν παρ' ἐμοὶ πρόπαλαι κρατοῦσαν γνώμην ἠγνόηκας περὶ τῆς τῶν ἀσεβούντων ἀπωλείας ἐθνῶν.

Qui vero de Samaria et Judæa dici arbitrantur : Decebat te, aiunt, prophetas meos evolvere, et quæ de illis prædicta sunt, quæque te ipso nunc usus, tanquam instrumento, reipsa compleo et præsto, intelligere. Eos etenim clementia mea, veluti *manu*, diu tutatus, postquam ad Salvatorem suum redire nolle adverti, ad *te remisi* ; neque prius in tuam potestatem venerunt. Illi enim, cum fructu careant, *gramini ipsi*, *fenoque tectorum* similes, nullo amplius auxilio protecti, *exaruerunt* ; quod non passi essent, si *vineam* aut olivam se esse maluissent. Ad quæ tu cum mentem non adverteres, civitate mea pari modo potiturum te arbitratus es. Neque enim *cogitationum tuarum* mihi ignotus est sensus ; imo ne quid illæ quidem *primum*, quid *postremum* agitent. Nonnulli *quietis*

Οἱ δὲ περὶ Σαμαρείας καὶ τῆς Ἰουδαίας εἰπόντες εἰρῆσθαι, Ἐξῆν σοι, φασὶ, τοῖς ἐμοῖς ἐντυχεῖν προφήταις, καὶ γνῶναι τὰ προθεσπισθέντα περὶ αὐτῶν, ἃ νῦν εἰς ἔργον ὀργάνῳ σοι χρησάμενος ἤγαγον. Ἐμῇ γὰρ ὥσπερ *χειρὶ* τούτους τῇ ἀνεξικακίᾳ διακρατῶν, ἐπεὶ μὴ ἐπέστρεφον πρὸς τὸν Σωτῆρα τὸν ἑαυτῶν, *ἀνῆκά σοι* τούτους, καὶ τότε γέγονας ἐγκρατής. Ἄκαρποι γὰρ ὄντες, *ἀγρώστει καὶ χόρτῳ* εἰκάζοντο *δωμάτων*, καὶ μηκέτι σκεπασθέντες *ἀπεξηράνθησαν*, ὅπερ οὐκ ἂν ἔπαθον *ἄμπελος* ἢ ἔλαια τυγχάνοντες. Σὺ δὲ μὴ ταῦτα φρονῶν ἀήθης [r] καὶ τῆς ἐμῆς πόλεως ἐν ὁμοίῳ κρατεῖν. Οὐ γὰρ ἀγνοῶ *σου τὰς ἐνθυμήσεις*, οὐδὲ *τὴν εἴσοδόν* τε καὶ *ἔξοδον* τῶν σῶν λογισμῶν. Τινὲς δὲ τὸν μὲν θάνατον αὐτοῦ διὰ *τῆς ἀναπαύσεως* δηλοῦσθαί φασιν. *Εἴσοδον* δὲ *καὶ ἔξοδον*, τὴν ἐν παντὶ τῶν πρακτέων ὁδόν. Λέ-

VARIÆ LECTIONES.

[q] *γρ.* ἀλλ' οὐ σού. [r] *γρ.* ὠφ,θης.

Digitized by Google

γων δὲ ὡς ἡ *πικρία σου ἀνέβη πρός με*, ἢ κατὰ Σύμμαχον, ἡ *ἀλαζονεία σου εἰς τὰ ὦτά μου*, σημαίνει τὸ νῦν αὐτὸν ὑφέξειν τὴν ἐπὶ τούτοις ποινήν. Λοιπὸν, ὡς περὶ κτήνους φησίν· *Φιμὸν κατὰ τοῦ στόματός σου τοσοῦτον ἐμβαλῶ*, ὡς καὶ αὐτὴν συνέχοντά σου τὴν ἀναπνοὴν ἀποπνίξαι. Ὁ δὲ Σύμμαχος, *Δώσω*, φησὶ, *κρίκον εἰς τὸν μυκτῆρά σου, καὶ χαλινὸν εἰς τὰ χείλη σου*, ὡς ἂν μὴ ἔχοι πρός τι θέλοι χωρεῖν, ἕλκοιτο δὲ εἰς τοὐπίσω πρὸς Βαβυλῶνα βαδίζων καὶ μὴ βουλόμενος, ἢ καὶ ἄλλως ἀπειλεῖ καθάπερ *χαλινῷ* ταῖς πληγαῖς τῆς βλασφημίας ἀπείρξειν αὐτόν. Ταῦτα μὲν οὖν εἰρήσθω, φησὶ, πρὸς ἐκεῖνον καὶ μὴ παόντα τῷ σώματι. Πρὸς σὲ δὲ λέγω τὸν Ἐζεκίαν. Εἰς οἱ δεῖ [a] σημείου τῶν εἰρημένων πρὸς πίστιν, ἴσθι *τὸν παρόντα τοῦτον ἐνιαυτὸν τοῖς αὐτομάτως φυομένοις ἐκ γῆς τραφησόμενος*. Γεωργῆσαι γὰρ διὰ τοὺς πολεμίους κεκώλυσαι. Ἀντὶ γὰρ τοῦ [b] *ἐσπαρκας*, *αὐτόματα* πάντες ἐξέδωκαν οἱ λοιποί. Τοῖς δὲ τούτων ὑπολοίποις *ἐνιαυτὸν τραφήσῃ τὸν δεύτερον*. Ἀντὶ δὲ τοῦ *τὸ κατάλειμμα*, Ἀκύλας μὲν καὶ Θεοδοτίων *αὐτοφυῆ*, ὁ δὲ Σύμμαχος *ἀπὸ δένδρων* ἐξέδωκαν.

Δύο ταῦτα στενοχωρηθέντες *ἔτη*, διὰ τὸ τὴν χώραν ὑπάρχειν ἀργὸν, κατὰ τὸ *τρίτον ἔτος*, τὰς ἐκ γῆς ἀπολαύσεις καρπώσεσθε κατ' εἰρήνην διάγοντες, οἱ ἐν Ἰουδαίᾳ μετὰ τὴν ἅλωσιν Σαμαρείας ὑπόλοιποι, *ῥίζαν* ἐν ψυχῇ θεοσεβείας βάλόμενοι, καὶ τῆς ἐμῆς γεωργίας ἄνω βλέποντα καρπὸν ἀποδώσετε, διὰ τοῦτο σωζόμενοι. Τινὲς δὲ, *Τὰ δύο*, φασὶν, *ἔτη τραφήσεσθε ἐκ τῶν ἀποτεθέντων*, ὡς ἐν πολιορκίᾳ καρπῶν, ἅπερ ἔτυχον σπείραντες. *Δύο* γὰρ ἐπιμείναντες [c] *ἔτη* τῇ Σαμαρείᾳ, *τῷ τρίτῳ* πεσούσης αὐτῷ τῆς στρατιᾶς θεηλάτῳ πληγῇ, φυγὰς ὑπεχώρησεν. Τὸ δὲ τῆς εὐθυμίας βέβαιον ὡς ἐπὶ φυτῶν ἡ *ῥίζα* δηλοῖ, τὸ δὲ πολυχρόνιον τὸ καὶ ἄνω σπέρμα ποιεῖν. *Ζηλῶσαι* δέ φησι *Κύριος* [d] ἅμα μὲν, ὡς ὑπὲρ πόλεως ἰδίας· ἅμα δὲ, καὶ διὰ τὰς κατ' αὐτοῦ βλασφημίας. Σώσω δὲ, φησὶν, ὑμᾶς, διὰ τὸ πρέπον ἐμοί. Εἰ δὲ χρὴ καὶ ἄνδρα τιμῆσαι, καὶ ὡς πρὸς τὰ τῇ [e] δοῦναι τὴν σωτηρίαν τῆς πόλεως, *διὰ Δαβὶδ τὸν ἐμὸν δοῦλον* (οὕτω γὰρ ἐξέδωκαν οἱ λοιποὶ) τῆς πόλεως οἰκιστὴν καὶ βασιλέα πρῶτον γενόμενον· ὡς ἂν γνοῖεν πάντες ὅσον ἡ θεοσέβεια δύναται, καὶ τοῖς μετὰ χρόνον ἀναξίοις σωτηρίαν χαριζομένη. Τοῖς δὲ λόγοις ἠκολούθει τὰ ἔργα, τοσούτων ἀπολωλότων, οἷς ὁ τούτων οὐ συναπώλετο βασιλεὺς, ὡς ἂν ἰδὼν τὸ πραχθὲν, τὴν ἄθεον αὐτοῦ γλῶσσαν ἐπιστομίσειν, καὶ μειζόνως κολάζοιτο τῶν ὑπηκόων τῇ συμφορᾷ, καθάπερ καὶ Φαραώ. Ἦν δὲ καὶ πικροτέρας τιμωρίας τὸ πρὸς τῶν παίδων παθεῖν. Ἀνάξεις δὲ πρὸς θεωρίαν τὸν λόγον. *Τὴν* γὰρ τοῦ *Θεοῦ πόλιν* τὴν Ἐκκλησίαν πολιορκοῦσιν αἱρετικοὶ, καθάπερ ὑπὸ στρατηγῷ τῷ διαβόλῳ ταττόμενοι. Τούτων πολ-

nomine, mortem ejus: per *introitum* autem et *exitum*, eam viæ, quæ gerendis rebus omnibus adhibetur, rationem putant designari. Quod autem sequitur, *amarulentia tua ad me*; vel secundum Symmachi interpretationem, *arrogantia tua ad aures meas ascendit*; jam nunc istorum nomine pœnas eum esse daturum significat. Deinceps, tanquam de jumento loquatur, tantum, inquit, *Ori tuo sive frenum sive circulum apponam*, ut respiratione cohibita, suffocari valeas. At Symmachus, *Dabo*, **426** inquit, *in nares tuas annulum, et frenum in labia tua*, ne, quo velis abeas, sed invitus Babylonem retrahaberis. Quanquam alias etiam, plagis, tanquam *freno*, a blasphemiis eum se revocaturum minitari videatur. Atque hæc quidem, inquit, ad eum, licet absentem corpore, dicta sint. Ad te jam Ezechiam mea convertatur oratio. Si quo tibi signo ad eorum fidem, quæ dicta sunt, opus est: scito te *anno isto rebus quæ sponte nascuntur victurum*, qui terram colere propter hostes non possis. Nam pro, quæ *seminasti*, alii omnes, quæ *sponte nascuntur*, interpretantur. *Istorum autem reliquiis anno secundo* nutrieris. Sed pro *reliquiis*, Aquila quidem et Theodotio *sponte natis*, Symmachus autem *ab arboribus* expresserunt.

Vos biennio isto toleratis propter impeditum terræ cultum, agrique cessationem angustiis, *tertio* demum tranquille degentes fructus terræ ipsi percipietis, qui post devictam Samariam in Judæa superstites adhuc pietatis *radices* in mente egistis; et agriculturæ meæ sursum spectantem fructum, qui in eum finem servati estis, edetis. Nonnulli vero *annos duos reconditis*, tanquam de seminatis ante fructibus, obsidionis tempore *victuros* dicunt. *Biennio* enim in Samaria immoratus, *tertio* tandem, plaga divinitus accepta, fugam arripuit. Securitatis deinde firmitas, tanquam in arboribus ex radice, diuturnitas autem ex fructu, qui sursum editur, agnoscitur. *Zelasse* porro *Dominum*, vel tanquam propriæ civitatis nomine, vel propter illatas in se blasphemias significat. Deinde pro decori sui ratione, erepturum se eos adjicit. Quod si, ait, et virum etiam par est honore afficere, patronoque urbis, salutem ipsius concedere; *propter David servum meum* (ita enim reliqui omnes interpretantur) qui primus urbem construxit et rexit, id ipsum futurum est: ut omnes intelligant quantum pietas ipsa valeat, quæ posteris etiam indignis salutem pariat. Neque vero **427** verbis res ipsæ, tot statim trucidatis, defuerunt: quibuscum ideo rex non cecidisse putandus, ut tantam stragem intuitus, os impium sibi ipse obturaret pœnasque idem quam subditi graviores, ut olim Pharao, experiretur. Fuerunt eo ipso graves magis et acerbæ, quod a suis ipse filiis interemptus est. Possis et ad contemplationem sermonem re-

VARIÆ LECTIONES.

[a] γρ. εἴ σοι δεῖ. [b] λ. ἔ. [c] γρ. ἐπιμείναντος. [d] γρ. Κύριον. [e] γρ. προστάτῃ.

Digitized by Google

vocare. *Dei* enim *civitatem*, id est Ecclesiam, etiam obsident et oppugnant hæretici, diabolo ipsi, tanquam duci milites, obtemperantes : quos silentio vincere, quantumvis *blasphemiarum* evomant, assuescendum est, non de rebus vanis, contra Pauli sententiam, verbis decertare [20] : imo hæreticum hominem, post adhortationem alteram, devitare [21] : cum in obfirmatorum et pertinacium morbis nullum medicina locum habeat ; nec nisi iis, qui aures habent, loquendum esse scribatur. Quantumvis igitur, *ut Rapsaces* ille, sive requiem, sive minas annuntient ; ad Deum nos decet accedere, et superne auxilium exspectare. Eos enim latenter repellet Dominus *Sionem* obsidione liberans ; neque adversus Ecclesiam inferi portæ prævalebunt [22].

A λὰ *βλασφημούντων* ἀσκητέον τὴν σιωπὴν Παύλῳ λέγοντι πεῖθομένους, μὴ λογομαχεῖν ἐπ' οὐδενὶ χρησίμῳ. Καὶ πάλιν, αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ. Τοῖς γὰρ κεκρατημένοις οὐ δεῖ ἐγχειρεῖν ὡς νοσοῦσιν ἀνίατα. Γέγραπται γάρ, Εἰς ὦτα ἀκουόντων λάλει. Κἂν ἀναπαύσεις οὖν ἐπαγγέλλωνται, κατὰ *Ῥαψάκην* κἂν ἀπειλῶσιν, Θεῷ μόνον προσέρχεσθαι χρὴ, τὴν ἄνωθεν τοῦ μένους ᵛ βοήθειαν. Ἀποσοβήσει γὰρ αὐτοὺς ἀφανῶς *τὴν Σιὼν* διαφυλάττων ἀνάλωτον. Πύλαι γὰρ ᾅδου τῆς Ἐκκλησίας οὐ κατισχύσουσι.

CAP. XXXVIII.

428-429 1-22 *Contigit autem eo tempore, ut ægrotaret Ezechias usque ad mortem ; accessitque ad eum Isaias filius Amos, propheta, et dixit ei : Hæc ait Dominus : Dispone domui tuæ : quia morieris, et non vives*, etc.

ΚΕΦΑΛ. ΛΗ'.

B α-κβ'. *Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ, ἐμαλακίσθη Ἐζεκίας ἕως θανάτου. Καὶ ἦλθε πρὸς αὐτὸν Ἡσαΐας υἱὸς Ἀμὼς ὁ προφήτης, καὶ εἶπε πρὸς αὐτόν · Τάδε λέγει Κύριος, Τάξαι περὶ τοῦ οἴκου σου. Ἀποθνήσκεις γὰρ σὺ, καὶ οὐ μὴ ζήσῃ*, κ. τ. λ.

430 Qui dixit Deus : « Ego occidam, et vivere faciam ; percutiam, et sanabo [23] ; » ubi hostes per angelum plaga percussit, pium regem pristinæ valetudini restituit. Quod enim *eo tempore* propheta dixit, id, ut cladem illorum demonstraret, adjunxit. Regi autem vitæ finem Deus præsignificat, ut ad salutem postulandam invitet : quibus certe vitam nobis non fati necessitate claudi, sed a Deo quibus novit ipse rationibus, aut in lucem educendo, aut tempora metiendo, aut pro voluntate denique ætatis extremum producendo, definiri demonstratur : cum solus vitæ nostræ tempora dimensus, jamjam morituros sicut Ezechiam, non excitare tantum et recreare, sed exstinctos etiam, sicut patet e Scripturis, in vitam revocare valeat. Undique igitur eversæ nobis ac dissolutæ jacent fati rationes. Quod cum non ignoraret Ezechias, dum per valetudinem licebat, haud segnis idem adversus Assyrios opem imploraturus *in templum* properabat ; qui morbo nunc impeditus, e lecto ipso, Deum ubique adesse nihil dubitans, ad preces se vertit ; in quibus vitæ conscientia fretus, de sua tantum probitate audet attingere, non vitæ propagationem postulare, qui Deum ipsum, eorum quæ mente gerimus, inspectorem et arbitrum esse non ambigat, et *orationis*. . . .

C Ὁ λέξας Θεὸς, « Ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω. πατάξω, κἀγὼ ἰάσομαι, » τοὺς πολεμίους ἀγγέλου πατάξας πληγῇ, τὸν θεοφιλῆ βασιλέα ζωοποιεῖ. Τὸ γὰρ, *ἐν τῷ καιρῷ ἐκείνῳ*, τοῦτο παρίστησιν τῷ τῆς ἐκείνων πληγῆς. Θεὸς δὲ τὸ τέλος αὐτῷ προδηλοῖ, τῆς σωτηρίας ἐνάγων προσαίτησιν. Δι' οὗ δηλοῦται μὴ τὸν χρόνον τῆς ζωῆς ἀνάγκαις εἱμαρμένης ἡμῖν περικλείεσθαι, Θεὸν δὲ τοῦτον ὁρίζειν, καθ' οὓς οἶδε λόγους αὐτὸς, ἢ παράγων εἰς βίον, ἢ τὰ μέτρα τοῦ χρόνου διδοὺς, ἢ τρόπῳ προσάγων τῷ δοκοῦντι τὴν τελευτήν. Ὃ μόνῳ δυνατὸν καὶ θνήσκειν μέλλοντας ἐγείρειν, ἐπιμετροῦντα ˣ χρόνους ζωῆς, ὡς νῦν Ἐζεκίαν, καὶ τεθνηκότας ζωοποιεῖν, ὡς ὅσους ἐδήλωσεν ἡ Γραφή. Καὶ πανταχόθεν ἡμῖν οἱ τῆς εἱμαρμένης διαλύονται λόγοι. Ὑπὲρ Ἐζεκίας εἰδὼς, ὅτε μὲν ἐρρώτο, πρὸς *τὸν ναὸν* ἔθει, περὶ τῶν Ἀσσυρίων αἰτῶν · τῇ νόσῳ δὲ πεδηθεὶς, ἐξ αὐτῆς στρωμνῆς ἀνήγαγε τὴν εὐχὴν, πανταχοῦ παρεῖναι τὸ Θεῖον εἰδώς. Καὶ περὶ τῆς ἰδίας εὐζωΐας μόνον παῤῥησιάζεται, προσθήκην οὐκ αἰτήσας ζωῆς, τῶν κατὰ διάνοιαν εἰδὼς αὐτὸν ἐπιγνώμονα, καὶ *τῆς εὐχῆς* ἐπιτρέψας τ . . . .

. . . . . *relicti sunt* nec laudes forsan celebrantes, aut virtutibus promoventes, imo neque peccantes, sed judicii tempus exspectantes. Aiunt nonnulli resurrectionis spem non tollere, sed ad perditionis *inferos* potius, nisi impetrata *peccatorum* venia Dei manu retrahatur, devenisse se ostendere. Itaque prava illa et lubrica cogitatione liberatus, ad nuptias jam, et *liberorum* procreationem, quo *justitiæ* tuæ præcones a me procreatos ostendere queam, festinabo. Ego rursus præter eam, quæ nobis tradita est, subjectam sensui consolationem,

D . . . *κατελήφθησαν* ᵘ μήτε δοξολογοῦντες ἴσως, ἢ προστιθέντες ἀρεταῖς, μήτε μὴν ἁμαρτάνοντες, τὸν δὲ τῆς κρίσεως καιρὸν ἐκδεχόμενοι. Τινὲς δέ φασιν, ὡς οὐκ ἀναιρεῖ τὰς ἐλπίδας τῆς ἀναστάσεως· δηλοῖ δὲ μᾶλλον, *ὡς Εἰς ᾅδην* ἀπωλείας ἀπελπίζοιτο, μὴ τῆς παρὰ σοῦ βοηθείας τυχὼν παριδόντος τὰς ἐμὰς *ἁμαρτίας*. Διὸ τῆς σφαλερᾶς ἐκείνης ἐννοίας παυσάμενος, σπεύσω πρὸς γάμον καὶ *παιδοποιΐαν* ἐλθεῖν, καὶ τοὺς ἐξ ἐμοῦ κήρυκας τῆς σῆς ἀποδεῖξαι *δικαιοσύνης*. Κἀγὼ δὲ πρὸς τὴν αἰσθητὴν δοθεῖσαν ἡμῖν παραμυθίαν, *τὸν σὸν οἶκον* ἰὼν, εἰς

[20] I Timoth. vi, 20. [21] Tit. iii, 10. [22] Matth. xvi, 18. [23] Deut. xxxii, 39.

VARIÆ LECTIONES.

ᵛ γρ. ὑπομένοντας. ˣ γρ. ἐπιμετροῦντι. ᵘ γρ. κατελείφθησαν.

Digitized by Google

τὸν σὸν ἡμᾶς φόβον συστέλλουσαν, χαριστηρίους ἀποδώσω φωνάς. Τινὲς δὲ τὸ, *παιδία ποιήσω ἅπερ ἀναγγελοῦσιν*, δηλοῦν ἔφασαν, ὅτι χοροστασίαν ψαλτῳδῶν παίδων εὐφώνως ὑμνούντων ἐν τῷ ναῷ στήσειν ἐπαγγέλλεται. Δι' οὗ δὲ *τὴν τελευτὴν* αὐτῷ Θεὸς ἐδήλωσε, διὰ τούτου καὶ τὴν θεραπείαν προσήγαγε, μὴ καὶ ποιεῖν δόξῃ τὸν προφήτην ἐφύβριστον, κακῶν αὐτὸν μόνων ἀποδείξας διάκονον. Παραδοξοποιῶν δὲ Θεὸς, ὃ δοκεῖ τοῖς τραύμασιν ἐπαύξειν τὴν βλάβην, *τὰ σῦκα*, τοῦτο πρὸς ἴασιν ἔδωκεν, ὃ καὶ μέγα *σημεῖον* ἐκπλαγεὶς ὁ Ἐζεκίας καλεῖ τοῦ δυνήσεσθαι *τῷ ποδὶ χρώμενος εἰς τὸν ναὸν ἀναβαίνειν*. Ἐν δὲ τῇ δ' τῶν Βασιλειῶν γέγραπται ὅτι πρὸ πάλαι παρὰ τοῦ προφήτου μαθὼν, ὡς ὁ ἥλιος μέλλει τὴν ἐπὶ τὰ πρόσω ποιεῖσθαι ταχυτέραν ὁδὸν, καὶ ὑφ' ἓν τοὺς ι' κατιέναι βαθμοὺς, αὐτὸς ὡς οἰκειώτερον *σημεῖον* τῆς πρὸς τὸν βίον ἀναστροφῆς, τοῦ ἡλίου τὸν ἀναποδισμὸν ἐξητήσατο, ἔνθα καί φησιν ἡ Γραφὴ, ὡς ἕλκος αὐτῷ πονηρὸν τῆς ἀῤῥωστίας πρόφασις ἦν.

A *in domum tuam* etiam, in qua ad tui timorem colligimur, profectus, gratiarum tibi actiones rependam. **431** Non desunt tamen, qui, quod *filios edam qui annuntiabunt*, dixit, ad puerorum chorum hymnos in templo suaviter modulantium, referant, quem regem instituturum se volunt polliceri. At per quem ei *mortem* Deus denuntiavit, per eumdem etiam et morbi remedium (ne contumeliosum prophetam, malique tantum ministrum habere videretur) attulit. Deinde cum miraculum edere statuisset Deus, *ficum* illi (quæ vulnerum alioquin dolorem augere maxime solet) in remedium tradidit: quo perculsus Ezechias, *signum* maximum id demum esse, *quo pede utens in templum ascendere* posset valeat, profitetur. Invenias autem quarto Regum [24] B Ezechiam, cum olim solem via celeriore decem gradus semel essé confecturum a propheta audisset, promissæ sanitatis *signum* aptius, nempe ut regrederetur postulasse, morbique causam, quo detinebatur, ab ulceris malignitate profluxisse.

ΚΕΦΑΛ. ΛΘ'.

α-η'. *Ἐν τῷ καιρῷ ἐκείνῳ ἀπέστειλε Μαρωδὰχ Βαλαδὰν, ὁ υἱὸς τοῦ Βαλάδον, ὁ βασιλεὺς τῆς Βαβυλωνίας, ἐπιστολὰς, καὶ πρέσβεις, καὶ δῶρα Ἐζεκίᾳ. Ἤκουσεν γὰρ, ὅτι ἐμαλακίσθη ἕως θανάτου, καὶ ἀνέστη*, κ. τ. λ.

CAP. XXXIX.

432 VERS. 1-8. *Tempore illo misit Merodach Baladan, filius Baladon, rex Babyloniæ, litteras, et legatos, et munera ad Ezechiam. Audierat enim ægrotasse ad mortem, et convaluisse*, etc.

Ὁ τῶν Ἰουδαίων διδάσκαλος ἔλεγεν νενοσηκέναι τὸν Ἐζεκίαν ᾠδὴν ἐπὶ τῇ πτώσει τῶν Ἀσσυρίων οὐκ ᾄσαντα χαριστήριον, ὡς ἐπ' Αἰγυπτίοις ὁ Μωσῆς, ὡς ἡ Δεββωρὰ ἐπὶ τῷ Σίσαρᾳ, ὡς ἡ Ἄννα ἐπὶ τῇ γενέσει τοῦ Σαμουήλ. Εἶτ' *ἀρωσθέντα* τοῦτον *ὁ τῶν Βαβυλωνίων* μαθὼν *βασιλεὺς*, πρεσβεύεται πρὸς αὐτὸν, οὐκ ἀργῶς, ἰδὼν δὲ τὴν ἡμέραν, καθ' ἣν ἀνεπόδισεν ὁ ἥλιος, διπλασίαν γεγενημένην. Μηδὲ γὰρ λαθεῖν Χαλδαίους δεινοὺς περὶ ταῦτα τυγχάνοντας. Θεοποιοῦντες δὲ τὸν ἥλιον, ὑπὸ κρείττονος ᾤοντο τοῦτο γενέσθαι δυνάμεως. Καὶ τὴν αἰτίαν πολυπραγμονοῦντες, ἔγνωσαν, ὡς δι' Ἐζεκίαν ὁ τῶν Ἑβραίων ταῦτα πεποιήκει Θεός. Ἐφ' ᾧ καταπλαγεὶς ὁ βασιλεὺς, ἐκείνων τὰς πρὸς αὐτὸν ὡς θεοφιλῆ, συνθήκας ἀσπάζεται. Εἴποις δ' ἂν αὐτὸς ὡς [b] τὰ θαυμαστὰ πάντα κατ' ἐνιαυτὸν ἕνα γεγονέναι μαθὼν, τοῦ Ἀσσυρίου τὴν ἔφοδον, τὴν δι' ἀγγέλου πληγὴν, τὴν κατὰ Σενναχηρεὶμ ὑπὸ τῶν παίδων μετὰ τὴν φυγὴν ἐπανάστασιν, τὴν τοῦ μετ' αὐτὸν ἄρξαντος παιδὸς Ἀχορδὰν σεσιγημένην ἀπώλειαν. Ταῦτα πάντα μαθὼν *Μαρωδὰχ Βαλδὰν υἱὸς* ὢν, οὐ τοῦ Σενναχηρεὶμ, ἀλλὰ *τοῦ Βαλδὰν*, ἐξ ἑτέρου γένους *βασιλεύων Βαβυλωνίων*, ὡς ὠφελ ος (*sic*) τὴν πρὸς τὸν εὐσεβῆ φιλίαν ἀσπάζεται.

Dixit Judæorum magister Ezechiam propterea ægrotasse, quod post Assyriorum stragem, sicut deletis Ægyptiis Moses [25]; sicut interempto Sisare Debbora [26]; sicut Anna denique, ubi Samuelem peperisset [27], Dei beneficium carmine non celebrasset. Ad hunc porro, cum *ægrotasse Babyloniorum rex audisset*, non vana motus occasione, legatos misit, sed quod diem illum, quo cursum suum sol retroegisset, duplo majorem exstitisse deprehendisset. Neque enim id Chaldæos, qui in siderum disciplina multum versati essent, latere potuit; nec ab eisdem, qui solem deum facerent, a potentiore aliqua virtute factum denegari. **433** Itaque cum rei causam anxie scrutati ab Hebræorum Deo propter Ezechiam factum esse agnoscerent: eo commotus rex, quod tanquam ad pietate commendatum accessissent, eorumdem amicitiam et fœdus amplectitur. Dicere possis etiam *Merodacum* non Sennacherimi, sed *Baldani* ex alia stirpe *filium*, tunc *Babyloniorum regem*, postquam uno anno tam multa et stupenda contigisse didicisset; Assyriorum nempe exercitum per angelum deleri; Sennacherimum præterea regem fuga elapsum filiorum manibus trucidari; ejus denique filium Achordanum, qui patri successerat, tacita morte interire, tanquam id totum in suam rem factum esse judicaret, pii regis amicitiam ambivisse.

Ὅτι γὰρ ἐν ἑνὶ πάντα προῆλθε, ἐνιαυτῷ μάθοις ἂν ἐπιστήσας ὡς ἡ ἔφοδος τοῦ Ἀσσυρίου ἔτους τεσσαρεσκαιδεκάτου τῆς Ἐζεκίου βασιλείας ἐγένετο.

Neque enim hujus anni spatio ista omnia contigisse dubitabis, si Assyrii expeditionem quarto et decimo Ezechiæ exstitisse didiceris, cum quinde-

[24] IV Reg. xx, 9-11. [25] Exod. xiv, et xv. [26] Judic. iv, et v. [27] I Reg. ii.

VARIÆ LECTIONES.

[b] γρ. ὡς αὐτός.

Digitized by Google

cim præterea adjunctis, nono et vicesimo ita diem extremum obierit, ut in annum quartum et decimum morbum cadere necessum sit, reliqua autem eumdem præcedere, et eodem tempore contigisse : quibus auditis omnibus ad legatorum missionem inductus est Assyrius. Verum cum ad Ezechiam appulissent ; cujus partes erant rerum olim a Deo gestarum, atque etiam recentium ipsis magnitudinem narrare ; partim, ut beneficii memorem se præstaret, partim, ut illos ad pietatem magis accenderet, quorum exemplo et monitis alii rursum moverentur : ea re neglecta, ita aviditate gloriæ frangi se passus est, ut suos eisdem *thesauros, et domum Nechota* (quam *aromatum cellam* Aquila interpretatur ; *Gaza* Symmachus, nomine Persis divitias significante) *ostentarit*. Qua re non inanem tantum jactantiam suam prodidisse, sed eorum etiam potiundi cupiditatem hostibus præbuisse creditur. Atque hinc est, quod ad eum propheta, veluti sua sponte, non pellente Deo accedens, et quod ipsi vellent non sine multo affectu exquirens; venisse quidem, ut Dei admirabilia opera audirent ; sed sui potius quam Dei admirationem monet excitasse, qui eximias illius virtutes, summumque in res creatas imperium apud **434** eos non prædicarit. Itaque veritus accusari rex, cum *quid illi dicerent*, propheta postularet, obmutuit : qui tamen *unde venissent*, interroganti, non sine ostentatione, *de longinqua terra* respondit ; tanquam nominis sui fama excitatos tam longo venisse itinere gloriaretur. Atque inde est, quod lata a Deo adversum se sententia, *a Babyloniis omnia non modo direptum iri, sed eos etiam, qui a se prodissent, regis eunuchos fore*, statim audivit. Quod Jechoniæ ætate, quantum ex regum historia colligere licet, accidisse putamus : quo tempore Danielem cum sociis in regis aula eunuchum fuisse nonnulli voluerunt. Quibus auditis *Ezechias* circumspecte quidem et pie *quæcunque locutus esset Dominus*, quantumvis hominum aures offendant, *bona esse* adjecit, suæ ætati tantum indulgeri postulans, Deo gratias agit, quod se non sensu malorum ulciscatur, sed sola impendentium fama in viam revocet ; qui sciat ne pœnas quidem istas ad posteros suos esse temere perventuras ; sed sua tantum illos, non quæ ipse admisisset, peccata luituros. Tradunt Hebræi Ezechiæ institutum, qui sibi tantum intentus, populum et urbem negligeret, Deum non amplecti, ideoque deinceps, *Consolamini, consolamini populum meum, dicit Dominus*, prophetam adjicere. Quando enim, aiunt, amore sui regem cernitis avocari ; vel ipsi saltem, qui potestis, *populum meum*, cujus tanquam figmenti curam gero, *consolamini*.

A Ὃς προστεθέντων ἐτῶν αὐτῷ πεντεκαίδεκα, τῷ εἰκοστῷ καὶ ἐνάτῳ τετελεύτηκεν ἔτει, ὡς τὴν νόσον αὐτῷ γεγονέναι κατ' ἔτος τὸ τεσσαρεσκαιδέκατον. Τὰ λοιπὰ δὲ πάντα πρὸ ταύτης κατὰ τὸν αὐτὸν χρόνον συμβεβηκέναι, ὧν ἁπάντων ἀκούσας ἐπὶ τὴν πρεσβείαν ἠπείγετο. Καὶ τῶν ἀνδρῶν ἡκόντων δέον τὸν Ἐζεκίαν τὰς ἄνωθεν τοῦ Θεοῦ διηγεῖσθαι μεγαλουργίας, καὶ τὰ νῦν ἐπισυνάπτειν γενόμενα, ὡς ἂν εὐγνώμων τε δοκῇ, κἀκείνους εὐσεβεστέρους ποιήσειεν, καὶ δι' αὐτῶν ἑτέρους διηγουμένων ἅπερ ἐγνώκασιν· τοῦτο μὲν οὐ ποιεῖ. Φιλοτίμως δὲ χαυνωθείς, *ἀνακαλύπτει τούτοις τοὺς θησαυροὺς, καὶ τὸν οἶκον τοῦ Νεχώθα*, ὅπερ *οἶκον ἀρωμάτων* Ἀκύλας ἔφη, καὶ Σύμμαχος *γάζα*, [e] δὲ παρὰ Πέρσαις τὴν περιουσίαν σημαίνει, τοῦτο δὲ οὐ μόνον τύφον εἶχε καινὸν, B ἀλλὰ καὶ τοῖς [βλεπομένοις] τοὺς πολεμίους ἐπ' ὀφθαλμίαν [d] παρεσκεύαζεν. Ὅθεν ὁ προφήτης ἐλθὼν ὡς ἀπ' οἰκείας γνώμης, ἀλλ' οὐ Θεοῦ δῆθεν πέμψαντος, ὅ τι θέλοιεν οὗτοι πυνθάνεται, ἧθει κεχρημένος πολλῷ, καὶ δεικνὺς ὡς ἦλθον μὲν τὰ τοῦ Θεοῦ παράδοξα μαθησόμενοι, σὺ δὲ σαυτὸν εἰς θαῦμα τούτοις, ἀντὶ Θεοῦ παραδέδωκας, τὴν θείαν οὐ διδάξας ὑπεροχὴν, οὐδ' ὅτι τοῖς αὐτοῦ νεύμασιν ἡ κτίσις ὑποχωρεῖ. Ὁ δὲ πρὸς μὲν τὸ, *τί λέγουσιν*, οὐδὲν ἀποκρίνεται, τὸν ἔλεγχον δεδιώς. Πρὸς δὲ τὸ, *πόθεν ἥκασιν*, ἀλαζονικῶς λέγων· *ἐκ γῆς μακρόθεν*, ὡς κατὰ κλέος αὐτοῦ τῆς φήμης αὐτοὺς καὶ πόρρωθεν ἐνεγκούσης, ὅτε καὶ τὴν ἐκ Θεοῦ κατὰ τούτου λοιπὸν ἀπόφασιν ἤγαγεν· *πάντα ληφθήσεσθαι παρὰ Βαβυλωνίων* C εἰπὼν *καὶ τοὺς ἐξ αὐτοῦ καταγομένους, εὐνούχους τῷ τούτων ἔσεσθαι βασιλεῖ*. Τοῦτο δὲ γέγονεν, ὡς ἐν ταῖς Βασιλείαις ἐγνώκαμεν, ἐν ἡμέραις Ἰεχονίου, ὅτε καὶ οἱ περὶ τὸν Δανιὴλ ἐν τῷ οἴκῳ τοῦ βασιλέως γεγόνασιν, εὐνοῦχοι, καθά φασί τινες, γεγονότες. Ἅπερ *Ἐζεκίας* ἀκούσας εὐλαβῶς τε καὶ εὐσεβῶς *ἀγαθὸν ἔφη πάντα λόγον εἶναι Θεοῦ*, κἂν ἡ τούτων ἀκοὴ τοὺς ἀνθρώπους λυπήσειεν. Τὸν ἐφ' ἑαυτοῦ δὲ μόνον παρῆτήσατο χρόνον, εὐχαριστῶν τῷ Θεῷ, ὅτιπερ οὐ τῇ τῶν κακῶν ἐτιμωρεῖτο πείρᾳ, φήμῃ δὲ μόνῃ τῶν λυπηρῶν τῶν μελλόντων ἐσωφρονίζετο, εἰδὼς μηδὲ τοὺς ἐξ αὐτοῦ τὴν τούτων ἀκρίτως δέξασθαι πεῖραν, ἐφ' οἷς δὲ ἁμαρτήσονται τιμωρουμένους, τῶν ἐξ αὐτοῦ τικτομένων δικαίων μὴ βλαπτομένων τῇ αὐτοῦ ἁμαρτίᾳ. Ὁ δὲ Ἑβραῖος ἔλεγε τὸν D Θεὸν μὴ ἀποδέξασθαι τὴν Ἐζεκίου προαίρεσιν ἑαυτοῦ μόνου φροντίσαντος, ὑπεριδόντος δὲ τοῦ λαοῦ καὶ τῆς πόλεως. Διόπερ ἐπήνεγκεν ἐφ' ἑξῆς, *Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός*. Εἰ γὰρ ἐκεῖνος φίλαυτος πέφηνεν, ἀλλ' ὑμεῖς οἱ δυνάμενοι, *παρακαλεῖτε τὸν ἐμὸν λαόν*. Κήδομαι γάρ μου τοῦ πλάσματος.

CAP. XL.

ΚΕΦΑΛ. Μ'.

435 Vers. 1-8. *Consolamini, consolamini populum meum, dicit Deus. Sacerdotes, loquimini ad*

α-η'. *Παρακαλεῖτε, παρακαλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός· ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν*

VARIÆ LECTIONES.

[e] γρ. ἄ. [d] γρ. ἐποφθαλμιᾷν.

Digitized by Google

Ἱερουσαλήμ. Παρακαλέσατε αὐτὴν, ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς, λέλυται αὐτῆς ἡ ἁμαρτία, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, κ. τ. λ.

A *cor Jerusalem. Consolamini eam, quia repleta est humilitas ejus. Solutum est peccatum illius, quoniam suscepit de manu Domini duplicia peccata sua. Vox clamantis in deserto : Parate viam Domini*, etc.

Περιγράψασα τὴν ὑπόθεσιν τῆς κατὰ τὸν Ἐζεκίαν προφητείας ἡ ἱστορία, ἐξ ἑτέρας ἀρχῆς τοῦ εὐαγγελικοῦ λόγου κατάρχεται, τοῖς τὸ τοῦ Χριστοῦ Πνεῦμα τὸν *παράκλητον* ὑποδεξαμένοις ἐπιβοῶσα, *Παρακαλεῖτε τὸν λαόν μου*. Πάντα γὰρ τὸν ἄξιον αὐτοῦ χρηματίζειν *λαὸν* τὸν ἐξ ἁπάντων τῶν ἐθνῶν ἐξειλεγμένον προστάττει τοῖς ἀποστόλοις *παρακαλεῖν*, ὅπερ ἔδρων, ὡς ὁ Παῦλος ἐδήλωσε λέγων · « Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως, ὁ παρακαλῶν ἡμᾶς ἐν πάσῃ θλίψει B ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως, ἧς αὐτοὶ παρακαλούμεθα ὑπὸ Θεοῦ, » καὶ .τὰ μετὰ ταῦτα, δι' ὧν πάντων τῶν περὶ τῆς *παρακλήσεως* λόγον ἀπέδωκεν. Καὶ ἀλλαχοῦ δὲ, καθάπερ πειθόμενος τῇ προφητικῇ παρακελεύσει, βοᾷ · « Δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ. » Καὶ πάλιν· « Παρακαλῶ δὲ ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Χριστῷ Ἰησοῦ. » Τὸ δὲ *ἱερεῖς*, ὡς μὴ κείμενον παρὰ τοῖς ἄλλοις, ὠβέλισται παρὰ τοῖς Ἑβδομήκοντα.

Absoluta de Ezechia prophetiæ narratione, alium jam illis sermonem, qui Christi Spiritum *consolatorem* exceperunt, *Consolamini populum meum* inclamans, aggreditur. Quemlibet enim, qui *populi* sui appellatione dignus sit, ex omnium gentium numero eximium et selectum *consolari* jubet apostolos : quod eos etiam præstitisse testatur Paulus his verbis : « Benedictus Deus, et Pater Domini nostri Jesu Christi, Pater misericordiarum, et Deus totius consolationis, qui consolatur nos in omni afflictione, per consolationem, qua ipsi a Deo consolamur [28], » cæterisque, quæ sequuntur; in quibus omnibus *consolationis* rationem exhibuit. Alicubi deinde, tanquam prophetica adhortatione persuasus clamat : « Obsecramus per Christum, reconciliemini cum Deo [29]. » Et rursus : « Obsecro vos ego vinctus in Christo Jesu [30]. » Est vero notandum *sacerdotes* vocabulum, tanquam ab aliis non agnoscatur, apud interpretes Septuaginta obelo confodi.

Ὁ γοῦν Σύμμαχός φησι · *Παρηγορεῖτε, παρηγορεῖτε τὸν λαόν μου, λέγει ὁ Θεὸς ὑμῶν. Παραμυθήσασθε τὴν καρδίαν Ἱερουσαλήμ.* Ὃ καὶ συνεφώνησαν οἱ λοιποί. Τίς δὲ ἡ ὥσπερ ἐμψύχου *καρδία* C *τῆς Ἱερουσαλήμ;* Ἦν μὲν εἰπεῖν ἀντὶ τῶν οἰκητόρων εἰρῆσθαι τὴν πόλιν, εἰ μὴ καὶ *τοῦ λαοῦ* διεμέμνητο λέγων, *τὸν λαόν μου.* Τίς δὲ *ὁ λαός;* τίνες δὲ *οἱ παρακαλοῦντες;* Δῆλον ὡς οἱ τὸ Πνεῦμα τὸν παράκλητον ἔχοντες, ὡς ἐλέγομεν, πρὸς οὓς ἔλεγεν ὁ Σωτὴρ, « Κἀγὼ ἐρωτήσω τὸν Πατέρα μου, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα ᾖ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας. » Καὶ πάλιν · « Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, » τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τὸ θεῖον, οὕτω πολλάκις Πνεῦμα καλεῖ. Οἱ τὸν Παράκλητον οὖν δεξάμενοι, *παρακαλεῖν* προστάττονται *τὸν λαὸν* τοῦ Θεοῦ. Ἀλλ' οὐ τὸν Ἰσραὴλ, οὐδὲ τὸν Ἰακὼβ, οὐδὲ τὸν Ἰούδαν· ἀλλ' ἕτερον παρὰ τοῦτον, ὡς ὁ Ζαχαρίας δηλοῖ λέγων · « Τέρπου, καὶ εὐφραίνου, θυγάτηρ Σιὼν, δι' ὅτι ἰδοὺ ἔρχομαι, καὶ D κατασκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος. Καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαὸν, καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου, καὶ ἐπιγνώσῃ ὅτι Κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρός σε. » Δι' ὧν σαφῶς ἔθνη πολλὰ λαὸς *τοῦ Θεοῦ* προαγορεύεται γίνεσθαι. Καὶ ταῦτα λέγει Κύριος ἀπεσταλμένος ὑπὸ ἑτέρου Κυρίου.

Sic igitur Symmachus : *Consolamini, consolamini populum meum, dicit* **436** *Deus vester. Alloquimini cor Jerusalem;* cui etiam cæteri consentiunt. Sed quodnam est ipsius *Jerusalem*, tanquam animantis, *cor?* Urbem quidem ipsam, pro ejus incolis, nominasse respondere liceret, nisi *populum meum* adjecisset. Verum, quis *populus? qui consolatores?* Ipsi nimirum, qui consolatorem Spiritum habentes, ista a Salvatore audierunt : « Et ego rogabo Patrem meum, et alium Paracletum dabit vobis, ut sit vobiscum in sæculum; Spiritum veritatis [31]. » Et rursus : « Cum autem venerit Paracletus [32], » etc. Ita enim sæpe Spiritum sanctum et divinum, sola Spiritus appellatione significat. Qui ergo Paracletum acceperunt, *Dei populum*, non Israelis, non Jacobi, non Judæorum denique, sed alium *consolari* jubentur, de quo Zachariam ita scripsisse legimus : « Gaude et lætare, filia Sion, quia ego venio, et habitabo in medio tui, dicit Dominus. Et confugient gentes multæ ad Dominum in die illa, et erunt ei in populum; et habitabunt in medio tui; et cognoscent quia Deus omnipotens misit me ad te [33], » quibus aperte gentes multas in *populum Domini* abituras prædicitur (1). Et hæc dicit Dominus missus ab alio Domino.

[28] II Cor. I, 3. [29] II, Cor. V, 20. [30] Ephes. IV, 1. [31] Joan. XIV, 16, 17. [32] ibid. 26. [33] Zachar. II, 10, 11.

NOTÆ.

(1) Placet viris theologis brevem istam clausulam ferri posse, cum et Ignatius et Justinus Martyr, ita de Patre et Filio sæpe locuti sint : cum etiam de angelis (de quibus apud Zachariam sermo est) intelligi possit. Ego tamen ab Arriano aliquo ad marginem notata in contextum venisse ideo suspicor, quod eadem ablata locum fieri magis perspicuum videam.

Digitized by Google

Qua ergo ratione hic *Dei populus*, eadem et *cor Jerusalem*, populi scilicet in Ecclesia præstantior numerus, appellatur: non aliter quam in corpore *cordi* principatum tribuimus. Quo loquendi genere rationi et spiritui magis obtemperantium ordo significatur. Itaque *loqui* quidem istos, alios autem, tanquam *consolatione* opus habentes, consolari præcipit. Dicas etiam et sensui subjectæ Jerusalem cives ratione magis pollentes, æquioresque significari; cum reliqua turba crassa fere, corporique maxime addicta sit. Vult igitur et ad istos verba fieri ab eis, qui Spiritum consolationis acceperunt; et peccatorum per prophetiam de Christi adventu, cum cessante *humilitate* etiam *solutum erit peccatum*, veniam denuntiari. *Cordi* ergo superius memoratæ *Jerusalem duplices* pœnas irrogatas **437** esse dicit: quandoquidem (præterquam quod secundum historiam, et illos, quos indicavimus, cum populo agentibus exteris *humiliatos*, eadem tolerasse constat) et ipsi etiam animo torquebantur; cum populi rejectionem lugerent, secundoque jam urbe expugnata, solo templum esse adæquatum intuerentur. *Consolationem* ergo deinceps, quæ Salvatoris adventu præstaretur, cum *vox clamantis* dixit, adjecit. Deinde, *et videbit omnis caro salutare Dei*, addidit, ut Evangelii prædicationem, unde Salvator innotuit, indicaret. Est vero *desertum* hic ab eo aliud, per quod populum Moses traduxit. Deinde, cujusnam viri *vox* in eo? *Clamantis*, respondet: aut ut Aquila interpretatur, *vocantis*. Patet vero et ad quos loqueretur, cum *parare viam Domini* juberet. Quæ omnia auditores istorum quærere, et, ut pergente in actum prophetia, *salutare Dei viderent*, precari fuerat consentaneum.

A Ὡς οὖν οὗτος *λαὸς Θεοῦ*, οὕτω *καρδία Ἱερουσαλὴμ* τὸ κρεῖττον τοῦ λαοῦ τάγμα, καὶ τῆς Ἐκκλησίας τὸ κυριώτατον, ὡς *ἡ καρδία* τοῦ σώματος, δι' οὗ δηλοῦται τὸ λογικόν τε καὶ νοερώτερον τάγμα. Διὸ τούτοις μὲν *λαλεῖν*, *παρακαλεῖν* δὲ τοὺς ἄλλους ἐπέταξεν, ὡς ἂν δεομένους παραμυθίας. Εἴποις δ' ἂν καὶ τῆς αἰσθητῆς Ἱερουσαλὴμ τοὺς λογικωτέρους σημαίνεσθαι, τοῦ λοιποῦ πλήθους οἱονεὶ σαρκώδους καὶ παχυτάτου τυγχάνοντος, καὶ αὐτοῖς οὖν βούλεται *λαλεῖν* τοὺς εἰληφότας τὸ Πνεῦμα τῆς παρακλήσεως, ἄφεσιν ἁμαρτιῶν εὐαγγελιζομένους διὰ τὴν προφητείαν, ἣν ἐπάγει περὶ τῆς Χριστοῦ παρουσίας, παυομένης *τῆς ταπεινώσεως*, *καὶ λυομένης τῆς ἁμαρτίας*. Τῇ οὖν εἰρημένῃ *καρδίᾳ τῆς Ἱερουσαλὴμ διπλῆν* ἐπενηνέχθαι λέγει τὴν κόλασιν, ἐπεὶ καὶ B ἱστορικῶς συναπέλαυον τῶν τοῦ πλήθους κακῶν οἱ δηλωθέντες ὑπ' ἀλλοφύλοις ἔθνεσι *ταπεινούμενοι*, καὶ κατὰ διάνοιαν ἐκόλαζον ἑαυτοὺς, τὴν τοῦ λαοῦ πενθοῦντες ἀποβολήν. Ἀλλὰ καὶ δεύτερον ἡ πόλις ἥλωκεν ὡς καὶ τὸν ἐν αὐτῇ νεὼν κατενεχθῆναι πρὸς ἔδαφος. Τὴν δ' οὖν *παράκλησιν* τῆς τοῦ Σωτῆρος ἐπιφανείας ἐφ' ἑξῆς ἐπενήνοχε, *φωνὴ* λέγων *βοῶντος*· εἶθ' ἑξῆς ἐπιφέρων· *Καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ*, τὸ εὐαγγελικὸν κήρυγμα, δι' οὗ Σωτὴρ ἐγνωρίζετο. Ἑτέρα δὲ νῦν *ἔρημος* εἴρηται παρ' ἣν ὁ Μωσῆς διήγαγε τὸν λαόν. Καὶ τίνος ἀνδρὸς ἐν ταύτῃ *φωνὴ βοῶντος*; κατὰ τὸν Ἀκύλαν, *καλοῦντος*. Δῆλον δὲ καὶ πρὸς τίνας ἔλεγεν· *Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου*. Ἅπερ πάντα εἰκὸς ἦν τοὺς τούτων ἀκροατὰς ζητεῖν, εὔχεσθαί τε τὸ *σωτήριον τοῦ* C *Θεοῦ ἰδεῖν*, προβαινούσης εἰς ἔργον τῆς προφητείας.

Quoniam igitur ista exspectabant qui res propheticas callebant; iis, qui a principibus sacerdotum et magistris missi ad Joannem venerant, ut Christusne, an Elias, an propheta ipse esset, audirent, illa quidem pernegat, se autem *vocem clamantis esse* profitetur [34]. Id enim iis, qui prophetiam norant, dixisse, *desertumque*, in quo agebat, et ipsum *Dei salutare* omni carni conspiciendum pro foribus instare, satis erat ostendisse. Est enim concionatus in Jordanis *deserto*, de quo nunc prophetia, non Jerosolymis, et in ea ipsa *solitudine* Christi *salutare*, ejusdemque *gloria omnibus apparuit*; cum et ad ejus baptismum cœlis apertis in eumD dem se Spiritus columbæ specie demisit, et a Patre dilectus appellari Filius auditus est [35]. Hæc enim signa *gloriæ salutaris* in Jordanis *solitudine* data esse constat. Atque inde est, quod eamdem antea in hunc modum allocutus est: « Lætare, deserta sitiens; exsultet solitudo, et floreat quasi lilium. Florebunt, et exsultabunt deserta Jordanis [36]. » Ita vero si ad historiam intendas, rem esse gestam invenias. Quod si ad **438** arcanam intelligentiam revoces, de Ecclesia recte intelligas, quæ Deo

Ἐπεὶ οὖν ταῦτα προσεδόκων οἱ τῶν προφητικῶν ἐπιγνώμονες, τοῖς ἥκουσιν ὑπὸ τῶν ἀρχιερέων καὶ διδασκάλων, ἐρωτῶσίν τε τὸν Ἰωάννην, εἰ Χριστὸς, ἢ ὁ Ἠλίας, ἢ ὁ προφήτης ἐστὶν, ἀποφάσκει μὲν ταῦτα, τὸ δὲ *φωνὴ βοῶντος εἶναι* διϊσχυρίζεται. Ὡς γὰρ εἰδόσι τὴν προφητείαν ἤρκεσθη τοσοῦτον εἰπὼν, *ἔρημόν* τε δεικνὺς τὴν ἐν ᾗ διῆγε, καὶ τὸ ἐπὶ θύραις εἶναι *τὸ σωτήριον τοῦ Θεοῦ* τὸ πάσῃ σαρκὶ γνωσθησόμενον. Ἐκήρυσσε γὰρ ἐν τῇ *ἐρήμῳ* τοῦ Ἰορδάνου, περὶ ἧς ἡ προφητεία φησὶν, ἀλλ' οὐκ ἐν Ἱερουσαλήμ. Ἐν ᾗπερ *ἐρήμῳ τὸ σωτήριον* ὤφθη Χριστὸς, ἤτε *δόξα* αὐτοῦ *πᾶσιν ἐγνώσθη*, τῶν μὲν οὐρανῶν ἀνοιγομένων, βαπτιζομένου, τοῦ δὲ θείου Πνεύματος ἐν εἴδει περιστερᾶς ἐπ' αὐτὸν καταντήσαντος, τοῦ δὲ Πατέρος φήσαντος αὐτὸν Υἱὸν ὑπάρχειν ἀγαπητόν. Ταῦτα γὰρ *τῆς σωτηρίου δόξης* σημεῖα ἐν *ἐρήμῳ* τοῦ Ἰορδάνου γενόμενα. Διὸ φθάσας ταύτην εὐηγγελίζετο λέγων· « Εὐφράνθητι, ἔρημος ἡ διψῶσα, ἀγαλλιάσθω ἔρημος καὶ ἀνθείτω ὡς κρίνον. Καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου. » Ἐπληροῦτο δὲ καθ' ἱστορίαν μὲν οὕτως· κατὰ δὲ διάνοιαν ἐπὶ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας νοούμενα, ἥ τις πρότερον ἔρημος ὑπῆρχε Θεῷ, ἐν ᾗ μέχρι καὶ τήμερον ἡ αὐτὴ *βοῶ*

[34] Joan. I, 19-25. [35] Matth. III, 13-17. [36] Isa. XXXV, 1, 2.

Digitized by Google

φωνὴ, καὶ τῷ [e] σωτήριον τοῦ Θεοῦ τοῖς προσιοῦσιν εὐαγγελίζεται, πρὸς τὴν ὑποδοχὴν τοῦ Θεοῦ λόγου παρασκευάζουσα τὰς αὐτῶν ἀκοάς. Πρὸς ὃν ἀντιδιαστέλλων τὸν Ἰωάννην φωνὴν ὁ λόγος καλεῖ.

quidem ante destituta, et ad hodiernum usque diem *clamantem* in se *vocem* nacta, etiam *salutare* Dei illam ingredientibus annuntiat, eisque ad Dei verbum audiendum aures præparat; a quo, ut Joannem distingueret, *vocem* propheta nuncupavit.

Ἀντὶ δὲ τοῦ, *Εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ*, Σύμμαχος ἔφησεν, *Ὁμαλίσατε ἐν ἀβάτῳ ὁδὸν τῷ Θεῷ ἡμῶν*. Ὡς ἂν τοῦ Θεοῦ μέλλοντος ἐπιβαίνειν, ἧς οὐκ ἐπέβη τὸ πρότερον οὐκ αὐτὸς, οὐ προφήτης, οὐ δίκαιος, δηλαδὴ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας. Καὶ τῷ *Θεῷ* τὸ *ἡμῶν* προσέθηκεν, ὡς πρὸς ἑτέρους φθεγγόμενος. Ἦσαν γὰρ μύριοι καὶ ἐξ ἀλλοφύλλων ἐθνῶν οἱ τῷ Ἰωάννου προσελθόντες βαπτίσματι. Καὶ ἐν Ἐκκλησίᾳ δὲ ταῦτα πᾶσι προσφωνεῖται τοῖς ἔθνεσιν. Εἶτα δηλοῖ τὰς μὲν *τεταπεινωμένας* τῷ βάθει τῆς κακίας ὑφοῦσθαι ψυχάς. *Ταπεινωθήσεσθαι* δὲ τὰς ἐπηρμένας κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. Καὶ σκολιὰ δὲ καὶ τραχεῖα ψυχὴ, ὁμαλή τε καὶ *εὐθεῖα* γένήσεται· ὡς ἂν δεκτὴ γένοιτο τῆς ἐπιβάσεως τοῦ Θεοῦ. *Ὀρθήσεται* γὰρ, φησὶν, *ἡ δόξα Κυρίου*. Καί τινι λέγων, ἐπάγει· *Καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ*, τοὺς σαρκικοὺς λέγων οὐκ ἐσχηκότας Πνεῦμα Θεοῦ. Κατὰ τὸ, « Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας, » οὓς δὴ [f] *τὸ σωτήριον ὄψεσθαι τοῦ Θεοῦ*. Ἀλλὰ καὶ Πνεῦμα Θεοῦ προφήτης ἕτερος *ὄψεσθαι* τούτους φησὶν, « Ἐκχεῶ, λέγων, ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. » Ἔδει γὰρ τοὺς *τὸ σωτήριον ἐγνωκότας τοῦ Θεοῦ* καὶ Πνεύματος μεθέξειν Θεοῦ. Καὶ τοιαύτην ἐπήγαγε *τοῦ λαοῦ τὴν παράκλησιν*, τοῦ νέου φημὶ. Τοῦ γὰρ παλαιοῦ τὴν ἀπείθειαν εἰδὼς, δευτέρῳ χρῆται κηρύγματι· *Πᾶσα σὰρξ χόρτος. Σαρκὸς* γὰρ αὕτη φύσις, καὶ τοῦ τὴν εἰκόνα φοροῦντος τοῦ χοϊκοῦ. Τὰ γὰρ ἐπὶ γῆς πρὸς βραχὺ μόνον ἀνθοῦντα μαραίνεται. Δεξάμενη [g] δὲ *τὸ σωτήριον τοῦ Θεοῦ*, καὶ τὸ Πνεῦμα σχήσει ἅγιον, ὅ τε οὐχ ὡς *χόρτος ξηραίνεται* ἄνθρωπος, οὐδὲ πεσεῖται τοῦ ἄνθους, μενεῖ δὲ πνευματικὸς, ἀνακαινούμενος εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν.

Verum enimvero quod, *Rectas facite semitas ejus*, hic habemus, *Explanate in invio iter Deo nostro*, dixit Symmachus; ac si illud jam, quod nunquam vel ipse Dominus antea, vel propheta, vel justus quisquam ambulassent (Ecclesiam gentium innuens), iter esset calcaturus. Deinde, ad *Dei* vocem, *nostri* adjecit, ut ad alios locutus esse videretur. Erant enim infiniti de gentium etiam externarum numero, qui ad Joannis baptisma accesserant. In Ecclesia præterea et ista gentibus omnibus clara voce proponuntur. Animas deinde, quæ gravibus malis afflictæ *humiliatæque* sunt, exaltatum iri significat; *depressas* autem quæ se adversus Dei scientiam erexerunt. Anima rursum, quæ prava erat et aspera, plana fiet atque *recta*, ut se calcantem Deum excipiat. *Videbitur* enim, ait, *gloria Domini*. Cui deinde adjicit: *Et videbit omnis caro salutare Dei;* eos carnis nomine, qui Spiritum Dei non habent, innuens, juxta illud: « Non permanebit Spiritus meus in viris istis, quia caro sunt [37]; » quos *Dei salutare visuros esse* significat. Quin et Dei Spiritum propheta alius visuros istos ostendit, ubi ait: « Effundam de Spiritu meo super omnem carnem [38]. » Eos enim Dei Spiritu, qui *salutare Dei visuri essent*, participes fieri decuit. Talem igitur *populi* (recentis inquam) *consolationem* attulit. Cum enim veteris incredulitatem non ignoraret, eidem et altera etiam, *omnis caro fenum* adjiciens, annuntiat. Talis enim natura *carnis* est, et ejus, quod terrenam refert imaginem. Siquidem, quæ in terra sunt, cum brevi solum momento floruerunt, citissime arescunt. Quæ autem *salutare* **439** *Dei* admiserint, et sanctum etiam Spiritum accipient. Imo ne homo quidem *tanquam fenum arescet*, nec flos ejus decidet; sed Spiritu renovatus, ad ejus agnitionem, ad cujus exemplar effictus est, renovabitur.

Κατὰ δὲ τὸ Ἑβραϊκὸν *χόρτον* καλεῖ τὸν Ἰουδαίων λαόν. Ὁ γὰρ Σύμμαχος καὶ Θεοδοτίων ἐκ προσθήκης φασὶν· *Ἀληθῶς χόρτος ὁ λαός. Ἐξηράνθη ὁ χόρτος. Ἐξέπεσε τὸ ἄνθος.* Ὁ δὲ Ἀκύλας, *Πρὸς ὃν ὁ λαὸς ἐξηράνθη; πρὸς ὃν ἀπέρευσεν ἄνθος;* Ἀντὶ τοῦ, *Τὸ δὲ ῥῆμα Θεοῦ ἡμῶν μένει εἰς τὸν αἰῶνα*, ὁ Σύμμαχός φησιν, *Ὁ δὲ λόγος τοῦ Θεοῦ ἡμῶν στήσεται εἰς τὸν αἰῶνα*, Χριστὸν γὰρ αἰώνιον ὑπάρχειν ἡ ἐν τῇ *ἐρήμῳ* λέγει φωνὴ, καὶ συνδιαμένειν αὐτῷ τοὺς τὸ σωτήριον αὐτοῦ δεξαμένους ἀπὸ τῆς γεώδους ἐπὶ τὴν πνευματικὴν μεταστάντας οὐσίαν. Οἱ δὲ ἐκ περιτομῆς μείναντες *σάρκες, χόρ-*

Quod si ad Hebraica attendas, *feni* nomine Judæorum populum significari reperias, cum Symmachum et Theodotionem tanquam per appendicem, *Vere fenum populus, exaruit fenum, excidit flos*, habere; Aquilam autem, *Apud quem exaruit populus, apud quem effluxit flos?* quærere videamus. Quod deinde, *Verbum Domini nostri manebit in æternum*, habemus; ita Symmachus: *Sermo Domini nostri stabit in æternum.* Christum siquidem æternum esse vox ea quæ in *deserto* erat, asserit; et cum eis manere, qui salutari ejus accepto, a terrena in spiritualem sortem transierint: cir-

[37] Gen. vi, 3. [38] Joel II, 28.

VARIÆ LECTIONES.

[e] *γρ. τό.* [f] *γρ. φησί.* [g] *γρ. δεξάμενα.*

Digitized by Google

cumcisos autem, qui *carnes* esse perrexerint, ex ipso appendicis sensu quæ vere *fenum* esse populum adjunxit, *feni* instar evasuros. Ab initio autem quærentes nonnulli, qui statim post sermonem de Ezechia, Christi adventum propheta intulerit; plures quidem Hierosolymorum fuisse direptiones, sed omnium novissimam, ante Christi adventum per Nabuchodonosorem fuisse putant, neque inde postea ad Christum usque terra pulsos aut abductos fuisse. Itaque cum hujus, quæ Ezechiæ prænuntiatur, meminisset, recte etiam *consolationem* adjunxisse. Iis enim præcipue facta est *salutis* promulgatio; juxta illud: « Non sum missus nisi ad oves quæ perierunt domus Israel [39]. » Aiunt tamen nonnulli absurdas eorum cogitationes *consolatione* dignas censuisse. Cum enim absurdæ opinionis qua se eum, qui exspectabatur, esse putabat, pœnas dedisset Ezechias (de se enim dici illud: « Cadent a latere tuo mille, et decem millia a dextris tuis [40], » qui tot hostes cecidisse videret, male crediturus fuerat, nisi tanta spe propter morbum excidisse se, neque sibi jam, sed Christo uni psalmum convenire animadverteret, qui flagellum tabernaculo ejus **440** non appropinquaturum esse moneret), populus cessasse promissiones, et quæ antea sperabat omnia periisse, nullum deinde, qui genti salutem daret amplius exspectandum esse arbitrabatur.

Atque hinc est quod spem abjicientes universorum Deus per prophetam et sacerdotes *consolatur* dicens: *Loquimini ad cor Jerusalem*; quasi læta et facili auditores *consolatione* demulcere jubeat, qua prius onerosa valde et gravis, umbrisque etiam involuta et obscura lex ipsa carebat, quæ mentes minime necessaria docebat. Verbis enim tantummodo levem quamdam et externam notitiam afferebat; cum *salutis* prædicatio in intimos animæ recessus Spiritum induceret. Hinc illa Davidis: « In corde meo abscondi eloquia tua, ut non peccem tibi [41]. » Tale et illud quod a quodam propheta dicitur: « Et ecce testamentum quod ego testabor illis, in diebus illis, dicit Dominus, dans leges meas in mentes eorum; et in corda eorum inscribam eas [42]. » Hinc et Pauli alia: « Epistola nostra vos estis, quæ intelligitur, et legitur ab omnibus hominibus, cum declaratis quod estis epistola Christi, ministrata a nobis, descripta non atramento, sed Spiritu Dei viventis, non in tabulis lapideis, sed in tabulis cordis carneis [43]. » Non desunt qui *sacerdotum* nomine angelos intelligant, quibus etiam *ad corda loqui* posse congruit. Est vero *consolatio*, cum fit ipsi multæ duplicis remissio; sive ipsi carnis affectionibus subjicianur (ultio enim et ista, eaque permagna illis est qui sensu aliquo præditi sunt), sive propter eas puniamur, id est, sive a Deo, qui vere fons vitæ est, rece-

A του δίκην πεσοῦνται, κατὰ τὴν προσθήκην τοῦ, Ἀληθῶς χόρτος ὁ λαός. Ἄνωθεν δέ τινες ἀπορήσαντες πῶς τοῖς Ἐζεκίου λόγοις τὴν Χριστοῦ παρουσίαν ὁ προφήτης ἐπήνεγκε, λέγουσιν ὅτι πολλάκις πολέμιοι τὴν Ἱερουσαλὴμ κατεδήωσαν· ἡ δὲ διὰ Ναβουχοδονόσωρ πρὸ τῆς Χριστοῦ παρουσίας τελευταία γέγονεν ἅλωσις. Μεθ' ἣν ἐπανελθόντες ᾤκουν ἀδιαιρέτως τὴν γῆν μέχρι τῆς Χριστοῦ παρουσίας. Ταύτης οὖν μνησθεὶς πρὸς Ἐζεκίαν τῆς ἁλώσεως τῆς ἐπὶ ταύτῃ μέμνηται *παρακλήσεως*. Προηγουμένως γὰρ τούτοις τὸ *σωτήριον* ἐγένετο κήρυγμα κατὰ τό· « Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ. » Τινὲς δέ φασιν ὡς τὰς αὐτῶν ἀτόπους ἐννοίας ἠξίωσε *παρακλήσεως*. Ἐζεκίου γὰρ ἐπὶ τῇ ἀτόπῳ παιδευθέντος οἰήσει, καθ' ἣν ᾤετο τυγχάνειν ὁ προσδοκώμενος, ὡς καὶ περὶ αὐτοῦ δοκεῖν εἰρῆσθαι τὸ, « Πεσεῖται ἐκ τοῦ κλίτου σου χιλιὰς, καὶ μυριὰς ἐκ δεξιῶν σου, » τοσούτους πεπτωκότας θεώμενον [h]. Ταύτης δὲ τῆς ἐλπίδος διαπεσόντος διὰ τὴν νόσον, ὡς μηκέτι τὸν ψαλμὸν ἁρμόττειν αὐτῷ λέγοντα, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου (μόνον γὰρ ἥρμοττε τῷ Χριστῷ), ὁ λαὸς ᾤετο τὰ τῆς ἐπαγγελίας πεπαῦσθαι, πάντα τε φροῦδα γεγονέναι τὰ ἐλπισθέντα, μηδένα τε σωτῆρα τοῦ γένους φανήσεσθαι.

B

Ὅθεν ὁ τῶν ὅλων Θεὸς ἀπεγνωκότας τούτους διὰ τοῦ προφήτου καὶ τῶν ἱερέων *παρακαλεῖ*, λέγων, *Λαλήσατε εἰς τὴν καρδίαν Ἰερουσαλὴμ*, τοῦτ' ἔστιν, εὐπαράδεκτον τοῖς ἀκροωμένοις τὸν *τῆς παρακλήσεως* ποιήσασθε λόγον, ὅπερ οὐκ εἶχεν ὁ νόμος φορτικῶς ἄγαν περὶ σκιὰν καὶ τύπους εἱλούμενος, οὐκ ἀναγκαῖα παιδεύων τὸν νοῦν. Ἐξωφανῆ γάρ τινα γνῶσιν ἐνεποίει διὰ τοῦ γράμματος. Τὸ δὲ *σωτήριον* κήρυγμα θεωριῶν πληροῖ τὴν ψυχὴν τοῦ Πνεύματος τοῦ θείου τὸ βάθος αὐτῆς ὑπανοίγοντος. Οὕτω τοί φησι καὶ Δαβίδ· « Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὸ λόγιόν σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. » Τοιοῦτον καὶ τὸ δι' ἑνὸς τῶν προφητῶν· « Καὶ αὕτη ἡ διαθήκη, ἣν διαθήσομαι αὐτοῖς ἐν ταῖς ἡμέραις ἐκείναις, λέγει Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ τὰς καρδίας αὐτῶν ἐπιγράψω αὐτούς. » Καὶ ὁ Παῦλος δέ φησιν· « Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε, γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων, φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ, διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ Πνεύματι Θεοῦ ζῶντος, οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις. » Ἱερεῖς δέ τινες τοὺς ἀγγέλους ἐνόησαν, οἷς ἐμπρέπει καὶ τὸ *ἐν καρδίαις δύνασθαι λαλεῖν*. Ἡ δὲ *παράκλησις* ἐν τῷ λελύσθαι τὴν δίκην αὐτῇ [i] διπλῆν γενομένην, ἔν τε τῷ σαρκὸς ἐπιθυμίαις προσκεῖσθαι (κόλασις γὰρ αὐτῇ μεγίστη τοῖς ἔχουσιν αἴσθησιν) ἔν τε τῷ δι' ἐκεῖνα [i] κολάζεσθαι.

C

D

[39] Matth. xv, 24. [40] Psal. xc, 7. [41] Psal. cxviii, 11. [42] Jerem. xxxi, 33. [43] II Cor. iii, 2, 3.

VARIÆ LECTIONES.

[h] γρ. θεωμένου. [i] γρ. αὐτοῦ. [i] γρ. ἐκείνας.

Digitized by Google

Ἤγουν, ἔν τε τῷ ἀποστῆναι Θεοῦ τῆς ὄντως πηγῆς ζωῆς, καὶ τῷ προσχωρῆσαι τοῖς δαίμοσιν, λάκκοις συντετριμμένοις, κατὰ τὴν Ἱερεμίου φωνὴν, συνέχειν ὕδωρ μὴ δυναμένοις. Τινὲς δέ φασιν, ὅτι ὡς οἱ φιλόστοργοι πατέρες τὴν σμικρὰν κατὰ παιδὸς ἁμαρτίαν μείζω πολὺ τῆς ἀξίας νομίζουσιν, οὕτω διὰ φιλανθρωπίαν ὁ Θεὸς τὴν ἐλάττω τῆς ἀξίας διπλασίαν ὁρίζεται. Ἄλλως γὰρ οὐκ ἄξιον τῆς αὐτοῦ χρηστότητος ἐν διπλῷ τιμωρεῖσθαι τοῦ λέξαντος· « Οὐκ ἐκδικήσει Κύριος δὶς ἐπὶ τὸ αὐτὸ ἐν θλίψει. Οἰκτίρμων γὰρ καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός. » Καὶ, « Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. » Σύμφωνον δὲ τῷ, *Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου*, καὶ Ζαχαρίας ὁ τοῦ Βαπτιστοῦ λέγει Πατήρ· « Καὶ σὺ, παιδίον, προφήτης Ὑψίστου κληθήσῃ. Προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι τὰς ὁδοὺς αὐτοῦ. » Περὶ οὗ φησιν ὁ Σωτήρ· « Ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ φαίνων. Ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιαθῆναι πρὸς ὥραν ἐν τῷ φωτὶ αὐτοῦ. » Ἥλιος γὰρ δικαιοσύνης καὶ φῶς ἀληθινὸν ὁ Χριστός. Καὶ τὸ μέσον ἀμφοτέρων ἀσύμβλητον, κἂν ὅτι μάλιστα τὸ ἀνθρώπινον πλῆρες γένοιτο σοφίας τε καὶ φωτός.

Τοῖς δὲ ἀπεγνωκόσι σημεῖον δίδωσι *παρακλήσεως*. Ὅταν γὰρ ἀπὸ τῆς *ἐρήμου* περὶ μετανοίας ἀκούσῃς *φωνῆς*, τότε νόει παρεῖναι τὸν προσδοκώμενον. Ὡς ἀπὸ λεωφόρου δὲ τὰ μὲν ἐχούσης ἀνάντη, τὰ δὲ κοῖλα, καὶ διὰ τοῦτο δυσπορεύτου, τὸν λόγον εἴληφεν· ἥτις ἂν γένοιτο *λεία*, τῶν μὲν καθαιρουμένων ὕψους [k]· τῶν δὲ, πληρουμένων κοιλότητας, ὁποία διὰ Χριστοῦ γέγονεν ἡ τῆς εὐσεβείας *ὁδὸς*, ἄβατος πρότερον ὑπὸ τῶν κοσμοκρατόρων τοῦ σκότους ὑπάρχουσα ταῖς γεώδεσιν ἐγκαταδησάντων ἡμᾶς ἡδοναῖς. *Δόξαν* δὲ *Κυρίου* καλεῖ τὸν Υἱὸν, ὡς ὑπὲρ πᾶσαν ὄντα τὴν κτίσιν καὶ τῆς αὐτῆς θεότητος *τῷ Πατρί*. Τοῦτο δὲ καὶ γενόμενος *ἄνθρωπος* ἔδειξε θαυματουργῶν ἀεὶ, καὶ τὴν κτίσιν μεταπλάττων τῷ ῥήματι, γενόμενος πᾶσι σωτήριον, τῶν ἐννόμῳ θυσιῶν ἁμαρτίας καθαιρεῖν μὴ δυναμένων. Ἐν δὲ Χριστῷ τελειούμενοι τῷ τῆς υἱοθεσίας πνεύματι τετιμήμεθα πάντες, τό γε ἧκον εἰς τὴν τῆς χάριτος δωρεὰν, πᾶσιν αὐτὴν ἁπλώσαντος τοῦ Θεοῦ· εἰ καὶ τῷ τῆς ἀπιστίας σκότῳ ταύτην τινὲς οὐ προσήκαντο. Μηδὲν δὲ ἴδιον ἢ πεπλασμένον λέγειν ὁ προφήτης ἐπιδεικνὺς, *Θεοῦ τὸν λόγον* ἐκάλεσεν. Τίνα δὲ τρόπον ἔστι *τὸ σωτήριον ἰδεῖν τοῦ Θεοῦ*, διδάσκει καταφρονῆσαι δεῖν τῶν φαινομένων, ὡς ἀστάτων εἰπὼν καὶ θάττον *μαραινομένων*, λαβόντας εἰς νοῦν *τὸν Θεοῦ λόγον* μόνον ὡς ἀεὶ ζῶντα, καὶ μένοντα, καὶ πρόξενον ὄντα τῆς αἰωνίου ζωῆς. Εἴποις δ' ἂν *ῥῆμα Κυρίου* καὶ τὴν ἐντολὴν τὴν αὐτοῦ τοῦ Σωτῆρος εἰπόντος· « Ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν ἐμὸν λόγον

A damus; sive ad dæmonas ipsos, lacus contritos (ut Jeremiæ vocibus utar [45]), qui aquam continere non possunt, transeamus. Aiunt autem nonnulli, non aliter quam patres, qui magno liberorum amore flagrantes, leve eorum peccatum longe gravius et acerbius putant; sic et Deum pro sua in homines benevolentia, culpæ leviori pœnas duplo majores irrogare. Alioquin enim duplex exigere supplicium ejus bonitate fuerit indignum, qui dixerit: « Non vindicabit Dominus bis ob idem in afflictione. **441** Misericors enim et miserator Dominus, longanimis, et multæ misericordiæ, et verax [46]. » Et: « Non secundum iniquitates nostras fecit nobis [47]. » Itemque: « Non secundum peccata nostra retribuit nobis [48]. » Et vero quod hic, *Parate viam Domini*, habemus, ei maxime congruum B quod Baptistæ pater Zacharias ait, in hunc modum: « Et tu, puer, propheta Altissimi vocaberis. Præibis enim ante faciem Domini parare vias ejus [49]. » De quo et his verbis etiam loquitur Salvator: « Ille erat lucerna ardens et lucens; vos autem voluistis exsultare ad horam in luce ejus [50]. » Est enim justitiæ sol et vera lux Christus. Neque est quod utriusque differentiam investigari, vel cum alia conferri, quantumlibet illa hominum sapientia et luce abundet, posse putemus.

Iis autem, qui spem abjecerunt, *consolationis* signum proponit. Cum enim in *solitudine*, ait, de pœnitentia concionari *vocem* audieris, tunc eum, C qui exspectabatur, adesse cogitato. Sermonem deinde tanquam a viæ publicæ ratione aggreditur, quæ mox ardua, mox cava, indeque difficilis exsistit; quæ tamen elata partim deprimendo, partim depressa attollendo, *plana* et facilis reddi queat; qualis per Christum *via* pietatis jam exsistit; quæ invia olim ab hujus sæculi tenebrarum potestatibus obsidebatur, a quibus terrenis voluptatibus alligati eramus. *Gloriam* autem *Domini* Filium appellat, tanquam qui omnia a Deo creata longe superans, ejusdem sit *cum Patre* divinitatis. Idipsum vero etiam *homo* factus satis probavit, cum mirandis operibus nunquam non editis, mundum etiam a se conditum, ut cunctis auctor salutis exsisteret, verbo suo transformavit; qui nullis in lege sacrificiis a peccatorum labe mundari purgarique poterat. At jam in Christo perfecti adoptionis spiritu D omnes honoramur, Deo, quantum in se est, ipsum gratiæ munus omnibus offerente et obtrudente, licet infidelitatis tenebris obcæcati nonnulli accedere noluerint. Ac ne quid ex proprio sensu, vel fictum afferre propheta videretur, quod ait, *verbum Dei* nominavit. Ostendit vero quibus modis *salutare* **442** *Dei videre* liceat, cum quæ oculis subjiciuntur, tanquam incerta celeriusque *arescentia* despicere; *verbum* autem *Dei*, tanquam vivum

[45] Jerem. II, 13. [46] Psal. CII, 8, 9. [47] ibid. 10. [48] ibid. [49] Luc. I, 76. [50] Joan. V, 35.

VARIÆ LECTIONES.

[k] *vp.* ὕψος.

Digitized by Google

semper, semperque manens, vitam denique sempiternam afferens, toto animo, totisque viribus amplecti dicit. Dicas et *verbi Dei* nomine Salvatoris præcepta significari, qui ait « Amen, amen dico vobis, si quis sermonem meum servaverit, mortem non videbit in æternum [80]. » Volunt item nonnulli prophetam ipsum, tanquam elata voce perventuram ad omnes gratiam denuntiare jubeatur, gentis suæ miseratione commotum, quæ nihil jam non solum eximium, ut olim, cum Dei sors existeret, habitura sit, sed hujus etiam gloriæ bono caritura, *quid clamare* oporteat postulare, ipsique Deum, cum tantam gratiam capere non posset, *Omnis homo fenum*, respondere. Neque enim et tu, ait, qui verborum meorum ministerio addictus mentem geris carne obscuratam, capere possis. Sed omnis, ait, quamprimum humana cessabit opinio; meus autem de gratia in omnes sermo confirmabitur. Quod cum probe intelligeret Paulus : « O altitud » divitiarum et sapientiæ! » exclamans dixit [81]. Sublata igitur prophetæ dubitatione, quæ summa cogitatione percepit, ab excelso mentis deinceps jubet annuntiare.

A τηρήσῃ, θάνατον οὐ μὴ ἴδῃ εἰς τὸν αἰῶνα. » Τινὲς δέ φασιν, ὡς προσταχθεὶς ὁ προφήτης κηρύξαι μεγαλοφώνως τὴν εἰς πάντας ἥξουσαν χάριν, ἀπὸ συμπαθείας τῆς πρὸς τὸ ἔθνος ἑαυτοῦ, μηδὲν ἔχειν ἐξαιρετὸν μέλλοντος, ὡς ἡνίκα κλῆρος ὑπῆρχε Θεοῦ, ἀποβλητοῦ δὲ τῆς τοιαύτης ἐσομένου τιμῆς ἐκκοπεὶς τὴν διάνοιαν, *τί δέοι βοήσειν* ἔλεγεν. Ἐφ' οἷς Θεὸς τὴν τοσαύτην μὴ χωρήσαντι χάριν φησὶ, *Πᾶς ἄνθρωπος χόρτος*. Καὶ σὺ γάρ, φησὶν, ὁ τοῖς ἐμοῖς διακονούμενος ῥήμασιν, ὑπὸ τῆς σαρκὸς τὸν νοῦν ἐπισκιαζόμενος, χώρειν οὐδὲ δυνήσῃ. Πλὴν πᾶσα, φησὶν, ὑπόληψις ἀνθρωπίνη ταχέως παυθήσεται, οἱ ἐμοὶ δὲ περὶ τῆς εἰς πάντας χάριτος κυρωθήσονται λόγοι. Τοῦτο καὶ Παῦλος νοήσας ἔλεγεν · « Ὦ βάθος πλούτου καὶ σοφίας! » Τοιγαροῦν ἐπιλύσας αὐτῷ τὴν ἀμφιβολίαν, ἀφ' ὕψους τῆς διανοίας ἐξεῖξ κη-
B ρῦξαι παρακελεύεται.

443 Vers. 9-26. *Super montem excelsum ascende, qui evangelizas Sion. Exalta in fortitudine vocem tuam, qui evangelizas Jerusalem. Attollite, nolite timere. Dicite civitatibus Juda : Ecce Deus vester; ecce Dominus cum fortitudine venit, et brachium ejus cum dominatione. Ecce merces ejus cum eo*, etc.

θ-κς'. *Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών. Ὕψωσον ἐν ἰσχύϊ τὴν φωνήν σου, ὁ εὐαγγελιζόμενος Ἰερουσαλήμ. Ὑψώσατε μὴ φοβεῖσθε. Εἶπον ταῖς πόλεσιν Ἰούδα· Ἰδοὺ Θεὸς ὁ ὑμῶν, ἰδοὺ Κύριος. Κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων μετὰ κυρίας. Ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετὰ αὐτοῦ*, κ. τ. λ.

444 Ordine jam, postquam de voce in solitudine clamante disseruit, ad evangelistas Christique adventum transit. Locum vero hunc in modum interpretatur Aquila : *In montem excelsum ascende, quæ tibi ipsi evangelizas, Sion; et attolle fortiter vocem, quæ evangelizas, Jerusalem.* Cæterique similiter, tanquam ad res animatas, Jerusalem et Sionem, sermonem dirigunt. *In quem* vero *montem ascendet Sion, cum et ipse mons dicatur?* Legimus enim : « Mons Sion, in quo habitasti [82]. » Et : « Non enim accessistis ad montem Sion [83]. » Videtur igitur apostolorum chorum significare, quos antea cor Jerusalem, tanquam e circumciso populo eximios aliquos ideo appellavit, quod Dei salutare adepti, sublimes aliqui, unigenitoque similes evasissent, qui *mons* esse quoque dicitur : *in quem ascendere*, Christique adventum promulgare, nihil denique, quantumlibet insurgant aliqui, metuere jubentur : id est, non clam, sed publice, non unius et alterius tantum, sed omnium auribus Evangelium personare, juxta illud : « Quod in aure auditis, in tectis annuntiate [84]. » Atque id ipsum certe præstiterunt, cum orantes dixerunt : « Et nunc, Domine, intuere in **445** minas eorum : et da servis tuis cum libertate loqui verbum tuum [85]. » Deinde vero quod *ecce* dixit, non longe ejus adventum abesse, sed instare demonstrat. Jubet itaque *civitatibus Judæ*, id est synagogis, inclamare eum ipsum esse,

Ἀκολούθως μετὰ τὴν ἐν τῇ ἐρήμῳ βοῶσαν φωνὴν, τὰ περὶ τῶν εὐαγγελιστῶν καὶ τῆς Χριστοῦ παρουσίας ἐπήγαγεν. Ὁ δὲ Ἀκύλας φησὶν · *Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ἑαυτῇ εὐαγγελιζομένη Σιών.*
C *Καὶ ἐπάρων* [1] *ἰσχυρῶς τὴν φωνὴν, εὐαγγελισαμένη Ἰερουσαλήμ.* Καὶ οἱ λοιποὶ δὲ συμφώνως, ὡς πρὸς ἔμψυχον τὴν Ἰερουσαλὴμ καὶ τὴν Σιὼν ἀποτείνονται. *Ἐπὶ ποῖον οὖν ἄνεισιν ὄρος ἡ Σιὼν, ἡ καὶ αὐτὴ ὄρος λεχθεῖσα;* κατὰ τὸ, « Ὄρος Σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ. » Καὶ, « Οὐ γὰρ προσεληλύθατε Σιὼν ὄρει. » Ἔοικε τοίνυν δηλοῦν τὸν τῶν ἀποστόλων χορὸν, οὓς καὶ ἄνω καρδίαν ἔφησεν Ἰερουσαλὴμ, ὡς ἂν ἐκ τοῦ ἐκ περιτομῆς ἐξειλεγμένου λαοῦ, οἳ καὶ τὸ σωτήριον τοῦ Θεοῦ παρεδέξαντο ἐπηρμένοι τινὲς ὄντες, καὶ τῷ μονογενεῖ παρεικασθέντες *ὄρει* καὶ αὐτῷ χρηματίζοντι · *ἐφ' ὃν ἀνιέναι* κελεύονται, τοῦ Χριστοῦ τὴν παρουσίαν κηρύξοντες, κἂν τινες ἐπαναστῶσι, δεδιέναι μηδέν · ἤγουν μὴ λόθρα διδάσκειν κελεύει, δημοσιεύειν δὲ
D τὸ κήρυγμα, καὶ ποιῆσαι πᾶσιν ἐξάκουστον, κατὰ τὸ, « Ὃ ἀκούετε εἰς τὸ οὖς, ἐπὶ τῶν δωμάτων κηρύξατε. » Ὃ καὶ ἔλεγον προσευχόμενοι · « Καὶ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, καὶ δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας λαλεῖν τὸν λόγον σου. » Καὶ τὸ *ἰδοὺ* δὲ λέγων, φασὶ, τὸ μὴ μετὰ μακρὰν ἥξειν δηλοῖ, μονονουχὶ πλησίον ὄντα δεικνύς. Ἤγουν *ταῖς πόλεσιν Ἰούδα* κελεύει βοᾷν, ταῖς τούτων δηλονότι συναγωγαῖς, ὡς οὗτος ἐκεῖνος ὁ πρόπαλαι

[80] Joan. VIII, 51. [81] Rom. IX, 33 [82] Psal. LXXIII, 2. [83] Hebr. XII, 22. [84] Matth. X, 27. [85] Act. IV, 29.

VARIÆ LECTIONES.

[1] γρ. ἔπαρον.

Digitized by Google

προσδοκώμενος, φωναῖς ἁγίων προκαταγγελθεὶς προφητῶν.

Ἐν ταυτῷ δὲ καὶ τὴν αὐτοῦ παρουσίαν ἐδήλωσεν, *μετὰ μεγάλης ἰσχύος ἥξειν* εἰπὼν καὶ *κυριακῆς αὐθεντίας*, ὅτε πρὸς τὰ ἔργα καὶ τὸν μισθὸν ἑκάστῳ παρέξεται. Καθάπερ ἔλεγε· « Μέλλει γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ Πατέρος αὐτοῦ, καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. » Τινὲς δὲ καὶ ταῦτα ἐπὶ τῆς προτέρας ἐδέξαντο παρουσίας, δεικνύντα μὴ καθ' ἕνα τῶν προφητῶν ἥξειν αὐτὸν, οἳ καὶ θαυματουργοῦντες ηὔχοντο. Χριστὸς δὲ κατ' αὐθεντίαν ἤλαυνε πάθη καὶ δαίμονας. Ὅτι δὲ οὐκ ἄκαρπον ὑπὲρ ἡμῶν ὑπέμεινε τὸν σταυρὸν δηλοῖ, λέγων· *Ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ.* Ἔλεγεν γάρ· « Ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μένει. Ἐὰν δὲ ἀποθάνῃ, καρπὸν πολὺν φέρει. » Καὶ πάλιν· « Ἐὰν ὑψωθῶ ἐκ γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Καὶ Παῦλος δέ φησιν· « Ὑπέμεινε σταυρὸν αἰσχύνης καταφρονήσας. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι αὐτοῦ, » καὶ τὰ ἑξῆς. Καὶ ὁ Δαβὶδ δὲ προῦλεγεν· « Πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου. » Τὸ δὲ, *Ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ*, ὁμολογουμένως τῆς προτέρας ἐστὶ παρουσίας. Ὡς μὲν γὰρ κρινεῖ, ὡς δὲ μορφὴν δούλου λαβὼν *ποιμαίνειν τὸ ποίμνιον* εἴρηται ὁ λέγων, Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. *Βραχίονα* δὲ αὐτοῦ καλεῖ, φασὶ, τὴν θεότητα, δι' οὗ *συνάξειν ἄρνας, καὶ ἐν γαστρὶ ἐχούσας παρακαλέσειν* εἴρηται. *Ἄρνας* τοῦ λόγου δηλοῦντος τοὺς ἀρτιγενεῖς ἐν Χριστῷ. Διόπερ Ἀκύλας *ἀρνία* φησίν. Εἴη δ' ἂν ὁ νέος λαός. Οὐ γὰρ ἔφη κριοὺς, ἢ τράγους, ἢ πρόβατα ἐντελῆ, περὶ ὧν ἕτερος τοιαῦτα διδάσκει προφήτης λέγων· « Τὰ δὲ λέγει Κύριος· Ἰδοὺ ἐγὼ κρινῶ ἀναμέσον προβάτου καὶ προβάτου, καὶ κριῶν καὶ τράγων. » Καί· « Οὐχ ἱκανὸν ὑμῖν, ὅτι τὴν καλὴν νομὴν νέμεσθε, καὶ τὰ κατάλοιπα τοῖς ποσὶν ὑμῶν κατεπατεῖτε; καὶ τὸ καθεστηκὸς ὕδωρ ἐπίνετε; καὶ τὸ λοιπὸν τοῖς ποσὶν ὑμῶν ἐταράσσετε; » Καὶ πάλιν· « Ἰδοὺ ἐγὼ κρίνω ἀνὰ μέσον προβάτου ἰσχυροῦ. Ἐπὶ ταῖς πλευραῖς καὶ τοῖς ποσὶν ὑμῶν διωθεῖσθε, καὶ τοῖς κέρασιν ὑμῶν ἐκερατίζετε, καὶ τὸ ἠσθενηκὸς ἐξεθλίβετε. » Διὸ καὶ οἱ ποιμένες αὐτῶν διαβάλλονται παρ' αὐτῷ, Τὰ δὲ λέγει Κύριος, λέγοντι· « Ὦ ποιμένες Ἰσραὴλ, μὴ βόσκουσιν οἱ ποιμένες ἑαυτούς; οὐ τὰ πρόβατα βόσκουσιν οἱ ποιμένες; Ἰδοὺ τὸ γάλα κατεσθίετε. Καὶ τὰ ἔρια περιβάλλεσθε. Καὶ τὸ παχὺ σφάζετε· καὶ τὰ *πρόβατά* μου οὐ βόσκετε. » Ἐπεὶ τοίνυν ἠτάκτει τὰ πρόβατα, οἱ δὲ ποιμένες ἐλυμαίνοντο αὐτὰ, τοῖς ποιμέσι μετάστασιν ἀπειλεῖ, λέγων· « Καὶ ἀποστρέψω ὑμᾶς τοῦ μὴ ποιμαίνειν τὰ πρόβατά μου. » Καὶ ἐπιλέγει· « Ἰδοὺ ἐγὼ αὐτὸς ἐκζητήσω τὰ πρόβατά μου. » . . . . . .

lium minitatur, his verbis : « Et avertam vos, ne ego requiram oves meas [67]. » . . . . . .

qui diudum exspectatus, prophetarum vocibus ante denuntiatus sit.

Simul autem et ejus adventum indicavit, quod *magna cum virtute et potestate dominationis*, quo tempore mercedem unicuique secundum opera persoluturus est, venturum affirmavit. Atque hinc est, quod dicebat : « Filius hominis veniet in gloria Patris sui, et reddet unicuique secundum opera sua [56]. » Non desunt, qui ista etiam ad priorem adventum referant ; quæ, non ut unum ex prophetis aliquem, qui miracula edentes precabantur, ipsum venturum demonstrent, cum sua unius potestate et morbos et dæmonas corporibus Christus abegerit. Neque vero sine fructu, nostro nomine crucem subiisse ostendit, cum ait: *Ecce merces tua mecum*. Dixit enim : « Nisi granum frumenti cadens in terram mortuum fuerit, ipsum solum manet: si autem mortuum fuerit, multum fructum affert [57]. » Et rursum : « Si exaltatus fuero a terra, omnia traham mecum ad me [58]. » Enimvero et Paulus ipse sic ait : « Sustinuit crucem ignominia contempta [59]. — Ideoque et Deus illum superexaltavit, et dedit illi nomen, quod est super omne nomen ; ut in nomine ejus [60], » etc. Idem quoque et David prædixit his verbis : « Omnes gentes quas fecisti, venient, et adorabunt in conspectu tuo [61]. » Deinde quod dixit, *Tanquam pastor pascet gregem suum*, ad priorem adventum procul dubio retulit ; qui tanquam Deum judicare, tanquam hominem autem, assumpta servi persona, *gregem suum*, quia pastor bonus est, *pascere* debere videat. Divinitatem porro *brachium* volunt intelligi, quo dicitur *agnos congregaturus, et prægnantes consolaturus* ; ut *agnorum* nomine eos intelligas, qui recenter in Christo nati sunt, quos ob id *agniculos* Aquila nuncupavit. Possit et hac voce recens populus designari. **446** Non enim arietes, aut hircos, aut oves adultas dixit, de quibus alius in hunc modum propheta loquitur : « Hæc dicit Dominus : Ecce ego judico inter ovem et ovem ; inter arietes et hircos [62]. » Et : « Nonne sufficit vobis, quod bona pascua attondetis ; nisi reliqua etiam pedibus vestris conculcetis ? quod aquam stantem et limpidam bibitis ; nisi reliquam pedibus vestris turbetis [63] ? » Et iterum : « Ecce ego judico inter ovem validam ; vestris lateribus et pedibus protundebatis, et cornibus vestris feriebatis, et invalidam affligebatis [64]. » Atque hinc est, quod pastores eorum idem accusat his verbis : « O pastores Israel, num pascunt pastores seipsos ? num oves a pastoribus pascuntur ? Ecce lac comedite ; vellleribus induimini [65]. At quod pingue est jugulatis ; et oves meas non pascitis. » Quoniam igitur oves infectæ pastorum improbitate petulantes evaserant, pastoribus ipsis exsilium pascatis oves meas [66]. » Deinde colligit : « Ecce . . . . . propheta

[56] Matth. xvi, 27. [57] Joan. xii, 24. [58] ibid. 32. [59] Hebr. xii, 2. [60] Philipp. ii, 9, 10. [61] Psal. lxxxv, 9. [62] Ezech. xxxiv, 17. [63] ibid. 18. [64] ibid. 20, 21. [65] Ezech. ii, 3. [66] ibid. 10. [67] ibid. 10.

Digitized by Google

A multa gloria, et in robore fortitudinis, nihil te latet. Dictum est enim alicubi : « Numerabiles sunt ei guttæ pluviæ [68]. »

447 VERS. 26-31. *Non enim dicas, Jacob, et quid locutus es, Israel? Abscondita est via meu a Deo, et Deus meus judicium abstulit, et recessit, et nunc nescis? Si non audisti, Deus æternus, Deus qui fabricatus est terminos terræ non esuriet, non laborabit, neque erit investigatio sapientiæ ipsius,* etc.

448 Ita Symmachus : *Propter quid dicis, Jacob, et loqueris, Israel?* eique reliquorum consentit interpretatio. Verum absoluto de Deo sermone, eis jam succenset, qui e priore populo sua opera Deum non intueri arbitrabantur. Putas te, si lateas, inquit, *Dei judicio* minime subjacere, quamvis nuper in robore fortitudinis nihil eum latere audieris. Verum tanquam illud antea nec *noveris* ipse, nec *audiveris*, disce jam : id est, si tu, nisi audias, ignorare te dicis, etiam simulationem tuam admittens, dicam. Respondebis nimirum, ignorare te. Atqui, *si nescis, audi* nunc *Deum esse æternum*, neque cœlum modo, sed *terram* universam quoque complecti. Quomodo itaque ipsum latere queas? Sed ubi, *non laborabit*, habemus, alii, *minime dissolutus est*, interpretantur. Rursum, præterquam quod nullam unquam *infirmitate laborat*, neque humanum quid patitur, ea etiam, quæ comprehendi nequit, cognitione præditus est, per quam ad singula usque ejusdem providentia excurrens, pauperes aliquando bene habentes reddit, luxu autem et opibus diffluentes doloribus et curis vitæ hujus multat. Immittit vero et iis etiam, qui sunt in flore ætatis, *virium imbecillitatem* per morbos : cum, qui sævientibus adversariis Deum in martyriis et persecutionibus *exspectant*, quantumvis in hac vita *infirmiores fiant*, ea rerum mutatione mox beentur, ut liberi in cœlum evolent. Est enim altivolans *aquila*; et adversus solis radios oculorum aciem intendit, naturæque senium exuit, juxta illud : « Renovabitur ut aquilæ juventus tua [69]. » — « Operatur namque patientia probationem ; probatio autem spem ; spes autem non confundit [70]. » Itaque *commutatis viribus* vitam istam cum immortali commutabunt, et in angelicam transibunt. Eos enim *aquilarum* facta mentione, cum cœlestibus potestatibus comparat ; quas *alatis* persimiles efficit. Atque inde est profecto, quod quæ in aquis degunt, si *primas* habeant, munda esse censemus [71]. Sic ergo **449** et in hac vita singulorum quoddam *judicium est*; ut in futura, universorum ; etiam si minime ita esse arbitreris, o Israel : indeque ista tibi, reliquisque gentibus congrua denuntio.

A . . . . . προφήτης. Ἀπὸ *πολλῆς δόξης καὶ ἐν κράτει ἰσχύος οὐδέν σε ἔλαθεν.* Εἴρηται γὰρ ἀλλαχοῦ · « Ἀριθμηταί εἰσιν αὐτῷ σταγόνες ὑετοῦ. »

κς-λα'. *Μὴ γὰρ εἶπῃς, Ἰακώβ, καὶ τί ἐλάλησας, Ἰσραήλ, ἀπεκρύβη ἡ ὁδός μου ἀπὸ τοῦ Θεοῦ, καὶ ὁ Θεός μου τὴν κρίσιν ἀφεῖλε, καὶ ἀπέστη, καὶ νῦν οὐκ ἔγνως; Εἰ μὴ ἤκουσας, Θεὸς αἰώνιος, Θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, οὐ πεινάσει, οὐδὲ κοπιάσει, οὐδὲ ἔστιν ἐξέρευσις τῆς φρονήσεως αὐτοῦ,* κ. τ. λ.

Ὁ Σύμμαχος · *Διὰ τί λέγεις, Ἰακώβ, καὶ λαλεῖς, Ἰσραήλ;* καὶ οἱ λοιποὶ συμφώνως. Μετὰ δὲ τὴν ἀποδοθεῖσαν θεολογίαν, ἐπιτιμᾷ τοῖς μὴ νομίζουσι τὰς ἑαυτῶν πράξεις ἐφορᾶν τὸν Θεὸν, ἐκ τοῦ προτέ- B ρου λαοῦ. Νομίζεις, φησὶ, λανθάνων μὴ ὑποκεῖσθαι *κρίσει Θεοῦ*, καίτοι ἀρτίως ἤκουες πρὸς Θεὸν εἰρημένον, Ἐν κράτει ἰσχύος οὐδέν σε ἔλαθεν. Πλὴν εἰ καὶ μὴ πρότερον μήτε *ἔγνως*, μήτε *ἤκουσας*, μάθε νῦν · ἤγουν, εἰ δὲ φῄς μὴ γινώσκειν, εἰ μὴ ἀκούσειας· τῇ σῇ προσποιήσει συντρέχων ἐρῶ. Ἤγουν, ἐρεῖς ὡς οὐκ ἔγνως. Οὐκοῦν, *εἰ μὴ ἤκουσας*, ἴσθι ὡς *ὁ Θεὸς ὁ αἰώνιος*, οὐ μόνον οὐρανὸν, ἀλλὰ καὶ πᾶσαν συνέχει *τὴν γῆν*. Καὶ πῶς δυνήσῃ τοῦτον λαθεῖν; Ἀντὶ δὲ τοῦ, *οὐ κοπιάσει, οὐκ ἐξελύθη*, φασὶν οἱ λοιποί. Πρὸς τῷ δὲ μὴ *ἀσθενεῖν*, μηδέ τι ἔχειν ἀνθρώπινον καὶ ἀκατάληπτον ἔχει τὴν γνῶσιν, δι' ἧς μέχρι καὶ τῶν κατὰ μέρος ἡ τούτου διέρχεται πρόνοια, εὐεκτεῖν μὲν ἔσθ' ὅτε ποιοῦσα τοὺς πένητας, τὴν δὲ τρυφὴν τῶν ἐν πλούτῳ κολάζουσα λύπῃ καὶ φροντίσι βιωτι- C καῖς. Ἐπιβάλλει δὲ καὶ τοῖς ἐν ἀκμῇ τὴν ἐξ *ἀῤῥωστημάτων ἀσθένειαν* · ἐκ δὲ τῶν ἐναντίων οἱ Θεὸν ἐν *μαρτυρίαις* ἢ διωγμοῖς *ὑπομείναντες*, κατὰ τὴν παροῦσαν *ἀσθενοῦντες* ζωὴν, τοσαύτης ἀξιοῦνται μεταβολῆς, ὡς ἐλευθέρους προσαναπτῆναι πρὸς οὐρανόν. Ὁ γὰρ *ἀετὸς* ὑψιπέτης ἐστὶ, καὶ ἀντωπεῖ ταῖς τοῦ ἡλίου μαρμαρυγαῖς, γῆρας τε τὸ φυσικὸν ἀποδύεται κατὰ τό · « Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. » — « Κατεργάζεται γὰρ ἡ μὲν ὑπομονὴ δοκιμήν · ἡ δὲ δοκιμὴ ἐλπίδα · ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. » Διὸ καὶ *τὴν ἰσχὺν ἀλλάξουσι* τὸν θνητὸν βίον μεταβαλόντες, καὶ εἰς ἀγγελικὴν μεταστάντες ζωήν. Διὰ γὰρ *τῶν ἀετῶν*, ταῖς οὐρανίοις αὐτοὺς ἀπεικάζει δυνάμεσιν, ἃς *πτερωτοῖς* ἀφωμοίωσεν. Διὰ D τοῦτο ἄρα καὶ τῶν ἐν ὕδασι καθαρὰ *τὰ πτερύγια*. Οὕτως ἄρα κἀν τῷ παρόντι βίῳ μερικὴ *κρίσις ἐστὶ*, καὶ καθολικὴ ἐν τῷ μέλλοντι, κἂν μὴ τοῦτο σὺ νενόμικας, Ἰσραήλ. Διὸ σοὶ μὲν ταῦτα, τοῖς δὲ λοιποῖς ἔθνεσι κατάλληλα προσφωνῶ.

CAP. XLI.

VERS. 1-7. *Innovamini ad me, insulæ. Principes enim mutabunt potentiam; accedant et loquantur simul; tunc judicium annuntient. Quis suscitavit de oriente justitiam? vocavit eam ad pedes suos, et*

ΚΕΦΑΛ. ΜΑ'.

α-ζ'. Ἐγκαινίζεσθε πρός με, νῆσοι. Οἱ γὰρ ἄρχοντες ἀλλάξουσιν ἰσχύν. Ἐγγισάτωσαν, καὶ λαλησάτωσαν ἅμα, τότε κρίσιν ἀναγγειλάτωσαν. Τίς ἐξήγειρεν ἀπὸ ἀνατολῶν δικαιοσύνην, ἐκάλε-

[68] Eccli. I, 2. [69] Psal. CII, 5. [70] Rom. V, 5. [71] Levit. XI, 1 seqq.

Digitized by Google

cer αὐτὴν κατὰ πόδας αὐτοῦ, καὶ πορεύεται; Δώσει ἔναντίον ἐθνῶν, καὶ βασιλεῖς ἐκστήσει. Καὶ δώσει εἰς γῆν τὰς μαχαίρας αὐτῶν, καὶ ὡς ῥοῦγαν ἐξωσμένα τὰ τόξα αὐτῶν, καὶ δώξεται αὐτούς, κ. τ. λ.

Ἐγκαινίζεσθε πρός με, νῆσοι, ἀνθ' οὗ Σύμμαχος μὲν, *Δουλεύσατε*, φησὶν, *ἐπ' ἐμοῦ, νῆσοι*, Ἀκύλας δὲ καὶ Θεοδοτίων, *Κωφεύσατε πρός με. Σιγᾶν* γὰρ αὐταῖς ἐκέλευσεν, ὡς ἂν ἐπήκοοι γένοιντο θείας ὁμιλίας καὶ σωτηρίου κηρύγματος, *νήσους* λέγων τὰς ἐξ ἐθνῶν Ἐκκλησίας ἤ [a] ἁλμυρὰ τοῦ βίου περιέχει κακία, καὶ τῶν ἐπανισταμένων τὰ κύματα. Ἀλλ' εἰσὶν ἀσφαλεῖς, ὡς ἐπὶ πέτραν βαίνουσαι, τὸν Χριστόν. Διὸ οὐ σαλεύονται. Ἄνω δὲ *τοὺς ὑπομένοντας Κύριον τὴν ἰσχὺν ἀλλάξειν* εἰπὼν, ἐνταῦθα λέγει, *Ἄρχοντες*, ἤγουν ἔθνη, ἀλλαξάτωσαν ἰσχύν, κατὰ Σύμμαχον (ὅπερ [a] *τοῖς ὑπομένουσι Κύριον* τοῦτο νήσοις ἐπιτάττων καὶ ἔθνεσιν), ὡς ἂν ἐπὶ τὸ κρεῖττον τὴν ἀπὸ χείρονος ἰσχὺν μεταβάλοιεν. Τινὲς δέ φασιν ὡς ἔσθ' ὅτε *νῆσοι* καλοῦνται πόλεις καὶ κῶμαι, πλατεῖαν ἔχουσαι κύκλῳ γῆν ἀνήρωτον καὶ κεχερσωμένην, οἷας τὰς Ἰδουμαίων εἶναί φασι, καὶ Μωαβιτῶν, ὡς ἐν ἐρήμῳ κειμένας, αἷς προσφωνεῖ παράδειγμα λαβὼν αὐτὰς τῆς τῶν ἄλλων εἰδωλολατρῶν μανίας, τὴν τῶν ἐθνῶν πρόσληψιν ἐκ μέρους δηλῶν, ἃ βούλεται πρὸς καινότητα μεταβῆναι ζωῆς τὴν παλαιώσασαν αὐτὰ καταλείψαντα πλάνην, ἵνα γένωνται παρθένος ἁγνὴ, μὴ ἔχουσαι σπίλον ἢ ῥυτίδα. *Ὧν οἱ ἄρχοντες ἀλλάττουσι τὴν ἰσχύν*, ὡς τῶν ἐν νόμῳ κρείττους γενόμενοι, καὶ καθάπαξ δυνάμει πνευματικῇ διαφέροντες. Τινὲς δέ φασιν ὡς ψυχαῖς παλαιωθείσαις ἐν ἡδοναῖς τὰς ψυχικὰς αὐτῶν ἀναλαβεῖν συμβουλεύει δυνάμεις, ἀπονιψαμένας τὸ τῶν παθῶν ἁλμυρὸν, τοῦτ' ἔστι τὸν παλαιὸν ἄνθρωπον, καὶ τὸν νέον ἐνδυσαμένας, κατὰ τὸ Παύλῳ δοκοῦν. Εἶθ' ἑξῆς φησιν· *Ἐγγισάτωσαν καὶ λαλησάτωσαν ἅμα*, τὰ ἔθνη καλῶν πρὸς ἑαυτὸν ὁ Θεὸς, καὶ ταῦτα λέγειν τε καὶ φρονεῖν ἐν Ἐκκλησίᾳ διδάσκων, κεκριμένως τε τὸ Χριστοῦ καταγγέλλειν μυστήριον. Τῶν γὰρ ἐξ Ἱερουσαλὴμ *κρίσιν* ὀνομαζόντων τὸν νόμον, ἀντεξάγων αὐτῷ τὸ σωτήριον κήρυγμα *κρίσιν* ἐκάλεσεν. Οὐ γὰρ δικαιοσύνης ἔχει σκιὰν, ἀλλὰ τὴν ἀληθῆ τοῦ Θεοῦ δικαιοκρισίαν, ἣν οἱ νέοι παρὰ Χριστοῦ μαθόντες διδάσκουσιν *ἄρχοντες*, βούλησιν οὖσαν τοῦ Θεοῦ καὶ Πατέρος.

Τινὲς δέ φασιν, ὡς τὸν περὶ *κρίσεως* λόγον βούλεται τὰ ἔθνη μαθόντα καὶ ἑτέροις *ἀπαγγέλλειν*, γνῶναί τε *τίς ἐξήγειρεν ἀπὸ ἀνατολῶν δικαιοσύνην*. *Δικαιοσύνης* γὰρ ἔργον τὸ μὴ μόνον Ἰουδαίους, ἀλλὰ καὶ τὰ λοιπὰ τῶν ἐθνῶν ἐπιγνῶναι τὸν Κύριον. Ὁ δὲ θεῖος Ἀπόστολος καὶ τὸν Χριστὸν *δικαιοσύνην* καλεῖ λέγων· « Ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις. » Οὕτω δὲ καὶ τὸν εὐαγγελικὸν καλεῖ λόγον, λέγων· Οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον· δύναμίν τε καλέσας Θεοῦ

A *vadet. Dabit in conspectu gentium, et reges obstupescere faciet : et dabit in terram gladios eorum, et sicut cremium arcus eorum, et persequetur eos*, etc.

Innovamini ad me, insulæ ; pro quibus Symmachus, *Servite mihi insulæ* ; Aquilas autem et Theodotio, *Tacete apud me*, transtulerunt. *Tacere* enim eas jubet, ut sermoni et salutari prædicationi so attentas præbeant ; *insularum* nomine, conflatas e gentibus Ecclesias intelligens, in quas hujus vitæ nequitia, tanquam maris salsilago, undis et fluctibus undique insurgit. Sed tutæ illæ sunt ; quæ Christo lapidi innixæ, commoveri non valeant. At superius, cum eos, *qui Dominum exspectant, potentiam mutaturos* esse dixisset, nunc *principes*, id est gentes, secundum Symmachum (tanquam *Dominum exspectantes* insulas et gentes alloquatur), idipsum facere, id est ab imbecilliori virtute ad potiorem transire imperat. Aiunt nonnulli *insularum* appellatione civitates et pagos aliquando, qui vastis incultisque terris ambiantur (quales in Idumæorum et Moabitarum solitudine esse dicuntur), intelligi, quos velut in exemplum cæterorum idololatrarum assumit, ut gentium assumptionem ex parte indicet, quas errore veteri relicto, ut virgo pura, omni labe, omnique ruga carentes evadant, ad vitæ novitatem transire significat, *principesque* ipsos, tanquam iis, qui legem sequuntur, superiores, et omnino virtute spirituali præstantiores evaserint, *potentiam commutare*. Censent alii animas, quæ se diu voluptatibus exhauserint, ad vires sibi reparandas, affectionumque salsilaginem eluendam, id est ad veterem hominem, secundum Paulum [72], exuendum, novumque induendum adhortari. Addit vero deinceps, *accedant, et loquantur simul*, quasi gentes ad seipsum vocatas eadem in Ecclesia dicere et sapere, judicioque adhibito Christi mysterium annuntiare Deus moneat. Quia enim legem *judicii* nomine Hierosolymitani nuncupabant, in ejus locum salutis **450** promulgationem substituens, eamdem *judicium* vocavit, quæ non justitiæ umbram, sed veram Dei in judicando rationem complectitur, quam a Christo acceptam (quia Dei et Patris voluntatem habeat) novi *principes* profitentur.

Putant alii postulare, ut quæ de *judicio* gentes didicerunt, aliis etiam ipsæ *annuntient*, utque *quisnam ab oriente justitiam suscitavit*, agnoscant. Fore enim *justitiæ* opus, si non Judæi tantum, sed reliquæ gentes etiam Domini cognitionem adipiscatur. Quin et beatus Apostolus Christum ipsum *justitiam* nuncupavit, dum ait, « Qui factus est nobis sapientia a Deo, et justitia, et sanctificatio, et redemptio [73]. » Sic et idem Evangelicum sermonem appellat, dum se Evangelium non erubescere pro-

[72] Coloss. III, 9, 10. [73] I Cor. I, 30.

VARIÆ LECTIONES

[a] *γρ.* ἅς. [a] *γρ.* ὥσπερ.

Digitized by Google

fessus, virtutem Dei idipsum esse adjicit, in quo justitia ejus reveletur, qui ipsam *ab oriente*, ut lucem sequentibus præbeat, *excitavit, et dedit in conspectum gentium*, unde tumultuantes primum reges in eos, qui eam haberent, persecutionem quidem movere, sed ab eadem, auxiliante Deo, vinci et superari contigit. Ipse enim hosticas eorum machinas, tanquam *cremium* disperdidit *viamque* complanavit, *in pace pedes ejus transirent, qui justitiam ab ipso generationum principio vocavit*, per quam nos postremis tandem sæculis corruptione diabolique aviditate et fraude liberatos, per fidem denique illuminatos, cum in tenebris versaremur, justificavit, qui per prophetam dicit : « Et exorietur vobis, qui nomen meum metuitis, Sol justitiæ[7-8]. » Ipse igitur *eam vocavit*, ut iis, qui in terra degunt, appareret : id est, veniendi auctor fuit, ut secundum viam ejus, qui vocavit, ambularet. Dei enim Patrisque vestigiis insistebat, qui ejus opera adimplens, sua illum natura, cui æqualis est, exprimeret. Unde ait : « Si non facio opera Patris mei, nolite mihi credere [9], » et quæ sequuntur. Deinde, cum voluntati ejus obsequeretur, vel potius, cum ipse Patris voluntas exsisteret, ita Judæos alloquebatur : « Vos secundum **451** carnem judicatis : ego autem non judico quemquam. » Et, « si judico ego, judicium meum verum est, quoniam non quæro voluntatem meam, sed ejus qui misit me [10], » quod eodem *pede* cum Patre pergere vere dixeris, cum scribatur, « Ego in Patre, et Pater in me est [11]. » Et : « Qui videt me, videt et Patrem [12]. » Quibus omnibus eos, qui a principio in hujus sæculi tenebrarumque principis potestatem venerant, ejusdem tyrannide *liberavit;* quos ad tantam vitæ commutationem *obstupescentes* reges dicere valeas ; qui intueantur, ut ipsi ceciderant, *ut cremio* similes evaserant ; ut omnis denique mali operis ratio propter direptam per Christum adversarii supellectilem elanguerat. « Non enim proficiet, inquit, nocere ei [13]. »

Fugatis ergo pulsisque adversariis, *via pedum ejus facta est in pace*. Nihil enim ipsi, quominus ea, quæ ad nos spectant, administraret esse impedimento potuit. Ille igitur ait : Ego sum, qui novissima tempestate *justitiam* demonstravi ; *qui eam a generationibus antiquis vocavi*. Christi siquidem mysterium ab ipsa mundi origine ; quoque modo lapsum Adami reparare deceret, præsciverat. Nec mirum, quando et eorum etiam, qui salvi per fidem futuri sunt, vocationem præscivit. « Quos enim præscivit, ait, et prædestinavit conformes fieri imagini Filii sui, eosdem et vocavit [14]. » Multo magis igitur et ille præcognitus est, qui salvator esse debuit. Ita autem dixerunt nonnulli : ipse quidem est, qui Cyro etiam robur adversus

A ἐπάγει· Δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται. Ὃς καὶ *ἐξ ἀνατολῶν αὐτὴν ἤγειρε* τοῦ φωτὸς εἰς τὸ ἔπεσθαι αὐτῷ, *δοὺς αὐτὴν τῶν ἐθνῶν ἐναντίον*, ὡς θορυβηθῆναι τὰ πρῶτα τοὺς αὐτῶν βασιλεῖς διωγμοὺς τοῖς ἔχουσιν αὐτὴν ἐπεγείραντας, ἡττηθῆναι δὲ πρὸς ταύτης ὑπερμαχοῦντος Θεοῦ. Αὐτὸς γὰρ τὰ πολεμικὰ τούτων *φρυγάνων* δίκην ἠφάνισεν, *ὁδὸν ὁμαλίσας*, ὡς *ἐν εἰρήνῃ διελθεῖν τοὺς πόδας αὐτοῦ, τὴν δικαιοσύνην ἀπὸ γενεῶν καλέσας ἀρχαίων*, δι' ἧς ἐπ' ἐσχάτων ῥυσάμενος ἡμᾶς ἀπὸ τῆς φθορᾶς, καὶ τῆς τοῦ διαβόλου πλεονεξίας, ἐδικαίωσε διὰ πίστεως φωτίσας ἐσκοτισμένους διὰ προφήτου λέγων· « Καὶ ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομα μου ἥλιος δικαιοσύνης. » Αὐτὸς οὖν *ἐκάλεσεν αὐτὴν* ἐμφανισθῆναι τοῖς ἐπὶ γῆς, τοῦτ' ἔστιν

B ἐλθεῖν παρεσκεύασε, ὡς καὶ πορεύεσθαι κατὰ *πόδα* τοῦ κεκληκότος. Κατ' ἴχνος γὰρ ἐβάδιζε τοῦ Θεοῦ καὶ Πατέρος, τὰ ἐκείνου ἔργα πληρῶν, ἐν ἰδίᾳ τε τοῦτον φύσει δεικνύς. Ἦν γὰρ ἴσος αὐτῷ. Διό φησιν· « Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ Πατέρος μου, μὴ πιστεύετέ μοι, » καὶ τὰ ἑξῆς. Τῇ αὐτοῦ δὲ θελήσει ἀκολουθῶν, μᾶλλον δὲ θέλησις ὢν τοῦ Πατέρος, ἔλεγεν Ἰουδαίοις· « Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε, ἐγὼ οὐ κρίνω οὐδένα. » Καί· « Ἐὰν κρίνω ἐγὼ, ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστὶν, ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με, » ὅπερ ἐστὶ *κατὰ πόδα* χωρεῖν τοῦ Πατέρος, ὅθεν ἔλεγεν· « Ἐγὼ ἐν τῷ Πατέρι, καὶ ὁ Πατὴρ ἐν ἐμοί. » Καί· « Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα. » Δι' ὧν ἁπάντων, τοὺς ἐξ

C ἀρχῆς καταδυναστευθέντας ὑπὸ τῶν κοσμοκρατόρων τοῦ σκότους τούτου τῆς τυραννίδος *ἀπήλλαξεν*· οὓς εἴποις ἂν βασιλέας *ἐξεστηκότας* ἐπὶ τῇ τοιαύτῃ τοῦ βίου μεταβολῇ, τὴν πτῶσιν ὁρῶντας τὴν ἑαυτῶν, καὶ ὡς *φρυγάνοις* ἴσοι γεγόνασιν, καὶ πᾶς αὐτῶν κακουργίας ἠσθένησε τρόπος, Χριστοῦ τὰ σκεύη αὐτῶν διαρπάσαντος. « Οὐ γὰρ ὠφελήσει, φησὶν, ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν. »

adversarius in eo, et filius iniquitatis non apponet

Τῶν οὖν ἐχθρῶν δεδιωγμένων, *ἡ ὁδὸς τῶν ποδῶν αὐτοῦ γέγονεν ἐν εἰρήνῃ*. Γέγονε γὰρ οὐδὲν ἐμποδὼν οἰκονομοῦντι τὰ καθ' ἡμᾶς. Ἐγὼ τοίνυν, φησὶν, ὁ ἐν ἐσχάτῳ καταδείξας καιρῷ *τὴν δικαιοσύνην*, *κεκληκὼς δὲ αὐτὴν ἀπὸ γενεῶν ἀρχαίων*. Τὸ γὰρ

D Χριστοῦ μυστήριον ἀπὸ κόσμου προέγνω καταβολῆς, καὶ πῶς δέοι τὴν Ἀδὰμ γενέσθαι διόρθωσιν. Καὶ οὐ θαυμαστὸν, ὅπου καὶ τῶν σωζομένων τὴν διὰ πίστεως προέγνωκε κλῆσιν. « Οὓς γὰρ ἔγνω [a], φησὶ, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, τούτους καὶ ἐκάλεσεν. » Οὐκοῦν πολλῷ μᾶλλον ὁ σώσων προέγνωστο. Τινὲς δὲ οὕτως εἰρήκασιν· Αὐτὸς γάρ [p] ἐστιν ὁ καὶ Κῦρον ἐνισχύσας, κατὰ πάντων ἐθνῶν, ὃν καὶ *δικαιοσύνην* ἐνταῦθα καλεῖ, ἐλευθερώσαντα μὲν τὸν Ἰσραὴλ, ἐκ δὲ τῆς περὶ αὐ-

[7-8] Malach. IV, 2. [9] Joan. XIV, 37. [10] Joan. VIII, 15, 16. [11] Joan. X, 10. [12] ibid. 9. [13] Psal. LXXXVIII 23. [14] Rom. VIII, 29.

VARIÆ LECTIONES.

[a] γρ. προέγνω. [p] Ισ. μέν.

Digitized by Google

τοῦ προῤῥήσεως κατειληφότα τὴν δύναμιν τοῦ Θεοῦ. Καὶ ὡς βουλήσει [Θεοῦ] τὸ κατὰ τῶν ἐθνῶν ἀνεδήσατο κράτος ἴσα φρυγάνοις ἀλόντων, καὶ τὴν πρὸς αὐτὸν ἄγειν ἀναγκασθέντων εἰρήνην. Εἴρηται μὲν οὖν ὁ Κῦρος *δικαιοσύνῃ* διὰ ταῦτα, καὶ ὅτι *δικαίως* αὐτὸν ἐπήγειρε Βαβυλῶνι. Ὁ δὲ καλῶν ᾳ τοῦδε συμπεράσματος *τῆς δικαιοσύνης* ἐν τῷ Κύρῳ μὴ ἑστηκότος ἐπὶ τὴν αὐτοδικαιοσύνην Χριστὸν ὁ λόγος ἀνάγεται, ὡς καὶ οἱ πονηροὶ *βασιλεῖς* ἐν τῇ Γραφῇ ἐπὶ τὸν ἀρχέκακον ἀνάγονται δαίμονα, τῆς ἀκράτου κακίας ἐν ἀνθρώπῳ μὴ χωρουμένης.

A omnes gentes suppeditavit; quem et hic *justitiam* appellat: partim, quod Israelem in libertatem asseruit; partim etiam, quod ab edita de se prædictione virtutem Dei consecutus est. Deinde etiam, quod voluntati divinæ vires suas contra gentes alligavit, quas *cremio* similes expugnavit, pacemque petere coegit. Est igitur propter eas causas *justitia* Cyrus appellatus. Deinde etiam, quod *juste* adversus Babylonem sit *excitatus*. Quæ porro ab illa *justitiæ* perfectione, quæ in Cyro non habetur, ad Christum **452** vere justitiam nos vocat oratio; primum mali auctorem dæmonem (cum summa in hominem malitia non cadat) per malos *reges* significari innuit.

Περὶ δὲ τῶν μελλόντων, ὡς γεγονότων φησί· *Τίς ἐνήργησε καὶ ἐποίησε ταῦτα;* δεικνὺς ὡς ἅπερ ὥρισε γενέσθαι Θεὸς, οὕτως ἔσται, ὡς ἤδη γενόμενα· οὐδὲν γὰρ αὐτῶν διαπεσεῖται μὴ πρὸς ἔργον ἀχθέν. Τὸ δὲ πρὸ πάντων εἶναι ἀναρχόν τε καὶ ἀτελεύτητον ὄντα δεικνὺς, *Ἐγὼ Θεὸς πρῶτος*, φησὶ, καὶ μετὰ ταῦτα. Αὐτὸς γὰρ ὁ καὶ τοῖς ἐξ ἀρχῆς θεοφιλέσι γνωσθεὶς, καὶ ὁμ [ὁ μετὰ τὸν] πρότερον λαὸν τῇ ἐξ ἐθνῶν Ἐκκλησίᾳ πεπιστευμένος. Ὅθεν ἐπήνεγκεν· *Ἴδοσαν ἔθνη, καὶ ἐφοβήθησαν.* Ἢ ὅτι οὕτω διέθηκα τὸν Ἀσσύριον, ἐπαναστήσας αὐτῷ Κῦρον, ὡς ἀνόνητα γενέσθαι βοηθεῖν ἐκείνῳ βουλόμενα, καὶ τῆς τῶν εἰδώλων ἀσθενείας καταβοᾷν, τοῦ Θεοῦ τὸ κράτος θαυμάζοντα· ἢ ὅτι τῆς προτέρας ἀβλεψίας παυσάμενα, ἔγνωσαν τὸν εἰρηκότα· *Ἐγὼ Θεὸς πρῶτος καὶ εἰς τὰ ἐπερχόμενα.* Καὶ *ἰδόντα ἐφοβήθησαν* ἐν ἀρχῇ γενόμενα σοφίας. « Ἀρχὴ γὰρ σοφίας φόβος Κυρίου. » Καὶ μέχρι τῶν περάτων τῆς γῆς, καὶ τῶν βαρβαρωτάτων διῆλθε τὸ κήρυγμα, καὶ τῆς θεογνωσίας *ὁ φόβος* κατὰ τό· *Ἐγγισάτωσαν, καὶ λαλησάτωσαν ἅμα.* Ἀλλ' ἐκεῖ μὲν ἐκελεύοντο ἁπαντᾷν καὶ λαλεῖν, δηλονότι δοξάζειν Θεόν· ἐνταῦθα δὲ, *Ἤγγισαν, καὶ ἦλθον ἅμα κρίνων ἕκαστος τῷ πλησίον βοηθῆσαι.* Σώζειν γὰρ οἱ θεοφιλεῖς μεθ' ἑαυτῶν καὶ *τοὺς πλησίον* ἐπείγονται, ἀγάπης αὐτοὺς νόμῳ τῆς ἀπιστίας ἐξέλκοντες, λέγοντες ὡς Καὶ ἡμεῖς ποτε ἦμεν τέκνα ὀργῆς, εἰδωλολατρείᾳ προσκείμενοι, νῦν δὲ τὸν ὄντως ἐγνωκότες Θεὸν διεσώθημεν, τῆς τῶν εἰδώλων ἀσθενείας κατεγνωκότες δεομένων τοῦ πρὸς στάσιν στηρίζοντος, ὅπερ οὐκ ἔχουσιν οἰκοθεν· ἀλλ' οὐδὲ σταθέντα κινεῖσθαι δυνήσεται. Καὶ πῶς ἔτι ταῦτα θεοί;

VARIÆ LECTIONES.

[1] γρ. μαχαίρᾳ, καὶ ἀφάνισον. [1] Ισ. τυφλοῖς.

Digitized by Google

δεδικαιώμεθα. Περὶ οὗ φησι καὶ Δαβίδ· « Εἰργάσατο δικαιοσύνην ἐν μέσῳ τῆς γῆς. » Ἐκ γῆς γὰρ εἴχετην σάρκα μὴ κατελθοῦσαν ἐξ οὐρανοῦ.

sumus : de quo et Davidis illa sunt : « Operatus est salutem in medio mundi [18], » quia carnem de *terra* non *cœlo* demissam habuit.

θ'-ιζ'. Ἐγώ εἰμι Κύριος ὁ κτίσας σε, ποιῶν βελτίω, κατεσκεύασα ὡς πηλὸν κεραμέως. Μὴ ὁ ἀροτριῶν ἀροτριάσει τὴν γῆν ὅλην τὴν ἡμέραν; Μὴ ἐρεῖ ὁ πηλὸς τῷ κεραμεῖ, Τί ποιεῖς, ὅτι οὐκ ἐργάζῃ, οὐδὲ ἔχεις χεῖρας; Οὐαὶ ὁ λέγων τῷ πατρὶ, Τί γεννήσεις; κ. τ. λ.

Ἐπιτιμᾷν ὁ λόγος δοκεῖ τοῖς μετὰ τοσαύτην ἐπαγγελίαν τὴν περὶ τῆς ἀνακλήσεως μὴ προστρέχουσι τῷ Θεῷ, καὶ ὡς πάντων ὄντι Θεῷ κατὰ καιρὸν παιδεύοντι τὸν λαὸν, καὶ πάλιν ἀναλαμβάνοντι, *βελτίω τε* τὸν ναὸν καὶ τὴν πόλιν *κατασκευάζοντι* δίκην *κεραμέως* τὰ συντριβέντα πάλιν ἀνανεουμένῳ, καὶ τῶν πρώτων κρείττω δεικνύντι τὰ δεύτερα. Τὴν αὐτὴν λαβὼν Θεὸς καὶ πρὸς Ἱερεμίαν εἰκόνα προσέθηκεν· « Εἰ καθὼς ὁ κεραμεὺς οὗτος οὐ δυνήσομαι τοῦ ποιῆσαι ὑμᾶς οἶκος Ἰσραήλ; » καὶ νῦν δέ φησι διὰ τοῦ παρόντος προφήτου, ὅτι *βέλτιον* [k] *κατεσκεύασα*, νῦν ὡς *πηλὸν κεραμέως* τὸν πάλαι συντριβέντα λαόν. Ἀντὶ δὲ τοῦ *ποιῶν βέλτιον κατεσκεύασα*, Σύμμαχος ἔφησεν· *Οὐαὶ ὁ ἀντιλέγων τῷ πλάσαντι αὐτόν*. Ἀντὶ δὲ τοῦ· *Μὴ ὁ ἀροτριῶν ἀροτριάσει τὴν γῆν*; ὁ Θεοδοτίων, *ἀροτριῶν τοὺς ἀροτριῶντας τὴν γῆν*. Ἐγὼ γὰρ, φησὶν, ὁ τοὺς οἰκοῦντας τὴν γῆν γεωργῶν μετέπλασα τὸν λαόν. Μὴ οὖν ἐναντιοῦσθε ταῖς ἐμαῖς οἰκονομίαις, *ὡς οὐδὲ πηλὸς κεραμεῖ*. *Πηλοῦ* γὰρ λόγον *ἐκ γῆς πλασθέντες* ἔχομεν ὡς πρὸς *κεραμέα* τὸν πάντων Δημιουργόν. Πᾶς μὲν οὖν ἐναντιούμενος ταλανίζεται, ἐξαιρέτως δὲ ὁ Πατέρα λαχὼν τὸν Θεὸν αὐτῷ τε λαὸς ἀνακείμενος. *Οὐαὶ γὰρ ὁ λέγων τῷ πατέρι αὐτοῦ, Τί γεννήσεις*; ἢ κατὰ Σύμμαχον, *Τί ἐγέννησας*; Οὐ παύονται γάρ τινες ἐγκαλοῦντες Θεῷ· Τί γὰρ ἔδει τούτου τοῦ βίου; Τίς ἡ τούτου διοίκησις; καὶ τίς ἐκείνων ἡ χρεία; ἐχρῆν δὲ οὕτω γεγενῆσθαι.

Εἶτά φησιν· *Ἐρωτήσατέ με περὶ τῶν υἱῶν μου, καὶ περὶ τῶν ἔργων τῶν χειρῶν μου*. Διὰ μὲν τῶν *υἱῶν* σημαίνων τὴν νοερὰν οὐσίαν καὶ λογικήν. Διὰ δὲ τῶν *ἔργων*, τὰ μέρη τοῦ κόσμου. Εἰ μὲν γὰρ ἔχεις τι, φησὶν, εἰπεῖν, εἰς ταύτων διόρθωσιν, λέγε. Εἰ δὲ μαθεῖν τις ἐθέλει περὶ αὐτῶν, διὰ τῶν ἐμῶν *ἐρωτάτω* με προφητῶν, καὶ γνώσεται τίνα τρόπον πάντα διέπω κηδόμενος. Τίνα γὰρ ἔχει μέμψιν *ἀνθρώπου* δημιουργία; ποῖον δὲ κάλλος ἢ μέγεθος *οὐρανὸς* οὐ παρέρχεται; τί δὲ μὴ πρὸς χρείαν ἐγένετο; *Γῇ* μὲν οἴκησιν *ἀνθρώπῳ*, καὶ φυτὰ, καὶ ζῶα πρὸς τὴν αὐτοῦ χρῆσιν, παρέχουσα. *Οὐρανοῦ* δὲ *ἄστρα* νῦν μὲν αὐτῷ δᾳδουχοῦντα· νῦν δὲ πάλιν ἐν ἁρμονίᾳ κινήσει σημεῖα καὶ χρόνους ἀποτελέσαι δυνάμενα. Πρὸς δὲ τοῖς ἄλλοις καλοῖς, *Ἤπειρα* καὶ διὰ τὸν ἐμὸν

habet copulatam. Nisi si quis *justitiæ de terra exorientis* nomine, Dominum significari malit, per quem misericordiam consecuti, justique effecti

non *cœlo* demissam habuit.

514 Vers. 9-17. *Ego sum Deus, qui creavi te, faciens meliorem, præparavi ut lutum figuli. Num qui arat terram, arabit tota die? num dicet lutum figulo : Quid facis, quoniam non operaris, neque habes manus? Væ qui dicit patri, Quid generabis?* etc.

Illis oratio succensere videtur, qui post tantas promissiones ad eum non festinant, qui tanquam omnium Deus, cum populum aliquandiu afflixit, admittit rursum, temploque et urbe *in melius præparatis*, quæ contrita fuerant, non aliter quam *figulus*, instaurat, et secunda prioribus meliora efficit. Est vero et apud Jeremiam eadem usus imagine Deus, cum ait : « Nunquid, sicut figulus iste, non potero vobis facere, domus Israel [19]? » Sic et hujus se jam prophetæ voce contritum veterem populum, *tanquam figuli lutum* **515** *reparasse, melioremque* effecisse significat. Sed notandum est, quo loco, *faciens meliorem præparavi* habemus, *væ qui contradicit fictori suo* Symmachum legere, deinde, pro *nunquid arans arabit terram*, Theodotionem, *qui arat arantes terram*, interpretari. Ipse enim, ait, populum in formam aliam mutavi, qui terræ incolas, agrorum instar, exerceo, et subigo. Videte igitur ne instituto meo meæque providentiæ adversemini, *non magis quam lutum figulo*. Sumus enim *luti* instar, qui *de terra fingimur*, si ad omnium opificem *figulum* respicimus. Est igitur infelix quicunque eidem adversatur, sed ille præcipue qui Deum in Patrem sortitus, eidemque populus effectus ipsi sese audet opponere. Væ enim *qui dicit patri suo, Quid generabis?* aut, secundum Symmachum, *Quid genuisti?* non desinunt enim Deo sic conviciari nonnulli : Ecquidnam vita ista opus fuit? ecquid isthæc administratio? Ecqua illorum utilitas? At ita fieri oportuit.

Deinde subjicit : *Interrogate me de filiis meis, et de operibus manuum mearum*. Ubi *filiorum* nomine, intelligendi, ratiocinandique capaces naturas ; per *opera* autem, mundi partes intellexit. Si quid enim vales dicere, inquit, tu illud in istorum emendationem directionemque producito. Sin autem discere et audire de illis quisquam cupiat, per meos me prophetas *interrogei*, ut qui omnia ipse magna cura obeam, intelligat. Quid enim est in *hominis* fabrica, quod quisquam reprehendat? Quid pulchrum adeo, vel magnum, quod splendore et amplitudine *cœlum* non superet? Quid non in eodem ad utilitatem comparatum? *Terra* quidem ipsa in habitationem, ut plantæ, et animalia in usum, *hominibus* cesserunt : *cœli* autem *astra*, partim qui-

[18] Psal. LXXIII, 12. [19] Jerem. XVIII, 6

VARIÆ LECTIONES.

[k] γρ. βελτίω.

Digitized by Google

dem ut ipsi prælucerent; partim vero, ut motu continuo signa et tempora conficere valerent. Ad hæc, ut præclara alia taceam, *excitavi* et ipse in populi mei commodum **516** *regem*, vel *Cyrum* innuens; *cujus*, inquit, *viæ rectæ sunt*, aut secundum Symmachum : *Et omnes vias ejus dirigam : et ipse ædificabit civitatem meam.* Eam enim ipse potentia *ædificavit*, qui volentibus redire, et idipsum præstare, multis *muneribus* acceptis concessit [20] : vel Zorobabelem de stirpe Davidis prognatum; qui cum redeuntibus præfuisset, et ipse templum *instauravit*. Itaque et de illo in hunc modum legimus: « Manus Zorobabel fundarunt domum istam, et manus ejusdem perficient eam [21]. »

λαὸν *βασιλέα*, ἢ *Κῦρον*, λέγων, οὗ, φησὶν, *αἱ ὁδοὶ εὐθεῖαι*. Ἡ κατὰ Σύμμαχον, *καὶ πάσας τὰς ὁδοὺς αὐτοῦ εὐθυνῶ. Καὶ οὗτος οἰκοδομήσει τὴν πόλιν μου*. Δυνάμει γὰρ αὐτὸς αὐτὸν ᾠκοδόμησεν ἐπιτρέψας τοῖς ἐθέλουσιν ἀνιέναι, καὶ τοῦτο ποιεῖν *μετὰ δώρων* τούτους ἀφείς. Ἡ Ζοροβάβελ ἐκ Δαβὶδ ἑλκοντα τὴν γονὴν, ὃς ἡγησάμενος τῶν ἀνελθόντων ᾠκοδόμησε τὸν ναόν. Περὶ οὗ φησιν· « Αἱ χεῖρες Ζοροβάβελ ἐθεμελίωσαν τὸν οἶκον τοῦτον, καὶ αἱ χεῖρες αὐτοῦ ἐπιτελέσουσιν αὐτόν. »

Commodius autem de Christo intelligatur, cum de se ita loquatur : « Ego constitutus sum rex ab eo super Sion montem sanctum ejus [22]; » cujus sine controversia *rectæ sunt viæ*, quique veram *civitatem exstruxit*, dicens : « Super petram ædificabo Ecclesiam meam, et portæ inferi non prævalebunt adversus eam [23]; » quæ vivis lapidibus constans expugnari non potest : quam item ab ortu ad occasum protensam servitute dæmonum gratis liberavit, juxta illud : « Gratia salvati estis [24]. » Quæ enim historice de *Cyro*, vel Zorobabele dicuntur, verorum sunt symbola. Ad Christum siquidem melius referatur illud : *Hæc autem dicit Dominus christo meo Cyro*. Neque enim, ut præsentibus verbis significatur, *Cyrus* ipse, fuit *unctus Domini*, cum Persa esset : aut *civitatem ædificavit;* sed ejus tantum fundamenta facere cœpit, quæ deserta postea ad Darii usque tempora permansit. Adhæc, quæ sequuntur deinceps, Christo potius, quam Zorobabeli, aut *Cyro* conveniant; in quibus *Ægyptum laborasse* dicit, ut eos omnes qui propter idolorum cultum in dæmonum potestatem venerant, innui demonstret. Ad te autem *regem*, addit (de quo isthæc habetur prophetia), gens omnis barbara transibit. *Saba* enim *Æthiopica* gens est, cujus olim ad Salomonem regina se contulit [25]. Istis vero felicem rerum exitum, Christi nimirum *adorationem* prædicit, qui et *Deus erat*, et Deum in se (quod ipsi prius ignorabant adoratores) habebat. **517** Idem vero et *Israelis salvator* fuit, quod *Jesus* nomine indicatur.

Οἰκειότερον δ' ἂν ἐπὶ Χριστοῦ λαμβάνοιτο, ὃς καί φησιν· « Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ. » *Οὕπερ* ἀληθῶς *αἱ ὁδοὶ εὐθεῖαι*. Καὶ τὴν ἀληθινὴν αὐτὸς *ᾠκοδόμησε πόλιν*, λέγων· « Ἐπὶ τὴν πέτραν οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. » Ἥτις ἐκ λίθων συνέστηκε ζώντων, ἀκαθαίρετός τε, καὶ ἀπὸ ἀνατολῶν εἰς δυσμὰς παρατείνουσα ἠλευθέρωσέν τε τῆς ἐκ δαιμόνων δουλείας, καὶ ταῦτα προῖκα, κατὰ τὸ, « Χάριτί ἐστε σεσωσμένοι. » Τὰ γὰρ κατὰ *Κῦρον*, ἢ Ζοροβάβελ ἱστορικὰ, σύμβολα τῶν ἀληθῶν ὑπῆρχεν. Ἐπὶ Χριστοῦ γὰρ μᾶλλον ἁρμόσει τὸ, *Τάδε λέγει Κύριος τῷ χριστῷ μου Κύρῳ*. Κατὰ γὰρ τὴν πρόχειρον λέξιν, οὔτε *χριστὸς Κυρίου*, Πέρσης ὢν ὑπῆρχεν *ὁ Κῦρος*, οὔτε τὴν *πόλιν ᾠκοδόμησεν*, πλὴν τῆς τῶν θεμελίων ἀρχῆς. Εἶτα διέμεινεν ἔρημος μέχρι τῆς βασιλείας Δαρείου. Καὶ τὰ ἑξῆς δὲ μᾶλλον τῷ Χριστῷ ἢπερ Ζοροβάβελ ἁρμόσει καὶ *Κύρῳ*, ἐν οἷς *Αἴγυπτόν* φησι *κεκοπιακέναι*, δι' αὐτῆς δηλῶν τοὺς ὅσοι πάλαι διὰ τῆς εἰδωλολατρείας ἦσαν δεδουλωμένοι τοῖς δαίμοσιν. Ἐπὶ δὲ σὲ τὸν προφητευόμενον *βασιλέα* καὶ πᾶν ἔθνος διαβήσεται βάρβαρον. *Σαβὰ γὰρ* ἔθνος *Αἰθιοπικὸν*, οὗπερ ἡ βασίλισσα πρὸς Σολομὼν παρεγένετο. Τέλος δὲ τούτοις ἀγαθὸν τὴν Χριστοῦ προαγορεύει *προσκύνησιν*, ὃς καὶ *Θεὸς ἦν*, καὶ Θεὸν εἶχεν ἐν αὐτῷ, ὅπερ οἱ προσκυνοῦντες ἠγνόουν τὸ πρότερον. Αὐτὸς δὲ καὶ *τοῦ Ἰσραὴλ ὁ Σωτήρ*. Τὸ γὰρ *Ἰησοῦς* ὄνομα τοῦτο δηλοῖ.

Ilis porro *adorantibus*, qui e circumcisorum gentiumque numero Ecclesiæ *adversati*, eamdem persecuti sunt, cum nihil a se imminutam, sed auctam intuebuntur, *pudore suffundentur*. Ita autem transtulit Theodotio : *Verum in te fortis : et non est adhuc præter eum*. Ubi Aquila etiam *fortis* vocabulo usus est. Deinde, pro quo *nesciebamus* habemus, *latentem* Theodotio et Symmachus, *absconditum* autem Aquila reddiderunt : ut abstrusam et reconditam esse Christi divinitatem demonstrarent. Recte autem ad ea, quæ de Christo prædixit, et ejusdem discipulorum mentionem adjecit. Erant enim *Israel, qui salvatur*, per eosdemque, *insulas*

Τούτων δὲ *προσκυνούντων οἱ ἀντικείμενοι καταισχύνονται* ἐκ περιτομῆς τε καὶ ἐθνικοὶ κατὰ καιροὺς τὴν Ἐκκλησίαν διώξαντες. Μηδὲν γὰρ μειώσαντες ηὔξησαν. Ὁ δὲ Θεοδοτίων ἐξέδωκεν· *Πλὴν ἐν σοὶ ἰσχυρὸς, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ*. Καὶ Ἀκύλας, *ἰσχυρὸς*, ἔφησεν· Ἀντὶ δὲ τοῦ· *οὐκ ἤδειμεν*, ὁ μὲν Θεοδοτίων καὶ Σύμμαχος, *καρυφαίους* [1]. Ὁ δὲ Ἀκύλας, *ἀποκρυπτόμενος*· τὸ ἀπόκρυφον τῆς τοῦ Χριστοῦ θεολογίας ἐμφήναντες. Ἀκολούθως δὲ τῇ περὶ Χριστοῦ προφητείᾳ καὶ τῶν αὐτοῦ μέμνηται μαθητῶν. Αὐτοὶ γὰρ ἦσαν *Ἰσραὴλ ὁ σωζόμενος*, δι' ὧν τὰς *νήσους ἀνεκαίνισεν* Ἐκκλησίας, οἷς ἁρμόσει καὶ τὸ, Οὐκ αἰσχυνθήσονται

[20] I Esdr. II, 1 seqq. [21] Zachar. IV, 9. [22] Psal. II, 6. [23] Matth. XVI, 18. [24] Ephes. II, 5. [25] III Reg. X, 1 seqq.

VARIÆ LECTIONES.

[1] χρυφαίους.

Digitized by Google

τοσοῦτον ἔργον πανταχοῦ τῆς οἰκουμένης ὀνύσασιν; Τινὲς δὲ οὕτως ἄνωθεν ἐξηγήσαντο· Τὴν αἰτίαν δίδωσι δι' ἣν ἐνηνθρώπισε λέγων· *Ἐγώ εἰμι ὁ κτίσας σε.* Τὸ δὲ *εἰμί*, τὴν ἀληθῆ παρέστησεν ὕπαρξιν, καὶ τὴν ὄντως οὖσαν ζωήν. *Ἔκτισα δέ σε* ἐπ' ἀφθαρσίᾳ, θάνατον μὴ ποιήσας, οὐδέ τε ζῶον ἐπὶ γῆς ἀπέδειξα παραπλήσιον· *σὲ* γὰρ *μόνον* ὡς *κεραμεὺς* χερσὶν ἰδίαις *διέπλασα* τῇ ἐμῇ τιμήσας εἰκόνι πρὸς τῇ πλάσει τοῦ σώματος. Περὶ οὗ καὶ πρὸς Ἰὼβ ἔφασκεν· « Ἢ σὺ λαβὼν [m] ἔπλασας ζῶον, καὶ λαλητὸν αὐτὸ ἔθου ἐπὶ τῆς γῆς; » Καὶ Δαβὶδ δέ φησιν· « Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους. » Εἶτα τοῖς ἐξ Ἰσραὴλ ἐγκαλοῦσιν αὐτῷ τὴν ἐκ τῶν νομικῶν τύπων ἀπαλλαγὴν πρὸς ἀλήθειας μετάθεσιν, ὀνειδίζει. Ἔλεγον γὰρ, « Εἰ ἦν οὗτος παρὰ Θεοῦ ὁ ἄνθρωπος, οὐκ ἔλυε τὸ Σάββατον. » Ἀροτριᾷ γάρ τις, φησὶν, οὐχ ἵνα μόνον *ἀροτριάσῃ* · ἐκ δὲ τῶν καταβαλλομένων σπερμάτων καρποὺς προσδεχόμενος. Κἀγὼ τοίνυν ὑμᾶς, ὡς γῆν ὑλομανοῦσαν διὰ τὴν εἰδωλολατρείαν, τῷ Μωσέως *ἠροτρίασα* νόμῳ, τῷ *ἐμῷ* προευτρεπίζων *Υἱῷ* τὴν τῶν ἀγαθῶν σπερμάτων καταβολήν. Τί οὖν διὰ παντὸς τὸν *ἀρότην* στέργετε νόμον, ὅτε καιρὸς τῆς δι' ὕδατος καὶ πνεύματος ἀναπλάσεως; πρὸς ἣν ὑπείκοντας ὑμᾶς οὐκ ἔχω, μηδὲ τὸν *πηλὸν* ὁρῶντας τοῦ *κεραμέως*, ὡς ἐκείνου πλάττεταί τε καὶ μεταπλάττεται νεύματι, μηδὲν τὴν δημιουργικὴν μεμφόμενον *χεῖρα*, ὡς τῆς ἀναπλάσεως ἐπιστήμην οὐκ ἔχουσαν; ἀλλ' οὐδὲ ὁ τεχθήσεσθαι μέλλων πυνθάνεται *τοῦ πατέρος εἰ ἄρα γεννήσει.* Τί οὖν ὑμεῖς μὴ τῷ πάντων παραχωρεῖτε Δημιουργῷ τὸν τρόπον εἰδέναι τῆς *ἀναπλάσεως*, περὶ ἧς λέγοντος τοῦ Χριστοῦ Νικόδημος ἔλεγεν· « Μὴ δύναται ἄνθρωπος γέρων ὢν εἰς τὴν κοιλίαν τῆς μητέρος αὐτοῦ δεύτερον εἰσελθεῖν καὶ γεννηθῆναι; »

A ipsas, id est Ecclesias, *renovavit*. Quibus conveniet et illud : Num propter eos pudore afficientur, qui tantum opus ubique terrarum absolverunt? Neque vero desunt, qui sic a principio explicent, ut causam, qua ductus humanitatem assumpsit, cum *Ego sum, qui creavi te* dicit, afferri existiment. Deinde, et verbum *sum* adjecisse, ut veram se exsistentiam, veramque vitam esse demonstraret. Denique, *formavi te* dixisse, ut ad incorruptionem se, qui mortem non fecerit, cuique nullum in terra simile animal esse volnerit, creasse judicaret. *Te* siquidem *unum* meis ipse manibus, inquit, *tanquam figulus efformavi*, meaque te imagine, post effictum corpus honoris ergo donavi, ut ad Jobum dicentem reperias his verbis : « Num tu luto accepto finxisti animal et vocale illud posuisti in terra [26]? » Et apud Davidem : « Minuisti eum paulo minus ab angelis gloria [27]. » Israelitis deinde, qui figuras eum legales ad veritatem traducere criminarentur, exprobrat. Dicebant enim : « Si hic homo esset a Deo, Sabbatum non solveret [28]. » *Arat* enim quis, ait, non tantum ut *aret*, sed ut ex mandatis humo seminibus, fructus etiam percipiat. Itaque et vos ego terræ instar, inquit, propter idololatriam luxuriantis, Mosis lege *subactos*, *Filio* **518** *meo* ad bonæ sementis exceptionem præparavi. Quid igitur ipsi studio tanto legem in *aratorem* semper retinetis ; quo tempore maxime aqua et spiritu in formam aliam mutari valetis ; quam ipsi refugitis, quos latere non potest, *lutum* pro *figuli* arbitrio aliam atque aliam figuram pati ; neque quidquam esse, quod artificis *manum*, tanquam fingendi scientiam non habeat, arguere audeat? At minime qui nasciturus est, a *patre suo generaturusne sit*, postulabit. Quid igitur omnium opifici Deo, modum illum *formandi* retinere non conceditis, de quo Christum alloquitur Nicodemus, dum ait : « Num potest homo, cum sit senex, in ventrem matris suæ iterum intrare, et renasci [29]? »

B

C

Εἰ ἐπετίμησεν οὖν, φησὶν, *ὁ πηλὸς τῷ κεραμεῖ*, καὶ *μήπω τις τεχθεὶς ἐπύθετο τοῦ πατέρος τί τέξεται* · ἐρωτήσατε καὶ ὑμεῖς οἱ ἐσόμενοί μου κατὰ καιροὺς υἱοί τε καὶ θυγατέρες, τίνα τοῦτο γενήσεται τρόπον. *Ἐντείλασθέ μοι καὶ περὶ τῶν ἔργων τῶν χειρῶν μου.* Ἀντὶ τοῦ, διατάξατε πῶς ποιητέον, ὡς ἀγνοοῦντι. Σιγῇ ἄρα μετὰ Παύλου ῥητέον· « Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ! » καὶ τὰ ἑφ' ἑξῆς, ἑτέρας λέγειν παραγγελλούσης Γραφῆς· « Ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν. » Οἶδεν γὰρ μεταποιεῖν, καθὰ διὰ τοῦ Ἰεζεκιὴλ φησιν, ὅτι « Ἐκσπάσω τὴν καρδίαν αὐτῶν τὴν λιθίνην ἐκ τῆς σαρκὸς αὐτῶν, καὶ δώσω αὐτοῖς καρδίαν σαρκίνην, τοῦ εἰδέναι αὐτοὺς ἐμὲ, ὅτι ἐγὼ Κύριος. » Διὸ καὶ τὴν ἰδίαν ἐπιδεικνύμενος δύναμιν, *Ἐγὼ ἐποίησα γῆν, καὶ ἄνθρωπον ἐπ' αὐτῆς.* Ὁ γὰρ κτίσας καὶ ἀνακτίσαι δυνήσεται. *Χεῖρα* δὲ πάλιν φησὶ, τὸν δι' οὗ τὰ πάντα πεποίηκεν Υἱόν. « Τῷ Λόγῳ γὰρ Κυρίου

D

Si *lutum* ergo *figulo* succensuit, inquit ; sique nondum in lucem editus *puer a patre suo*, *quid ille geniturus sit*, quæsivit : interrogate et ipsi, qui filii et filiæ aliquando mihi eritis, quanam istud ratione futurum sit. *Mandate mihi* præterea *de operibus manuum mearum* : id est, mihi, tanquam ignaro, agendi modum statuite. Est profecto cum Paulo tacite dicendum : « O altitudo divitiarum, et sapientiæ, et scientiæ Dei [30]! » cæteraque illa, quæ sequuntur. Quod et alibi Scriptura indicat, cum ait : « Omnia potes, neque quidquam est, quod efficere non queas [31]. » Novit enim in melius commutare, et instaurare ; sicut apud Ezechielem in hæc verba legimus : « Evellam cor eorum lapideum de carne eorum, et dabo illis cor carneum, ut ipsi videant me, quia ego sum Dominus [32]. » Itaque et suam ipse virtutem demonstrans, *terram se et hominem in ea fecisse* ait. Potest enim idem etiam

[26] Job x, 9. [27] Psal. VIII, 6 ; Hebr. II, 7. [28] Joan. IX, 16. [29] Joan. III, 4. [30] Rom. XI, 33. [31] Sap. XI, 18. [32] Ezech. XI, 19, 20.

VARIÆ LECTIONES.

[m] *Ισ. λείπ.* πηλόν.

Digitized by Google

instaurare qui condidit. Filium deinde, per quem a se creata sunt omnia, ipso *manus* nomine intellexit. « Verbo siquidem Domini cœli firmati sunt [32]: » coque *astris mandante*, in diei quidem potestatem sol; in noctis autem, luna emicuit. Unde illud in Psalmis : « Sol cognovit occasum suum [34]. » Et iterum : « Tu fabricatus es solem et lunam [35]. » At eorum, quæ præcesserunt, notitiam illustrant, quæ deinceps sequuntur; quibus *justitiæ rex* Christus prædicatur, **519** qui *justitia* ipsa est. Ait enim etiam alicubi : « Ecce certe regnat justitiæ rex, et principes cum judicio imperabunt [36]. » Nam præterquam quod natura cum patre *rex* est, eos etiam, qui defecerunt, assumpta carne iterum sibi subjecit : *Qui vias rectas*, id est Evangeliorum oracula, in quibus nihil pravum, nihilque sinuosum reperias, edidit; qui dura legis mandata declinavit. Bene autem Ecclesiæ idem fundamenta jecit, qui fundamentum est, super quod et ipsi, tanquam lapides pretiosi [37], in habitaculum Dei in spiritu superstruimur : qui *gratis* nos servitute eripuit. « Neque enim corruptibilibus, argento, vel auro redempti sumus, de vana nostra conversatione paternæ traditionis, sed pretioso sanguine quasi agni immaculati Christi et incontaminati [38]. » Non sumus igitur nostri juris; sed ejus, qui nos redemit.

Cum autem Christum dixisset antea suum populum esse conversurum; quinam ii essent, qui vocari deberent, confestim addidit, sumpto ab idololatriæ deditissimis exemplo, quo liberatoris virtus magis enitesceret. Ad oves enim, quæ perierant de domo Israel, missus erat quidem [39]; sed ubi eodem trucidato recalcitravit dilectus, statim gentibus illuxit. Intelligit autem per *Æthiopum negotiationem*, Thebanorum urbes, quibus et illi adjacent, qui *Sabaim* nominantur. Ideo porro *laborasse* dicit, quod acerbissimis tyrannis inservirent, a quibus eorum liberi in idolorum sacrificium exigebantur : vel, ut ingentem fuisse eorum superstitionem indicaret, quæ superata in pietatem abivit. Est enim id omne sublatum, quod isti repugnabat. Nam : « Ubi abundavit peccatum, superabundavit et gratia [40] : » cum ubique apud eos constructæ ecclesiæ, tanta monachorum, tanta virginum exercitationum laboribus incumbentium examina cernantur. *Excelsos* autem eos dicit, tanquam impietate et superstitione nobiles. Deinde, *manicarum* nomine, dilectionis vincula, divinique amoris catenas intelligit. Indeque illud est, quod scribitur : « Quis nos separabit a dilectione Christi [41], » in quem omnis *precatio* desinit? in Christo siquidem quæ a Patre petimus, postulamus, quem **520** cum illud : « Qui videt me, videt et Patrem [42]. » « Ego

Deinde, quod *in te Deus, et non est Deus præter te*, dixit, æquale est huic, « Et Verbum erat apud Deum, et Deus erat Verbum [43]. » Præterea pœnitentium vocem exprimunt, quæ his verbis : *Et nesciebamus*,

A οἱ οὐρανοὶ ἐστερεώθησαν, » ὃς καὶ *τοῖς ἄστροις ἐνετείλατο* διατάξας τὸν μὲν ἥλιον εἰς ἀρχὰς τῆς ἡμέρας, νυκτὸς δὲ τὴν σελήνην. Διό φησιν ὁ ψαλμός· « Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. » Καὶ πάλιν· « Σὺ κατηρτίσω ἥλιον καὶ σελήνην. » Τὴν δὲ τῶν φθασάντων ἔννοιαν τὰ μετὰ ταῦτα δηλοῖ, δι' ὧν ὁ Χριστὸς *Βασιλεὺς δικαιοσύνης* κηρύττεται ὑπάρχων αὐτόχρημα *δικαιοσύνη*. Καὶ ἀλλαχοῦ γάρ φησιν· « Ἰδοὺ δὴ βασιλεὺς δικαιοσύνης βασιλεύει, καὶ ἄρχοντες μετὰ κρίσεως ἄρξουσιν. » Φύσει γὰρ ὢν σὺν τῷ Πατέρι *βασιλεὺς* τοὺς ἀποστάντας αὖθις ὑπέταξε σαρκωθείς, *ὁδοὺς ἔχων εὐθείας* τὰ τῶν Εὐαγγελίων θεσπίσματα. Σκολιὸν γὰρ οὐδὲν ἐν αὐτοῖς. Τὸ δὲ τραχὺ τῶν νομικῶν ἐκπέφευγεν ἐνταλμάτων. Τεθεμελίωκε δὲ τὴν Ἐκκλησίαν αὐτὸς ὢν θεμέλιος, Ἐφ' ᾧ καὶ B ἡμεῖς ἐποικοδομούμεθα ὡς λίθοι πολυτελεῖς, εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν Πνεύματι, ὃς *οὐ μετὰ δώρων* τὴν ἡμετέραν αἰχμαλωσίαν ἐρρύσατο. « Οὐ γὰρ φθαρτοῖς, φησὶν, ἀργυρίῳ ἢ χρυσίῳ ἐλυτρώθημεν ἐκ τῆς ματαίας ἡμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ. » Οὐκ ἐσμὲν οὖν ἑαυτῶν, ἀλλὰ τοῦ πριαμένου.

Περὶ δὲ τοῦ Χριστοῦ προειπὼν, ὅτι ἐπιστρέψει τὸν λαὸν αὐτοῦ, εὐθέως ἐπήνεγκε τίνες οἱ κληθησόμενοι, δεῖγμα τῶν εἰδωλολατρῶν τοὺς ἄκρους ἐν ταύτῃ λαβὼν εἰς ἔνδειξιν τῆς τοῦ σεσωκότος δυνάμεως. Ἀπεστάλη μὲν γὰρ πρὸς τὰ ἀπολωλότα *πρόβατα* C οἴκου Ἰσραήλ. Ὡς δὲ ἀπελάκτισεν ὁ ἠγαπημένος ἀποκτείνας αὐτὸν, ἐπέλαμψεν αὐτίκα τοῖς ἔθνεσιν. *Αἰθιόπων* δέ φησιν *ἐμπορίαν*, τὰς Θηβαίων πόλεις, οἷς ὅμοροι *Σαβαεῖμ*. *Ἐκοπίασαν* δὲ πικροῖς τυράννοις δουλεύοντες, εἰς θυσίας αἰτοῦσιν υἱοὺς αὐτῶν καὶ θυγατέρας· ἤγουν τὸ εὔτονον αὐτῶν τῆς ἀσεβείας ἐνέδωκεν, ἡττηθὲν εἰς εὐσέβειαν. Διελύθη γὰρ ὅσον εἶχον πρὸς ταύτην ἐνστατικόν. « Οὗ γὰρ ἐπερίσσευσεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, » παντα- χοῦ καθιδρυμένων ἐν τούτοις ἐκκλησιῶν, τοσούτων τε παρ' αὐτοῖς ὁρωμένων μοναστῶν καὶ παρθένων πόνοις ἐναθλούντων ἀσκήσεως. *Ὑψηλοὺς* δέ φησιν αὐτοὺς, ὡς ἐπισήμους ἐν δυσσεβείᾳ. *Χειροπέδας* δὲ τὰ δεσμὰ τῆς ἀγάπης καλεῖ, καὶ τὰς τῆς φιλοθεΐας D σειρὰς, ὡς λέγειν· « Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ, » εἰς ὃν ἔρχεται πᾶν πέρας *εὐχῆς*; Ἐν Χριστῷ γὰρ αἰτοῦμεν παρὰ τοῦ Πατέρος τὰ αἰτήματα, ὃν *ἔχων ἐν ἑαυτῷ*, *Θεὸς* ὁμοίως ἐστὶν, καθά φησιν· « Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν *Πατέρα*. » « Ἐγὼ καὶ ὁ Πατὴρ ἓν ἐσμεν. »

Τὸ δὲ, *Ἐν σοὶ Θεὸς, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ*, ἰσοδυναμεῖτῷ· « Καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. » Μετανοούντων δὲ φωνὴ τὸ, *καὶ οὐκ ἤδειμεν*. Οἱ καὶ ὁμολογοῦσιν αὐτὸν *Σωτῆρα τοῦ*

[32] Psal. xxxii, 6. [34] Psal. ciii, 19. [35] Psal. lxxiii, 16. [36] Jerem. xxiii, 5. [37] I Petr. ii, 5. [38] I Petr. i, 18, 19. [39] Matth. xv, 24. [40] Rom. v, 20. [41] Rom. viii, 35. [42] Joan. xiv, 9. [43] Joan. x, 30. [44] Joan. i, 3.

Digitized by Google

Ἰσραὴλ, ὡς πάλαι σεσωκότα τὸν Ἰσραήλ· ἤγουν Ἰσραὴλ λεκτέον νῦν τὸν ὁρῶντα Θεόν. « Οὐ γὰρ πάντες οἱ ἐξ *Ἰσραὴλ*, οὗτοι Ἰσραήλ. » Οἱ δὲ ἀνθεστηκότες αὐτῷ, τὴν αὐτοῦ μὴ ἀδικήσαντες δόξαν, *αἰσχύνονται·* ἔσονται γὰρ εἰς ὅρασιν πάσῃ σαρκί. Ἀπὸ δὲ *τῶν Αἰγυπτίων* καὶ τῶν ὁμόρων, ἐπὶ τὸ καθόλου τῶν ἐθνῶν τὸν λόγον ἀνήγαγε, *νήσους* καλῶν τὰς ἐξ ἐθνῶν Ἐκκλησίας τῶν ἐγκεκαινισμένων εἰς καινότητα ζωῆς, ἀποθεμένων τὴν παλαιότητα, Παύλου προστάττοντος· Ἐκδύσασθε τὸν παλαιὸν ἄνθρωπον· καὶ πάλιν· Ἐνδύσασθε τὸν νέον τὸν ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. Καὶ πάλιν· Ἀνακαινοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν. *Ἐγκαινισμὸς* οὖν τὰ καθ' ἡμᾶς, « εἴ τις ἐν Χριστῷ καινὴ κτίσις. » Τινὲς δὲ ἀπὸ τοῦ, *μὴ ὁ ἀροτριῶν*, οὕτως ἐξηγήσαντο· Παραβολικῶς προτρέπεται αὐτοὺς δικαιοσύνης φέρειν καρπούς. Θέλετε γάρ με, φησὶ, μόνον *ἀροτριᾶν* ὑμῶν τὰς ψυχὰς, καρπὸν μηδένα παρέχοντες. Εἶτα παιδεύει αὐτοὺς τοῖς τοῦ Θεοῦ περὶ τῶν ἐθνῶν εἴκειν βουλεύμασι, *μήτε πηλοῦ* ἀνθισταμένου *τῷ πλάστῃ*, μήτε τέκνου *πατέρα* κωλύοντος ἢ *μητέρα* σπεύδοντας πρὸς ἄλλων υἱῶν παιδοποιΐαν, μηδὲ μέμψιν ἐπὶ τούτῳ προσάγοντος. Ὁ ποιήσας δὲ, φησὶ, *τὰ ἐπερχόμενα* διὰ τῆς προγνώσεως, δυσωπῶν αὐτοὺς εἰς κατανόησιν τῆς ἰδίας δυνάμεως. Ἔστω γὰρ, φησὶ, *ποιοῦντι* ὑμᾶς *καὶ πλάττοντι* οὐ παρηκολουθεῖτε τῇ γνώσει· μὴ καὶ προαγορεύοντι τὰ μέλλοντα ἀπιστήσετε; κατὰ μέρος μὲν γὰρ γίνεται τὰ γινόμενα· ἀθρόα δὲ αὐτῷ [m] ἡ γνῶσίς ἐστι παρ' ἐμοί. Πλὴν μὴ ἀπογνῶτε τὴν σωτηρίαν, ὡς ἂν με λαθεῖν ἁμαρτάνοντες μὴ δυνάμενοι.

Κρείττους δὲ γεγονότες ἐμοὶ τὰ καθ' αὐτοὺς ἐπιτρέψατε. Οὐ γὰρ δέομαι τῆς ἐξ ὑμῶν ὑπομνήσεως, ὡς ἂν ὄντας ἐμὰ ποιήματα καὶ *εἰς υἱοὺς καὶ θυγατέρας* λελογισμένους ἀξιῶσαι προνοίας. Οὐδὲ γὰρ ἐμαυτῷ τὸν *οὐρανὸν* ἐποίησα καὶ τὴν *γῆν*, εἰς δὲ χρείαν ὑμετέραν. Καὶ γινομένων ἀστέρων ἐθαύμαζον ἄγγελοι. Πάντων οὖν ὑπ' ἐμοῦ κυβερνωμένων, οὐδὲ τὰ ἐπὶ γῆς τὴν ἐμὴν ἐκφεύγει διοίκησιν. Τοιγαροῦν καὶ *Κῦρος* ὑπ' ἐμοῦ κινηθεὶς, οὐκ αὐτὸς ὢν εὐσεβής, τὰ καθ' ὑμᾶς διορθώσεται. Ἐπεὶ καὶ πρότερον ὑμᾶς ἐξ *Αἰγύπτου*, φησὶν, ἠλευθέρωσα, καὶ ταῖς ἐμαῖς ἀπείρηκε μάστιξιν. Ὑμεῖς δὲ πάλιν ἁμαρτάνοντες οὐκ ἐπαύεσθε καὶ ματαιοπονοῦντες ἐπὶ ταῖς ἑαυτῶν *ἐμπορίαις*. Ἀλλ' ὅμως ἐμὲ [n] πιστεύσαντες ἕξετε πάντας ὑποσπόνδους τοὺς ἐνδόξους, καὶ φρονήματος γέμοντας, καὶ ἀγάπης δεδεμένοι *δεσμοῖς* καταντήσουσιν εἰς Ἱερουσαλὴμ, ὡς εἰς θεοσεβείας διδασκαλεῖον, καὶ μακαριοῦσιν ὑμᾶς, ὡς *Θεῷ τῷ μόνῳ λατρεύοντας, ὃν ἠγνόουν αὐτοί.* Ὑμῶν δὲ πρὸς μετάνοιαν ἀμελούντων, ὁ μονογενής μου παρέσται Υἱὸς *Ἰερουσαλὴμ* [o] γενόμενος καὶ Ἰούδας, *ἐν ᾧ προσεύξονται*, οὗ σφραγῖδι καὶ

adjiciuntur : quibus *salvatorem Israelis* eum esse tanquam qui ipsum olim servarit, profitentur. Nisi malis nunc *Israelis* appellatione, eum, qui Deum videat, significari putare, cum non omnes esse Israelitas, qui ex Israele sunt, scribatur [46]. Cæterum qui ei adversati sunt, cum ejus gloriæ officere nequiverint, *confundentur*. Erunt enim in conspectum universæ carni. Orationem vero ab *Ægyptiis* eorumque vicinis ad generis universi nationes transtulit, cum *insularum* nomine, conflatas e gentibus Ecclesias, qui posito veteri exuvio in vitæ novitatem renovati sunt, cum Paulo significavit; uti veterem hominem ponere qui novum ad Creatoris imaginem instauratum induere [46], qui denique renovari renovatione mentis, imperat [47]. Ipsi ergo *sumus innovati*, si qua in Christo nova creatura [48]. Nonnulli a verbis istis, *nonne qui arat*, ita explicant, ut similitudine ad justitiæ fructus edendos adhortari velint. Vultis enim me, inquit, animas vestras *arare* tantum; fructus autem nullos edere. Illas rursum Dei consilio, quod de Gentibus innuit, cedere præcepit; quando neque *lutum figulo* repugnare soleat; neque *patrem*, aut *matrem* ad novam filiorum procreationem festinantes impedire, eamque rem illis vitio vertere filius. Quod autem *ventura* fecisse dixit, ad præscientiam retulit, ut pudore excitato eosdem ad suæ virtutis contemplationem provocet. Esto enim, inquit, ejus, qui vos *fecit*, et *formavit*, cognitionem non estis assecuti, annon et ei etiam, qui futura prædicit, fidem denegabitis? Singillatim eorum confertim tota mihi in promptu est cognitio. Tantum ipsi salutis spem non **521** abjiciatis; qui ne peccare quidem, quod me lateat, valetis.

Ubi autem meliores evaseritis; quæ vestra sunt mihi permittite. Non enim vestra ipse admonitione opus habeo ut vestrum, quos ipse feci, in *filiosque et filias* adoptavi, recorder, meaque providentia dignos habeam; qui *cœlum* et stellas, angelos in admirationem rapientes, *terramque* ipsam, non in meam, sed in vestram utilitatem condidi. Quæ omnia cum ad meum unius arbitrium regantur, non possunt quæ in terra sunt, a me non administrari. Itaque et *Cyrus* ipse non ab alio, quam a me incitatus, cum verum Dei cultum non agnosceret, afflictas res vestras erecturus est, sicut et vos antea *Ægypto* liberavi, cum meis illa cedere verberibus coacta est: vos autem rursum peccare et vestris *negotiationibus* inaniter agitari non destitistis. In me tamen jam si creditis, quotquot, laude aliqua, vel prudentiæ nomine clari sunt, fœderatos et socios habituri estis, qui dilectionis *vinculo* obstricti, ad Jerusalem, tanquam ad pietatis scholam vobis ideo occurrent, beatosque prædicabunt, quod, *Deo soli serviatis, quem ipsi nesciebant*, Sin autem pœnitere negligitis, mihi Filius non deerit unigenitus

[46] Rom. IX, 6. [46] Coloss. III, 9, 10. [47] Ephes. IV, 23. [48] II Cor. V, 17.

VARIÆ LECTIONES.

[m] γρ. αὐτῶν. [n] Ισ. ἐμοί. [o] γρ. Ἰσραήλ.

Digitized by Google

enim *lignum* ipsum Deus esset, idem et sine arte *Deus* exsisteret. Artem itaque deam effecerunt, quæ est hominis infirmi et corruptioni obnoxii. Alias enim cibo et potu non indigeret. Interrogatione siquidem verba ista : *Non bibet aquam*, distinguenda esse arbitramur. Quo pacto ergo qui corrumpitur incorrupta; et qui moritur, immortalia efficiat? Nonnulli vero etiam de idolis totum id acceperunt, quibus hostias offerebant. Utrum vero minime sacrificantibus vobis et *esuriet*, *et infirmabitur* qui *Deus* est? Nonne et *aquam bibere* illi necesse fuerit, si istis egeat; ne quid omnino quod ad eorum accusationem faciat, qui corporeas Deo hostias offerunt, quibus ipse non indiget, omittat? Neque enim natura Deus sibi sacrificia fieri ex professo imperavit. Sollicite vero in istorum reprehensionem nunc immoratus **503** est propheta, ut facti saniores ad verum Dei cultum reverterentur. Verum quod ad *viri formam* dixit, suam ipsos *formam* tam longe a vera discrepantem adorare significat, quantum ab exemplari dissidet imitatio. Itaque suæ ipsos naturæ, quam in *lignis et saxis* expresserunt, injuriam facere, qui *veræ formæ* imaginem præponant, eique honorem deferant. Deinde cum *statuisse in domo* adjicit, in templo significat, in quod petita ex *saltu* materia inducta est. Quod qui noverit, ne se quidem ethnicorum nugis tueri audeat, qui cœlo delapsis simulacris gloriabantur. Est ergo *cinis cor eorum; neque quisquam* in id *animas eorum* prolapsas *eripiat*, præterquam Deus unus, qui omnia pro arbitrii sui ratione transmutare, tenebrasque in lucem vertere queat.

A νοῦντας αὐτοὺς ἀποφήνῃ. Εἰ γὰρ ἦν αὐτὸ τὸ *ξύλον* Θεὸς, καὶ χωρὶς ἂν τέχνης ὑπῆρχε *Θεός*. Οὐκοῦν τὴν τέχνην ἐθεοποίησαν ἀσθενοῦς οὖσαν ἀνδρὸς καὶ φθαρτοῦ. Οὐ γὰρ ἂν ἐδεῖτο τροφῆς καὶ ποτοῦ. Ἐν ἐρωτήσει γὰρ ὑποστίζοντες τὸ, *Οὐ μὴ πίῃ ὕδωρ*, ἀναγνωσόμεθα. Πῶς οὖν ὁ φθαρτὸς ἄφθαρτα, καὶ ἀθάνατα ποιήσειεν ὁ θνητός; τινὲς δὲ καὶ ἐπὶ τῶν εἰδώλων τὸ ὅλον ἐδέξαντο. Προσαγάγετε [a] γὰρ τούτοις θυσίας. Ἆρα [b] οὖν μὴ θυόντων ὑμῶν, *πεινάσει καὶ ἀσθενήσει* ἐνυπάρχων *Θεός*; οὐκοῦν καὶ *ὕδωρ* ὀφείλει *πιεῖν*, εἰ τούτων ἐστὶν ἐνδεής, ἵνα διαβάλλει καθόλου τοὺς Θεῷ τι προσφέροντας ὑλικὸν, οὗ μὴ πέφυκεν ἐνδεής; οὐ δὲ γὰρ ὁ φύσει Θεὸς προηγουμένως τὰς θυσίας ἐπέταξεν. Ἐντρεπτικῶς δὲ νῦν ὁ προφήτης τοῖς περὶ τούτων ἐνέμεινε λόγοις, B ὡς ἂν φρονήσαντες ἐπιστραφεῖεν πρὸς θεοσέβειαν. Τὸ δὲ ὡς *μορφὴν ἀνδρὸς*, παρίστησιν ὡς τὴν ἰδίαν προσκυνοῦσι *μορφὴν* τοσοῦτον ἀπάδουσαν, ὅσων [c] ἀρχετύπων ἡ μίμησις. Καὶ τὴν ἑαυτῶν αἰσχύνουσι φύσιν τὴν ἐν *λίθοις καὶ ξύλοις* εἰκόνα τῆς *ἀληθοῦς* προτιμῶντες *μορφῆς*, καὶ δόξαν ἐκείνῃ προσάγοντες. Τὸ δὲ *ἱστήσειν ἐν οἴκῳ*, δηλοῖ ὅτι ναῷ ἐκ *δρυμοῦ* τὴν ὕλην λαβών. Ὅπερ εἰδὼς οὐκ ἂν ἔχοι λέγειν, κατὰ τοὺς Ἑλλήνων λήρους, διοπετῆ τὰ ἀγάλματα. *Σποδὸς* οὖν ἄρα *ἡ καρδία αὐτῶν*, καὶ *οὐδεὶς* ἂν *ἐξέλοιτο τὰς* τῶν εἰς τοῦτο πεσόντων *ψυχὰς*, πλὴν ὃ ἤτι [d] μόνος εἴπερ ἐθέλοι Θεὸς ὁ μετασκευάζων, ὡς βούλεται, πάντα, καὶ φωτίζων ἐσκοτισμένα.

Sequitur *videte*; id est, cogitate. *Et non dicetis* C *falsum esse in dextera mea*, dexteræ enim nomine unigenitum *Filium* usitate appellavit : qui sive Deus sive Dominus, sive lux, sive virtus, sive rex, sive mundi opifex, sive vita nominetur, vere, et proprie istis omnibus significatur, quæ dæmonibus aut idolis falso tribuuntur. Natura enim ex Deo Deus est. Optime vero in obliviosum *Israelem memento* verbum usurpavit. *Formatus enim in filium* non debuit *idola muta* amplecti, ut dignitatis oblivisceretur. « Qui enim novit voluntatem Domini, nec facit eam, vapulabit multis [78]. » Eorum deinceps, quæ admiseris, quantumlibet eadem oblivioni me traditurum polliceor, etiam te volo *meminisse*. Dicitur vero *in filium* per legem *formatus*. Ut enim Adamus ipse de terra, omnisque deinceps in utero *formatus* est D infans, sic et qui in Christo degunt, per Spiritus sancti participationem in ejusdem speciem *efformantur*; juxta illud : « Filioli, quos iterum parturio, donec informetur Christus in vobis [79]. » Et rursum : « Nolite conformari sæculo huic, sed reformamini in novitate sensus vestri, ut probetis quæ sit voluntas Dei bona, et bene placens, et perfecta [80]. » Itemque : « Nos autem revelata facie

Ἴδετε, τοῦτ' ἔστι κατανοήσατε, *καὶ οὐκ ἐρεῖτε ὅτι ψεῦδος ἐν τῇ δεξιᾷ μου*, συνήθως; οὕτω τὸν μονογενῆ καλέσας *Υἱὸν*, ὃς εἴτε *Θεὸς*, εἴτε *Κύριος*, εἴτε φῶς, ἢ δύναμις, ἢ βασιλεὺς, ἢ Δημιουργὸς, ἢ ζωὴ λέγοιτο, πάντα κυρίως ἐστὶν ἐξ ἀληθείας λεγόμενος, τῶν εἰδώλων ἢ δαιμόνων ψευδῶς ταῦτα λεγομένων. Φύσει γὰρ Θεὸς αὐτὸς ἐκ Θεοῦ. Ὡς ἐπιλήσμονι δὲ τῷ *Ἰσραὴλ* τὸ *μνήσθητι* καλῶς ἐπενήνοχεν. *Πλασθεὶς γὰρ εἰς παῖδα*, οὐκ ὀφείλει τῆς ἀξίας ὑπεριδεῖν, *κωφοῖς εἰδώλοις* προσκείμενος. « Ὁ γὰρ εἰδὼς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, καὶ μὴ ποιήσας, δαρήσεται πολλάς. » Λοιπὸν, ὧν ἥμαρτες *μέμνησο*, κἂν ἐγώ σοι τούτων ἀμνηστείαν χαρίζωμαι. *Πεπλάσθαι* δὲ λέγεται διὰ τοῦ νόμου *πρὸς παῖδα*. Ὡς γὰρ Ἀδὰμ ἐκ γῆς, καὶ πᾶν ἐν γαστρὶ *πλάττεται* βρέφος· οὕτως οἱ ἐν Χριστῷ διὰ μετοχῆς τοῦ ἁγίου *πλάττονται* Πνεύματος εἰς εἶδος τὸ πρὸς αὐτὸν, κατὰ τό· « Τεκνία, οὓς πάλιν ὠδίνω μέχρι μορφωθῇ Χριστὸς ἐν ὑμῖν. » Καὶ πάλιν· « Μὴ συσχηματίζεσθε τῷ αἰῶνι τούτῳ, ἀλλ' ἀναμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς ὑμῶν, εἰς τὸ δοκιμάζειν τί τὸ θέλημα τοῦ Θεοῦ τὸ ἀγαθὸν, καὶ εὐάρεστον, καὶ τέλειον. » Καὶ πάλιν· « Ἡμεῖς δὲ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν αὐτὴν εἰκόνα μεταμορφούσθε [d*] τῇ

[78] Luc. XII, 47. [79] Galat. IV, 19. [80] Rom. XII, 2.

VARIÆ LECTIONES.

[a] γρ. προσήγαγε. [b] γρ. ἆρα. [c] γρ. ὅσον. [d] γρ. ὅτι. [d*] γρ. μεταμορφούμεθα.

Digitized by Google

ἀνακαινώσει τοῦ νοὸς ὑμῶν [e], ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος. » Ἀλλ' ἡμεῖς μὲν οὕτω. Τοῖς ἐν νόμῳ δὲ πρέπει δουλείας πνεῦμα λαβοῦσι τὸ εἰς οἰκέτην καὶ *παῖδα πεπλάσθαι*. Παραβαίνοντας γὰρ ὁ νόμος, ὡς οἰκέτας ἐκόλαζεν. Ἡ ἐν Χριστῷ δὲ *πλάσις* υἱούς τε καὶ συμμόρφους ἐργάζεται. Τῷ δὴ οὖν *Ἰσραὴλ*, Μὴ *ἐπιλανθάρου* μου, φησὶ, τρεπόμενος εἰς ἀσέβειαν. Πρὸς ὃν ἀλλαχοῦ φησιν· « Ὑμεῖς οἱ ἐπιλανθανόμενοί μου, καὶ ἑτοιμάζοντες τῷ δαιμονίῳ τράπεζαν, καὶ πληροῦντες τῇ τύχῃ κέρασμα. »

A in eamdem imaginem **504** transformamur, renovatione mentis nostræ, a gloria in gloriam, tanquam a Domini spiritu [81]. » Atque ita nos quidem. Decet vero et eos, qui in lege servitutis spiritum acceperunt, in servum et *filium formari*. In transgressores enim lex, tanquam in servos, animadvertebat : cum ipsa in Christo *formatio* filios, et conformes [82] efficiat. Adhortatur ergo *Israelem* ne ad pietatem conversus sui ille *obliviscatur*. Cujusmodi sunt ista ad eumdem alicubi : « Vos qui obliviscimini mei et paratis dæmonio mensam, et impletis Fortunæ libamen [83]. »

Οὕτως ἄρα *λήθη* Θεοῦ, τὸ ἀποφοιτῆσαι τούτου δηλοῖ. Προτρέπων δὲ σπεύδειν ἐπὶ μετάνοιαν, ἐπιστρέφουσιν αὐτοῖς ἁμαρτημάτων ἄφεσιν ἐπαγγέλλεται, Ἀπήλειψα, λέγων, ἀντὶ τοῦ *ἀπαλείψω*, καθάπερ τι νέφος διαλύσας ἢ γνόφον. Τὸ γὰρ μέλλον τοῦ χρόνου, τὸ *λυτρώσομαί σε* παρίστησιν. Πῶς γὰρ *ἀπήλειψεν* ὁ καλῶν εἰς *ἐπιστροφήν*, ὡς ἀπεστραμμένον, *τὸν Ἰσραήλ*; διὰ Χριστοῦ γὰρ ἤμελλε πᾶσιν ἡ τῶν ἁμαρτημάτων ἄφεσις δίδοσθαι συναναστραφέντος ἡμῖν τοῦ Ἀμνοῦ, ὃς αἴρει τὴν ἁμαρτίαν τοῦ κόσμου. Ὁ δὴ προϊδὼν ὁ προφήτης, καὶ ὡς πολλοὶ τούτων πιστεύσουσιν τῷ προφητικῷ πειθόμενοι λόγῳ, χαίρειν τοὺς *οὐρανοὺς προσφωνεῖ*, τὰς *οὐρανίους* δηλονότι δυνάμεις, ὡς ἂν χαρᾶς ἐν οὐρανοῖς γενησομένης ἐπὶ τοῖς μετανοεῖν μέλλουσιν. Ὅθεν Χριστοῦ γεννηθέντος ἀνέκραζον· « Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. » *Σαλπίζειν* δὲ βούλεται, καὶ εἴ τινές εἰσι, καὶ *τὴν γῆν* αὐτὴν ὑποστηρίζουσαι θεῖαι δυνάμεις, ἤγουν *ἀλαλάξαι*, κατὰ τοὺς λοιποὺς, ὕμνον ἀναπεμπούσας Θεῷ. Εἰκὸς δὲ *θεμέλια* χρηματίζειν τοὺς θεοφιλεῖς πάντας προφήτας τε καὶ δικαίους, κατὰ τὸν Ἀπόστολον λέγοντα· « Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν. » Ἐπὶ τὴν Χριστοῦ γὰρ κλῆσιν μεγαλοφώνως πάντας ἐκάλεσαν, κατὰ τό· « Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. » Ἁπάντων μὲν γὰρ *θεμέλιος* ὁ Χριστὸς ἀνέχων τε καὶ διακρατῶν τὰ ἐρρεισμένα. Ἐπ' αὐτῷ γὰρ πάντες ἐποικοδομούμεθα οἶκος πνευματικός. Κατοικεῖ γὰρ ἐν ταῖς καρδίαις ἡμῶν διὰ πίστεως. *Θεμέλιοι* δὲ προσεχέστεροι, καὶ ἐγγὺς μᾶλλον, ἢ καθ' ἡμᾶς, οἱ αὐτόπται, καὶ ὑπηρέται τοῦ λόγου. Γίνονται γὰρ ἡμῖν διὰ τῶν παραδόσεων εἰς ἐδραίωμα πίστεως, κατὰ τό· « Σὺ εἶ Πέτρος, καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. » Τὸ γὰρ τῆς αὐτοῦ πίστεως ἀσάλευτον ὑπεδήλωσεν. Λέγει δὲ καὶ Δαβίδ· « Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, » περὶ τῶν αὐτῶν λέγων. Ὁ μὲν οὖν Μωσῆς ἰσχνόφωνος ἦν. Ὁ γὰρ νόμος ἦν τοῖς ἐν Ἰουδαίᾳ μόνοις ἐξάκουστος. *Σαλπισταὶ* δὲ καὶ μεγαλόφωνοι κήρυκες οἱ τὸν Χριστὸν πανταχοῦ διαγγέλλοντες.

Ita igitur Dei *oblivisci*, ab eodem recedere significat. Cum autem ad pœnitentiam festinare adhortatur, eisdem, si resipiscant, peccatorum veniam denuntiat; qui *delevi* verbum, pro *delebo*, non aliter quam de nebula, aut caligine aliqua locutus, usurpat. Futuri siquidem temporis significationem expressit, cum *redimam te* adjunxit. Qui enim *delevisse* putetur, qui tanquam aversum *Israelem* ad *conversionem* provocat? Danda siquidem fuerat omnibus delictorum remissio per Christum, qui agnus nobiscum versatus peccata mundi sustulit. Quod certe cum longe ante propheta videret, ex iisque fore non paucos, qui propheticæ orationi crediturі essent, *cœlos* ipsos, id est *cœlorum* virtutes *lætari* acclamavit, tanquam gaudium in cœlis super peccatore pœnitentiam acturo futurum sit [84]. Atque inde est, quod nato Christo : « Gloria in excelsis Deo, et in terra pax [85], » angeli cecinerunt. Vult autem et virtutes divinas, si quæ *terram* ipsam fulciant, *tuba canere*; sive, ut alii transtulerunt, hymnis in Deum *exsultare*. Est etiam consentaneum *fundamentorum* nomine pios omnes, prophetasque, et justos intelligi; qui, docente Apostolo, apostolorum et prophetarum fundamentis superstructi sint [86]. Ad Christi enim nomen contenta voce vocarunt omnes; juxta illud : « In omnem terram exivit sonus eorum [87]. » Omnium siquidem *fundamentum* Christus est; qui quæ admota sunt, fixa firmaque sustineat et complectatur. In ipso siquidem omnes ædificamur domus spiritualis [88]. **505** Habitat enim in cordibus nostris per fidem [89]. *Fundamenta* etiam vicina magis et propinqua, quam nostro sæculo, ipsi fuerunt oculati testes et ministri verbi; qui nobis propter traditiones, in fidei stabilimentum exstiterunt, juxta illud : « Tu es Petrus, et super hanc petram ædificabo Ecclesiam meam [90]. » Indicat enim ejusdem fidei certitudinem et constantiam. Quin et apud Davidem legimus : « Fundamenta ejus in montibus sanctis [91], » cum de eisdem loquitur. Voce ergo exili et præpedita fuit Moses [92], quod legem in Judæa tantum exaudiri necesse esset; ipsi autem præcones Christi *bucoinatores*, magnaque et alta voce præditi, ut eum ubique annuntiarent.

[81] II Cor. III, 18. [82] Rom. VIII, 29. [83] Isa. LVII, 6. [84] Luc. XV, 7. [85] Luc. II, 14. [86] Ephes. II, 20. [87] Psal. XVIII, 5; Rom. X, 18. [88] I Petr. II, 5. [89] Ephes. III, 17. [90] Matth. XVI, 18. [91] Psal. LXXXVI, 1. [92] Exod. IV, 10.

VARIÆ LECTIONES.

[e] γρ. ἡμῶν.

Digitized by Google

Quos præterea terræ *fundamenta* dixit, *montes* rursus appellavit. Opere siquidem et verbo excelluerunt, et ad eos illa sunt : « In montem excelsum ascende, qui evangelizas Sion [91]. » Et rursum legis et gratiæ permagnum discrimen. Illa siquidem, cum ultionem transgressoribus minitaretur, nonnisi tristitiam summam personabat; at hujus præcones orbi terrarum *lætitiam* denuntiarunt; cum peccatorum veniam, cum justificationem in fide, cum Spiritus sancti participationem, cum adoptionis dignitatem, cum regnum cœlorum, cum omni denique cogitatione majora bona, id est, certam et minime fallacem fidei legem, promulgarunt. *Colles* autem et eosdem etiam appellare queas; qui *a terra* exaltati supradictis tamen sunt *montibus* inferiores; *ligna* vero in ipsis, et ab ipsis enutrita, eos ipsos per quos fidem adepti, et tanquam in viros perfectos evecti, fructibus abundant spiritualibus; qui etiam Ecclesiæ doctores evaserunt, eosque fructuum ubertate, qui ad se accedunt, reficiunt. Lætantur vero, quia, præterquam quod *redemptus* est *Jacob*, ipse etiam *glorificatus est Israel Dei Filius* effectus, ejusque frater, qui natura et vere *Filius* est. Alias vero et mundum etiam ipsum, ejusque partes ad gloriæ prædicationem ideo compellit : *Quia redemit Deus Jacob, et Israel glorificabitur*, sive, ut aliis placet interpretibus, *in Israel glorificabitur*. **506** Quod tum demum effectum est, cum ex priore populo, propheticæ orationis utilitatem experti, rejectis idolis ad pietatem se contulerunt. Nonnulli porro verba ista : *Et non erant fingentes Deum, et sculpentes inutilia*, explicarunt, non quod vellent non esse, qui ea confecissent, sed quod iis, a quibus colerentur, opem ferre non possent; tanquam eo tempore non essent, cum istorum fugatis adoratoribus Israeli terram largitus est. Qui igitur non vanus sit, qui tanta beneficia expertus, idola coluit, et arbitrii libertate male abusus est? « Etsi enim omnia licent, non omnia tamen expediunt; neque ego in ullius, inquit, redigar potestatem [92]; » id est : Qui mihi imperandi potestatem accepi, si meis ipse cupiditatibus paream, jam ipsam imperandi facultatem amisi; qui eo ipso a libertate defecerim, quod aliorum potestati me ipse subjecerim. Id ipsum autem si paulatim progrediatur, voluptatum tandem consuetudine ad impietatem pervenit. Nefarias enim de Deo cogitationes parit; tanquam ea, quæ fiunt, vel ignoret, vel non curet. Decet igitur peccati cujusque partes, ipsamque finis absurditatem intueri; decet et ejus cognitionem adeptos nostri imprimis nos *pudore affici*. Neque enim parum juvatur quisquis quæ rationi consentanea putat, secum ipse agitat.

A Ἃ δὲ *θεμέλια* γῆς ἔφη, *ὄρη* πάλιν ὠνόμασεν. Ἔργῳ γὰρ ἦσαν καὶ λόγῳ διαπρεπεῖς, πρὸς οὓς ἔφασκεν· « Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών. » Πολλὴ δὲ πάλιν τῆς χάριτος ἡ πρὸς τὸν νόμον διαφορά. Ὁ μὲν γὰρ κολάσεις ἀπειλῶν τοῖς παραβαίνουσιν ἐβόα κατήφειαν. Οἱ δὲ ταύτης κήρυκες *εὐφροσύνην* τῷ κόσμῳ κατήγγειλαν, ἄφεσιν βοῶντες ἁμαρτιῶν, καὶ δικαίωσιν ἐν πίστει, ἁγίου τε Πνεύματος μέθεξιν, καὶ υἱοθεσίας λαμπρότητα, οὐρανῶν τε βασιλείαν, καὶ τῶν ὑπὲρ νοῦν ἀγαθῶν οὐ κατεψευσμένην ἐλπίδα. *Βουνοὺς* δ' ἂν εἴποις τοὺς καὶ αὐτοὺς ὑπερηρμένους τῆς γῆς, τῶν δὲ λεχθέντων *ὀρῶν* ὅμως ἐλάττονας. *Ξύλα* δὲ, τὰ ἐν αὐτοῖς καὶ ὑπ' αὐτῶν τεθραμμένα, οἱ δι' αὐτῶν πιστεύσαντες, καὶ ὥσπερ ἀναβεβηκότες εἰς ἄνδρα τέ- B λειον καὶ καρποῖς κομῶντες πνευματικοῖς, καὶ αὐτοὶ τῆς Ἐκκλησίας ὄντες διδάσκαλοι, καὶ ταῖς νοηταῖς εὐκαρπίαις τοὺς προσιόντας αὐτοῖς ἀνακτώμενοι. Χαίρουσι δὲ, ὅτι πρὸς τῷ *λυτρωθῆναι τὸν Ἰσραὴλ* καὶ *δεδόξασται* [a] *Θεοῦ* χρηματίσας *Υἱὸς*, ἀδελφός τε τοῦ φύσει καὶ ἀληθῶς *Υἱοῦ*. Καὶ ἄλλως δὲ τὸν κόσμον, καὶ τὰ τούτου μέρη πρὸς δοξολογίαν κινεῖ, ὅτι *ἐλυτρώσατο ὁ Θεὸς τὸν Ἰακὼβ, καὶ Ἰσραὴλ δοξασθήσεται*, ἢ κατὰ τοὺς λοιποὺς, καὶ *ἐν τῷ Ἰσραὴλ δοξασθήσεται*. Ὅπερ ἐγίνετο ἡνίκα τῶν ἐκ τοῦ προτέρου λαοῦ πολλοὶ τοὺς προφητικοὺς λόγους ὠφελημένοι πρὸς εὐσέβειαν ἐχώρουν καταλιπόντες τὰ εἴδωλα. Τινὲς δὲ τὸ, *Καὶ οὐκ ἦσαν οἱ πλάττοντες Θεὸν καὶ γλύφοντες ἀνωφελῆ*, οὕτως ἐξηγήσαντο· Οὐ παρὰ τὸ μὴ εἶναι τοὺς ταῦτα ἐργα- C ζομένους, παρὰ δὲ τὸ μὴ δύνασθαι βοηθῆσαι τοῖς αὐτὰ θεραπεύουσιν, ὡς μηδὲ ὄντα ἡνίκα τὴν γῆν ἐκληροδότησεν Ἰσραὴλ τοὺς τούτων ἀπελάσας προσκυνητάς. Πῶς οὖν οὐ μάταιος μετὰ τοσαύτην πεῖραν εἰδωλολατρήσας αὐτὸς, καὶ τῷ αὐτεξουσίῳ κακῶς χρησάμενος; « Εἰ γὰρ καὶ πάντα ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει. Οὐδὲ ἐξουσιασθήσομαι, φησὶν, ὑπό τινος. » Τοῦτ' ἔστιν, Ἄρχειν λαχὼν ἐμαυτοῦ ἐὰν ὑποταγείην τοῖς πάθεσι, καὶ τὸ ἄρχειν ἀπώλεσα, τῆς ἐλευθερίας ἀποστὰς, δι' ὧν ἐμαυτὸν ὑπέβαλον ἐξουσίᾳ. Τοῦτο δὲ κατὰ μικρὸν ὁδεῦον τῇ τῶν ἡδονῶν συνηθείᾳ πρὸς ἀσέβειαν ἔρχεται. Πονηρὰς γὰρ ὑπονοίας τίκτει κατὰ Θεοῦ, ὡς μὴ εἰδότος τὰ γινόμενα, ἢ καὶ ἀδιαφοροῦντος ἐπ' αὐτοῖς. Δεῖ τοίνυν ἐφ' ἑκάστῃ ἁμαρτίᾳ τά τε μέρη σκοπεῖν, καὶ τὴν D ἀτοπίαν τοῦ τέλους, καὶ συναίσθησιν λαβόντας *αἰσχύνεσθαι* πρό γε τῶν ἄλλων ἑαυτούς. Αὐτὸς γὰρ ἑαυτῷ τις τὰ εἰκότα διαλεγόμενος ὠφελεῖται τὰ μέγιστα.

507 Vers. 24-28. *Sic dicit Dominus, qui redemit te, et formavit te ex utero : Ego Dominus, qui compleo omnia. Extendi cœlum solus, et firmavi*

κδ'-κη'. *Οὕτω λέγει Κύριος ὁ λυτρούμενός σε, καὶ πλάσσων σε ἐκ κοιλίας· Ἐγὼ Κύριος ὁ συντελῶν πάντα· ἐξέτεινα τὸν οὐρανὸν μόνος, καὶ*

[91] Isa. xl, 9. [92] I Cor. vi, 12.

VARIÆ LECTIONES.

[a] γρ. τὸν Ἰακὼβ, καὶ Ἰσραὴλ δεδόξασται.

Digitized by Google

ἐστερέωσα τὴν γῆν. Τίς ἕτερος διασκεδάσει σημεῖα ἐγγαστριμύθων, καὶ μαντείας ἀπὸ καρδίας; κ. τ. λ.

Ἔλεγχον εἰδωλολατρείας προεκθέμενος ὁ λόγος, καὶ ὡς παύσονται ταύτης οἱ τὴν προφητικὴν διδασκαλίαν ὠφελημένοι· νῦν τὴν ἐκ Βαβυλῶνος ἀπαλλαγὴν ἐπαγγέλλεται, εἰς ἣνπερ εἰδωλολατροῦντες ἀπῄχθησαν, οὗπερ εἰ παύσαιντο νῦν, ἐλευθερίαν ὑπέσχετο. Ἐπειδὴ δὲ περὶ πραγμάτων μεγίστων ἐποιεῖτο τοὺς λόγους, καὶ ἦν εἰκὸς ἀπιστεῖσθαι παρά τινων, εἰκότως τὴν ἰδίαν ἀνεκήρυξε δύναμιν. Πάντων γὰρ ὢν ποιητὴς, καὶ παράγων ἐξ οὐκ ὄντων, πῶς οὐκ ἂν ἔχοι ῥᾳδίως ὅπερ ἂν ἐθέλοι ποιεῖν; Ὡς δὲ τοιούτων ἐσομένων, καὶ ἄνω παρεκελεύετο τῇ κτίσει δοξολογεῖν τὸν Θεὸν, οἷς ἀκολούθως φησίν· *Οὕτω λέγει Κύριος ὁ λυτρωσάμενός σε καὶ πλάσσων σε ἐκ κοιλίας*· [ὅπερ] Ἱερεμίας ἐδήλωσεν εἰπών. « Καὶ ἐγένετο λόγος Κυρίου πρός με λέγων· Πρὸ τοῦ με πλάσαι σε ἐκ κοιλίας ἐπίσταμαί σε· » λόγον εἰπὼν Κυρίου τὸν τῶν κατὰ γαστρὸς κυοφορουμένων Δημιουργόν. Εἶτ' ἐπειδὴ περὶ ἐλευθερίας πρόκειται λόγος· *λυτρούμενον* ἑαυτὸν εἰκότως ὠνόμασεν, σωματικὴν *πλάσιν* ὡς δὴ σωματικοῖς λέξας. Ἐγώ εἰμι, φησὶν, ὁ ἐκ μικροῦ σε *πλάσας* ὑποκειμένου, καὶ ὡς ἐκ σπηλαίου τινὸς ἐξαγαγὼν σκοτεινοῦ, μηδὲν περὶ τούτου τῶν γονέων εἰδότων, ἐμοῦ δὲ τὸ *πλασθὲν* ὑποστήσαντος. Εἰ δὲ σμικρόν σοι τοῦτο πρὸς θείαν φαίνεται δύναμιν, σκόπει τοῦ κόσμου τὰ μέγιστα πόθεν ἔσχε τὴν ὕπαρξιν, καθά φησι καὶ Δαβίδ· « Ὁ ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν. » Καὶ πάλιν· « Ἐθεμελίωσε τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς. » Ἀντὶ δὲ τοῦ *ὁ συντελῶν*, *ὁ ποιήσας* ἐξέδωκαν οἱ λοιποί. « Πάντα γὰρ δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδέν. » Ὅτι, « Αὐτὸς εἶπε, καὶ ἐγενήθησαν. Αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν. » Ὁ δὲ τοσοῦτος τί ἐποίησεν κατὰ καιροὺς ἐπενήνοχεν, ὡς ἀπολεῖ τὰς πανταχοῦ *μαντείας* καὶ τὰ χρηστήρια δι' ὧν οἱ δαίμονες ἐφενάκιζον τοὺς πρὸ τῆς Χριστοῦ παρουσίας, εἰδέναι τὸ μέλλον πλαττόμενοι, καὶ τὰ ταῖς καρδίαις ἐπερχόμενα λέγοντες· περὶ ὧν ἔφασκεν Ἰεζεκιήλ· « Οὐαὶ τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν, καὶ τὸ καθόλου μὴ βλέπουσι! »

Διασκέδασε δὲ ταῦτα καὶ τῷ παῦσαι, καὶ τῷ ποιεῖν ἃ ἐστιν ἐκείνοις ἀτέκμαρτα, καὶ ἀπρόγνωστα. *Ἀπεστράφησαν* δὲ *καὶ φρόνιμοι*. Φρονίμους καλεῖ τοὺς *παρ'* Ἕλλησι σοφοὺς, ὧν *ἐμώρανεν* τὴν σοφίαν τῷ τῆς ἀληθείας διαμαρτεῖν, ἀχρήστου τῆς ἐν αὐτοῖς ἀποδειχθείσης σοφίας· ψυχικὴ γὰρ ἦν, καὶ ἐπίγειος, δαιμονιώδης, ἣν καὶ ὁ Παῦλος μεμωράνθαι φησὶν· ἤγουν τοὺς μάγους. Σοφοὺς γὰρ καὶ τούτους ἐκάλουν. Ταῦτα μὲν οὖν διασκεδάσω. Τοῦ δὲ *ἐμοῦ Υἱοῦ* καὶ Χριστοῦ, περὶ οὗ πολλὰ προεῖπον, *καὶ τῶν ἀγγέλων αὐτοῦ* τῶν ἀποστόλων, *στήσω τὰ ῥήματά τε καὶ τὴν βουλήν*. *Ῥήματα* δὲ Χριστοῦ τὸ σωτή-

A *terram. Quis alius dissipabit signa pythonum, et divinationes de corde?* etc.

508 Exposita prius idololatriæ reprehensione, quam relicturi sunt, qui prophetica disciplina aucti sunt, Babylonica jam eos servitute, in qua propter idolorum cultum detinebantur, si eodem abstineant, liberatum iri, domumque reversuros pollicetur. Quoniam autem maximis de rebus sermonem habuerat, nec omnes credituros esse sibi putabat, suam ipse merito potentiam, suasque vires deprædicavit. Cum enim rerum omnium auctor sit, easque de nihilo produxerit, qui non possit, quod velit, efficere facile? Tanquam autem essent eventura talia, etiam supra ad Dei laudes prædicandas
B creaturam adhortatus est: quibus jam bono ordine adjicit: *Sic dicit Dominus, qui redemit te, et qui formavit te ex utero.* Quod Jeremias indicavit, cum ait: « Et factum est verbum Domini ad me dicens: Antequam ego formarem te ex utero, novi te[95]; » verbum Domini enim appellans, qui eorum, qui matrum utero clauduntur adhuc conditor sit. Deinde, quoniam de libertate sermo est, *redemptorem* se merito appellavit; deque corporis *formatione* locutus, quia cum corporeis agit: Ipse sum, inquit, qui te ex parvo principio *formavi*, et tanquam de tenebroso specu aliquo eduxi; quod penitus ignorarunt progenitores tui; cum interim quod *formatum* erat producerem. Quod si tibi leve
C istud ad divinæ virtutis significationem putatur, maxima illa, quæ in mundo sunt, unde exsistant, intuere. Audi dicentem Davidem: « Qui extendis cœlum, sicut pellem[96]. » Item: « Qui fundavit terram super stabilitatem suam[97]. » Quo deinde loco, *qui compleo* habemus, *qui feci* interpretantur alii. « Omnia enim per ipsum facta sunt, et sine ipso factum est nihil[98], » quoniam « Ipse dixit, et facta sunt; ipse mandavit, et creata sunt[99]. » Tantus autem quid deinceps præstiterit, intulit: cum se, quæ ubique essent, *divinationes*, **509** et oracula deleturum significavit: quibus dæmones ante Christi adventum futura se, mentisque cogitationes intelligere fingebant. De quibus et illa
D sunt Ezechielis: « Væ prophetantibus de corde suo, et omnino non videntibus[1] »

Ista vero *dissipavit*: partim quia cessare fecit, partim quod ea operatus est, quæ ipsi nullis conjecturis assequi et præscire potuerunt. *Aversi sunt* porro *et prudentes*; quo nomine Græcorum sapientes intelligit, quorum sapientiam eo ipso quod veritate exciderunt, *in stultitiam commutavit*; id est, inutilem esse demonstravit (Erat enim animalis illa, terrena, et diabolica[2], quam Paulus infatuatam esse significat[3]): vel certe magos illos, quos item sapientes appellabant. Ista igitur, inquit, dissipabo. *Filiique mei*, id est Christi (de quo superius a me sunt dicta permulta) *et angelorum ejus*; id est apo-

[95] Jerem. I, 5. [96] Psal. CIII, 2. [97] ibid. 5. [98] Joan. I, 3. [99] Psal. XXXII, 9. [1] Ezech. XIII, 17
[2] Jac. III, 15. [3] Rom. I, 28.

Digitized by Google

Τὸ δὲ κήρυγμα τὸ Χριστοῦ πάσῃ γλώττῃ λαλεῖται, καὶ πᾶσι γράμμασι γράφεται. Τὸ δὲ *οὐκ ἐν κρυφῇ*, τοῦτον οἱ πλείους τὸν τρόπον ἑρμήνευσαν, ὡς ἂν *μήτις* [x] εἴποι· Θεὸς μέν ἐστι καὶ μόνος ἀληθῶς, ἀλλ' ἄδηλον μὴ καὶ ἄλλους ἐθέλει καλεῖσθαι θεούς. Νόμον φησὶ περὶ τούτου διέταξα *λάθρα λαλήσας* μηδέν. Κατέβη γὰρ ὁ Κύριος ἐπὶ τὸ ὄρος Σινᾶ ἐν εἴδει πυρὸς, καὶ σαλπίγγων ἠχῷ [y], βρονταῖς τε καὶ ἀστραπαῖς, καὶ ἦν ἡ οἰκουμένη πᾶσα μετέωρος, ὑμῶν τε κληθέντων καὶ τῆς Αἰγυπτίων καταδυομένης ἀρχῆς, οὐχ ἵνα *ματαίοις* δουλεύσητε· μάταιον γὰρ τὸ εἴδωλον εἴρηκε· φανερῶς γὰρ ὑμῖν ἐκήρυξε, « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ οὐ ποιήσεις σεαυτῷ εἴδωλον. » Πολλάκις δὲ τὸ, *ἐγώ εἰμι*, λέλεκται προτρεπτικῶς, εἰς κατανόησιν τοῦ μόνου Θεοῦ καὶ τὰ πάλαι ποιήσαντος θαύματα. B servari voluit; non, ut ipsi rebus *vanis*, qualia sunt quæ idola nominantur, vos manciparetis. Aperte siquidem vobis, Dominum Deum adorandum esse, eique uni serviendum, neque idola fabricanda edixit. Est vero advertendum, persæpe illud : *Ego sum Dominus*, exhortationis modo, ad unius Dei significationem, qui prisca miracula patravit, usurpari.

qui divinum omnibus Evangelium explicuit. Hinc, inquam, quod in omnem terram eorum qui apostoli dicebantur, vocis sonus erupit [50]. Mosis enim oracula sermone quidem et characteribus Hebraïs, locis inviis et aqua destitutis, clanculum edita reperias : Christi autem Evangelium omnium gentium linguis et litteris celebratum. At quod non **524** *in abscondito* scribitur, ita explicant nonnulli ac si dicatur, Deum quidem solum re vera esse, sed incertum, an et alios etiam deos appellare permittat. Legem, inquit, hac de re tuli, neque *in abscondito* quidquam *locutus sum*. Descendit enim in Sina montem Dominus, in speciem ignis, tubis clangentibus [51], multo tonitru, multaque coruscatione, in sublimem prorsus et excelsam terram, exstinctoque Ægyptiorum regno vocari vos et ser-

Λαλῶν δικαιοσύνην καὶ ἀναγγέλλων ἀλήθειαν. Διέταττε μὲν γὰρ ὁ νόμος τὰ πρακτέα δικαίως· ἠνίττετο δὲ καὶ ταῖς σκιαῖς *τὴν ἀλήθειαν* τὰ ἐν Χριστῷ προτυπῶν. Περὶ αὐτοῦ γὰρ ἐλάλησε Μωσῆς. Καὶ ταῦτα μὲν οὗτοι. Κατὰ δὲ τὴν πρώτην ἐξήγησιν, *Οὐκ εἶπον τῷ σπέρματι Ἰακὼβ, Μάταιον ζητήσατε.* Κατὰ δὲ Σύμμαχον, *ματαίως ζητήσατέ με.* Κατὰ δὲ τοὺς ἄλλους, *κενῶς ζητήσατέ με.* Τὸ γὰρ Εὐαγγέλιον πρώτοις ὑμῖν ἀνεκήρυξα. Καὶ ὡς ἂν μὴ δόξητε μάτην θεοσεβεῖν, μισθὸν ὑμῖν ζωὴν ἐπηγγειλάμην αἰώνιον, καὶ ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ τὰ ἑξῆς. Ἐπειδὴ *δὲ Θεός εἰμι λαλῶν δικαιοσύνην καὶ ἀναγγέλλων ἀλήθειαν*, κατὰ τὸν τῆς *δικαιοσύνης* λόγον, μετὰ τοὺς ἐκ περιτομῆς, καλῶ πάντας πρὸς ἐμαυτὸν, κήρυγμά τε ποιοῦμαι κοινόν. C *Συνάχθητε καὶ ἥκετε, καὶ βουλεύσασθε ἅμα οἱ σωζόμενοι τῶν ἐθνῶν.* Ἀντὶ δὲ τοῦ *βουλεύσασθε ἅμα*, Σύμμαχος, *προσεγγίσατέ μοι*, φησὶν, *οἱ διαπεφευγότες τῶν ἐθνῶν.* Τὸ δὲ *συνάχθητε* καλοῦντός ἐστιν οὓς ὁ Σατανᾶς διεσκέδασεν. Ἐλθὼν γὰρ ὁ Σωτὴρ θάνατον ὑπέμεινε δι' ἡμᾶς, ἵνα, κατὰ τὸν εὐαγγελιστὴν, τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἓν συνδεθέντας ὁμοψυχίᾳ καὶ πίστει. Καὶ ὡς μακρὰν οὖσιν *ἥκειν* φησί. Θεοῦ γὰρ ἀφίστησι πλάνη. Διὸ καὶ Παῦλός φησιν, « Οἵ ποτε ὄντες μακρὰν, ἐγενήθητε ἐγγύς. » Καὶ πάλιν, « Εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν, καὶ εἰρήνην τοῖς ἐγγύς. » Καὶ προφήτης δέ φησιν· « Ἐγγίσατε τῷ Θεῷ καὶ ἐγγιεῖ ὑμῖν· » τὸ δὲ *βουλεύσασθε ἅμα*, πρὸς τὸ σὺν φρονήσει προσιέναι παρακαλεῖ. Δεῖ γὰρ πᾶσαν πλάνην ἀρνησαμένους οὕτω προσιέναι Θεῷ νοῦν εὐσεβῆ τῆς πρὶν ἀφροσύνης ἀλλαξαμένους.

Sequitur autem : *Qui justitiam loquitur, et veritatem annuntiat.* Imperabat enim lex quæ juste fieri liceret, umbris autem *veritatem* innuens, quæ in Christo erant ante depingebat, de quo Moses locutus fuerat [52]. Atque hæc quidem illi, verum secundum priorem explicationem : *Non dixi semini Jacob, Vanum quærite ;* secundum Symmachum autem et alios, *Frustra quærite me.* Evangelium siquidem vobis ipse ante omnes promulgavi; ac ne pietatem frustra colere videremini, mercedem etiam vitam æternam, cæteraque alia, quæ nec auris audivit, nec oculus vidit, nec in cor hominis ascenderunt [53], ego pollicitus sum. Sed jam quoniam *Ego sum Deus, qui justitiam loquor, et annuntio veritatem* secundum *justitiæ* verbum; post Judæos, ad me quoslibet ego nullo discrimine accedere, et commune omnibus Evangelii præconium esse jubeo. *Congregamini et venite et consulite simul, qui salvamini de gentibus*, ubi pro *consulite simul, Accedite ad me qui de gentibus effugistis* interpretatur Symmachus. Ideo autem *congregamini* dixit, ut cogentis ipsos et convocantis personam **525** exprimeret, qui erant a Satana disgregati. Cum venisset enim non sui, sed nostri causa, mortem subiit Salvator, ut secundum Evangelistæ verba [54], Dei filios, qui erant dispersi, eodem animi fideique vinculo connexos in unum congregaret. Deinde tanquam longe absint, *venturum* se innuit. Arcet enim et separat a Deo error ipse. Indeque est D Pauli illud : « Qui aliquando eratis longe, facti estis prope [55]. » Et rursum : « Evangelizavit pacem vobis, qui longe fuistis, et pacem iis, qui prope [56]. » Et prophetæ etiam : « Appropinquate Deo, et appropinquabit vobis [57]. » At quod *consulite simul* dicit, ita caute et prudenter accedere

[50] Psal. xviii, 5; Rom. x, 18. [51] Exod. xix, 1 seqq. [52] Joan. v, 46. [53] Isa. lxiv, 4; I Cor. ii, 9. [54] Joan. xi, 52. [55] Ephes. ii, 13. [56] ibid. 17. [57] Jac. iv, 8.

VARIÆ LECTIONES.

[x] γρ. εἴ τις. [y] Ic. ἤχῳ.

Digitized by Google

adhortatur. Decet enim non nisi relicta prorsus peccandi consuetudine, vitaque in melius commutata, caste et pie ad Deum accedere.

Ad vos igitur reversi considerate, quam penitus vecordes illi sint, *qui lignum sculpturæ suæ elevant*, id est, qui ita extollunt, ut gloriam quæ uni Deo debetur, ligno largiantur. Nimirum, quibus placet portare sensus expertia, et quæ ne moveri quidem valeant, quo pacto vel terra, vel mari iter facientes, ab ejusmodi auxilium postulant? Quod si quidquam habent, quod pro diis istis dicant, accedant et ipsi. Tum demum enim verum Deum agnoscent, cum propius accesserint. Annon magnum est deitatis argumentum, quod a prophetis ista longe ante prædicta, quam facta sunt; qualia dæmones, qui futurorum notitiam sibi arrogant, ne fucum quidem faciendo præstare queant; sed neque Christi adventum, vel interitum suum prænosse? At ea ipse, *quia justus et Salvator sum*, prædixi; qui justa oratione gentes omnes ad salutem voco. Id enim eo ipso, quod *ab extremis terræ* dixit, significavit. Quin et *justum* se alias nominat, ut dæmonum, qui in naturam nostram ita grassantur, ut ab humanis hostiis non abstineant, distinctionem adhibeat. Qui enim non *justus* dicatur, qui tam libenter injuria affectis opitulatur? qui nihil omnino futurum pronuntiat, quod certo et indubitato eventu non probet? Cum enim Abrahami nepotes esse servituros, tandemque libertatem consecuturos prædixisset; **526** ipso etiam non recordante patriarcha (neque enim vivebat adhuc vel ejus posterorum quisquam, qui justitiæ nomine commendaretur) ad exitum res ipsa deducta est. *Justum* rursus et ipse se appellat, ut iis, qui peccarunt, metum incutiat. Caret enim miseratione quæ *justorum* est in scelera animadversio. Vocat vero et *Salvatorem*, ut postquam ipsum *salutis* ergo moliri omnia perspexerint, eas sibi pœnas, quas perferunt, juste infligi scelerum conscientia fateantur; si quid autem humanitatis sentiant, illud ipsum divinæ gratiæ benignitatique attribuant. « Justus enim, scribitur [88], prior est accusator sui. » Prætexit vero non sine juramento gentium *justitiam*, « ut per duas res, ait Apostolus [89], immobiles, quibus impossibile est mentiri Deum, fortissimum solatium habeamus. »

Et sermones mei, addit, *non avertentur*. Quales vero *sermones?* Quibus nimirum dicebat : *Convertimini ad me, et salvi eritis ab extremo terræ*. Quibus autem de causis jusjurandum addiderit, hoc ipso indicat, quod, *quia mihi incurvabitur omne genu*, non Judæorum tantum, adjunxit. Si enim gratia Israeli post tanta peccata opus fuit; multo magis quod dicitur, cum sit omnium longe maximum, fidem non inveniat. Inde est ergo, quod tanquam cum hominibus sermo habeatur, admoto jurejurando, eos illum esse adoraturos, similique juramento usuros, confirmavit, quod ex patre jam vocatis gentibus accidisse videmus. Efficietur autem penitus, cum in sæculi consummatione omnis humanæ mentis cogitatio vanitasque destruetur. *Omnis autem lingua dicet, quia justitia et gloria ad*

A Συστρέψαντες οὖν ἑαυτοὺς συνίδετε ὡς ἀνόητοι παντελῶς *οἱ αἴροντες τὸ ξύλον γλύμμα αὐτῶν*, ὅ ἐστιν ὑψοῦντες ὡς δόξαν αὐτῷ προσάγειν Θεοῦ. Ἤγουν οἱ τὰ ἄψυχα φέροντες, ὡς μὴ κινεῖσθαι δυνάμενα, πῶς ὁδοιποροῦντες, ἢ πλέοντες τὴν παρὰ τούτων αἰτοῦνται βοήθειαν; Εἰ δὲ ἔχουσί τι περὶ τῶν ἰδίων λέγειν θεῶν, προσίτωσαν. Σύνεγγυς γὰρ γεγονότες τὸν ἀληθῆ Θεὸν ἐπιγνώσονται. Οὐ μέγα δεῖγμα τῆς θεότητος τὸ προαγγεῖλαι ταῦτα διὰ τῶν προφητῶν, ὅπερ οὐκ ἔχουσι ποιεῖν οἱ φενακισμῷ προλέγειν ἐπαγγελλόμενοι δαίμονες, μήτε τὴν Χριστοῦ παρουσίαν προγνόντες, μήτε τὴν ἰδίαν κατάλυσιν; Ἐγὼ δὲ προεῖπον, ἐπεὶ *δίκαιός εἰμι καὶ Σωτήρ*. *Δικαίῳ* γὰρ λόγῳ πρὸς σωτηρίαν πάντα τὰ ἔθνη καλῶ. Τοῦτο γὰρ δηλοῖ τὸ *ἀπ' ἐσχάτου τῆς γῆς*. Καὶ B *δίκαιον* ἑαυτὸν ἄλλως καλεῖ, πρὸς ἀντιδιαστολὴν τῶν ἠδικηκότων τὴν ἡμετέραν φύσιν δαιμόνων, οἳ μηδὲ θυμάτων ἀνθρωπίνων ἐπέσχοντο. Καὶ πῶς οὐ *δίκαιος* ὁ τοῖς τοσοῦτον ἠδικημένοις ἐπικουρῶν; ὃς καὶ καθόλου προλέγων, ἀδιάπτωτον τηρεῖ τῶν προῤῥηθέντων τὴν ἔκβασιν; Προειπὼν γὰρ Ἀβραὰμ τὴν δουλείαν τε καὶ τὴν ἐλευθερίαν τοῦ γένους, καὶ μήτε Ἀβραὰμ ὑπομνήσαντος (τότε γὰρ οὐδὲ ἦν μήτε τῶν ἐξ αὐτοῦ δικαιοπραγούντων), πρὸς ἔργον ἐξήνεγκε. Καὶ πάλιν *δίκαιόν* φησιν ἑαυτὸν, τοὺς ἡμαρτηκότας φοβῶν. *Δικαίου* γὰρ ἡ ἀπαραίτητος κόλασις. Καλεῖ δὲ καὶ *Σωτῆρα*, ὡς ἂν αὐτὸν ἐπὶ *σωτηρίᾳ* μαθόντες πάντα ποιεῖν αὐτῶν, ὁμολογοῖεν μὲν μετανοοῦντες ἣν ἐκ τῶν δικαίων ὀφείλουσι δίκην· C φιλανθρωπίας δὲ τυχόντες, τὴν τοῦ συγχωροῦντος χρηστότητα. « Δίκαιος γὰρ ἑαυτοῦ κατήγορος ἐν πρωτολογίᾳ. » Τὴν περὶ τῶν ἐθνῶν δὲ *δικαιοσύνην* μεθ' ὅρκου προΐσχεται, « Ἵνα διὰ δύο, φησὶν ὁ θεῖος Ἀπόστολος, πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεὸν, ἰσχυρὰν παράκλησιν ἔχωμεν. »

Καὶ οἱ λόγοι δέ μου, φησὶν *οὐκ ἀποστραφήσονται*. Ποῖοι δὲ *λόγοι;* δι' ὧν ἔλεγεν, *Ἐπιστράφητε ἐπ' ἐμὲ, καὶ σωθήσεσθε οἱ ἀπ' ἐσχάτου τῆς γῆς*. Ἐπὶ τίσιν δὲ τὸν ὅρκον ἐπήγαγεν, δηλοῖ λέγων· *Ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ*, οὐ τὸ Ἰουδαίων μόνον. Εἰ γὰρ Ἰσραὴλ μετὰ τοσαύτας ἁμαρτίας, χάριτος ἐδεήθη· πολλῷ μᾶλλον ἐπὶ πάν- D των μέγα ὂν τὸ λεγόμενον ἠπιστεῖτο. Δι' ὅπερ ὡς ἀνθρώποις διαλεγόμενος, ὅρκον ἐπήγαγεν, ὡς προσκυνήσουσιν αὐτῷ, καὶ αὐτὸν ὅρκον ποιήσονται, ὅπερ ἐκ μέρους πεπλήρωται κληθέντων τῶν ἐθνῶν. Πληρωθήσεται δὲ τελείως ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος, ὅτε πᾶν ἀνθρώπινον φάντασμα καὶ ψεῦδος καταργηθήσεται. *Πᾶσα δὲ γλῶσσα ἐρεῖ, ὅτι δικαιοσύνη, καὶ δόξα πρὸς αὐτὸν ἥξει*. Τὸ δὲ *δόξα*, *ἰσχὺς* ὁ Σύμμαχος εἴρηκεν. Πᾶσαι γὰρ αἱ ἐν οὐρα-

[88] Prov. xviii, 17. [89] Hebr. vi, 18.

Digitized by Google

νοῖς ἀρεταὶ τέλος αὐτὸν ἕξουσι. Καὶ πᾶσα *ἰσχὺς* ἀνθρώπων τῶν ὑπὲρ θεοσεβείας ἀγωνισαμένων πρὸς αὐτὸν ἐλεύσεται, ἀρετῆς καὶ καμάτου γέρα παρέχοντα. *Οἱ δὲ διορίζοντες ἑαυτοὺς, αἰσχυνθήσονται.* Διὸ λέλεκται· Αἰσχυνθήσονται πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς. Καὶ τοῖς Ἰουδαίοις ἐλέγετο· « Ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε. » Πότε δὲ *αἰσχυνθήσονται;* Ὅταν *πᾶν γόνυ κάμψῃ*, μετὰ ταῦτα λέγεται, *δικαιωθήσονται, καὶ ἐν τῷ Θεῷ ἐνδοξασθήσονται πᾶν τὸ σπέρμα τῶν υἱῶν Ἰσραήλ.* Τὸ δὲ *σπέρμα τῶν υἱῶν Ἰσραὴλ*, υἱοὶ [a] γὰρ Ἰσραὴλ, οἱ πρῶτοι τῶν Εὐαγγελίων ἐτύγχανον κήρυκες, ὧν τὸ *σπέρμα* καὶ τὴν διαδοχὴν ἔφη *δικαιωθήσεσθαι καὶ δοξασθήσεσθαι*, τῆς υἱοθεσίας ἠξιωμένους, περὶ ὧν τὸ, « Εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, » προείρηται. Ὅτι δὲ *σπέρμα* τῶν διδασκάλων οἱ μαθηταὶ, δηλοῖ καὶ Παῦλος λέγων· « Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. »

eum veniet, quo loco, pro *gloria, vim* dixit Symmachus. Omnes enim, quæ in cœlis sunt virtutes, pro fine ipsum habituræ sunt. Omnis denique hominum *virtus*, qui pietatis nomine decertarunt, ad eum, qui laborís et honestatis præmium largitur, ventura est. *Qui autem se ipsi separant, confundentur.* Atque inde est, quod omnes qui sculptilia adorant, **527** confusum iri scribitur[60]. Hinc etiam, quod Judæis dicebatur : « Nisi crediderítis quod ego sum, in peccatis vestris moriemini [61]. » Quando autem *confundentur?* Ubi *omne genu incurvaverit*; postea ait: *Justificabuntur, et in Deo glorificabitur omne semen filiorum Israel.* Sunt vero *semen filiorum Israel*, illi ipsi Israel filii, qui primi præcones Evangelii fuerunt, quorum *semen* et successores *justificatum, glorificatumque* iri dixit, qui sunt in filios adoptati, de quibus illud antea : « Nisi Dominus exercituum reliquisset nobis semen [62], » usurpatum fuit. *Semen* porro magistrorum etiam discipulos esse Paulo teste patuerit, qui se in Christo Jesu per Evangelium Corinthios genuisse affirmavit.

ΚΕΦΑΛ. ΜΖ'.

α'-ε'. *Ἔπεσε Βὴλ, συνετρίβη Δαγὼν, ἐγένετο τὰ γλυπτὰ αὐτῶν εἰς θηρία, καὶ τὰ κτήνη. Αἴρετε αὐτὰ καταδεδεμένα, ὡς φορτίον κοπιῶντι, καὶ ἐκλελυμένῳ, καὶ πεινῶντι. Οὐκ ἰσχύοντι ἅμα, οἳ οὐ δυνήσονται σωθῆναι ἀπὸ πολέμου· αὐτοὶ δὲ αἰχμάλωτοι ἤχθησαν*, κ. τ. λ.

CAP. XLVI.

VERS. 1-5. *Cecidit Bel, contritus est Dago. Facta sunt sculptilia eorum in bestias, et jumenta. Portatis ea alligata, quasi onus laboranti, et deficienti, et sitienti; nec prævalenti simul, qui non poterunt salvari in bello, ipsi autem captivi ducti sunt*, etc.

Εἰπὼν περὶ τῆς ἐπιστροφῆς τῶν ἐθνῶν, καὶ τῆς ἐκλογῆς τοῦ σπέρματος τῶν υἱῶν Ἰσραὴλ, πρὸς Ἰουδαίους ἀποστραφεὶς τὴν παντελῆ σημαίνει τῆς εἰδωλολατρείας καθαίρεσιν. *Βὴλ* δὲ καὶ Ἕλληνες καλοῦσι τὸν Κρόνον, ᾧ δὴ προσῆγον οἱ πλεῖστοι θυσίαν τὰ φίλτατα. Ὁ δὲ *Δαγὼν*, ἀλλοφύλων ξόανον ἐν Ἀσκαλῶνι καὶ Γάζῃ τιμώμενον. Τῇ δὲ λέξει τῆς ἱστορίας ὁ προφήτης ἐνέμεινεν. Ὡς γὰρ ἡ κιβωτὸς ἁλοῦσα πρὸς αὐτὸν εἰσενήνεκται, *συνετρίβη* παραχρῆμα πεσών. Ἀπὸ δὲ τοῦ μερικοῦ πρὸς τὸ καθόλου τῆς εἰδωλολατρείας τὸν λόγον ἀναγαγὼν, *Ἐγένετο γλυπτὰ*, φησὶν, *αὐτῶν εἰς θηρία καὶ κτήνη.* Τοιαῦτα δὲ καθ' ὅλης τῆς Αἰγύπτου τὰ εἴδωλα. Ὁ δὲ Σύμμαχος, *Ἐγένετο*, φησὶ, *τὰ εἴδωλα αὐτῶν ζώοις ἔκδοτα*, ὡς ἀπορῤῥιφέντα δηλονότι, καὶ λίαν κρημνωμένα [a]. Ὑπομιμνήσκει δὲ, φασί τινες, αὐτοὺς ὁ Θεὸς, ὡς τὰ μὲν αὐτοῦ μένει διηνεκῶς τελούμενα· τὰ δὲ τῶν εἰδώλων πάντα ψευδῆ, καὶ πρὸς τὸ μηδὲν διαπίπτοντα. Θεὸς γὰρ ὁ αὐτός ἐστι, γνώμῃ καὶ φύσει μεταβολὴν οὐ δεχόμενος. Καὶ ἃ προεῖπεν Ἀβραὰμ, ἐξετέλεσεν. Καὶ νῦν ἀληθὴς [b] εἰπὼν, ὅτι *Ἐμοὶ πᾶν γόνυ κάμψει*, καὶ κοινὴ πᾶσι δοθήσεται δωρεά. Ἡ δὲ τῶν εἰδώλων ἀσθένεια διελέγχεται· καὶ [c] παραδοθέντων ὑμῶν αἰχμαλωσίᾳ, ἐλεφάντων φορτία, καὶ τῶν ὑποζυγίων ἀπαγόμενα *φορτία* γενήσεται. Καὶ ἄνδρες δὲ φέροντες ἐπ' ὤμων αὐτὰ *κοπωθήσονται.* Τίς δὲ φέρων Θεὸν ἀσθενεῖ; Οὐκ ἄρα ταῦτα θεοί. Πῶς γὰρ

Postquam de gentium conversione, deque electione seminis Israel disputavit, ad Judæos jam conversus, omnem prorsus idolorum cultum eversum iri **528** significat. Est vero *Bel* etiam Græcis Saturnus nuncupatus; cui liberos suos in sacrificium permulti offerebant. *Dago* autem externorum populorum simulacrum, quod Ascalon et Gazæ colebatur. Alludit porro ad historiam Isaias, quæ capta arca, et ad idolum introducta [63], cecidisse ipsum, et *contritum* fuisse doceat. Deinde, ut a singulari, ad id quod generis est universi, susceptum de idololatria sermonem traducat, *Facta sunt*, inquit, *sculptilia eorum in bestias, et jumenta :* qualia fuerant ipsa Ægyptiorum idola. Quo loco Symmachus, *Fuerunt*, inquit, *eorum idola animalibus consecrata;* tanquam abjecta nimirum, valdeque neglecta. Placet nonnullis Deum quæ sua sunt manere semper, indicare : quæ autem idolorum, falsa omnia exsistere, et in nihilum abire. Est enim idem perpetuo Deus, ejusque nunquam vel sententia, vel natura immutatur, quaque fide olim quæ Abrahamo pollicitus erat, præstitit, eadem et nunc, quod *omne genu ante se flexum iri*, communeque omnibus datum iri munus affirmavit, effecturus est. Arguitur porro idolorum imbecillitas, quæ, cum duci vos, inquit, in exsilium, contigerit, elephantis non solum,

[60] Psal. xcvi, 7. [61] Joan. viii, 24. [62] Isa. i, 9. [63] I Reg. v, 1 seqq.

VARIÆ LECTIONES.

[a] γρ. εἰσὶν. [b] Ἰσ. ἠτιμωμένα. [b] γρ. ἀληθεύει. [c] Ἰσ. ἄ.

Digitized by Google

jumentisque cæteris, quibus avehentur, *oneri* futura sunt; sed viris etiam, quorum humeris gestabuntur, *laborem paritura*. Verum quis Deum gestans infirmior evadat? Non ergo dii illa sunt. Qui enim capta ab hostibus in exsilium traducantur? Qui damnis eorum, a quibus adorantur, non tangantur? Volunt alii sacerdotes eos, qui in dæmoniorum pompis ipsorum fercula bajulabant, dum per plateas incederent, idolorum pondus non sine labore sustinuisse. Istis vero admonet Israelitas etiam de hostibus, a quibus propter idolorum cultum abducendi sunt; animoque relinquit cogitandum quam grave sit et intolerabile dæmoniorum *onus* animabus iis, quæ postquam se impietati manciparunt, confecto bello non aliter quam captivi scelerum catenis revinctæ *ducuntur*. Eos deinde non *Jacob*, sed *domum Jacob* tantum nominat, propter affinitatem **529** cum carne, *et reliquias Israel, tanquam feces ejus aliquas*, et excrementa. Putant nonnulli abductis *in captivitatem* permultis, *unicam domum*, tanquam immanis ei barbaræ crudelitatis reliquias appellari : quod et ipsos etiam, nisi resipuerint, perpessuros esse non dissimulat. Volunt alii ad eorum, quæ dicta sunt, meditationem ipsos revocari, quos Jacobi genere gloriantes par fuit ejusdem mores imitari. Etsi enim, inquit, *reliquiæ* sitis *Israel* duæ tribus illæ, quæ de duodecim (decem enim bello captas et abductas esse constat) adhuc manent incolumes, eos tamen, quibus resipiscere placuerit, non sum neglecturus. Deinceps, tanquam frustra laborent, legem eis, in qua a teneris ungulis eruditi fuerant, exprobrat. Circumcisionem enim octavo die adepti, in aliis etiam legis præceptis ita educantur, ut non immerito dicatur : « Et populi meditati sunt inania [46]. » Cum enim ad idololatriam se convertissent, prophetico sermone ad errorem revincendum opus habuerunt. Vos ergo, inquit, quantum ad peccandi licentiam attinet, iidem plane remansistis. Ego vero eodem semper in vos animo, eademque benevolentia existens, deque vestra semper salute sollicitus, cum vos captivitate *castigavero*, vinculis liberatos *dimittam*. Eos enim non aliter quam peritus medicus, partim minis, partim etiam pollicitationibus de diaboli manibus eripere conatur.

530 VERS. 5-11. *Cui me assimilastis? videte, excogitate qui erratis, et qui confertis aurum de marsupio, et argentum in statera appenditis, et conducitis aurificem. Fecerunt manufacta, et incurvati adorant illa. Tollunt humeris, et ambulant*, etc.

Talem, inquit, in vos me ipse præstiti : vos autem, in quantam impietatis absurditatem delapsi estis, considerate; qui corpore carentem mortalium formis subdideritis : qui *aurum et argentum contuleritis*, qui forma materiæ inducta Deo honorem tribui putaveritis. Quo defensionis artificio crimen istud depuleritis? Vel tandem igitur ad meæ deitatis cogitationem resipiscite, neque sempiternum et solum Deum esse agnoscite. Hujus vel

[46] Psal. II, 1.

A ἂν καὶ ἤγετο πρὸς τῶν πολεμίων αἰχμάλωτα; πῶς δ' ἂν ταῦτα παθόντας τοὺς ἰδίους παρεῖδον προσκυνητάς; Ἄλλοι δέ φασιν ὡς ἐν ταῖς τῶν δαιμονίων πομπαῖς ἐκκομίζοντες ἱερεῖς τὰ ἀγάλματα φέροντες ἐπ' ὤμων, τὰς πλατείας ἀχθοφοροῦντες διήρχοντο. Τὸν Ἰσραὴλ δὲ διὰ τούτων ὑπομιμνήσκει καὶ τῶν ἀπαξόντων αὐτοὺς πολεμίων, ὡς τὰ εἴδωλα προσκυνήσαντας, καὶ κατὰ διάνοιαν αἰνιττόμενος, ὡς βαρὺ καὶ δυσβάστακτον ψυχαῖς τὸ τῶν δαιμόνων *φορτίον*, ἐπειδὰν αὐτὰς ἀσεβείᾳ καταδουλώσωνται, δίκην αἰχμαλώτων σειραῖς αὐτὰς ἁμαρτημάτων δεδεμένας *ἀπάγοντες*, τοῦ παρ' αὐτῶν πολέμου πέρας τοῦτο ποιούμενοι. Εἶτα καλεῖ αὐτοὺς οὐκ *Ἰακώβ*, ἀλλ' αὐτὸ μόνον *οἶκον Ἰακώβ*, διὰ τὴν κατὰ σάρκα συγγένειαν, καὶ κατάλοιπον Ἰσραὴλ, *ὡς τρύγα τινὰ καὶ*
B *περίττευμα Ἰσραήλ*. Τινὲς δέ φασιν ὡς τῶν πλείστων *εἰς αἰχμαλωσίαν* ἀχθέντων, ὥσπερ *οἶκον ἕνα* καλεῖ καὶ βαρβαρικῆς ὠμότητος λείψανον. Τοῦτο γὰρ αὐτοὺς πείσεσθαι μὴ μετανοοῦντάς φησιν. Ἄλλοι δέ φασιν ὡς πρὸς τὴν τῶν εἰρημένων αὐτοὺς ἄγει συναίσθησιν. Ἰακὼβ γὰρ αὐχοῦντες εἶναι γένος, τὸν ἐκείνου τρόπον ζηλοῦν εἰσιν ἄξιοι. Εἰ γὰρ καὶ *λεῖμμα* τυγχάνετε τοῦ *Ἰσραὴλ* δύο περιλειφθεῖσαι φυλαὶ (αἱ γὰρ δέκα πρὸς αἰχμαλωσίαν ἀπῆχθησαν), μετανοοῦντας ὅμως οὐ περιόψομαι. Λοιπὸν αὐτοῖς ὡς ἀνόνητα μελετῶσι, τὸν νόμον ἐξ ἁπαλῶν ὀνύχων ὠνείδισεν. Δεχόμενοι γὰρ περιτομὴν ὀκταήμερον, τοῖς ἄλλοις νομίμοις ἐντρέφονται, ὡς εἰρῆσθαι διὰ τοῦτο· « Καὶ λαοὶ ἐμελέτησαν κενά. » Εἰδωλολα-
C τροῦντες γὰρ, προφητικῶν εἰς ἔλεγχον ἐδέοντο λόγων. Ὑμεῖς μὲν οὖν οἱ αὐτοὶ τὴν πλάνην· ἐγὼ δὲ ὁ αὐτὸς τὴν φιλανθρωπίαν, τὴν ὑμετέραν ἀεὶ σωτηρίαν ζητῶν, *καὶ παιδεύσας* ὑμᾶς αἰχμαλωσίᾳ, πάλιν *ἀνήσω* δεσμοῦ. Ὡς γὰρ ἰατρὸς ἀγαθὸς νῦν μὲν ἀπειλαῖς αὐτοὺς, νῦν δὲ πάλιν ἀγαθῶν ὑποσχέσεσιν ἁρπάσαι πειρᾶται τοῦ διαβόλου χειρῶν.

ε'-ια'. *Τίνι με ὡμοιώσατε; ἴδετε, τεχνάσασθε, οἱ πλανώμενοι, καὶ οἱ συμβαλλόμενοι χρυσίον ἐκ μαρσιππίου, καὶ ἀργύριον ἐν ζυγῷ στήσουσιν ἐν*
D *σταθμῷ· καὶ μισθωσάμενοι χρυσίον, ἐποίησαν χειροποίητα, καὶ κύψαντες προσκυνοῦσιν αὐτοῖς. Αἴρουσιν αὐτὸ ἐπὶ τοῦ ὤμου, καὶ πορεύονται*, κ. τ. λ.

Ἐγὼ μὲν περὶ ὑμᾶς, φησὶ, τοιοῦτός εἰμι. Ὑμεῖς δὲ λογίσασθε πρὸς ὅσην ἀσεβείας ἀτοπίαν ἐκπίπτετε, τὸν ἀσώματον εἰκόσι θνητῶν ὑποβάλλοντες· *χρυσίον καὶ ἀργύριον συνεισφέροντες*, ὕλῃ καὶ πλάσει τι μᾶν τὴν θείαν φύσιν ἡγούμενοι. Πρὸς τοῦτο ποίαν ἀπολογίαν τετεχνασμένην εὑρήσετε; Τῆς οὖν ἐμῆς ποτε θεότητος πρὸς ἔννοιαν ἀνανήψατε, ὡς ἀΐδιος καὶ μόνος ἐγώ. Καὶ τούτου τεκμήριον τὸ διὰ τῶν ἐμῶν προφητῶν προαγορεύειν τὰ μέλλοντα χρόνοις ὕστε-

Digitized by Google

ρον ἐπιτελεῖσθαι μακροῖς, ὧν τὰ μὲν ἤδη πεποίηκα, τὰ δὲ καὶ ποιήσω, διὰ τοῦ *καλεῖν πετεινῶν* δίκην τοὺς ἐμοὺς ὑπηρέτας ἀγγέλους, τά τε λειτουργικὰ πνεύματα τὰ πρὸς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν. Οἱ δὲ λοιποὶ ἐξέδωκαν, *Καλῶν ἀπὸ ἀνατολῶν ὄρνιν, ἀπὸ γῆς πόρρωθεν ἄνδρα βουλῆς μου.* Δηλοῖ δὲ τὸν Χριστὸν ὃν ἀνακεκλῆσθαί φησιν ἐκ γῆς πόρρωθεν, τῶν τοῦ ᾅδου δηλονότι μυχῶν, δι' οὗ πληρώσειν τὰς ἐπαγγελίας φησίν. Ἄλλοι δὲ *πετεινὸν* ἔφασαν τὸν Βαβυλώνιον, περὶ οὗ φησιν Ἰεζεκιήλ· « Ὁ ἀετὸς ὁ μέγας, ὁ μεγαλοπτέρυγος, » καὶ τὰ ἑξῆς. Ἅπερ ἐξηγούμενός φησιν· « Οὐκ ἐπίστασθε τί ἐστι ταῦτα; ὅτ' ἂν ἔλθῃ βασιλεὺς Βαβυλῶνος ἐπὶ Ἰερουσαλὴμ καὶ λήψεται τὸν βασιλέα αὐτῆς, καὶ τοὺς ἄρχοντας αὐτῆς, » καὶ τὰ μετὰ ταῦτα· τούτους γὰρ ἐκλεκτὰ τῆς κέδρου προκέκληκε διὰ τῆς παραβολῆς. Ἔλεγεν δὲ βασιλέα τὸν Σεδεκίαν, ὃν αἰχμάλωτον εἴληφεν. Ἄλλοι δὲ *πετεινὸν* εἰρῆσθαι τὸν Κῦρόν φασιν. Τὸ δὲ *ἔκτισα*, τοῦτ' ἔστι κατεσκεύασα, κακὰ δηλονότι κακωτικά. Εἰ δὲ καὶ μηδεὶς εὑρεθῇ τοὐμὸν θέλημα μετιὼν, τὸν Υἱὸν ἀποστελῶ τὸν ἐμὸν τὴν πατρικὴν πληροῦντα βουλήν.

A id fuerit argumentum, quod meorum prophetarum voce quæ essent eventura longe ante prædixerim, quorum alia jam per me facta sunt, alia procul dubio et ipse efficiam; qui in subsidium meum angelos, tanquam *aves*, spiritusque ministros in eorum, qui salutis hæredes futuri sunt [65], auxilium *vocare* possim. Alii autem transtulerunt: *Vocans ab oriente avem, a terra longinqua virum voluntatis meæ.* Quibus certe Christum ipsum significarunt; quem de terra longinqua, id est ab ipsis inferorum penetralibus, evocatum esse dicit, et per eumdem se promissiones impleturum. Alii porro *avis* nomine Babylonium significari dixerunt, de quo loquentem **531** Ezechielem reperias, ubi ait: « Aquila magna, magnis pennis [66], » cæteraque, quæ sequuntur, quorum sic interpretationem B adjungit: « Nescitis quid ista significent? Ecce veniet rex Babylonius in Jerusalem; et assumet regem ipsius, et principes ejus [67], » et quæ sequuntur. Hos enim antea cedrorum electarum appellatione in parabola significaverat; Sedeciamque regem, quem captivum habuit, demonstrabat. Alii vero per *avem*, Cyrum designari arbitrantur. Deinde, quod *creasse* se adjicit, præparasse innuit; mala nimirum et calamitates, quibus afficientur. Quod si etiam nullus reperiatur, qui voluntatis meæ placita non aversetur, Filium ego meum, qui Patris consilium amplexus, ejusdem mandata impleat, missurus sum.

ΚΕΦΑΛ. ΜΖ'.

α-ιε'. *Κατάβηθι, κάθισον ἐπὶ τὴν γῆν, παρθένος θύγατερ Βαβυλῶνος. Εἴσελθε εἰς τὸ σκότος, θύγατερ Χαλδαίων, ὅτι οὐκ ἔτι προσθήσῃ κληθῆναι ἁπαλὴ καὶ τρυφερά. Λάβε μύλον, ἄλεσον ἄλευρον, ἀποκάλυψαι τὸ κατάλυμμά σου, ἀνάσυρε τὰς πολιάς, ἀποκάλυψαι τὰς κνήμας,* κ. τ. λ.

CAP. XLVII.

532 VERS. 1-15. *Descende, sede super terram, virgo filia Babylonis. Sede in terram. Ingredere in tenebras, non est solium, filia Chaldæorum: quoniam non ultra adjicies, ut voceris mollis et tenera. Tolle molam, et mole farinam; revela operimentum tuum, detege canos, denuda tibias*, etc. C

Καὶ ταῦτα πρὸς τοὺς ἐξ Ἰσραὴλ, οἷς ἔλεγε, « Τίνι με ὡμοιώσατε; » Ἐκεῖ μὲν οὖν πλανωμένους εἶπεν αὐτούς, ἐνταῦθα δὲ *ἀπολωλεκότας τὴν καρδίαν.* Ἀνθ' οὗ Σύμμαχος ἐξέδωκεν, *οἱ σκληροκάρδιοι.* Καθ' ἑκάτερον δὲ παρίσταται τὸ τῆς γνώμης ἀναίσθητον. Διὸ πρὸς εἰδωλολατρείαν ἐτράποντο. Ἀλλ' ὅμως ἐλεῶν αὐτοὺς ὁ Θεὸς ὑποσχέσεσι καλαῖς ἀνακαλεῖται πρὸς σύνεσιν *μακρυνθέντας δικαιοσύνης*, τοῦτ' ἔστι Θεοῦ. Ἀπειρήκεσαν γὰρ ταῖς ψυχαῖς ἁλούσας ὁρῶντες τὰς δέκα φυλὰς, αὐτοῖς τε τὸν Ἀσσύριον ὁρῶντες ἐγκείμενον, ματαίας τοῦ Θεοῦ τὰς ἐπαγγελίας ἐνόμιζον. Διὸ τὴν κατὰ Βαβυλῶνος αὐτοὺς εὐαγγελίζεται δίκην. Ἐκόλασε γὰρ τοὺς ἐξ Ἰσραὴλ ὁ Θεὸς οὐ μισῶν, σωτηρίαν δὲ αὐτοῖς μνηστευόμενος, ὡς καὶ τῶν ἰατρῶν οἱ τέμνοντές τε καὶ καίοντες· ἐπεὶ καὶ πᾶσα κόλασις πρὸς δύνησιν ἐπιφέρεται. Συναναπλέκει δὲ τῇ τῆς μερικῆς *σωτηρίας* ὑποσχέσει καὶ τῆς γενικωτάτης τὴν δήλωσιν. Ἡ μὲν γὰρ διὰ Κυρίου[d] λύτρωσις, μερική, ἡ δὲ διὰ Χριστοῦ, πάντων ἀνθρώπων. Τὸ δὲ, *οὐ μὴ βραδύνω*, παρέοικε τῷ· « Ἔτι μικρὸν ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ, »

533 Et ista ad Israelitas etiam, in quos superius illud: « Cui me assimilastis [68], » usurpatum est, referuntur. Ibi ergo eos errare, hic autem *cor perdidisse*, sive, ut expressit Symmachus, *duro corde exsistere* significat, ut utroque modo vecordes, animique sensu destitutos ad idololatriam sese contulisse demonstret. Sed eorum jam miseratione commotum Deum spe bona, magnificisque pollicitationibus, qui *ajustitia*, id est a Deo, *longe fuisD sent*, ad resipiscentiam provocare. Animos enim, qui decem tribus captas esse cernebant, abjecerant; et qui sibi Assyrium imminere videbant, vanas esse pollicitationes arbitrabantur. Atque hinc est, quod eis prædicta Babylonis ultione recreari Deus voluit; qui non odio, sed salutis amore provocatus ad Israelitarum pœnas accessit, non aliter quam ad amputandum, vel urendum medici: ne dicam nonnisi utilitatis gratia semper ultiones induci. Copulat autem cum particulari *salutis* promissione, et ejus etiam significationem, quæ generis est universi. Est enim quæ fit per Cyrum re-

[65] Hebr. I, 14. [66] Ezech. XVII, 3. [67] ibid. 12. [68] Isa. XLVI, 5.

VARIÆ LECTIONES.

[d] *Isa.* Κύρου.

Digitized by Google

demptio, particularis, quæ autem per Christum universorum hominum. Jam, quod *tardare non faciam* adjicit, eidem plane simile est, quod scribitur: « Adhuc modicum, qui venit, veniet, et non tardabit [69]. » *Sionis* deinde nomine Ecclesiam intelligimus, in qua ejusdem *salutem cum gloria* percipiemus, quotquot intelligibilis Israel, id est, Abrahami filii per **534** promissionem effecti, mentem quæ Deum intueatur, habuerimus. At Symmachus: *Dabo in Sion salutare, et Israel gloriam*, interpretatur. Ista ergo Israeli, inquit, pro mea in eos benevolentia, facile concesserim: sed *justitiam* meam in eos, qui præter æquum in vos sævierunt, dejecto regni ipsorum fastigio non possum non ostendere. Ideo enim fastu intumescunt, quod a sæculis multis imperio gentium potiuntur. Regno itaque personam tribuens *filiam Babylonis* et *virginem*, magnitudine virium, tanquamque ipso ætatis flore, tumidam et elatam appellavit, quam e sublimi descendere imperat.

A καὶ *Σιὼν* τὴν Ἐκκλησίαν νοήσομεν, ἐν ᾗ τὴν αὐτοῦ *σωτηρίαν ἐν δόξῃ* δεχόμεθα ὅσοι τελοῦμεν εἰς τὸν νοητὸν Ἰσραὴλ, εἰ Θεὸν ὁρῶντα σχήσομεν νοῦν εἰς τέκνα τελοῦντες κατ' ἐπαγγελίαν τοῦ Ἀβραάμ. Ὁ δὲ Σύμμαχος ἐξέδωκε· *Δώσω ἐν Σιὼν σωτήριον, καὶ τῷ Ἰσραὴλ δόξαν.* Ταῦτα μὲν οὖν διὰ φιλανθρωπίαν δώσω, φησὶ, τῷ Ἰσραήλ· τὴν δὲ *δικαιοσύνην* ἐνδείξομαι τὴν ἐμὴν, τοῖς ὑπὲρ τὸ δέον ὑμᾶς τιμωρησαμένοις ἐπεξιὼν, ὧν δὴ ταπεινώσω τῆς βασιλείας τὸ ὕψος. Ἐμεγαλαύχουν γὰρ ἐπὶ μακροῖς χρόνοις τῶν ἐθνῶν δυναστεύοντες. Τὴν δὲ βασιλείαν προσωποποιήσας, *θυγατέρα Βαβυλῶνος* ἐκάλεσεν, καὶ *παρθένον*, ὡς καλλωπιζομένην ἐν ἀκμῇ τῆς δυνάμεως, καὶ τὴν ἐξ ὕψους αὐτῇ προσέταξε κάθοδον.

Nonnulli filias Babylonis, aut etiam mulieres, ita volunt indicari, quas a Medis captas in servitutem redactum iri significat; quorum *descensu*, gloriæ et luxus, libertatisque et divitiarum in contraria mutatio demonstratur. Vocat ergo *virginis tenebras*, calamitatem eam, quæ averti sarcirique non valeat. Menti siquidem perpetuo *tenebras* dolor et metus offundunt. *Mollem* deinde et *teneram*, propter vitæ genus, modoque carentem ornatum vel regni, vel mulierum appellavit. Apud quos enim militiæ studium professos auro ornari, suavissimisque liniri unguentis usitatum erat, quid non facturas mulieres putes? Sedentem deinde, tanquam de regina sermo sit, facit; quæ mox relictis omnibus non aliter quam quæ *molæ* addicta, captivis famulatura sit. Ad hæc, *operimentum* illud, quo sibi varie caput adornabat, abjicere imperat: et quod de canis dixit, addidit, aut tanquam regni diuturnitatem indicaturus, aut eorum qui loquuntur, crudelitatem; qui ne anui quidem pepercerunt. Sed pro quo *Revela operimentum* habemus, *Aures obducito* dixit Symmachus. Ubi item, *Quod justum est de te auferam. Non amplius tradam hominibus*, legimus; idem quoque, *Te ego ulciscar, nec resistet mihi homo*, interpretatur. Ubi deinde: *Qui redemit te Dominus exercituum*, Aquilas: *Propinquus vobis Dominus.* **535** Hæc igitur adversum te, inquit, *Dominus noster*, qui *nos redimit*, decrevit: nimirum, ut te ad hostes abduceret, ubi te exsistentes in medio *fluvios denudatam* pertransire necesse est. Neque vero id injuria passum esse alius etiam in hunc modum propheta testatur, cum ait: « Sicut fecit, faciam ei [70]. » Et rursum: « Quemadmodum fecisti, sic erit et retributio tua [71]. » Quin et omnino dicit Scriptura: « Væ impio! Mala secundum opera manuum ipsius contingent ei [72]. » Quod autem, *Non amplius tradam te hominibus*, ait; si ad

B Τινὲς δὲ τὰς θυγατέρας τῶν Βαβυλωνίων ἢ καὶ τὰς γυναῖκας οὕτως εἰρῆσθαί φασιν, ὧν τὴν ὑπὸ Μήδων διέγραψεν ἅλωσιν, καὶ τὴν εἰς δουλείαν ἀπαγωγήν. Ὧν *ἡ κατάβασις* δηλοῖ τὴν ἐκ δόξης καὶ τρυφῆς, ἐλευθερίας τε καὶ πλούτου πρὸς τἀναντία μεταβολήν. Τῆς οὖν *παρθένου σκότος* τὴν ἀνήκεστον ἐκάλεσε συμφοράν. Τὸν νοῦν γὰρ ἀεὶ λύπη καὶ φόβος *σκοτοῖ*. *Ἁπαλὴν* δὲ καὶ *τρυφερὰν* διά τε τὴν δίαιταν καὶ τὸν ὑπερβάλλοντα κόσμον ἢ τῆς βασιλείας, ἢ τῶν γυναίων καλεῖ. Παρ' οἷς γὰρ τὸ μάχιμον ἐκοσμεῖτο χρυσῷ, καὶ τοῖς εὐωδεστάτοις κατεχρίετο μύροις, τί ἂν τις εἴποι τὰ γύναια; Καὶ καθημένην, ὡς ἐπὶ βασιλίδος φησίν. Ἅπερ ἀποθεμένη, φησὶ, *μυλωθρίδος* δίκην θεραπαίνης, τοῖς ἀλοῦσι δουλεύσεις. Καὶ τὸ *κατάλυμμα* [e] δὲ τὸ ἐκ διαφόρου C κόσμου περιελοῦσα τῆς κεφαλῆς ἀποτίθετο. Τὸ δὲ τῶν πολιῶν, ἢ ὡς ἐπὶ χρονίου βασιλείας εἶπεν, ἢ τὴν ὠμότητα τῶν εἰρηκότων δηλῶν, ὡς μηδὲ γυναικὸς πρεσβύτιδος φείσασθαι. Ἀντὶ δὲ τοῦ *Ἀποκάλυψαι τὸ κατακάλυμμά* [f] *σου*, Σύμμαχος, *Κάλυψαι τὰ ὦτα*, φησὶν, ἀντὶ δὲ τοῦ, *Τὸ δίκαιον ἐκ σοῦ λήψομαι· οὐκέτι μὴ παραδῶ ἀνθρώποις*, ἐξέδωκεν· *Ἐκδίκησίν σου λήψομαι, καὶ οὐκ ἀντιστήσεται ἐν ἐμοὶ ἄνθρωπος.* Ἀντὶ δὲ τοῦ, *ὁ ῥυσάμενός σε Κύριος Σαβαὼθ*· Ἀκύλας, *ἀγχιστεύων ἡμῶν Κύριος*. Ταῦτα κατὰ σοῦ, φησὶν, ὥρισεν ὁ ἡμέτερος *Κύριος λυτρούμενος ἡμᾶς*, δηλονότι τὴν εἰς πολεμίους ἀπαγωγὴν, καθ' ἣν ἔδει [g] διελθεῖν *ἀνασυρομένην* καὶ τοὺς ἐν μέσῳ τυγχάνοντας *ποταμούς*. D Ὅτι δὲ δικαίως πέπονθε, καὶ προφήτης ἐδήλωσεν ἕτερος εἰπών· « Καθὼς ἐποίησεν, ποιήσω αὐτῇ· » καὶ πάλιν· « Καθὼς ἐποίησας, οὕτως ἔσται τὸ ἀνταπόδομά σου. » Καὶ καθόλου δέ φησιν ἡ Γραφή· « Οὐαὶ τῷ ἀνόμῳ. Πονηρὰ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ. » Τὸ δὲ, *Οὐκέτι μὴ παραδῶ σε ἀνθρώποις*, κατὰ τοὺς Ἑβδομήκοντα, δηλοῖ τὸ *μηκέτι* τοιούτοις ἀπανθρώποις παραδοθήσεσθαι.

[69] Habac. II, 3. [70] Ezech. VII, 27. [71] Jerem. L, 15, 29. [72] Isa. III, 11.

VARIÆ LECTIONES.

[e] γρ. κάλυμμα. [f] γρ. κάλυμμα. [g] γρ. ἴσ. σε δεῖ.

Digitized by Google

Ἴσως δὲ καὶ αὐτοῖς λέγει τοῖς πάλαι νικήσασι· τοῦτο δὲ πρὸς τὸν Ἰσραὴλ ῥηθὲν παρεμβέβληται. Εἶτα πάλιν πρὸς τὴν *Χαλδαίαν* φησὶ, *Κάθισον κατανενυγμένη*, ἢ κατὰ Σύμμαχον, *σιωπῶσα*· ἡ γὰρ οὕτω μεγάλαυχος, καὶ ὡς *οἰκέταις* χρωμένη τοῖς ἔθνεσιν, μετάγνωθι λοιπὸν ἐφ' οἷς ἔπραξας, τοσούτῳ *σκότῳ* παιδείας ἐκδιδομένη.

A mentem interpretum Septuaginta referas, de inmitibus ejusmodi et inhumanis hominibus, fortassis et de illis etiam a quibus victi quondam fuerunt, intellexit. Sed est ad Israelem dictum istud intercalatum. *Chaldæam* deinde compellens, *Sede*, inquit, *compuncta*; vel *tacens*, secundum Symmachum. Quæ enim eo superbiæ et arrogantiæ evaseras ut tanquam *servis*, nationibus utereris; te deinceps eorum, quæ gessisti, cum in tantis doctrinæ *tenebris* versareris, pœnitere æquum est.

Τὸ δὲ *ἰσχὺς βασιλείας*, *δέσποινα βασιλειῶν* ἐξέδωκε Σύμμαχος, καὶ τὴν αἰτίαν ἐπήγαγεν, διδάσκων ὡς οὐ δεῖ τοῖς ὑπὸ Θεοῦ ταπεινουμένοις ἐπεμβαίνειν, οὓς ἐγχωρεῖ παιδευθέντας *ἐλεηθῆναι*. Συνῳδὰ δὲ τούτοις καὶ Ζαχαρίας φησίν· « Ἐζήλωκα τὴν Ἰερουσαλὴμ ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ὀργίζομαι ἐγὼ ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα· ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. » Σὺ δὲ, φησὶ, καὶ διηνεκῶς *βασιλεύειν* ὑπείληφας, παιδεύων ταῖς παρούσαις εὐπραγίαις μὴ πεποιθέναι, προορᾷν δὲ τὰ *ἔσχατα*, καὶ τὰς ὕστερον ἐσομένας μεταβολάς. Ταῦτα δὲ τῆς ὑπερηφανίας τῶν ἐν αὐτῇ βασιλευσάντων ὑπῆρχεν. Ὑφ' ἕνα δὲ αὐτῇ καιρὸν ἀπειλεῖ ἀνδρὸς στέρησιν τοῦ καθ' ὃν ἥλω βασιλεύοντος χρόνου, καὶ τέκνων τῶν ὑπ' αὐτῆς βασιλευομένων, ἢ καὶ τῶν αὐτῆς οἰκητόρων ἐν τῇ μάχῃ πεσόντων. Οὐ διὰ τὰ προλεχθέντα δέ σοι ταῦτα συμβήσεται μόνον· ἀλλ' ὅτι καὶ τὰς ἐλπίδας ἐν ἐπῳδαῖς ἔθου καὶ φαρμακείαις. Προλεγόντων γάρ σοι νίκην τῶν αὐτὰ μετιόντων, πρὸς ὄγκον ἀρθεῖσα φρονήματος, ὁμοῦ καὶ τῇ δυνάμει θαῤῥοῦσα, καὶ τὴν ἀρχὴν οὐκ οἰομένη κρείττω φανεῖσθαι τὴν Περσικὴν, ἔφασκες· *Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἑτέρα*, ταῖς ἐκ δαιμόνων μαντείαις, καὶ ταῖς ἐξ ἄστρων θαῤῥήσασα. Καὶ τὴν ἐπὶ δαίμοσιν ἐλπίδα *πορνείαν* καλεῖ. Ἀποστατικὴ γάρ ἐστι Θεοῦ. Πᾶσι γὰρ ἀνθρώποις ἡ πρὸς Θεὸν οἰκείωσις κατὰ φύσιν, ἡ δὲ πρὸς δαίμονας ἀλλοτρία, τὴν τούτων πρὸς ἀνθρώπους συνουσίαν διὰ γοητείας ἐπαγομένη. Διὸ καὶ Παῦλος τῇ φαρμακείᾳ συνάπτει τὴν εἰδωλολατρείαν λέγων· « Εἰδωλολατρεία, φαρμακεία. »

Cæterum quo loco *fortitudo regni* habemus, *domina regnorum* vertit Symmachus; et causam addit, ut doceat non iis esse, qui a Deo affliguntur, insurgendum, quorum correptione ad *misericordiam* potius decuit commoveri. Istis autem et illa congruunt, quæ per Zachariam in hunc modum dicuntur: « Æmulatus sum Jerusalem zelo magno: et ira magna ego irascor super gentes opulentas. Quia ego iratus sum parum, ipsi addiderunt ad mala [73]. » At te diutius *regnaturam* arbitrata es, inquit, ut præsenti rerum successui non esse confidendum, sed *ultima*, et quæ deinceps futuræ sunt, mutationes oportere prævideri demonstraret. Demonstrabant vero hæc eorum qui in ea regnarunt, arrogantiam. Ei porro uno eodemque tempore, et viri, qui dum capta est regnabat, et liberorum, aut etiam civium, qui in acie casuri essent, interitum minitatur. Neque tamen ista in te solum, inquit, propter ea, quæ ante dicta sunt, ventura sunt; sed ideo etiam quod spes tuas in incantationibus et veneficiis sitas **536** habueris. Cum enim penes te fore victoriam prædicerent, qui ea adibant; tantum fastu et arrogantia intumuisti, ut opibus tuis freta, Persisque te fore superiorem arbitrata, *esse te, et non exsistere aliam*, inque vaticiniis, quæ per dæmonas et astra fiunt, confidere, ausa sis dicere. Spem deinde, quæ in dæmonibus collocatur, *fornicationem* ideo nominat, quod a Deo separet. Est enim Dei et hominum maxime secundum naturam familiaritas, aliena autem plane, quæ cum dæmonibus inita, illis cum hominibus congressum magicis artibus conciliat: indeque est quod Paulus idolorum cultum cum iis conjungit, cum idolorum servitus, veneficia, dicit [74].

Οὐ τοίνυν οὔτε *Χαλδαίοις* οὔθ' ἑτέροις τὸ εἰδωλολατρεῖν συγγνωστὸν, ἀλλ' ὀλέθριον. *Ἔσται οὖν*, φησὶν, *ἡ πορνεία σου εἰς αἰσχύνην*, ὅτ' ἂν ἡ ἐπὶ δαίμοσιν *ἐλπὶς διαπέσῃ*, *ὧν ἡ ἰσχὺς*, ἀσθένεια, μήτε προλέγειν ἐχόντων, ὡς ἐγώ σοι ταῦτα, μήτε βοηθεῖν δυναμένων. Ἀντὶ δὲ τοῦ, *Γνῶθι ὅτι ἡ σύνεσις τούτων ἔσται, καὶ ἡ πορνεία σοι αἰσχύνη*, Σύμμαχός φησι· *Καὶ ἡ γνῶσίς σου αὕτη ἐξηπάτησέ σε. Σύνεσιν* δὲ καλεῖ τὴν σοφίαν τῶν μάντεων. Διό φησι, *Καὶ οὐ μὴ γνῷς ἐκ μαντείας τὸν ἐπερχόμενον ὄλεθρον*, ὃν καὶ *βόθυνον* καλεῖ, τὸ ἄφυκτον τῶν ἐμπεπτωκότων δηλῶν. Παρίστησι δὲ Δανιὴλ ὅπως παρὰ Χαλδαίοις διέπρεπον μάγοι τινὲς, καὶ Γαζαρηνοὶ, καὶ φαρμακοὶ, καὶ οἱ τὰ τοιαῦτα σοφοὶ (οὕτω γὰρ αὐτοὺς ἐκάλουν), οἱ καὶ εὐδοκίμουν

Non est igitur idola colere neque *Chaldæis*, neque aliis venia dignum, sed capite. *Erit ergo fornicatio tua*, inquit, *in dedecus*; cum tibi, quæ est in dæmonibus, *spes exciderit*, *quorum virtus* ab impotentia non differt, qui tibi nihil quidquam vel prædicere, ut ego ista, vel auxiliari queunt. At pro, *Scito quod prudentia horum erit, et fornicatio tua tibi dedecori*, ita Symmachus: *Et intelligentia tua, hæc decepit te. Ubi intelligentiæ* nomine vaticinandi artem significavit. Et inde est, quod ait: *Et non cognosces ex vaticiniis advenientem interitum*; quem *foream* etiam appellavit, ut eos, qui in eam ceciderint, non esse evasuros demonstraret. Legas vero et apud Danielem magos in Chaldæa quosdam, et Gazarenos, et veneficos [75], aliosque artium ejus-

[73] Zachar. I, 14, 15. [74] Gal. v, 20. [75] Dan. II, 2.

Digitized by Google

modi professores, quos illi sapientes vocant, claruisse, tantumque regi probatos fuisse, ut non nisi eorum auspiciis regnum feliciter administrari posse crederet: quos hic per *ignem* passuros esse vindictam monet propheta, cum et ipsam, nullis auxilium ferre valentibus, igne conflagrare civitatem contigerit. Sunt tamen qui sermonem ad *Chaldæam* ironice dirigi arbitrentur, cum *habere carbones ignis*, æstuantes nimirum et præfervidos homines illos dixit, de quibus intellexit, cum, si quando *super* **537** *eos sederis*, id est, requieveris, adjunxit. Aderunt enim tibi in auxilium. Vel certe, *carbonum* nomine, utiles, et ad resipiscentiam provocantes pœnas significat. Tibi enim, inquit, cum resipueris, ista in commodum me *auxiliante* cesserit ultio, quantumvis antea *in vanum laboraveris*. Hæc autem, inquit, etiam singulis hominibus eventura sunt. Per se enim qui *errarunt*, multam patientur; quam nec illa, quam non pœnituerit, evitare poterit. Significat vero idem *laborasti*, ac si *infirma fuisti* dixisset. Perfacile enim expugnari capique poteras, quæ Dei cultum cum dæmonibus *commutaras*. At enim, quo loco *Laborasti in commutatione tua*, et quæ sequuntur, legimus; ibidem cæteri: *Negotiatores tui ab adolescentia tua, unusquisque in fine suo erraverunt, ex quibus nullus inventus est tibi salvator*, interpretantur; Symmachus autem, *Itaque non est, qui salvet te*. Nonnulli porro illud: *Homo in semetipso erravit, tibi autem non erit salus*, ita explicant, ac si permultos homines carnis affectibus abreptos, cum a Deo modice recessissent, aberrasse quidem, te autem, eo impuritatis, processisse diceret, ut nullus tibi saluti locus relinquatur amplius.

A παρὰ τῷ βασιλεῖ, ὡς δι' αὐτῶν κατορθουμένης τῆς βασιλείας, οὓς φησι καταλήψεσθαι τὴν *διὰ πυρὸς* τιμωρίαν, ἡνίκα πυρίκαυστος καὶ ἡ πόλις γενήσεται, μηδὲ αὐτοῖς βοηθεῖν δυναμένους. Τινὲς δὲ κατ' εἰρωνείαν τὸν λόγον πρὸς *τὴν Χαλδαίαν* ἐδέξαντο. *Ἔχεις ἄνθρακας πυρὸς*, ὅ ἐστι θερμοὺς ἄνδρας καὶ ζέοντας, τοὺς περὶ ὧν ὁ λόγος, ὅτ' ἂν *ἐπ' αὐτοῖς καθίσῃς*, ὅ ἐστιν ἐπαναπαύσῃ. Αὐτοὶ γὰρ ἔσονταί σοι βοήθεια. Ἤγουν *ἄνθρακας*, τὰς ἐπιστρεπτικὰς καὶ ὠφελίμους τιμωρίας καλεῖ. Ἐπιστραφείσῃ γάρ σοι, φησὶν, ἔσται τὰ τῆς τιμωρίας πρὸς ἀγαθοῦ τῆς παρ' ἐμοῦ τυγχανούσης *βοηθείας*, εἰ καὶ τὸν πρὸ τοῦ χρόνον εἰς *ματαιοπονίαν ἀνάλωσας*. Ταῦτα δὲ φησὶν, ἔσται καὶ καθ' ἕκαστον τῶν ἀνθρώπων. Δι' ἑαυτοὺς γὰρ *πλανηθέντες* ἕξουσι τιμωρίαν, ἣν οὐ φεύξῃ μὴ μετανοήσασα. Τὸ δὲ *ἐκοπίασας*, ἀντὶ τοῦ *ἠσθένησας*. *Μεταβαλοῦσα* γὰρ εἰς δαίμονας ἀπὸ Θεοῦ τὴν λατρείαν εὐάλωτος γέγονας. Ἀντὶ δὲ τοῦ· *Ἐκοπίασας ἐν τῇ μεταβολῇ σου*, καὶ τὰ ἑξῆς· οἱ λοιποὶ φασιν, *Οἱ ἔμποροί σου ἀπὸ νεότητός σου. Ἕκαστος εἰς τὸ πέραν* [h] *ἑαυτοῦ ἐπλανήθησαν, ἐξ ὧν οὐδεὶς εὑρηταί σοι σωτήρ.—Διὸ οὐκ ἔστιν ὁ σώζων σε*, κατὰ Σύμμαχον. Τινὲς δὲ τὸ, *Ἄνθρωπος καθ' ἑαυτὸν ἐπλανήθη, σοὶ δὲ οὐκ ἔσται σωτηρία*, οὕτως ἑρμήνευσαν, ὡσεὶ ἔλεγεν· Πολλοὶ τῶν ἀνθρώπων ἀνθρωπίνως ἐπλανήθησαν, συμμέτρως ἀποστάντες Θεοῦ πάθεσιν ὑπενεχθέντες σαρκός· σὺ δὲ εἰς τοῦτο προέβης ἀνοσιότητος, ὡς μηδένα σοι σωτηρίας τόπον περιλειφθῆναι.

B

CAP. XLVIII.

538 VERS. 1-11. *Audite hæc, domus Jacob, qui vocati estis nomine Israel, et existis de aqua Juda, qui juratis nomine Domini Dei Israel, qui recordamini non cum veritate, neque cum justitia, qui adhæretis nomini civitatis sanctæ, et super Deum Israel constabiliti estis*, etc.

ΚΕΦΑΛ. ΜΗ'.

C

α-ια'. *Ἀκούσατε ταῦτα, οἶκος Ἰακώβ, οἱ κεκλημένοι ἐπὶ τῷ ὀνόματι Ἰσραὴλ, καὶ ἐξ Ἰούδα ἐξελθόντες. Οἱ ὀμνύοντες τῷ ὀνόματι Κυρίου Θεοῦ Ἰσραήλ. Μιμνησκόμενοι οὐ μετὰ ἀληθείας, οὐδὲ μετὰ δικαιοσύνης, καὶ ἀντεχόμενοι τῷ ὀνόματι τῆς πόλεως τῆς ἁγίας, καὶ ἐπὶ τῷ Θεῷ Ἰσραὴλ ἀντιστηριζόμενοι*, κ. τ. λ.

Postquam de Babyloniis locutus est, ad Judæorum reprehensionem accedit; deque illis se, propter justitiam suam, non quod auxilio isto digni sint, pœnas sumere demonstrat. Vocat enim *domum Jacob*, tanquam avi nomine indignos; nudæque tantum *Israelis* appellationis, corporeique *Judæ* seminis participes. Hoc enim *ex aqua* dicens significavit. *Judam* deinde tanquam regio generi aserpsit. Sed **539** quemadmodum falso ita vocabantur, qui nominibus iis erant indigni: sic cum *jurarent*, *Deique Israel recordarentur*, labiis ipsum honorabant, qui corde ab eodem longe remoti, frustraque Domino inniti videbantur, qui civitati eidem consecratæ *adhærebant*. Sunt enim post Ezechiæ tempora, in omni impietatis et superstitionis genere per Manassem educati, quem in au-

D

Τὰ κατὰ Βαβυλωνίων εἰπὼν, ἐλεγκτικῶς πρὸς Ἰουδαίους φησὶν, ὡς Διὰ τὸ παρ' ἐμοὶ δίκαιον ἐκείνους μετέρχομαι, οὐχ ὅτι βοηθείας ὑμεῖς ἄξιοι καθεστήκατε. *Οἶκον* γὰρ καλεῖ *Ἰακὼβ*, ὡς καὶ τῆς τοῦ προπάτορος ἀναξίους ἐπωνυμίας, καὶ ψιλῆς τοῦ *Ἰσραὴλ* προσηγορίας μετέχοντας, καὶ σπέρματος *Ἰούδα* σωματικοῦ. Τοῦτο γὰρ τὸ *ἐξ ὕδατος*. Ὡς βασιλικῷ δὲ γένει τὸν *Ἰούδαν* ἐπέγραψεν. Ὥσπερ δὲ ψευδῶς ἐλέγοντο ταῦτα τῶν ὀνομάτων ὄντες ἀνάξιοι, οὕτως *ὀμνύντες καὶ μεμνημένοι τοῦ Θεοῦ Ἰσραὴλ*, τοῖς χείλεσιν αὐτὸν ἐτίμων, ἀφεστηκότες αὐτοῦ τῇ καρδίᾳ, καὶ μάτην ἐδόκουν ἐπὶ Κυρίῳ στηρίζεσθαι, ἀντεχόμενοι *πόλεως ἁγακειμένης* αὐτῷ. Μετὰ γὰρ τὸν Ἐζεκίαν, Μανασσῆς αὐτοὺς εἰς πᾶσαν ἀσέβειαν ἔτρεψεν, καὶ ἐν αὐτῷ καθίδρυσεν ἄγαλμα τῷ θείῳ ναῷ. Διό φησι πρὸς αὐτούς· « Τί ἡ ἠγαπημένη ἐν

VARIÆ LECTIONES.

[h] χρ. πέρας.

Digitized by Google

τῷ οἴκῳ μου ἐποίησε βδέλυγμα, » πολλαῖς τε προφητείαις ὠνείδισεν αὐτοῖς τὴν ἀσέβειαν. Διὸ πλείσταις αὐτοὺς πρὸς εὐσέβειαν ἀνακαλεῖ παρακλήσεσιν. Καὶ ὁ Σωτὴρ δὲ αὐτοὺς ἐπὶ σωματικῇ συγγενείᾳ φρονοῦντας ἐξήλεγχε, λέγων· « Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν. » Καὶ νῦν δὲ συνεχῶς αὐτοὺς ἐκ τῶν πατέρων καλεῖ, τῆς ἐκείνων ἄγων εὐσεβείας εἰς μνήμην, ὡς ἂν ἀπωλείας μὴ ἑαυτοῖς τε καὶ τῇ πόλει παραίτιοι γένωνται. Θεὸν δὲ δείκνυσιν αὐτὸν προθεσπίζοντα, οὐκ ἐπιδεικτικῶς, ἀλλ' ὠφελῶν [i], ἵνα μὴ τοῖς εἰδώλοις ἐπιγράφωσι τὰ συμβαίνοντα, καὶ ὡς ἂν προγνόντες μετανοήσωσιν· ἠδύνατο γὰρ καὶ σιωπῶν τιμωρήσασθαι Βαβυλωνίους. Καὶ τῷ Φαραὼ γὰρ προλέγων ἐπέφερεν· « Ἵνα γνῷ τὸν ἐπάγοντα. » Γνῶτε οὖν, ὦ ἄπιστοι, φησὶν, ὡς ὅσα διὰ τῶν πρόσθεν ἐθέσπισα προφητῶν, ὡς εἰς ἀκοὰς πολλὰς τοὺς λόγους ἐλθεῖν, εἰς ἔργον ἐξέβη. Θεοῦ γὰρ μόνου τὸ προλέγειν· καὶ μάτην ὁ Μανασσῆς διὰ μαντείας εἰδέναι σπουδάζει τὰ μέλλοντα· ἃ δὲ προέφην, φησὶν, εἰ καὶ μὴ προσέδοκας [j], ἀλλ' οὖν *ἐξάπινα* γέγονεν.

gusto Dei templo simulacrum erigere non puduit. Atque hinc est, quod eos in hunc modum per Jeremiam Dominus alloquitur: « Quam dilecta in domo mea fecit abominationem [76]? » Assidua deinde prophetarum voce impietatis accusatos crebris ad pietatem exhortationibus provocat. Imo vero et eos Salvator ipse, quoniam sanguinis affinitate superbiebant, tum repressit, cum dixit: « Si filii Abraham essetis, opera Abrahæ faceretis [77].» Et nunc eosdem sæpius de patrum nomine appellat, ut illis pietatem ipsorum in memoriam revocet, ne sibi et civitati interitus auctores esse pergant, Deum vero ostendit de se ante, non ad ostentationem, sed ad utilitatem futura prædicere: partim quidem, ut rerum eventum idolis non ascribant; partim vero ut, de futuris edocti, resipiscant. Poterat enim etiam tacens de Babyloniis supplicium sumere. Nam et Pharaonem, cum de futuris moneret, ut eum, qui inducit agnosceret, adjecit. Vos igitur, inquit, qui fide caretis, me, quæcunque antea per prophetas a me prædicta ad multorum aures pervenerunt, re ipsa jam præstitisse cognoscite. Est enim Dei tantum futura prædicere: quorum notionem per sortilegia adipisci frustra Manasses conatur. Ea ergo quæ prædixi, inquit, quantumvis minime exspectares, *repente* tamen fieri contigit.

Πρότερα δὲ τινες τὴν αἰχμαλωσίαν εἰρήκασι, μεθ' ἣν ἐστι τὰ τῇ Βαβυλωνίᾳ συμβάντα δεινά. Ὡς ἀκαμπεῖ δὲ, φησὶ, καὶ ἀναισχύντῳ *προεῖπον*, καίπερ εἰδὼς, ὡς καὶ οὕτως εἰδώλοις τὴν τῶν συμβησομένων Βαβυλωνίοις ἐπιγράψεις αἰτίαν. Ἐπεὶ, καὶ τῆς Ἱερουσαλὴμ ἁλούσης, αἱ περιλειφθεῖσαι γυναῖκες, κωλύοντος Ἱερεμίου κατελθεῖν εἰς τὴν Αἴγυπτον, ἀνθυπέφερον· Ἐπειδὴ διελίπομεν θύουσαι τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ, ἐπῆλθεν ἐφ' ἡμᾶς πάντα τὰ κακὰ ταῦτα. Διὸ καὶ δυσχεραίνων Ἱερεμίας φησί· « Κύριε, οἱ ὀφθαλμοί σου εἰς πίστιν. Ἐμαστίγωσας αὐτοὺς, καὶ οὐκ ἐπόνησαν. Συνετέλεσας αὐτοὺς, καὶ οὐκ ἠθέλησαν δέξασθαι παιδείαν. » Ἰδοὺ τοίνυν, καίπερ ὄντι τοιούτῳ, φιλάνθρωπος ὢν, προλέγω τὰ συμβησόμενα τοῖς μέλλουσί σε καταπολεμῆσαι Χαλδαίοις, ὡς ἂν τότε βοηθὸν τὸν προειπόντα καλέσειας. Μὴ οὖν ἀπάτας αὐτὸν [k] λέγων, ὡς καὶ πρὸ τῆς ἐμῆς προφητείας *εἴδωλά σοι ἐνετείλατο*, τοῦτ' ἔστιν ἠπείλησαν, ἢ προαπήγγειλαν, ὡς αὐτά σε κακώσει. Διὰ ταῦτα γὰρ πείσει [l] κακῶς, ὅτιπερ ἀποστὰς ἐμοῦ προσετέθης αὐτοῖς. Πλὴν οὐδέν σε τὸ προλέγειν ὀνήσειεν. *Οὐ γνώσῃ* γὰρ, τοῦτ' ἔστιν, οὐ γενήσῃ σοφὸς τῇ *πρὸς* τὸ κρεῖττον μεταβολῇ, μὴ περιμένων τῶν σοι προαπειλουμένων τὸ τέλος. *Ἀκουστά* σοι τοιγαροῦν *ἐποίησα τὰ καινά. Καινὰ* γὰρ ἦν, πρὸ τοῦ γενέσθαι λεγόμενα. Πάσχων τοίνυν μὴ λέξῃς, ὡς Πρὶν παθεῖν οὐκ *ἀκήκοα*, ἤγουν, ὅτι *Προέγνων* μὲν, ἀλλ' ἐξ *εἰδώλων* μαθών. Οὐ γὰρ *ἔγνως* οὐδὲν πρὶν ἐμὲ λέγειν αὐτά· οὐ γὰρ πεποίηκά σοι τοῦτο παρ' ἑτέρου *γνωστόν*. Ἰδοὺ δέ σε καλῶ καὶ πρὶν ἀπειθῆσαι *παράνομον*. Δι' αὐτὸ γάρ σε καὶ φθάσει

Sunt vero qui *priorum* nomine captivitatem innui velint, postquam illæ ipsæ calamitates contigerunt, quæ Babylonios invaserunt. Deinde, tanquam de contumaci, *prædixi* verbum usurpavit; quantumvis, inquit, et eorum te causam etiam, quæ Babyloniis eventura essent, idolis ascripturam esse non ambigerem. Expugnatis ad hæc Hierosolymis, cum superstites feminas in Ægyptum migrare vetaret Jeremias; illæ **540** contra, ex quo reginæ cœli sacrificare desierant, in se mala ista omnia devenisse responderunt: unde et illa ægre ferentis prophetæ verba, quæ in hunc modum legimus: « Domine, oculi tui in fidem Flagellasti eos, neque laboraverunt. Consummasti eos, nec voluerunt admittere disciplinam [78]. » Ecce igitur, quantumvis te talem præbueris, pro mea in homines benevolentia, Chaldæis, qui te bello superaturi sunt, longe ante futura denuntio ut eum tunc, a quo ista tibi prædicta sunt, in auxilium vocare memineris. Vide itaque ne decipiaris, tibi ista prius *idola*, quam me *mandasse*; id est vel minitata esse, vel prædixisse, ut te vexarent, afferens. Ideo enim male excipieris, quod me derelicto ad ea transieris. Neque tamen tibi quidquam profutura est futurorum prædictio. *Non* enim *cognosces;* ac si diceret: Non sapiens fies ipsa mutatione in melius, qui tristem rerum exitum, quæ tibi prædicuntur non exspectes. *Audita* itaque *feci tibi nova. Nova* enim erant, quæ ante dicebantur, quam fierent. Cum ergo patieris, ne te prius non *audivisse* dixeris; vel si *præscisse* dicas, ab *idolis* didicisse. Nihil

[76] Jerem. xi, 15. [77] Joan. viii, 39. [78] Jerem. v, 3.

VARIÆ LECTIONES.

[i] *γρ.* ὠφελίμως. [j] *γρ.* προσεδόκας. [k] *γρ.* ἀπάτα σαυτόν. [l] *γρ.* πείσῃ.

Digitized by Google

enim omnino priusquam renuntiarem, *cognoveras*; neque tibi istud ego aliorum opera *cognitum* esse volui. Imo esse te etiam, priusquam a fide contingat recedere, *iniquum* prænuntio. Ob id enim te rerum, quæ prædictæ sunt, exitus etiam antevertet, quod a natalibus ipsis in impietate educatus sis.

A τῶν προῤῥηθέντων τὸ τέλος, ὡς ἐκ γενέσεως ἐν ἀσεβείᾳ τραφέντα.

Est igitur ab humanitate profecta rerum, quæ tibi eventuræ sunt, prædictio. Nam et te cum in hostium potestatem tradidi, id quoque in tuam rem feci : non quo more solent, qui ad suam tantum utilitatem respiciunt. Eum enim persæpe solet erudire afflictio, cui nihil ad resipiscentiam oratio profuit. Atque hinc est, ait, quod hostium tibi calamitates prædixi; ut undique ad frugem te revocarem, minitando, metumque et dolorem incutiendo, futura etiam prædicendo; in libertatem denique, qui meus est in te amor asserendo, hostesque ulciscendo; qui in meam divinitatem blasphemi, quam de vobis adepti sunt victoriam diis suis ascribunt; et ejus **541** qui est, *gloriam*, *iis* qui non sunt indulgent. *Fornacem* autem *paupertatis*, servitutis locum appellat, in quo eos, qui ad eam adacti sunt, etiam *mendicare* necesse sit. His deinde verbis seipsum Israelem *vendidisse* dicit, qui in *argenti* locum sua ipse peccata concesserit. Neque enim, inquit, propter virium mearum imbecillitatem premeris, qui quæ in Ægypto gesta sunt, in tuam libertatem patraverim. Sed quærunt nonnulli, qui se *nova fecisse* asserat, cum, docente Ecclesiaste, nihil novum sub cœlo sit [79]. Christi igitur mysterium, longe ea, quæ cernitur, creatura majus, quod a Paulo etiam absconditum nominatur [80], intellexit. Indeque verba ista, *neque ab initio aures tuas aperui*, adjunxit. Apostolis enim, ut Scripturas intelligerent, *aures* Christus *aperuit* : quæ tum demum nobis aperiuntur, cum et mens ipsa, ut frustra non audiant, reseratur. Deinde, *novi enim*, inquit, *quod prævaricaberis*, ideoque occultavi, *et iniquus ex utero vocaberis*; prænotione nimirum. Quo modo alienati sunt, qui a vulva peccatores exsistunt [81]. Ideo autem penitus etiam interiisses, quod *gloriam meam* dæmonibus attribuisti, nisi et ipsa te, quæ in mundi salutem operatura est, *gloria mea* liberasset.

Οὐκοῦν διὰ φιλανθρωπίαν τῶν σοὶ συμβησομένων ἡ πρόῤῥησις. Καὶ παραδιδούς σε γάρ, ἐπ' ὠφελείᾳ παρέδωκα, οὐχ ὡς ἄν τις ἀνὴρ πρὸς ἴδιον κέρδος ὁρῶν. Παιδεύει γὰρ ἔσθ' ὅτε πάθος, ὃν οὐκ ἐπαίδευσε λόγος. Δι' ὅσοι [m] καὶ τῶν πολεμίων τὰς συμφορὰς προηγόρευσα, πανταχόθεν ἐπιστρέφων, ἀπειλῇς [n], καὶ φόβῳ, καὶ πάθους πείρᾳ, καὶ δυνάμει προαγορεύσεως, τῇ περὶ σὲ φιλανθρωπίᾳ σέ τε πάλιν ἐλευθερῶν, καὶ τοὺς ἐχθροὺς τιμωρούμενος, καὶ [o], ὅτι τὴν ἐμὴν ἐβλασφήμουν θεότητα, τὴν καθ' ὑμῶν νίκην τοῖς ἰδίοις θεοῖς ἐπιγράφοντες, P τὴν τοῦ ὄντος *τοῖς* οὐκ οὖσι χαριζόμενοι *δόξαν*. *Κάμινον* δὲ πτωχείας, τὸν τόπον τῆς δουλείας ἐκάλεσεν, ἐν ᾧ τοῖς δουλεύουσιν καὶ *πτωχεύειν* ἀνάγκη. Δι' ὧν δὲ λέγει, *δείκνυσι* τὸν Ἰσραὴλ ἑαυτὸν πεπρακότα, ἀντ' *ἀργυρίου* τὰς ἑαυτοῦ προέμενον ἁμαρτίας. Οὐ δι' ἐμὴν γὰρ ὑπομένεις ἀσθένειαν τοῦ τὰ ἐν Αἰγύπτῳ πρὸς τὴν σὴν ἐλευθερίαν δραματουργήσαντος. Πῶς δὲ λέγει *πεποιηκέναι*, καθά φασί τινες, *καινὰ*, τοῦ Ἐκκλησιαστικοῦ λέγοντος, Καὶ οὐδὲν καινόν; Τὸ Χριστοῦ τοίνυν λέγει μυστήριον μεῖζον τῆς ὁρωμένης ὑπάρχον κτίσεως, ὃ καὶ ἀποκεκρυμμένον ὁ Παῦλος καλεῖ. Διό φησιν, *Οὔτε ἐξ ἀρχῆς ἠνοιξά σου τὰ ὦτα*. Τῶν γὰρ ἀποστόλων Χριστὸς *ἠνοιξε τὰ ὦτα* πρὸς τὸ συνιέναι τὰς Γραφάς. Ἀνοίγεται δὲ τὰ ὦτα, ὅτε καὶ νοῦς. Οὐ γὰρ μάτην ἀκούει. *Ἔγνων* γάρ, φησὶν, *ὅτι ἀθετήσεις*, διὸ καὶ ἔκρυψα, *καὶ ἄνομος ἐκ κοιλίας κληθήσῃ*· δηλαδὴ, τῇ προγνώσει. Οὕτως ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας. Ἔπαθες δ' ἂν καὶ πανωλεθρίαν, ἀνθ' ὧν *μου τὴν δόξαν* ἀνέθηκας δαίμοσιν, εἰ μὴ δι' αὐτὴν *μου τὴν δόξαν* φανησομένην ἐπὶ σωτηρίᾳ τοῦ κόσμου.

B

C

542 VERS. 12-22. *Audi me, Jacob, et Israel, quem ego voco. Ego sum primus, et ego sum in sempiternum, et manus mea fundavit terram, et dextera mea stabilivit cœlum. Voco eos, et stabunt simul, et congregabuntur omnes, et audient*, etc.

ιβ-κβ'. *Ἄκουέ μου, Ἰακὼβ, καὶ Ἰσραὴλ, ὃν ἐγὼ καλῶ. Ἐγώ εἰμι πρῶτος, καὶ ἐγώ εἰμι εἰς τὸν αἰῶνα. Καὶ ἡ χείρ μου ἐθεμελίωσε γῆν, καὶ ἡ δεξιά μου ἐστερέωσε τὸν οὐρανόν. Καλέσω αὐτούς, καὶ στήσονται ἅμα, καὶ συναχθήσονται πάντες, καὶ ἀκούσονται*, κ. τ. λ.

Superioribus in infames Israelitas usurpatis, hic jam cum probis et honestis disputat : indeque est, quod *quem ego vocavi* addidit, pro quo *vocatus meus* Symmachus; Aquilas autem *vocate mi*, interpretantur. Erant enim ex eorum numero *vocati* quicem permulti, electi autem valde pauci. Sed hic de *vocatis*, non de electis habetur disputatio. Eos vero ad suæ etiam divinitatis meditationem **543** invi-

D Τὰ πρῶτα τοῖς διαβεβλημένοις εἰπὼν, ἐνταῦθα τοῖς κατορθοῦσιν ἐξ Ἰσραὴλ διαλέγεται. Διὸ πρόσκειται τὸ, *ὃν ἐκάλεσα*. Ἀνθ' οὗ Σύμμαχος μὲν, *ὁ κλητός μου*, Ἀκύλας δὲ, *κλητέ μου*, φασίν. Ἦσαν γὰρ ἐξ ἐκείνου πολλοὶ *κλητοὶ*, ὀλίγοι δὲ ἐκλεκτοί. Πλὴν οὐκ ἐκλεκτοὶ, πρὸς οὓς ὁ λόγος, ἀλλὰ *κλητοί*. Ὑπομιμνήσκει δὲ αὐτοὺς καὶ τῆς ἑαυτοῦ θεολογίας, ἄναρχον ἑαυτὸν λέγων. Τὸ γὰρ τοῦ *πρώτου* πρεσβύ-

[79] Eccle. I, 10. [80] Coloss. I, 26. [81] Psal. LVII, 4.

VARIÆ LECTIONES.

[m] γρ. διό σοι, φησί. [n] γρ. ἀπειλαῖς, ἢ ἀπειλῇ. [o] ἀφ. καί. λείπ. ἴσ. καί.

Digitized by Google

τερον, καὶ ἀτελεύτητον ἀκολούθως. Οὗ γὰρ οὐκ ἔστιν ἀρχὴ, οὐδὲ τέλος.

tat, cum se principium non habere significat. Nam quod *primo* antiquius est, et illud etiam fine carere consequitur : cum quod initium non habuit, extremo privari etiam necessum sit.

Ὅπερ οἱ λοιποὶ δηλοῦντες ἐξέδωκαν, *Ἐγὼ πρῶτος, καὶ ἐγὼ ἔσχατος.* Εἴρηται δέ που περὶ τοῦ Μονογενοῦς, ὅτι « Αὐτός ἐστιν ὁ πρῶτος καὶ ὁ ἔσχατος. » Ὃ διεσάφησεν εἰπὼν, Ἔζων καὶ ἐγενόμην νεκρός. Ἀρχὴ γάρ ἐστι ζωῆς ὁ αὐτὸς, καὶ ἔσχατος, ἐπεὶ ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών. Ἅμα δὲ καὶ εἰς ἀνάμνησιν αὐτοὺς ἀναφέρει τῆς δοθείσης αὐτοῖς τιμῆς τε καὶ δόξης. Πρὸς οἰκειότητα γὰρ τὴν αὐτοῦ κέκληκεν αὐτοὺς ἐκ πάντων τῶν ἐθνῶν, κατὰ τὸ, « Ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, » καὶ τὰ ἑξῆς. Καὶ πάλιν · « Καί σε ἐξελέξατο Κύριος ἐκ πάντων τῶν ἐθνῶν εἶναι αὐτοῦ λαόν. » Ἐχρῆν οὖν αὐτὸν μὴ B ἀποστῆναι Θεοῦ καὶ προστεθῆναι δαίμοσι καὶ λατρεύειν τῇ κτίσει παρὰ τὸν Κτίσαντα. Πλὴν καὶ οὕτως οἰκτείρων αὐτοὺς *καλεῖ* πρὸς εὐπάθειαν τὸ, *Ἄκουέ μου*, βοῶν · νῦν γοῦν ἀξιῶν πεισθῆναι, καὶ τῶν ἐξ αὐτοῦ βεβαίως τυχεῖν δωρεῶν. Κατὰ γὰρ τὸν Παῦλον, ὀφείλοντες εἶναι διδάσκαλοι διὰ τὸν χρόνον, πάλιν ἐσχήκασι χρείαν τοῦ διδάσκοντος αὐτοὺς τίνα τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λογίων τοῦ Θεοῦ. Τὸ δὲ ἀΐδιον, καὶ ὄντως ὄν, παρίστησι τὸ, *Ἐγώ εἰμι*, συμφώνως τῷ· « Ἐγώ εἰμι ὁ ὤν, » ὡς τὴν φύσιν, οὕτω καὶ τὸ ἦθος ἀκίνητον εἶναι δηλῶν. Ὁ αὐτὸς γὰρ ὤν, ἐξ ἀγαθότητος ἔχω τὸ γνώρισμα, δι' ἣν καὶ πάντα πρὸς τὸ εἶναι παρήγαγον, ἀντιδιαστέλλων πρὸς τοὺς οὐκ ὄντας θεοὺς, περὶ ὧν λέγεται· « Θεοὶ C οἱ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν. » Ἐπειδὴ δὲ ἐπάγει, *Ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν*, τοῦ Πατέρος τινὲς τὸ πρόσωπον ἔφασαν, οὗ *χεὶρ* ὁ Μονογενὴς ἐν ταῖς Γραφαῖς ὀνομάζεται· Μωσῆς γάρ φησιν · « Ἡ δεξιά σου χεὶρ, Κύριε, δεδόξασται ἐν ἰσχύϊ, » καὶ τὰ ἑξῆς. Καὶ ὁ Δαβίδ· « Κραταιωθήτω ἡ χείρ σου. Ὑψωθήτω ἡ δεξιά σου, » οὕτω λεγόμενος ὡς πληρωτὴς τῶν τοῦ Πατέρος ἐννοιῶν, ὡς εἶναι κυρίως σοφίαν αὐτὸν τοῦ Θεοῦ, σαφηνίζουσαν τὰς πατρικὰς ἐννοίας ἐν τοῖς ὑπ' αὐτοῦ γινομένοις ἔργοις. Διὸ λέγεται ἐν Παροιμίαις · Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν.

Quod ut cæteri significarent, *Ego primus, et ego ultimus* interpretari maluerunt. Legitur vero de Unigenito alicubi : « Ego sum primus et ultimus [83] : » quod non obscure significavit cum, vixisse se, et fuisse mortuum, adjecit. Est enim idem vitæ initium et finis; quia seipsum exinanivit, ut servi formam acciperet [84]. Simul autem et eos in concessi honoris et gloriæ memoriam revocat, quos in suam familiaritatem ex omni gentium numero vocavit, juxta illud : « Cum divideret Altissimus gentes [85], » illaque, quæ sequuntur. Et rursus : « Et te elegit Dominus gentibus omnibus, ut esses illi populus [86]. » Eum ergo oportuit a Deo non recedere, neque committere, ut dæmonibus ipsique creaturæ potius quam Creatori inserviret [87]. Neque tamen cessat miseratione commotus, ut animi sui propensitatem indicet, eos ipsos *vocare*, et, *Audi me*, inclamare : partim quidem sibi fidem adhiberi postulans; partim autem suis donis esse polituros confirmans. Paulo enim teste [88], cum deberent esse magistri propter tempus, præceptore rursus eguerunt, a quo quæ sint elementa exordii sermonum Dei, docerentur. Cæterum sempiternum se esse, et vere exsistere, eo ipso demonstrans, quod *Ego sum*, adjecit; quale fuit et illud, cum « Ego sum, qui sum [89], » dixit, ut suam ita naturam suosque mores immutari nunquam posse demonstraret; tanquam eumdem se esse ex ea bonitate significaret, per quam omnia esse fecisset, ut ab iis, quæ non erant, separaret, de quibus hunc in modum legitur : « Dii qui cœlum et terram non fecerunt, intereant [90]. » Deinde, quia *Manus mea fundavit terram* adjunxit, Patris personam indicari voluerunt nonnulli; cujus *manus* in Scripturis Unigenitus nuncupetur. Ait enim Moses [91] : « Dextera manus tua, Domine, glorificata est in fortudine », et quæ deinceps. Et David : « Firmetur manus tua, exaltetur dextera tua [92]; » tanquam Patris cogitata perficiat, unde proprie Dei sapientia illa sit, **544** quæ paternæ mentis voluntatem in iis, quæ a se conduntur, operibus explicet; quo factum, ut in Proverbiis Deum sapientia terram fundasse legamus [93].

Οὐχ ὡς μέρος οὖν ἡ *χεὶρ*, ἀλλ' ὡς τελεία, δι' ἧς D αὐτὸς ἐργάζεται, ἡ ἐξ αὐτοῦ δύναμις, ἐγγυτάτη οὖσα αὐτῷ. Πῶς οὖν, φησὶ, λατρεύεις τῇ κτίσει παρὰ τὸν Κτίσαντα; Τὸ γὰρ ποιηθὲν τὴν τοῦ ποιήσαντος ἀμέτρως ὑποκάθηται δόξαν, ὡς ἀσεβεῖν τὸν τῇ προσκυνήσει πρὸς ἴσην ἄγοντα τοῦτο τῷ πεποιηκότι τιμήν. *Ἡ δεξιὰ* τοίνυν *μου*, φησὶν, *τὸν οὐρανὸν ἐστερέωσεν*, ἤ, *τοὺς οὐρανούς*, κατὰ τοὺς ἄλλους ἑρμηνέας, δηλαδὴ τὰς οὐρανίους δυνάμεις, περὶ ὧν ἐπιφέρει · *Καλέσω αὐτούς, καὶ στήσονται ἅμα.* Πειθαρχοῦσι γὰρ ὡς ἂν Δεσπότῃ ἑστᾶσί τε

Non *manus* ergo, ut pars, sed ut perfecta, ab eoque derivata, et eidem maxime vicina virtus, per quam ipse operatur, significatur. Quid igitur, inquit, creaturæ potius, quam Creatori servire sustines? Quod enim effectum est, idem ejus dignitate et gloria a quo effectum est, longe superatur; impieque facit, quisquis adoraturus eumdem honorem creaturæ et Creatori tribuit. *Dextera* igitur *mea*, inquit, *cœlum*, vel *cœlos*, ut aliis placet interpretibus, id est, cœlestes virtutes *firmavit*; de quibus pergens : *Vocabo eos, et stabunt simul*,

[83] Apoc. I, 17. [84] Philipp. II, 6, 7. [85] Deut. XXXII, 8. [86] Deut. VII, 6. [87] Rom. I, 25. [88] Hebr. V, 12. [89] Exod. III, 14. [90] Jerem. X, 11. [91] Exod. XV, 6. [92] Psal. LXXXVIII, 14. [93] Prov III, 19.

VARIÆ LECTIONES.

P γρ. ἑστᾶσαί τε καί.

Digitized by Google

subjicit. Parent enim, tanquam Domino astent; et ad verborum ejus auscultationem colliguntur: quale fuit illud initio: « Audi, cœlum, et ausculta, terra, quoniam Dominus locutus est [94]. » Quod si factori suo virtutes illæ præstantiores magna adeo observantia et religione sese præbent obtemperantes; qui vos, qui homines estis, divinum timorem potius non resumitis? Verum quo loco, *Quis eis renuntiavit hæc?* habemus, ibi Symmachus: *Quis eis annuntiavit hæc? Quem Dominus diligit, faciet voluntatem ejus*, Aquilas autem: *Quis inter homines hæc protulit? Dominus dilexit eum.* Cœlorum enim virtutes, inquit, quæ vocantur, ad verborum ipsius auscultationem attentas et paratas esse; idque tibi propter summum ejus in te amorem palam fieri voluisse idem *renuntiavit* Dominus. Vel, ut Aquilæ placet et Symmacho, *Dilectus* Patris et Unigenitus ipse *renuntiavit* hominibus, qui etiam *voluntatem* Patris *operabitur*, dum quæ prædicta sunt, *in Babylonem* inducet; quo nimirum tempore populum in libertatem assertum terræ patriæ restituturus est. Non desunt tamen qui verba ista: *Vocabo eos, et stabunt simul*, de Israele dici arbitrentur; tanquam se perlibenter *congregatis illis* auditurum demonstret. **545** *Quis* Deus alius futuram belli calamitatem, atque ipse per prophetas singula prius indicarit: cujus et ipsi monita aspernati, experiri quam vitare damna maluerint. Quidnam igitur illis ipsa dæmonum vaticinatio profuit, quæ nihil eorum, quæ postea acciderunt, prævidere potuit?

A συνερχόμενοι τῶν λόγων αὐτοῦ πρὸς ἀκρόασιν. Σύμφωνον τῷ κατ' ἀρχάς· « Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν. » Εἰ δὲ δυνάμεις αἱ κρείττους οὕτω σὺν εὐλαβείᾳ τῷ πεποιηκότι πειθήνιοι, ἡμεῖς [r] ὄντες ἄνθρωποι πῶς οὐ μᾶλλον τὸν θεῖον ἀναλήψεσθε φόβον; Ἀντὶ δὲ τοῦ, *Τίς αὐτοῖς ἀπήγγειλεν ταῦτα*, ὁ Σύμμαχος ἔφησεν, *Τίς αὐτοῖς ἀπήγγειλεν ταῦτα; Ὃν Κύριος ἀγαπήσει, ποιήσει τὸ θέλημα αὐτοῦ.* Ὁ δὲ Ἀκύλας, *Τίς ἐν ἀνθρώποις ἀπήγγειλεν ταῦτα; Κύριος ἠγάπησεν αὐτόν.* Ὅτι γάρ, φησίν, αἱ τῶν οὐρανῶν δυνάμεις καλούμεναι πρὸς τὴν τῶν αὐτοῦ λόγων ἀκρόασιν ὑπακούουσι παριστάμεναι, αὐτὸς *ἀπήγγειλε* Κύριος, καὶ διὰ τὴν ἀγάπην τὴν πρὸς σὲ, φανερόν σοι πεποίηκεν. Ἤγουν κατὰ τὸν Ἀκύλαν καὶ Σύμμαχον, Ὁ *ἀγαπητὸς* τοῦ Πατέρος καὶ Μονογενὴς, αὐτὸς *ἀπήγγειλεν* B ἀνθρώποις, ὃς καὶ τὸ *θέλημα τοῦ Πατέρος ἐνεργήσει*, τὰ προλεχθέντα *κατὰ Βαβυλῶνος* ἐπάξων, ὅτε καὶ τὴν ἐλευθερίαν καὶ τὴν ἐπάνοδον ἐργάσεται τοῦ λαοῦ. Τινὲς δὲ τὸ, *Καλέσω αὐτοὺς, καὶ στήσονται ἅμα*, περὶ τῶν ἐξ Ἰσραὴλ εἰρῆσθαί φασιν. Ὡς ἡδέως ἂν ἐπυθόμην *συνηγμένων αὐτῶν, τίς* ἄλλος αὐτοῖς Θεὸς τὴν ἐκ τοῦ πολέμου προμεμήνυκε συμφοράν, ὡς ἐγὼ διὰ τῶν προφητῶν μου τὰ κατὰ μέρος ἐδήλωσα· καὶ τῶν ἐμῶν καταφρονήσαντες λόγων, τὴν τῶν κακῶν ἀνεμείνατε πεῖραν. Τίς οὖν ὑμῖν ἡ ὄνησις τῆς ἐκ δαιμόνων μαντείας οὐδὲν προεγνωκυίας τῶν ὕστερον;

Volunt nonnulli, eos, qui de gentium numero, C magnum quid saperent, invitari ut velint adesse, in animumque inducere, nullum sibi quæ in posterum essent eventura, prædixisse; sed a Deo dura et aspera esse præsignificata; ut sententia mutata revocarentur: indeque fieri, quod metu ad resipiscentiam provocans, quæ ventura essent prædixerit. Deinde ostendit eorum se non injuriæ recordatione, sed benevolentia potius, quod ipsis libitum fuisset, perfecisse. Cum enim *Chaldæos* sibi perpetuis incursionibus imminentes a Deo deleri cuperent; id ipsum certe et ille præstitit, non tanquam justis gratiam relaturus, sed pro sua benignitate, suoque amore, beneficium in ingratos etiam et peccatores collocaturus. Atque hinc est, inquit, quod priusquam vos pati contin- D geret, eorum in vos expeditionem prædixi; ut cum pœnituisset, nihil in vos illa quidquam valeret. Quæ cum impetrare non potuissem, adversum vos ideo progrediendum censui, ut in eos animadverterem, qui nulla peccatorum pœnitudine tanguntur. Sunt vero qui Cyrum adversus *Chaldæos* Hebræorum nomine, in quos illi sæviores exsisterent, feliciter arma movisse arbitrentur. Ista igitur, inquit, suo tempore sum deinceps præstiturus. Vos ea

Τινὲς δέ φασι, τοὺς μέγα φρονοῦντας τῶν ἐθνικῶν παρεῖναι προτρέπεται, καὶ πρὸς νοῦν ἐκλαβεῖν, ὡς οὐδεὶς αὐτοῖς τὰ μετὰ χρόνους ἐσόμενα προῦλεγεν. Αὐτὸς δὲ ἦν ὁ Θεὸς ὁ καὶ προλέγων τὰ δυσχερῆ, καὶ μετατιθεμένων ἀνακαλούμενος. Διὸ καὶ προῦλεγεν ἐπιστρέφων τῷ φόβῳ. Εἶτα δείκνυσιν, ὡς οὐ μνησικακῶν αὐτοῖς, ἀγαπῶν δὲ τοὐναντίον ἅπερ ἤθελον, ἔπραξε. Τοὺς γὰρ *Χαλδαίους* θλίβοντάς τε καὶ ἐπιτιθεμένους αὐτοῖς, τὸν Θεὸν ἠβούλοντο διαφθεῖραι, ὃ δὴ καὶ πεποίηκεν, οὐκ ἀνταποδιδοὺς ὡς δικαίοις, δι' ἀγαθότητα δὲ χαρισάμενος, καίπερ ἡμαρτηκόσι ἀγαπῶν. Διὸ καὶ πρὶν παθεῖν ὑμᾶς, προεῖπον ἐκείνων τὴν ἔφοδον, ἵνα μετανοήσαντες ἄπρακτον ταύτην ποιήσητε. Οὓς [s] μὴ πειθομένων, εὐώδωσα καθ' ὑμῶν, παιδεύων ὑμᾶς ἀμετανόητα πλημμελήσαντας. Τινὲς δὲ τὸν Κῦρον εὐωδῶσθαι κατὰ *Χαλδαίων* εἰρήκασι φειδοῖ τῶν Ἑβραίων, καθ' ὧν ἐπεδείξαντο τὴν ὠμότητα. Ταῦτα μὲν οὖν κατὰ καιρὸν ποιήσω τὸν μέλλοντα. Ὑμεῖς δὲ ταῦτα μεμαθηκότες *οὐκ ἐν κρυφῇ* λαλούμενα, σὺν πολλῇ δὲ τῇ παῤῥησίᾳ, ἥκετε *πρός με* σπεύδοντες· καὶ γὰρ ὅτε ταῦτα ὁ Πατὴρ ἐβουλεύετο παρ' αὐτῷ ἡμῖν [t]. Καὶ νῦν δὲ αὐτὸς ὁ Πατὴρ, καὶ *τὸ Πνεῦμα* τῆς ἁγιωσύνης *αὐτοῦ* πρὸς κατόρθωσίν με τῶν ὑπ' αὐτοῦ διωρισμένων *ἀπέστειλεν*. Πῶς δὲ *οὐκ ἐν κρυφῇ* προαπήγγειλε,

[94] Isa 1, 2.

VARIÆ LECTIONES.

[r] γρ. ὑμεῖς. [s] γρ. ὧν. [t] γρ. ἦν.

Digitized by Google

διὰ τῶν προφητῶν εἰπὼν ἐναργῶς· » Οὕτω λέγει Κύριος τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς, » καὶ τὰ ἑξῆς· Καὶ οὐκ αὐτοῦ ἦν ἔργον τῆς Βαβυλῶνος ἡ αἵρεσις, ἀλλὰ τῆς ἐμῆς ἀντιλήψεως. Μεταξὺ δὲ, φασὶν, ἐστὶ τοῦ Κύρου φωνὴ, τὸ, *Κύριος ἀπέσταλκέ με καὶ τὸ Πνεῦμα αὐτοῦ.*

Τὸ δὲ, *καὶ νῦν*, δηλοῖ ὡς εἰ καὶ μή τι τῶν συμβεβηκότων προαπηγγέλθη παρὰ Θεοῦ, ἀλλ' ἰδοὺ νῦν καὶ Κῦρος αὐτὸς ὡμολόγηκεν ὑπὸ Θεοῦ συνεργῆσθαι τῶν ὅλων. Ταῦτα γὰρ εἰρῆσθαι περὶ αὐτοῦ παρὰ τῶν αἰχμαλώτων μαθὼν, ἀναγνούς τε τὴν προφητείαν, γράμματι χρῆται βασιλικῷ ἐν Ἔσδρᾳ κειμένῳ, καὶ λέγοντι· « Τάδε λέγει ὁ βασιλεὺς Περσῶν Κῦρος· Ἐμὲ ἀνέδειξε βασιλέα τῆς οἰκουμένης ὁ Κύριος τοῦ Ἰσραὴλ ὕψιστος, » καὶ τὰ ἑξῆς. Τινὲς δὲ τὸ, *Κύριος ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ*, ἀπὸ προσώπου τοῦ προφήτου λελέχθαι φασὶν, Ὅτι καὶ πρώην ὑμῖν οὐκ ἐν γωνίᾳ λελάληκα, καὶ νῦν οὐδὲν ἧττον ἐκ Θεοῦ πεμφθεὶς ἥκω πρὸς ὑμετέραν ὠφέλειαν, περὶ τῶν αὐτῶν πολλάκις λαλῶν, Θεοῦ μὲν *πέμποντος*, ὑπηχοῦντος δὲ τοῦ *Πνεύματος* τοῦ ἁγίου. Ἄκουε τοίνυν, ὦ *Ἰσραὴλ*, ἃ σε διδάσκει *ὁ ῥυσάμενός σε Κύριος*. Μέμνησο *τοῦ Θεοῦ σου*. Ταῦτα γάρ σοί φημι ὑπὲρ τοῦ *εὑρεῖν ὁδὸν* σωτηρίας, ὃς εἰ καὶ τὴν ἀρχὴν ἐπείσθης, ἀπείρατος ἦσθα κακῶν. Ἐπλήθυες δ' ἂν *ἐν εἰρήνῃ καὶ δικαιοσύνῃ* τῶν ἐντεῦθεν καλῶν *ποταμηδόν* σοι ῥεόντων καὶ ἄλλων ἐπ' ἄλλοις, ὡς *κυμάτων θαλάττης*. Ἦγουν, ἀναντιγώνιστον εἶχες δύναμιν, ὡς *ποταμοί* τε καὶ *θάλατται*. Ἦν δ' ἂν σου καὶ *τὸ σπέρμα*, φησὶν, ἀναρίθμητον, πολεμίων ἐφόδοις οὐ δαπανώμενον. Τὸ δὲ *χοῦς τῆς γῆς, κέγχροι τῆς* ἐξέδωκαν οἱ λοιποί. Σωματικὰ δὲ λέγεται πρὸς σωματικούς. Ἀξίως δὲ *Θεοῦ* νοοῖτο *σπέρμα* Ἰσραὴλ, περὶ οὗ τὸ ῥηθέν· « Εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, » δηλοῦντος τοὺς ἐξ Ἰουδαίων πιστεύσαντας. Πατέρες γὰρ τῶν ἄλλων ἐγένοντο τοὺς προσιόντας ἀναγεννήσαντες, οἱ οὐκ ἐξ αἱμάτων, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. Εὔλογον οὖν ἀλληγορεῖν. Σωματικῶς γὰρ Ἰουδαῖοι καὶ παραβαίνοντες τὰς ἐντολὰς ἐπληθύνθησαν, ὡς τὸ ῥητὸν μᾶλλον ἁρμόσαι τῷ νοητῷ μεθ' ὑποστολῆς λέγων, *εἰ τὰς ἐντολὰς ἐτήρησαν* τῶνδε τυχεῖν. Οὐδὲν γὰρ μέγα τὸ σωματικῶς σκωλήκων δίκην πληθύειν.

ideoque intelligibili magis dictum illud conveniat, istis potiturum asserat. Neque enim magnum quid effici, corpore multiplicentur.

Τινὲς δὲ τὸ, *Δέδειχά σοι τοῦ εὑρεῖν σε τὴν ὁδὸν*, εἰρῆσθαί φασιν, ὡς τῶν ἐξ Ἰσραὴλ λεγόντων· Πῶς ὑπὸ σὲ τελοῦντες τοιαῦτα πεπόνθαμεν οἱ πάλαι ῥυσθέντες ἐκ Φαραὼ διὰ τῆς σῆς ἀμάχου ῥοπῆς; *Ἔδειξά σοι* γάρ, φησὶν, *ὁδὸν σωτηρίας*, τὸν νόμον·

A edocti, *non clam*, sed palam et confidenter *ad me* festinate. Ego enim cum Patre tunc aderam, cum de rebus istis consilium agitaret. Jam vero et me Pater ipse, et sanctitatis *ejusdem Spiritus*, ad ea, quæ ab ipso decreta sunt, exsequenda *mittendum* censuit. Qui deinde *non clam* longe ante prædixisse non reperiatur, qui per prophetas ita aperte loquatur : « Sic dicit Dominus christo meo Cyro, cujus apprehendi manum dexteram [95], » et quæ postea? Adhæc, non ejus opera, sed meo auxilio capta expugnataque est Babylon. Deinceps autem, aiunt, Cyri vox est ista, quæ **546** sequitur : *Dominus misit me, et Spiritus ejus.*

Deinde quod *et nunc* habetur, etiamsi nihil eorum, quæ acciderunt, a Deo ante prædictum esset, ecce tamen etiam nunc Cyrum præpotentis Dei auxilio confecta esse profiteri testatur. Cum enim ista de se a captivis didiciscet usurpari, pro- B phetiamque legisset, mandato regio, quod apud Esdram legitur, utendum censuit, in hunc modum : « Hæc dicit Persarum rex Cyrus : Me regem orbis universi renuntiavit Deus Israel excelsus[96], » et quæ deinceps. Nonnulli verba ista : *Dominus misit me, et Spiritus ejus*, in prophetæ persona dici arbitrantur ; tanquam se prius nihil illis in angulo dixisse significet : nunc autem se a Deo missum ad eorumdem utilitatem accedere, deque iisdem persæpe Deo quidem ipso *mittente*, sed *Spiritu* sancto succinente et suffragante, locutum esse. *Audi* ergo, inquit, *Israel*, quæ te ille docet *Dominus*, *qui te liberavit.* Memineris *Dei tui.* Hæc enim tibi de *invenienda* salutis *via* repeto, quibus si primum paruisses, malorum expers, *inque pace et justitia*, C bonis tibi aliis atque aliis *fluviorum* instar, *tanquam maris undis* affluentibus, auctus et cumulatus vixisses. Id est, propugnatores eos, quibus non magis quam *fluminibus*, aut *mari* nihil queat resistere, habuisses. Fuisset vero et *semen tuum* innumerabile, nullis videlicet hostium incursionibus imminutum. At pro quo *pulvis terræ* habemus, *milia terræ* reliqui interpretantur : nimirum, ut corporalia cum crassis hominibus agens usurparet. Non immerito autem *Dei semen* ille intelligatur Israel, de quibus fuit et illud antea usurpatum : « Nisi nobis Dominus Sabaoth reliquisset semen, tanquam Sodoma facti fuissemus [97] ; » ut eos, qui fidem amplexi essent indicaret. Patres enim cæteris exstiterunt, cum eos ad se venientes iterum ge- D nuerunt qui non ex sanguinibus, sed ex Deo nati sunt [98]. Est igitur allegorice loqui consentaneum. Corporaliter enim Judæos, etiamsi præceptis non paruerint, propagari multiplicarique **547** contigit; quod adhibita cautione, *si præcepta servaverint*, consequentur, si qua ratione videmus in vermibus

Sunt porro nonnulli, qui verba ista : *Docui te, ut invenires viam*, tanquam Israelitarum esse asserant, qui loquantur in hunc modum : Qui sub te degentes talia passi sumus, qui tuo olim inexpugnabili auxilio Pharaonis manum evasimus? Te

[95] Isa. XLV, 1. [96] I Esdr. I, 2. [97] Isa. I, 9. [98] Joan. I, 13.

Digitized by Google

enim ipse *viam salutis*, id est legem, *docui*; quam, si feliciter degere voluisses, observare debueras. Verum quia eam transgressus ad idolorum cultum te contulisti, in hostium potestatem venisti. Neque tamen ita te pro mea benevolentia funditus exstirpari *exterminarique* passus sum; qui ubique Israelis reliquias asservari voluerim. Itaque, et te jam *Babylone*, non metu consternatum, sed studio fiduciaque quam maxima *lætitiæ vocem* inclamantem, egredi volo. Ut enim illa gentibus omnibus (Ægyptiis et Pharaone deletis, quem se in hoc excitasse, ut in eodem gloriam suam ostenderet, affirmavit Dominus [99]) ex Ægypto innotuit transmigratio : sic et istam de Babylone redemptionem minime decet occultari, sed ex ea redemptoris gloriam innotescere et prædicari. « Vox enim, scribitur exsultationis et salutis in tabernaculis justorum [1]. » Æquum enim fuerat narrationis modo laudes istas decantari, sicut a Davide factum est, ubi ait : « Suscepisti, Domine, terram tuam, convertisti captivitatem Jacob. Remisisti iniquitates populo tuo; operuisti omnia peccata eorum [2]. » Verum ut eumdem se esse demonstret, qui olim Israelem per *desertum* traduxit fore pollicetur, si vel *petram* iterum *scindere in aquarum subsidium* opus sit, et istud illi etiam in Judæam proficiscenti non defuturum. Quod quia reipsa geri non contigit, ad allegoriam sic nonnulli retulerunt. Iis, qui captivitate intelligibili liberati erant, de quibus Christus ipse loquebatur, cum se ut pauperibus evangelizaret, et captivis remissionem prædicaret, missum esse diceret[3], 548 rationalis aquæ rivus de *petra* veritatis emanavit. Petra autem, inquit Apostolus, erat Christus [4]; cujus et ista sunt : « Qui biberit aquam, quam ego dabo, flumina de ventre ejus fluent aquæ vivæ [4a]. » Cæterum, ne qui inter eos versantur impii, propter se etiam veniæ promissionem fieri arbitrarentur, *lætitiæ* eorum expertes fore ipsos pronuntiavit.

Nonnulli Babyloniorum nomine impios significari arbitrantur qui ultioni traditi, iis exsultantibus, qui redempti essent, gaudere non poterant. Putant alii, ne eorum, quæ dicta sunt, voluptate capti supine se et negligenter gererent; tanquam ea omnino, quantumvis impie viverent, adepturos dixisset Deus; metum ipsis pro securitate imminere demonstrari. Qui enim *lætari* quisquam valeat, qui eo, a quo lætitia suppeditatur, exciderit? Sunt enim iis, a quibus observantur, certæ et indubitatæ promissiones : neque Dei præcognitio virtutem cuiquam ex necessitate operatur. Ecce enim, cum Jacobum fore integrum prævidisset, talis et ipse per se, non quia prævisus esset, evasit, vitæque probitatem ipsa viri secuta est benedictio. Decet igitur futura de nobis prædicente Deo nihil supine, nihil negligenter agere. Deinde, quod *egredi de Babylone* jubet; et locum, et mores im-

A ὃν εἴπερ ἤθελες εὖ πράττειν, ἐφύλαττες. Νῦν δὲ παραβὰς, καὶ πρὸς εἰδωλολατρείαν τραπεὶς, παρεδόθης ἐχθροῖς· καὶ οὐδὲ οὕτω παγγενεὶ δι' ἐμὴν φιλανθρωπίαν ἐξωλοθρεύθητε. Τετήρηται γὰρ πανταχοῦ τὸ κατάλειμμα τῷ Ἰσραήλ. Διό σοι καὶ νῦν ἐκ *Βαβυλῶνος* ἐξιέναι φημὶ, μὴ σὺν φόβῳ καὶ ὑπτίως, σπουδῇ δὲ κεχρημένῳ πολλῇ, καὶ *φωνὴν εὐφροσύνης* βοῶντι. Ὡς γὰρ ἡ ἐξ Αἰγύπτου γέγονεν ἔξοδος πᾶσι τοῖς ἔθνεσιν ἐμφανὴς (Φαραὼ μὲν ἀνθεσταμένου, πληττομένων δὲ τῶν Αἰγυπτίων, πρὸς ὃν φησιν· Εἰς τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου), οὕτως ἐχρῆν μηδὲ τὴν ἐκ Βαβυλῶνος λύτρωσιν γενέσθαι σιγῇ, δοξολογεῖν δὲ τὸν λυτρωτήν. « Φωνὴ γὰρ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. » Ἐχρῆν γὰρ ἐν διηγήσεως B τρόπῳ δοξολογεῖν κατὰ τὸν μέγαν Δαβίδ· « Εὐδόκησας, Κύριε, τὴν γῆν σου, ἐπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ. Ἄφῆκας τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. » Ἑαυτὸν δὲ δεικνὺς ἐκεῖνον ὄντα τὸν δι' *ἐρήμου* πάλαι διαγαγόντα τὸν Ἰσραὴλ, φησὶν, ὡς Εἰ πάλιν ἐδεήθης *σχιζομένης πέτρας πρὸς ὕδατος χορηγίαν*, ἦν ἂν σοι καὶ τοῦτο εἰς τὴν Ἰουδαίαν βαδίζοντι. Μὴ γενόμενον δὲ καθ' ἱστορίαν, οὕτω τινὲς ἠλληγόρησαν. Τοῖς αἰχμαλωσίας ἠλευθερωμένοις τῆς νοητῆς περὶ ὧν ἔλεγεν ὁ Χριστὸς, Εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, τὸ λογικὸν νᾶμα τῆς ἀληθινῆς ἐκδίδοται *πέτρας*. Ἡ δὲ πέτρα ἦν ὁ Χριστὸς, κατὰ τὸν Ἀπόστολον, ὃς καί φησιν· « Ὃς ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω, ποταμοὶ ἐκ τῆς C κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος. » Ὡς ἂν δὲ μὴ νομίσωσιν οἱ ἐν αὐτοῖς ἀσεβεῖς καὶ δι' αὐτοὺς γεγονέναι τῆς ἀφέσεως τὴν ὑπόσχεσιν, καὶ τὴν ἐξ αὐτῆς *εὐφροσύνην*, τούτων αὐτοὺς ἀλλοτρίους ἀπέφηνεν.

Τινὲς δὲ ἀσεβεῖς τοὺς Βαβυλωνίους εἰρῆσθαί φασιν, οἱ παραδοθέντες κολάσει χαίρειν οὐκ εἶχον, τῶν λελυτρωμένων χαιρόντων. Τινὲς δέ φασιν, ἵνα μὴ διὰ τὴν τῶν ῥηθέντων ἡδονὴν ὑπτιάσαντες ῥᾳθυμήσωσιν, ὡς πάντως αὐτῶν τευξόμενοι, κἂν ἀσεβεῖς ὦσιν, ἅπαξ εἰρηκότος Θεοῦ, φόβον αὐτοῖς ὑπὲρ ἀσφαλείας ἐπήρτησεν. Καὶ πῶς γὰρ ἂν τις *εὐφραίνοιτο* τοῦ τῆς χαρᾶς στερηθεὶς χορηγοῦ; Αἱ γὰρ ἐπαγγελίαι D τοῖς φυλάττουσι βέβαιοι. Τοῦ Θεοῦ γὰρ ἡ πρόγνωσις ἐξ ἀνάγκης ἀρετὴν οὐ ποιεῖ. Ἰδοὺ γὰρ προέγνω τὸν Ἰακὼβ ἀγαθὸν γενησόμενον. Καὶ γέγονε δι' ἑαυτὸν ἀγαθὸς, οὐχ ὅτι προέγνωστο. Διὸ καὶ εὐλογῆται [a]. Δεῖ οὖν μὴ ῥᾳθυμεῖν, Θεοῦ τὸ μέλλον προλέγοντος. Τὸ δὲ, *Ἔξελθε ἐκ Βαβυλῶνος*, καὶ τόπον καὶ τρόπον ἀμείβειν παρακελεύεται μηδὲν ἐπαγομένους ἦθος *Χαλδαϊκὸν*, οἰωνισμοῦ τε καὶ μαντείας, καὶ πάσης εἰδώλων καθαρεύοντας πλάνης. Τοῦτο δὲ καὶ ἐπὶ πάντων ἁρμόσειε τῶν ἐθνῶν. Τινὲς δὲ τὸ, *Προσαγά-*

[99] Exod. XIII, XIV. [1] Psal. CXVII, 15. [2] Psal. LXXXIV, 2, 3. [3] Luc. IV, 18, 19. [4] I Cor. X, 4. [4a] Joan. VII, 38.

VARIÆ LECTIONES.

[a] γρ. εὐλογεῖται.

Digitized by Google

γητε πρός με καὶ ἀκούσατε ταῦτα, Χριστοῦ πρόσωπον τὸ λέγον εἶναί φασιν, ὡς ἂν αὐτοῖς τὴν δι' ἑαυτοῦ σωτηρίαν δηλώσειεν. Καὶ τὸ, *Οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ λελάληκα;* Μὴ οὐκ ἐκ παλαιοῦ, φησί, προεῖπον ἐπικεκαλυμμένως ταῦτα διὰ προφητῶν ἀπὸ [v] τοῦ καιροῦ γενέσθαι; αὐτό, *ἐκεῖ εἰμι*, πρινὴ γενέσθαι τὴν ἑαυτοῦ παρουσίαν ὁρατῶς, γεγονέναι λέγει ταύτην παρὰ Θεῷ κατὰ τὸν προορισμὸν πρὸ καταβολῆς κόσμου. *Καὶ νῦν Κύριος ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ.* Τὸ γὰρ ἀεὶ παρὰ Θεῷ, τοῦτο νῦν ὁρατῶς ἐν κόσμῳ γίνεται. Κατὰ δὲ τὸ ἀνθρώπινον *ἡ ἀποστολή.* Θεὸς γὰρ ἀεὶ πάρεστι πᾶσιν. Ἀπεστάλθαι δὲ καὶ παρὰ τοῦ *Πνεύματος* λέγεται, καθὸ ἐκ *Πνεύματος* ἁγίου γεννᾶται. Τινὲς δὲ τοῦ αὐτοῦ προσώπου φασὶ τό· *Ἡ χείρ μου ἐθεμελίωσε τὴν γῆν, καὶ ἡ δεξιά μου τὸν οὐρανὸν ἐστερέωσεν.* Καὶ τὸ, *Νῦν Κύριος ἀπέσταλκέ με* καὶ τὸ *Πνεῦμα αὐτοῦ*, ὅπερ δημιουργὸν τὸν ἐπὶ γῆς ἐλθόντα παρίστησιν.

A mutare, nihilque, quod *Chaldæorum* instituta resipiat, retinere; omneque auguriorum et vaticiniorum genus, omnem denique idololatriæ et erroris curam deponere adhortatur: quod potest etiam gentibus omnibus convenire. Nonnulli porro verba ista: *Adducite ad me, et audite hæc*, Christi esse arbitrantur, tanquam se illis propter seipsum salutem largiri demonstret. Illa deinde: *Non ab initio locutus sum?* tanquam se ab antiquo ista occulte per prophetas priusquam fierent, prædixisse significet. Præterea, quod *ibi sum* habetur; antequam se videndum omnibus præberet, idipsum jam apud Deum ante mundi constitutionem præfinitum et decretum fuisse, indeque *Et nunc Dominus misit me, et Spiritus ejus* adjicere. Qui enim semper apud B Deum remansit, idem nunc in mundo oculis subjicitur. Est vero de **549** humanitate ipsa *missionis* ratio accipienda. Adest enim Deus ubique omnibus; sed a *Spiritu* etiam missus esse dicitur [s], quatenus a *Spiritu* sancto generatur. Non desunt tamen, qui illud: *Manus mea fundavit terram, et dextera mea cœlum stabilivit*, et illud etiam, *Nunc Dominus misit me;* itemque illud: *Spiritus ejus*, quo opifex ille, qui in terram venit, significatur, ejusdem esse personæ arbitrentur.

ΚΕΦΑΛ. ΜΘ'.

α-ιγ'. *Ἀκούσατέ μου, νῆσοι, καὶ προσέχετε, ἔθνη. Διὰ χρόνου πολλοῦ στήσεται, λέγει Κύριος. Ἐκ κοιλίας μητρός μου ἐκάλεσε τὸ ὄνομά μου, καὶ ἔθηκε τὸ στόμα μου, ὡς μάχαιραν ὀξεῖαν, καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέ με. Ἔθηκέ με ὡσεὶ βέλος ἐκλεκτὸν, καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ με, καὶ εἶπέ μοι· Δοῦλός μου εἶ σὺ, Ἰσραὴλ, καὶ ἐν σοὶ ἐνδοξασθήσομαι*, κ. τ. λ.

550 CAP. XLIX.

VERS. 1-13. *Audite me, insulæ, et attendite, gentes. Post multum tempus stabit, dicit Dominus. De ventre matris meæ vocavit nomen meum; et posuit os meum, quasi gladium acutum, et sub protectione manus suæ abscondit me. Posuit me tanquam sagittam electam, et in pharetra sua abscondit me, et dixit mihi: Servus meus es tu, Israel, et in te glorificabor*, etc.

C

Τὰ κατάλληλα τοῖς Ἰουδαίοις εἰπὼν, ἐπὶ τὴν τῶν ἐθνῶν αὖθις μετέρχεται *κλῆσιν*, καὶ τοῦ Σωτῆρος τὴν ἐπιφάνειαν. Διὸ τὰς Ἐκκλησίας ἀνακαλεῖται *νήσους* εἰπὼν, ὡς ἁλμυροῖς τοῦ βίου καὶ τῶν πειρασμῶν περικλυζομένας τοῖς κύμασι. Τίνων δὲ αἱ *νῆσοι* δηλῶν ἐπιφέρει καὶ, *Προσέχετε, ἔθνη*, μήποτε νομισθῇ πρὸς Ἰουδαίους ὁ λόγος. Καὶ ὁ μέγας δὲ λέγει Δαβίδ· « Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ. Εὐφραινέσθωσαν νῆσοι πολλαί. » Τί δὲ λέγει τοῖς *ἔθνεσι*, μὴ κατὰ τὸν τῆς προφητείας καιρὸν τῶν πραγμάτων προσδοκῆσαι τὴν ἔκβασιν, *μετὰ χρόνον δὲ πλεῖστον; Στήσεται* δὲ, λέγει, ἢ τὸ ἐπαγγελθὲν, ἢ τὸ προφητευόμενον. Τὸ δὲ *διὰ χρόνου μακροῦ, μακρόθεν* ἐξέδωκαν οἱ λοιποὶ τοῖς πρὸ αὐτῆς ἀποδόντες τὴν λέξιν. Οὕτω γ' οὖν Σύμμαχος, *Καὶ* D *ἀκροᾶσθε, ἔθνη, μακρόθεν*, ἑρμήνευσεν. Σκόπει δὲ ὡς τὰ νῦν ὁ Κύριος λέγει, καὶ περὶ ἑτέρου Κυρίου διὰ τῶν ἑξῆς διαλέγεται, γέννησίν τε λέγων [x] ἑαυτοῦ, καὶ δουλείαν, καὶ τὰ τοιαῦτα λέγων. *Κύριος ἐκ γαστρὸς ἐκάλεσέ με, ἐκ κοιλίας μητρός μου ἐμνήσατο τὸ ὄνομά μου.* Τὰ μὲν γὰρ πρὸ τῆς ἐνανθρωπήσεως ὀνόματα πρόσφορα τῇ θείᾳ φύσει, Θεὸς καὶ

551 Postquam quæ Judæis congruerent, attulit, ad gentium nunc *vocationem*, ipsumque Salvatoris adventum iterum se confert; ideoque Ecclesias ipsas *insularum* nomine significatas, tanquam salsis et amaris hujus vitæ, tentationumque fluctibus undique obruantur, excitare conatur. Neque vero quorum *insulas* intelligat, ignorare patitur, cum *attendere gentes* imperat; ne de Judæis sermonem esse quis arbitretur. Quin et apud magnum Davidem ista legimus: « Dominus regnavit, exsultet terra, lætentur insulæ multæ [t]. » Quid est autem, quod *gentes* jubet non ipso prophetæ tempore rerum eventum, sed *post longum tempus* exspectare? *Stabit* vero, inquit: aut quod annuntiatum est, aut quod prophetatum. Pro quo deinde *post longum tempus* habemus, *de longe* cæteri, ut ad præcedentia vocem referrent, reddiderunt; Symmachus autem, *Et attendite, gentes, de longe.* Intuere vero uti de præsentibus loquatur Dominus; deque alio Domino, per ea quæ sequuntur, suam ipse nativitatem et servitutem, cæteraque ejusmodi explicans, disputet, cum ait: *Dominus de ventre vocavit me.*

[s] Matth. I, 20; Luc. I, 35. [t] Psal. XCVI, 1.

VARIÆ LECTIONES.

[v] γρ πρό. [x] ὀφ. τὸ λέγων.

Digitized by Google

De utero matris meæ recordatus est nominis mei. Habuit enim ante incarnationis tempus nomina divinæ naturæ congrua, Deus, vita, lumen, sapientia, virtus, et similia : sed Christus, et Jesus, et Nobiscum Deus, ad ea, quæ œconomiam secuta sunt, tempora referuntur. Unde sunt et illa Gabrielis ad Virginem : « Et paries filium, et vocabis nomen ejus *Jesum* [7]; » cujus ut interpretationem doceret, « Ipse enim populum suum a peccatis eorum liberabit [8], » adjunxit. At Nobiscum Deus, ex naturæ et œconomiæ ratione inditum est; ut *Jesus* a facultate et viribus. Unde et Salvatorem, id est Christum, in Davidis civitate natum esse, pastoribus nuntiatum est. Nec vero aliud Christus, quam unctum significat, quod certe ante œconomiam convenire non potuit. Pergit autem, et *os suum tanquam gladium acutum positum* esse significat. Ait enim etiam alicubi : **552** « Et spiritu labiorum interficiet impium [9]. » Ergo *tanquam gladium acutum esse* inquit, qui dignos, ab iis, qui tales non sunt, dividat ac separet. Ait enim in Evangeliis : « Ne putetis quod venerim ut pacem in terram mittèrem. Non veni ut pacem mitterem, sed ut gladium [10]; » et quæ deinceps.

Quin et ipsa Evangelii promulgatio, *gladius* adversus diaboli tyrannidem exstitit. Dedit vero nobis et ipsum spiritus *gladium*, id est Dei verbum [11], cujus ope dæmonum fraudes propellimus. Et alicubi etiam apud prophetam reperias : « In die illa inducet Deus sacrum gladium, magnum, in draconem sinuosum, eumque interficiet [12]. » Conveniet vero et sanctis ipsis oratio; indeque est, quod spiritu *oris* sui Ananiam et Sapphiram Petrum interfecisse legimus [13] : quod Ezechiam item Rapsacæ exercitum precibus fudisse [14]; quod Paulum denique verbo oris sui Elymam obcæcasse [15]. Postea adjicit : *Sub protectione manus suæ abscondit me*, ut multis ignotam assumendæ carnis œconomiam subindicaret. Est vero a Patre etiam *sagitta electa positus*, ut eos feriat, qui spiculis ipsius digni sunt; quo more se dilectione percussam anima cecinit [16]. Idem nimirum in carne, quam ut dignis tantum cerneretur, assumpsit, tanquam in *pharetra*, reconditus. Nonnulli verbis istis, *Sub protectione manus suæ posuit me*, Filium ipsum, etiam quatenus homo factus est, a Patre non separatum esse, naturamque incomprehensibilem et insuperabilem habere (quod ei etiam per œconomiam, Davidis testimonio, servabantur, cum ait : « Non proficiet inimicus in eo, et filius iniquitatis non apponet nocere ei [17], » cæteraque quæ sequuntur), significari voluerunt. Plurimæ autem cum Dei secundum tempora *sagittæ* fuerint, una ante omnes *electa*, et eximia, Christus ipse in Patris prænotione, tanquam *in pharetra* reconditus, malas in terra potestates feriens, vulnere sustulit. *Et dixit mihi*, adjicit, *Servus meus es tu, Israel.* Corpore quidem,

Καὶ τὸ εὐαγγελικὸν δὲ κήρυγμα, *μάχαιρα* κατὰ τῆς τοῦ διαβόλου τυραννίδος ἐγένετο. Δέδωκε δὲ ἡμῖν καὶ τὴν τοῦ πνεύματος *μάχαιραν*, ὅ ἐστι ῥῆμα Θεοῦ, δι' οὗ τοῖς ἐπιβούλοις ἀντανιστάμεθα δαίμοσι. Καὶ ἀλλαχοῦ δέ φησιν ὁ προφήτης· « Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ Θεὸς τὴν μάχαιραν τὴν ἁγίαν, τὴν μεγάλην, ἐπὶ τὸν δράκοντα ὄφιν σκολιὸν, καὶ ἀναιρεῖ τὸν δράκοντα. » Ἁρμόσει δὲ καὶ τοῖς ἁγίοις ὁ λόγος. Τῷ γ' οὖν λόγῳ *τοῦ στόματος* αὐτοῦ Πέτρος ἀνεῖλεν Ἀνανίαν τε καὶ Σάπφειραν. Καὶ εὐχὴ δὲ Ἐζεκίου τὸν Ῥαψάκην ἐτρέψατο. Τυφλὸν δὲ λόγῳ καὶ Παῦλος τὸν Ἐλύμαν ἐποίησεν. Ἐπὶ τούτοις φησὶν, *Ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέ με*, τὴν πολλοὺς λανθάνουσαν τῆς ἐν σαρκὶ παρουσίας οἰκονομίαν ὑπαινιξάμενος. *Τέθειται δὲ* καὶ *βέλος* ὑπὸ τοῦ Πατέρος *ἐκλεκτὸν*, ἵνα τιτρώσκῃ τοὺς ἀξίους τῶν ἑαυτοῦ κέντρων (κατὰ τὴν λέγουσαν ψυχὴν, « Τετρωμένη ἀγάπης ἐγὼ »), ὃ καὶ αὐτὸ, ὡς ἐν *φαρέτρᾳ* λανθάνει τῇ σαρκὶ, ἣν ἀνείληφεν, τοῖς ἀξίοις μόνοις ὁρώμενον. Τινὲς δὲ τὸ, *Ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέν με*, δηλοῦν ἔφασαν ἀχώριστον εἶναι τοῦ Πατέρος τὸ Υἱὸν, καὶ τὸ γ γέγονεν ἄνθρωπος, ἁληπτόν τε καὶ ἀκαταγώνιστον ἔχειν τὴν φύσιν, ὅπερ αὐτῷ καὶ κατὰ τὴν οἰκονομίαν ἐσώζετο, λέγοντος τοῦ Δαβίδ· « Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ, καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτὸν, » καὶ τὰ ἑφεξῆς. Πλεῖστα δὲ τὰ τοῦ Θεοῦ κατὰ καιροὺς ἐγένετο βέλη. *Ἐκλεκτὸν* δὲ *βέλος* καὶ ὑπὲρ πάντα Χριστὸς, ἐν προγνώσει τοῦ Πατέρος, ὡς *ἐν φαρέτρᾳ* κρυπτόμενος, ἐπὶ γῆς τὰς πονηρὰς δυνάμεις κατατρώσας ἠφάνισεν. *Εἶπεν δέ μοι*, φησὶ, *δοῦλός μου εἶ σὺ, Ἰσραήλ*· κατὰ τὸ σῶμα, τὸ ἐκ *δούλων*, *δοῦλος*, καὶ κατὰ τὸ γένος, τὸ ἐξ *Ἰσραὴλ*, *Ἰσραὴλ* ὁ

[7] Luc. I, 31. [8] Matth. I, 21. [9] Isa. XI, 4. [10] Matth. X, 34. [11] Ephes. VI, 17. [12] Ezech. XXIX, 8. [13] Act. V, 1 seqq. [14] Isa. XXXVII, 35-36. [15] Act. XIII, 11. [16] Cant. II, 5. [17] Psal. LXXXVIII, 23.

VARIÆ LECTIONES.

γ γρ. τὸν Υἱὸν καὶ καθ' ὅ.

Digitized by Google

Χριστός. Ὡς δὲ Θεοῦ δύναμις δι' ὧν ἐργάζεται *δοξάζει* τὸν οὗ ἐστι δύναμις, *ἐν μορφῇ δούλου γενόμενος*, καίτοι κατὰ φύσιν ὑπάρχων Υἱὸς, ᾧ κάμψει πᾶν γόνυ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος *Ἰησοῦς Χριστὸς* εἰς δόξαν Θεοῦ Πατέρος.

Τινὲς δὲ πρὸς τὸν λαὸν, *Ἰσραὴλ* εἰρῆσθαι νομίσαντες φασὶ· Δείκνυσιν ὅτι δι' ἀγαθότητα μόνην ηὐδόκησε Δεσπότης καλεῖσθαι τοῦ *Ἰσραὴλ*, καὶ ἐν αὐτῷ *δοξασθῆναι*, διά τε τῶν κατ' Αἴγυπτον τεράτων, καὶ τῶν ἐφεξῆς γεγονότων. Οἱ δὲ αὐτοὶ καὶ τὸ *Κενῶς ἐκοπίασα*, ἐκ τοῦ προφήτου λελέχθαι φασὶν, ὡς πολλὰ μὲν ἐν τῷ κηρύττειν παθόντος, μὴ ὠφελήσαντος δὲ τῶν ἀκουσάντων μηδένα. Ἀλλ' ὁ Θεός μοι, φησὶ, τὴν κατ' ἀξίαν τῶν πόνων ἀποδίδωσιν ἀμοιβήν. Λέγεται δὲ τοῦτο, φασὶ, καὶ περὶ ἑκάστου λαμβάνοντος αἴσθησιν, ὡς μάτην τὸν καιρὸν ἐν ταῖς τοῦ βίου φαντασίαις ἀνάλωσεν. Οἰκειότερον δ' ἂν ἐπὶ τοῦ Σωτῆρος λαμβάνοιτο, ὃς ἀκούσας τῶν εἰρημένων ἀπεκρίνατο. Καὶ πῶς, ὦ Πάτερ, ἐν ἐμοὶ *δοξασθήσῃ*, ὁ ποτὲ πολλὰ καμὼν ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας, οὐδὲν ἤνυσα πλέον, ἐναπομεινάντων τῇ ἀπιστίᾳ πολλῶν τε ἄλλων, καὶ τῶν ἐκ περιτομῆς; περὶ ὧν ἔλεγεν· « Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραὴλ, » οἵγε πρὸς τῷ ἀπειθεῖν, καὶ ἐσταύρωσαν, ὡς εἰρῆσθαι καὶ παρὰ τῷ Ψαλμῳδῷ· « Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν; » Ἀλλ' ἐκεῖνοι μὲν ταῦτα. Ἡ δὲ *κρίσις μου παρὰ τῷ Κυρίῳ*. Ἐγὼ γὰρ τὰ παρ' ἐμαυτοῦ πράξας *ἐναντίον τοῦ Θεοῦ μου*, τὸ πατρικὸν ἐτελείωσα βούλημα. Διὰ τοῦτο δὲ καὶ *ἡ κρίσις* ἐξενήνεκται παρ' αὐτοῦ. Ἐξεβλήθησαν γὰρ τῆς πρὸς αὐτὸν οἰκειότητος. Τὰ δὲ ἔθνη γέγονε κλῆρος Θεοῦ. *Τὴν κρίσιν* δὲ ταύτην καὶ διὰ τῆς παραβολῆς ὁ Κύριος ἔδειξε, περὶ τῶν γεωργῶν λέγων τῶν τὸν κληρονόμον ἀπεκτονότων, οὓς καὶ ἀπολέσας, ἑτέροις τὸν ἀμπελῶνα γεωργοῖς ἐξέδωκεν, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. Οὗτοι δὲ ἦσαν τῶν Εὐαγγελίων οἱ κήρυκες, ἐφ' ὧν[a] αἱ νεφέλαι καθῆκαν ὑετοὺς αἱ κελευσθεῖσαι μὴ βρέχειν ἐπὶ τὸν Ἰουδαϊκὸν ἀμπελῶνα, ἐφ' ὃν οὐκ ἀκάνθας, ἀλλὰ σταφυλὰς ἐτρύγησεν ὁ Χριστὸς, λεγόντων ἡμῶν, ὅτι Ὁ Κύριος δώσει χρηστότητα, καὶ ἡ γῆ ἡμῶν δώσει τοὺς καρποὺς αὐτῶν. Καὶ ἄλλως δὲ *τὸν πόνον* ὁ Παῦλος αὐτοῦ *καὶ τὴν κρίσιν* δηλοῖ λέγων· « Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο, τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών, ὑπήκοος γεγονὼς τῷ Πατέρι, μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. Διὸ καὶ ὑπερύψωσεν αὐτὸν, φησὶ, τὸ ὄνομα δοὺς τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι αὐτοῦ πᾶν γόνυ κάμψῃ. »

quod a *servis* duxerat, *servum* dicatur Christus: genere autem, quod ab *Israe e*, **553** *Israel*. Sed tanquam Dei virtus, rebus ipsis, quas operatur eum, cujus virtus est, *gloria afficit*, *in forma servi factus*, quantumlibet natura filius; cui inflectetur omne genu terrestrium et infernorum; quem omnis etiam lingua Dominum *Jesum Christum* in gloriam Dei Patris esse confitebitur [18].

Nonnulli ad vocem *Israel* referri arbitrati, Domino, propter bonitatem solam, *Israel* appellari, et in eo, propter miracula quæ in Ægypto et deinceps patrata sunt, *gloriari* placuisse arbitrantur. Putant iidem verba ista, *Frustra laboravi*, ex prophetæ persona dici, tanquam se concionando non parum desudasse, sed nihil inde probiores evasisse auditores, conqueratur: eumque sibi ut dignam laborum mercedem reponat Dominus, postulare. Sumatur et illud, aiunt, de homine quolibet, qui se in diversis hujus vitæ voluptatum generibus frustra tempus insumpsisse recordetur. Sed proprie magis ad Salvatorem referatur, qui auditis superioribus ista reponat: Enimvero, Pater, qui tu in me *glorificaberis*, cum multis pro salute hominum laboribus exantlatis, nihil profecerim, multis adhuc aliis in incredulitate permanentibus, et Judæis ipsis? At de istis intelligens, se non nisi ad oves domus Israel, quæ perierant, missum dixit [19]; quæ tamen et ipsæ præterquam quod fidem abnegarunt, eum etiam cruci affixerunt, de quo sic apud Davidem legimus: « Quæ utilitas in sanguine meo, quod descendo in corruptionem [20]? » Sed ista quidem illi. Sequitur vero, *judicium meum apud Dominum*. Ego enim, inquit, quæ a me ipso erant, *coram Deo meo* exsecutus, paternæ voluntatis finem adeptus sum: ob idque et *judicium* ab eo latum est. Sunt enim ab ea, quam cum Domino habebant, conjunctione divulsi; gentes autem in Dei sortem ascitæ. *Judicium* porro istud vel ipse in parabola Dominus de agricolis, qui hæredem interemerant, locutus indicavit, cum sublatis istis, aliis, qui sibi stato et idoneo tempore fructus redderent, vineam suam elocavit [21]. Ii vero exstiterunt evangeliorum præcones ipsi, in quos nubes **554** illæ [22], quæ in Judaicam vitem depluere vetabantur, pluviam suam demiserunt: quo factum est, ut non spinas, sed uvas Christus collegerit; sicut ipsi profitemur, cum Dominum benignitatem suam, terramque fructum suum daturum esse canimus [23]. Alias autem et Paulus ipse ejusdem *laborem et judicium* indicavit, ubi ait: « Qui cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo, sed seipsum exinanivit formam servi accipiens, Patri factus obediens usque ad mortem, mortem autem crucis. Propter quod etiam exaltavit illum, inquit, et dedit illi nomen, quod est super omne nomen, ut in nomine ipsius omne genu flectatur [24]. »

[18] Philipp. II, 9, 10. [19] Matth. XV, 24. [20] Psal. XXIX. 10. [21] Matth. XXI, 33 seqq. [22] Isa. LX, 8. [23] Psal. LXXXIV, 13. [24] Philipp. II, 7-10.

VARIÆ LECTIONES.

[a] γρ. οὗς.

Digitized by Google

Hæc autem secundum carnem intelliges. Est enim Filius natura Deus, nec *laborans*, nec mercedem *laborum* nomine postulans. Voce præterea usus hominibus congrua, *servum se ab ipso matris utero formatum* dicit : qui, quatenus Filius, non *formatus* tamen sit, sed qui quatenus *servus* carnem gerat. Qui enim, si natura servus erat Filius, *in servitutem formatus* esse dicatur? Esse igitur natura liberum apparet. Istud enim vel ipsa didrachmi pensione satis indicavit, cum Petrum liberos esse filios docuit[25]. Itaque ex utero dixit, *ut servitutis* temporis ostenderet, ejusque, quæ secundum carnem est, nativitatis modum distingueret. Deinde *servilis formationis* causam definiens, ad *Jacobum congregandum* factam esse adjunxit; cujus nomine tantum *formationem* istam subiit, cum in minime formata divinitate quiesceret. Eos enim etiam cum aliis Satanas, sive quod idola colerent, sive quod hominum mandata docerent, a Deo separaverat : sed hostes Dei factos Christus ipse Patri reconciliavit, quod olim ut facerent, pacem cum eo incundam esse inclamans non Isaias modo, sed ipsi etiam discipuli pro Christo legatione fungentes[26], tanquam Deo per ipsos provocante, nondumque sibi rursum per Christum reconciliante, monuerant. Intelligantur vero *Israelis et Jacobi* nominibus, non ii tantum, qui ex circumcisione sunt, ad quos **555** etiam missum se esse demonstrat, cum in viam gentium ambulare prohibet[27], sed quilibet etiam, qui per fidem fuerit salutem consecutus. Neque enim, qui in aperto tantum, sed qui in occulto etiam, Judæus habendus est[28]. Itaque et sermoni persona eorum interseritur, qui per fidem salvati ad eum se *congregatum iri*, cæteraque illa quæ sequuntur, profitentur. *Glorificantur* vero et ipsi, qui præclaram illam adoptionis laudem adepti sunt; quique eumdem ad res bene gerendas in *fortitudinem* sunt consecuti.

Ταῦτα δὲ κατὰ σάρκα νοήσεις. Φύσει γὰρ Θεὸς ὁ Υἱὸς, οὐ *κοπιῶν*, οὐκ ἀμοιβὴν ἀντὶ *κόπων* δεόμενος. Εἶτα πάλιν ἀνθρωποπρεπεῖ κεχρημένος φωνῇ, *δοῦλον ἑαυτὸν ἐκ κοιλίας πεπλάσθαι* φησὶ, καθὸ μὲν Υἱὸς, μὴ *πλαττόμενος*· καθὸ δὲ *δοῦλος*, τὴν δούλην σάρκα φορῶν. Πῶς γὰρ ἂν, εἰ φύσει δοῦλος ἦν ὁ Υἱὸς, *εἰς δουλείαν* ἐλέγετο *πλάττεσθαι*; Δῆλον οὖν ὡς κατὰ φύσιν ὑπάρχων ἐλεύθερος. Τοῦτο γὰρ καὶ ἐν τῇ τοῦ διδράχμου συνεισφορᾷ πρὸς τὸν Πέτρον φησὶν, « Ἄρα, λέγων, ἐλεύθεροί εἰσιν οἱ υἱοί. » Τοιγαροῦν, τὸ *ἐκ κοιλίας* προσέθηκεν, ὡς ἂν δειχθῇ τῆς *δουλείας* ὅ τε χρόνος καὶ τρόπος τῇ κατὰ σάρκα γεννήσει διοριζόμενος. Καὶ *τῆς δουλικῆς πλάσεως* τὴν αἰτίαν διοριζόμενος, ἐπήγαγεν τοῦ *συνάγειν τὸν Ἰακώβ*. Οὐκοῦν εἰ μὴ διὰ τούτους, οὐκ ἂν *ἐπλάσθη* ἐν τῇ ἀπλάστῳ μένων θεότητι. Καὶ τούτους γὰρ μετὰ τῶν ἄλλων ὁ Σατανᾶς ἐκ Θεοῦ διεσκέδασεν, ἢ εἰδωλολατροῦντας, ἢ ἐντάλματα ἀνθρώπων διδάσκοντας. Ἀλλ' ἐχθροὺς ὄντας ὁ Χριστὸς διήλλαξε τῷ Πατέρι, πρὸς ὅπερ αὐτοὺς καὶ Ἡσαΐας ἐκάλει, Ποιήσωμεν εἰρήνην, αὐτῷ λέγων, ποιήσωμεν εἰρήνην οἱ ἐρχόμενοι. Καὶ οἱ μαθηταὶ δὲ κεκράγασιν· « Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν· » καὶ πάλιν, « Θεὸς γὰρ ἦν Χριστῷ κόσμον ἑαυτῷ καταλλάσσων. » Νοοῖτο δ' ἂν *Ἰσραὴλ καὶ Ἰακὼβ* οὐ μόνον ἐκ περιτομῆς, ἐφ' οὓς καὶ ἀπεστάλθαι φησὶν λέγων· « Εἰς ὁδὸν ἐθνῶν μὴ πορεύεσθε. » Ἀλλὰ καὶ πᾶς ὁ σωθεὶς διὰ πίστεως. « Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ μόνον Ἰουδαῖος, » καὶ τὰ ἑξῆς. Τοιγαροῦν καὶ μεταξὺ τοῦ λόγου παρεμβέβληται πρόσωπον τῶν διὰ πίστεως σωζομένων ὁμολογούντων, ὅτι Πρὸς αὐτὸν *συναχθήσομαι*, καὶ τὰ τούτοις ἑπόμενα. *Δοξάσονται* δὲ καὶ τὸ λαμπρὸν αὔχημα τῆς υἱοθεσίας λαμβάνοντες, καὶ αὐτὸν *ἰσχὺν* ἔχουσι πρὸς τὴν τῶν πρακτέων κατόρθωσιν.

Sunt porro qui *congregabor* verbum, et quæ eidem inhærent, de Christo dici putent; sed qui istud conveniat, omiserunt. Alii vero ad prophetam etiam referri posse arbitrati sunt, tanquam *Israelis* revocatio, et eorum qui dispersi erant in unum *congregatio* significetur. Verum si ad anagogem respicis; et ad Salvatorem ipsum, justitiæ fontem, non aliter quam malorum ratio ad eorum auctorem primum, referri queat. Deinde ad Salvatorem inquit Pater, *Magnum tibi est, ut voceris puer meus*, aut secundum alios, *servus meus*. *Magnum* enim revera opus exstitit, cum ad *servitutem formatus esset* Filius, ad humanæ naturæ salutem, quam condidit, *servi formam* assumere. Atque inde est, quod *glorificatur*, tanquam rapinam minime arbitratus esse se æqualem Deo[29]. Est vero alia ratione *magna res*, ut homini; parva autem, ut Deo, *ut suscites*, inquit, *tribus Jacob*. Itaque et eisdem primum,

Τινὲς δὲ καὶ τὸ, *συναχθήσομαι*, καὶ τὰ ἐπ' αὐτῷ, περὶ Χριστοῦ λαβόντες, τὸ πῶς ἁρμόττει παρέλιπον. Ἄλλοι δὲ καὶ εἰς τὸν προφήτην εἰρήκασι δύνασθαι νοηθῆναι, σημαίνον ἀνάκλησιν *τοῦ Ἰσραὴλ*, καὶ τῶν διασπαρέντων *ἐπισυναγωγήν*[a]. Κατὰ ἀναγωγὴν δὲ, καὶ ἐπὶ τὸν Σωτῆρα τὴν τῶν δικαίων πηγὴν, ὥσπερ οὖν καὶ ὁ περὶ κακῶν λόγος εἰς τὸν ἀρχέκακον ἀναφέρεται. Πρὸς δὲ τὸν Σωτῆρά φησιν ὁ Πατὴρ, *Μέγα σοί ἐστι τοῦ κληθῆναί σε παῖδά μου, ἢ δοῦλόν μου*, κατὰ τοὺς λοιπούς. *Μέγα* γὰρ ἔργον ὡς ἀληθῶς, τοῦ *πρὸς δουλείαν πλασθέντος* Υἱοῦ, τὸ *μορφὴν δούλου* λαβεῖν πρὸς σωτηρίαν ἧς ἐδημιούργησεν ἀνθρώπου φύσεως. Διὸ καὶ *δοξάζεται*, ὡς οὐχ ἁρπαγμὸν ἡγησάμενος τὸ εἶναι ἴσα Θεῷ. Καὶ ἄλλως δὲ *μέγα* ὡς ἀνθρώπῳ, μικρὸν δὲ ὡς Θεῷ, *τοῦ στῆσαι*, φησὶ *τὰς φυλὰς Ἰακώβ*. Διὸ καὶ πρώτοις ἐκήρυττεν αὐτοῖς αἰχμαλώτοις οὖσι τὰς ψυχὰς ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. Ἐπειδὴ δὲ τὴν χάριν ἠρνή-

[25] Matth. xvii, 23-26. [26] II Cor. v, 20. [27] Matth. x, 5. [28] Rom. ii, 28, 29. [29] Philipp. ii, 6.

VARIÆ LECTIONES.

[a] γρ. ἐπισυναγωγήν.

Digitized by Google

σαντο, ἀκολούθως ἐπήνεγκεν· *Ἰδοὺ τέθεικά σε εἰς* A *φῶς ἐθνῶν.* Καὶ οἱ λοιποὶ δὲ οὕτως ἐξέδωκαν. Διὸ τῆς παρούσης προφητείας ἀρχόμενος ἔλεγεν· *Ἀκούσατέ μου, νῆσοι, καὶ προσέχετε, ἔθνη·* ἔδει γὰρ ἀκοῦσαι τὰ ἔθνη τό· *Ἰδοὺ τέθεικά σε εἰς φῶς ἐθνῶν.* Οὐ γὰρ ἐχρῆν τὴν τοσαύτην οἰκονομίαν ἀποτυχεῖν, ἀπειθήσαντος *Ἰσραὴλ*, καὶ τὸ σκότος ἠγαπηκότος. Καίτοι τῶν προφητῶν ὁ μέν τις ἔφασκε πρὸς αὐτούς· « Φωτίζου, φωτίζου, Ἱερουσαλήμ. Ἥκει γάρ σου τὸ φῶς, » καὶ τὰ ἐπὶ τούτῳ· ὁ δὲ, « ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις με ἥλιος δικαιοσύνης. » Λοιπὸν τοῖς ἔθνεσι προσφωνῶν ἐπᾴει, *Οὕτως λέγει Κύριος.* Ἀγνοοῦσι δὲ τίς ὁ Κύριος, φησίν· *Ὁ ῥυσάμενος τὸν Ἰσραήλ.* Ἠκούσατε γὰρ πῶς ἐξ Αἰγύπτου πάλαι τούτους διέσωσεν.

cum captivas haberent animas, et cæcitate laborarent, Evangelii præconium largitus est, visumque restituit. Verum quia gratiam illi abnegarunt, consequenter *Ecce posui te in lucem gentium,* intulit: quod eo modo etiam reliqui interpretantur. Et hanc inde auspicatus prophetiam: *Audite me, insulæ, et attendite, gentes,* dixit; quia gentes illud, *Ecce posui te in lucem gentium,* audire oportebat. Neque enim *Israele* fidem aversante, tenebrasque amplectente, tantam œconomiam excidere et fine suo carere decuit. Et vero prophetarum quemdam **556** alium in hunc modum ad eos locutum reperias: « Illuminare, illuminare, Jerusalem. Venit enim lumen tuum [30], » et quæ postea. Et alium etiam. « Vobis, qui timetis me, exorietur Sol justitiæ [31]. » Deinceps autem gentibus inclamans, *Sic dicit Dominus*, addidit. Sed quia non deerant, qui Dominum ignorabant, quisnam esset, cum *Israelem eruisse* se significavit, expressit: quasi eos qualiter Ægyptiaca servitute liberati, servatique sint, commoneret.

Ἄλλοι δὲ πρὸς τοὺς ἐκ περιτομῆς εἰρῆσθαι τοῦτό φασιν, ὡς ὁ πάλαι *σε ῥυσάμενος* ἐντέλλομαί σοι, ὡς ἂν μὴ προσκόψῃς τῷ λίθῳ τοῦ προσκόμματος. *Ἁγίασατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ.* Ὅσῳ γὰρ ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· τοσούτῳ δοξάσατε, καὶ *ἁγιάσατε* αὐτόν· εἰ δὲ πρὸς τὰ ἔθνη λέγοιτο, διαμαρτύρεται μὴ ταυτὸ τοῖς Ἰουδαίοις παθεῖν. Τὸ δὲ *ἁγιάσατε*, σεπτὸν καὶ ἅγιον ὑπολάβετε. Ἔτι γὰρ ὄντων ἡμῶν ἁμαρτωλῶν, ὑπὲρ ἀσεβῶν ἔπαθεν ὁ λέγων· « Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. » Ὁμολογείσθω τοίνυν ἅγιος, ὃ μόνῳ πρέπει Θεῷ. Οὐσιῶδες γὰρ ἐπ' αὐτοῦ τὸ τοῖς ἄλλοις ἐπισυμβαῖνον ἐκ τῆς αὐτοῦ μετοχῆς· ἐπεὶ καὶ φῶς ὢν λέγει· « Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου τούτου. » Καὶ λέγοντες δὲ τὸ, « Ἁγιασθήτω τὸ ὄνομά σου, » οὐχ ἁγιασμοῦ προσθήκην αἰτοῦμεν αὐτῷ γενέσθαι, ἀλλ' ἵνα τὸν ἀληθῶς ἅγιον πάντες ὁμολογήσαντες, ἐν μεθέξει τῆς ἁγιωσύνης αὐτοῦ γενησώμεθα. Προσέθηκε δὲ *τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν*, τῶν ἀπίστων δηλονότι. *Βδελύττονται* γὰρ, καὶ τὸν θάνατον αὐτοῦ διασύρουσι. Καὶ παραδοθέντα δὲ τῷ Πιλάτῳ τῶν στρατιωτῶν τινες αὐτὸν *ἐβδελύττοντο* καταπτύοντές τε καὶ παίοντες, ἐν διασυρμῷ τε βοῶντες· « Χαῖρε, ὁ βασιλεὺς τῶν Ἰουδαίων. » Διὸ *τῶν δούλων τῶν ἀρχόντων* ἐπήγαγεν. Ἴσως δὲ καὶ τῶν κοσμοκρατόρων τοῦ σκότους φησὶν, οἷς *δουλεύουσιν* οἱ τὸν Χριστὸν *βδελυττόμενοι*. Πλὴν ἀναλάμψει, φησὶ, καὶ μέχρι *βασιλέων αὐτῷ προσκυνήσουσιν*, οἵτινες *ὄψονται* αὐτὸν, οὐ πάντως σωματικοῖς ὀφθαλμοῖς, ἀλλὰ νῷ καὶ καρδίᾳ.

Alii ad Judæos dici istud arbitrantur, hoc modo, B Ipse tibi, tanquam qui *te* quondam *eruerim*, ne in lapidem offensionis impingas, præcipio. *Sanctificate eum qui despexit animam suam.* Quanto magis enim se ad mortem usque, eamque crucis, depressit, tanto vos eum gloria et honore prosequi et *sanctificare* fuerit æquius. Quod si ad gentes sermo est, non idem eas cum Judæis passuras esse obtestatur. Deinde quod *sanctificate* dixit, idem plane, ac si venerari et sanctum ducere imperaret, intellexit. Cum enim adhuc in peccatis versaremur, pro impiis ipse passus est, qui bonum pastorem pro suis ovibus animam ponere dixerat [32]. *Sanctum* ergo (quod Deum unum decet) eumdem esse confiteantur. Est enim in eo essentiale, quod aliis ex C ejus participatione contingit; quando et lumen ipse existens, « Vos estis lux mundi [33], » dixit. Quin et sanctificari nomen ejus petentes, non sanctitatis accessionem fieri, sed ut sanctum revera omnes confessi, ejusdem sanctimoniæ participes efficiamur poscimus. Deinde sequitur, *qui abominationi est gentibus*, non credentibus scilicet. *Abominantur* enim, et morti ejus obtrectant. Imo cum esset Pilato traditus, non defuerunt e militibus quidam, qui ipsum *abominati*, sputisque et colaphis aggressi, ore maledictis et conviciis pleno in eumdem, « Ave, rex Judæorum [34], » inclamarent. Unde est, quod *sub servis principibus* adjecit, forteque mundi tenebrarumque potestates, quibus ii *serviunt*, qui Christum *abominantur*, indicavit. Verum fulgebit tamen, eum-

Προσκυνήσουσι δὲ μάλιστα καὶ πάντες, ὅτ' ἂν D ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατέρος αὐτοῦ μετὰ τῶν ἀγγέλων αὐτοῦ, καὶ καθίσῃ ἐπὶ θρόνου δόξης αὐτοῦ κρίνων ζῶντας καὶ νεκρούς. *Προσκυνήσουσι* δὲ αὐτῷ ἕνεκεν τοῦ Πατέρος αὐτοῦ· δοξάζεται γὰρ ὡς Υἱὸς τοῦ Θεοῦ, *ὅτι πιστός ἐστιν ὁ ἅγιος Ἰσραὴλ ὁ ἐκλεξάμενος αὐτὸν*, τοῦτ' ἔστιν ἀεὶ καὶ ὡσαύτως ἔχων. *Πιστὸν* γὰρ οὐδὲν ἐν κτίσμασι τοῖς ὑποκειμένοις μεταβολῇ. Ὁ δὲ Πατὴρ *ἐξελέξατο* τοὺς δι' Υἱοῦ

que vel *reges ipsi adorabunt*, non corporis omnino, **557** sed mentis et cordis oculis *intuentes.*

Adorabunt vero omnes tum demum præcipue, cum venerit in Patris dextera cum angelis suis, et sederit in throno gloriæ suæ judicans vivos et mortuos [35]. *Adorabunt* item, propter Patrem ejus. Glorificatur enim, tanquam Dei Filius; *quia fidelis est sanctus Israel, qui elegit eum;* id est, qui semper eodem modo se habet. Nihil eorum siquidem, quæ condita sunt, quia mutationi obnoxia, *fidum* ac certum reperias. *Elegit* vero eos Pater,

[30] Isai. LX, 1. [31] Malach. IV, 2. [32] Joan. X, 11. [33] Matth. V, 14. [34] Matth. XXVII, 29. [35] Matth. XXV, 31.

Digitized by Google

qui per Filium vocati sunt. « Quos enim præscivit, inquit, etiam prædestinavit conformes fieri imaginis Filii sui [36], » qui eum *sanctificarunt, qui animam suam despexit*, neque in humanitatis modos impegerunt. Sed pro *Elegi te, Qui elegit te* interpretatur Symmachus. Proprie igitur, aiunt nonnulli, ista ad Christum referuntur: quanquam et prophetæ etiam valeant convenire. Seipsum enim depressit, dum populi calamitates luxit, in quas ille propter scelera inciderat. Jussus deinde, cum sacco, et nudus incedebat, videntibus *despectus*, animoque simul demissus, et earum, quæ illis essent eventuræ, afflictionum exemplum. Eum tamen et qui *principibus inserviunt*, ludibrio habuerunt; quem sanctum exsistentem honore jubet afficere. Nonnulli in eos, qui inter gentes et Israelem abominandi sunt, sermonem haberi existimant; eaque ratione ad gentes transitionem fecisse. Volunt rursum et eorum verba esse, qui *in servum* potestatem habeant. Subditus enim fuit. *Te* deinde, inquiunt, *elegi*, qui invisibilem excellentiam secundum naturam ex visibilibus habeo. Est præterea ex hominibus *electus;* propter eam, quam nobiscum similitudinem habuit. Ad Salvatorem rursum, *Tempore opportuno audivi te*, Patrem dixisse legimus. Cum enim mortem obiret, « Eli, Eli, lamma sabacthani [37], » inclamabat. Præterea, ut Patrem renuere animadvertit: « Pater, si non potest transire hoc, fiat voluntas tua [38], » intulit. Quas preces cum post mortem admisisset Pater, ut resurrectionis tempus indicaret, *eum* **558** *se opportuno tempore exaudivisse* significavit.

Nonnulli expositionem istam, ut minime probabilem reprehendentes, Filium precibus excidisse per œconomiam fingi dicere maluerunt; qui, antequam ipsas funderet, non alias se mortem, nisi crucem et mortem subivisset, sublaturum esse sciebat. Arguit ergo Judæorum crudelitatem et cædem deprecatio; quæ passionem, propter ejus ignominiam, non ultionem fuisse ostendit. Quanquam nec spontanea ideo esse desinit, quippe quæ morti vires ademerit, ut eo probavit, qui se de cœlo descendisse, non ut suam ipse voluntatem faceret, sed ejus, a quo missus esset, cæteraque quæ sequuntur, affirmavit [39]. Percommode igitur, ut decuit, eorum sævitia et crudelitate ad mundi salutem usus est; suoque nobis exemplo in tentationibus non animum abjiciendum, sed precibus Deum fatigandum esse docuit. Superioribus itaque locum adnectentes, ad eos, qui selecti sunt, ista, quæ sequuntur, *In tempore accepto exaudivi te*, retulerunt. Fuerat enim ante mundi constructionem præcognitum Christi mysterium, sed iis emicuit temporibus, quibus præpotenti placuit. Itaque incarnationis tempus *diei* nomine significat; ut divus Paulus: « Ecce nunc tempus acceptabile: ecce dies salutis [40]. » Et David: « Hæc ipsa est dies, quam

κεκλημένους. « Οὓς γὰρ ἔγνω, φησὶ, καὶ προώρισεν συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, » *οἳ ἠγίασαν τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ* τοῖς τῆς ἀνθρωπότητος μὴ προσκόψαντες μέτροις. Ἀντὶ δὲ τοῦ, *ἐξελεξάμην σε, ὃς ἐξελέξατό σε* Σύμμαχος ἐξέδωκεν. Κυρίως μὲν οὖν, φασί τινες, ταῦτα εἰς τὸν Χριστὸν ἀναφέρεται. Νοοῖτο δ' ἂν καὶ ἐπὶ τοῦ προφήτου. Ἐξουδένωσεν γὰρ ἑαυτὸν, ὀδυρόμενος τὰς τοῦ λαοῦ διὰ τὰ πλημμελήματα συμφοράς. Καὶ προσαχθεὶς ἐν σάκκῳ τε καὶ γυμνὸς περιήρχετο, παρὰ τῶν ὁρώντων *ἐξουδενούμενος*, ταπεινὰ φρονῶν τε ἅμα, καὶ τῶν μελλόντων εἰκὼν αὐτοῖς παθημάτων γινόμενος. Ἀλλ' ὅμως καὶ οἱ τοῖς *ἄρχουσιν ἐξυπηρετούμενοι*, τοῦτον ἐχλεύαζον, Ὃν ἅγιον ὄντα τιμῆς, φησὶν, ἀξιώσατε. Παρά τισι δὲ τὸ ῥητὸν κεῖται τῷ βδελυκτῷ ἔθνους, καὶ, φασὶ, τοῦ Ἰσραήλ· διὸ καὶ πρὸς τὰ ἔθνη μετέβη. Καὶ πάλιν τὸ ῥητὸν *τῷ δούλῳ* ἐξουσιαζόντων καί [b] φασιν· ὑπετάγη γάρ· καὶ *ἐξελεξάμην σε*, ἔχων, φασὶ, τὴν ἀόρατον ὑπεροχὴν κατὰ φύσιν ἐκ τῶν ὁρατῶν. Καὶ ἐξ ἀνθρώπων *ἐκλεκτὸς* γίνεται, δι' ἣν εἶχεν ὁμοιότητα πρὸς ἡμᾶς. Εἶτα πρὸς τὸν Σωτῆρά φησιν ὁ Πατὴρ, *Καιρῷ δεκτῷ ἐπήκουσά σου*. Πάσχων μὲν γὰρ ἐβόα· « Ἠλεὶ, Ἠλεὶ, λαμασαβαχθανί. » Εἶθ' ὡς ἀνανεύοντα τὸν Πατέρα ἑώρα, ἐπῆγεν· « Πάτερ, εἰ μὴ δυνατὸν παρελθεῖν αὐτὸ, γενηθήτω τὸ θέλημά σου. Ταύτην οὖν τὴν εὐχὴν μετὰ τὸν θάνατον δεχόμενος ὁ Πατὴρ, τὸν καιρὸν δεικνὺς τῆς ἀναστάσεως φησίν· *Ἐν καιρῷ δεκτῷ ἐπήκουσά σου.*

Τινὲς δὲ μεμψάμενοι τὴν παροῦσαν ἐξήγησιν, ὡς ἀπίθανον, τὸν Υἱὸν ἀποτυχεῖν τῆς εὐχῆς πεπλᾶσθαι τὴν εὐχὴν [c] κατ' οἰκονομίαν φασὶν, ἐπεὶ καὶ πρὸ ταύτης ᾔδει μὴ ἄλλως τὸν θάνατον καταργηθησόμενον, εἰ μὴ δι' ὃν ὑπέστη σταυρόν τε καὶ θάνατον. Ἡ οὖν παραίτησις, τῆς Ἰουδαίων μιαιφονίας κατηγορεῖ, ἀβούλητον αὐτῷ δεικνῦσα τὸ πάθος διάτοι [d] τὸ δυσκλεές. Ἀλλὰ καὶ οὕτω γέγονε θελητὸν ἐπὶ τῷ καταργῆσαι τὸν θάνατον. « Καὶ τοῦτο δηλοῖ τὸ, Καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με, » καὶ τὰ ἑξῆς. Εἰς δέον οὖν τῇ μιαιφονίᾳ τῇ ἐκείνων ἐχρήσατο πρὸς σωτηρίαν τοῦ κόσμου. Καὶ τύπος δὲ, φασὶν, ἡμῖν γέγονεν μὴ ἀναπίπτειν ἐν πειρασμοῖς, ἀλλὰ δεῖσθαι Θεοῦ. Τοῖς οὖν προλαβοῦσι συνάπτοντες τὸ ῥητὸν, πρὸς τοὺς ἐξειλεγμένους εἰρῆσθαί φασι τό· *Καιρῷ δεκτῷ ἐπήκουσά σου*. Προέγνωστο μὲν γὰρ πρὸ καταβολῆς κόσμου τὸ Χριστοῦ μυστήριον, ἐπέλαμψε δὲ καθ' οὓς ηὐδόκησε καιροὺς ὁ δυνάστης. Τὸν οὖν τῆς ἐνανθρωπήσεως καιρὸν *ἡμέραν* καλεῖ, καθὰ καὶ ὁ θεῖος Ἀπόστολος· « Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος. Ἰδοὺ ἡμέρα σωτηρίας. » Περὶ ἧς φησι καὶ Δαβίδ· « Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος. » Ἐπὶ τούτοις φησί· *Καὶ ἔδωκά σε εἰς διαθήκην ἐθνῶν τοῦ καταστῆσαι τὴν γῆν, κληρονομῆσαι κληρονομίας*

[36] Rom. VIII, 29. [37] Matth. XXVII, 46. [38] Matth. XXVI, 39. [39] Joan. VI, 38. [40] II Cor. VI, 2.

VARIÆ LECTIONES.

[b] *γρ.* εἶναι. [c] *ἀφ.* τὴν εὐχήν. [d] *γρ.* δι' αὐτοῦ.

Digitized by Google

ἐρήμους· ἢ κατὰ Σύμμαχον Ἀνεγεῖραι τὴν γῆν, καὶ κληροδοτῆσαι κληροδοσίας ἠφανισμένας. Τοιαῦται δὲ ἦσαν αἱ τῶν ἀθέων ψυχαί, ἔρημοι Θεοῦ, καὶ ἀληθῶς ἠφανισμέναι. Ἦσαν δὲ καὶ σειραῖς ἁμαρτημάτων δεσμώτιδες. Καί ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ. Τὴν οὖν τοιαύτην κατέστησε γῆν τεθορυβημένην κακοῖς. Ἤγουν, πάντας τοὺς ἐπὶ γῆς καὶ τῆς ἐπικειμένης ἀπήλλαξε ζάλης, καὶ κλῆρον ἴδιον ἐποιήσατο, μόνον ἔχων πάλαι τὸν Ἰσραήλ. Τοὺς δὲ δεσμῶν καὶ σκότους ἠλευθερωμένους εὐαγγελίζεται, λέγων· Ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται. Ὁδοὶ δὲ καὶ τρίβοι, ἃς διώδευσαν οἱ πάλαι θεοσεβεῖς, αἱ θεῖαι Γραφαί· ἦγουν, αἱ τῶν ἀρετῶν ἐπιτηδεύσεις ἄβατοι τοῖς ἐξ ἐθνῶν ὑπάρχουσαι πρότερον, ἐν αἷς βοσκόμενοι πάντες λογικῆς τροφῆς ἀπολαύουσιν, ἣν καὶ νεμόμενοί φασι· Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει, καὶ τὰ τούτοις ἑπόμενα. Πῶς οὖν [οὐκ] ὑπομένουσιν ἔτι ψυχῆς πεῖραν, ἢ δίψαν, ἃς εἶχον πάλαι μὴ νόμῳ, μὴ προφήταις παιδαγωγούμενοι; Μεταβαλὼν δέ τις κατὰ Χριστὸν, ἐν εὐτροφίᾳ γίνεται νοητῇ, λέγοντος Ἡσαΐου· « Αὐτὸς οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς. Ἄρτος αὐτῷ δοθήσεται, καὶ τὸ ὕδωρ αὐτοῦ πιστόν. » Ἀλλ' οὐδὲ ὁ φλογμὸς τοῦ βίου πατάξει αὐτούς, λεγόμενος καύσων καὶ ἥλιος. Γέγονε γὰρ αὐτοῖς σκεπαστὴς ὁ Χριστὸς ὁ καὶ πάλαι νεφέλῃ σκεπάσας τὸν Ἰσραήλ. Σύμφωνον τούτῳ τὸ τοῦ Ἀποστόλου ῥητόν· « Δυνατὸς δὲ ὁ Θεὸς, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε. » Καὶ αὕτη τοῦ ἐλεοῦντος ἡμᾶς ἡ παράκλησις.

fecit Dominus [61]. » Addit postea : *Et dedi te in testamentum gentium, ut constitueres terram, et possideres hæreditates desertas ;* aut secundum Symmachum , *Ut suscitares terram, et divideres hæreditates vastas.* Quales erant ipsæ atheorum animæ, Deo privatæ scilicet, et *vastatæ* revera. Erant et peccatorum *vinculis* constrictæ. Erant rursus et tenebræ ; nunc autem lux in Domino. Talem igitur *esse terram*, cum malis prius agitaretur, voluit : id est, omnes *in terra* degentes imminente tempestate liberavit, sibique ipsis in *peculium*, cum olim Israelem tantum haberet, effecit. Eis deinde, qui *vinculis et tenebris* liberati sunt, fausta annuntiat ; cum eos *in omnibus viis* **559** *pasturos esse* significat. Sunt autem *viæ et semitæ*, quas pii patres olim pertransierunt, ipsæ sacræ Scripturæ : id est, ipsa virtutum studia gentibus olim inaccessa, in quibus omnes educati verbi cibo perfruuntur ; quo qui vescuntur, a Domino se pasci, nec sibi quidquam defuturum, cæteraque quæ sequuntur, profitentur. Qui igitur eam animæ *esuriem, aut sitim*, adhuc non patiantur, qua ii quondam quinse nec legi nec prophetis permiserunt, torquebantur? At quisquis ad Christum transit, multo certe, eoque intelligibili, cibo abundat, Isaia teste, cum ait : « Ipse habitabit in excelsa spelunca præduri lapidis. Panis ipsi dabitur, et aqua ejus fidelis [62]. » Imo ne vitæ quidem incendio, quod *æstus et solis* nomine significatur, *percutientur;* qui Christum, quo nebula etiam olim protectus est Israel, defensorem habeant. Huic autem consentit et Apostoli locus, ubi ait : « Potens est Deus, qui non sinet vos tentari supra id quod potestis [63]. » Et hæc ipsa est nostri *miserescentis consolatio.*

Καὶ διὰ πηγῶν, φησὶν, *ὑδάτων ἄξει αὐτούς.* Πολλαὶ δὲ *πηγαὶ* Ἰσραήλ, καὶ *πηγαὶ* σωτηρίου, αἱ μὲν τῆς Παλαιᾶς Διαθήκης, αἱ δὲ τῆς Καινῆς. Οὐδὲν δὲ δύσβατον αὐτοῖς τὴν σωτήριον ὁδοιποροῦσιν ὁδόν. Ἔφη γὰρ ὁ προφήτης καὶ πρότερον· « Καὶ πᾶσα φάραγξ πληρωθήσεται, » καὶ τὰ ἐπὶ τούτῳ. Καὶ πάλιν, « Ὁδὸς ἀσεβῶν εὐθεῖα ἐγένετο. » Ἤγουν ὁμαλίζεσθαι τὰ σκολιὰ καὶ ἀνώμαλά φησι τῶν ἠθῶν. Εἶτα τοὺς κεκλημένους πανταχόθεν ἥξειν τῆς οἰκουμένης φησὶ, τῶν τεσσάρων κλιμάτων μνησθείς. Τὸ γὰρ πόρρωθεν, τὸ νότειον δηλοῖ τῶν μεσημβρινῶν τόπων ἡμῖν ἀκατάληπτον. Ἡ δὲ θάλασσα τὴν ἑσπέραν δηλοῖ, δυτικωτέρα τῆς Ἰουδαίας ὑπάρχουσα. Ὥσπερ οὖν τὴν ἀνατολὴν ἡ Περσῶν παρίστησι γῆ. Δηλοῖ δὲ τάχα, φασὶ, τοὺς προσκυνήσαντας Μάγους αὐτῷ. Τοῦτο γὰρ δηλοῦν, καὶ τὸ, « Δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας. » Νῦν γὰρ Ἀραβίαν τὴν Περσῶν χώραν σημαίνεσθαι. Εἶτα πρὸς ἑορτὴν τὴν κτίσιν ἐπὶ τοῖς σεσωσμένοις καλεῖ· δι' οὐρανοῦ μὲν, τὰς ἐκεῖ δυνάμεις, αἳ καὶ ἐφ' ἑνὶ χαίρουσιν ἁμαρτωλῷ μετανοοῦντι. Διὰ γῆς δὲ, τοὺς ὅσοιπερ ἐν αὐτῇ καὶ προσεδόκων, καὶ τῆς θεοφανείας ἠξίωνται. Οὕτω καὶ Συμεὼν *εὐφραινόμενος* ἔλεγεν· « Νῦν

Sequitur deinde *et per fontes aquarum ducet eos.* Sunt vero Israelis, atque adeo salutis *fontes* permulti : alii quidem Veteris, alii autem Recentioris Testamenti. Sed nihil iis poterat præbere difficultatis, qui *viam* salutis ambulassent. Dixerat enim propheta etiam antea : « Et omnis vallis implebitur [64], » aliaque quæ sequuntur. Itemque : « Via impiorum recta facta est [65]. » Nimirum, ut quæ obliqua et salebrosa fuerant in moribus, recta et plana fore significaret. Vocatos deinde ab omni terræ habitabilis parte, cujus plagarum quatuor meminit, *venturos esse* demonstrat. Quod enim *de longe* dixit, australes meridiei regiones nobis incognitas significavit : ut per *mare* occiduas; quod Judæa magis ad occasum vergit : per *terram* autem *Persarum* Orientem ipsum. Forsitan etiam et Magos, aiunt, a quibus est ipse adoratus. Istud enim vel Davidis verba : « Dabitur ei de auro Arabiæ [66], » confirmarint ; cum per Arabiam hodie *Persarum* regionem significari velint. Creaturas rursus ad diem festum, propter **560** salvatos invitat : Cœlo quidem, degentes in eo virtutes uno resipiscente peccatore lætari solitas indicans [67],

[61] Psal. CXVII, 24. [62] Isa. XXXIII, 16. [63] I Cor. X, 13. [64] Isa. XL, 4. [65] Isa. XXXV, 8 sec. LXX. [66] Psal. LXXI, 15. [67] Luc. XV, 9.

VARIÆ LECTIONES.

a γρ. ἦν.

Digitized by Google

Terra autem, eumdem ibi exspectantes, Deique adventu non indignos. Sic et Simeon ille *lætitia gestiens*: « Nunc dimittis, Domine, aiebat, servum tuum in pace [48]; » et quæ deinceps. At propheta, aiunt, prægustata futuræ omnium salutis voluptate, cuncta secum, sive mente, sive sensu percipiantur, *ad lætitiam* adhortatur. Si enim damna nostra lugere res creatas constat; est et salute nostra *lætari* consentaneum. Intelligit autem *montium* verbo vel evectas sursum virtutes rationis participes; vel ipsos Evangeliorum præcones; qui cum Christum annuntiarunt, terramque spirituali lætitia compleverunt. Quo autem, *Erumpant montes lætitiam* dixit, *Exhilarentur montes in omnibus* Symmachus; Aquilas autem, *Resonate, montes, laudem* transtulerunt. Dicas et *montes* peculiariter magis animas eas, quæ rerum præclare gestarum, virtutisque gloria, dum in terris versantur, in altum eriguntur. *Humiles* autem, eos ipsos, qui superius designati vel misericordiam consecuti sunt; quos de quatuor mundi cardinibus Spiritus sancti participes effectos diabolica servitute Christus liberavit; vel eos etiam, qui, peccatis depressi, terræ incubuerunt; vel eos denique, qui Christi jugum, eidem adversantibus aliis cornuque exaltantibus, et injustitiam adversus eum loquentibus, subierunt.

561 Vers. 14-26. *Dixit autem Sion: Dereliquit me Dominus, et Dominus oblitus est mei. Nunquid obliviscetur mulier filii sui, ut non misereatur partus uteri sui? Sin autem et horum oblita fuerit mulier, ego tamen tui non obliviscar, dixit Dominus. Ecce super manus meas depinxi muros tuos*, etc.

562 Supra jam dictum est, *Sionem* et Jerusalem decere nos tribus modis intelligere, vel, ut sensu percipiuntur; vel, ut pium eorum, qui in terra sunt, vitæ institutum significant; vel, ut angelicam in cœlis degendi rationem, de qua Pauli illa sunt: « Ea autem, quæ sursum est Jerusalem, libera est [48a]. » Et: « Non enim accessistis ad montem Sion [49]; » et quæ deinceps. Nunc igitur de pio illo civitatis regimine loquitur, quod quondam apud Judæos institutum in gentium Ecclesiam conversum est. De insulis enim et gentibus sermo fuerat; quibus consequenter adjicit, *ne se*, quantumvis sublato pio illo apud Judæos civitatis regimine, « *Domino derelinqui* conquerantur, *matrisque* exemplo eorum se nunquam *oblivisci* posse demonstrat. Dei enim veluti germina quædam cum simus, si suam ipse a nobis providentiam revocet, et nos interire necessum est. Suam deinde mentem apertius exprimens: *Ecce*, adjicit, *super manus meas depinxi muros tuos*; ubi pro *depinxi*, *firmavi* Symmachus; Aquilas vero, *te in palmis accurate descripsi*; Theodotio denique *efformavi*, reddiderunt. Revera enim *manuum* Dei nomine, vires ejus intelliguntur; quarum opera tanta est exstructa civitas ejusque, quæ secundum Deum est, forma mortalium animis impressa et insculpta. Quod certe ci-

[48] Luc. II, 29. [48a] Galat. IV, 26. [49] Hebr. XII, 18.

A ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, » καὶ τὰ ἑξῆς. Προεστιαθεὶς δὲ, φασὶν, ὁ προφήτης τῇ μελλούσῃ πάντων σωτηρίᾳ, *συνευφραίνεσθαι* αὐτῷ νοητὰ καὶ αἰσθητὰ πάντα προτρέπεται. Εἰ γὰρ στένειν ἡ κτίσις ἐπὶ τοῖς ἡμετέροις λέγεται κακοῖς, ἀκόλουθον ἐπὶ σωζομένοις *εὐφραίνεσθαι*. Ὄρη δὲ λέγει λογικὰς δυνάμεις ἡρμένας ὑψοῦ, ἢ τῶν Εὐαγγελίων τοὺς κήρυκας. Χριστὸν γὰρ ἀγγέλλοντες νοητῆς εὐφροσύνης ἐπλήρουν τὴν γῆν. Ἀντὶ δὲ τοῦ *ῥηξάτωσαν τὰ ὄρη εὐφροσύνην*· ὁ Σύμμαχος· *Ἱλαρευθήσεται ὄρη ἐπὶ πᾶσιν*. Ὁ δὲ Ἀκύλας· *κελαδήσατε, ὄρη, ἀλγεσιν* ἔλεξαν. Εἴποις δ' ἂν τὰ ὄρη δηλοῦν οἰκειότερον ψυχὰς ἐπὶ γῆς μὲν ἔτι βιούσας, σφόδρα δὲ πρὸς ὕψος ἡρμένας διὰ τῆς τῶν ἀρετῶν κατορθώσεως. Ταπεινοὺς δὲ ἠλεημένους φησὶ τοὺς προδεδιλωμένους ἐκ B τῶν τεσσάρων κλιμάτων, οὓς ἐκ τῆς διαβολικῆς ὁ Χριστὸς τυραννίδος ἐρρύσατο, θείου Πνεύματος μετόχους ἀπεργασάμενος. Ταπεινοὺς δὲ, ἢ ὡς τεταπεινωμένους ἁμαρτήμασι πρότερον, καὶ νεύσαντας εἰς γῆν τῷ φρονήματι. Ἢ ὡς ὑποκύψαντας τῷ Χριστῷ τὸν αὐχένα, τῶν ἀνθισταμένων αὐτῷ ὑψούντων κέρας καὶ λαλούντων ἀδικίαν κατ' αὐτοῦ.

ιθ'-κς'. *Εἶπε δὲ Σιών· Ἐγκατέλιπέ με Κύριος, καὶ ὁ Κύριος ἀπελάθετό μου. Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, εἶπε Κύριος.* C *Ἰδοὺ ἐπὶ τῶν χειρῶν μου ἐζωγράφησά σου τὰ τείχη*, κ. τ. λ.

Ἤδη προείρηται, ὡς κατὰ τρόπους τρεῖς προσήκει νοεῖν τὴν *Σιὼν* καὶ τὴν Ἱερουσαλήμ· ἢ αἰσθητῶς· ἢ κατὰ τὸ θεοσεβὲς τῶν ἐπὶ γῆς ὄντων πολίτευμα· ἢ κατὰ τὴν ἐν οὐρανοῖς ἀγγελικὴν πολιτείαν, περὶ ἧς φησὶν ὁ Παῦλος· « Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστί, » Καὶ, « Οὐ γὰρ προσεληλύθατε Σιὼν ὄρει, » καὶ τὰ ἑξῆς. Νῦν οὖν ὁ λόγος περὶ τοῦ θεοφιλοῦς πολιτεύματος, ὃ πάλαι μὲν παρ' Ἰουδαίοις συνίστατο, καθαιρεθὲν δὲ μεταβέβληται εἰς τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν. Περὶ νήσων γὰρ καὶ τῶν ἐθνῶν διελέγετο, οἷς ἀκολούθως φησίν· « Εἰ καὶ καθῄρηται τὸ θεοσεβὲς παρ' Ἰουδαίοις πολίτευμα, μὴ λεγέτω, *Ἐγκατέλιπε Κύριος*. Καὶ τῷ τῆς *μητρὸς* παραδείγματι τὸ τῆς *λήθης* ἀδύνατον ἔδειξε. Θεοῦ γὰρ ὄντες οἷον γεννήματα, D εἰ παύσαιτο τῆς περὶ ἡμῶν προνοίας, καὶ τοῦ εἶναι παυσόμεθα. Καὶ τὴν ἔννοιαν ἐπεξεργάζεται λέγων· *Ἰδοὺ ἐπὶ τῶν χειρῶν μου ἐζωγράφησά σου τὰ τείχη*. Ὁ δὲ Σύμμαχος ἀντὶ τοῦ *ἐζωγράφησα, ἐστήριξά σε* φησίν· ὁ δὲ Ἀκύλας· *Ἰδοὺ ἐπὶ τῶν ταρσῶν ἠκρίβωσά σε*. Ὁ δὲ Θεοδοτίων· *Διεχάραξά σε. Χεῖρες* γὰρ ὡς ἀληθῶς, τοῦτ' ἔστιν ἐνέργειαι Θεοῦ, τὴν τοιαύτην οἰκοδομοῦσι πόλιν, τοὺς τύπους τῆς κατὰ Θεὸν πολιτείας ἐγχαράττουσαι ταῖς τῶν ἀνθρώπων ψυχαῖς. Ὅθεν καὶ αὐτὸς ὁ τῆς ἑαυτοῦ πόλεως οἰκοδόμος ὁ τοῦ Θεοῦ Λόγος ἐδίδαξε λέγων· « Ἐπὶ ταύτην τὴν πέτραν οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. » Ἡ δὲ πέ-

Digitized by Google

τρα ἣν πάλιν αὐτός, ἐφ' ἣν οἱ πρῶτοι θεμέλιοι κατεβλήθησαν, περὶ ὧν εἴρηται· « Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου Χριστοῦ Ἰησοῦ. » Ὅτι δὲ αἱ τοῦ Θεοῦ ἐνέργειαι *χεῖρες* εἴρηνται τῇ Γραφῇ, δηλοῖ τὸ, « Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασάν με. » « Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. » Καὶ πάλιν· « Καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. » Τινὲς δὲ διὰ τὴν ἐπὶ τοῦ σταυροῦ διάτρησιν τῶν χειρῶν λέγουσιν. Ὑπὲρ ἡμῶν γὰρ παθὼν, πῶς ἂν ἡμῶν ἐπιλάθοιτο; Τὸ γὰρ ὅλον πάθος ἐκ μέρους *ἐδήλωσεν*. Εἴποις δ' ἂν καὶ ἄλλως. Φασὶν ὡς ἐν ταῖς τοῦ Πατέρος *χερσὶν* πάντες εἰσὶν οἱ πιστεύσαντες. Ἔλεγε γὰρ ὁ Χριστὸς περὶ τῶν ἰδίων προβάτων, ὡς « Οὐδεὶς ἁρπάσει αὐτὰ ἐκ *τῶν χειρῶν* τοῦ Πατέρος μου, » τὴν ἐκεῖθεν σκέπην δηλῶν.

A vitatis suæ constructor Dei Filius edocuit cum super petram suam se ædificaturum Ecclesiam affirmavit [49]. Erat rursum et **563** ipse petra, in quam prima illa jacta sunt fundamenta, de quibus dicitur : « Ædificati super fundamentum apostolorum et prophetarum, ipso summo lapide angulari Jesu Christo [50]. » Quod autem *manuum* nomine Dei virtutem significet Scriptura, vel inde constiterit, quod « Manus tuæ fecerunt me et plasmaverunt me, » ait [51]. Et : « Quoniam ipsius est mare, et aridam fundaverunt manus ejus [52]. » Rursum : « Et opera manuum ejus sunt cœli [53]. » Sunt vero qui isthæc ad manuum Christi perforationem, quam in cruce passus est, referri existiment. Qui enim nostri, quorum nomine passus est, *obliviscatur*? Totam B siquidem passionem ab una ejusdem parte significavit D cas vero et aliter. Aiunt enim eos in unius Patris *manibus* esse omnes qui fidem amplexi sunt : quando de suis ovibus loquens Christus, nullum eas de Patris sui *manibus* erepturum, ut protectore minime carere doceret, affirmavit [54].

Τείχη δὲ τῆς Ἐκκλησίας οἱ τοῦ Χριστοῦ μαθηταὶ καὶ ἀπόστολοι, ὧν οὐ λαμβάνει *λήθην*. Ἐγέγραπτο γὰρ αὐτῶν ἐν οὐρανοῖς τὰ ὀνόματα τῇ βίβλῳ ζώντων ἐγκείμενα. Προηγουμένως μὲν γὰρ τῆς Ἐκκλησίας *τεῖχός* ἐστιν ὁ Χριστὸς, ὥσπερ καὶ φῶς· ἐν μεθέξει δὲ αὐτοῦ γεγονότες οἱ μαθηταὶ τούτων ἑκάτερον λέγονται. Τινὲς δὲ τὰ παρόντα νοήσαντες αἰσθητῶς, Ὡς παρόντα, φασὶ, λέγει τὰ μέλλοντα. Πάντα γὰρ αὐτῷ πάρεστι, καὶ προδιαγράφει τὴν μέλλουσαν, μετὰ τὴν ἐκ Βαβυλῶνος ἅλωσιν, *τῶν τειχῶν* οἰκοδόμησιν, εἰς ἣν ἀπήχθης, φησὶ, παιδευόμενος, οὐ τῆς ἐμῆς προνοίας ἐκπεπτωκώς. Τοιγαροῦν *οἱ καθελοῦντες οἰκοδομήσουσι*, τῶν σῶν ἐξανιστάμενοι τόπων· εἰ δὲ καὶ πίστιν ἔχεις, *ὅρα* καὶ τοὺς εἰ; σὲ *συναχθήσεσθαι* μέλλοντας. Ὄψις γὰρ, ὡς εἰπεῖν, ἡ τῶν πιστῶν ἀκοὴ, καθὰ καὶ ἡ τῶν προφητῶν. Καὶ Μιχαίας γάρ φησιν· « Ἰδοὺ θεωρῶ τὸν λαὸν διεσκορπισμένον ἐν τοῖς ὄρεσιν, ὡς πρόβατα ποιμένα μὴ ἔχοντα. » Φησὶν οὖν ὡς ἔξεις τοὺς οἰκήτορας, ὡς *κόσμον* τινὰ *νυμφικόν*. Οὐκ ἄρα, φασὶ, τὸ *κοσμεῖσθαι νύμφας* ἀπόβλητον πρὸς κίνησιν πόθου συνέχοντος τὴν τῆς συζυγίας ἑνότητα, ἣν ἀδύνατον ἀγάπης συνεστάναι χωρίς.

Sunt porro Ecclesiæ *muri*, discipuli et apostoli, quorum ipse, quod nomina in cœlis, in viventium libro descripta habeant [55], *oblivisci* non potest. Præcipue autem Ecclesiæ *murus*, quemadmodum et lumen, dicitur Christus ; sed utriusque participatione qui ejus fuere discipuli. Nonnulli ista ad sensuum objecta referentes, futura, tanquam præsentia, demonstrari arbitrantur. Omnia enim Deum in promptu habere, futuramque *murorum* instaurationem post Babylonicæ civitatis expugnationem, in quam, castigationis ergo, magna ejus providen- C tia deductus es, inquit, longe ante describere. *A quibus* itaque *destructa es*, inquit, ab iisdem etiam de tuis finibus egressis *instauraberis*. Quod si fidem habes, *vide* etiam illos qui ad te *coituri sunt*. Visio enim, ut ita dicam, ipsa est fidelium auditio sicut et prophetarum. Nam et Michæas ait : « Ecce populum in montibus dissipatum video, tanquam qui pastore destituitur [56]. » Incolas deinceps tanquam *monilia sponsam*, habituram significat. Non est igitur, aiunt, *sponsas ornari* ad amoris illius provocationem, qui conjugii unitatem conservat, quæ sine dilectione stare non potest, **564** improbandum.

Ἀλλὰ τὴν ἱστορίαν ἀφέντες, ἐπὶ τὴν πρώτην ἐξήγησιν ἀναδράμωμεν. Ἐπεὶ γὰρ ἐν βραχεῖ χρόνῳ ἡ ἐξ ἐθνῶν Ἐκκλησία συνέστη, πεπτωκότος τοῦ παρ' Ἰουδαίοις θεοσεβοῦς πολιτεύματος, ἐπάγει· *Ταχὺ οἰκοδομηθήσῃ, ὑφ' ὧν καθῃρέθης*. Ὡς γὰρ Ἰουδαίων ἄρχοντες τῆς καθαιρέσεως αὐτῆς γεγόνασιν αἴτιοι, λέγοντες· « Ἡμεῖς οἴδαμεν ὅτι Μωσεῖ λελάληκεν ὁ Θεὸς, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστί· » οὕτω πάλιν ἐξ αὐτῆς ἦσαν οἱ ἀπόστολοι, τῆς *οἰκοδομῆς* τῆς νέας ὄντες ἐργάται· αὐτοὶ δὲ οἱ τὴν Ἰουδαϊκὴν ἐθελοθρησκείαν καθῃρηκότες, οἷος ὁ Παῦλος λέγων· « Εἰ γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, » τὴν νέαν *Σιὼν* κατὰ τὴν εὐαγγελικὴν συνεστήσαντο πο- D

Veruin, omissa historia, ad primam explicationem revertamur. Quoniam enim brevi tempore, postquam pia Judæorum instituta observari desierunt, excitata est Ecclesia : *Cito ædificaberis, a quibus destructa fueras*, intulit. Ut enim ipsi Judæorum principes, sui sibi fuere excidii auctores, qui se Deum cum Mose collocutum esse scire quidem, Christum autem unde esset ignorare dixerunt ; sic ex ipsis rursum apostoli, recentis *ædificationis* opifices exstiterunt. Imo et ipsi, deleta Judæorum superstitione (ut de se his verbis : « Si quæ ego destruxi, iterum ædifico [57], » etc., testatur Paulus) *Sionem* recentem ex Evangelii instituto, Davide te-

[49] Matth. xvi, 18. [50] Ephes. ii, 20. [51] Psal. cxviii, 73. [52] Psal. lxv, 6. [53] Psal. ci, 26. [54] Joan. x, 29. [55] Luc. x, 20. [56] III Reg. xxii, 17 ; II Paral. xviii, 16. [57] Galat. ii, 18.

VARIÆ LECTIONES.

[f] *Isai. l. καί.*

Digitized by Google

sic, construxerunt, qui principes eos super omnem terram Deum esse constituturum vaticinatus est [58]. Verum præter istos, et alii etiam sequentibus indicantur, qui *Sionem* quidem vastarunt, sed non instaurarunt : de quibus, *et qui te desolaverunt venient ex te*, adjecit. Quod etiam secundum historiam, post conflatam e gentibus Ecclesiam observatum est; cum sensibili Jerusalem Judæis adempta, pia quoque urbis disciplina sublata est. Deinde tanquam *sponsæ* alicujus sibi liberorum multitudine placentis personam inducit, ad eamque ait : *Leva in circuitu oculos tuos et vide omnes.* Et, *quia omnibus illis, tanquam ornamento vestieris.* Quinam autem isti *omnes* essent, et unde, superius indicavit; cum undique a quatuor mundi plagis de longe venturos dixit, quos per *Sponsæ* Christi *ornamentum* significavit. Animorum enim ipsa *ornamentis* commendatur, eorumdem virtutibus, donisque spiritualibus, tanquam pretiosis lapidibus, circumamicta. Hinc est igitur quod eam vestitu deaurato, et vario sic ornari Scriptura testatur [59], ut illud ex ea quilibet gratias acturus facile usurpet : « Lætatur anima mea in Domino. Induit enim me vestimento salutis, et tunica lætitiæ. Ornatu me, tanquam sponsum, et zona, tanquam sponsam, circumdedit [60]. » Nonnulli verba ista ad salutem, quæ ultimo tandem Israelitas **565** manet, cum gentium plenitudo ingressa fuerit [61], referendum arbitrantur.

Deinde, *Et deserta tua angustiora faciet*, inquit. Est enim in circumcisorum locum ipsa gentium intro admissa multitudo : pro quibus, *qui te absorbebant, longe fugabuntur;* falsi nimirum prophetæ, et duces populi, quos pleno ore populum suum absorbere conquerebatur Dominus. *Locum* deinde Ecclesiæ ampliorem, propter frequentiam et copiam, postulantes *filios*, qui ante perierant, facit : indeque, *quos perdidisti*, adjecit, quorum rursum frequentiam demirata, Judæorum orbitatem agnoscit, *seque sine liberis, et viduam esse* confitetur. Quod si de gentibus intelligitur, statum, in quo essent, priusquam vocarentur, demonstret necesse est. Est vero isti, quod hic, *fac mihi locum*, habemus, aliud non incongruum, ubi legitur : « Dilata locum tabernaculi tui, pellesque tentoriorum tuorum fige. Ne parcas; adhuc ad dextram et lævam extende [62]. » istud autem vel ipsa Mosaici tabernaculi magnitudo amplitudoque indicarint. Verum enimvero *quis sibi istos genuerit* quærenti, fides in Christo, Deusque ipse respondendum est, qui etiam postulanti respondet : *Ecce elevo super gentes manum meam*, et quæ deinceps; ita videlicet, unde ei *filiorum et filiarum* multitudo ventura sit, demonstrans; *manusque* vocabulo virtutem suam et potentiam, Christum nimirum, si-

λιτείαν. Περὶ ὧν φησι καὶ Δαβίδ· « Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. » Ἕτεροι δὲ παρὰ τούτους δηλοῦνται διὰ τῶν ἑξῆς, οἱ ἐρημώσαντες μὲν τὴν *Σιών*, οὐ μὴν καὶ οἰκοδομήσαντες. Περὶ ὧν φησι, καὶ *οἱ ἐρημώσαντες ἐκ σοῦ ἐξελεύσονταί·* ὃ καὶ καθ' ἱστορίαν ἐσώζετο, μετὰ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν τοῦ τῶν Ἰουδαίων ἔθνους ἐκπεπτωκότος τῆς αἰσθητῆς Ἱερουσαλήμ, πρὸς τῷ καὶ τοῦ θεοσεβοῦς πολιτεύματος ἐκπεσεῖν. Μετὰ ταῦτα προσωποποιεῖ καθάπερ τινὰ *νύμφην* ἐπὶ πλήθει τέκνων κομῶσαν πρὸς ἣν φησιν· *Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε πάντας.* Καὶ, *Ὅτι πάντας αὐτοὺς, ὡς κόσμον, ἐνδύσῃ.* Τίνας δὲ *πάντας* καὶ πόθεν ἐδίδαξε προειπών· « Ἰδοὺ οὗτοι πόρρωθεν ἥξουσι περὶ τῶν τεσσάρων κλιμάτων, εἰπὼν [6] οὓς καὶ *κόσμον* τῆς τοῦ Χριστοῦ *νύμφης* Ἐκκλησίας καλεῖ. Ψυχαῖς γὰρ αὐτὴ *κοσμίαις* σεμνύνεται, τὰς αὐτῶν ἀρετὰς, καὶ τὰ πνευματικὰ τούτων χαρίσματα, ἀντὶ λίθων τιμίων περιχειμένη. Διόπερ αὐτὴν ἱματισμῷ περιχρύσῳ καὶ πεποικιλμένῳ κεκοσμῆσθαι φησὶν ἡ Γραφὴ ὡς ἕκαστον ἐξ αὐτῆς εὐχαριστοῦντα λέγειν· « Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου καὶ χιτῶνα εὐφροσύνης· ὡς νυμφίῳ περιέθηκέ μοι κόσμον, καὶ ὡς νύμφῃ περιέθηκέ μοι μίτραν. » Τινὲς δὲ τὸ παρὸν ῥητὸν δηλοῦν ἔφασαν τὴν ἐπ' ἐσχάτου τῶν ἐξ Ἰσραὴλ σωτηρίαν, ὅτ' ἂν τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ.

Εἶτά φησι, *Καὶ τὰ ἔρημά σου στενοχωρήσει.* Ἀντὶ γὰρ τῶν ἐκ περιτομῆς, τὸ τῶν ἐθνῶν ἀντεισενήνεκται πλῆθος. Ἀνθ' ὧν φησιν· *Οἱ καταπίνοντές σε, μακρυνθήσονται·* ψευδοπροφῆται δηλονότι, καὶ καθηγηταὶ τοῦ λαοῦ, περὶ ὧν ἔλεγεν· Οἱ καταπίνοντες τὸν λαόν μου ὅλῳ τῷ στόματι. Εἶτα τοὺς *υἱοὺς* τῆς Ἐκκλησίας εἰσάγει *τόκον* αἰτοῦντας διὰ τὸ πλῆθος πλατύτερον, οἵτινες ἦσαν ἐν ἀπωλείᾳ τὸ πρότερον. Ὅθεν φησὶν *οὓς ἀπώλεσας*, ὧν τὸ πλῆθος θαυμάζουσα, τὴν ἐκ τῶν Ἰουδαίων ἀτεκνίαν ὁμολογεῖ λέγουσα· *Ἐγὼ δὲ ἄτεκνος καὶ χήρα.* Εἰ δὲ περὶ τῶν ἐθνῶν νοοῖτο, δηλοῖ τὴν προτέραν αὐτῶν πρὶν κληθῆναι κατάστασιν. Σύμφωνον δὲ τῷ, *ποίησόν μοι τόπον*, τὸ « Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου. Καὶ [τὰς δέρεις] τῶν αὐλαίων σου πῆξον. Μὴ φεισῇ, ἔτι εἰς τὰ δεξιὰ, καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον. » Τοῦτο δὲ καὶ τῆς παρὰ Μωσεῖ σκηνῆς τὰ μήκη καὶ πλάτη δηλοῖ. Λεγούσῃ δὲ, *Τίς ἐγέννησέ μοι τούτους;* λεκτέον· Ἡ πίστις ἡ ἐν Χριστῷ, αὐτός τε Θεός. Ὃς καὶ πυνθανομένῃ φησίν· *Ἰδοὺ αἴρω εἰς τὰ ἔθνη τὴν χεῖρά μου*, καὶ τὰ ἑξῆς· δηλῶν πόθεν ἥξει *τῶν υἱῶν αὐτῇ καὶ θυγατέρων* τὸ πλῆθος, *χεῖρα* καλῶν τὴν ἰδίαν ἰσχύν τε καὶ δύναμιν, τὸν Χριστὸν, ὃς διὰ τῶν θαυμάτων γέγονε τοῖς ἔθνεσιν ὑψηλὸς, καὶ διὰ τῆς ἀναστάσεως. *Νήσους* δὲ τὰς κατὰ μέρος Ἐκκλησίας, ἐξ ὧν ἡ μία καὶ καθολικὴ πανταχοῦ. Σύσ-

[58] Psal. XLIV, 17. [59] ibid. 10. [60] Isa. LXI, 10. [61] Rom. XI, 25. [62] Isa. LIV, 2.

VARIÆ LECTIONES.

[6] *Αρ.* τὸ εἰπών.

Digitized by Google

σημον δὲ, τὸ περὶ τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως κήρυγμα. Ἀντὶ δὲ τοῦ *ἐν κόλπῳ*, *ἐν ἀγκάλαις* ἐξέδωκαν οἱ λοιποί. Τίνες δὲ τοῦτο ποιήσουσιν; δῆλον ὡς ἀπόστολοί τε, καὶ οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, οἷα νηπίους χειραγωγοῦντες τοὺς προσιόντας τῇ πίστει, οἷς ἔλεγε καὶ Παῦλος· « Γάλα ὑμᾶς ἐπότισα. » Καὶ πάλιν· « Τεκνία μου, οὓς πάλιν ὠδίνω. » Καὶ πάλιν· « Ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, » οὕτως ἱμειρόμενοι ὑμῶν εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχάς· ὅτε καὶ τῶν προσιόντων ἐβόα τὸ πλῆθος· « Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, » καὶ τὰ ἑφεξῆς. Δηλοῖ δὲ τὸ, *ἐν κόλποις*, καὶ *ἐπ' ὤμων*, τὸ χωρὶς ἰδρῶτος, τοῦ Θεοῦ τὴν ὁδὸν κατευθύνοντος, κατὰ τὸ, « Ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο. » Καὶ ὡς ἐκ τοῦ Βαπτιστοῦ δὲ ἐλέγετο τὸ, « Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, » καὶ τὰ ἑπόμενα.

A gnificans, qui a gentibus ipsis, propter admirabilia opera, et resurrectionem, excelsus habitus est. *Insularum* porro nomine, Ecclesias singulares intelligit, ex quibus una est ubique, et catholica. *Signum* deinde ipsa fuerit crucis et resurrectionis promulgatio. Sed ubi *in sinu*, habemus, *in ulnis* alii transtulerunt. Verum, quinam ii, qui illud præstituri sunt? Apostoli procul dubio, et Ecclesiæ magistri, qui ad fidem accedentes parvulos, tanquam manu, ductabant : quales illi exstiterunt, ad quos et Pauli illa sunt : « Lac vobis potum dedi [63]. » Et rursum : « Filii mei, quos rursum parturio [64]. » Item : « Tanquam **566** si nutrix foveat filios suos : sic affectu in vos propensi volebamus vobis tradere non solum Evangelium Christi, B sed animas etiam nostras [65]; quo tempore nimirum et ipsa quæ accedebat multitudo : « Venite, ascendamus ad montem Domini et ad domum Dei Jacob [66], » cæteraque deinceps, inclamabat. Significat vero quod *in sinu et in humeris* habetur id sine sudore, Deo viam dirigente, futurum : juxta illud prophetæ : « Semita piorum recta facta est [67]. » Et Baptistæ, « Parate viam Domino, rectas facite semitas ejus [68]. »

Τὴν δὲ τιμὴν τῶν πιστῶν τὴν εἰς ἄκρον δηλοῖ τὸ, *Τιθηνοὺς* λέγειν *βασιλεῖς*, *καὶ τὰς ἀρχούσας τροφούς*, τὴν ἀνωτάτω δηλοῦν [h], καὶ τὰς κατ' ἔθνος. Ἀρχὰς *τροφῶν* δίκην ἐξυπηρετουμένων [i] τοῖς ἐνδεέσι τῆς Ἐκκλησίας διὰ τῶν διδομένων σιτηρεσίων. Καὶ ἄλλως δὲ, ἡ πολλὴ κηδεμονία δόξαν *τροφέων* παρίστησιν, οἱ καὶ κλίνοντες ἐν Ἐκκλησίᾳ γόνυ, *τῇ γῇ* τὸ μέτωπον προσερείδουσι, καὶ *τὸν χοῦν*, ὡς εἰπεῖν, ἐκλαχεῖν [j] διὰ πίστιν ποθοῦντες. Ταῦτα δὲ πρὸς τὴν βασίλισσαν τὴν ἐκ δεξιῶν Χριστῷ παριστα-μένην ὁ τεσσαρακοστὸς τέταρτος λέγει ψαλμὸς, ἣν C καὶ ἐξ ἀλλοφύλων οὖσαν δηλοῖ. Ὅμοια δὲ καὶ εἰς αὐτὸν τὸν *βασιλέα* ὁ ἑβδομηκοστὸς πρῶτος. Οὐκοῦν περὶ τῆς Ἐκκλησίας τῆς ἐν Χριστῷ, τὰ λεγόμενα πρὸς τὴν Ἱερουσαλὴμ, ἢ τὴν δόξαν ἔχει τοῦ Χριστοῦ. Τούτων δὲ, φησὶ, γιγνομένων, *γνώσῃ ὅτι ἐγὼ Κύριος*, *καὶ οὐκ αἰσχυνθήσονται οἱ ὑπομένοντές με*. Καλὸν γὰρ μὴ ἀπογινώσκειν τὴν ἐλπίδα πρὸ τῆς τῶν ἔργων ἐκβάσεως. Εἶτα διδάσκει, τίνα τρόπον τὰ ὑπὸ χεῖρα τοῦ διαβόλου πρότερον ἔθνη ἠλευθερώθη διὰ τῆς τοῦ Σωτῆρος δυνάμεως. Ὁ διὰ τῆς παραβολῆς ἐδήλωσεν ὁ Χριστός· « Πῶς, λέγων, δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν; » Καὶ νῦν δέ φησι, Μή τι τῷ τυχόντι δυνατὸν παρὰ τοῦ διαβόλου *σκῦλα λαβεῖν*; ὃν ἐκάλεσε *γίγαντα*· κἂν ἐπιχειρῇ D δέ τις τοῦτο *δικαίως* ποιῶν, ἆρα ἀθῶος γενήσεται, καὶ οὐ κρατηθεὶς κινδυνεύσει; ἀντὶ γὰρ τοῦ *ἀδίκως*, τὸ Ἑβραϊκὸν *δικαίως* ἔχει. Δίκαιον μὲν γὰρ τοῦτο ποιεῖν. Ἀλλὰ τίς τοσοῦτόν ἐστι δυνατός; ἄνθρωπος μὲν οὐδείς. Ὅπως δὲ τὸ παρὰ ἀνθρώποις ἀδύνατον, τῷ Θεῷ δυνατὸν ἐπιφέρει. Εἰ δὲ *ἀδίκως* ἔχει, κατὰ τοὺς Ἑβδομήκοντα, τὸ ῥητὸν, περὶ τοῦ διαβόλου φησὶ, δηλῶν ὡς ἀδίκως ἐπιπηδήσας τοῖς ἠδικηκόσι

Eo ipso deinde summum fore fidelibus honorem demonstrat, quod eorum *nutritios reges*, *et reginas nutrices* fore significat. Imo et ipsa gentium imperia, demensis in pauperes, *nutritiorum* more, distributis, Ecclesiæ subservitura. Alias autem et ipsa vehemens sollicitudo, *nutritiis* gloriam conciliat; qui genu flexo in Ecclesia *terræ* frontem alliduntur, *pulverem* ipsum, ut ita dicam, propter fidem delingere gestientes. Atque hæc quidem ipsa sunt, quæ reginæ Christo ad dexteram astanti psalmo quadragesimo quarto tribuuntur, quam etiam de alienigenarum numero esse significat. Neque vero dissimilia fuerint, quæ in *regem* ipsum septuagesimo primo leguntur. Sunt igitur quæ de Hierosolymis dicuntur, de Christi Ecclesia, ejusdem gloriam habente, intelligenda. Quæ cum acciderint, inquit, *intelliges, quia ego Dominus; et non confundentur qui exspectant me.* Est enim virtutis, spem non prius abjicere, quam exitum res ipsæ sortiantur. Docet postea quemadmodum gentes, quæ sub diaboli potestate prius degebant, Salvatoris virtute in libertatem assertæ sint : quod etiam in parabola Christus ipse indicavit, cum ait : « Qui potest quis domum fortis ingredi, et supellectilem ejus diripere, nisi fortem prius in vinculis habuerit [69]? » Jam vero, etiamne cuilibet, ait, promptum est, diabolo, quem per *gigantem* significavit, *spolia eripere?* Quod si quis hoc ipsum *juste* conetur, evadetne illæsus, neque victus in periculo versabitur? *Juste* enim, pro *injuste*, habet Hebraica lectio; quia justum **567** sit id fieri. Sed quis potens adeo futurus? homo certe nullus. At, qui quod hominibus nefas, Deo ipsi promptum sit, suggerit. Sin autem, ut habent Septuaginta,

[63] I Cor. III, 2. [64] Galat. IV, 19. [65] I Thess. II, 7. [66] Isa. II, 3. [67] Isa. XXVI, 7. [68] Matth. III, 3. [69] Matth. XII, 29.

VARIÆ LECTIONES.

[h] *al.* τὴν ἀνωτάτω δηλοῦν. [i] γρ. ἐξυπηρετουμένας. [j] γρ. ἐκλείχειν.

Digitized by Google

Inguste legimus, ad diabolum sermo referretur, et eumdem, qui nihil meritos insultaverit, et captivos habuerit, *Salutem non consecuturum* significabit. Quale est illud, quod alibi in hunc modum scribitur : « Quemadmodum quæ sanguine pollita est, munda non est : sic purus et et ipse haud futurus es. Quoniam terram meam vastasti, populumque meum interfecisti ; non manebis in æternum tempus [70]. » Ejus vero domum in parabola mundi nomine intelligi, et per supellectilem animas, quibus eum *spoliavit*, latenter indicavit. Quod ubi præstitit, et ad nos etiam vincendi facultatem, Paulo teste, transmisit, qui in Christo vires suppeditante nihil non posse affirmavit [71].

Atque inde est, quod dæmonibus ipsis, et morbis animi superiores evadimus ; Christique benevolentia, tanquam armis muniti, fortem ipsum *spoliamus* nostrasque ipsi et vicinorum animas ab interitu vindicamus. Itaque ait : *Si quis captivum duxerit gigantem, spolia accipiet, et qui acceperit, a forti salvabitur.* Per Christum enim ipsum *spoliamus*, et *salvamur*, qui dixit : « Ecce ego do vobis potestatem conculcandi omnes serpentes et scorpiones, omnemque potestatem inimici [72]. » Est enim ipse virtutum omnium Dominus. Neque vero ista a se fieri deinceps reticuit, cum ait : *Ego judicium meum judicabo : et ego filios meos eruam*, tanquam idipsum a se uno tantum præstari posse ; *spoliorum*que nomine filios demonstrari significet. Qui autem eos sustulerunt, quia jam aliorum *carnes edere* non possunt, *suas ipsi comedent*. Et qui humanarum animarum *sanguinem ebibere* non possunt, suum ipsi *ad ebrietatem usque bibent* ; quando omnes homines, qui in carne sunt, *me Dominum esse, qui te*, civitatem meam, *eruerim* agnituri sunt. Alio tamen sensu tanquam **568** sumpto aliunde principio, de iis, qui Ecclesiam vexarunt, extrema subituros esse supplicia indicat oratio ; ut omnibus, non mortali virtute aliqua, sed a *Deo Jacob*, Ecclesiam defensam fuisse innotescat.

Opportune autem *Jacobi* nomen ad eum, qui in forma hominis patriarchæ visus est, filium Dei scilicet, animi cogitationem remittit. Potest tamen etiam quemlibet, qui diabolum supplantarit peccatique laqueos solverit, significare. Quod autem dixit : *Ecce elevo super gentes manum*, et quæ deinceps ; historice rursum de his, qui captivi erant, nonnulli acceperunt ; ac si annuente se *collectum iri*, undique hostiumque satellitio tutos et munitos fore demonstraret. Quod ad promissionis usque tempus non ideo dilatum est, quod vanum et fallax exsisteret : sed quod ipsi factorum turpitudine divinis promissionibus idoneum tempus concedi non permitterent. Deinde adversus pravas eorum animi cogitationes pugnans eosdem propter privata scelera, non propter virium suarum imbecillitatem

μηδὲν, καὶ λαβὼν αἰχμαλώτους, *οὐ σωθήσεται*. Τοιοῦτο δέ φησιν ἀλλαχοῦ· « Ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρὸν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός. Διότι τὴν γῆν μου ἀπώλεσας, καὶ τὸν λαόν μου ἀπέκτεινας, οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον. » Οἰκίαν δὲ αὐτοῦ τὸν κόσμον διὰ τῆς παραβολῆς ὑπηνίξατο, καὶ σκεύη τὰς ψυχὰς, ἃς *ἐσκύλευσεν* ἐξ αὐτοῦ. Ὁ δὴ ποιήσας, καὶ εἰς ἡμᾶς παρέπεμψε τὸ νικᾶν. Τοῦτο γὰρ καὶ Παῦλος λαβὼν ἔφασκε, « Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. »

Διὰ τοῦτο καὶ δαίμονας νικῶμεν, καὶ παθῶν περιγινόμεθα ψυχικῶν ὅπλον εὐδοκίας ἔχοντες τὸν Χριστὸν, καὶ *σκυλεύομεν* αὐτὸν, τὴν ἡμετέραν σώζοντες, καὶ τῶν πλησίον ψυχάς. Διό φησιν· *Ἐάν τις αἰχμαλωτεύσῃ γίγαντα, λήψεται σκῦλα. Λαμβάνων δὲ, παρὰ ἰσχύοντος σωθήσεται.* Διὰ Χριστοῦ γὰρ *σκυλεύομεν* αὐτὸν, καὶ *σωζόμεθα*, τοῦ εἰπόντος· « Ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. » Αὐτὸς γὰρ ὁ τῶν δυνάμεων Κύριος. Ὅτι γὰρ ὁ ταῦτα πράξας ἐστὶν αὐτὸς δηλοῖ λέγων ἐξῆς· *Ἐγὼ δὲ τὴν κρίσιν μου κρινῶ. Καὶ ἐγὼ τοὺς υἱούς μου ῥύσομαι*, ἑαυτῷ μόνῳ δυνατὸν τὸ χρῆμα δεικνὺς, καὶ *τὰ σκῦλα* δηλῶν τοὺς υἱούς. Οἱ δὲ τούτους ἀφαιρεθέντες, οὐκ ἔτι τὰς ἑτέρων *σάρκας ἐσθίειν* δυνάμενοι, *τὰς ἑαυτῶν φάγονται*. Οὐ δὲ τὸ αἷμα τῶν ἀνθρωπίνων *ψυχῶν ἐκπίνειν* δυνάμενοι, τὸ ἑαυτῶν αἷμα *εἰς μέθην πίονται*, ὅτε πάντες οἱ ἐν σαρκὶ τυγχάνοντες ἄνθρωποι γνώσονται ὅτι ἐγὼ *Κύριος ὁ ῥυσάμενός* σε τὴν ἐμαυτοῦ πόλιν. Καθ' ἑτέραν δὲ διάνοιαν, ὡς ἐξ ἑτέρας ἀρχῆς, περὶ τῶν διωξάντων τὴν Ἐκκλησίαν ὁ λόγος, ὅτιπερ ἐσχάτας τίσουσι δίκας, ὡς γνωσθῆναι πᾶσιν, ὅτι μὴ θνητῆς ὑπῆρχε δυνάμεως τῆς Ἐκκλησίας ἡ σκέπη, τοῦ δὲ *Θεοῦ Ἰακώβ*.

Εἰς καιρὸν [k] δὲ ῥηθεὶς *Ἰακὼβ* ἀναπέμπει τὴν ἔννοιαν ἐπὶ τὸν ἐν ἀνθρώπου σχήματι τῷ πατριάρχῃ φανέντα, τὸν Υἱὸν τοῦ Θεοῦ. Δύναται δὲ καὶ πάντα δηλοῦν πτερνίζοντα τὸν διάβολον, καὶ τοὺς τῆς ἁμαρτίας παραλύοντα βρόχους. Τὸ δέ· *Ἰδοὺ αἴρω εἰς τὰ ἔθνη τὴν χεῖρά μου*, καὶ τὰ ἑξῆς, ἱστορικῶς τινες πάλιν ἐξέλαβον, περὶ τῶν ἐν αἰχμαλωσίᾳ. Βουλομένου γάρ μου *συναχθήσεσθε*, φησὶ, πανταχόθεν ὑπὸ τῶν ἐχθρῶν δορυφορηθησόμενοι. Τοῦτο δὲ μέχρι τῆς ἐπαγγελίας ἔστη μὴ γενόμενον ἔργῳ, οὐχ ὡς ψευδὲς, ἀλλ' ὡς ἐκείνων διὰ τὸ ἀνάξιον μὴ δεδωκότων καιρὸν ταῖς θείαις ἐπαγγελίαις· πρὸς δὲ τὰς κακὰς αὐτῶν ἐννοίας μαχόμενος, δείκνυσιν ὡς οὐδιὰ τὴν αὐτοῦ γεγόνασιν ἀδυναμίαν *αἰχμάλωτοι*, διὰ δὲ τὰς ἑαυτῶν ἁμαρτίας. Ὡς γὰρ οὐδεὶς τῶν παρ' ὑμῖν νομιζομένων γηγάντων ὑπὸ ἀσθενεστέρου *σκυλεύεται*, *ἀδι-*

[70] Ezech. xxii, 4, 5. [71] Ephes. iv, 7. [72] Luc. x, 19.

VARIÆ LECTIONES.

[k] *γρ.* εὐκαίρως.

Digitized by Google

κοχ ὑπομένων *αἰχμαλωσίαν*, ἀναιρεῖ δὲ τὸν ἐγχειρήσαντα· οὕτως οὐκ ἐνῆν ἐμοῦ μὴ θελήσαντος, τοὺς λαβόντας ὑμᾶ, αἰχμαλώτους ἑλεῖν, εἰ μὴ καθ' ἑαυτῶν ἡμαρτηκότες τὴν αἰτίαν παρέχετε. Πλὴν ἐλεήσας ὑμᾶς μὲν ἀνακαλέσω, ἐκείνους δὲ τιμωρήσομαι τὴν καθ' ὑμῶν ἐπιτείναντας κόλασιν· καὶ *σαρκῶν* τῶν ἰδίων γευσάμενοι γνώσονται τὸν ποιήσαντα, καθὰ καὶ Ναβουχοδονόσορ διὰ σημείων παιδευθεὶς μέγαν ὡμολόγει τὸν Θεὸν Δανιήλ. Τινὲς δὲ τὰ περὶ τοῦ *γίγαντος* ἐξηγούμενοι λέγουσιν· Οὐχ ἥττηται τὸ δυνατὸν τῆς Ἱερουσαλὴμ, οὐδὲ ἡ δικαιοσύνη ἡ ἐν αὐτῇ, ἀλλὰ δι' ἁμαρτίας κεκράτηται.

A *captivos esse* demonstrat. Quemadmodum enim eorum nullus, qui *gigantes* putantur a nobis, alterius imbecillioris esse *præda* queat, et *injuste captivi* fieri; sed eum potius, qui id in se conetur, facile conficiat: sic et vos, me nolente, capi nunquam poteratis, nisi in vos ipsi peccatis vestris causam præbuissetis. Sed vos ego jam tamen vestri misertus ipse revocare, illosque, qui pœnarum gravitatem vobis adauxerint, ulcisci statui; tantumque efficere, ut suis illi *carnibus* pasti, factorem suum agnoscant; non aliter quam signis olim adactus Nabuchodonosor Danielis Deum magnum esse confessus est [73]. Nonnulli quæ de *gigante* dicuntur, ita explicant, ut non Hierosolymorum vires, non justitiam, qua pollebant, superari; sed propter scelera capi arbitrentur.

ΚΕΦΑΛ. Ν'.

α'-ια'. *Οὕτως λέγει Κύριος, ποῖον τοῦτο βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ᾧ ἐξαπέστειλα αὐτήν; ἢ τίνι ὑποχρέω πέπρακα ὑμᾶς; Ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε, καὶ ταῖς ἀνομίαις ὑμῶν ἐξαπέστειλα τὴν μητέρα ὑμῶν; Τί ὅτι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα, καὶ οὐκ ἦν ὁ ὑπακούων;* κ. τ. λ.

Διελθὼν ὁ λόγος τὸ κήρυγμα τὸ εὐαγγελικὸν, τήν τε δι' αὐτοῦ τῶν ἐθνῶν κλῆσιν, καὶ τὴν σύστασιν τοῦ θεοσεβοῦς πολιτεύματος, καὶ τοῦ ῥηθέντος γίγαντος τὴν καθαίρεσιν, μεταβαίνει πάλιν ἐπὶ τοὺς ἐκ περιτομῆς, ὥσπερ ἀπολογούμενος διὰ τί τὰ ἔθνη ἐπισκοπήσας, αὐτοὺς ἐκδότους ἐποίησεν. Τούτου γὰρ αἴτιοι, φησὶν, ὑμεῖς, οὐκ ἐγώ. Οὐ γὰρ ἐγὼ τὴν *μητέρα ὑμῶν* ἀπεπεμψάμην Συναγωγὴν, ἢ τὴν ἐπὶ γῆς Ἱερουσαλὴμ (οὐ τοῦτο γὰρ ἡ διὰ Μωσέως νομοθεσία δηλοῖ), σχέσιν δὲ τὴν περὶ [1] ὑμᾶς· ἣν ὁ Μωσῆς, ὡς ἕδνα νύμφῃ δοῦναι βουλόμενος, καὶ φέρων ὑμῖν, μοιχεύσασαν διὰ τῆς μοσχοποιίας εὑρὼν τὴν Συναγωγὴν διέσπασεν ἀναξίαν εὑρὼν [m] τῶν ἐμῶν δωρεῶν.

B

CAP. L.

569-570 VERS. 1-11. *Sic dicit Dominus, qualis hic liber repudii matris vestræ, quo dimisi eam? aut cui creditori et exactori meo vendidi vos? Ecce peccatis vestris venundati estis, et in iniquitatibus vestris dimisi matrem vestram. Quid, quia veni, et non erat homo? vocavi, et non erat qui obediret?* etc.

Absoluta disputatione de Evangelii præconio deque per ipsum facta gentium vocatione; de pii item regiminis instituto, de gigantis interitu denique quem nominavit: ad circumcisos deinceps, tanquam adjecta purgatione, **571** quod eis rejectis curam gentium subeat, se confert. Hujus enim vos in causa, inquit, fuistis, non ego; neque ipse *matrem vestram* repudiavi. Synagogam scilicet, aut terrenam Jerusalem (non enim id quæ per Mosem lata lex est, significat), sed consuetudinem et familiaritatem, quæ mihi vobiscum, intercesserat: quam Moses ipse, tanquam sponsæ munera daturus vobisque ferens, postquam vituli confectione Synagogam fornicatam esse sensisset, quia meis donis indignam reperisset, dissipavit.

C

Παραβάλλει δὲ ἑαυτὸν ποτὲ μὲν ἀνδρὶ, ὡς πρὸς γυναῖκα, ποτὲ δὲ δεσπότῃ, ὡς πρὸς οἰκέτας. Οὐδὲ γὰρ ὡς ἄν τις δεσπότης ὀφείλων ἀπεδόμην ὑμᾶς. Ἀλλ' *ὑμεῖς* ἀπ' ἀρχῆς εἰς τέλος παρανομοῦντες ἐκβέβλησθε, *πραθέντες τοῖς ἁμαρτήμασιν*, οἷς ἐδουλώθητε, τούμὸν μέρος γεγονότες αὐτεξούσιοι καὶ ἐλεύθεροι. Καὶ τέλος, οὐκ ὤκνησα Θεὸς ὢν, ἐλθεῖν πρὸς ὑμᾶς, ὑποκαταβὰς τῆς ἀξίας τῆς ἐμαυτοῦ, καὶ γενόμενος ἄνθρωπος· καὶ *καλοῦντι πρὸς σωτηρίαν* ὑπήκουσεν οὐδείς. *Οὐκ ἦν* δὲ *ἄνθρωπος*, φησὶν, ἐπειδὴ τὸ *ἀνήκοον* πλῆθος *οὐδὲ εἶναι* λελόγισται. Οἱ δὲ *ὑπακούσαντες*, ὡς πρὸς ὅλον τὸ ἔθνος ὀλίγοι, ὡς μὴ ἀριθμεῖσθαι εἰς λόγον τοῦ ἔθνους. Διὸ καὶ ὑπεξηρήθησαν, ὡς ὁ Λὼτ ἀπὸ Σοδόμων. Οὐ γὰρ τοσούτους ἔδει παρασχεῖν τῷ Κυρίῳ τὴν ἁγίαν γῆν. Ὅθεν καὶ σημεῖον τῆς ἀκαρπίας αὐτῆς ἡ ξηρανθεῖσα συκῆ. Τοῦτο δὲ καὶ διὰ τῆς Εὐαγγελικῆς παραβολῆς τῶν παρῃτημένων τὸ δεῖπνον σημαίνεται, τῶν ἐν

D

[73] Dan. II, 47. [74] Gen. XIX, 1 seqq.

VARIÆ LECTIONES.

[1] Ἰσ. πρός. [m] ἀφ. τὸ εὑρών.

Digitized by Google

num siccam ficum præbuisse constat. Quod illa etiam Evangelii parabola significatur [75], in qua nonnullis ad prandium venire recusantibus, alii in eorum locum de triviis accersuntur: de quibus in hunc modum apud prophetam istum reperias: « Inventus sum ab his, qui me non quærebant: innotui his, qui me non interrogabant. Dixi: Ecce sum ad gentem, quæ non noverat me [76]. » De Judæis autem sic addit: Tota die expandi manus meas ad populum incredulum, et repugnantem [77]. » Eosdem et in Evangeliis provocat his verbis: « Accedite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos [78]; » ut sæpe alias similibus permultis. An igitur, inquit, quia servare vos non potui, in captivitatem **572** estis abducti; neque hujus tyrannide liberari poteritis? In blasphemos igitur adversus Deum istud est, qui servare populum non posse falso arbitrantur. Quale est et illud adversus eos, qui Salvatorem non sponte mortem obivisse putarunt, de parato duodecim legionum auxilio ejusdem responsum [79]. Vel certe, quia nullum *vocantem audire* dixit; præterquam quod aures sibi obturarunt, omnia etiam in se præter fas admisisse indicat; quæ tamen patienter tulit, cum a se omnino arcere potuisset; ut dessiccato prius in transitum mari Rubro; ut Jordane fluvio; ut trium denique dierum *tenebris* in Ægypto patuit; ita enim habet Symmachi interpretatio: *Ecce increpatione mea dessiccavi mare, feci fluvios desertum.* Quod si ad futura referas, Deum, si velit, efficere similia posse intelligendum est: *tenebras* autem, et qui eas operati sunt, in ipsa rerum omnium consummatione dissipatum iri; quo tempore sua cuique vitæ ratio pro meritis reddenda est. Quin et primo ipsius adventu *increpatum* ab ipso *mare* quievisse, invisibilesque potestates ejus imperio paruisse notum est, quibus, quia Judæis spectantibus edita erant, cum si noluisset, passurum non esse; et posse, si voluisset, quamvis homo, orbem hunc inferiorum servare, eosdem non dubitare decuit. Neque conversis ad id tantum, quod apparet oculis, eum se, non propter egregia facta, sed propter blasphemias lapidibus petere, qui homo exsistens, Deum se faciat, respondere: sed discere eumdem plane esse, qui præsens olim ea etiam miracula patrarat, de quibus ita apud Davidem legimus: « Quid est tibi, mare, quod fugisti? Et tu, Jordanis, quia conversus es retrorsum [80]? » Deinde: « Viderunt te aquæ, Deus, viderunt te aquæ, et timuerunt [81]. » Et rursum de Jordane: « Tu elevasti fluvios Ethami [82], » id est, australes. Nisi si quis etiam per *mare dessiccatum*, impiarum gentium multitudinem dicat adumbrari; per *fluvios* autem *desertos*, nationes eas, quibus ad idolorum cultum adducti sunt; per *pisces* vero pereuntes, malas potestates, quæ serpunt in animis atheorum: ubi et draco **573** ipse degere dictus est; juxta illud: « Hoc mare magnum et spatiosum [83], » et quæ deinceps.

[75] Luc. XIV, 16 seqq. [76] Isa. LXV, 1. [77] ibid. 2. [78] Matth. XI, 28. [79] Matth. XXVI, 53. [80] Psal. CXIII, 3. [81] Psal. LXXVI, 17. [82] Psal. LXXIII, 15. [83] Psal. CIII, 25.

VARIÆ LECTIONES.

[a] *Isa.* ιξ. [b] *γρ.* τῷ. [c] *γρ.* ποιήτας αὐτό. [d] *γρ.* εἰ εἰ.

A ταῖς ὁδοῖς ἀντιτεχνημένων, περὶ ὧν ἐν τῷ παρόντι προφήτῃ φησὶν ὁ Χριστός· « Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν. Ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν. Εἶπα, Ἰδού εἰμι, τῷ ἔθνει, οἳ οὐκ ἠπίσταντό με. » Περὶ δὲ τῶν Ἰουδαίων ἐπάγει· « Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα. » Οὓς καὶ καλῶν ἐν Εὐαγγελίοις ἔλεγε· « Δεῦτε πρός με, οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς, » καὶ τοιαῦτα πολλάκις. Ἀλλ' ἆρα μὴ σῶσαί μου, φησὶν, ἀσθενοῦντος, εἰς αἰχμαλωσίαν ἀπήχθητε; καὶ οὐ δυνήσεσθε σωθῆναι τῆς ἐκείνου τυραννίδος, τοῦτο πρὸς τοὺς Θεὸν βλασφημοῦντας ὡς οὐ δυνηθέντα σῶσαι τὸν λαὸν, ὁποῖον καὶ ὁ Σωτὴρ πρὸς τοὺς οἰομένους αὐτὸν ἅκοντα πάσχειν, περὶ τῆς τῶν ιε' [a] λεγεώνων φησὶ παραστάσεως· ἦγουν, ἐπειδὴ εἶπεν μηδένα *ὑπακοῦσαι καλοῦντι*, δείκνυσιν ὡς πρὸς τῶν [b] μὴ ὑπακοῦσαι, τὰ πάντων ἀθεσμότατα κατ' ἐμοῦ διεπράξασθε. Καὶ πρὸς ταῦτα δὲ, φησὶν, ἀνεξικάκως ἠνεχθην, δυνάμενος μηδὲν ὅλως παθεῖν· ὡς ἐδήλωσε πρότερον Ἐρυθρὰ ξηρανθεῖσα πρὸς διάβασιν θάλασσα· καὶ ποταμὸς Ἰορδάνης· καὶ *σκότος* τριήμερον ἐν Αἰγύπτῳ γενόμενον. Ὁ γὰρ Σύμμαχος ἐξέδωκεν· *Ἰδοὺ ἐν τῇ ἐπιτιμήσει μου ἐξήρανα θάλασσαν, ἐποίησα ποταμοὺς ἔρημον.* Κἂν ἐπὶ μέλλοντος δὲ ληφθῇ, νοητέον ὡς τοῦ Θεοῦ, εἰ βούλοιτο, δυναμένου ποιῆσαι τὰ παραπλήσια. Τὸ δὲ *σκότος* καὶ ποιήσαντες [c] ἐν τῇ συντελείᾳ τῶν ὅλων, ἐν ᾗ καὶ τὸ πᾶν ἀφανισθήσεται, τῶν βίων πρὸς ἀξίαν εὐθυνομένων. Καὶ ἐπὶ τῆς πρώτης δὲ παρουσίας *ἀπειληθεῖσα* πρὸς αὐτοῦ ἡσύχασε *θάλαττα*, καὶ ἀόρατοι δυνάμεις εἶξαν ἐπιτάγματι διωκόμεναι. Ἅπερ ἐχρῆν Ἰουδαίους ὁρῶντας, μὴ ἀμφισβητεῖν ὅτι οὐκ ἂν ἔπαθεν, εἴπερ ἠβούλετο· καὶ ὅτι σῶσαι δύναται τὴν ὑπ' οὐρανὸν, εἰ καὶ γέγονεν ἄνθρωπος· καὶ μὴ τὸ φαινόμενον ὁρῶντας λέγειν, « Περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, ὅτι σὺ ἄνθρωπος ὢν, ποιεῖς σεαυτὸν Θεόν· » δέον μαθεῖν, ὡς αὐτὸς ὁ λαλῶν πάρειμι, ὁ τὰ πάλαι θαυματουργήσας, ἃ δηλοῖ καὶ Δαβὶδ λέγων· « Τί ἐστί σοι, θάλασσα, ὅτι ἔφυγες; καὶ σὺ, Ἰορδάνη, ὅτι ἀνεχώρησας εἰς τὰ ὀπίσω; » καὶ πάλιν· « Ἴδοσάν σε ὕδατα, ὁ Θεὸς, [d] ἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν. » Καὶ περὶ τοῦ Ἰορδάνου πάλιν· « Σὺ ἐξήρανας ποταμοὺς Ἠθὰμ, » τοῦτ' ἔστι τοὺς ἐν τῷ νότῳ. Εἰ μὴ ἆρα τις καὶ διὰ τούτων *θάλασσαν* μὲν *ξηραινομένην*, τὰ πλήθη τῶν ἀσεβῶν ἐθνῶν αἰνίττεσθαι φήσειεν, *ποταμοὺς* δὲ *ἐρήμους*, τοὺς πάλαι κατασύροντας εἰς εἰδωλολατρείαν λόγους· *ἰχθύας* δὲ τούτων ἀπολλυμένους, τὰς ἐρπούσας ἐν ταῖς τῶν ἀθέων ψυχαῖς δυνάμεις πονηράς, ἔνθα καὶ ὁ δράκων διατρίβειν ἐῤῥέθη, κατὰ τὸ, « Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, » καὶ τὰ μετὰ ταῦτα.

Digitized by Google

Τούτοις δὲ τοῖς *τῆς θαλάττης ἰχθύσι* καὶ ἑρπετοῖς ὁ λόγος ἀπειλεῖ *σκότους*, οὐ φωτὸς πλήρη θήσειν τὸν οὐρανόν· εἴποις δ' ἂν πάλιν *θάλασσαν* μὲν, τὴν τῶν Ἰουδαίων πολυπληθείαν· ποταμοὺς δὲ, τοὺς πρότερον αὐτοῖς λόγους χορηγουμένους· ἰχθύας δὲ, τοὺς μαθητευομένους ταῖς Ἰουδαϊκαῖς παραδόσεσιν· ὧν δὴ προλέγει πάντων ἀφανισμὸν, καὶ τὸ πᾶσι *σκότος* ἐπιπολάσαν, οὐκ *οὐρανοῦ* σκοτισθέντος, ἀλλ' αὐτοῖς ἐκείνοις ἐπιπολάσαν [r] ὥσπερ σκοτώδους καλύμματος. Διὸ οὐ ποιήσειν ἔφη, ἀλλ' *ἐνδυσιν* [r], ὑποδραμόντος δηλαδὴ *τοῦ σκότους* κατὰ τῶν ἀναξίων φωτός. Ὁ δὲ *σάκκος*, πένθους σύμβολον, διὰ τὸ καὶ τὰς οὐρανίους δυνάμεις πενθεῖν αὐτῶν τὴν ἀπώλειαν. Δυνάμενος οὖν, φησὶ, μὴ παθεῖν, τὸ σῶμά μου τῷ πάθει παρέδωκα. Τοῦτο γὰρ ἐδόκει μου τῷ Πατέρι. Διὸ καὶ κατηγορούμενος ἐσιώπων, ὑπήκοος αὐτῷ μέχρι θανάτου γινόμενος, εἰδὼς ὡς ἔσται μοί ποτε καιρὸς καθ' ὃν οὐκ ἔτι σιγήσομαι *γλῶσσαν* λαβὼν παρὰ τοῦ Πατέρος ἐν καιρῷ *λέγειν* ἐπισταμένην· ὅτε μου πανταχοῦ τῆς Ἐκκλησίας καθιδρυμένης, διὰ τῶν ἐμῶν βοήσομαι μαθητῶν πᾶσιν ἔθνεσιν τὸν ἐμαυτοῦ γνωρίζων Πατέρα, αὐτοῦ μοι χαριζομένου καὶ *ὦτα ἀκουστικὰ*, τῆς ἐμῆς συνιέντα διδασκαλίας τὸν νοῦν, κατὰ τὸ, « Καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ, » ἅπερ *ταῖς ἐωθιναῖς ὥραις* προσεδρεύοντα, *παιδεύσεως* τῆς ἐμῆς μεταλήψεται. Ὁ δὲ Σύμμαχος, *Ἔθηκέ μοι πρωΐ* γύρῳ φησίν [t]. Ὁ δὲ Ἀκύλας, *Ἐν πρωΐ ἐξεγερεῖ μοι ὠτίον τοῦ ἀκούειν*. Οὗτοι γὰρ μοι ἀνθ' ὑμῶν τῶν μὴ ἀκουσάντων γενήσονται, προσεδρευόντων ἀεὶ ταῖς τοῦ νόμου σκιαῖς. Ἐκεῖνοι δὲ τοὺς τύπους εἰς ἀλήθειαν πνευματικῆς θεωρίας ἐκδέξονται, ὑμῶν παρακουσάντων μου λέγοντος· « Ἐρευνᾶτε τὰς Γραφὰς, ὅτι ἐν αὐταῖς δοκεῖτε ζωὴν αἰώνιον ἔχειν, καὶ αὐταί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ, καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν ἔχητε. » Γράφει δὲ καὶ ὁ θεῖος Ἀπόστολος, « Ὅτι ἡνίκα ἀναγινώσκηται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. »

Τινὲς δὲ ὡς ἀπὸ τῶν μαθητῶν εἰρῆσθαι τοῦτό φασι, λαλούντων ἑκάστῳ τὰ πρόσφορα καὶ κατάλληλα· οἳ καὶ *τεθεῖσθαι*, φασὶν, *ἑαυτοῖς* [u] *καὶ πρωΐ*, τοῦτ' ἔστιν εἰς νοῦν καὶ καρδίαν ἡμέρας διαύγασμα, καὶ νοητοῦ φωτὸς ἔλλαμψιν. Καὶ Παῦλος γὰρ εὐχαριστεῖ τῷ Θεῷ λέγων, ὅτι « Ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ ἐν τῷ φωτί. » Τινὲς καὶ ὡς ἀπὸ τοῦ προφήτου δυνατὸν τὸ παρὸν ἔφασαν λελέχθαι ῥητόν. Εὐαγγελισαμένου γὰρ αὐτοῦ τὴν αὐτῶν τε, καὶ τῶν ἐθνῶν σωτηρίαν, καὶ τοῦ Σωτῆρος τὴν ἄφιξιν, καὶ τοῦ κόσμου τὴν συντέλειαν, πόθεν τούτῳ ταῦτα λέγειν [v] ἠπόρουν καθ' ἑαυτούς. Ὁ δέ φησιν· Οὐκ ἐμὸς ὁ λόγος, ὁ χορηγῶν δὲ Χριστὸς, ὃς τοῖς ἑαυτοῦ δίδωσι καιρόν τε *λόγου* καὶ σύνεσιν πρὸς τὸ νοεῖν. Οὐκ ἀθετῶ

A Istos porro *pisces marinos* et serpentes non luce, sed tenebris cœlum referturos esse oratio minitatur. Intelligas vero et *maris* quidem nomine, ingentem Judæorum multitudinem, per fluvios autem, eos ipsos, qui prius illis rationes suppeditarunt; per pisces denique, eos qui Judæorum traditiones docentibus aliis didicerunt: quos omnes interituros prædicit, foreque, ut *tenebræ* in omnes non obscurato quidem *cælo*, sed veluti tenebroso velamine aliquo objecto diffundantur. Atque inde est, quod non facturum se, sed *induturum* dixit, ut eos videlicet, qui luce indigni sunt, *tenebræ* invadant. Est vero *saccus* luctus indicium et signum, ut eorum interitum ipsas etiam cœlorum virtutes lugere significetur. Cum possem igitur non mori, inquit, B corpus ipse meum morti tradidi. Ita enim Patri meo visum est. Itaque etiam cum accusarer, tacebam, eidem ad mortem usque morem gerens; nec dubitans fore mihi tempus aliquando, quo *lingua* a Patre accepta, quæ *loquendi* tempestivitatem calleret, mihi amplius tacendum non esset quando nimirum stabilita ubique Ecclesia, per meos ipse discipulos gentibus omnibus Patrem meum prædicans clamabo, mihique item *audire valentes aures*, id est disciplinæ meæ capaces animas, juxta illud: « Et erunt omnes docibiles Deo [84], » largietur: quæ *matutinis horis* attentæ *disciplinam* meam assequentur. Verum quod *Addidit mihi mane scientiam*, habet Symmachus, *Mane excitavit mihi aurem ad audiendum*, dixit Aquilas. Ili siquidem mihi in locum ve- C strum venturi sunt, qui me non audistis; sed legis umbræ semper adhæsistis. At illi figuras in spiritualis contemplationis veritatem excipient, aversantibus vobis qui me noluistis audire ita provocantem: « Scrutamini Scripturas, quoniam in ipsis putatis vitam perpetuam habere, et ipsæ sunt, quæ testimonium perhibent de me, neque vultis venire ad me, ut vitam habeatis [85]. » Scribit vero et beatus **574** Paulus: « Cum legitur Moses, velamen super cor eorum positum est [86]. »

Non desunt autem, qui ex discipulorum persona istud accipiant; tanquam unicuique utilia et congrua loqui se dicant; *maneque se esse additos*, id est, mentibus et cordibus ipsis divinum splendorem et lucis intelligibilis coruscationem accepisse. D Paulum enim etiam Deo gratias agere legimus [87], quod se de tenebrarum potestate ereptum in regnum dilecti Filii sui ad lucem transtulerit. Nonnulli rursum tanquam a propheta verba ista sumi posse dixerunt. Cum enim suam illis et gentium salutem, Salvatorisque adventum, mundi denique consummationem nuntiaret, undenam ista afferret apud se dubitabant. At ille: Non meus, inquit, sed Christi suppeditantis, sermo est, qui suis *loquendi* sapiendique tempus largitur. Non gratiam igitur

[84] Isa. LIV, 13. Joan. VI, 45. [85] Joan. V, 39, 40. [86] II Cor. III, 15. [87] Coloss. I, 11, 12.

VARIÆ LECTIONES.

[r] al. τὸ ἐπιπολάσαν. [s] γρ. ἐνδύσειν. [t] γρ. γνῶσιν. [u] ἑαυτούς. [v] γρ. λέγει.

Digitized by Google

everto, qui ejusdem prædicationi subservio ; quique nomine ipsius omnia tolerare paratus sum. Etiam si me, inquit, cæditis ; si *conspuatis*, ejus auxilii spem nunquam abjecero, qua potitus semel, justumque consequendi exspectatione sustentatus vobis ipse contradicere non valentibus resistam.

Sed ad Christum revertamur, qui vocatos quidem Judæos audire noluisse ; se autem Patri cuncta in eo instaurare et recolligere statuenti *non repugnasse* testatur : qui, dum se evacuaret, turpissima quæque passus nihil in quo Patri obediret sibi quidquam dedecoris allaturum arbitratus est : Non *flagellante Pilato ;* non *servo colaphum impingente ;* non in se denique *conspuentibus* aliis, qui *faciem suam tanquam firmam petram posuerat.* Ea enim id virtute gestum est, per quam patienter tulit ; quoniam e cœlo descenderat, non ut suæ, sed ut ejus, a quo missus est, voluntati pareret ; qui sibi humanæque tenuitati auxiliatus est. Significat vero ei se etiam opem tulisse, quia de iis, a quibus injuriam patiebatur, pœnas sumpserit ; quas propter celeritatem juxta esse, seque a Deo *justificari* significat. *Justum* enim, et qui nullis adversum se malis causam præbuerat, interimere ausi sunt : quorum ego cum injuriam **575** ulciscor, nulli me crimini, inquit, obnoxium esse testatus est. Indeque ait Pater : « Et dabo malos pro sepultura ejus : et divites pro morte ipsius [88]. » Divitiarum enim cupiditate inflammati Judæorum duces, suam in eum malitiam converterunt. Ipsum enim conspicati, dixerunt : « Hic est hæres, venite ; interficiamus ipsum [89]. »

Quod si sit aliquis, qui me justa passum esse arbitretur, *Accedat* jam, ut rationes meas improbet. Sed certe non poterit. Et alicubi enim inquit propheta : « Videte ut justus periit, neque id quisquam corde excipit [90]. » Apud eumdem et Judæos ita loquentes reperias : Ligemus justum, quia inutilis est nobis [91]. » Nec immerito justum appellavit, qui peccatum non admisit, et in cujus ore dolus nullus repertus est [92]. Quod autem *quis secum litigaturus sit*, quærit, ei dissimile non fuerit, quo quis se de peccato esset arguiturus postulavit. In omnibus enim idem plane nobiscum fuit, si peccatum excipias. Itaque dicebat : « Venit princeps mundi hujus, et in me non inveniet quidquam [93]. » Est vero illud : *Quis est, qui litiget mecum ?* perfecti et inculpati viri signum ; quem ita nihil movet, apud homines judicium, ut ab istis etiam condemnatus taceat ; adversarios autem ad illud, quod apud Deum agitur, vocet. At eo ipso, quod *quis se læsurus sit*, quærit, vitæ se esse auctorem demonstrat, vanasque eorum fuisse insidias, qui, ut est in Psalmis : « Inierunt consilium, quod stabilire non poterunt [94]. » Qui enim, vita cum

A τοίνυν τὴν χάριν ὑπηρετῶν αὐτοῦ τῷ κηρύγματι, πάντα τε παθεῖν ἕτοιμός εἰμι δι' αὐτόν. Κἂν τύπτητέ με, φησὶ, κἂν ἐμπτύητε, τὴν παρ' αὐτοῦ βοήθειαν ἐλπίζων [x], ἣν εὑράμενος, καὶ τοῦ δικαίου τεύξασθαι προσδοκῶν, ἀντιστήσομαι ὑμῖν ἀντιλέγειν μὴ δυναμένοις.

Ἀλλ' ἐπὶ τὸν Χριστὸν ἐπανέλθωμεν, ὃς φησιν Ἰουδαίοις· Ὡς ὑμεῖς μὲν καλούμενοι παρηκούσατε, ἐγὼ δὲ *οὐκ ἀπειθῶ* τῷ Πατέρι πάντα ἐν ἐμοὶ βουληθέντι ἀνακεφαλαιώσασθαι. Κενώσας δὲ ἐμαυτὸν, τὰ πάντων αἴσχιστα πέπονθα, εἰδὼς μὴ φέρειν μοι αἰσχύνην τῷ [y] πειθαρχεῖν τῷ Πατέρι. *Πιλάτου* μὲν *μαστιγώσαντος*, *τῶν* δὲ *ὑπηρετῶν* ἑνός με *ῥαπίσαντος*, ἄλλων δέ μου *καταπτυόντων*, *ὡς στερεὰν πέτραν τὸ πρόσωπόν μου τιθείς*. Δυνάμεως γὰρ ἦν τὸ πρᾶγμα, δι' ἣν ἐκαρτέρουν· ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. Αὐτὸς γάρ μου καὶ τοῖς ἀνθρωπίνοις ἐβοήθησε μέτροις. Δηλοῖ δὲ καὶ ὡς ἐπήμυνεν αὐτῷ, δίκην ἐπιθεὶς τοῖς ὑβρίσασιν, ἣν καὶ διὰ τάχος ἐγγίζειν φησὶ, *δικαιώσαντος* αὐτὸν τοῦ Πατέρος. *Δίκαιον* γὰρ ὄντα, καὶ καθ' ἑαυτοῦ μὴ δόντα λαβάς, ἀποκτείνειν ἐτόλμησαν. Ἀνθ' ὧν αὐτοὺς κολάσας, ἀνυπεύθυνον ὑπάρχειν ἐμὲ μεμαρτύρηκεν. Διό φησιν ὁ Πατήρ· « Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. » Φιλόπλουτοι γὰρ γεγονότες οἱ τῶν Ἰουδαίων καθηγηταὶ, πρὸς τὴν κατ' αὐτοῦ πονηρίαν ἐτράποντο. Καὶ γὰρ εἰδότες αὐτὸν ἔφασκον· « Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτόν. »

B

C

Εἰ δὲ νομίζει τις δικαίως με πεπονθέναι, *παρέστω* πρὸς ἔλεγχον. Ἀλλ' οὐ δυνήσεται. Καὶ ἀλλαχοῦ γὰρ ὁ προφήτης φησίν· « Ἴδετε ὡς δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ. » Παρ' ᾧ καὶ Ἰουδαῖοί φασι· « Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν. » Εἰκότως δίκαιον, « Οὐ γὰρ ἐποίησεν ἁμαρτίαν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. » Τῷ δὲ, *Τίς ὁ κρινόμενός μοι ;* ἔοικε τὸ, « Τίς ἐλέγξει με περὶ ἁμαρτίας ; » κατὰ πάντα γὰρ ἡμῖν πλὴν ἁμαρτίας, ὡμοίωται. Διόπερ ἔλεγεν· « Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρήσει οὐδέν. » Ἀνδρὸς δὲ τελείου χαρακτὴρ, τὸ, *Τίς ὁ κρινόμενός μοι ;* ᾧ μηδὲν ἡ παρ' ἀνθρώποις κρίσις, ὡς σιγᾷν μὲν ὑπ' αὐτῶν καταδικαζόμενον, καλεῖν δὲ πρὸς τὴν παρὰ Θεῷ κρίσιν τοὺς ἐναντίους. Τὸ δὲ, *τίς κακώσει με ;* ἐμφαίνει τὸν ἀρχηγὸν τῆς ζωῆς. Οὐκοῦν εἰς μάτην ἡ τούτων ἐπιβουλὴ, κατὰ τὸ ἐν ψαλμοῖς· « Ἐβουλεύσαντο βουλὴν, ἣν οὐ μὴ δύνωνται στῆσαι. » Πῶς γὰρ, ὢν ζωὴ, θανάτῳ κατείχετο ; καθὸ δὲ γέγονεν ἄνθρωπος, δοκεῖ τοῦτο δέχεσθαι παρὰ τοῦ Πατέρος. Ὡς γὰρ Θεὸς, ἤγειρεν ἑαυτὸν λέγων· « Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. » Ἐφ' οἷς φησι πρὸς αὐτούς· *Ἰδοὺ πάντες ὑμεῖς*

[88] Isa. LIII, 9. [89] Matth. XXI, 38. [90] Isa. LVII, 1. [91] Sap. II, 12. [92] Isa. LIII, 7 ; I Petr. II, 22. [93] Joan. XIV, 30. [94] Psal. XX, 12.

VARIÆ LECTIONES.

[x] γρ. ἐλπίζω. [y] γρ. τό.

Digitized by Google

ὡς ἱμάτιον, παλαιωθήσεσθε, καὶ σὴς καταφάγεται ὑμᾶς. Ἡ σὐρὼς, κατὰ Σύμμαχον· ἢ ῥωτὴρ, ὡς Ἀκύλας. Δι' ὧν σημαίνει τὴν παλαίωσιν τῆς κατ' αὐτοῦ σωματικῆς λατρείας. Πᾶν γὰρ τὸ παλαιούμενον καὶ γηράσκον, ἐγγὺς ἀφανισμοῦ. Σῆτα δὲ λέγει καταβιβρώσκοντα, τὴν συνείδησιν ὧν τετολμήκασιν, ὁρῶντες τὴν ἐαυτῶν μὲν ἀποβολὴν, τὴν ἐπιστροφὴν δὲ τὴν ἐπὶ Θεὸν τῶν ἐθνῶν. Διὸ καὶ πρὸς τῷ τέλει τῆς βίβλου φησίν· « Ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὄνειδος πάσῃ τῇ γῇ. »

A sit, mortis legibus teneatur? Quatenus vero hoc fuit, hoc ipsum videtur a Patre accepisse. Se enim tanquam Deus ipse suscitavit, qui dixit: « Solvite templum hoc, et tribus diebus ipsum excitabo [95]. » Eosdem deinceps verbis istis alloquitur: *Ecce, omnes vos, quasi vestimentum veterascetis, et tinea comedet vos*; sive *rubigo*, ut interpretatur Symmachus, sive *vermis*, ut Aquilas. Quibus verbis corporalis ejus cultus antiquationem instare demonstravit. Parum enim distat ab interitu quidquid senium vetustatemque patitur. *Tineæ* porro depascentis nomine, eorum, quæ admiserunt, conscientiam **576** intelligit, cum ipsi se rejici, gentes autem ad Deum converti intuebuntur. Atque hinc est quod extremo prophetæ libro scribitur: « Vermis eorum non morietur, et ignis non exstinguetur, et erunt in probrum universæ terræ [96]. »

Λέγοι δ' ἂν σῆτα καὶ τὰς ἁμαρτίας αὐτῶν. Ἐξ αὐτῶν γὰρ ἔχουσι τὸ εἶναι, κατ' αὐτῶν τὴν βλάβην ἐργάζονται. Ἐπεὶ καὶ τὸ ἱμάτιον τροφὴ γίνεται ὥπερ ἐγέννησε σκώληκι. Λογισμὸς δὲ οὗτος πρὸς τὸ μὴ φοβεῖσθαι τὰ ἐξ ἀνθρώπων τῶν ἀπολυμένων, καὶ ἔνδειξις τῆς τοῦ λέγοντος ἀφθαρσίας. Δηλοῖ δὲ καὶ τὴν κατ' αὐτῶν τιμωρίαν καὶ σητῶν αὐτοὺς δίκην ἐκδαπανῶσαν ταῖς συμφοραῖς. Καὶ ἀλλαχοῦ γὰρ ὁ προφήτης φησί· « Τί ἔτι πληγήσεσθε προστιθέντες ἁμαρτίας; Πᾶσα κεφαλὴ εἰς πόνον, » καὶ τὰ ἑξῆς. Δι' ὧν αὐτῶν δηλοῖ τὴν ἀπώλειαν, καὶ χώρας ἀλλοτρίωσιν, καὶ πόλεως ἐμπρησμόν. Εἶτά φησι, *Τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον;* τὴν ἀπορίαν τούτων δηλῶν, καὶ τὸ σπάνιον. [Τοῦτο, ἢ τοιοῦτόν τι] δὲ ζητεῖ ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν αὐτοῦ. Διό φησιν· Ἔτι καὶ νῦν ὑμᾶς ἀνακαλοῦμαι ἐν τῷ τῆς ἀγνοίας *σκότῳ* τυγχάνοντας· καὶ τοῖς ἐπιεικέσι προτείνει φιλανθρωπίαν. Ἐσώθη γὰρ τὸ κατάλειμμα, οὗ καὶ ἀπαρχὴ τοῦ Σωτῆρος οἱ μαθηταί. Καὶ ἄνθρωπος δὲ γεγονὼς, *παῖς* εἶναί φησι τοῦ Θεοῦ. Καὶ τὸ *ἀκοῦσαι τῆς αὐτοῦ φωνῆς*, οὐ νόμου παράβασις ἦν, ἀλλὰ μᾶλλον βεβαίωσις, σκιαγραφήσαντος τὴν ἀλήθειαν, κατὰ τὸν Ἀπόστολον λέγοντα· Νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο. Ἀλλὰ νόμον ἱστάνομεν. Γέγραπται γὰρ ὅτι ὁ δίκαιός μου ἐκ πίστεως ζήσεται. Πέρας γὰρ νόμου καὶ προφητῶν ὁ Χριστὸς δικαιῶν ἐν πίστει τὸν ἀσεβῆ. Τοῖς δὲ νῦν καλουμένοις ἔλεγεν ὁ Πατήρ· « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἀκούετε αὐτοῦ. » Τινὲς δὲ ἄμεινόν φασιν, ὡς τὸν θεοσεβεῖν δοκοῦντα παρ' Ἰουδαίοις ἀνακαλεῖ πρὸς μετάνοιαν, καὶ ὡς μηδενὸς πειθομένου, *ἐν σκότῳ* φησὶν ὑπάρχειν αὐτοὺς καὶ *φωτὸς* ἐστερῆσθαι. Τοῦτο δὲ τοῖς ἀποστόλοις οὐχ ἥρμοττεν, οὐδὲ τὸ *πῦρ* σωρεύειν καθ' ἑαυτῶν, *καὶ κατισχύειν τὴν φλόγα*. Ἐπιμένοντας δέ φησιν, ὑμᾶς τῇ ἀπιστίᾳ τὸ τῆς αἰωνίου κολάσεως ἐκδέχεται *πῦρ*· οἷς παραινεῖ * πρότερον ἐπὶ τῷ *Κυρίῳ πεποιθέναι*, Θεὸν ἑαυτὸν εἶναι λέγων, καὶ ταπεινῆς

Porro depascentis nomine, eorum, quæ admiserunt, conscientiam **576** intelligit, cum ipsi se rejici, gentes autem ad Deum converti intuebuntur. Atque hinc est quod extremo prophetæ libro scribitur: « Vermis eorum non morietur, et ignis non exstinguetur, et erunt in probrum universæ terræ [96]. »

B Dicas fortasse et *tineam* eorum peccata eo ipso significare, quod in eosdem a quibus orta sunt, perniciem moliuntur: non aliter quam vermi ipsi, a qua editus est, in cibum vestem abire cernimus. Ad id autem et isthæc consideratio contulerit, ut hominum, qui petunt, non quam metuendos esse conatus, sed ejus, qui loquitur, incorruptionem immortalitatemque meminerimus. Ostendit vero et eos calamitatibus in ultionem, tanquam *tineis* absumi. Nam et alicubi apud prophetam legimus: «Quid adhuc perentiamini addentes peccata? Omne caput in laborem [97], » et quæ deinceps: quibus eorum interitum, regionisque alienationem, urbis incendium denique significavit. Deinde adjicit: *Quis est in vobis, qui timet Dominum?* nimirum, ut C talium penuriam paucitatemque demonstret. Id autem ille postulat, peccatoris pœnitentiam, non mortem desiderat [98]. Itaque ait etiam, nunc vos in ignorationis *tenebris* versantes iterum atque iterum voco. Iis deinde, qui frugi sunt, et mansueti, humanitatem protendit. Sunt enim servatæ reliquiæ, quarum primitiæ ipsi fuerunt Salvatoris discipuli. Deinde ut homo, *puer* Dei dicitur: Et quod de *ejus voce audienda* additur, legis est confirmatio, non transgressio quæ veritatem adumbrabat: juxta Apostolum, ubi ait: « Legem igitur destruimus? Absit. Imo stabilimus. Scribitur enim: Justus meus ex fide vivit. Est enim Christus legis et prophetarum finis ultimus, qui impium ex fide justificat [99]. » D Eis autem, qui nunc vocantur, sic Patrem allocutum esse reperias, « Hic est Filius meus dilectus, ipsum audite [1]. » Aiunt nonnulli eum potius, qui pius esse videtur apud Judæos, ad pœnitentiam provocare, nulloque persuaso *in tenebris* eos versari, *luceque* destitui significare: quod discipulis nequaquam convenerit, ut neque *ignem* adversum se acervare, *flammamque obfirmare*. Quod si increduli, inquit, **577** esse perrexeritis, vos sempiternæ vindictæ *ignis* excipiat necesse est; quo prius,

[95] Joan. II, 19. [96] Isa. LXVI, 24. [97] Isa. I, v. [98] Ezech. XVIII, 23. [99] Rom. X, 4. [1] Matth. III, 17; XVII, 5.

VARIÆ LECTIONES.

* *Isa.* παρῄνει.

Digitized by Google

ut *Domino confiderent* admonebat, cum Deum se prædicans, ab humilique de se cogitatione, quia carnem gereret, avocans, virgam se et fulcimentum factum esse assereret.

Neque enim credere valeant, qui gloriam a se mutuo, non a Deo, qui virga dictus est, quærant, omnia siquidem, ut bene sint sustinet : juxta illud : « Virga tua et baculus tuus ipsa me consolata sunt [a]. » Est enim inconstans et lubrica natura, egetque potentiori ad retinendum aliquo : quo potitus qui justus est, supra petram sibi statutos esse pedes affirmat [b]. Cæterum versari *in tenebris* Judæos et Paulus ipse ostendit, cum hujus sæculi Deum mentes infidelium excæcasse dicit [c]. Et Isaias, cum lucem illis exspectantibus factas esse tenebras. Hinc et illa Christi : « Ego sum lux mundi [d], » et quæ deinceps. Et illa etiam : « Qui credit in me non judicatur [e] : ut eos ab ignis vindicta avocaret. Cæterum quod *obfirmate ignem* dixit; judicii acerbitatem vehementiamque demonstravit. Multa siquidem ignis suggesta materia adaugetur; parva autem elanguescit; et consumpta exstinguitur. Judæi itaque prophetis, qui ad se missi essent, partim ferro, partim lapidibus interemptis, *ignem* in se *accenderunt, flammamque obfirmarunt;* cum sublato hærede, Christi disciplinam, legis umbris addicti, non admiserunt. Eos itaque, tanquam se legis quidem *lucem* habere putarent, vere tamen non haberent, a sua ipse arcet familiaritate et consuetudine; cum *in lumine ignis* proprii, *et in flamma, quam succenderunt*, jubet ambulare. Neque vero illatæ ipsos in Christum injuriæ pœnas luisse ignorari patitur; cum *propter se isthæc illis facta esse, et in mœrore dormituros* subjicit : quibus agrorum vastitatem, urbisque direptionem, templi denique incendium demonstrat. *Dormierunt* vero etiam *in mœrore;* vel, ut ait Symmachus, *in dolore;* vel, ut Aquilas, *in defatigationem*. Neque enim qui facta per Christum redemptione indigni **578** sunt, ipsa præmiorum spe, non spiritus oblectatione fruentur; sed pœnarum dolorisque metu *dormientes* cruciabuntur.

Οὐ γὰρ ἠδύναντο πιστεύειν δόξαν παρ' ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ Θεοῦ οὐ ζητοῦντες, ὃς εἴρηται ῥάβδος. Ἀνέχει γὰρ πάντα πρὸς τὸ εἶναι καλῶς κατὰ τό· « Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὐταί με παρεκάλεσαν. » Ὀλισθηρὰ γὰρ ἡ φύσις, καὶ δεῖται τοῦ περικρατοῦντος. Οὗ τυχὼν ὁ δίκαιος λέγει· « Ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου. » Ἐν σκότῳ δὲ εἶναι τοὺς Ἰουδαίους καὶ ὁ Παῦλος δηλῶν, « Ὁ Θεὸς τοῦ αἰῶνος τούτου, φησὶν, ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων. » Καὶ Ἡσαΐας φησίν· « Ὑπομεινάντων αὐτῶν φῶς, ἐγένετο αὐτοῖς σκότος. » Διὸ Χριστὸς ἔλεγεν· « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, » καὶ τὰ ἑξῆς. Καὶ τοῦ τῆς κολάσεως; δὲ πυρὸς ἀποτρέπων αὐτοὺς ἔλεγεν· « Ὁ πιστεύων εἰς τὸν Υἱὸν, οὐ κρίνεται. » Ἐπίτασιν δὲ παρίστησι κρίσεως τὸ, Κατισχύετε φλόγα. Ὕλης μὲν γὰρ πολλῆς προσαγομένης, *αὔξει τὸ πῦρ*· ὀλίγης δὲ, ἀτονεῖ· δαπανηθείσης δὲ, σβέννυται. Ἰουδαῖοι τοίνυν πῦρ καθ' ἑαυτῶν ἔκαυσαν, ἀποκτείναντες τοὺς προφήτας, καὶ λιθοβολήσαντες τοὺς ἀπεσταλμένους. *Κατίσχυσαν* δὲ τὴν *ἑαυτῶν φλόγα*, τὸν κληρονόμον ἀπεκτονότες, οἳ τὴν διὰ Χριστοῦ παίδευσιν οὐκ ἐδέξαντο, ταῖς τοῦ νόμου σκιαῖς ἐπιμείναντες. Διόπερ ὡς φῶς μὲν ἔχειν οἰομένους τὸ νομικὸν, οὐ μὴν ἔχοντας ἀληθῶς, τῆς πρὸς αὐτὸν οἰκειότητος ἀποπέμπεται λέγων· *Πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογὶ, ᾗ ἐξεκαύσατε.* Ὅτι δὲ τῆς εἰς Χριστὸν παροινίας ἔτισαν δίκας, παρίστησιν ἐπάγων· *Δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν· ἐν λύπῃ κοιμηθήσεσθε.* Ταῦτα δὲ λέγει πόρθησιν χώρας, πόλεως ἅλωσιν, ἐμπρησμὸν τοῦ νεῶ. *Ἐκοιμήθησαν* δὲ καὶ *ἐλύπη* [a], ἢ καὶ *ἐν ὀδύνῃ*, κατὰ Σύμμαχον· ἢ κατὰ τὸν Ἀκύλαν, εἰς *διαπόνησιν*. Τὴν διὰ Χριστοῦ γὰρ λύτρωσιν οὐκ ἀξιωθέντες λαβεῖν, οὐκ ἐν ἐλπίδι γερῶν, καὶ θυμηδίᾳ πνευματικῇ, ἀλλ' ἐν φόβῳ κολάσεων, καὶ λύπῃ τῇ δι' αὐτὰς ὀδυνώμενοι *κοιμηθήσονται.*

CAP. LI.

VERS. 1-3. *Audite me, qui persequimini quod justum est, et qui quæritis Dominum. Intuemini in solidam petram, quam excidistis, et in foveam lacus, quam effodistis. Intuemini in Abraham patrem vestrum, et in Sarram, quæ peperit vos*, etc.

Sed ista ne vos pati contingat, etiam nunc hortari, et ad resipiscentiam provocare non desino; qui, simulato quidem in Deum cultu, contraria autem ejusdem voluntati faciendo, dum *quod justum est persequimini*, veritatem vobis inimicam exsistere putatis. Placet vero nonnullis, eos, qui fidem, Christumque justitiam quærunt, prophetam allo-

ΚΕΦΑΛ. ΝΑ'.

α'-γ'. *Ἀκούσατέ μου, οἱ διώκοντες τὸ δίκαιον, καὶ ζητοῦντες τὸν Κύριον. Ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν, ἣν ἐλατομήσατε, καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου, ὃν ὠρύξατε. Ἐμβλέψατε εἰς Ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς Σάρραν τὴν ὠδίνουσαν ὑμᾶς*, κ. τ. λ.

Ἀλλ' ἵνα μὴ ταῦτα πάθητε, καὶ νῦν ἔτι παραινῶ τὴν μετάνοιαν, ὦ ἄνδρες, ὑμῖν, οἱ προσποιούμενοι μὲν τὸν Κύριον τιμᾷν, ἐναντία δὲ πράττοντες τῇ τοῦ Κυρίου βουλῇ, τῷ *τὸ δίκαιον ἐλαύνειν*, ἡγεῖσθαί [b] τε δυσμενῆ τὴν ἀλήθειαν. Τινὲς δέ φασιν ὡς προσφωνεῖ τοῖς πιστεύουσι καὶ ζητοῦσι Χριστὸν τὴν δικαιοσύνην, καὶ ὡς ἀλλοτρίους τῶν Ἰουδαίων τούτους καλεῖ. **Πάντας**

[a] Psal. xxii, iv. [b] Psal. xxxix, 3. [c] II Cor. iv, 4. [d] II Cor. viii, 12. [e] Joan. iii, 18.

VARIÆ LECTIONES.

[a] γρ. ἐν λύπῃ. [b] γρ. ἡγεῖσθε.

Digitized by Google

γὰρ προεῖπε πῦρ καίειν, ἐν ᾧ καὶ κατεκαύθησαν οἳ διώκουσι *τὸ δίκαιον*, οὐχ ὡς *ἐλαύνοντες*, ἀλλ' ὡς ἐπ' αὐτὸ τρέχοντες, ἵνα καταλάβωσιν, ὡς τό· « Ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. » Ὀλιγοστοὶ μὲν γὰρ οὗτοι· προβήσονται δὲ εἰς ἄμετρον πλῆθος τῶν ἐθνῶν προστιθεμένων τοῖς ἐκ περιτομῆς ὃ καὶ παρίστησι *παράδειγμα τὸν Ἀβραὰμ* καὶ *τὴν Σάρραν* [c]. Τινὲς δὲ πρὸς τοὺς ἀπίστους εἰρῆσθαι τὸν λόγον, ὡς προεῖπομεν, λέγοντες, φασὶν ὡς ἀντὶ τοῦ, *καὶ εἰς τὸν βόθυνον*, ὁ Σύμμαχος, *εἰς τὴν τρυμαλιάν*· ὁ δὲ Ἀκύλας, *πρὸς ἐκκοπὴν*, ἐκδεδώκασιν· αἰνιττομένου τοῦ λόγου τὴν σῶμα τοῦ Κυρίου δεξαμένην πέτραν, *ἣν ὄρυξεν* Ἰωσήφ. Εἶτα μετέβη ἐπὶ τὸ παράδειγμα *τοῦ Ἀβραὰμ, καὶ τῆς Σάρρας*, οἳ δίκην πέτρας ἄκαρποι καὶ ἄγονοι γεγονότες, πολλῶν ἐθνῶν *πατέρες* ἐγένοντο διὰ πίστεως, ὡς ὁ Παῦλός φησι· « Κατενόησε τὸ ἑαυτοῦ σῶμα ἤδη νενεκρωμένον, » καὶ τὰ ἐπὶ τούτῳ. *Ἐξ ἑνὸς* οὖν, *τοῦ Ἀβραὰμ καὶ τῆς Σάρρας* (*εἰς* γὰρ ἄμφω, κατὰ τό· Ἔσονται οἱ δύο εἰς σάρκα μίαν) ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει συνέστησαν· διό φησιν, *Εἷς ἦν, καὶ ἐκάλεσα αὐτόν*. Ὥσπερ οὖν ἐπὶ τοῦ *Ἀβραὰμ* οὕτω πεποίηκα· οὕτω μὴ ἀπογινώσκετε, ὡς καὶ ἀπὸ τῆς *πέτρας* ταύτης, *ἣν ὑμεῖς ἐλατομήσατε*, ἔσται τις ἐλπὶς σωτηρίας πᾶσιν ἀνθρώποις. Ἀλλὰ καὶ *πέτρα* κατὰ Παῦλον ἦν ὁ Χριστὸς, ἣν ἐν τῷ πάθει διώρυξαν, κατὰ τό· « Ὤρυξαν χεῖράς μου καὶ πόδας μου. » *Βόθυνον* δὲ τὴν τρωθεῖσαν πλευρὰν ὑπαινίττεται. Διὰ γὰρ τούτων ἡ σωτηρία, καὶ τῆς Ἐκκλησίας συνέστη τὸ πλήρωμα, καθάπερ *ἐξ Ἀβραὰμ καὶ Σάρρας* τὸ πλῆθος τὸ ἄπειρον. Διὸ *παρακαλεῖ* τὴν *Σιὼν*, τὸ θεοσεβὲς πάλιν [d] πολίτευμα, ὅπερ εἰς ἔρημον δι' ὑμᾶς κατέστη. Πλὴν ἀλλ' ἐγὼ τὴν ἐρημίαν αὐτῆς ἀναλήψομαι *παράκλησιν* καλῶν τὴν περὶ τούτων ἐλπίδα. *Ἔρημον* δὲ, ὡς πρὸς τὴν ἔχουσαν πάλαι τὸν ἄνδρα, τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, καλεῖ, πρὸς ἣν ἔλεγεν ὁ προφήτης· « Εὐφράνθητι, στεῖρα, ἡ οὐ τίκτουσα, » καὶ τὰ ἐπὶ τούτῳ. Τίς δὲ ἡ τὸν ἄνδρα ἔχουσα, ἀλλ' ἢ τὸ βιβλίον τοῦ ἀποστασίου ποιησαμένη; ἐν δὲ τῇ ἐρήμῳ *παράδεισον* ἔσεσθαι λέγει, κατὰ τὸν ἐν ἀρχῇ παρὰ Κυρίου....

A qui; et velut a Judæis alienos illos appellare. Omnes enim antea ignem accendere dixit; in quo ipsi etiam combusti sunt, qui *quod justum est*, non abigendo, sed appetendo ut adipiscantur, *persequuntur* : Quale illud est : « Quære pacem et persequere eam [7]. » Sunt enim perpauci illi quidem; sed in multitudinem evadent infinitam, cum ipsi accesserint Judæi, ut *Abrahami Sarræque* exemplo demonstratur. Nonnulli rursus adversus incredulos sermonem esse, sicuti diximus, arbitrati, pro quo, *et in foveam* habemus; *et in foramen* Symmachum quidem, *in excisionem* autem Aquilam transtulisse volunt; tanquam petram illam quæ Christi corpus excepit, et a Josepho *excisa excavataque* est, oratio demonstret. Deinde ad *Abrahami et Sarræ* exemB plum sermonem transfert, qui et ipsi saxi more, fructu liberisque carentes, multarum per fidem gentium *parentes*, Paulo teste, fuerunt, cum Abrahamum jam suum corpus emortuum, et quæ deinceps, considerasse dixit. *Ex uno* igitur, *Abrahamo et Sarra* (*unum* enim uterque, ut illo liquet, quo fore duos in carne una dicitur), tanquam cœli astra multitudine, constiterunt. Ideoque *unus erat, et vocavi eum*, adjecit. Quemadmodum igitur in *Abrahamo* id ego præstiti : sic et ab ista *petra*, *quam excidistis*, mortalibus universis spes aliqua consequendæ salutis futura est. Erat vero *petra*, docente Paulo [8], Christus ipse; cui mortem obeunti manus et pedes clavis esse transfossos Scriptura testatur. Significatur item per **579** *foveam* latus ipsum C hastæ mucrone vulneratum. Per hæc enim parta salus est ipsaque etiam Ecclesiæ constituta plenitudo; non aliter quam *ex Abrahamo et Sarra* infinita multitudo. Atque inde est quod *Sionem*; id est, piam olim civitatem *consolatur*, quæ deserta quidem propter vos, inquit, per me frequens iterum futura est : ubi *consolandi* verbo, promissionis hujus spem significavit. Eo ipso autem quod *desertam* vocat, Ecclesiam gentium intelligit, tanquam quæ dudum virum habeat, ad quam ita loquebatur propheta : « Lætare, sterilis, quæ non peperisti [9], » et quæ postea. Quænam autem est, quæ virum habet, nisi quæ repudium misit? In deserto deinde futurum dicit paradisum ei non absimilem, qui initio a Domino....

ε'-ις'. *Ἀκούσατέ μου, ἀκούσατε, λαός μου, καὶ οἱ βασιλεῖς, πρός με ἐνωτίσασθε, ὅτι νόμος παρ' ἐμοῦ ἐξελεύσεται, καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν. Ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου, καὶ ἐξελεύσεται, ὡς φῶς, τὸ σωτήριόν μου, καὶ εἰς τὸν βραχιόνά μου ἔθνη ἐλπιοῦσιν. Ἐμὲ νῆσοι ὑπομενοῦσι, καὶ εἰς τὸν βραχιόνά μου ἐλπιοῦσιν*, κ. τ. λ.

D **580** Vers. 4-16. *Audite me, audite, populi mi, et reges, ad me attendite, quia lex a me egredietur, et judicium meum in lucem gentium. Appropinquat cito justitia mea, et egredietur, sicut lux, salutare meum, et in brachium meum gentes sperabunt*, etc.

. . . . ἀνθρώπους φοβούμενος, μὴ ἀποσυνάγωγόν σε ποιήσωσιν οἱ λέγοντες· « Δαιμόνιον ἔχει καὶ μαίνεται. Τί ἀκούετε αὐτοῦ; » Οἷς ἔλεγεν ὁ Χριστός· « Καὶ ὑμῖν τοῖς νομικοῖς οὐαὶ, ὅτι ἤρατε τὴν κλεῖδα

581 . . . . homines metuens ne te synagoga moveant, dicentes : « Dæmonium habet, et furit; quid auditis eum [10]? » quibus respondebat Christus : « Væ vobis etiam legisperitis; quia fertis

[7] Psal. xxxiii, 27. [8] I Cor. x, 4. [9] Isa. liv, 1. [10] Joan. x, 20.

VARIÆ LECTIONES.

[c] γρ. τοῦ Ἀβραὰμ καὶ τῆς Σάρρας. [d] γρ. πάλαι.

Digitized by Google

clavem intelligentiæ, ipsi autem non introitis, sed introeuntes etiam prohibetis[11]; » quos nunc expugnata civitate perituros esse significat. Sequitur postea de eorum, qui pietatem amplectuntur, tentationibus, deque liberationibus disputatio, juxta illud in Psalmis : « Mandavit procellæ, et stetit in auram, siluerunt que fluctus ejus[12]. » Possum enim ista ego præstare : *Qui virtutum sum Dominus, quique in os tuum verba mea positurus sum.* Dicam enim peccatori : « Quare tu enarras justitias meas[13]? » Non enim pulchra laus est in ore peccatoris[14]. Nam « de cordis abundantia os loquitur[15]. » De justo autem : « Lex Dei in ore ejus[16], » usurpatur; qui etiam *Sion* effectus, fidemque in Christum amplexus, *dicet Domino, Deus meus es tu :* a quo vicissim : *Populus meus es tu*, ipse audiet.

582 VERS. 17-23. *Excitare, excitare, exsurge, Jerusalem, quæ ebibisti de manu Domini calicem iræ ejus; usque ad fundum calicis soporis bibisti, et evacuasti, et non erat qui consolaretur te ex omnibus filiis tuis, quos peperisti*, etc.

CAP. LII.

583 VERS. 1-6. *Excitare, excitare, Sion. Induere fortitudine tua, Sion, et induere gloria tua, Jerusalem civitas sancta. Non amplius perget transire per te incircumcisus, et immundus*, etc.

Absoluta de vocatione gentium disputatione, in qua, cum populum suum appellasset, legem a se, et judicium in lucem exoritura significavit; orationem jam ad Jerusalem convertit, illamque eo lapsu, quem ultimo post illatam Christo contumeliam patiebatur, excitari postulat. Ita nimirum Deus pro sua bonitate et clementia, qui peccatorem resipiscere, non perire desiderat, eos ad pœnitentiam proposita utilitate invitat[17]; et quod *excitari* postulat, spontaneum fuisse *lapsum*, demonstrat[18]. Si enim ab alio impediretur, ad hunc ipse, non ad illam de *exsurgendo* sermonem dirigeret. Quis enim *lapsus*, etiam si membrum fregerit, non totis viribus *excitari* se contendat? Et tu igitur, tanquam vestimento viribus assumptis, animo *excitare*. Dicet enim postea : *Induere fortitudine*, Sion. Unde apparet hoc loco, *Jerusalem* non cœlestem, non piam illam vitæ rationem, sed sensibilem Romanisque subditam civitatem significari. Quæ ideo *calicem furoris ejus bibisse* etiam dicitur : cum neque cœlestem, in qua regnare Deus dicitur; neque piam illam in terra vitæ rationem *furor* et ira attingant. Est autem hujusmodi Symmachi interpretatio : *Poculum* **584** *iræ ejus, calicem exulcerationis etiam exhausit, neque est qui consoletur eam.*

τῆς γνώσεως, αὐτοὶ οὐκ εἰσέρχεσθε, καὶ τοὺς εἰσερχομένους ἐκωλύσατε,» οὓς ἀπολεῖσθε νῦν, φησὶν, ἀλωσομένης τῆς πόλεως. Εἶτα περὶ τῶν πειρασμῶν τῶν εὐσεβεῖν ᾑρημένων ἐπήνεγκε, καὶ τῆς ἐκ τούτων ἀνέσεως, κατὰ τὸ ἐν ψαλμοῖς· « Ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν. Καὶ ἐκόπασε τὰ κύματα αὐτῆς. » Δυνατὸς γὰρ ταῦτα ποιεῖν ἐγὼ, εἶγε καὶ *Κύριος εἰμὶ τῶν δυνάμεων, ὃς καὶ τοὺς ἐμοὺς λόγους ἐμβαλῶ σόν τῷ στόματι.* Τῷ γὰρ ἁμαρτωλῷ ἐρῶ· « Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου; » — « Οὐ γὰρ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ. »— « Ἐν γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ. » Περὶδὲ τοῦ δικαίου εἴρηται· « Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ. » Ὃς καὶ Σιὼν γενόμενος, ἐρεῖ τῷ *Κυρίῳ· Θεός μου εἶ σὺ*, τὴν τοῦ Χριστοῦ πίστιν δεξάμενος· καὶ ἀκούσεται παρ' αὐτοῦ, *Λαός μου εἶ σύ.*

ιζ'-κγ'. *Ἔξεγείρου, ἐξεγείρου, ἀνάστηθι Ἰερουσαλήμ, ἡ πιοῦσα ἐκ χειρὸς Κυρίου τὸ ποτήριον τοῦ θυμοῦ αὐτοῦ. Τὸ ποτήριον γὰρ τῆς πτώσεως, τὸ κόνδυ τοῦ θυμοῦ ἐξέπιες, καὶ ἐξεκένωσας· καὶ οὐκ ἦν ὁ παρακαλῶν σε ἀπὸ πάντων τῶν τέκνων σου, ὧν ἔτεκες*, κ. τ. λ.

ΚΕΦΑΛ. ΝΒ'.

α'-ς'. *Ἔξεγείρου, ἐξεγείρου, Σιών. Ἔνδυσαι τὴν ἰσχύν σου, Σιών. Καὶ σὺ ἔνδυσαι τὴν δόξαν σου, Ἱερουσαλὴμ πόλις ἡ ἁγία. Οὐκέτι προσθήσεται διελθεῖν διὰ σοῦ ἀπερίτμητος, καὶ ἀκάθαρτος*, κ. τ. λ.

Τὴν κλῆσιν εἰπὼν τῶν ἐθνῶν (ἅπερ ἴδιον ἐκάλεσε λαὸν, πρὸς ἃ καὶ ἔλεγεν, ὅτι Νόμος παρ' ἐμοῦ ἐξελεύσεται, καὶ ἡ κρίσις μου εἰς φῶς ἐθνῶν), νῦν προσφωνεῖ τῇ Ἱερουσαλὴμ πεσούσῃ, διαναστῆναι τοῦ πτώματος, ὅπερ ἔσχατον πέπονθε μετὰ τὴν εἰς Χριστὸν παροινίαν. Χριστὸς δὲ ὢν ὁ Θεὸς, καὶ μὴ [f] βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὴν μετάνοιαν, ἐπὶ ταύτην παρακαλεῖ χρηστὰ πειθομένους ἐπαγγελόμενος· *Ἐξεγείρου*, λέγων, τὴν ἐκούσιον αὐτῆς πτῶσιν δηλῶν. Εἰ γὰρ ὑπ' ἄλλου κατείχετο, ἐκείνῳ ἂν, ἀλλ' οὐκ αὐτῇ περὶ τῆς ἐγέρσεως διελέγετο. Τίς γὰρ πεσὼν, κἂν μέλος πηρωθῇ, οὐ σπουδὴν τίθεται, πᾶσαν συλλέξας τὴν δύναμιν, *ἀναστῆναι;* Καὶ σὺ τοίνυν, ὡς ἱματίου περιβαλοῦ τὴν ἰσχὺν *διαναστᾶσα* κατὰ διάνοιαν. Λέξει γὰρ προῶν, *Ἔνδυσαι τὴν ἰσχύν*, Σιών. Ὥστε νῦν *Ἱερουσαλὴμ* μήτε τὴν ἐπουράνιον, μήτε τὸ θεοσεβὲς εἰρῆσθαι πολίτευμα· τὴν αἰσθητὴν δὲ καὶ ὑπήκοον Ῥωμαίοις γεγενημένην. Διὸ καὶ *πεπωκέναι* λέγεται *τὸ ποτήριον τοῦ θυμοῦ*. Τῆς γὰρ ἐν οὐρανῷ οὐχ ἅπτεται *θυμὸς* καὶ ὀργή· Θεὸς γὰρ λέγεται βασιλεύειν αὐτῆς. Ἀλλ' οὐδὲ τοῦ θεοσεβοῦς ἐπὶ γῆς πολιτεύματος. Ὁ δὲ Σύμμαχος ἐξέδωκε, *τὸ ποτήριον τοῦ θυμοῦ αὐτοῦ, τὸν κρατῆρα τοῦ σπαραγμοῦ καὶ ἐξεστράγγισε, καὶ οὐκ ἔστιν ὁ παρηγορῶν αὐτήν.*

[11] Luc. XI, 53. [12] Psal. CVI, 25. [13] Psal. XLIX, 16. [14] Eccli. XV, 9. [15] Luc. VI, 45. [16] Psal. XXXVI, 31. [17] Ezech. XVIII, 23.

VARIÆ LECTIONES.

[f] ἴσ. γάρ. [f] γρ. μή.

Digitized by Google

Τοῦτο δ' ἂν λέγοιτο ἐπὶ τοῦ πᾶσαν τιμωρίαν ἐκτίσαντος πρὸς κάθαρσιν ἁμαρτημάτων, ὡς ἐπὶ τῶν προσαγομένων πικροῖς ἀντιδότοις εἰς κένωσιν. Λυπεῖ γὰρ, ὡς ἰατρὸς, ὁ Θεὸς οὐκ αὐτὸς θέλων, τοῦ δὲ πράγματος ἀναγκάζοντος· περὶ οὗ λέλεκται· « Ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου πλῆρες κεράσματος. Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο, πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη. Πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς. » Τοῦτο δέ σοι παθούσῃ, φησὶν, οὐδέν σοι παρέστη τῶν τέκνων παραμυθούμενον. Ὅτε μὲν γὰρ εἰς Ἀσσυρίους ἀπήχθησαν, εἶχον δικαίους καὶ προφήτας παρακαλοῦντας· μετὰ δὲ τὸν τολμηθέντα κατὰ Χριστοῦ θάνατον, οὐδεὶς θεοφιλὴς εὕρηται παρ' αὐτοῖς. Ἦσαν γὰρ προαπελάσαντες καὶ τοῦ Σωτῆρος τοὺς μαθητὰς πληγαῖς αἰκισάμενοι, τινὰς δὲ καὶ ἀνελόντες. Δύο δὲ ταῦτα, φησὶν. ἀντίκειταί σοι, καὶ πολεμεῖ, συντόμως τὰς ἐκ τοῦ πολέμου δηλῶν συμφοράς. Ἀντὶ δὲ δύο, προβάλλεται τέτταρα. Ἀλλὰ τὰ[e] ἑπόμενα τοῖς πρώτοις ὁ προφητικὸς ἐν τούτοις συνάπτει λόγος. Ἕπεται γὰρ τῷ μὲν πίπτειν ἡ συντριβή. Τῷ δὲ λιμῷ, μάχαιρα, τοῦτ' ἔστι θάνατος. Δύο τοίνυν τὰ πρῶτα, πτῶμα καὶ λιμός, περὶ ὧν ὁ λόγος, φησὶν ἃ[h] τίς ὁ κωλύσων, φησὶν, ἢ καὶ ψιλῶς παραμυθούμενος; Ἆρα[i] οἱ ἐν σοὶ Γραμματεῖς καὶ Φαρισαῖοι; ἢ καὶ ἄλλως δυνατοί; Ἀλλ' ἰδοὺ καὶ περὶ ἑαυτῶν κινδυνεύουσι. Καθεύδουσι γὰρ ἐπάρω πάσης ἐξόδου. Τοῦ πολέμου γὰρ κατασκήψαντος, τὰς τῆς χώρας ἐσχατιὰς κατελάβοντο, ἵν' εἶεν ἕτοιμοι πρὸς φυγὴν, οὐ πρὸς ἀπόκρουσιν ἐγρηγορότες κακῶν, φόβῳ δὲ παρειμένοι καθάπερ ἐκ μέθης ὡς σεύτλιον ἡμίεφθον. Κατὰ δὲ Σύμμαχον· Οἱ υἱοί σου ἐπορεύθησαν ἀγόμενοι ἐπ' ἀρχῆς πάντων ἀμφιβλήστρων ὡς δρυὸς ἐν ἀμφιβλήστρῳ. Καὶ κατὰ τοὺς λοιποὺς δὲ, ἀντὶ τοῦ, ὡς σεύτλιον ἡμιεφθον, ὡς δρυὸς ἡμφιβληστρευμένος, ἢ συνειλημένος, εἴρηται. Ὁ δὲ δρυὸς ὄρνεόν ἐστιν, ᾧ παραβάλλει τοὺς υἱοὺς Ἱερουσαλὴμ ἀμφιβλήστρῳ διαβόλου περιβληθέντας. Διὸ καὶ τῷ θυμῷ παρεδόθησαν.

Ἀντὶ δὲ τοῦ, ὁ κρίνων τὸν λαὸν αὐτοῦ· Σύμμαχος, ὑπερμαχήσει φησὶ τοῦ λαοῦ αὐτοῦ. Τὸ δὲ εἴληφα τοῦτ' ἔστι λήψομαι. Ἐπαγγέλλεται γὰρ ἀνήσειν τὸν θυμὸν ποιούσῃ τὰ προσταττόμενα, ἅπερ ἦν ἐξεγείρου, ἐξεγείρου. Ἐπιμένουσα γὰρ τῇ πτώσει, αἰτία ἔσται τῆς ἐπηγγελμένων κωλύσεως. Τοιοῦτον καὶ τό· « Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; Ἵνα τί ἀποστρέφετε ἀποστροφὴν ἀναιδῆ; λέγει Κύριος. » Μήποτε δὲ μηκέτι πιεῖσθε, φησὶ, διὰ τὴν ἐπ' ἐσχάτων ἐπιστροφήν. Ἔλεγε γὰρ, « Ἐπιλήσονται τὴν θλῖψιν αὐτῶν τὴν πρώτην, » καὶ τὰ ἑξῆς. Ποτήριον δὲ καλεῖν ἔθος ἐσθ' ὅτε τῇ θείᾳ Γραφῇ τὸ ἀνταποδιδόμενον ἀγαθοῖς, ἢ κακοῖς, ὡς παρὰ τῷ Δαβίδ· « Πῦρ, καὶ θεῖον, καὶ πνεῦμα καταιγίδος, ἡ μερὶς τοῦ ποτηρίου αὐ-

Istud vero de illo dicatur, qui ad scelerum expiationem nihil non pœnarum exsolverit; non aliter quam in amaris antidotis fieri videmus, qui ad corporis evacuationem propinantur. Affert enim dolorem Dominus, tanquam medicus, non sponte, sed rei necessitate adductus : indeque illud est quod scribitur : « Calix in manu Domini vini meri plenus misto. Et inclinavit ex hoc in illud; verumtamen fæx ejus non est exinanita : bibent omnes peccatores terræ [18]. » Istud autem cum patiebaris, inquit, *ne de* filiis quidem *unus, qui te consolaretur*, adfuit. Cum enim in Assyriam abducti sunt, etiam tum justitia et prophetia insignibus viris, qui afflictos *consolationibus* erigerent, non caruerunt. Sed ex quo Christi cædem perpetrarunt, *ne* pium quidem *unum* Deoque placentem secum habuerunt. Ipsos enim Salvatoris etiam discipulos a se imprimis abegerunt, dum plagis alios, alios etiam morte turpiter affecerunt. Sed habes, adjicit, *ista duo tibi contraria*, et hostilia; ita breviter, quæ bella sequuntur, calamitates indicans. Verum *pro duobus*, quatuor propheta proponit, dum quæ priora duo consequantur, altera connectit. *Ruinam* siquidem ipsa consequitur *contritio*, *famemque gladius*, quo mors innuitur. Duo igitur priora, *ruinam et famem*, de quibus sermo est, quis, inquit, valeat arcere, vel levi etiam *consolatione* mitigare? Annon qui tecum sunt Scribæ et Pharisæi, aut etiam qui alia facultate excellunt? Sed ecce, ipsi etiam in periculo versantur, *qui in capitibus viarum omnium dormiant. Bello* enim ingruente in regiones extremas se receperant, ut essent ad fugam capessendam, non ad mala devitanda paratiores, metu ipso, ebriorum more, *tanquam beta semicocta*, fracti et remissi. Habet autem in hunc modum Symmachi interpretatio : *Filii tui ambulaverunt ducti in principio reticulorum*, **585** *tanquam oryx*. Cæteri vero, pro quo *tanquam beta semicocta* habemus, *tanquam oryx interitus*, aut *circumseptus* dixerunt. *Orygi* autem, id est avi, Hierosolymitanos comparat, quod sint diaboli *retibus* implicati, et ob id *furori* traditi.

Cæterum ubi *qui judicat populum suum* legimus, *pro populo suo decertabit* Symmachus interpretatur. Præterea cum *sumpsi* dixit, *sumpturum* se significavit. Se enim *de furore* remissurum pollicetur, si quæ verbis istis *excitare*, *excitare* imperata sunt, ipsa præstiterit. Alias enim si lapsa se non erexerit, denuntiatas in se pœnas esse attracturam. Tale est et illud : « Nonne qui cecidit erigitur, aut qui aberravit, in viam revertitur? Quare avertimini aversione impudenti, dicit Dominus [19]. » Neque vero deinceps, inquit, amplius *bibetis*, nimirum propter eversionem extremam. Dicebat enim : « Obliviscentur primæ suæ afflictionis, » et quæ deinceps. Est porro Scripturæ sacræ visitatum quod bonis aut malis rependitur, id ipsum

[18] Psal. LXXIV, 9. [19] Jerem. VIII, 4, 5.

VARIÆ LECTIONES.

[e] Ισ. γάρ. [h] ἀφ. φησὶν ἃ. [i] γρ. ἆρα.

Digitized by Google

calicem appellare : quale est apud Davidem illud : « Ignis, sulphur, et spiritus procellæ, pars calicis ejus [20]. » Justi deinde ejusmodi verba sunt : « Calicem salutaris accipiam, et nomen Domini invocabo [21]. » Ejus ergo hostibus, illisque ipsis, a quibus injuriam passa est, datum iri *calicem* significat, indeque, *et ponam eum in manus eorum, qui te patria expulerunt*, adjecit. Quanquam et ista etiam de adversariis potestatibus dici queant, quibus se ipsa, quæ a Deo defecit, anima mancipavit, unde humilibus rebus addicta in terram nutat, ac tandem præsidio destituta, victorum pedibus conculcatur, cum quæ Deum sequitur, erecta sursum oculos attollat, et ad ipsum evehatur. Nonnulli per *inique* ipsam *opprimente* doctores eos intelligunt, qui eamdem recto pede ambulare non permiserunt. Quanto enim luxu et gloria amplius abundabant, tanto et ipsi pœnas acerbiores dederunt, qui iis, quæ habebant, privati sint. Est vero de iis etiam, qui ratione **586** intelligibili injuriam intulerunt, Pauli istud : « Quod si opertum est Evangelium nostrum, in iis, qui pereunt, opertum est, in quibus Deus hujus sæculi excæcavit mentes infidelium, ut non fulgeat illuminatio Evangelii gloriæ Christi [22]. » Tale quid significat et illud immundi spiritus, qui cum septem aliis nequioribus, eo, unde exierat, reversus est [23]. Ait enim : « Sic erit generationi huic [24]. » Cum enim in Ægypto impietati se dedidissent, domi et ipsi spiritum nequam alebant, eoque tum iis liberari contigit, cum « Dominum Deum tuum adorabis, et illi uni servies [25], » audierunt. Deinde, cum Christum domi per fidem non excepissent, in eum locum quem antea spiritus immundus occupabat, postquam relinqui vacuum esset intuitus, et ipse rursum irrupit, qui etiam in proditorem post buccellam ingressus fuerat. Malas istas potestates in profundissimas inferni partes ideo demisit Salvator, quod animas in terram deprimi incurvarique fecissent, qualis illa fuit quæ penitus oculos attollere non poterat, quam in Evangelio, cum Abrahami filia esset, decem et octo annorum spatio in vinculis habuisse Satanam Salvator affirmavit [26]. Erat vero etiam ejusmodi tota Judæorum Synagoga. Inde est igitur, quod eam iterum ut excitetur, adhortatur. Juxta illud : « Excitare qui dormis, et resurge ex mortuis, et illucescet tibi Christus [27]. » Et illud etiam : « Itaque remissas manus et soluta genua erigite, et gressus rectos facite pedibus vestris [28]. » Ideo autem *induere fortitudine tua* dixit, quod maximas quasdam facultates, quæ rationis est particeps, anima habeat. Primum quidem ut se lapsu (quod sæpe dictum est) *excitet*. Nam ubi ipsa est pœnarum acerbitas, ibi et frequens consolatio. Deinde,

A τοῦ. » Ὁ δὲ δίκαιος λέγει· « Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. » Τὸ οὖν *ποτήριον* δοθήσεσθαι τοῖς αὐτῆς πολεμίοις, καὶ ταύτην ἠδικηκόσι φησί· διὸ κατὰ Σύμμαχον εἴρηται· *Καὶ θήσω αὐτὸ εἰς χεῖρας τῶν ἀποικισάντων σε.* Εἰκὸς δὲ ταῦτα καὶ περὶ ἀντικειμένων δυνάμεων λέγεσθαι, αἷς ἀποστᾶσα Θεοῦ ψυχὴ ἑαυτὴν ὑποτάττει, καὶ γῆϊνα φρονοῦσα κύπτει πρὸς γῆν, καὶ τέως ἁπλωθεῖσα πρὸς ἔδαφος τοῖς τῶν ἐλόντων αὐτὴν καταπατεῖται ποσίν· ἡ δὲ Θεῷ προσιοῦσα, ὄρθιος ἔστηκεν ἄνω βλέπουσα, καὶ πρὸς αὐτὸν ἐπηρμένη. Τινὲς δὲ *ἀδικησάντων* αὐτὴν φασιν, τῶν ὀρθοποδεῖν μὴ συγχωρησάντων αὐτῇ διδασκάλων. Ὅσῳ γὰρ ἦσαν ἐν τρυφῇ τε καὶ δόξῃ· τοσούτῳ πικροτέρας ἀπέλαυσαν δίκης, ὧν εἶχον ἐστερημένοι. Περὶ δὲ τῶν νοητῶς

B ἀδικησάντων καὶ Παῦλός φησιν· « Εἰ δὲ καί ἐστι κεκαλυμμένον τὸ Εὐαγγέλιον ἡμῶν, ἐν τοῖς ἀπολλυμένοις ἐστὶ κεκαλυμμένον, ἐν οἷς ὁ Θεὸς ἐτύφλωσε τοῦ αἰῶνος τούτου τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ διαυγάσαι τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τῆς δόξης τοῦ Χριστοῦ. » Τοιοῦτόν τι δηλοῖ καὶ τὸ τοῦ ἀκαθάρτου πνεύματος τοῦ μεθ' ἑτέρων ἑπτὰ πονηροτέρων ὑποστρέψαντος ὅθεν ἐξῆλθεν. Ἐπάγει γάρ· « Οὕτως ἔσται τῇ πονηρᾷ γενεᾷ ταύτῃ. » Ἐν Αἰγύπτῳ μὲν γὰρ ἀσεβήσαντες ἐνοικον ἔσχον τὸ πνεῦμα τὸ πονηρὸν, οὗπερ ἀπηλλάγησαν ἀκούσαντες· « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. » Εἶτα μὴ δεξαμένων διὰ πίστεως ἔνοικον τὸν Χριστὸν, τὸ ἀκάθαρτον πνεῦμα σχολάζοντα τὸν

C τόπον τὸν ἀρχαῖον εὑρὸν, αὖθις εἰς αὐτὸν εἰσεπήδησεν· ὃ καὶ τὸν προδότην μετὰ τὸ ψώμιον ὑπέδυ. Ταύτας ὁ Σωτὴρ τὰς πονηρὰς δυνάμεις εἰς ᾅδου ταρταρώσας παρέδωκεν, ἀνθ' ὧν εἰς γῆν τὰς ψυχὰς καταβαλόντες συνέκαμψαν, ὁποία ἦν ἡ ἐν Εὐαγγελίῳ παντελῶς ἀνανεῦσαι μὴ δυναμένη, περὶ ἧς ἔλεγεν ὁ Σωτήρ· « Ταύτην δὲ θυγατέρα οὖσαν Ἀβραὰμ ἣν ἔδησεν ὁ Σατανᾶς δέκα καὶ ὀκτὼ ἔτη. » Καὶ πᾶσα δὲ τοιαύτη τῶν Ἰουδαίων ἦν ἡ συναγωγή· διὸ πάλιν *ἐγερθῆναι* ταύτῃ παρακελεύεται κατὰ τό· « Ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. » Καὶ κατὰ τό· « Διὸ τὰς παρειμένας χεῖρας, καὶ τὰ παρειμένα γόνατα ἀνορθώσατε, καὶ τροχιὰς ὀρθὰς ποιεῖτε τοῖς ποσὶν ὑμῶν. » *Ἔνδυσαι* δὲ, φησὶ, *τὴν ἰσχύν σου*, ἐπειδήπερ ἔχει τινὰ μείζω

D στην ἰσχὺν ἡ λογικὴ ψυχή. Πρῶτον δὲ τὸ *ἐξεγερθῆναι* τοῦ πτώματος πυκνὰ λεγόμενον. Ἔνθα γὰρ τὸ πικρὸν τῆς δίκης, ἐκεῖ καὶ συνεχὴς ἡ παράκλησις. Εἶτα, τὸ τὴν ἰδίαν ἀναλαμβάνειν ἰσχύν. Ἔχει δὲ καὶ *δόξαν* μείζονα κατ' εἰκόνα πεποιημένη τοῦ Κτίσαντος, καὶ αὐτὸν ἔχουσα *δόξαν*, ἣν ἐπαναλαβεῖν βούλεται γενομένην *πόλιν ἁγίαν*, ὡς *μηκέτι δι' αὐτῆς διαβαίνειν* ἀλλογενῆ, ἢ εἰδωλολάτρην. Ὅτι δὲ *δόξα* ὁ τῆς *δόξης* Κύριος, ὃς ἐστι Χριστὸς, δηλοῖ καὶ Δαβὶδ· « Ἐξεγέρθητι, λέγων, ἡ δόξα μου. » Καὶ περὶ

[20] Psal. x, 7. [21] Psal. cxv, 13. [22] II Cor. iv, 3, 4. [23] Matth. xii, 45. [24] ibid. [25] Deut. vi, 13. [26] Luc. xiii, 16. [27] Ephes. v, 14. [28] Hebr. xii, 13.

VARIÆ LECTIONES.

1 γρ. μέν.

Digitized by Google

τῶν πιστευόντων, « ὅτι τὸ καύχημα τῆς δυνάμεως αὐτῶν εἶ σύ. »

ut vires suas instauret ac resumat. Habet vero permagnam etiam *gloriam*, quod ad Conditoris exemplar effecta, eo etiam, qui *gloria* est, potitur, quam vult resumere *civitatem sanctam, ut non ipsam amplius pertranseat* externus, aut idolorum cultor. Esse autem eum ipsum *gloriam*, qui *gloriæ* Dominus est, Christum scilicet, ipse etiam, qui, « Exsurge, **587** gloria mea, cecinit, » testatur David [29]; qui rursum de credentibus locutus : « Quia gloriatio eorum tu es [30], » scripsit.

Τίνα δὲ τρόπον *ἐνδυσώμεθα τὴν ἰσχὺν, καὶ τὴν δόξαν* ὁ σοφὸς παρέστησε Παῦλος εἰπών· Ἐνδύσασθε τὸν Κύριον ἡμῶν *Ἰησοῦν* τὸν Χριστόν. Καὶ πάλιν· Ὅσοι γὰρ Χριστὸν ἐβαπτίσασθε, Χριστὸν ἐνεδύσασθε. Τὸ δὲ πρόσωπον τῆς Ἐκκλησίας Ἡσαΐας εἰσάγει λέγων· « Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ. Ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης· » ἣν νῦν *ἁγίαν* καλεῖ, ὡς σύμμορφον τῷ Χριστῷ, καὶ ἁγίου μετέχουσαν Πνεύματος, ἐν ᾧ καὶ ἐσφραγίσθημεν εἰς ἡμέραν ἀπολυτρώσεως πάντα ῥύπον ἀπονιψάμενοι, ὃς καὶ πᾶσαν ἔφοδον ἡμῶν διαβολικὴν ἀποκρούεται λέγων· *Οὐκέτι προστεθήσεται διὰ σοῦ διελθεῖν ἀπερίτμητος καὶ ἀκάθαρτος.* Καὶ ἱστορικῶς δὲ τὰ περίοικα ἔθνη συνέχεις ἐφόδους ποιούμενα, μονονουχὶ δι' αὐτῆς χαμαὶ κειμένης; *διήρχοντο.* Ὡς ἐκ γῆς δὲ ἀνισταμένη, καὶ τῶν γηΐνων γεμούσῃ *τὸν χοῦν ἐκτινάξαι* παρακελεύεται, τὸ φρόνημα δηλονότι τὸ σαρκικὸν, ὃ δεῖ προαποθεμένους, οὕτω προσιέναι Χριστῷ, Παύλου λέγοντος· « Ἐκδύσασθε τὸν παλαιὸν ἄνθρωπον, » καὶ τὰ ἑξῆς. Ὃ δὴ δράσαντες ἀνιστάμεθα ὀρθῷ καὶ βεβηκότι τῷ λογισμῷ, καθά τις παραγγέλλει προφήτης· « Στῆσον σεαυτὴν, Σιών. » Καὶ Δαβὶδ δέ φησιν· « Ἔστησεν ἐπὶ πέτρας τοὺς πόδας μου. » Ὃ παρέπεται καὶ τό· *Ἐκδύσασθε τὸν δεσμὸν τοῦ τραχήλου.* Σειραῖς γὰρ τῶν ἰδίων ἁμαρτημάτων ἕκαστος σφίγγεται. Καὶ ὑπὸ ζυγὰ δὲ τῆς ἁμαρτίας ὑποβληθέντες, « Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀπορῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν, » τὸ ἀγαθὸν ἐλευθέρῳ κατορθοῦντες φρονήματι, ὡς παρ' ἑνὸς ἡμῖν εἰρῆσθαι [k] τῶν προφητῶν· « Καὶ ἐξελεύσεσθε, καὶ σκιρτήσετε ὡς μοσχάρια ἐκ δεσμῶν ἀνειμένα. » Ὡς ἁμαρτίας γὰρ καὶ διαβόλου δεσμῶτιν, καὶ δούλην *αἰχμάλωτον* καλεῖ τὴν *Σιὼν* ἐλεῶν αὐτὴν τῆς πικροτάτης ἁλώσεως. Ἦν καὶ *θυγατέρα* καλῶν, τὸ πῶς οὖν ἦλω, παρίστησιν· ὡς αὐτὴ δι' αὐτὴν, οὐκ ἀσθενείᾳ τοῦ σώζοντος, τῆς δὲ πατρικῆς εὐσπλαγχνίας ἀφηνιάσασα. Ὅθεν αὐτὴν *δωρεὰν πεπράσθαι* φησί. Καὶ ἄνω γὰρ ἔφασκεν· « Ἰδοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε μηδὲν ἀντικαταλλαξάμενοι τῆς ἑαυτῶν ἀπωλείας. » Ἄκοντες γὰρ, ὡς εἰπεῖν, ἀπηγόμεθα. Διὸ, καὶ ἄκοντα τὸν ἰσχυρὸν ἐσκύλευσεν ὁ Χριστός. Ἃ δέδρακεν ἐπιφέρων ἄνευ *ἀργυρίου λυτρούμενος* τοὺς μὴ σωματικῇ περιπεσόντας αἰχμαλωσίᾳ, ἀλλὰ ψυχικῇ, καὶ τοῦ τιμίου δεομένους αἵματος.

Τί οὖν, φασιν, ὅτι *ἀνηγγείλαμεν* τὴν παρουσίαν αὐτοῦ; ἀλλὰ θεοπρεπῶς ὀφθεῖσα προσῖτος [y] ἤμελλε γίνεσθαι, ὡς ἐπὶ τοῦ Σινᾶ τυχὸν εἰπόντων ἡμῶν Μωσεῖ· « Λάλει σὺ πρὸς ἡμᾶς, καὶ μὴ ὁ Θεὸς, ἵνα μὴ ἀποθάνωμεν. » Πρὸς οὓς ἀποκρίνεται. Ὡς *ἄτιμον* ἔχων *εἶδος ὀφθήσεται*. Καὶ ταῦτα μὲν οὗτοι τὸν τρόπον τοῦτον ἐρμήνευσαν. Τοῖς δὲ προῤῥηθεῖσιν ἐπάγεται, *παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτόν*. Ἃ γὰρ, ἡμᾶς ἔδει παιδευομένους παθεῖν, ταῦτα *ἐπ' αὐτὸν* ἦλθεν ὑπὲρ τῆς πρὸς τὸν Θεὸν εἰρήνης, Παύλου λέγοντος· « Εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν οὐρανοῖς. » Καὶ πάλιν· « Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν. » Ὑπὲρ γὰρ ἡμῶν τὸ πάθος, αὐτοῦ μὲν τῇ πείρᾳ ὑπελθόντος τὰς ὕβρεις, πίστει δὲ ἡμῶν οἰκειουμένων τὰ πάθη, συμπασχόντων τε καὶ συναποθνησκόντων, χάριτι δὲ σωζομένων. Τὰς γὰρ ἡμῖν ὀφειλομένας ἐξέτισε μάστιγας, ἀφ' ὧν ἔσχε *τοὺς μώλωπας*, δι' ὧν *ἰάθημέν τινες* οἱ πάλαι *πλανηθέντες ὡς πρόβατα*, ἄλλου πρὸς ἄλλο εἶδος ἁμαρτίας τραπέντος, καὶ πρὸς διάφορον δόξαν περὶ αὐτοῦ. Ἀλλ' ὁ Πατὴρ αὐτὸν ὑπὲρ ἡμῶν ἀντίψυχον ὥσπερ παρέδωκεν. Οὕτω γὰρ καὶ ἄμνος τοῦ Θεοῦ γέγονεν αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Διὸ Σύμμαχός φησι· *Κύριος δὲ κατατῆσαι ἐποίησεν εἰς αὐτὸν τὴν ἀνομίαν πάντων ἡμῶν*. Καὶ τοῦτο εἰδὼς ὁ Χριστὸς αὐτὸς ἔφη· « Οὕτω γὰρ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. » Παραδεδόσθαι δὲ αὐτὸν ἀκούων, μὴ ἀνάγκην ὑπόπτευε, τὸ δὲ ἑκούσιον νόει. Καὶ γὰρ ὁ Ἀπόστολος τῷ ὀνόματι αὐτῷ κέχρηται, αὐθεντίαν καὶ βούλησιν Πατέρος μηνύων. Ἐκὼν δὲ τὸ πάθος ὑπομείνας, σιωπῇ φέρει νόμον ἡμῖν ὑπομονῆς ἑαυτὸν παρεχόμενος. Οὐ δυσανασχετῶν γὰρ, ἀλλὰ χαίρων ἐντολὴν ἐπλήρου τὴν πατρικήν.

Alias etiam *non aperiebat os suum, cum esset in afflictione;* juxta illud : « Prudens in tempore illo tacebit, quia tempus malum est [4]. » Et : « Oppro-

Καὶ ἄλλως, *Οὐκ ἀνοίγει τὸ στόμα* ὡς [z] *ἐν καιρῷ κακώσεως*· « [κατὰ τὸ] Ὁ συνιὼν ἐν τῷ καιρῷ ἐκείνῳ σιωπήσεται, ὅτι ὁ καιρὸς πονηρός ἐστιν. » [Καὶ

[92] Coloss. II, 3. [93] Isa. LV, 12. [94] ibid. 13. [95] Isa. XIV, 23. [96] Exod. XX, 19. [97] Coloss. I, 3. [98] Ephes. II, 14. [99] Joan. I, 29. [1] Joan. III, 16. [2] II Cor. V, 21. [3] Galat. II, 16. [4] Ephes. V, 2. [4] Amos V, 13.

VARIÆ LECTIONES.

[y] γρ. ἀπροσιτος. [z] γρ. ὧν.

Digitized by Google

« Ὀνειδος ἄφρονι ἔδωκάς με. Ἐκωφώθην, καὶ οὐκ ἤνοιξα τὸ στόμα μου. » Ἀληθοῦς πάθους [a] ἄρα ἦν ἐν Χριστῷ κατὰ τὸ ἀνθρώπινον. Ἀντὶ δὲ τοῦ, *Καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα*, ὁ Σύμμαχός φησι· *Προσηνέχθη, καὶ αὐτὸς ὑπήκουσε.* Τίνι δὲ *προσηνέχθη*, ἀλλ' ἢ τῷ Πιλάτῳ; *ἐσίγα* δὲ ψευδομαρτυρούμενος. Ἠπίστατο γὰρ ἀνήσουσαν μὲν οὐδὲν τὴν ἀπολογίαν (παρ' ἐχθροῖς γὰρ ἐκρίνετο) πρὸς θυμὸν δὲ αὐτοὺς ὑφάπτουσαν ἀγριώτερον, Υἱὸν ἑαυτὸν εἶναι λέγοντος τοῦ Θεοῦ, Σωτῆρά τε πάντων καὶ λυτρωτήν. Πλὴν οὐκ ἀπροφάσιστον αὐτοῖς τὴν ἁμαρτίαν ἐποίησεν, ὁρκίζοντι μὲν εἰπὼν τῷ Καϊάφᾳ τό· « Ἀπάρτι ὄψεσθε τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως· » καὶ τό· « Σὺ εἶπας, » εἰπὼν Πιλάτῳ πυνθανομένῳ εἰ βασιλεύς ἐστι τοῦ Ἰσραήλ. Διὸ συμμανεὶς αὐτοῖς μαστιγῶσαι παρ- B ἔδωκεν. Ὅθεν ἐπήνεγκεν, *Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος.* Σιγᾷ γὰρ, κἂν, ὡς εἰκὸς, λύπη παραψαύουσα τῶν δερμάτων ἡ μάχαιρα. Οὕτω καὶ Χριστὸς λοιδορούμενος οὐκ ἀντελοιδόρει. Πάσχων οὐκ ἠπείλει· παρεδίδου δὲ τῷ *κρίνοντι* δικαίως. Ἀληθὲς οὖν ἄρα τό· *Ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἦρται.* Ὡς κατ' εὐτελοῦς γὰρ προχείρως τὴν ψῆφον ἐξήνεγκαν. Τὴν οὖν παράνομον καὶ ἄδικον *κρίσιν* ἐπ' αὐτοῦ γενομένην δηλοῖ. Εἰ δὲ καὶ *ταπεινῶς*, φησὶν, *ἐκρίνετο*, Θεὸς κατὰ φύσιν ἐτύγχανεν. Ὅθεν ἐπάγει· *Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται;* Ἐφ' ἑκατέρας δὲ *γεννήσεως* τὸ ἄπορον ὁμοίως ἀκολουθεῖ. Πῶς μὲν [1] Θεὸς, πῶς δὲ Παρθένος *γεννᾷ*. Τοσοῦτον γὰρ μόνον ἐγνώκαμεν. Πῆ μὲν, ὅτι Θεὸς ἐκ Θεοῦ, C φῶς ἐκ φωτός· πῆ δὲ, ὅτι « Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι. »

brium insipienti dedisti me [6]. — Obmutui, et non aperui os meum [7]. » Vera igitur in Christo, secundum humanitatis rationem, passio exstitit. Verum quo loco, *Et ipse propter afflictionem non aperuit os suum*, legimus, ita Symmachus : *Admotus est, et ipse paruit.* Sed cui *admotus*, nisi Pilato? *Tacuit* deinde, cum falsa in eum testimonia producerentur. Sciebat enim, cum apud hostes ageretur, nihil esse profuturam defensionem ; sed iis ferociores animos effecturam, cum se Dei Filium, Salvatoremque omnium et redemptorem esse diceret. Neque tamen culpa et reprehensione carere suum ipsis peccatum voluit, cum adjuranti Caiphæ, Filium hominis deinceps ad dexteram virtuti assidentem esse intuituros [8] ; cum poscenti Pilato, si rex esset Israelis, eum dixisse respondit [9] : unde est ab illo furente cum cæteris in verba traditus. Hinc igitur illa sunt, quibus, *sicut ovem ad mactationem, ductum esse, et sicut agnum coram tondente obmutuisse*, adjunxit. Ut enim ille, cum cutem gladius non sine dolore attingit, tacere consuevit ; sic et Christus ipse, cum probris afficeretur, nulla contra reponebat ; nihil, cum pateretur minabatur, sed juste *judicari* se permittebat [10]. Est ergo, quod sequitur, *in humilitate ejus sublatum esse judicium*, verissimum. Temere siquidem in eum, tanquam in abjectæ conditionis aliquem, lata est sententia : unde præter jus et æquum factum esse *judicium* significat. Quantumvis autem *humiliter*, inquit, *judicaretur*, Deus tamen esse natura non desinebat. Unde deinceps *quis ejus generationem esset enarraturus* **604** postulavit. Convenit vero ex æquo utrique *generationi* dubitatio. *Generat* enim quodam pacto Deus ipse : *generat* et virgo. Hoc enim tantum novimus : partim quidem Deum de Deo, lumenque de lumine exsistere ; partim autem Spiritum sanctum in virginem sese demisisse, eamque Altissimi virtutem obumbrasse [11].

Ἐφ' ἑκατέρου δὲ τὸ, *ἡ γέννησις ; ἀδιήγητον·* ὅτι *αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ.* Τοῦτ' ἔστιν ὑψηλότερα τῶν ἐπὶ γῆς ἡ πολιτεία, καὶ ὁ κατὰ σάρκα βίος αὐτοῦ. Μόνος γὰρ ἁμαρτίαν οὐκ ἐποίησεν. Καὶ ἄλλως δὲ, ὑπὲρ πᾶν γενητὸν ἡ ὕπαρξίς ἐστι τοῦ Μονογενοῦς. Ὁ δὲ Σύμμαχος ἐξέδωκεν· *Ἀπετμήθη γὰρ ἐκ γῆς ζώντων, καὶ διὰ τὴν ἀδικίαν τοῦ λαοῦ μου πληγὴ αὐτοῖς.* Ὁ δὲ Θεοδοτίων· *Ὅτι ἀπετμήθη ἀπὸ γῆς ζώντων, ἀπὸ ἀθεσίας τοῦ λαοῦ μου ἥψατο αὐτῶν.* Μᾶλλον γὰρ αὐτῶν καθήψατο, καὶ πληγὴ αὐτοῖς μεγίστη γέγονεν ὁ αὐτοῦ θάνατος. Τινὲς δὲ τὸ, *αἴρεται ἀπὸ τῆς γῆς*, φασὶ τὴν μετὰ τὴν ἀνάστασιν αὐτοῦ δόξαν δηλοῦν· θεῖκὴν γὰρ ἀξίαν ἡ τῶν οἰκονομηθέντων ὑπέδειξε πεῖρα, αὐτοῦ μὲν *θανάτου* ὑποβαλλομένου, πάντων δὲ εἰς ἀφ- D θαρσίαν αὐτοῦ χάριτι ζωοποιουμένων, καὶ πίστει λυτρουμένων. Ἀλλὰ πῶς ὁ μὴ εἰδὼς ἁμαρτίαν ὑπὸ ψήφῳ κατέστη *θανατικῇ* ; φησὶν ὁ Πατήρ· *Ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἦχθη εἰς θάνατον*, ἤ ὅτι ὑπὲρ τῶν ἀνομιῶν αὐτοῦ, ἤ ὅτι παρα-

In utroque autem *si generationis* modus quæratur, ideo *enarrari non possit*, quod *tollitur a terra vita ejus* ; id est, eorum, qui in terra degunt, ipsa ejus sit in carne vita longe excelsior, qui solus peccatum non admisit. Quanquam et alias supra omne quod natum est ipsa Unigeniti sit essentia. At ita interpretatus est Symmachus : *Abscissus est enim de terra viventium ; et propter iniquitatem populi mei plaga eis.* Theodotio autem : *Quoniam abscissus est de terra vivorum, ab inconstantia populi mei tetigit eos.* Ipsos enim potissimum attigit, et in plagam eis maximam mors ejus abiit. Volunt nonnulli verbis istis, *tollitur a terra*, ejus, quæ post resurrectionem futura est, gloriam significari. Divinam enim ipsius gloriam satis eorum, quæ ab eo gesta sunt, experientia patuisse, cum ipse quidem *mortem* subierit ; nos autem omnes ipsius beneficentia, immortali vitæ restituti fideque redempti sumus. At enim qui factum est, ut qui peccatum non admiserat, *mortis* ipse calculo sub-

[6] Amos v, 20. [7] Psal. xxxviii, 10. [8] Matth. xxvi, 63, 64. [9] Luc. xxiii, 3. [10] I Petr. ii, 23. [11] Luc. i, 35.

VARIÆ LECTIONES.

[a] *pr.* ἀληθὲς πάθος. [b] *l.* γὰρ.

Digitized by Google

jaceret? Respondet Pater, *ab iniquitatibus populi sui ductum esse ad mortem*; nempe, vel quod ejus iniquitates expiavit; vel quod est ab ipso scelerate interemptus. Sed quo loco *dabo malos* habemus, *dabit impios* interpretatus est Symmachus. Quis porro *daturus*, nisi qui universorum judex est? Eos deinde intelligit, qui, quæ dicta sunt, admiserunt. Nam et Romanis ipsi traditi sunt. Præterea *divites* olim; id est, prærogativis superiores cæteris, se *pro morte ejus* traditurum significat; horum nomine eos intelligens, qui legali, et sacerdotali, **605** regiaque etiam dignitate illustres habebantur. Isti siquidem præter admissam cædem, pecuniis etiam non pepercerunt ut ejus resurrectionem occultarent, unde et *divites* eos appellavit: vel etiam, ut pecuniis inhiare demonstraret. *Jesum* enim interemerunt, ut prave judicando ditescerent: in eosque illa sunt, quibus esse furum socios, donaque diligere, et mercedem sectari propheta ipsis exprobravit [13].

Cogitabant præterea, si cessaret in lege cultus, iis esse sibi carendum primitiis, quibus fruebantur. Indeque eos conviciis insectatus est Christus, quod mentham, et anethum, et cuminum decimarent, quæ autem essent in lege graviora, judicium, misericordiam, fidem omitterent [13]. Eo autem condemnationis eorum æquitatem præcipue significat, quod *iniquitatem* eum *non fecisse* adjungit. Juste enim condemnantur qui justum injuste necare ausi sunt. Est vero testis fide dignus Pater ipse, qui Filium peccato carere asseruit [14]. Unde improbe mentitos esse appareat, qui eum populum concitare, Cæsarique vetare tributum persolvere, qui se denique, nisi malefactor esset, Pilato non fuisse tradituros dicebant [15]. Ita enim re et verbo culpa vacasse testificatus est Pater: quod est ad humanitatis rationem referendum, cum mutationem Dei natura non patiatur, neque hominum quisquam, eo uno excepto, sordibus careat. Mortem igitur ipse pro nobis subivit, ut mundum peccatis eximeret. Unde et *eum a plaga*, id est ab illata morte, *mundare* decrevit Pater: quod, eadem per ipsius resurrectionem conculcata, factum est. Volunt autem nonnulli, eo ipso, quod ejus nomine pœnas ab illis repoposcit Pater, injuste passum esse, et æquæ damnationis eum suspicione carere significari. Putant etiam alii, non aliter quam, dum quæ nobis debebantur, tormenta perpessus est, ea ad se attraxit, sic et eam, quæ nobis per fidem accessit, *purgationem* ipsum accepisse. Sequitur deinde: *Si detis pro peccato, anima vestra videbit semen longævum*. Cujus fuerit hic sensus: Quantumvis ipsi talia admiseritis, si quis tamen *pro suo peccato* hostiam offerre voluerit, **606** id est, eorum, quæ peccavit, pœnitentiam agere; illud effugiet, quod *me sceleratos pro sepultura et divites pro morte ipsius daturum* interminatus sum; *semenque illud longævum intuebitur*, de quo in parabolis sermo est, cum ait: « Exivit seminans ut seminaret [15*]. » Et iterum: « Simile est regnum cœlorum homini seminanti semen bonum in agro suo [15**]. » Nimirum ita locutus est, ut vitam æternam significaret.

νομοῦντες αὐτὸν ἀπέκτειναν. Ἀντὶ δὲ τοῦ, *δώσω τοὺς πονηροὺς*, ὁ Σύμμαχος, καὶ *δώσει τοὺς ἀσεβεῖς*, φησί. Τίς δὲ *δώσει*, ἢ ὁ τῶν ὅλων κριτής; λέγει δὲ τοὺς τὰ εἰρημένα ποιήσαντας. Ῥωμαίοις γὰρ παρεδόθησαν. Καὶ τοὺς πάλαι δὲ *πλουσίους*, ἐν οἷς ἐπλεονέκτουν προτερήμασι, παραδώσειν φησὶν *ἀντὶ τοῦ θανάτου αὐτοῦ*. Λέγει δὲ τοὺς ἐν γνώσει νομικῇ, καὶ ἱερατικῇ, καὶ βασιλικῇ τετιμημένους ἀξίᾳ· οὗτοι γὰρ πρὸς τῷ ἀποκτεῖναι, καὶ ἀργύρια δεδώκασιν ἱκανά, κρύψαι βουλόμενοι τὴν ἀνάστασιν. Καὶ κατὰ τοῦτο οὖν *πλουσίους* αὐτοὺς καλεῖ· ἢ καὶ ὡς φιλαργύρους. Ἀπέκτειναν γὰρ *Ἰησοῦν*, ἵν' ἔχοιεν πλουτεῖν ἐκ τοῦ μὴ κρίνειν ὀρθῶς. Περὶ ὧν ἔλεγεν ὁ προφήτης· « Κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα. »

Ἐνενόουν δὲ καὶ ὅτι παυσαμένης τῆς ἐν νόμῳ λατρείας, οὐχ ἕξουσι τὰς κατὰ νόμον προσαγομένας αὐτοῖς ἀπαρχάς, οὓς καὶ ἐταλάνιζεν λέγων, ὅτι « Ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον, καὶ τὸ κύμινον, καὶ ἀφήκατε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρίσιν, καὶ τὸ ἔλεος, καὶ τὴν πίστιν. » Τὸ δὲ δίκαιον τῆς αὐτῶν δηλοῖ κατακρίσεως τὸ, ὅτι *ἀνομίαν οὐκ ἐποίησεν*, ἐπαγόμενον. Ἀδίκως γὰρ ἀποκτείναντες, δικαίως αὐτοὶ κατακέκριναι. Ἀξιόπιστος δὲ μάρτυς ὁ Πατήρ, ἀναμάρτητον εἰπὼν τὸν Υἱόν. Κατεψεύσαντο ἆρα ποτὲ μὲν λέγοντες, ὅτι « Οὗτος ἀνασείει τὸν λαὸν, καὶ κωλύει Καίσαρι διδόναι φόρους, » ποτὲ δέ· « Εἰμὴ ἦν οὗτος κακοποιὸν, οὐκ ἂν σοι παρεδώκαμεν αὐτόν. » Ὁ γὰρ Πατὴρ οὕτω τὸ ἀναμάρτητον ἔργῳ τε, καὶ λόγῳ μεμαρτύρηκεν. Τοῦτο δὲ κατὰ τὸ ἀνθρώπινον. Ἡ γὰρ θεία φύσις ἐστὶν ἀναλλοίωτος. Ἀνθρώπων δὲ οὐδεὶς πλὴν αὐτοῦ καθαρὸς ἀπὸ ῥύπου. Οὐκοῦν ὑπὲρ ἁπάντων αὐτὸς ἀπέθανεν, ἵνα περιέλῃ τὴν ἁμαρτίαν τοῦ κόσμου. Διὸ καὶ ἔκρινεν ὁ Πατὴρ αὐτοῦ *καθαρίσαι αὐτὸν τῆς πληγῆς*· τοῦτ' ἔστι τοῦ ἐπενεχθέντος αὐτῷ πάθους. Ἀνέστη γὰρ πατήσας τὸν θάνατον. Τινὲς δέ φασιν, ὅτι δι' ὧν ὁ Πατὴρ ἀπῄτησε δίκας ὑπὲρ αὐτοῦ, τὸ μὴ δικαίως αὐτὸν πεπονθέναι παρέστησεν, καὶ καθαρὸν αὐτὸν τῆς ἐπὶ δικαίᾳ κατακρίσει πεποιήκεν ὑποψίας. Τινὲς δὲ οὕτως εἰρήκασιν· Ὥσπερ τὰ ἡμῖν χρεωστούμενα πάθη αὐτὸς ἀναδεξάμενος οἰκειώσατο· οὕτω καὶ τὴν ἐκ πίστεως γενομένην ἡμῖν *κάθαρσιν* αὐτὸν δεδέχθαι φησίν. *Ἐὰν δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον*. Καίπερ δὲ τοιαῦτα πλημμελησάντων ὑμῶν, ἐάν τις ἐθελήσῃ θυσίαν ἀνενεγκεῖν *ὑπὲρ τῆς αὐτοῦ ἁμαρτίας*, τοῦτ' ἔστι μετανοεῖν ἐφ' οἷς ἐπλημμέλησεν, ἐκφεύξεται τὸ, *Δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. Καὶ ὄψεται τὸ μακρόβιον σπέρμα*, περὶ οὗ ἔλεγεν ἐν παραβολαῖς· « Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι. » Καὶ πάλιν· « Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἰδίῳ ἀγρῷ. » Ἤγουν τὴν αἰώνιον ζωὴν οὕτως ἐκάλεσε.

[13] Isa. I, 23. [13] Matth. XXIII, 23. [14] Joan. XVIII, 46. [15] Joan. XVIII, 30. [15*] Matth. XIII, 3. [15**] ibid. 24.

Digitized by Google

Πρὸς δὲ τὰ ἔθνη τινὲς εἰρῆσθαι τοῦτό φασιν, ὡς Τοσαῦτα παθόντος ὑπὲρ ὑμῶν, ἐὰν καὶ ὑμεῖς πιστεύσητε, τὰς ἁμαρτίας ὑμῶν ἐξομολογούμενοι, κοινωνοὶ τῶν αἰωνίων ἀγαθῶν καταστήσεσθε. *Δίδωσι δὲ περὶ ἁμαρτίας πᾶς*, περὶ οὗ φησιν· « Εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀρνησάσθω ἑαυτὸν, καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι· » ποῖον [c] ἦν ὁ λέγων, « Χριστῷ συνεσταύρωμαι, ζῶ δὲ οὐκέτι ἐγώ. Ζῇ δὲ ἐν ἐμοὶ Χριστός; » Οὐ τοιοῦτος δὲ ὁ ἀγαπῶν πατέρα ἢ μητέρα ὑπὲρ αὐτόν. Φησὶ γάρ, ὡς « Οὐκ ἔστιν μου ἄξιος. » Τὸ οὖν ἀγαπῆσαι Χριστὸν ἐξ ὅλης καρδίας καὶ ψυχῆς, τὸ *δοῦναί ἐστι περὶ ἁμαρτίας*. Τινὲς δὲ τὸ ῥητὸν οὕτως ἐκθέμενοι· *Ἐὰν θῇ περὶ πλημμελείας, ψυχὴ αὐτοῦ ὄψεται σπέρμα μηκύνον*, Ἡμέρα, ἐπήνεγκαν, ἡ μετὰ τὸ πάθος, παιδοποιία [d] πνευματικὴ τῆς εἰς αἰῶνα ἐνούσης [e] ἀδιηγήτου γενεᾶς, κατ' ἐπαγγελίαν τὴν πρὸς Ἀβραὰμ θείᾳ δυνάμει πληρουμένην μετὰ τὴν λύσιν τῆς φθοροποιοῦ ἁμαρτίας, καὶ τὴν ἄνοδον τοῦ λυτρωτοῦ. Ἀντὶ δὲ τοῦ, *Καὶ βούλεται Κύριος ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ*, ὁ Σύμμαχος· *Καὶ θέλημα Κυρίου*, φησὶν, *ἐν χειρὶ αὐτοῦ εὐοδωθήσεται*· ὅπερ ἐπὶ μόνου τοῦ Σωτῆρος ἁρμόττει. Διαπαντὸς γὰρ *τὸ θέλημα τοῦ Πατέρος ἐν τῇ χειρὶ αὐτοῦ κατευοδοῦτο*. Ἔδωκε δὲ αὐτῷ καὶ φῶς εἰς τὸ φωτίζεσθαι τοὺς δι' αὐτοῦ δικαιουμένους, καὶ *σύνεσιν*. Ἐπανεπαύσατο γὰρ ἐπ' αὐτὸν πνεῦμα σοφίας καὶ συνέσεως εἰς τὸ *συνετοὺς* ἀπεργάζεσθαι, καὶ *δικαιοῦν τοὺς ἀξίους τοῦ δικαιοῦσθαι*. Τινὲς δὲ οὕτω φασί· *Βούλεται Κύριος τὴν* ἐπὶ τῷ σταυρῷ *λύπην* μεταστῆσαι εἰς χαρὰν, διὰ τοῦ δεῖξαι αὐτῷ μεταποιηθέντας *εἰς φῶς* τοὺς ποτε σκότος καὶ πεπλανημένους, περὶ ὧν ὁ Παῦλός φησιν· « Οἱ ποτὲ σκότος, νυνὶ δὲ φῶς ἐν Κυρίῳ. » *Καὶ πλαττομένους τῇ συνέσει*· τοῦτ' ἔστι μεταμορφουμένους ἀπὸ δόξης εἰς δόξαν.

Πρὸς δὲ τὸν μὴ τοιοῦτον Ἱερεμίας φησίν· « Ἰδοὺ οὐκ εἰσὶν οἱ ὀφθαλμοί σου, οὐδὲ ἡ καρδία σου καλή. » Ὁ δὲ ἐπιστεύων [f] εἰς τὸν Χριστὸν, εἰς τὸ θεῖον αὐτοῦ μεταπλάττεται κάλλος, ὁποῖόν ἐστι τό· « Τεκνία, οὓς πάλιν ὠδίνω, μέχρι μορφωθῇ Χριστὸς ἐν ὑμῖν. Οὓς γὰρ ἔγνω, φησὶ, καὶ προώρισεν συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ, τούτους καὶ ἐκάλεσεν. » Κτίσαι δὲ λέγεται Θεὸς καὶ τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, δηλαδὴ *μεταπλάσας* αὐτούς. Ἐπειδὴ γὰρ κέρδος ἴδιον ὁ Μονογενὴς τὴν ἡμετέραν τίθεται σωτηρίαν, ὑπὲρ ὧν ἔπαθε σῶμα λαβὼν, ἀναγκαίως ὁ Πατὴρ τὴν ἡμετέραν ἴασιν, *ἀφαίρεσιν πόνου* φησὶ τοῦ Χριστοῦ, καὶ *φῶς* αὐτοῦ τὸν ἡμέτερον φωτισμὸν, ἀμειβομένων ἐπὶ τὸ κρεῖττον ἡμῶν καὶ *μεταπλαττομένων* τῇ τοῦ *Θεοῦ συνέσει*. Τούτοις ἐπάγει· *Δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς*. Οὐ γὰρ ἦλθε Χριστὸς διακονηθῆναι, καθά φησιν αὐτὸς, διακονῆσαι δὲ μᾶλλον τὴν τῆς ἐνανθρωπήσεως οἰκονομίαν. Πάντα δὲ πράτ-

A Ad gentes autem et ista dirigi quidam arbitrantur ; ut eos etiam, quorum nomine tam multa passus sit, si crediderint, suaque peccata confessi fuerint, perennium bonorum fore participes asserat. *Dat vero pro peccato* quisquis id præstat, quod dicit : « Si quis vult venire post me, abnegat semetipsum, et tollat crucem suam, et sequatur me [16]. » Cujusmodi ille fuit, qui se cum Christo crucifixum non vivere amplius, sed Christum in seipso pronuntiavit [16*]. At erat hinc longe dissimilis, qui patrem, aut matrem amplius, quam eum adamabat ; quem se ideo non dignum esse pronuntiavit [17]. *Est* igitur *dare pro peccato* Christum ipsum toto corde, totoque animo diligere. Exsistunt etiam nonnulli, qui locum ita exponentes : *Si obtulerit* B *pro peccato, anima ejus videbit semen amplificans*, adjiciunt ; diem illum, qui passionem secutus est, filiorum procreationem esse spiritualem generationis perpetuæ et ineffabilis secundum factam Abrahamo promissionem ; quæ divina virtute, post exitialis peccati remissionem, postque Redemptoris ascensum adimpleatur. Cæterum pro : *Et vult Dominus auferre de labore animam ejus*, ita habet Symmachus, *Et voluntas Domini in manu ejus prosperabitur ;* quod uni tantum Salvatori congruit. Perpetuo enim *Patris voluntas in manu ejus prospere successit*. Dedit vero et lucem ipsi, ut eos, qui per ipsum justificati sunt, illustraret. Dedit et *intelligentiam*, quia requievit super eum spiritus sapientiæ et intellectus, ut *sapientes* **607** efficeret, et *justos* C qui *justificatione* digni sunt. Putant alii *velle Dominum* perceptum e cruce *dolorem* propterea in gaudium convertere, quod ei commutatos *in lucem* ostenderit, *et intelligentia formatos*, id est, a gloria in gloriam transformatos qui tenebræ olim, nunc autem lux in Domino, uti Paulus ait [18], evaserunt.

Sunt vero ad eum, qui talis non est, ista Jeremiæ verba : « Ecce non sunt oculi tui, nec cor tuum pulchrum [19]. » Qui autem in Christum credit, in divinam ejus transformatur pulchritudinem : cujusmodi est illud : « Filioli, quos rursum parturio, donec formetur in vobis Christus [20]. » — « Quos enim cognovit, inquit, et præscivit conformes fore imagini Filii sui, hos et vocavit [21]. » Creasse vero duos in recentem unum hominem D populos, id est *transformasse* dicitur Deus. Quoniam enim sibi in lucro salutem nostram Unigenitus deputat, dum corpus eorum assumit, quorum nomine passus est, necessario Pater ipse sanationem nostram *laboris* Christi *ablationem* nominat, et *lucem* ejus, *illustrationem* nostram, cum nos in melius transimus, ipsaque *Dei intelligentia transformamur*. Sequitur deinde : *Justificare justum bene servientem multis*. Neque enim venit Christus, ut ei ministraretur, sicut ipse dicit [22], sed potius,

[16] Matth. xvi, 24. [16*] Galat. ii, 20. [17] Matth. x, 37. [18] Ephes. v, 8. [19] Jerem. xxii, 17. [20] Galat. iv, 19. [21] Rom. viii, 29. [22] Matth. xx, 28.

VARIÆ LECTIONES.

[c] γρ. ὁποῖος. [d] Ισ. λείπ ἐστί. [e] γρ. αἰῶνας οὔσης. [f] γρ. πιστεύων.

Digitized by Google

ut incarnationis œconomiæ subserviret. Cum autem omnia ex Patris mandato faceret, congruum erat et ipsum linteo succinctum aquam in pollubrum fundere, omniumque se famulum profiteri. Inde et Paulus ministram vocat œconomiam, cum ait : « Si enim ministerium condemnationis in gloria est, multo magis excellit ministerium justitiæ in gloria [23]. » *Justificatur* rursum, vel cum nos justi efficimur, vel cum a quibus est interemptus, iisdem in injustæ ejus condemnationis demonstrationem servituti mancipantur. Quinam autem ii sint, qui per ipsum *justificati sunt*, extulit, cum ait : *Et peccata eorum ipse portabit :* aut secundum Symmachi interpretationem, *Et impietates eorum ipse* **608** *sufferet*. Eas enim in se cum assumpsit, *peccati* nos tunica exuit. Unde etiam *multis*, id est, gentibus ipsis *servivisse* dicitur. Una siquidem gens erat, Israelitica scilicet : reliquæ multiplices et infinitæ, quas ipse in hæreditatem propriam sortitus ait : « Dixit Dominus ad me : Filius meus es tu, ego hodie genui te; postula a me, et dabo tibi gentes hæreditatem tuam, et possessionem tuam terminos terræ [24]. »

A τοντος αὐτοῦ καθ' ὑπακοὴν πατρικὴν, ἀκόλουθον ἦν καὶ τὸ λεντίῳ ζωσάμενον, ὕδωρ εἰς τὸν νιπτῆρα βαλεῖν, καὶ τὴν πρὸς ἅπαντας δουλείαν ἀναδέξασθαι. Τοιγαροῦν καὶ Παῦλος διάκονον τὴν οἰκονομίαν καλεῖ λέγων · « Εἰ γὰρ τῇ διακονίᾳ [5] τῆς κατακρίσεως, δόξα, πολλῷ μᾶλλον διαφέρει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ. » *Δικαιοῦται* δὲ πάλιν, ἡμῶν ἢ δικαιουμένων, ἢ τῶν ἀνελόντων αὐτὸν ἐνδραποδισμένων εἰς ἔνδειξιν τῆς ἀδίκου κατ' αὐτοῦ κατακρίσεως. Τίνες δὲ *οἱ δικαιούμενοι* δι' αὐτοῦ ἐπενήνοχε λέγων· *Καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει* · ἢ κατὰ Σύμμαχον, *Καὶ τὰς ἀσεβείας αὐτῶν αὐτὸς ὑπενέγκει.* Εἰς ἑαυτὸν γὰρ ἀναλαβὼν ἀπέδυσεν ἡμᾶς τὸν τῆς *ἁμαρτίας* χιτῶνα · διὸ καὶ, *Δεδούλευκε πολλοῖς*, τοῦτ' ἔστι τοῖς ἔθνεσιν. Ἓν γὰρ B ἦν ἔθνος Ἰσραήλ · οἱ δὲ ἐξ ἐθνῶν μυριοπλάσιοι, οὓς καὶ κληρονομεῖ κλῆρον ποιησάμενος ἴδιον, καὶ λέγων · « Κύριος εἶπεν πρός με· Υἱός μου εἶ σύ. Ἐγὼ σήμερον γεγέννηκά σε. Αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατασχεσίν σου τὰ πέρατα τῆς γῆς. »

Dicitur vero *spolia fortium*, id est, quæ ab adversariis potestatibus eripuit, *divisisse*, sibique proprios, qui fuerant ab illis tanquam mancipia usurpati, vindicasse : quæ quidem *spolia* suis ipse *divisit* discipulis; dum varias ex ipsis Ecclesias constituit. Hinc igitur illa fuere superius : « Exsultabit in conspectu tuo, tanquam qui lætantur in messe, et tanquam qui dividunt spolia [25]. » Potest vero hæc ipsa præstare, *pro eo quod in mortem traditus est :* cum eam veluti a Patre mercedem perceperit, ut eos qui perierant servaret, *hæredesque faceret*. Eo enim ipso quod passus est, secum suos erexit, et alienos afflixit : dum eos, qui simul passi sunt, idem secum excitavit, qui autem in eum insurrexerunt, depressit. Nec vero desunt, qui *fortium* nomine, apostolos, et ut semel dicam, omnes eos, qui in Christo possunt aliquid, intelligi velint, quibus jam, tanquam Satanam devicerint, *spolia*, id est spiritualium gratiarum dona, dividit. Alii enim per Spiritum sermo sapientiæ, alii cognitionis, cæteraque istis similia, data sunt [26]. Qui *fuit* autem *cum iniquis reputatus*, nisi quod crucis socios etiam latrones, ut Marcus indicavit [27], habuit?

Τῶν δὲ *ἰσχυρῶν ἐμέρισε σκῦλα* · δηλαδὴ τῶν ἀντικειμένων δυνάμεων ἐξαρπάσας, καὶ ἴδια σκῦλα τοὺς ὑπ' ἐκείνων ἠνδραποδισμένους πεποιηκώς, ἅπερ *σκῦλα* τοῖς ἑαυτοῦ *διένειμε* μαθηταῖς, διαφόρους ἐξ αὐτῶν συστησάμενος Ἐκκλησίας. Διὸ πρόλεγεν · « Εὐφρανθήσεται ἐνώπιόν σου, ὡς οἱ εὐφραινόμενοι ἐν ἀμητῷ, καὶ ὃν τρόπον οἱ διαιροῦμενοι σκῦλα. » Δυνατὸς δὲ ταῦτα ποιεῖν, *ἀνθ' ὧν παρεδόθη εἰς θάνατον*, μισθὸν ὥσπερ λαβὼν παρὰ τοῦ Πατέρος, τὸ σώζειν *καὶ κληρονομεῖν* τοὺς ἀπολλυμένους. Διὰ γὰρ τὸ παθεῖν, ἀνίστησι μὲν σὺν ἑαυτῷ τοὺς οἰκείους, κατακρατεῖ δὲ τῶν ἀλλοτρίων, τοὺς μὲν συμπάσχοντας συνανιστὰς, τοὺς δὲ ἐπαναστάντας ταπεινῶν. Τινὲς δὲ *ἰσχυροὺς* τοὺς ἀποστόλους εἰρήκασι, καὶ τοὺς καθάπαξ ἐν Χριστῷ δυνατοὺς οἷς ἅτε νενικηκόσι τὸν Σατανᾶν διαδίδωσι *σκῦλα* τῶν πνευματικῶν χαρισμάτων τὰς χορηγίας. Ὧ μὲν γὰρ δίδοται [διὰ] τοῦ Πνεύματος λόγος σοφίας, ᾧ δὲ λόγος γνώσεως, καὶ τὰ τούτοις ἀδελφά. Πῶς δὲ *μετὰ ἀνόμων ἐλογίσθη*, ἀλλ' ἢ συσταυρωθέντων αὐτῷ τῶν λῃστῶν, ὃ δὴ καὶ Μάρκος ἐπισημαίνεται;

C

D

CAP. LIV.

ΚΕΦΑΛ. ΝΔ'.

609-610 VERS. 1-17. *Lætare, sterilis, quæ non paris. Erumpe et clama, quæ non parturis, quia plures filii desertæ, quam ejus quæ habet virum. Dixit enim Dominus : Dilata locum tabernaculi tui, et pelles aulæorum tuorum fige, ne parcas : protende funiculos tuos, et clavos tuos consolida adhuc a dex-*

α'-ιζ'. *Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα. Ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. Εἶπε γὰρ Κύριος · Πλάτυνον τὸν τόπον τῆς σκηνῆς σου, καὶ τὰς δέρεις τῶν αὐλαίων σου πῆξον, μὴ φείσῃ · μάκρυνον τὰ σχοινίσματα*

[23] II Cor. III, 9. [24] Psal. II, 7, 8. [25] Isa. IX, 3. [26] I Cor. XII, 8. [27] Marc. XV, 27.

VARIÆ LECTIONES.

[5] γρ. ἡ διακονία.

Digitized by Google

σου, καὶ τοὺς πασσάλους σου κατίσχυσον ἔτι εἰς τὰ δεξιὰ, καὶ τὰ ἀριστερὰ ἐκπέτασον, καὶ τὸ σπέρμα σου ἔθνη κληρονομήσει, καὶ πόλεις ἠρημωμένας κατοικιεῖς, κ. τ. λ.

Εἰπὼν τοῦ Σωτῆρος τὴν γένεσιν, καὶ τὸν βίον, καὶ τοῦ θανάτου τὴν αἰτίαν, ὅτι τε κληρονομήσει πολλοὺς, πρὸς αὐτοὺς τούτους ἀκολούθως τὸν λόγον μετήνεγκε, καὶ τὴν ἐξ αὐτῶν Ἐκκλησίαν πάλαι οὖσαν *ἄγονόν τε* καὶ *ἔρημον*, ὁποῖαι ἦσαν τῶν ἐθνικῶν αἱ ψυχαί. Οὐ γὰρ εἶχεν αὐτῶν τινα δι' ἀρετῆς καὶ θεοσεβείας καταταττόμενον *εἰς τέκνα Θεοῦ*. Ἦσαν γὰρ ἄθεοι, καὶ ἐλπίδα μὴ ἔχοντες, κατὰ τὴν Παύλου φωνήν. Νῦν δὲ ὡς δεξαμένῃ *σπόρον*, καὶ μελλούσῃ *τεκεῖν*, *βοᾷν* ἐγκελεύεται, καθὰ ταῖς κυούσαις αἱ μαῖαι πρὸς τὸ ῥᾳδίως τεκεῖν εὐρυνομένων τῶν πόρων. Ἀντὶ δὲ τοῦ *ῥῆξον καὶ βόησον*, Σύμμαχος μὲν *κελάδει αἴνεσιν* εἰρηκεν. Ὁ δὲ Ἀκύλας, *ἱλάρυνον ἐν ἀγαλλιάσει καὶ χρεμέτισον*. Ὁ δὲ Θεοδοτίων, *Ῥῆξον εὐφροσύνην καὶ τέρπου*. Ἀντὶ δὲ *τοῦ ἐρήμου ἠφανισμένης* ἔφησε Σύμμαχος· Ἦν γὰρ *ἠφανισμένη καὶ ἔρημος*, μήπω τὸν ἐπουράνιον κεκτημένη Νυμφίον.

Τὴν δὲ τῆς *εὐφροσύνης* αἰτίαν, τὴν πολυγονίαν λέγει τὴν μέλλουσαν, δι' ἧς ἤμελλε νικᾷν τὴν Ἰουδαίων Συναγωγὴν, ἐκ πάντων οὖσα τῶν ἐθνῶν, τὴν ἐξ ἑνὸς ἔθνους συνισταμένην. Ἦν διὰ Μωσέως πρὸς οἰκειότητα πνευματικὴν ὁ Θεὸς προσηγάγετο, καὶ πολλῶν ἀπέφηνε *τέκνων* μητέρα. Ἀλλ' ἠτεκνώθη διὰ Χριστὸν, καίτοι, κατὰ τὸν Ἱερεμίαν, ἐν τέκνοις οὖσα πολλή. Καὶ βιβλίον ἀποστασίου δέδωκε τῷ Θεῷ θαυμάζοντι· « Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιών; » Αὐτὸς γὰρ οὐ δέδωκεν εἰπών· « Ποῖον τοῦτο βιβλίον ἀποστασίου τῆς μητέρος ὑμῶν; Ὃ ἐξαπέστειλα αὐτήν; Ἀλλ' ἑαυτῇ, φησὶ, γέγονεν αἰτία· Διότι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα καὶ οὐκ ἦν ὁ ὑπακούων. » Καὶ ἀλλαχοῦ δέ φησιν· « Οὐχ ὡς οἰκεῖόν με ἐκάλεσας, οὐδ' ὡς πατέρα καὶ ἀρχηγὸν τῆς παρθενίας σου. » Καὶ πάλιν· « Θυγάτηρ τῆς μητέρος σου εἶ συγκαταλιποῦσα τὸν ἄνδρα αὐτῆς. » *Ἔρημον* δὲ *τὴν χήραν* κατ' ἔθος καλεῖ Γραφικόν. Τὸν γὰρ τῶν ἀγαθῶν σπορέα Λόγον οὐκ εἶχεν· ὃν δεξαμένη Νυμφίον τὴν ἑτέραν τῷ τίκτειν παρέδραμεν, ὡς πλείστου δεῖσθαι πλάτους πρὸς τὴν τῶν τέκνων ὑποδοχήν, εἰς εἰκόνα τούτου παρειλημμένης τῆς παρὰ Μωσεῖ σκηνῆς. Ταῖς γὰρ αὐταῖς ἐχρήσατο λέξεσιν, ὁμοῦ καὶ τὸ τῆς Ἐκκλησίας ἀσάλευτον διὰ τῶν *πασσάλων* δηλῶν. Τύπον γὰρ ταύτης ἐκείνη κατέγραφεν, εἰ καὶ μέτροις ἄγαν ἐλάττοσι. Διὸ καὶ καθ' ἕκαστον κλίμα περικειμένας εἶχεν αὐλὰς μακρὰς ὁμοῦ καὶ πλατείας. Ἀλλὰ τί ταῦτα, καὶ τοῦ νεὼ τὰ μέτρα πρὸς τὰ πλήθη καὶ μεγέθη, καὶ κάλλη τῶν πανταχοῦ καθιδρυμένων Ἐκκλησιῶν μιᾶς τῆς ἐκ πασῶν ὑπαρχούσης καθολικῆς; Πρὸς ἣν ἐπιφέρει, *Καὶ τὸ σπέρμα σου κληρονομήσει ἔθνη*. Τοῦτο δὲ τὸν εὐαγγελικὸν λόγον δηλοῖ, περὶ οὗ φησιν· « Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι. » Καὶ οὐχὶ καλὸν *σπέρμα* ἔσπειρας ἐν τῷ σῷ ἀγρῷ, ἐξ οὗ πλείστων ἁγίων γέγονε μήτηρ; Ἐξ ὧν

tris, et a sinistris dilata, et semen tuum possidebit gentes, et civitates desertas habitare facies, etc.

Postquam de Salvatoris ortu, de vita, de mortis causa, deque eo, quod multos esset possessurus, disputavit; ad eosdem deinceps sermonem convertit, et ad conflatam ex illis Ecclesiam, quæ *sterilis* olim et *deserta* (quales ipsæ fuerant gentium animæ) nullum virtute et pietate *in filiorum Dei* numerum referri dignum habebat. Erant enim sine Deo, et spe carentes, ut cum Paulo loquar [28]. Huic igitur jam, tanquam *semine* excepto *paritura sit*, *clamare* præcipit; quod solent parturientibus obstetrices, ut partus ipse, dilatatis meatibus, facilius erumpat. Sed pro quo, *Erumpe et clama*, habemus, *Resona laudem*, dixit Symmachus; Aquilas autem, *Hilare exsultato, et hinni*; Theodotio vero: *Erumpe in lætitiam, et oblectare*. Pro *deserta* **611** denique, *deletam* Symmachus. Erat enim *deleta et deserta*; quæ cœlestem Sponsum nondum possideret.

Lætitiæ causam deinde in futura fecunditate collocat, per quam Judæorum Synagogam superatura est: cum illa quidem de gentibus omnibus, hæc autem ab una tantum colligatur; quam per Mosem in spirituale consortium compulerat Dominus, *filiorumque* multorum parentem effecerat; sed orba liberis per Christum effecta est, quantumvis auctore Jeremia liberorum multitudine abundaret. Imo Deo ipsi etiam libellum repudii dedit, ut idem miratur his verbis: « Quomodo adultera facta est urbs fidelis Sion [29]? » Neque enim ipse dedisse putandus, qui ait: « Qualis iste repudii liber matris vestræ? Cui dimisi eam? imo sibi illa, inquit, causa fuit ut venirem, et non erat homo, vocavi, et non erat qui audiret [30]. » Et alibi hoc modo: « Non me ut amicum vocasti, neque ut patrem, et ducem virginitatis tuæ [31]. » Et rursum: « Filia matris tuæ es, quæ virum ejus deseruisti [32]. » Significatur autem *desertæ* nomine eadem plane, quæ et *vidua* dicitur, usitata Scripturæ scilicet loquendi consuetudine. Caruit enim bonorum omnium seminatore verbo: quod quæ in Sponsum accepit, alteram ita fecunditate prolisque numero superat, ut ampliori ad liberorum acceptationem spatio, prolata in id e Mosis tabernaculo similitudine, opus habeat. Iisdem siquidem, quibus ille, verbis et hic utitur, pariterque inconcussam Ecclesiæ firmitatem *clarorum* nomine significat. Hujus enim figuram, mensura tamen longe breviori, illud expressit, indeque ad singulas plagas atria longa simul et lata habuisse reperias. Verum quid ista, templique etiam futura est magnitudo, si cum ecclesiarum amplitudine et vastitate, si cum pulchritudine denique conferantur, quæ ubique exstructæ, illam unam ex omnibus efficiunt, quæ catholica

[28] Ephes. II, 12. [29] Jerem. III, 6. [30] Isa. L, 1, 2. [31] Jerem. III, 4. [32] Ezech. XVI, 45.

Digitized by Google

dicitur? Ad hanc illa referuntur, quibus, *Et semen tuum possidebit gentes*, adjicitur. Evangelicus vero istis sermo significatur, de quo, exisse qui seminat, ut seminaret, legimus [33]. Annon deinde *semen* bonum in Dei agro seminatum est, cum inde plurimorum **612** sanctorum mater evaserit; a quibus ipsos etiam gentium rectores, ut accedentem populum sacris imbuerent, erudiri contigit, quos ei in futurum etiam sæculum præfuturos, alii quidem urbibus quinque, alii autem decem, pro talentorum distributione concessis, Christus indicavit [34]? qui denique lætitia affecti, populos sibi, et gentes pedibus suis esse subjectos, et se in hæreditatem electos profiterentur?

A ἐθνῶν ἄρχοντας καθηγεῖσθαι συνέβαινεν τὸν τῶν προσιόντων μυσταγωγοῦντας λαὸν, οἷς καὶ εἰς αἰῶνα τὸν μέλλοντα καθηγεῖσθαι Χριστὸς ἐπηγγέλλετο, τῷ μὲν πέντε, τῷ δὲ δέκα πόλεων πρὸς τὴν τῶν ταλάντων διανομήν. Οἱ καί φασιν εὐφραινόμενοι· « Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ. »

Est enim Christi sors unius, populis præesse et moderari : indeque Rabbi quemquam vocari vetuit, se unum Judæorum magistrum esse asserens, qui discipulos tamen dignitatis suæ participes fecit [35]. Licet enim vera lux [36], naturaque B Dei Filius ipse sit : lucis tamen appellatione discipulos nuncupavit [37], et dedit iis potestatem filios Dei vocari [38], qui in Patrem credentes ea dignitate gloriarentur, qui *desertas* etiam, sive *deletas*, ut Symmacho placet, *civitates habitare facerent* : quo nomine ecclesias ipsas, quæ Deo quondam vacuæ fuerant, intellexit : aut certe tantum fore *semen* Ecclesiæ indicavit, ut non modo populosis *urbibus* capi non queat, sed possit *desertas* etiam et vacuas complere. Unde pudorem veterem ex eo collectum quod *sterilis et vidua* esset, eidem contemnere præcipit, *se virtutum Dominum, qui eam fecerit, esse* affirmans. Neque enim ab hominibus, aut per hominem [39], sed per Dominum ipsum constitutam esse, qui super petram Ecclesiam suam ædificaturum C se dixit [40]. Est igitur ista Dei oratio, qui *probrosum* nobis in deorum colenda multitudine errorem condonet. Sicut enim pater miseretur filiorum, sic et timentium se misertus est Dominus [41]. Et quantum distat ortus ab occasu, tantum a nobis peccata nostra removit. *Metum* ergo, qui in peccatis est, ipse adimit, qui non venit, ut judicet, sed ut salvet [42]. Non enim misit Deus Filium suum in mundum, ut judicet mundum, sed ut salvetur mundus per ipsum. Itaque vincit illa, quæ justificat impium, gratia. « Deus enim est, ait Paulus, qui justificat; quis est, qui condemnet [43]? » Quomodo autem *eam facit*, nisi cum eam in formæ similitudinem **613** per Spiritum creat? Ait enim apud Ezechielem : D « Avellam cor eorum lapideum de carne eorum; et dabo eis cor carneum, ut ipsi me cognoscant; quia ego sum Dominus [44]. » Condidit ergo Christus geminos populos in recentem unum hominem, ad ejus exemplar, a quo effectus est, instauratum.

Χριστοῦ μὲν γὰρ μόνου κλῆρος τὸ καθηγεῖσθαι λαῶν. Διὸ κελεύει μηδενὶ λέγειν Ῥαββί. « Εἷς γάρ ἐστι, φησὶν, ὑμῶν καθηγητὴς ὁ Χριστός. » Μετέδωκε δὲ τῆς ἀξίας τοῖς μαθηταῖς. Καὶ φῶς γὰρ ὑπάρχων ἀληθινὸν, φῶς καλεῖ τοὺς ἑαυτοῦ μαθητάς. Καὶ Υἱὸς ὢν κατὰ φύσιν, δέδωκεν ἐξουσίαν τοῖς πιστεύουσιν εἰς αὐτὸν Πατέρα καλεῖν τὸν Θεὸν τὸ τῆς υἱότητος αὐχοῦσιν ἀξίωμα, οἱ καὶ *πόλεις ἠρημωμένας*, ἤγουν *ἠφανισμένας*, κατὰ Σύμμαχον, *κατοικιοῦσιν*. Λέγει δὲ τὰς ἐρήμους πάλαι Θεοῦ Ἐκκλησίας· ἤγουν φησὶν, ὅτι Τοσοῦτον ἔσται σου τὸ *σπέρμα*, ὡς μηδαμῶς αὐτοῖς τὰς πολυανθρώπους *πόλεις* ἀρκεῖν, δύνασθαι δὲ καὶ *τὰς ἐρήμους* πληροῦν· ἐφ' οἷς ὑπερορᾷν αὐτῇ τῆς παλαιᾶς αἰσχύνης παρακελεύεται, ὅτε *ἄγονος* ἦν *καὶ χήρα* τοῦ Λόγου Νυμφίου λέγων, ὅτι *Κύριος τῶν δυνάμεών ἐστιν ὁ ποιῶν σε*. Οὐ γὰρ ἐξ ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου συνέστη· δι' αὐτοῦ δὲ Κυρίου, ὃς καί φησιν· « Ἐπὶ τὴν πέτραν οἰκοδομήσω μου τὴν Ἐκκλησίαν. » Θεοῦ τοίνυν ὁ λόγος, τὸ ἀμνησίκακον δωρουμένου ἐπὶ τῇ πολυθέῳ καὶ *ὀνείδους* ἀξίᾳ πλάνῃ. Καθὼς γὰρ οἰκτείρει πατὴρ υἱοὺς, οἰκτείρησεν Κύριος τοὺς φοβουμένους αὐτόν. Καὶ καθ' ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ' ἡμῶν τὰς ἁμαρτίας ἡμῶν. *Τὸν* οὖν *φόβον* περιαιρεῖ τὸν ἐπὶ τοῖς ἁμαρτήμασιν. Ἦλθε γὰρ οὐ κρίνων, ἀλλὰ σώζων. « Οὐ γὰρ ἀπέστειλε, φησὶν, ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. » Νικᾷ τοίνυν ἡ χάρις ἡ δικαιοῦσα τὸν ἀσεβῆ. « Θεὸς γὰρ, φησὶ Παῦλος, ὁ δικαιῶν, τίς ὁ κατακρίνων; » Πῶς δὲ *ποιεῖ αὐτὴν*, ἀλλ' ἢ κτίζων εἰς συμμορφίαν αὐτοῦ διὰ τοῦ Πνεύματος; φησὶ γὰρ ἐν Ἰεζεκιήλ· « Ἐκσπάσω τὴν καρδίαν αὐτῶν τὴν λιθίνην ἐκ τῆς σαρκὸς αὐτῶν, καὶ δώσω αὐτοῖς καρδίαν σαρκίνην τοῦ εἰδέναι αὐτοὺς ἐμὲ, ὅτι ἐγώ εἰμι Κύριος. » Ἔκτισε τοίνυν ὁ Χριστὸς τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον ἀνακαινούμενον κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν.

Atque ut rei fidem faceret qui postea secutus est eventus, *Dominum virtutum* se esse affirmavit. Neque vero instaurationis tempus reticuit, cum adjecit : *Qui eruit te, Deus Israel, tota terra vocabitur*; id est, cum Christum in gentes omnes regnare

Ὡς ἂν δὲ μὴ ἀπιστηθῇ μετατυγχάνον τὸ πρᾶγμα, *Κύριον* ἑαυτὸν ἐκάλεσε *δυνάμεων*. Τίς δὲ ὁ τοῦ ἀνακτίζεσθαι καιρὸς, διεσάφησεν εἰπών, ὅτι *Ὁ ῥυσάμενός σε αὐτὸς Θεὸς Ἰσραὴλ πάσῃ τῇ γῇ κληθήσεται*· τοῦτ' ἔστιν, ὅτε Χριστὸς ἐβασίλευσεν ἐπὶ

[33] Matth. XIII, 3. [34] Matth. XXV, 14 seqq. [35] Matth. XXIII, 8. [36] Joan. IX, 5. [37] Matth. V, 14. [38] Joan. I, 12. [39] Galat. I, 12. [40] Matth. XVI, 18. [41] Psal. CII, 13. [42] Joan. III, 17. [43] Rom. VIII, 34. [44] Ezech. II, 19.

Digitized by Google

πάντα τὰ ἔθνη, κατὰ τό· « Καὶ ἔσται Κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν, κυκλοῦν πᾶσαν τὴν γῆν. » Πάλαι γὰρ ἦν κατὰ μόνην τὴν Ἰουδαίαν γνωστὸς ὁ Θεός· νῦν δὲ αὐτῷ κάμπτει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογεῖται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατέρος. Διὸ καὶ Δαβὶδ ἔφη· « Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας, » καὶ τὰ ἑξῆς. Καὶ πάλιν· « Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ. » Ἐπιμένων δὲ ὁ λόγος ταῖς πρὸς *τὴν ἔρημον* ἐπαγγελίαις, φησίν· *Οὐχ ὡς γυναῖκα καταλελειμμένην καὶ ὀλιγόψυχον κέκληκέν σε Κύριος. Καταλελειμμένην* ἡ Γραφὴ *γυναῖκα* καλεῖ τὴν ἐπί τισιν αἰτίαις βιβλίον δεξαμένην ἀποστασίου κατὰ τὸν νόμον, *μεμισημένην* δὲ, τὴν ἐπ' ἀσελγείᾳ διαβληθεῖσαν, ἥπερ ἂν πρέποι καὶ τὸ *τῆς ὀλιγοψυχίας* αἰτίαμα, ὡς οὐ δυναμένη καρτερεῖν, καὶ ζυγῶν ἀνέχεσθαι γαμικῶν· οἷα πρὸς Θεὸν γέγονεν ἡ τῶν Ἰουδαίων Συναγωγὴ μετὰ νόμον, δι' οὗ συνήφθη Θεῷ ἐπὶ τὰ ἐν Αἰγύπτῳ παλινδρομήσασα. Διόπερ αὐτὴν ἀπωσάμενος δι' ἑνὸς ἔλεγε τῶν προφητῶν· « Κρίθητε πρὸς τὴν μητέρα ὑμῶν, ὅτι αὕτη οὐ γυνή μου, κἀγὼ οὐκ ἀνὴρ αὐτῆς. » Καὶ λοιπὸν περὶ τῆς πορνείας αὐτῆς διαλέγεται. Τίς δὲ τῆς πορνείας ὁ τρόπος, ἐν Ἰεζεκιὴλ διηγεῖται, δύο γυναῖκας; οἳονεὶ λαβών, ἃς καλεῖ Ὁολὰν καὶ Ὁλίβαν, δηλῶν τὴν Ἱερουσαλὴμ καὶ τὴν Σαμάρειαν, καὶ τὰς ἀσεβείας αὐτῶν διηγούμενος, ὡς ἔσφαζον τοῖς εἰδώλοις τὰ τέκνα, καὶ διῆγον αὐτὰ δι' ἐμπύρων, καὶ ταῦτα μοιχείαν καλῶν. Ὅθεν αὐτῇ καὶ δι' Ἱερεμίου φησίν· « Ὄψις πόρνης ἐγένετό σοι· ἀπηναισχύντησας πρὸς πάντας. » Ἀλλ' ὑμεῖς, φησὶν, οἱ ἐξ ἐθνῶν οὐ κατὰ τούτους ἐκλήθητε. Τοῖς μὲν γὰρ πώρωσις ἀπὸ μέρους γέγονεν, καθὰ τῷ Παύλῳ δοκεῖ. Ἐσκοτίσθησαν δὲ καὶ οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν. Συνεκάμφθη δὲ καὶ τὰ νῶτα κεχηνότων ἀεὶ πρὸς τὰ γήϊνα. Τὸ φωτισθῆναι δὲ τοῖς ἔθνεσι γέγονεν. Καὶ πάντες, ἀλλ' οὐ κατάλειμμα σέσωσται. Ἀλλ' εἰς *χρόνον μικρὸν*, φησὶ, *κατέλιπόν σε*. « Ἐν ταῖς γὰρ προλαβούσαις γενεαῖς, ὡςὁ Πέτρος φησὶ, συνεχώρησεν ὁ Θεὸς τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν. »

A contigerit; juxta illud : « Et erit Dominus unus, et nomen ejus unum circumdans universam terram [45]. » Olim siquidem in Judæa tantum notus erat Dominus [46] : cum ei jam omne genu flectatur omnisque lingua Dominum Jesum Christum in gloriam Dei Patris profiteatur [47]. Hinc et illa Davidis : « Omnes gentes, plaudite manibus [48], » cæteraque deinceps. Et illa : « Dominus regnavit, exsultet terra [49]. » Immoratur autem in iis, quæ *desertæ* fiunt, promissionibus, et addit : *Non ut mulierem derelictam et pusillanimem vocavit te Dominus. Derelictam* nimirum Scriptura vocat *mulierem*, quæ, certis de causis, libellum repudii ex legis præscripto acceperit. *Odiosam* autem, lasciviæ et intemperantiæ accusatam; cui nec male *pusillanimitatis* crimen conveniat, quippe quæ forti esse animo, matrimoniique jugum ferre non valeat; qualem se in Deum ipsa Judæorum Synagoga post legem, per quam Deo conjuncta fuerat, præbuit, cum ad Ægyptia se rursum contulisset. Hinc est igitur, quod ea expulsa, per prophetam quemdam in hunc modum ait : « In judicio cum matre vestra contendite; quoniam ipsa uxor mea non est, neque ego vir ejus [50]. » Cæterum, de adulterio ejus disserit. Neque vero quod esset adulterii genus reticuit Ezechiel, cum duas veluti uxores assumens, Oolam et Olibam, quibus Jerusalem et Samaria significantur, earumdem impietates, quæ suos ipsæ liberos idolis mactarent, per ignemque trajicerent (quod adulterium nominat) explicat [51]. Eam itaque in hæc verba per Jeremiam alloquitur : « Aspectus **614** meretricis tibi fuit; nullorumque te puduit [52]. » At vos, inquit, qui de gentibus estis, non istorum more vocati estis. Iis enim ipsis cæcitas, Paulo teste, ex parte contigit [53]. Sunt rursus et ipsorum oculi, ne videant, obcæcati. Sunt et eisdem terga eo ipso, quod terrenis semper inhiant, incurvata : cum gentes illustrari, splendescere, omnesque adeo, non ipsarum modo B reliquias servari contigerit. Verumenimvero *tempore modico reliqui te*, adjicit. « Superioribus enim ætatibus, ait Petrus, gentes permisit Deus in viis suis ambulare [54]. »

Βραχὺς δὲ *ὁ καιρὸς* πρὸς τὸν τοῦ *ἐλέους* χρινόμενος εἰς ἀπείρους αἰῶνας διατρέχοντα. *Ἔλεος* δὲ *μέγα*, τὸ διὰ Χριστοῦ ῥύπου παντὸς ἐλευθεροῦν καὶ κολάσεως, καὶ παρέχον υἱοθεσίας ἀξίωμα, καὶ βασιλείας οὐρανῶν κληρονόμους ποιοῦν. Εἶτά φησιν· *Ἀπὸ τοῦ ὕδατος τοῦ ἐπὶ Νῶε τοῦτό μοί ἐστιν*. Ὁ δὲ Σύμμαχος ὅλον οὕτως ἐξέδωκεν· *Ὡς αἱ ἡμέραι Νῶε τοῦτό μοι. Ὡς ὤμοσα μὴ ἐπελθεῖν ὕδωρ Νῶε ἔτι ἐπὶ τὴν γῆν, οὕτως ὠμοσάμην μὴ ὀργισθῆναί σοι, μηδὲ ἐπιτιμῆσαί σοι. Τὰ γὰρ ὄρη σαλευθήσονται, καὶ οἱ βουνοὶ ταραχθήσονται· τὸ δὲ ἔλεός μου ἀπὸ σοῦ οὐκ ἀποστραφήσεται, οὐδὲ ἡ διαθήκη τῆς εἰρήνης μου ἀνακληθήσεται, εἶπεν ὁ οἰκτείρων σε Κύριος.* Θᾶττον γὰρ, φησὶ, *τὰ ὄρη μεταστήσονται* τῶν οἰκείων τόπων, *καὶ οἱ βουνοὶ*

Est *magna* porro *temporis brevitas*, si cum *misericordia* conferatur, quæ in infinita usque sæcula D percurrit. Est vero et *magna misericordia*, quæ nos omni immunditia et ultione per Christum liberat; quæ adoptionis dignitatem largitur; quæ regni cœlestis hæredes facit. Sequitur deinde : *Ab aqua, quæ fuit sub Noe, hoc mihi est*, pro quibus totum hoc ita reddidit Symmachus : *Sicut dies Noe istud mihi est. Sicut juravi non venturam aquam Noe amplius in terram, sic juravi quod non irascar, neque succensebo tibi. Montes enim commovebuntur, et colles conturbabuntur : misericordia autem mea non recedet a te. Neque testamentum pacis meæ revocabitur; dixit qui tibi miseretur Dominus.* Citius enim, inquit, *montes* ipsi suis locis *move-*

[45] Zachar. XIV, 9. [46] Psal. LXXV, 2. [47] Philipp. II, 10, 11. [48] Psal. XLVI, 2. [49] Psal. XCVI, 1. [50] Osee II, 2. [51] Ezech. XXIII, 36 seqq. [52] Jerem. III, 3. [53] Rom. XI, 25. [54] I Petr. IV, 3.

Digitized by Google

buntur, et colles conturbabuntur, quam *misericordia mea a te* dimoveatur. Quod si ad interpretes Septuaginta respicis, non exemplum adhibere, sed docere potius eos reperias, Deum jam inde a diluvio cum hominum peccatis non amplius decertare statuisse, unamque adversus omnes multæ rationem decrevisse : quo deinde tempore cum hominibus versatus est Christus, omnes justo Dei calculo veterem illam pœnam, cui pariter erant obnoxii, subire debuisse, sed *iram* se in *misericordiam* **615** commutare, et quæ a se definita decretaque sunt, observare et retinere. Est vero *pacis testamentum* per Christum. Est enim ipse pax nostra [55] : quam postulat Isaias his verbis : « Domine Deus noster, pacem da nobis, quia omnia tradidisti nobis [56]. » Per Christum enim Deo et Patri copulati sumus. Atque hæc quidem illis, qui ad pietatis institutum degunt, quod a Judæis neglectum ad gentes transivit, Deus ipse pollicetur.

Qualis autem esset apud Judæos divini cultus ratio aperte indicat, cum *humilem et instabilem* eam appellat, tanquam quæ in corporea circumcisione et victimis versaretur. Erant vero et gentes ipsæ *humiles*, quæ dæmonum incursionibus nullo propugnante patebant. Est et errantium cor *instabile*, ebriorumque more, cupiditatibus agitatur, et vacillat. Quolibet enim spiritu circumaguntur ; et, quod est in Proverbio [57], rapiuntur cupiditatum turbine : qualia pati Jerusalem non sine crimine significavit Dominus, cum eam animæ suæ cupiditatibus, tanquam vento, agitari questus est. Est vero quæ spiritu rapi se patitur anima, etiam omnino *instabilis*. Cur autem *et misericordem* se fore addit ? Primum quidem, quia misericors ipse sit. Deinde vero quia *consolatione* ipsa *caruit*. Deinde etiam, quia (si de pio apud Judæos vitæ instituto sermo sit) propheta nullus, aut pius, tantus est, ut illud revocare et instaurare queat. Quia denique (si de gentibus agatur) legem ipsi aut prophetas, qui eos ad spirituale robur invitarunt, sicut Israelitæ, non amplexi sunt : quod per eos, qui ultimi in parabola mercede conducti sunt, indicatur, cum quærenti, quid illic totum diem starent otiosi, quia a nemine conducerentur, iidem responderunt. Unus enim ipsos ab ultimis terræ finibus vocavit vineæ Dominus. Deinde ait : *Ecce ego præparabo tibi carbunculum, lapides tuos ;* pro quo Symmachus : *Ecce ego compono stibio lapides tuos ;* Aquilas autem, *Ecce inclino in stibio lapides tuos ;* Theodotio vero, *immitto* **616** *in stibio*, dixerunt. Ut enim quæ comitur mulier, *stibio* ad formæ conciliationem utitur, sic et ipse ædificii tui *lapides* eleganter disponam. Fortasse vero qui a Septuaginta interpretibus *carbunculus* dicitur, animæ piaculum lustrationemque significat. Sunt enim ipsa etiam Isaiæ labra carbone expiata [58]. Nullum

A ταραχθήσονται, ἡ τὸ ἐμὸν ἔλεος ἀπὸ σοῦ κινηθήσεται. Κατὰ δὲ τοὺς Ο', οὐκ ἔστι παραδειγματικὸν, δηλοῖ δὲ μᾶλλον, ὡς ἀπὸ τοῦ κατακλυσμοῦ κέχριταί μοι μὴ τοῖς ἀνθρωπίνοις φιλονεικῆσαι πταίσμασι, καὶ μίαν κατὰ πάντων ὁρίσαι δίκην, δηλῶν ὡς καὶ καθ' ὃν[h] ἐπεδήμησε χρόνον, θεῖᾳ ψήφῳ πάντας ἔδει τὴν ἀρχαίαν ἐκείνην προστῆναι δίκην. Καὶ γὰρ ἦσαν ὁμοίως ὑπεύθυνοι· ἀλλὰ *τὴν ὀργὴν* μεταφέρω πρὸς *ἔλεον*, τὸν ὅρον φυλάττων τὸν ἐμαυτοῦ. Ἡ δὲ τῆς *εἰρήνης διαθήκη*, διὰ Χριστοῦ. Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ἥνπερ Ἡσαΐας αἰτῶν ἔφη· « Κύριε, ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν. » Διὰ Χριστοῦ γὰρ συνήφθη μὲν τῷ Θεῷ καὶ Πατέρι. Ταῦτα Θεὸς ἐπαγγέλλεται τῷ θεοσεβεῖ πολιτεύματι, ὃ μετέστη πρὸς τὰ ἔθνη, τῶν Ἰουδαίων B μεταπεσόν.

Οἷα δὲ παρ' Ἰουδαίοις ἦν ἡ θεοσεβὴς πολιτεία, παρίστησι, *ταπεινὴν καὶ ἀκατάστατον* ταύτην εἰπών· σωματικὴ γὰρ ἦν περιτομὴ, καὶ θυσίαι. Οἱ ἐξ ἐθνῶν δὲ καὶ ταῖς τῶν δαιμονίων ἐφόδοις εὐεπίβατοι γεγονότες ὑπέκειντο *ταπεινῶς*. Τῶν δὲ πλανωμένων *ἀκατάστατος* ἡ καρδία, μεθύοντος δίκην σειομένη τοῖς πάθεσι. Παντὶ γὰρ πνεύματι περιφέρονται, καὶ κατὰ τὴν παροιμίαν, ῥεμβασμὸν ἐπιθυμιῶν ὑπομένουσιν, ὃ δὴ παθοῦσαν τὴν Ἱερουσαλὴμ αἰτιᾶται Θεὸς λέγων· Ἐν ἐπιθυμίαις ψυχῆς αὐτῆς ἐπνευματοφορεῖτο. Πνευματοφορουμένη δὲ ψυχὴ, πάντως καὶ C *ἀκατάστατος*. Διὰ τί δὲ *ἐλεώς σοι ;* Πρῶτον μὲν, ὅτι οἰκτίρμων ἐγώ. Ἔπειτα δὲ, ὅτι *μὴ παρεκλίθης*. Καὶ εἰ μὲν περὶ τοῦ παρ' Ἰουδαίοις θεοσεβοῦς πολιτεύματος λέγει, ἐπειδὴ μηδεὶς προφήτης, ἢ θεοσεβὴς τοσοῦτος, ὡς ἀναλαβεῖν αὐτὴν καὶ ἀνακτήσασθαι. Εἰ δὲ περὶ τῶν ἐθνῶν, ὅτι μὴ καθάπερ Ἰσραὴλ νόμον, ἢ προφήτας ἐδέξαντο, πρὸς εὐρωστίαν αὐτοὺς παρακαλοῦντας πνευματικήν. Ὅπερ διὰ τῶν ἐν τῇ παραβολῇ τελευταίων μισθωθέντων σημαίνεσι, οἷς ἔφη· Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί ; Οἱ δὲ πρὸς αὐτόν· Ὅτι μηδεὶς ἡμᾶς ἐμισθώσατο. Μόνος γὰρ αὐτοὺς ἐπ' ἐσχάτων ἐκάλεσεν ὁ τοῦ ἀμπελῶνος Δεσπότης. Εἶτά φησιν· *Ἰδοὺ ἐγὼ ἑτοιμάζω σοι ἄνθρακα τοὺς λίθους σου.* Ἀνθ' οὗ ὁ Σύμμαχος· D *Ἰδοὺ ἐγὼ συντίθημι στίμει τοὺς λίθους σου.* Ὁ δὲ Ἀκύλας· *Ἰδοὺ κατακλίνω ἐν στίμει τοὺς λίθους σου.* Θεοδοτίων δέ· *Ἐμβάλλω ἐν στίμει.* Ὡς γὰρ ἂν γυνὴ καλλωπιζομένη *στιμίζοιτο*· οὕτως εὐπρεπῶς τῆς σῆς οἰκοδομίας διαθήσω *τοὺς λίθους*. Μήποτε δὲ ὁ παρ' αὐτοῖς Ἑβδομήκοντα *ἄνθρακ*, τὸ καθάρσιον αἰνίττεται τῆς ψυχῆς. Δι' ἄνθρακος γὰρ καὶ Ἡσαΐου τὰ χείλη κεκάθαρτο. Δηλοῖ οὖν μηδένα τῆς οἰκοδομίας *λίθον* ὑπάρξειν ἀκάθαρτον, κατὰ τό· « Λίθοι ἅγιοι κυλίονται ἐπὶ τῆς γῆς, » περὶ τῶν ἁγίων λεγόμενον, ἐξ ὧν ἡ τοῦ Θεοῦ συνίσταται πόλις.

[55] Ephes. II, 14. [56] Isa. XXVI, 12. [57] Sap. IV, 12. [58] Isa. VI, 7.

VARIÆ LECTIONES.

[h] *Ισ. Λειπ.* Χριστός.

Digitized by Google

igitur ædificii *lapidem* impurum fore significat, juxta illud : « Lapides sancti volvuntur super terram [59] ; » quod est in sanctos, ex quibus ipsa Dei civitas constat, usurpatum.

Τινὲς δὲ τὸν Ἰησοῦν ἄνθρακα εἰρῆσθαί φασιν, ὃν ἔφησεν εἰς τὰ θεμέλια τεθεῖσθαι Σιών, εἰς ὃν εἴ τις πιστεύσειεν, οὐ μὴ καταισχυνθῇ. Ὁ δὲ Ἀμὼς ἀδάμαντα τοῦτον καλεῖ λέγων· « Ἐντάσσω ἀδάμαντα ἐν μέσῳ λαοῦ μου Ἰσραήλ. » Ζαχαρίας δέ φησιν· « Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν δοῦλόν μου ἀνατολήν. Διὰ ὅτι ὁ λίθος ὃν ἔδωκα πρὸ προσώπου Ἰησοῦ, ἐπὶ τὸν λίθον τὸν ἕνα ἑπτὰ ὀφθαλμοί εἰσιν. » Παντεπόπτης γὰρ ὁ Χριστός. Ὁ τοίνυν ἄνθραξ, φασὶν, οὗτος ὑποβάθρα τῆς πόλεως καὶ θεμέλιος, ᾧ ἐγγίζοντες οἱ ἀπόστολοι καὶ αὐτοὶ θεμέλιοι ὄντες, ἐρρέθησαν σάπφειροι δηλούμενοι καὶ διὰ τοῦ ἑπτακαιδεκάτου ψαλμοῦ λέγοντος, ὅτι « Ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων, καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης ἀπὸ ἐπιτιμήσεώς σου, Κύριε, ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου. » Ἐπιτιμηθέντων γὰρ τῶν ἐξ Ἰσραὴλ διὰ τὰ τολμηθέντα κατὰ Χριστοῦ, ὤφθη μὲν ἡ δι' ὕδατος κάθαρσις· ἀνεδείχθησαν δὲ καὶ τοῦ Σωτῆρος οἱ μαθηταί. Καὶ οἱ προφῆται δὲ θεμέλιος λέγονται, Παύλου λέγοντος· « Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν. » Ἡ δὲ σάπφειρος οὐράνιον ἔχει τὸ χρῶμα. Καὶ τούτων δὲ τὸ πολίτευμα, κατὰ τὸν Ἀπόστολον, ἐν οὐρανοῖς ὑπάρχει. Κατὰ δὲ τὸν Ἰεζεκιὴλ, καὶ ὁ τόπος ὁ ὑποκάτω τοῦ θρόνου τοῦ Θεοῦ ὡς σάπφειρος. Οὕτω τοίνυν εἴρηται διὰ τὸ τὴν εἰκόνα τοῦ ἐπουρανίου φορεῖν. Ἄνθρακες δὲ καθ' ἑτέραν φασὶν ἐκδοχὴν οἱ κοσμοῦντες λίθοι ὥσπερ ἐν στίμει τοὺς τῆς Νύμφης τοῦ Χριστοῦ ὀφθαλμοὺς οἱ ἅγιοι μάρτυρες διὰ πυρὸς δεδοκιμασμένοι.

Dicantur fortasse *et agri ligna, quæ ramis applaudunt*, ipsæ fructibus onustæ animæ, qui sceleratorum resipiscentia delectantur. Sunt etiam qui *montium* appellatione doctores Ecclesiæ, nihil humile habentes, putent intelligi : per *colles* autem, alios, qui eos proxime sequuntur. Est enim illorum *gaudium*, salus accedentium, si Paulo credimus, qui tales gaudium et coronam suam appellat [42]. Aiunt deinde *agri lignis* populos eos, qui subjecti sunt, significari. Abundat enim floribus ipse Salvatoris hortus indeque sunt illa Sponsæ verba, quibus nepotem in hortum suum descendere, fructumque pomorum suorum comedere postulat [43]. *Lætantur* vero et isti, tantam in se mutationem fieri intuiti : qui nihil olim quod aut fecunditatem nutritionemve faceret, habentes ; sed tanquam in solitudine, terraque inculta, *stœbam* inutilem, et *conizam* teterrimi odoris, producentes, ex quo divinæ gratiæ participes effecti sunt, *myr-*

τικὴν, ὡς μὴ μόνον τὴν ἱερὰν συλλέξαι τροφὴν, καὶ τὸν ἄρτον ἔχειν τὸν ζωοποιὸν, ἀλλὰ καὶ *σπέρμα* τῷ *σπείροντι*. Οἱ γὰρ μυσταγωγοῦντες λαοὺς, *σπείρουσιν* ἐν ταῖς καρδίαις αὐτῶν, ὃν ἑαυτοῖς ἐθησαύρισαν *σπόρον*. Κατὰ γὰρ τὸν Παῦλον, Θεοῦ γεώργιόν ἐσμεν, Θεοῦ συνεργοὶ τοῦ λέγοντος περὶ ἑαυτοῦ· Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ. Πρὸς δὲ τοὺς ἐξ ἐθνῶν τῷ σωτηρίῳ προσιόντας λόγῳ φησίν· *Ἐν* γὰρ *εὐφροσύνῃ ἐξελεύσεσθε*, δηλαδὴ τῆς πατροπαραδότου πλάνης, κατὰ τὸ, Ἐξελθε ἐκ τῆς γῆς σου. *Καὶ ἐν χαρᾷ διδαχθήσεσθε* [x] τὸ σωτήριον Εὐαγγέλιον. Διὸ προέφη· *Εὐοδώσω τὰς ὁδούς σου, καὶ τὰ ἐντάλματά μου*. Δυσχερὲς γὰρ ἀποφοιτᾷν ἡδονῶν σαρκικῶν, καὶ πλάνης προειλημμένης. Καὶ δεῖ Θεοῦ πρὸς τὴν ἄνω πορείαν ὁδηγοῦντος ἡμᾶς καὶ κούφους ἐργαζομένου. « Ὄρη γὰρ, φησὶ, τὰ ὑψηλὰ ταῖς ἐλάφοις. » Καὶ ἀλλαχοῦ δέ φησιν· « Ὁδὸς εὐσεβῶν εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμένη ἡ ὁδὸς τῶν εὐσεβῶν » Καὶ ἄλλος δὲ προφήτης φησίν· « Εὐθεῖαι αἱ ὁδοὶ Κυρίου, καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς · » ὅπερ ἐστὶν θεόδοτον· οὐ γ τἀναντία φησὶ περὶ τῆς τῶν Ἰουδαίων Συναγωγῆς. « Διὰ τοῦτο ἰδοὺ ἐγὼ φράσσω τὰς ὁδοὺς αὐτῆς, καὶ οὐ μὴ εὕρῃ. » Ἀκολουθεῖ δὲ τὸ *χαίρειν* τοῖς εὐοδουμένοις ἐν ἀρεταῖς καὶ γνώσει Θεοῦ. « Ὡς γλυκέα γὰρ, φησὶ, τῷ λάρυγγί μου τὰ λόγιά σου, Ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου. » Ἐφ' οἷς αἱ θεῖαι δυνάμεις *εὐφραίνονται* δηλούμεναι *δι' ὀρῶν καὶ βουνῶν*. Καὶ ὁ Σωτὴρ γάρ φησι, χαρὰν ἔσεσθαι ἐν οὐρανοῖς ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. Πνεύματα γάρ εἰσι λειτουργικὰ πρὸς διακονίαν σωτηρίας πεμπόμενα. Ἡ δὲ τούτων διαφορὰ κατὰ τὸ ὑψηλότερόν τε καὶ ἔλαττον.

Σύλα δὲ *ἀγροῦ ἐπικροτοῦντα κλάδοις*, εἶεν ἂν αἱ καρποφόροι ψυχαὶ ἐπὶ τῇ ἐπιστροφῇ τῶν ἀνόμων ἡδόμεναι. Τινὲς δὲ *ὄρη* μὲν τοὺς διδασκάλους τῆς Ἐκκλησίας τοὺς οὐδὲν χαμαίζηλον ἔχοντας· *βουνοὺς* δὲ, τοὺς μετ' αὐτούς. *Χαρὰ* γὰρ τούτων ἡ σωτηρία τῶν προσιόντων, ὡς καὶ Παῦλον λέγειν· « Χαρὰ καὶ στέφανός μου. » *Σύλα* δὲ *ἀγροῦ* τοὺς ὑπὸ χεῖρα λαούς. Εὐανθὴς γὰρ τοῦ Σωτῆρος ὁ κῆπος. Διὸ καὶ ἡ Νύμφη φησί· « Καταβήτω ὁ ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ, καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ. » *Χαίρουσι* δὲ καὶ οὗτοι τοσαύτην ἐν ἑαυτοῖς ὁρῶντες μεταβολήν. Πάλαι μὲν γὰρ γόνιμον, ἢ τρόφιμον εἶχον οὐδέν· ὡς ἐν ἐρήμῳ δὲ καὶ χέρσῳ *στοίβην* ὕλης ἀχρήστου καὶ *κόνυζαν* τὴν δυσωδεστάτην ἔφερον. Νῦν δὲ ὅτε τῆς θείας μετέσχον χάριτος, *μυρσίνην* εὐωδεστάτην καὶ τὴν ὑψηλοτάτην, καὶ πάλιν εὐώδη *κυπάρισσον* ἐκαρποφόρουν. Ὁ δὲ Σύμμαχός φησιν, *ἀντὶ στοίβης ἀναβήσεται βράθυ*. Ἀντὶ δὲ *κνιδὸς ἀναβήσεται μυρσίνη*, ὡς εἰ ἔλε-

[34] 1 Cor. III, 9. [35] Matth. XIII, 3. [36] Psal. CIII, 18. [37] Isa. XXVI, 7. [38] Osee XIV, 10. [39] Psal. CXVIII, 103. [40] Luc. XV, 7. [41] Hebr. I, 14. [42] Philipp. IV, 1. [43] Cant. V, 1.

VARIÆ LECTIONES.

[x] *Isa.* διαχυθήσεσθε. [y] *γρ.* οὖ.

Digitized by Google

γεν· Ἀντὶ κακίας δικαιοσύνην, σωφροσύνην ἀντ' ἀσελγείας, καὶ ἀντὶ θράσους ἀνδρείαν, φρόνησίν τε ἀντ' ἀφροσύνης. Εὕροις δ' ἂν τοῦτο καὶ ἐν τοῖς ἐξ αἵματος Ἰσραήλ. *Στοιβὴ* γὰρ ὄντες καὶ *κόνυζά* ποτε Ματθαῖος καὶ Παῦλος, ὁ μὲν τελώνης, ὁ δὲ διώκτης, Χριστὸν εὐωδιάζουσιν ἐν παντὶ τόπῳ, ἔν τε τοῖς σῳζομένοις καὶ τοῖς ἀπολλυμένοις. Καὶ ἄλλο δέ τι θαυμάσιον ἐπαγγέλλεται τοῖς ἐπὶ τὸν Κύριον ἐπιστρέψασιν ἔθνεσιν. *Ἔσται* γὰρ, φησὶ, *Κύριος αὐτοῖς εἰς ὄνομα καὶ εἰς σημεῖον αἰώνιον*. Πανταχοῦ γὰρ ἔστιν ἰδεῖν ἀπὸ Χριστοῦ καλουμένους Χριστιανούς. Καὶ *σημεῖον* σωτηρίας ἐπιγράφονται *τοῦνομα*, ὅπερ *οὐκ ἐκλείψει* ποτέ. Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα τοῦ Θεοῦ. Τινὲς δὲ *σημεῖον*, τὸν δι' οὗ σεσώσμεθα σταυρὸν εἰρήκασι· τὴν δὲ πᾶσαν ῥῆσιν οὕτως ἑρμήνευσαν ἕτεροι· Θεοῦ σώσειν αὐτοὺς ἐπαγγειλαμένου μεταγνοοῦντας, καὶ τοὺς ἐχθροὺς ὑποτάξειν αὐτοῖς, καὶ τοῦ προφήτου πρὸς πίστιν αὐτοὺς διεγείραντος (κληρονομήσειν γὰρ αὐτοὺς σωτηρίαν) τῶν ἀκουόντων κινηθέντων πρὸς πόθον, ἐθέλειν τε σωθῆναι λεγόντων, πρὸς τὰς ἐννοίας αὐτῶν ὁ προφήτης ὡς *διψῶντας* προτρέπεται.

A *tum* jam fragrantissimam, et procerissimam, *cupressum* præterea odoris optimi, ediderunt. Sic autem interpretatur Symmachus : *Pro stœba ascendet sabina, pro urtica autem ascendet myrtus.* Ac si fore dixisset pro malitia, justitiam ; pro lascivia, temperantiam ; pro audacia, fortitudinem; pro stultitia, prudentiam. Invenias vero et istud in iis, qui sunt ex Israelitarum stirpe. *Stœba* enim quondam et *conyza* cum essent Matthæus et Paulus, ille quidem publicanus, hic autem persecutor ; Christum tamen ubique, apud eos sive qui salvantur, sive apud eos qui pereunt, bene olere curarunt. Mirabile vero quiddam et aliud iis pollicetur, qui de gentibus ad Dominum sese contulerunt, cum *eis in nomen et signum sempiternum fore Dominum* adjungit. Ubique enim Christianos a Christo nuncupatos videas, et *signum* salutis hoc inscribere *nomine*, quod **632** *non est* unquam *dejecturum;* cum nullum beneficium, nullamque gratiam Deus conferre soleat, cujus eum postea pœniteat. Non desunt tamen, qui *signi* appellatione, crucem eam, per quam salutem sumus adepti, putent significari. Alii vero

B

hoc totum eo referunt, ut velint, Deum ipsum ubi eos, qui resipuissent, servaturum se, et ipsis inimicos subjecturum denuntiasset, quos ad fidem propheta excitavit (salutem enim possessuros dixit), auditoribus rei desiderio accensis, et salvari se cupere profitentibus, ad ea jam animo cogitanda meditandaque, veluti *sitientes*, ipsos adhortari.

Τινὲς δὲ, φασὶν, διὰ τοῦτο εἰς ἔνδειαν ἦχθησαν *τῶν ἀγαθῶν*, ἵνα πόθῳ πρὸς αὐτὰ ποτε σπεύσωσι. Ὡς οὖν *οἱ διψῶντες* προσίασι ταῖς πηγαῖς, οὕτω καὶ ὑμεῖς τῷ Θεῷ, ἀντὶ παντὸς *ἀργυρίου* συναίσθησιν τῶν ἡμαρτημένων λαβόντες. Οὐκ ὠνητὰ γὰρ τὰ παρὰ Θεοῦ, οὐδὲ χρεία πρὸς μὲν σπονδὴν *οἴνου*, πρὸς δὲ [z] θυσίαν *στέατος*, ἅπερ ὠνούμενοι οὐδὲν ἀποφέρεσθε πλέον εἰς ὄνησιν, ἢ κόπον καὶ μόχθον, μὴ ὄντων ἱκανῶν δυσωπημάτων. Ἀργὰ γὰρ ταῦτα πρὸς ἁμαρτίας ἐξάλειψιν, ἣν μετάνοια ποιεῖ καὶ πίστις ἡ εἰς Θεόν. Πρὸς *ἀγαθῶν* δὲ δωρεὰν, *ἀκροατὴν* οὐκ εὐγνώμονα μόνον ζητεῖ, ἀλλὰ καὶ συνιέντα, καὶ τῷ καλοῦντι προστρέχοντα. Προσέχετε δὲ, φησὶ, τοῖς ὠσὶν· καὶ εἰ μὲν σωματικὸν ἀκατάλληλον. *Ὀφθαλμῶν* γὰρ *τὸ προσέχειν*. Εἰ δὲ κατὰ ψυχὴν, ἀκόλουθον. Ἁπλῇ γὰρ οὖσα καὶ μονοειδὴς, ἐν μιᾷ δυνάμει τὰς ἔνδον αἰσθήσεις ἐκτήσατο. Τοιγαροῦν ὀφθαλμοῖς *ἀκούει* ὁ γράμμασιν ἐντυγχάνων, καὶ δακτύλοις διαλέγεται ὁ τούτοις γράφων. Εἶτα μέμνηται τοῦ Δαβὶδ, καὶ τῆς πρὸς ἐκεῖνον σχέσεως, δι' ἣν αὐτῷ πᾶσαν παρεῖχε ῥοπὴν, ἧς τεύξεσθαι καὶ τούτους φησὶν, εἴπερ ἀκούειν ἐθέλοιεν. Οὕτω γὰρ ζήσονται, οὐ τὴν παροῦσαν μόνον ζωὴν, ἀλλὰ καὶ τὴν μέλλουσαν [a] οὐ μόνον δὲ ὑμεῖς ζηλοῦντες τὸν αὐτοῦ τρόπον καὶ τὴν μετάνοιαν, τῶν αὐτῶν τεύξεσθε, ἀλλὰ καὶ ἐν παντὶ ἔθνει δεκτὸς ὁ ζῶν ὁμοίως αὐτῷ. Οἰκεῖοι γὰρ οὐ γένος, ἀλλὰ καρδία καὶ βίος.

Sunt vero aliqui, aiunt, in *bonorum* penuriam ideo adducti, ut ea posthac vehementiori studio requirerent. Quo modo igitur *qui sitiunt*, ad fontes accedunt, sic et vos ad Deum decet properare, eorum quæ peccastis recordatione, pro quovis *argento*, munitos. Non enim sunt venalia, quæ Dei sunt : neque *vino* ad libationem opus est, aut ad sacrificium *adipe:* ex quorum emptione plus laboris et molestiæ, quam utilitatis percipitis, cum ad placationem non sufficiant. Sunt enim ista ad eluendas peccatorum sordes inepta ; quod pœnitentia et fide in Deum efficitur. Postulat vero ad *bonorum* largitionem, *auditorem* non benevolum tantum, sed intelligentem etiam, vocantique accurrentem. Quod deinde *attendere auribus* jussit si ad corpus referas, apte minus usurpatum videtur. Est enim *attendere* (Græce προσέχειν) *oculorum*. Sin autem ad animum, convenienter et commode. Ilic enim, cum simplex sit, et generis unius, in unica facultate sensus interiores sortitus est. Itaque et oculis *audit*, qui scripta legit, et loquitur digitis qui illis ipsis scribit. Adjicit præterea de Davide mentionem, quam erga illum bene animatus fuerit, unde a se nihil non auxilii senserit; qualia et istis etiam, si audire voluerint, non defutura significat. Ita enim vita non præsenti solum, sed futura etiam esse potituros. Neque vero ea ipsa vos tantum, inquit, qui mores illius et pœnitentiam æmulamini, habituri estis : sed in gente qualibet etiam fueris ille mihi gratus et acceptus, **633** qui vitam ejus imitabitur. Conciliat enim amicitiam non genus ipsum, sed animus et vita.

C

D

VARIÆ LECTIONES.

[z] *γρ.* οὐδὲ πρός. [a] *Ισ.* μέλλουσαν.

Digitized by Google

Sic igitur et vos ubique *glorificabimini*, ut omnes undique exemplo vestro, qui illuminati estis, cognoscendi Dei studio ad vos confluant, meamque familiaritatem et amicitiam ambiant : ut olim de regina Saba, deque Æthiope *eunucho* [12] audistis, cum gentis vestræ pietas ad eos etiam fama penetrasset. Atque hæc quidem illis Deus pollicebatur : ad quæ cum segnius adverterent, ad homines accedens Unigenitus *gentium* omnium vocationem operatus est. Neque vero fieri potest, inquit, ut quæ prædicta sunt absque Deo quisquam consequatur. Est igitur ipse, nulla peccatorum multitudinis habita ratione, *quærendus et invocandus*, qui eo usque misericordia abundat, ut nulla eorum immensitate superetur. Imo vero, cum repellit, nonnisi bono fine facit : et quod plane desperatum erat continuo restituit. Qui *multus* est ergo *in miserationibus*, in *ignoscendo* vobis parcus esse non potest : cum sit humanis perturbationibus nequaquam obnoxius. Homines enim quantumvis injuriam studeant condonare : ira tamen aliquando prohibentur, quoties doloris subit recordatio. Imo, si vel filiis donare aliquid statuant, eosdem persæpe futura rei ipsius privatio, quæ danda fuerat, retro solet agere, et a dando revocare. At mihi, qui remittere et condonare decrevi, nulla peccatorum veterum memoria, nullaque privatio impedimentum afferre valeat. Vos deinde, si *quod consilium* iniveritis, postea mutatis : cum me mei nunquam pœniteat. Disto enim a vobis immensis rationibus et intervallis. Cujus rei fidem ipsa vobis *pluvia* fecerit, quam terræ semel ad fructuum ubertatem largiens, revocavi nunquam : unde satis apparet nullum a me prolatum *verbum* vanum esse futurum ; vosque, si conversi *peccatorum veniam* postulaveritis, eam esse consecuturos. Ad legis præcepta deinde conversus, *vobis*, inquit, *veniam facilem efficiam ;* viribus nimirum ad eorum observationem, additis, vestrumque e captivitate **634** reditum, Cyro ipso, vestrisque hostibus, in præsidium vestrum datis, gloriosum effecero. Ut enim solventibus Ægypto cessit mare [13], utque postea ab eisdem trajectus est Jordanis [14] : sic et Tigrim illis post captivitatem pedibus esse transmissum narrant historiæ ; indeque *lætitia montes* excitatos tantam mutationem pro superiore ab hostibus inducta vastitate sensisse, ut præter usitatas arbores ; novarum etiam feturam (ita Deo benevolentiam suam testante) ediderint. Discas vero ex iis quæ dicta sunt, *Dei* immotum esse et *perpetuum consilium ;* quantumvis uno, pluribusve sæculis non impleatur.

Οὕτως οὖν καὶ ὑμεῖς πανταχοῦ *δοξασθήσεσθε*, ὡς πάντας πανταχόθεν εἰς θεογνωσίαν ἐξ ὑμῶν φωτιζομένους συρρεῖν πρὸς ὑμᾶς, οἰκειότητα ποθοῦντας τὴν πρὸς ἐμὲ, ὡς ἐπὶ τῆς βασιλίδος Σάβα, καὶ τοῦ Αἰθίοπος *εὐνούχου* γεγένηται, τῆς τοῦ ἔθνους εὐσεβείας καὶ πρὸς αὐτοὺς δραμούσης τῇ φήμῃ. Ταῦτα μὲν αὐτοῖς Θεὸς ἐπηγγέλλετο. Πρὸς δὲ τοῦτο ῥᾳθυμούντων αὐτῶν, ὁ μονογενὴς παρελθὼν εἰς ἀνθρώπους πάντων *ἐθνῶν* ἐποιήσατο κλῆσιν. Ἀδύνατον δέ φησι τῶν προεπηγγελμένων τυχεῖν ἄνευ Θεοῦ. Ὅθεν αὐτὸν *ζητητέον, καὶ κλητέον*, μὴ λογιζομένους πλῆθος ἁμαρτημάτων, καὶ τὸ εἰς αὐτὸν ἠσεβηκέναι. Πολυέλεος γάρ ἐστιν. Πόσον γὰρ πλῆθος ἁμαρτιῶν τὴν αὐτοῦ φιλανθρωπίαν νικᾷ ; καὶ ἀπωθούμενος δὲ ἐπ' ἀγαθῷ τέλει τοῦτο ποιῶ, καὶ ἀπεγνωκόσιν ἤδη τοῦτο ἀποδώσω. *Πολὺς* δὲ ὢν *ἐν οἰκτιρμοῖς*, πολλὴν ὑμῖν δώσει *τὴν ἄφεσιν*. Οὐ γὰρ ὑφίσταταί τι πάθος ἀνθρώπινον. Ἄνθρωπος γὰρ κἂν ἀφιέναι θέλῃ, διὰ θυμὸν ἔσθ' ὅτε κωλύεται τὴν τῆς λύπης δεχόμενος μνήμην. Κἂν τέκνῳ τι χαρίσασθαι θέλῃ, τοῦ διδομένου πολλάκις ἡ στέρησις ἀνακρούεται. Ἐμοὶ δὲ βουλομένῳ ἀφεῖναι καὶ δοῦναι οὐ μνήμη παλαιῶν ἁμαρτημάτων, οὐ στέρησις ἐνοχλεῖ. Καὶ ὑμεῖς μὲν *βουλευόμενοί τι*, μεταβουλεύεσθε. Ἐγὼ δὲ ἀμεταμέλητος. Ἀπείρῳ γὰρ ὑμῶν διαφορᾷ διενήνοχα. Δηλοῖ δὲ ὁ παρ' ἐμοῦ χορηγούμενος ὑμῖν *ὑετὸς*, ὃν δίδοὺς εἰς εὐκαρπίαν τῇ γῇ, οὐκ ἀνεκαλεσάμην ποτέ. Ἐξ οὗ μάθετε ὡς οὐδεὶς *λόγος* παρ' ἐμοῦ ῥηθεὶς ἔσται κενὸς, ἐὰν ἐπιστραφέντες αἰτήσητε τῶν *ἡμαρτημένων τὴν ἄφεσιν*. Καὶ πρὸς τὰς ἐντολὰς δὲ τοῦ νόμου, φησὶν, *ὑμᾶς εὐοδώσω, δίδους* ἰσχὺν πρὸς τὸ φυλάττειν αὐτὸν, καὶ τὴν ἐκ τῆς αἰχμαλωσίας ἐπάνοδον ἔνδοξον, καὶ ὑπὸ Κύρου καὶ τῶν ἐχθρῶν δορυφορουμένην ποιήσω. Ὡς γὰρ ἐξ Αἰγύπτου, φασὶ, χωρούντων ὑπεχώρει τούτοις ἡ θάλαττα, διαβατὸς δὲ καὶ Ἰορδάνης ἐγένετο · οὕτως ἱστορεῖται μετὰ τὴν αἰχμαλωσίαν ὁ Τίγρις ποδὶ γενέσθαι διαβατός. Καὶ ὡς ἐν *ἀγαλλιάσει* κινηθῆναι *τὰ ὄρη*, καὶ τοσαύτην σχεῖν μεταβολὴν ἀντὶ τῆς καταλαβούσης ἐκ τῶν πολεμίων ἐρημίας, ὡς καὶ ξένων δένδρων, παρὰ τὰ ὄντα, βλάστην ἐκδοῦναι, τῆς τοῦ Θεοῦ δεικνυμένης ἐξ αὐτῶν εὐμενείας. Ἐκ δὲ τῶν εἰρημένων ἐπίστηθι ὡς ἀμετάθετος ἡ *βουλὴ τοῦ Θεοῦ δι' αἰῶνος*, κἂν μὴ ἐπὶ μιᾶς ἢ πλειόνων γενεῶν πληρωθῇ.

CAP. LVI.

635-636 Vers. 1-11. *Hæc dicit Dominus : Custodite judicium, et facite justitiam. Instat enim salus mea, ut veniat, et misericordia mea, ut reveletur. Beatus vir qui facit hæc, et homo qui retinet ea, et custodit Sabbata, ut non profanet ea, et servat manus suas, ne faciat iniqua*, etc.

ΚΕΦΑΛ. ΝϚ'.

α'-ια'. *Τάδε λέγει Κύριος· Φυλάσσεσθε κρίσιν, καὶ ποιήσατε δικαιοσύνην. Ἤγγικε γὰρ τὸ σωτήριόν μου παραγίνεσθαι, καὶ τὸ ἔλεός μου ἀποκαλυφθῆναι. Μακάριος ἀνὴρ ὁ ποιῶν ταῦτα, καὶ ἄνθρωπος ὁ ἀντεχόμενος αὐτῶν, καὶ φυλάσσων τὰ Σάββατα μὴ βεβηλοῦν · καὶ διατηρῶν τὰς χεῖρας αὐτοῦ, μὴ ποιεῖν ἄδικα*, κ. τ. λ.

637 Post explicatam de gentibus prophetiam, Περιγράψας ὁ λόγος τὴν περὶ τῶν ἐθνῶν προφη-

[12] III Reg. x, 1 seqq. ; Act. 8, 27. [13] Exod. 14, 22. [14] Josue III, 17.

Digitized by Google

τείαν, ἐπὶ τὸ τῶν Ἰουδαίων τάγμα μετέβη τῶν τότε τῷ προφήτῃ συνόντων, οἵτινες ἐφρόνουν ἐπ' εὐγενείᾳ, καὶ τῷ φυλάττειν τὰ Σάββατα, καὶ τὸ πολύγονον εὐσεβείας ἐνόμιζον γέρας, ὡς ἀναπίπτειν ἐντεῦθεν τοὺς *προσηλύτους καὶ τοὺς εὐνούχους*· τοὺς μὲν ὡς εὐγενείας, τοὺς δὲ ὡς παίδων ἐστερημένους. Διὸ δείκνυσι Θεὸς ἐν τρόποις εἶναι καὶ ταῖς ἀρεταῖς τὸ μακάριον. Ὁ γὰρ ἐστερημένος *δικαιοσύνης καὶ κρίσεως*, κἂν τι τῶν εἰρημένων ἔχῃ, λίαν ἐστὶν ἀνόνητος. Ὅθεν φησί· Πάσης ἀκρίτου παύσασθε γνώμης, *κεκριμένῳ* λογισμῷ μετιόντες *τὸ δίκαιον*· ἤγουν, Τὰ ὀρθὰ φυλάττετε *κρίματα*, ἢ τὰ θεῖα *κρίματα*, *δηλονότι* τὰς ἐντολάς. Δεῖ δὲ καὶ λογισμῷ φυλάττειν, καὶ ἔργῳ ποιεῖν. Διό φησι· *καὶ ποιεῖτε δικαιοσύνην*, μισθὸν ἐπαγγειλάμενος *τὸ σωτήριον καὶ τὸ ἔλεος*, ἤ, κατὰ τοὺς λοιποὺς, τὴν *δικαιοσύνην*. Τινὲς δέ φασιν· Ἵνα μὴ νομίσωσιν ἐπὶ τὴν τοῦ νόμου τήρησιν τὴν ἐν σκιαῖς καὶ τύποις παρακαλεῖσθαι, *ἐγγὺς εἶναι*, φησὶ, *τὸ σωτήριον, καὶ τὸ ἔλεος*, τοῦτ' ἔστι Χριστόν. Ἐλεήσας γὰρ ἡμᾶς, διὰ τῆς ἀφέσεως ἔσωσεν. Οὕτω καὶ Ἀμβακούμ· « Ἔτι μικρὸν, καὶ ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. » *Ἀποκαλυφθῆναι* δέ φησιν, ἐπειδὴ προὔλεγον μὲν οἱ προφῆται περὶ αὐτοῦ, ἐν ἰδίοις δὲ καιροῖς ἐφανερώθη. Τοῦτο καὶ Δαβὶδ ἔλεγεν· « Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ ἐναντίον τῶν ἐθνῶν. Ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ. » Ἐπὶ τοιαύταις οὖν ἐλπίσιν ἐπιλέγει, *Μακάριος ἀνὴρ ὁ ποιῶν ταῦτα. Τὴν κρίσιν* λέγει *καὶ τὴν δικαιοσύνην*, ἀλλ' οὐχ ὁ προτερήμασι κομπάζων σωματικοῖς, εὐγενείᾳ τε καὶ πολυπαιδίᾳ. Συνῳδὰ τούτοις ἔλεγεν Ἰωάννης ὁ Βαπτιστής· « Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, καὶ μὴ δόξητε λέγειν, Πατέρα ἔχομεν τὸν Ἀβραάμ. » Ὁμοίως καὶ ὁ Σωτήρ· « Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν. »

Δεῖ δὲ πρὸς *τῷ φυλάττειν* [Σάββατα], *καὶ ἀντέχεσθαι τῆς δικαιοσύνης, καὶ κρίσεως*, καὶ μὴ παρέργως ἐπ' αὐτὰ χωρεῖν. Μετὰ τούτων γὰρ καὶ *ἡ φυλακὴ τῶν Σαββάτων* ἐπαινετὴ, ἥτις ἐστὶν οὐχ ἁπλῶς ἐν ἀργίᾳ, ἀλλ' ἐν τῷ *τὰς χεῖρας*, τοῦτ' ἔστι τὰς πράξεις καθαρὰς ἀτόπων ἔργων τηρεῖν. Οὕτω γὰρ δεῖ *Σαββατίζοντας* θυσίας προσάγειν πνευματικάς. Εἶτα παραμυθεῖται *τοὺς προσηλύτους καὶ τοὺς εὐνούχους*, ὡς οὐδενὸς τῶν μεγάλων ἐστερημένους σωματικῆς εὐγενείας καὶ παίδων γονῆς. Οὐ γὰρ ἐμποδίσει ταῦτα τῶν θείων τυχεῖν ἀγαθῶν, εἰ ζῷεν θεοσεβῶς, τῷ *δικαιοπραγεῖν* ὡς δεῖ *Σαββατίζοντες*. Οὐ γὰρ ψιλὰ θέλει *τὰ Σάββατα* ὁ κατ' ἀρχὰς εἰπὼν τοῦ βιβλίου· « Τὰς νουμηνίας ὑμῶν, καὶ τὰ Σάββατα, καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· » ἀλλ' εἰ καὶ ἔδει τότε σωματικῶς τηρεῖσθαι, διὰ τὴν παραγγελίαν τοῦ νόμου *τὸ Σάββατον*, *μετὰ κρίσεως καὶ δικαιοσύνης ἦν τηρητέον*. Οὐκ ἄρα παραβλάψει *τὸν ἀλλογενῆ* τὸ νόθον τοῦ γένους. Ἀρέσκων γὰρ Κυρίῳ εἰς ἔθνος ἅγιον καὶ ἐν τέκνοις τελέσει τοῦ

A ad Judæos jam transit oratio; qui prophetæ tem-
poribus viventes, generis nobilitate superbiebant,
prolisque fecunditatem pietatis esse præmium exi-
stimabant: unde qui *alienigenæ eunuchique* erant,
animis concidebant: hi quidem, tanquam ignobi-
les; illi autem, ut infecundi, liberisque carentes.
Quo fit ut in moribus ipsis, et virtutibus, esse
beatitatem demonstret Deus. Neque enim quidquam
profecerit, qui prædicta habeat, si *justitia et ju-*
dicio careat. Omnes vos igitur, inquit, abjecta
mentis inconstantia, certo *judicio*, quod *justum* est
quærite. Nimirum, recta *judicia*: aut etiam divina;
id est, Dei præcepta *custodite*. Decet vero illa et
animo custodire, et reapse præstare: quo fit ut
justitiam facere jubens, *salutem et misericordiam*,
B aut secundum reliquos, *justitiam*, in præmium
polliceatur. Putant nonnulli, ne videatur ad legis
umbram, typorumque observationem adhortari,
salutem et misericordiam, id est Christum, *prope*
esse significare; cujus miseratione per remissio-
nem servati sumus. Quod confirmat et Habacum
his verbis: « Adhuc modicum, et qui venit, ade-
rit, neque tardabit [45]. » Ideo autem *revelatum esse*
dixit, quod quæ de eo prophetæ prædixerant, suis
temporibus in lucem prodierint, juxta illud Davi-
dis: « Notum fecit Dominus salutare suum. In
conspectu gentium revelavit justitiam ejus [46]. » Ea
spe igitur concludit *Beatum esse virum qui ista fa-*
ciat, *judicium* nimirum *et justitiam*: non qui cor-
poris prærogativis, nobilitate scilicet, et prole su-
C perbiat. Quibus et illa consentiunt, quæ a Joanne
638 Baptista in hunc modum usurpata legimus:
« Facite ergo fructus dignos pœnitentiæ, neque
videamini dicere: Patrem habemus Abraham [47]. »
Et illa etiam, quæ a Salvatore: « Si filii Abraham
essetis, opera Abrahæ faceretis [48]. »

Opus est vero *ad Sabbatorum observationem,*
justitiam tueri et judicium; non frigide, non oscitanter ad eorum observationem accedere. Est enim
cum istis laudanda *Sabbatorum observatio;* non
illa iners plane; sed quæ *manus*, id est actiones,
ab impuritate alienas conservet. Ita enim eos, qui
Sabbata observant, spirituales hostias decet offerre.
Alienigenas deinde *et eunuchos* consolatur, tanquam
D levis jactura sit, si sanguinis nobilitate, prolisque
fecunditate destituantur: cum divinorum honorum
perceptionem talia non impediant; qua tantum po-
tientur, qui *justitiam colunt* et pietatem; in quo vera
Sabbatorum posita sit *observatio*. Non enim nuda
exposcit *Sabbata*, qui se libri hujus initio [49], eo-
rum Kalendas, et Sabbata, diemque magnum ferre
non posse professus est. Imo vero, etiam si tum
corporaliter observari *Sabbatum* ex legis præcepto
oporteret, *cum judicio* tamen *et justitia* etiam
fuerat custodiendum. Non igitur *alienigenam* ipsa
generis offendet varietas. Quin potius inter Abrahæ

[45] Habac. II, 3; Hebr. X, 37. [46] Psal. XCVII, 2. [47] Matth. III, 8; Luc. III, 8; [48] Joan. VIII, 39.
[49] Isa. I, 12.

Digitized by Google

illios et in gentem sanctam, si Deo placuerit, ipse censebitur. « Neque enim omnes qui de Israele sunt, ii sunt Israelitæ, ait Paulus; neque quia sunt semen Abrahæ, prorsus et filii : sed qui sunt filii promissionis, in semen reputantur [50]. » Non est deinde Abrahamo facta promissio in eorum gratiam tantum, qui suum essent ab eo genus originemque deducturi; sed eorum causa etiam, qui fidem amplecterentur; quia est et ipse ratione justus effectus. Imo ne *eunucho* quidem, modo pius exsistat, ipsa nocuerit sterilitas, quamtumvis numerosa proles postulante tempore benedictionis loco habita sit. Pollicetur ergo se illis pro liberorum multitudine, *in sua domo suisque mœnibus locum celebrem* **639** *esse daturum*; aut secundum alios interpretes, *manum et nomen filiis et filiabus præstantius*. *Dabo* vero etiam *nomen ipsis*, ait, *perpetuum quod non eripietur* : cujusmodi illud fuit, quod Jacobo inditum [51], eumdem Israelem, id est divinitatis contemplatorem revera præstitit.

A Ἀβραάμ. « Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραὴλ, » ὡς ὁ Παῦλός φησιν. Οὐδ' ὅτι εἰ εἶ [b] σπέρμα Ἀβραάμ, πάντως καὶ τέκνα. » Ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. καὶ ἡ ἐπαγγελία δὲ τῷ Ἀβραὰμ οὐκ ἐπὶ μόνοις δέδοται τοῖς ἐξ αὐτοῦ, ἀλλὰ καὶ πᾶσι τοῖς διὰ πίστεως. » Ἐδικαιώθη γὰρ οὕτως Ἀβραάμ. Ἀλλ' οὐδὲ τὸν *εὐνοῦχον* θεοσεβοῦντα παραβλάψει τὸ ἄγονον, εἰ καὶ ἡ πολυπαιδία καιροῦ καλοῦντος ἐν εὐλογίας δέδοται τάξει. Ἀντὶ τῆς οὖν πολυτεκνίας *δώσειν* αὐτοῖς ἐπαγγέλλεται *ἐν τῷ οἴκῳ, καὶ ἐν τῷ τείχει αὐτοῦ, τόπον ὀνομαστόν*· ἢ κατὰ τοὺς λοιποὺς ἑρμηνευτάς· *Χεῖρα καὶ ὄνομα βέλτιον υἱῶν καὶ θυγατέρων*. *Καὶ ὄνομα* δὲ, φησὶν, *αἰώνιον δώσω αὐτοῖς ὃ οὐκ ἐξαρθήσεται*, ὁποῖον ἦν τὸ δοθὲν Ἰακὼβ, καὶ ποιῆσαν αὐτὸν B Ἰσραὴλ, ἄνθρωπον θεωρὸν Θεοῦ. Τοῦτο γὰρ σημαίνει τὸ ὄνομα, ὃ καὶ γέγονεν ἔργον.

Quod si etiam sunt aliqui, qui se, ut Salvator loquitur [52], propter regnum cœlorum castraverint; quia multæ sunt apud Patrem mansiones [53], estque urbs Dei cœlestis illa *Jerusalem*; et *locum* etiam eis inibi, intra *urbis* hujus *muros* concedi consentaneum est : vel in ipsa etiam, quæ in terris est, Ecclesia; in qua excellunt puritate et honestate viri illi percelebres, qui gloriam istam in Domino numerosa prole meliorem putant; ejusque, id est Christi, *Sabbata* vera, non umbrosa illa *custodiunt*. Atque hæc quidem qui fecerint, vel *alienigenas* exsistentes *in montem sanctum suum inducturum* se denuntiat. *Victimasque* ab eis, precum videlicet et laudis; aut etiam corporeas, si de his sermo sit, quæ ante adventum offerebantur, *accepturum*. *Patere* enim *domum suam gentibus omnibus* : ut Israelitarum fastum reprimat, qui gentibus insultantes, *partem* se et *sortem* Dei, populumque sanctum appellare non verebantur; imo et beatos ideo prædicare, quod sibi quæ Deo placerent, cognita essent. Sed vide jam, qui prioribus antiquatis, recentia omnia evaserint. Cavet enim lex Ammonitas et Moabitas Ecclesiam Domini ingredi; cum Christus *omnes* in sanctam Ecclesiam [54], quæ *sancti montis* nomine significatur, *inducturum* se polliceatur : in quam qui admittentur, ejusdem donis oblectabuntur. Deinde, tanquam a legis cultu facta demonstratione, *acceptas eorum fore victimas* dicit. Percommode id quidem, cum sint veluti quædam *holocausta*, quotquot se totos Deo consecrarunt : cæteri autem quædam, quæ ex parte tantum cremantur, victimæ; quales ii sunt, **640** qui matrimonium amplexi, vitam Deo simul et mundo tribuunt.

Εἰ δὲ καὶ, κατὰ τὸν λόγον τοῦ Σωτῆρος, εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, ἐπειδὴ πολλαὶ μοναὶ παρὰ τῷ Πατέρι, καὶ ἔστι πόλις Θεοῦ *Ἱερουσαλὴμ* ἐπουράνιος· ἀκόλουθον ἐκεῖ δίδοσθαι *τόπον αὐτοῖς ἐν τῷ τείχει* ταύτης *τῆς πόλεως*· ἤγουν καὶ τῆς ἐπὶ γῆς Ἐκκλησίας, ἐν ᾗ διαπρέπουσιν ἄνδρες ἁγνείᾳ καὶ σεμνότητι σύντροφοι, καὶ πολυπαιδίας κρείττω τὴν ἐπὶ τούτοις ἐν Κυρίῳ δόξαν ἡγούμενοι καὶ *φυλάττοντες τὰ Σάββατα* αὐτοῦ, δηλονότι Χριστοῦ, ἀληθῆ καὶ οὐ σκιώδη τυγχάνοντα. Τὰ αὐτὰ δὲ πράττοντας καὶ *τοὺς ἀλλογενεῖς εἰσ-* C *άξειν εἰς ὄρος ἅγιον αὐτοῦ* ἐπαγγέλλεται, *δέξεσθαί* τε παρ' αὐτῶν *θυσίας*, δηλαδὴ τὰς δι' εὐχῶν καὶ αἰνέσεως, ἢ καὶ τὰς σωματικὰς, εἰ περὶ τῶν πρὸ τῆς παρουσίας ὁ λόγος. *Τὸν γὰρ οἶκον αὐτοῦ πᾶσιν ἀνεῷχθαι τοῖς ἔθνεσιν*, τῶν ἐξ Ἰσραὴλ διελέγχων τὸν τῦφον, οἳ κατεφρόνουν τῶν ἀλλογενῶν, *μερίδα* καὶ *κλῆρον* Θεοῦ, καὶ λαὸν ἅγιον ἑαυτοὺς ὀνομάζοντες, καὶ λέγοντες· « Μακάριοι ἐσμὲν Ἰσραὴλ, ὅτι τὰ ἀρεστὰ Κυρίῳ γνωστὰ ἡμῖν ἐστιν. » Καὶ ὅρα πῶς παρῆλθε τὰ ἀρχαῖα, καὶ γέγονε πάντα καινά. Ὁ μὲν γὰρ νόμος φησίν· Οὐκ εἰσελεύσεται Ἀμμανίτης καὶ Μωαβίτης εἰς Ἐκκλησίαν Κυρίου. Ὁ δὲ Χριστὸς *πάντας εἰσάξειν* εἰς τὴν ἁγίαν Ἐκκλησίαν ἐπαγγέλλεται. Αὐτὴ γὰρ *ὄρος τὸ ἅγιον*. Εἰς ἣν εἰσελθόντες τοῖς ἐξ αὐτοῦ χαρίσμασιν ἐνευφραίνονται. Ὡς D δὲ ἐκ παραδείγματος τῆς κατὰ νόμον λατρείας, *δεκτὰς αὐτῶν ἔφη γίνεσθαι τὰς θυσίας*. Ἀναλόγως γὰρ, τῶν μὲν *ὁλοκαυτουμένων*, ὅσοι δι' ὅλων ἑαυτῶν καθιέρωνται τῷ Θεῷ· τῶν δὲ ἐκ μέρους, ὁποῖα τῶν ἐν Κυρίῳ γεγαμηκότων ἡ ζωὴ, μεμερισμένη Θεῷ τε καὶ κόσμῳ.

At vero non *gentibus* solum mansuetus futurus est Salvator. *Congregabit* enim, inquit, etiam *disper-*

Πλὴν οὐ μόνοις ἥμερος τοῖς ἐξ *ἐθνῶν* ὁ Σωτήρ. *Συνάξει* γὰρ, φησὶ, καὶ τοὺς *διεσπαρμένους Ἰσραήλ*.

[50] Rom. IX, 6, 7. [51] Gen. XXXV, 10. [52] Matth. XIX, 12. [53] Joan. XIV, 2. [54] Deut. XXIII, 3.

VARIÆ LECTIONES.

[b] γρ. εἰσί.

Digitized by Google

Ἀπέστησαν γὰρ τῆς ἐν νόμῳ πολιτείας μᾶλλον, ἢ τῆς Ἰουδαίας ἔξω γεγόνασιν, εἰδωλολατροῦντές τε καὶ διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων. Ἐξ ὧν ὁ ἐπισυναχθεὶς ἐκ τῆς διασπορᾶς Ἰσραὴλ, οἵτε πάλαι θεοσεβεῖς, καὶ τοῦ Σωτῆρος οἱ μαθηταί. Τὰ θηρία δὲ τοῦ δρυμοῦ τὰ μετὰ τοῦ Ἰσραὴλ συναγόμενα σημαίνει τοὺς ἐθνικούς. Δρυμὸν γὰρ συνήθως καλεῖ τὸ πλῆθος τῶν ἀλλοφύλων ἐθνῶν, ἅπερ εἰς ἑστίασιν ἀναχαλεῖται πνευματικήν. Διὸ κατὰ τὸν Ἀκύλαν ἀντὶ τοῦ, *πάντα τὰ θηρία*, *πᾶν ζῶον αὐτοῦ* εἴρηται. Καὶ πάλιν *πάντα τὰ ζῶα αὐτοῦ*. Τίνος δὲ *αὐτοῦ*, ἢ τοῦ Θεοῦ; οὐχ ἁπλῶς δὲ *τὰ θηρία* καλεῖ, ἀλλὰ τὰ *αὐτοῦ*. Ἐθηριώθησαν γὰρ ὑπὸ τυράννῳ τεθραμμένοι τῷ διαβόλῳ, καὶ ζῶντες οὐκ ἀνθρωπίνως. Ἀλλὰ νῦν αὐτοὺς ἐπὶ τράπεζαν καλεῖ τὴν νοητὴν, τὸν ἄρτον *φαγεῖν* τῆς ζωῆς, ὥς τε χαίροντας λέγειν· « Ἡτοίμασεν ἐνώπιόν μου τράπεζαν. » Καὶ δι' ἑτέρου δὲ προφήτου φησί· « Φάγετε καὶ πίετε καὶ μεθύσθητε οἱ πλησίον. » Μακρὰν γὰρ ὄντες Θεοῦ, διὰ πίστεως ἤγγισαν, καὶ μετέχουσιν ἄρτου τοῦ στηρίζοντος καρδίαν ἀνθρώπου. Κατὰ δὲ τὴν ἱστορίαν διχῶς νοήσεις. Ἡ γὰρ διὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπιστροφὴν τοῦ λαοῦ τὴν ἐπὶ Κύρου καὶ Δαρείου καὶ Ἀρταξέρξου γενομένην λέγων *συνάξειν τὸν Ἰσραὴλ*, μετ' αὐτῶν καὶ *τὰ θηρία συνάξειν* φησίν. Τότε γὰρ εἰκὸς ἦν καὶ πλῆθος αὐτοῖς ἀλλοφύλων *ἐθνῶν προσηλυτεῦσαι*, οὓς διὰ τὸ ἀλλογενὲς καὶ ἄγριον *θηρία* καλεῖ. Ἡ θηρία συνήθως φησὶ τοὺς καταδηώσαντας *τὸν Ἰσραὴλ*, καὶ ὅλῳ στόματι *φαγόντας* αὐτὸν, διὰ τὴν εἰς Χριστὸν ἀσέβειαν. Διὸ καὶ ὡς *θηρία πρὸς βρῶσιν αὐτοὺς τοῦ ἔθνους* καλεῖ, καὶ τὸ εὔλογον τῆς κολάσεως ἐπιδείκνυται λέγων· *Ἴδετε ὅτι πάντες ἐκτετύφλωνται.*

A *sos Israel* : qui a legis instituto longius, quam a terra patria, recesserunt ; dum se idolorum cultui manciparent, hominumque doctrinas et mandata docerent [58] : quorum de numero tamen ille ipse fuit Israel, qui de *dispersione collectus est*, veteresque pii, et ipsi etiam Salvatoris discipuli. Significantur vero *ferarum saltus* nomine, gentes ipsæ, quæ sunt post Israelem *congregatæ*. *Saltum* enim usitate alienigenarum gentium multitudinem appellat, quas ad spirituales epulas invitat. Indeque est quod in Aquilæ interpretatione, pro quo *omnes bestiæ* habemus, *omne animal ejus* scribatur. Et rursum : *Omnes feræ ejus*. Cujusnam autem *ejus*, nisi Dei ipsius ? Neque vero *feras* appellavit simpliciter, sed *ejus* provocabulum addidit. In *ferarum* B enim naturam transierunt, qui sub diaboli tyrannide vitam vixerunt ab omni humanitate alienum : quos tamen ad intelligibilem mensam nunc invitat [59] ; panis vitæ scilicet *comestionem* ; ut læti illud : « Parasti in conspectu meo mensam [57], » usurpare queant. Est vero apud prophetam alium et istud : « Comedite et bibite, et inebriemini, qui prope estis [58]. » Cum enim a Deo longe abessent, per fidem ad eum accesserunt, panisque illius, qui cor hominis confirmat [59], participes effecti sunt. Quod si ad historiam referas, hoc modo sensus duplex esse potest. Aut enim propter populi reversionem a Babylone, quæ sub Cyro, sub Dario, atque Artaxerxe contigit, *Israelem se congregaturum* dicens, et *feras* etiam eis *coacturum* se significat. Est enim C consentaneum *alienigenarum* quoque *gentium* numerum aliquem sese illis adjunxisse ; quos propter generis diversitatem, morumque duritiem *feras* appellat. Aut etiam congrue et familiariter eos magna in Christum impietate *comederent*. Itaque ita indicavit, qui *Israelem* dirupuerunt, totoque ore, et eos, qui sunt *de gentibus*, tanquam *feras* **641** *ad comestionem* invitat, justamque vindictæ rationem ostendit, dum *cæcos omnes factos* jubet *intueri*.

Τινὲς δέ φασιν ὡς προγνοὺς ὅτι τὰ μὲν *θηρία* πεισθήσεται τῷ κηρύγματι, ἐν ἀπιστίᾳ δὲ τὸ Ἰουδαίων πλῆθος μενεῖ, *τυφλοὺς* εἰκότως *αὐτοὺς* ἀπεκάλεσεν, οἳ μηδὲ τοῖς *θηρίοις* γεγόνασιν ἴσοι. Ἀντὶ δὲ τοῦ, *Ἴδετε ὅτι ἐκτετύφλωνται*, Σύμμαχος καὶ Θεοδοτίων, *οἱ σκοποὶ αὐτοῦ*, φασὶ, *τυφλοί*. Ἀκύλας δὲ *σκοπευταί*. Ἀντὶ δὲ τοῦ *ἐνεοί*, Σύμμαχος *ἄλαλοι*. Ἀκύλας δὲ *μογιλάλοι*. Νοήσεις δὲ τοὺς ἐνταῦθα *σκοποὺς τυφλοὺς* ἐξ ἑτέρων διορατικῶν σκοπῶν, περὶ ὧν ἐλέγετο. *Φωνὴ τῶν φυλασσόντων σε ὑψώθη*. Ἀνθ' οὗ οἱ λοιποὶ· *Φωνὴ τῶν σκοπῶν σου ἐπῆρε φωνήν*. Ἦν δὲ περὶ τῶν ἀποστόλων ὁ λόγος τῶν διορατικῶν τῆς Ἐκκλησίας σκοπῶν. Καὶ πρὸς Ἰεζεκιὴλ δέ φησιν· Υἱὲ ἀνθρώπου, σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραήλ. Ἐνταῦθα δὲ οἱ τοῦ Ἰουδαίων ἔθνους ἄρχοντες *τυφλοὶ σκοποὶ* λέγονται, *καὶ κύνες ἐνεοὶ οὐ δυνάμενοι ὑλακτεῖν*, οὐδὲ τῆς τοῦ Θεοῦ *πολίμνης* ἀπελαύνειν τοὺς λύκους. Καὶ πῶς [d] οἱ πρώτους ἑαυτοὺς *ἐκτυφλώσαντες*, καὶ τὸ φῶς τὸ

D Aiunt vero nonnulli quia *feras* prædicationi crediturus prævidisset, in infidelitate autem permansuram esse Judæorum multitudinem, *excæcatos illos* ideo merito nuncupasse, quod *feras* immanitate superarent. Cæterum pro quo : *Videte quoniam cæci facti sunt*, habemus. *Custodes ejus cæci* dixerunt Symmachus et Theodotio ; Aquilas autem *speculatores*. Item, *muti* ; *sermonis experles* Symmachus ; Aquilas autem, *lingua impediti*. Intelligas vero quinam hoc loco *cæci custodes* dicantur, si cum oculatis et perspicacibus aliis conferas, de quibus est illud, quod sequitur : *Vox custodientium te elevata est*. Quod ita cæteri interpretantur : *Vox custodum tuorum vocem extulit*. Est autem de apostolis sermo, qui perspicaces et acuti fuerunt Ecclesiæ oculi. Sunt ad Ezechielem ista : « Fili hominis, custodem dedi te domui Israel [60]. » Dicuntur vero hoc loco Judaicæ gentis principes *cæci custodes*, *et canes muti non valentes latrare*, neque

[58] Isa. xxix, 13 ; Matth. xv, 8. [59] Joan. vi, 50 seqq. [57] Psal. xxii, 5. [58] Jerem. xxv, 27. [59] Psal. ciii, 15. [60] Ezech. iii, 17.

VARIÆ LECTIONES.

[c] γὰρ ἡ. [d] Ισ. εἰσί.

Digitized by Google

a Dei pecore lupos arcere. Sed qui se primi *excæcarunt*, veramque lucem non admiserunt, cum aperte clamantem, « Ego sum lux mundi [61], » audierint? Et rursum : « Qui sequitur me non ambulabit in tenebris, sed habebit lumen vitæ [62]. » De his nimirum illa sunt, quæ apud prophetam reperias : « Cum lucem exspectarent, factæ sunt illis tenebræ. Cum splendorem, in caligine ambulaverunt [63]. » Et ista etiam Salvatoris : « Cæci sunt cæcorum duces [64]; » quod est ad mentem referendum. Atque hinc est quod eos hoc loco propheta *sapere non novisse* adjecit, ad quod his verbis adhortatur et David : « Apprehendite disciplinam, nequando irascatur Dominus, et pereatis de via justa [65]. » Sicut infidelibus contigit, qui a via evangelica aberrantes ob id cum grege perierunt, B quod non solum, *ut canes*, eum non custodirent; sed **642** luporum more in eumdem sævirent [66]; qualia de ipsis hunc in modum legimus : « Sacerdotes tui non dixerunt : Ubi est Dominus? et qui legem tenent me ignorarunt [67]. » Et pastores impie in me egerunt, qui ne ad *latratum* quidem usque progressi sunt : sed nihil omnino a *dormientibus* differentes, vanis tantum imaginationibus, veluti *qui somniant*, attenderunt; quo factum est, *ut visis delectari* Symmachus, *somnia et dormitationem amare* dixerint.

Tales igitur in extraneos contra quos vigilantes et sobrios esse oportuit, ipsi se præstiterunt, in domesticos autem impudentes, qui commissa sibi pecora, magna et inexplebili cupiditate depascerent. Jura enim corrupti donis evertebant, sicut est a propheta prius exprobratum, ubi eos furum socios esse donaque diligere conquestus est. Quin et cum Deo Habacum expostulans in hæc verba etiam erumpit : « Ex adverso mei factum est judicium; et judex accipit, eam ob rem dissipata est lex, neque in finem educitur judicium; quia impius prævalet adversus justum [68]. » Eo ipso deinde quod decimas tantum de fructibus percipere debebant, anethum, et mentham, cuminumque ipsum decimabant : justitiam vero, misericordiam et fidem, teste Salvatore [69], negligebant. Quo factum est, ut *omnes vias suas*, non Dei *secutos esse* dixerit. Neque vero tales se tantum sigillatim præstiterunt, sed unam omnes opinionem secuti mala concilia inierunt : cujus generis illa fuerunt quæ in Christum et apostolos habuerunt. Cum enim quam Dei amantiores præbuerunt.

CAP. LVII.

VERS. 1-14. *Videte quomodo justus periit, et nullus vir suscipit corde. Et viri justi tolluntur, neque quisquam est, qui consideret. A facie siquidem iniquitatis sublatus est justus. Erit in pace sepultura ejus, sublata est de medio. Vos autem accedite huc, filii iniqui, semen adulterorum, et meretricis*, etc.

Itaque nefaria eorum in Christum et justos con-

A ἀληθινὸν μὴ δεξάμενοι; καίτοι σαφῶς ἐδόα· « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. » Καὶ πάλιν· « Ὁ ἀκολουθῶν ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς· » περὶ ὧν ὁ προφήτης φησίν· « Ὑπομεινάντων αὐτῶν φῶς, ἐγένετο αὐτοῖς σκότος· μεινάντων αὐγὴν, ἐν ἀωρίᾳ περιεπάτησαν. » Καὶ ὁ Σωτὴρ δέ φησι· « Τυφλοί εἰσι τυφλῶν ὁδηγοί, δηλονότι τὴν διάνοιαν. » Ὅθεν ἐπήγαγε νῦν ὁ προφήτης, καὶ *οὐκ ἔγνωσαν φρονῆσαι*. Δι' ὅπερ αὐτοῖς παρεκελεύετο καὶ Δαβίδ· « Δράξασθε παιδείας, μή ποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας. » Ὡς μὴ πεισθέντες ἐκ τῆς ὁδοῦ τῆς εὐαγγελικῆς ἀπολώλασι σὺν αὐτοῖς, οἷς ἐποίμαινον, πρὸς τῷ μὴ φυλάττειν *ὡς κύνες*, τὰ τῶν λύκων ποιήσαντες, ὡς λέγεσθαι περὶ αὐτῶν· « Οἱ ἱερεῖς οὐκ εἶπον, Ποῦ ἐστι B Κύριος; καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου, οὐκ ἠπίσταντό με. » Καὶ οἱ ποιμένες ἠσέβουν εἰς ἐμέ. Οἳ οὐδὲ μέχρι τοῦ *ὑλακτεῖν* ἐχώρουν, ἀλλὰ καὶ οὐδὲν *καθευδόντων* διαφέροντες φαντασίαις προσεῖχον μόναις ὥσπερ *ἐνυπνιαζόμενοι*. Διὸ Σύμμαχος μέν φησιν· *ὁραματιστὰι κοιμώμενοι, ἀγαπῶντες ῥυστάζειν*. Ὁ δὲ Ἀκύλας· *φανταζόμενοι κοιμώμενοι, ἀγαπῶντες ῥυστάξαι*.

Καὶ τοιοῦτοι μὲν ἦσαν πρὸς τοὺς ἐκτὸς, καθ' ὧν ἔδει διεγρηγορέναι καὶ νήφειν. Πρὸς δὲ τοὺς οἰκείους ἀναιδεῖς, κατεσθίοντες τὰ ὑποκείμενα θρέμματα, καὶ τοῦτο λίαν ἀπλήστως. Παρεδίκαζον γὰρ διὰ δῶρα, καθάπερ ἔφη προλαβὼν προφήτης· κοινωνοὶ C κλεπτῶν, ἀγαπῶντες δῶρα. Καὶ Ἀμβακοὺμ δὲ πρὸς τὸν Θεὸν ἀγανακτητικὰς εἰπὼν φωνὰς ἐπιφέρει· « Ἐξ ἐναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει. Διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐκ ἐξάγεται εἰς τέλος κρῖμα, ὅτι ὁ ἀσεβὴς καταδυναστεύει τὸν δίκαιον. » Καὶ τοῦ δὲ καρποῦσθαι τὰς δεκάτας μόνον, ἐγίνοντο ἀποδεκατοῦντες τὸ ἄνηθον καὶ τὸ ἡδύοσμον καὶ τὸ κύμινον, καὶ παρορῶντες τὴν κρίσιν, καὶ τὸ ἔλεος καὶ τὴν πίστιν, καθά φησιν ὁ Σωτήρ. Ταύτης ἕνεκα τῆς αἰτίας *πάντες* φησὶ *ταῖς ὁδοῖς αὐτῶν ἠκολούθησαν*, οὐ τῇς ὁδοῖς τοῦ Θεοῦ. Καὶ οὐ καθ' ἕνα μόνον ἦσαν τοιοῦτοι, ἀλλὰ καὶ κατὰ τὸ αὐτὸ συνέδρια ποιούμενοι πονηρὰ, οἷα τὰ κατὰ Χριστοῦ, καὶ τῶν ἀποστόλων. *Ταῖς* γὰρ *ὁδοῖς αὐτῶν ἀκολουθοῦντες* φιλήδονοι μᾶλλον ἦσαν, ἢ φιλόθεοι.

suas illi vias sequerentur, voluptatum se suarum, D

ΚΕΦΑΛ. ΝΖ'.

α-ιδ'. *Ἴδετε ὡς ὁ δίκαιος ἀπώλετο, καὶ οὐδεὶς ἀνὴρ ἐκδέχεται τῇ καρδίᾳ. Καὶ ἄνδρες δίκαιοι αἴρονται, καὶ οὐδεὶς κατανοεῖ. Ἀπὸ γὰρ προσώπου ἀδικίας ἦρται ὁ δίκαιος. Ἔσται ἐν εἰρήνῃ ἡ ταφὴ αὐτοῦ. Ἦρται ἐκ τοῦ μέσου. Ὑμεῖς δὲ προσαγάγετε ὧδε υἱοὶ ἄνομοι, σπέρμα μοιχῶν καὶ πόρνης*, κ. τ. λ.

Δι' ὅπερ εὐθὺς αὐτῶν τὰ κατὰ Χριστοῦ καὶ τῶν

[61] Joan. VIII, 12. [62] ibid. [63] Isa. LIX, 9. [64] Matth. XV, 14. [65] Psal. II, 12. [66] Ezech. XXII, 27. [67] Sophon. III, 4. [68] Habac. I, 3, 4. [69] Matth. XXIII, 23.

Digitized by Google

δικαίων ἐπιφέρει τολμήματα λέγων· *Ἴδετε ὡς ὁ δίκαιος ἀίρεται, καὶ οὐδεὶς ἐκδέχεται τῇ καρδίᾳ.* Καὶ πῶς γὰρ ἤμελλον *ἰδεῖν* οἱ τυφλοί; ἢ γὰρ ἂν ἑώρων αὐτὸν, τὴν κατ' αὐτῶν οἰκονομίαν νοήσαντες, καὶ οὐκ ἂν ἐκ τῶν ἐναντίων ἔλεγον· « Δήσωμεν τὸν δίκαιον ὅτι δύσχρηστος ἡμῖν ἐστιν; » *Δίκαιος* δὲ ἦν, ὡς οὐκ εἰδὼς ἁμαρτίαν· οὐ [d] μετέχοντες καὶ οἱ μαθηταὶ χρηματίζουσι *δίκαιοι*, οὓς καὶ αὐτοὺς ἀπέκτειναν τὸν εὐαγγελικὸν αὐτοῖς πρεσβεύοντας λόγον. Ἀπέκτειναν γοῦν Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου, καὶ Στέφανον, τὸ τῆς ἀσεβείας οὐκ ἐννοούμενοι μέγεθος· ὅπερ ἐστὶ τὸ, *μὴ ἐκδέχεσθαι τῇ καρδίᾳ.*

A cilia statim addidit, cum dixit : *Videte quomodo justus tollitur, et nemo suscipit corde.* Sed enim, qui *videre* poterant, qui cæci erant? Annon enim, si ipsum essent intuiti, converso ad œconomiam, quæ contra se est, animo, non ex adverso dixissent : « Ligemus justum, quoniam inutilis est nobis [70]? » Erat vero *is justus*, **643** qui peccatum nesciebat : cujus et qui etiam participes effecti sunt, discipuli, justi quoque nuncupantur; quos isti, cum evangelicum sermonem promulgarent, interemerunt. Interfecerunt igitur Jacobum fratrem Domini, et Stephanum, cum ad sceleris impietatisque magnitudinem non adverterent; quod ipsum est *nequaquam corde suscipere.*

Ἦρται δὲ καὶ *ἐκ προσώπου ἀδικίας ὁ δίκαιος* · τοῦτ' ἔστιν, οἱ ἄδικοι κατηγωνίσαντο *τοὺς δικαίους*. Ὁμοῦ δὲ καὶ τὸν θάνατον, καὶ τὴν ἀνάστασιν τοῦ Κυρίου δεδήλωκε. Διὰ μὲν *τῆς ταφῆς*, τὸν θάνατον· διὰ δὲ τοῦ *ἦρθαι* ταύτην ἐκ μέσου, τὴν ἀνάστασιν. Ἀφανὴς γὰρ γέγονε μὴ μείναντος ἐν αὐτῇ τοῦ ταφέντος, ὡς καὶ τὸν ἄγγελον λέγειν· Δεῦτε, ἴδετε τὸν τόπον ὅπου ἔκειτο. Πῶς δὲ γέγονεν *ἡ ταφὴ αὐτοῦ ἐν εἰρήνῃ*, ἢ ὅτι σιωπῶν, καὶ μηδὲν ἀντιλέγων ἀνῄρηται; ἢ ὅτι οὐκ ἐπεδικάσατο αὐτοῦ ὁ ἄρχων τοῦ κόσμου τούτου, μηδὲν εὑρὼν ἐν αὐτῷ; ἢ ὥς φασιν, ἐπειδὴ πάντες οἱ καθηγηταὶ τῶν Ἰουδαίων, μετὰ τῶν ὑπηκόων, ἀπέκτειναν αὐτὸν ὁμονοίᾳ χρησάμενοι, μηδενὸς ἀντιλέγοντος. Ἐκ πολλῆς δὲ φιλοθεΐας λοιπὸν ὁ προφήτης αὐτοῖς ἐπιφέρεται, οἷς οὐκ ἤρκεσε τῶν προφητῶν τὸ αἷμα, πρὸς αὐτὸ δὲ τῆς μιαιφονίας ἀνέδραμον τὸ κεφάλαιον. Δεινὸν μὲν γὰρ ὅτι καὶ πάλαι τοὺς προφήτας ἐσυκοφάντουν. Πλὴν ἀλλ' ἦσαν ἄνθρωποι τάξιν οἰκετικὴν περιφέροντες. Τί δ' ἂν εἴποις, φησὶν, ὅτι κατ' αὐτοῦ τοῦ πάντων Δεσπότου *τὰς γλώσσας* ἐκίνησαν; Σαμαρείτην γὰρ ἔλεγον, καὶ οἰνοπότην, καὶ ἐκ πορνείας γεγεννημένον, καὶ δαιμονᾷν. Καὶ τέλος Πιλάτῳ προσαγαγόντες ἔφασκον· « Οὗτος ἀνασείει τοὺς ὄχλους, καὶ κωλύει φόρους διδόναι Καίσαρι. » Τοιγαροῦν δι' Ἡσαΐου φησὶν ὁ Σωτήρ· « Οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ. Δείλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ. Ἐγὼ δὲ ἐλυτρωσάμην αὐτούς. Αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ. » Καίτοι γὰρ εἰδότες ὅτι αὐτὸς ὁ κληρονόμος ἐστὶν, ἔλεγον· « Δεῦτε, ἀποκτείνωμεν αὐτόν. » Καὶ διὰ τοῦ ψαλμοῦ δέ φησιν· « Ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με. » *Τέκνα* δὲ καλεῖ *ἀπωλείας*, ὡς μὴ δεξαμένους τὸν σώζοντα· *καὶ σπέρμα ἄνομον*· « Περὶ ἐμοῦ γὰρ φησι γέγραφε Μωσῆς· » ὥστε καὶ τὸν νόμον παρέβησαν.

Est vero etiam *a facie iniquitatis sublatus justus*; quod idem plane est, ac si ab injustis superatos esse *justos* diceret. Simul autem et mortem et resurrectionem Domini significavit. Per *sepulturam* quidem, mortem ipsam, resurrectionem autem eo ipso, quod eam de medio *sublatam* esse dixit. Obscura enim fuit, cum in ea, qui sepultus fuerat, non remansisset, ipso testante angelo, cum accedere, locumque ubi jacuisset inspicere hortaretur [71]. Qui autem *in pace ejus fuisse sepultura* dicatur : nisi vel quia tacens, nihilque contra afferens, interemptus est; vel quia jure in eum non decertavit hujus mundi princeps, qui nihil in eo culpæ reperit, vel etiam, aiunt, quia ab omnibus Judæorum ducibus, populo ipso consentiente, nulloque repugnante, trucidatus est? Multo deinceps in Deum amore propheta incensus in eos invehitur, qui nondum prophetarum sanguine satiati, ad summum crudelitatis apicem ascenderunt. Grave enim erat olim prophetas ab eis falso accusari : qui tamen et ii mortales erant, servorumque in numero habiti. Sed quid ad illud respondeas, inquit, quod suum adversus illi, omniumque Dominum *linguam* acuerunt? Samaritanum [72] enim, vinosum, nothum et insanum esse [73], ad Pilatum deinde pertrahentes turbas eum excitare, Cæsari denique ne vectigalia solverentur, prohibere [74], ausi sunt affirmare. Hinc illa igitur, quæ apud Isaiam dicit in hunc modum Salvator : « Væ ipsis, quoniam recesserunt a me : miseri sunt, quoniam in me impie egerunt. Ego redemi eos, ipsi vero locuti sunt in me falsa [75]. » Etsi hæredem esse non ignorarent : « Venite, occidamus eum [76], » dixerunt tamen. Sunt et in Psalmis ista ejusdem : « Pro eo ut diligerent me, detrahebant mihi [77]. »

Vocat autem *filios* **644** *perditionis et semen iniquum*, tanquam qui salutis auctorem non admiserint, de quo Moses sibi non tacendum putavit : unde et legem eos violare constiterit.

Φησὶ δὲ αὐτοὺς καὶ *σπέρμα μοιχῶν καὶ πόρνης* μοιχοὺς φησι, καλῶν ἐν τούτοις τοὺς τῶν Ἰουδαίων καθηγητάς. Οἱονεὶ γὰρ ἐμοιχῶντο τὴν Συναγωγὴν,

Adjicit vero et *semen adulterorum* esse, *meretricisque* adulteros, ut eorum etiam de numero Judæorum duces esse significet. Cum Synagoga

[70] Sap. II, 12. [71] Matth. XXVIII, 6. [72] Joan. VIII, 48. [73] Matth. XI, 19. [74] Luc. XXIII, 2. [75] Imo, Osee VII, 13. [76] Matth. XXI, 38. [77] Psal. CVIII, 4.

VARIÆ LECTIONES.

[d] γρ. οὗ.

Digitized by Google

enim veluti fornicabantur, qui mandata sua, non legem docerent : quo factum est, ut non abs re *meretrix* ea nominata sit, quæ horum *semina* exceperit. Cum deinde Dominum trucidasse dixisset, jamdudum odio in Deum laborare eos ostendit, qui *ad idola* olim contra legem (quæ Deum adorare, eique uni servire jubet [78]) solerent *adhortari;* cæterosque etiam, ne solis impios esse sibi sufficeret, eadem docere. Eris igitur, ait, *pars* vulpium, id est dæmonum, quibus ipsa servivisti : quos ideo etiam tenebræ manent exteriores, quod ad te quoque *filiorum immolatio*, hostibus ipsam inducentibus, perventura est. Sequitur vero : *Et retro postes hostii posuisti memoriale tuum;* simulacra nimirum pro phylacterio in pignus idololatriæ usurpans, quæ ut in memoriam semper redirent, vel foribus ipsis insculpta erant. *Putabas* namque ista esse *meipso* tibi utiliora. Qui enim quod malum est approbatur, nisi saltem colore tenus ipsa bonitatis species appareat? Deinde, quod *super montem excelsum ibi cubile tuum* ait, juxta idola propter insomnia dormivisse significat. Atque hæc quidem : *In custodes cæcos, mutosque canes;* quæ autem deinceps sequuntur, tanquam adversus Jerusalem ipsam, Judæorumque *synagogam* dicuntur : quam *dormientes secum*, vel (ut interpretantur alii) *cubile eorum*, custodum nimirum, de quibus sermo est, *dilexisse* significat, omnique cum eis viam suam *fornicatione*, id est, idololatria, necyomantia, auguriis, cæterisque ejusmodi refersisse; et ita *multos a se removisse*. Cum enim Hierosolymis prophetæ ipsi piique viri discederent, voces istas in eam **645** jactabant : « Curavimus Babylonem, et non est sanata. Relinquamus eam, et abeamus quisque in terram suam [79]; » ita Jerusalem Babylonis nomine nuncupantes. Vel certe curiosa vicini cultus æmulatione, ingentem deorum *multitudinem a se longe remotam* amplexam esse eo ipso significat, quod *legatos ultra terminos suos* eadem *miserit*. Habet autem in hunc modum Symmachi interpretatio : *Multiplicasti pigmenta tua Misisti rades tuos usque longe.*

Est vero tanquam ad meretricem [80], quæ se ad eorum, qui illam adeunt, voluptatem exornet, oratio; unde et *ad inferos usque humiliatam esse, multisque itineribus suis laborasse* dixit. Cum enim in celsitudinis gradu apud Deum non perstitisset, *humiliata est.* Itaque dicebat : « Filios genui et exaltavi; ipsi autem me aspernati sunt [81]. » Quinam autem est *humilitatis* modus? *Itinerum varietas.* Non enim *viam* unam, et regiam, sed multas, et aberrantes secuta es; quæ ab aliis semper, ad alios deos transire consueveris. Quale solet in immensis etiam voluptatibus contingere, cum divitiæ, cum petulantia, cum vana gloria obturbant. Hinc

ἐντάλματα ἴδια, οὐ τὰ ἐκ νόμου διδάσκοντες. Ὧν ἡ Συναγωγὴ δεχομένη *τὰ σπέρματα*, δικαίως ἐχρημάτισε *πόρνη*. Κυριοκτόνους δὲ αὐτοὺς ἀποφήνας, δείκνυσιν ἐκ παλαιοῦ νοσοῦντας αὐτοὺς τὸ μισόθεον. Ὑμεῖς γὰρ οἱ καὶ πάλαι *παρακολουθοῦντες ἐπὶ τὰ εἰδώλια*, καὶ ταῦτα τοῦ νόμου διδάξαντος · « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. » Καὶ οὐκ ἤρκει μόνοις ἀσεβεῖν, ἀλλὰ καὶ τοὺς ἄλλους ἐδίδασκον. Ἔστι τοίνυν *μερὶς* ἀλωπέκων, δηλονότι δαιμόνων οἷς περ ἐλάτρευσας, οἷς τὸ σκότος ἡτοίμαστο· τὸ ἐξώτερον · « ἡ ἄρα *τὴν σφαγὴν τῶν τέκνων* φησὶν εἰς αὐτοὺς περι[ελεύσ]εσθαι, πολεμίων αὐτὴν ἐπαγόντων. Φησὶ δὲ, ὅτι *καὶ ὀπίσω τῶν σταθμῶν τῆς θύρας ἔθηκας μνημόσυνά σου*, τὰ ἀντὶ φυλακτηρίου λέγων ἀγάλματα, μνημόσυνα τῆς εἰδωλολατρείας ὑπάρχοντα, πρὸς τὸ μεμνῆσθαι τούτων διὰ παντὸς παρεστηκότων [f] ἢ ταῖς θύραις ἐγγεγλυμμένων. Ἦν γὰρ ἐμοῦ ταῦτα τυγχάνειν ὠφελιμώτερα. Πῶς γὰρ ἂν καὶ γένοιτο τὸ κακὸν αἱρετὸν μὴ φαινομένῳ χρωσθὲν ἀγαθῷ; Τὸ δὲ, *ἐπ' ὄρος ὑψηλὸν ἐκεῖ σου ἡ κοίτη*, ἐπειδὴ τοῖς εἰδώλοις ἐνυπνίων ἕνεκα παρεκάθευδον. Ταῦτα μὲν ὡς πρὸς τοὺς εἰρημένους *σκοποὺς τυφλοὺς καὶ τοὺς κύνας τοὺς ἐνεοὺς*. Τὰ δὲ ἑξῆς ὡς πρὸς αὐτὴν Ἱερουσαλὴμ, καὶ τὴν τῶν Ἰουδαίων ἐπιφέρει *συναγωγὴν*, Ἡ *ἁπτησας* λέγων τοὺς *κοιμωμένους μετὰ σοῦ*. Κατὰ δὲ τοὺς λοιποὺς, *ἠγάπησας τὴν κοίτην αὐτῶν*, τῶν σκοπῶν δηλονότι τῶν εἰρημένων, μεθ' ὧν πάσης *πορνείας* ἐπλήρους ὁδὸν, εἰδωλολατρείας, νεκυομαντείας, οἰωνισμῶν, καὶ τῶν ὅσα τοιαῦτα, ὧν γινομένων, *πολλοὺς ἐποίησας ἀπὸ σοῦ* φεύγοντες· γὰρ οἱ προφῆται καὶ οἱ θεοσεβεῖς τὴν Ἱερουσαλὴμ ἔλεγον· « Ἰατρεύσαμεν τὴν Βαβυλῶνα, καὶ οὐκ ἰάθη. » Ἐγκαταλίπωμεν αὐτὴν, καὶ ἀπέλθωμεν ἕκαστος εἰς τὴν γῆν αὐτοῦ, ὡς δεισιδαίμονα τὴν Ἱερουσαλὴμ Βαβυλῶνα καλέσαντες. Ἤγουν φησὶν, *ἐπλήθυνε παρ' ἑαυτῇ* θεοὺς τοὺς *μακρὰν ἀπ' αὐτῆς*, περιεργαζομένη τὰ τῶν ὁμόρων σεβάσματα. Ὅ δηλοῖ καὶ τὸ, *ἀπέστειλας πρέσβεις ὑπὲρ τὰ ὅριά σου*. Ὁ δὲ Σύμμαχος οὕτως ἐξέδωκε · *Καὶ ἐπλήθυνες τὰ μυρέψιά σου*. *Ἀπέστειλας ὁμηρά σου ἕως μακράν*.

Ὡς πρὸς ἑταίραν δὲ καλλωπιζομένην ὁ λόγος ἐφ' ἡδονῇ τῶν αὐτῇ προσιόντων. Ὅθεν φησὶν *ἐταπεινώθης ἕως ᾅδου*. *Ταῖς πολυοδίαις σου ἐκοπίασας*. Μὴ μείνασα γὰρ ὑψηλὴ παρὰ Θεῷ, *τεταπείνωται*. Διό περ ἔλεγεν · « Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. » Τίς δὲ τῆς *ταπεινότητος* ὁ τρόπος; ἡ *πολυοδία*. Οὐ γὰρ μίαν ὥδευες τὴν βασιλικὴν ὁδὸν, ἀλλὰ πολλὰς καὶ πεπλανημένας, ἀπ' ἄλλων εἰς ἄλλους ἀεὶ θεοὺς μεταβαίνουσα. Τοῦτο δὲ καὶ ἐπὶ τῶν ἐκτόπων οἶδεν ἀκωλουθεῖν ἡδονῶν, πλούτου, καὶ ἀσελγείας, καὶ κενῆς δόξης παρενοχλούντων. Διό φησιν Ἱερεμίας · « Ἐν ἐπιθυμίᾳ ψυχῆς αὐτοῦ ἐπνευματοφορεῖτο. » Ὅπερ παθοῦσα ψυχὴ δυσανάκλη-

[78] Deut. VI, 13. [79] Jerem. LI, 9. [80] Isa. I, 21. [81] ibid. 2.

VARIÆ LECTIONES.

[f] ἐπειδὴ. [f] *Isc.* καὶ.

Digitized by Google

τος. Ὅθεν ἐπάγει· «Παρεδόθη, τίς ἀποστρέψει αὐτήν; » Καὶ Ἱερουσαλὴμ δὲ φησιν, ἐντόνως ἐπικειμένη τοῖς κακοῖς οὐκ *ἐπαύετο*. Πρὸς ἣν λέγει· *Οὐ κατεδεήθης μου*. Ἢ κατὰ τὸν Ἀκύλαν, *οὐκ ἐλιτάνευσας, ὡς τε τυχεῖν ἀφέσεως*. Τὸ μὲν γὰρ ἐξ ἀρχῆς μὴ παθεῖν σωφρονούσης. Τὸ δὲ καὶ ἐπιμεῖναι λίαν ἀπεγνωσμένης. Πρὸς ὃ λέλεκται· «Μὴ ὁ πίπτων οὐκ ἀνίσταται; ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; » μετανοοῦντας γὰρ ἕτοιμος δέχεσθαι δι' ἑνὸς εἰπὼν τῶν προφητῶν· « Ἐπιστράφητε υἱοὶ ἐπιστρέφοντες, καὶ ἰάσομαι τὰ συντρίμματα ὑμῶν. » Οἱ δὲ ὡς ἀδυνατοῦντος σῶσαι Θεοῦ, προσδοκωμένων Βαβυλωνίων, τὴν εἰδωλολατρείαν ἐπέτειναν.

A ilia Jeremiæ vox : « In cupiditate animæ suæ ferebatur quod quæ patitur anima non facile potest revocari [85]. » Ideoque idem, quis eam esset aversurus, postulavit. Neque vero Jerusalem, inquit, enixe malis incumbere *desinebat*; quam his verbis alloquitur : *Non me rogasti*; aut secundum Aquilam : *Non precata es, ut veniam consequereris*. Fuerat enim initio nihil peccare quidem, temperantis Immorari autem valde, et perseverare, desperatæ. Cujusmodi est et illud : « Nonne qui cadit, non resurgit? Aut qui avertit, non revertitur [86]? » Est enim ad eorum, qui resipiscunt, admissionem facilis et promptus, qui per prophetam quemdam hunc in modum loquitur : « Convertimini, filii revertentes, et sanabo contritiones vestras [87]. » At illi, tanquam servare Deus non posset, cum Babylonii ingruerent, **646** idololatriam adduxerunt.

Διό φησι· *Τίνα φοβηθεῖσα ἐψεύσω με; τί γὰρ* B πρὸς θείαν δύναμιν ἄνθρωπος ὢν ὁ Βαβυλώνιος ἴσχυεν; γέγραπται γὰρ περὶ Θεοῦ· « Ὁ κατέχων τὸν γύρον τῆς γῆς, καὶ οἱ ἐνοικοῦντες ἐν αὐτῇ, ὡς ἀκρίδες. » Καὶ Ἡσαΐας δέ φησιν· « Οὐχὶ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς αἱάλος λογισθήσονται, καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν; τίνι ὡμοιώσατε Κύριον; » ὁ δὲ Ἀκύλας ἀντὶ τοῦ *τίνα φοβηθεῖσα ἐψεύσω με, Διέμεινες* δέ φησιν, *ἐξ αἰῶνος ἄφοβος καὶ ἄνευ λαβῆς*· δεικνὺς ὡς, εἰ καὶ ποτε θεοσεβεῖν ἔδοξας ἐπήγγελλεσθαι, καὶ τότε τὴν ἐπαγγελίαν *ἐψεύσω*. Οὐδὲ γὰρ πρὸ τούτους [a] *ἔβλαβές με πρὸς μνήμην*, καὶ [b] δὲ νῦν τοιαύτη παρέμεινας. Διὰ τοῦτο καταλείψω σε ἔρημον, καὶ λοιπὸν ἔκθικος ὀργή σε καταλήψεται, *τὰ σὰ κακὰ* διελέγχουσα. Καὶ τίς σε τότε τῶν σῶν *ἐξελεῖται* θεῶν; καὶ ἀλλαχοῦ δέ C φησιν· «Καὶ ἐν τῷ καιρῷ τῶν κακῶν ἐροῦσι, φησίν, Ἀνάστα, σῶσον ἡμᾶς. » Ἀντὶ δὲ τοῦ, *ἐξελέσθωσάν σε ἐν τῇ θλίψει σου*· Σύμμαχος *ἐξελέσθωσάν σε*, φησίν, *αἱ συναγωγαί σου*· σαφῶς διδάκτων ἀνωφελεῖς εἶναι τὰς αὐτῶν *συναγωγάς*· εἰ μὴ ἄρα τῶν συνηγμένων αὐτοῖς εἰδώλων οὕτω τὸ πλῆθος ἐκάλεσεν. *Τούτους* δὲ, φησὶν, *ἄνεμος λήψεται*, ἢ τοὺς θεοὺς, ἢ τοὺς κατηγορηθέντας λέγων. Καὶ δι' Ἰεζεκιὴλ γάρ φησι πρὸς τὴν τούτων *Συναγωγήν*· «Καθὼς ἐποίησας, οὕτως ἔσται σοι. » Καὶ Ἡσαΐας δέ φησιν· « Οὐαὶ τῷ ἀνόμῳ· κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ. » Καὶ νῦν δέ φησιν ὡς παριδοῦσά με παρορᾶθήσῃ, ἀντὶ *τῶν σῶν κακῶν* παθοῦσα δικαίως. Καὶ ταῦτα μὲν τούτοις. Οἱ δὲ τὴν D καλὴν ἐπιλεξάμενοι μερίδα, τὸν Θεὸν, τὴν πρέπουσαν ἔξουσιν ἀμοιβήν. *Κτήσονται* γὰρ τὴν ἐπηγγελμένην τοῖς πραέσι *γῆν*, *καὶ ὄρος ἅγιον*, τὴν ἐπουράνιον πόλιν· οἳ καὶ ἑτέρων φανοῦνται διδάσκαλοι, *παρανοοῦντες* αὐτοῖς *ἐξομαλίζειν τὰς ὁδοὺς* τοῦ λαοῦ, καθαρὰς ποιουμένους [i] καὶ λείας διδασκαλίας σκολιὸν ἐχούσας μηδέν. Οὐ φρονεῖ γὰρ μόνης τῆς ἑαυτοῦ σωτηρίας ὁ κατορθώσας παρὰ Θεῷ, προστάττει δὲ καὶ τὴν τῆς θεοσεβείας ἐξομαλίζειν *ὁδόν*, καὶ τὰ δοκοῦντα *προσκόμματα* τῶν θείων ἀνα-

Hunc est quod ait : *Quem timens mentita es mihi?* Quid enim virium mortalis habet Babylonius, si cum Deo conferatur? Scribitur enim de Deo apud prophetam in hæc verba : « Qui continet orbem terræ, et habitantes in ea, tanquam locustæ [88]. » Et apud eumdem : « Nonne gentes omnes, tanquam gutta de cado, et tanquam saliva, et quasi momentum stateræ reputantur? Cui Dominum con parastis [89]? » At Aquilas, pro quo, *Quem timens perterrita es*, legimus : *Mansisti* inquit, *a sæculo sine metu, et sine pietate*; quasi dicat : Quantumvis ipsa olim piam te fore polliceri visa sis, non præstitisti tamen ; sed *mentita es*, quæ *mei* antea non *sis recordata* : imo ne nunc quidem talis permansisti. Eam ob rem relinquam te desertam, neque deinceps justa ira mea apprehendet, quæ *mala tua* revincat. Et quis te tum deorum *eruet?* Dicit vero in hunc modum etiam alicubi : « Et in malorum tempore dicent : Surge, serva nos [90]. » Cæterum quo loco : *Eruant te in tribulatione tua*, habemus : *Eruant te synagogæ tuæ*, interpretatur Symmachus, inutiles illis esse *synagogas* aperte demonstrans : nisi malis potius ita congregatorum idolorum multitudinem vocari existimare. *Istas* autem, ait, *tollet ventus*; aut deos nempe, aut accusatos. Nam et apud Ezechielem istorum *synagogam* alloquitur in hunc modum : « Quemadmodum fecisti, sic erit tibi [91]. » Et apud Isaiam : « Væ impio! secundum opera manuum ejus continget ei [92]. » Hoc vero loco etiam despectam fore, quando ab ea despectus ipse sit, justamque *malorum suorum* ultionem esse, significat. Atque hæc quidem istis. Cæterum qui bonam partem, id est Deum, elegerunt, justam et illi mercedem quoque sunt habituri. *Terram* enim, quæ ultimis promittitur, *montemque sanctum*, cœlestem nimirum civitatem, *possidebunt*, aliorumque eo ipso magistri videbuntur, quod eos ad *vias* populi *purgandas*, puris et rectis, nullaque obliquitate depravati, **647** præceptionibus adhortabuntur. Neque enim de sua tantum salute est sollicitus, qui recto ad

[85] Jerem. II, 24 [86] Jerem. VIII, 4. [87] Jerem. III, 22. [88] Isa. XL, 22. [89] Isa. XL, 15 ; XLVI, 5. [90] Jerem. II, 27. [91] Ezech. XXXV, 11. [92] Isa. III, 11.

VARIÆ LECTIONES.

[a] τούτου. [b] οὐδέ. [i] γρ. ποιούμενοι.

Digitized by Google

Deum itinere contendit : sed jubet etiam pietatis *viam* consterni cæteris, et quæ videntur in divinis Scripturarum lectionibus esse *offendicula*, ea ipsa planiori interpretatione tollere.

Conveniat vero et ista de apostolorum choro dici existimare : *Qui sancti montis hæreditatem adierunt*, de quo sic et apud Davidem quæri legimus : « Quis ascendet in montem Domini [90] ? » et quæ deinceps. Ii nimirum, qui vehementissimo in Deum amore æstuantes, quis se a Christi dilectione separaturus esset, postulabant [91] ; quibus et illud, ait, respondebitur : « Parate viam Domini, rectas facite semitas ejus [92]. » Quomodo autem *tolli offendicula* præcipit? *Via* nimirum fidei expedita, legisque mandatis, quæ vix adimpleri poterant, sublatis et abjectis. Cujus generis est et illud : « Ambulate per portas meas, et lapides de via projicite. » Quod idem est ac si molestia viam liberare præciperet, At sunt, qui totam istam orationis seriem hunc in modum explicent. Post factam eorum, quæ superius dicta sunt, promissionem ; qua jam vitæ ratione illis potiantur, demonstrat ; *advenasque* deinceps, *et eunuchos* consolatur, qui *semine* in benedicto genere privari exsecrationis loco habebant, neque se ideo promissam *in terra hæreditatem* adire posse putabant. Necessario autem ista eis consulit, qui responso illi, quod ad Ezechiam perlatum est, futuri erant obnoxii ; cum de genere ipsius spadones esse effecturos audivit [93]. Quo cum devenissent Daniel, ipsique tres pueri, consolationem ex his verbis hauserunt, tanquam qui frustra Dei mandatis non paruissent [94]. Qui tales igitur futuri sunt, eos se cum *alienigenis* pietatem colentibus *collecturum* significat : cæteris autem fide carentibus a Chaldæis ipsis, qui in eos ferarum more irruent, ingentia mala ideo esse exspectanda, quod insani sponte effecti, rabiososque *canes* imitati, ne dominos quidem suos, vel eos, a quibus pascuntur, agnoverunt ; imo ne *latrare* quidem *valuerunt* : **648** quod certe et eos pati contigit.

Cum enim, tanquam in somno et lectis, ad ea, quæ a dæmonibus dicebantur, adverterent, *dormitare se* fingebant ; eaque rejiciebant quæ sibi a Deo ex nota et perspicua rerum fide (qualis est de solis gressu retracto, deque centum et octoginta quinque millibus interemptis historia [95]), adventura esse prædicebantur : ad quæ cum illi cæcutirent, nulla malorum satietate capiebantur. Imo vero cum calamitates intuerentur, quæ probis et justis accidunt ; cum ad mortem etiam vi pertrahi viderent, virtuti etiam ipsi, tanquam nihil habeat utilitatis, detrahebant. Atque inde est, quod cum de iis esset antea locutus, qui *justum perisse* dicerent, reprehensionem adjecit ; videre nempe ipsos corporalem quidem eorum interitum ; sed eis utilem esse temporum contractionem bonaque

γνωσμάτων περιαιρεῖν διὰ τῆς ἐπὶ τὸ σαφέστερον αὐτῶν ἑρμηνείας.

Πρέποι δ' ἂν εἰρῆσθαι ταῦτα περὶ τοῦ τῶν ἀποστόλων χοροῦ, οἳ τὸ ἅγιον ἐκληρονόμησαν ὄρος. Περὶ οὗ φησι καὶ Δαβίδ· « Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου ; » καὶ τὰ ἐπὶ τούτῳ. Οἱ τῆς εἰς Χριστὸν ἀγάπης σφοδρῶς ἀντεχόμενοι ἔλεγον, « Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ ; » οἷς ῥηθήσεται, φησίν, τὸ, « Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου. Εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. » Τίνα δὲ τρόπον Ἄρατε σκῶλα, φησίν ; τοῦτ' ἔστι τὴν λείαν ὁδὸν, τὴν διὰ πίστεως ὑποδείξατε αἱρομένων ἐκ μέσου τῶν νομικῶν ἐνταλμάτων, ἅπερ ἦν δυσκατόρθωτα. Τοιοῦτόν ἐστι καὶ τὸ, « Πορεύεσθε διὰ τῶν πυλῶν μου, καὶ τοὺς λίθους διὰ τῆς ὁδοῦ ῥίψατε. » Τοῦτ' ἔστι δυσχερείας ἀπαλλάξατε τὴν ὁδόν. Ἄλλοι δὲ τὴν πᾶσαν οὕτως ἐξηγήσαντο ῥῆσιν· Μετὰ τὴν τῶν προλεχθέντων ἐπαγγελίαν, ὑποδείκνυσι πῶς βιοῦντες αὐτῶν ἐπιτεύξονται. Μεθ' ἃ παραμυθεῖται *τοὺς προσηλύτους*· εἶτα τοὺς *εὐνούχους* κατάραν οἰομένους τὸ μὴ *σπέρμα* ἐν τῷ εὐλογημένῳ γένει κεκτῆσθαι, μηδὲ *κληρονομίαν* δύνασθαι λαβεῖν *ἐν τῇ γῇ* τῆς ἐπαγγελίας. Ἀναγκαίως δὲ ταῦτα συνεβούλευε τοῖς μέλλουσιν ὑπὸ τὴν ἀπόφασιν κεῖσθαι τὴν ῥηθεῖσαν πρὸς Ἐζεκίαν, ὡς ἐκ τοῦ γένους αὐτοῦ ποιήσουσι σπάδοντας· ἧπερ ὑποπεσὼν Δανιὴλ, καὶ οἱ τρεῖς παῖδες, παραμυθίας διὰ τούτων ἐτύγχανον, ὡς μὴ ἀνοήτως τοῦ Θεοῦ μετιόντες τὰς ἐντολάς. Τοὺς οὖν τοιούτους μετὰ τῶν εὐσεβούντων *ἀλλογενῶν* ἐπισυνάξειν φησί. Τοῖς δὲ ἄλλοις ἀπειθοῦσι προλέγει τὰ συμβησόμενα παρὰ Χαλδαίων δίκην θηρίων ἐμπηδώντων αὐτοῖς. Τὸ δὲ αἴτιον, ὅτι ἑκόντες ἐμωράνθησαν, *τοὺς κύνας* τοὺς λυττῶντας μιμησάμενοι, τοὺς μὴ δεσπότας γνωρίζοντας, μή τε τοὺς τρέφοντας, *μήθ' ὑλακτεῖν δυναμένους*· ὃ δὴ πεπόνθασιν.

Ἀκούοντες γὰρ, ὡς ἐν ὕπνῳ, καὶ κοίταις, τὰ παρὰ τῶν δαιμόνων λεγόμενα, προσεποιοῦντο *νυσταγμὸν*, ἀφέντες τὰ παρὰ τοῦ Θεοῦ μετ' ἀποδείξεως τῶν ἐν ποσὶ προλεγόμενα, τοῦ μὲν ἡλίου ἀναποδίσαντος, τῶν δὲ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδων ἀνῃρημένων. Πρὸς ἃ τυφλώττοντες, τῶν κακῶν οὐκ ἐλάμβανον κόρον· ἀλλὰ καὶ τὰς περιστάσεις ὁρῶντες, αἳ τοῖς δικαίοις συμβαίνουσι, καὶ τοὺς ἐπαγομένους βίᾳ θανάτους, διεβέβληντο πρὸς τὴν ἀρετὴν ὡς μηδὲν ὠφελοῦσαν. Ὅθεν τὰ παρ' αὐτῶν προτέρας τῶν λεγόντων *ἀπολωλέναι τὸν δίκαιον*, ἐπάγει μεμφόμενος ὅτι τὰς μὲν σωματικὰς αὐτῶν ἀπωλείας ὁρῶσι, τὸ δὲ πρὸς ὄνησιν αὐτοῖς εἶναι τὸ συσταλῆναι τὸν χρόνον, καὶ πόνων αὐτοὺς ἐπ' ἐλπίσιν ἀγαθαῖς ἀπαλλάττεσθαι, σκοπεῖν οὐκ ἐθέλουσιν ἁπλῶς τοῦ *δικαίου* κατατρέχοντες βίου. Εἶτα ἐλέγχει τὰς

[90] Psalm. xxiii, 3. [91] Rom. viii, 35. [92] Isa. xl, 3 ; Matth. iii, 3. [93] IV Reg. xx, 17, 18 [94] Dan. i et iii. [95] IV Reg. xix, 35.

VARIÆ LECTIONES.

1.1 3,

Digitized by Google

ἀσεβείας αὐτῶν, τὰς ἐν ὄρεσι, καὶ κατ' οἶκον ἐπὶ τῶν ἰδίων σταθμῶν βωμοὺς ἐγειρόντων, καὶ σύμβολα κρεμαννύντων οἰωνισμῶν. Διόπερ εἰς αἰχμαλωσίαν παραδοθήσονται. Ἐν γὰρ αὐτοῖς τοῖς δεινοῖς [k] πάντα μᾶλλον ἢ πρὸς ἐμὲ κατεφεύγετε, πρεσβείας περὶ συμμαχίας εἰς Αἴγυπτον ἀποστέλλοντες, καὶ πρὸς τὰ πόρρωθεν ἔθνη. Καὶ ἀντιλεγόντων ἐφ' ἑτέρους ἐτρέχετε. Καὶ κόπων καὶ ταλαιπωρίας κόρος οὐκ ἦν. Εἶτα τὰς συμφορὰς αὐτοῖς ἀπειλήσας, ἀνέσεως τυχεῖν τοὺς αὐτῷ προσκειμένους ἐπαγγέλλεται. Καὶ καταλαβόντες, φησὶ, τὸ ἅγιόν μου ὄρος συμβουλεύσουσι πᾶν εἴδωλον ἀρθῆναι. *Καὶ πᾶν σκῶλον καθαρισθῆναι ἀπὸ τῶν ὁδῶν τοῦ Θεοῦ*, πρὸς τὸ ἀνεμποδίστως ἐν ταῖς ὁδοῖς μου πορεύεσθαι.

A spe liberari difficultatibus : quod nolunt ii considerare, qui *justi* vitæ penitus adversantur. Deinceps, quæ impietatis scelera eo ipso admiserint, quod in *montibus* propriisque domibus aras sibi excitarint, quod divinationis et augurii symbola appenderint, unde et ipsi in captivitatem tradendi sunt, demonstrat. Cum enim vos, inquit, rerum urgeret necessitas, ad quemlibet alium potius quam ad me confugistis, legatosque in Ægyptum et ad gentes remotissimas de auxilio misistis, a quibus cum repulsam passi essetis, ad alios rursum properantes, nullus vos itinerum labor, nulla miseriarum magnitudo retardavit. Deinde, postquam calamitates minitatus est, remissionem illos, qui Deo adhæreant, consecuturos esse promittit. Cum *meum* denique, inquit, ipsi *montem sanctum* fuerint consecuti, omne prorsus auferri idolum, *omnique offendiculo vas Domini purgari*, quo facilis fiat in eis ambulatio, consulent atque curabunt.

ιε-κα'. *Τάδε λέγει Κύριος ὁ ὕψιστος ἐν ὑψηλοῖς κατοικῶν τὸν αἰῶνα, ἅγιος ἐν ἁγίοις ὀνόμα αὐτῷ Κύριος ὕψιστος, ἐν ἁγίοις ἀναπαυόμενος, καὶ ὀλιγοψύχοις διδοὺς μακροθυμίαν, καὶ διδοὺς ζωὴν τοῖς συντετριμμένοις τὴν καρδίαν*, κ. τ. λ.

B **649** VERS. 15-21. *Hæc dicit Dominus altissimus, qui in excelsis habitat in æternum, sanctus in sanctis nomen ei. Dominus altissimus, qui in sanctis requiescit, et pusillanimis dat patientiam, et vitam his qui corde contriti sunt*, etc.

Πρὸς τοὺς ἄρχοντας τοῦ Ἰουδαίων ἔθνους, οὓς κύνας ἐνεοὺς καὶ τυφλοὺς, καὶ τὰ τοιαῦτα ἐκάλει, καὶ πρὸς τοὺς ὑπ' αὐτοὺς λαοὺς τὰ πρὸ τούτων εἰπὼν, νῦν πρὸς τοὺς ἐν αὐτοῖς εὐλαβεῖς, καὶ μετανοοῦντας ἐφ' οἷς ἥμαρτον ποιεῖται τὸν λόγον, οὓς καὶ *συντετριμμένους τὴν καρδίαν* καλεῖ· ἦσαν γάρ εἰ καὶ βραχεῖς ἐν αὐτοῖς ἀνακείμενοι τῷ Θεῷ προφῆταί τε, καὶ τούτων μαθηταὶ, ἑαυτούς τε καὶ τὸν λαὸν ἀποκλαίοντες, ὑστερούμενοι, θλιβόμενοι, καὶ τὰ ἐφεξῆς. Ὁ γὰρ Θεὸς, εἰ καὶ πάντων ἐστὶν ἐπέκεινα, οὐχ ὑπερορᾷ C *τοὺς ταπεινοὺς*, ἀλλὰ καὶ δίδωσι χάριν αὐτοῖς, εἰς ὕψος ἐγείρων, ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος, κατὰ τό· « Ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται, » καὶ ὑψωθεὶς ἐνοικοῦντα λαμβάνει Θεόν. Διὰ τοῦτο γὰρ καὶ νῦν αὐτοῖς διαλέγεται, ὡς ἂν *ὑψώσῃ*, καὶ ἐν ἁγίοις γεγονόσιν *ἐπαναπαύηται*. Οὐ τοπικὸν οὖν ἐπὶ Θεοῦ, σχετικὸν δὲ *τὸ ὕψος*, δι' ἧς [l] τοῖς ἀξίοις καὶ αὐτῷ [m] πάρεστιν. Ὁποῖος καὶ ὁ ταπεινόφρων ἐπὶ τοῖς ἡμαρτημένοις.

Postquam Judaicæ gentis principes (quos canes mutos et cæcos, cæteraque ejusmodi, nuncupavit [96]) postquam etiam subjectum ipsis populum allocutus est : ad eos jam, qui inter ipsos pietate scelerumque suorum pœnitudine afficiuntur (quos appellat *contritos corde*) sermonem convertit. Erant enim etiam inter ipsos, licet pauci, Deo addicti prophetæ, prophetarumque discipuli, suam ipsorum populique calamitatem lugentes, egentes, angustiati [96], et quæ deinceps. Deus enim, quantumvis omnium supremus, non *humiles* tamen despicit, sed gratia cumulatos in altum evehit, superbisque resistit [97] ; juxta illud : « Qui se humiliat, exaltabitur [98], » et qui exaltatus est, inhabitantem Deum accipit. Ideo enim et nunc cum ipsis colloquitur, ut eos ipse *exaltet* ; et in eis, qui sancti sunt, *requiescat*. Non est igitur loco, sed habitu censenda **650** in Deo *altitudo*, per quam eis ipse, qui digni sunt, adesse consuevit : cujusmodi illi etiam fuerint, qui de se in iis quæ peccarunt, humiliter sentiant.

Εἰ δὲ καὶ ἄνθρωποι ὄντες θλίβονται δι' εὐσέβειαν, καρτερικοὺς αὐτοὺς ἀπεργάζεται (*μακρόθυμος* γὰρ ὢν, *μακροθύμους* ποιεῖ)· ἀλλὰ καὶ ζωῆς ὑπάρχων πηγὴ, *ζωὴν* αἰώνιον δίδωσιν, ὁ *καρδίαν συντετριμμένην* καὶ τεταπεινωμένην οὐκ ἐξουδενῶν. Ὃς καὶ φησι πρὸς αὐτοὺς, ὡς Οὐ πάντων τῶν ὡς ἀνθρώποις ἡμαρτημένων λήψομαι δίκην· βραχέα δὲ παιδεύσας, καὶ συγκακουχεῖσθαι ταῖς ἁμαρτίαις παριδὼν τοῦ λαοῦ, τοὺς μὲν, ὡς ἀληθῶς ἀσεβεῖς, μὴ μετανοήσαντας αἰωνίῳ παραδώσω κολάσει· ὑμῖν δὲ τὴν *ὀργὴν* ὑπεκλύσω. Μέλει γὰρ ὡς Δημιουργῷ τοῦ δοθέντος D

Sin autem ut homines, propter pietatem etiam afflingantur, eosdem fortes et tolerantes facit. Efficit enim *patientes*, qui *patiens* est : et *vitam* largitur perpetuam, qui *vitæ* fons est, quique *cor contritum* non despicit. Eos itaque hunc in modum alloquitur : Non sum de peccatis omnibus, quæ ut homines admisistis, pœnas sumpturus, sed ubi vos leviter castigaro, populi peccatis condolere respuens, hos quidem, tanquam revera impios, qui non resipuerint, ultioni tradam sempiternæ : vobis autem *iram* ipse remittam. Est enim mihi,

[96] Isa. LVI, 10. [96] Hebr. XI, 37. [97] I Petr. V, 5. [98] Luc. XIV, 11.

VARIÆ LECTIONES.

[k] *Al.* πρός. [l] γρ. δι' οὗ. [m] γρ. αὐτός.

Digitized by Google

ut opificem decet, *spiritus* ille curæ, quem vobis ipse largitus sum, quemque, cum hominem crearem, in animam viventem inspiraví, de qua etiam dictum est : « Omnis spiritus laudet Dominum [99]. » Et apud Jobum : « Spiritus Domini, qui superest in naribus meis. Spiritus autem omnipotentis est, qui docet me [1]. » Itaque et vos cum ipse castigo, tanquam Pater id facio. « Quem enim diligit Deus, castigat [2]. » Quod quando passi estis, aperte valde *mœrore* eo, qui secundum Deum est, vos affici præ vobis tulistis, cum ob peccata *tristes essetis*. Itaque qui vitæ resipiscentiam *viderem*, jure vos ipse *sanavi*, *veraque* adjecta *consolatione* (neque enim vana sunt, quæ a me prodeunt), *pacem* largitus sum, non vulgarem illam; sed quæ cum *vicinis*, *longeque remotis* populis haberetur. Atque hic quidem finis eorum fuerit, qui mea castigatione juvantur. Qui autem tales non fuerint, *fluctuabunt*. Quomodo enim, inquit, *quiescere*, *et gaudere* valeant, qui a Deo separati sunt? Sed habet in hunc modum Symmachi interpretatio : *Impii autem, tanquam mare* fuerint, *quod ebullit. Quiescere enim non poterunt, et ejicientur ad aquas ipsius*, eruntque *conculcatio, et lutum*. Aquilæ autem : *Et ebullient aquæ ejus conculcationem* **651** *et lutum*; tanquam aliquando quod habetur de mari Ægyptio, vel de quibusdam aquis impiorum multitudinem excepturis dicatur.

Nonnulli vero propositam verborum seriem de toto Israele dici affirmant, cujus se reliquias per fidem in Christo servaturum polliceatur [3]. At quod *in excelsis habitare* dixit, naturalis ejus excellentiæ (cum sit Dei natura nihil sublimius) nullam fieri diminutionem demonstravit: sed eamdem semper manere, quantumvis illam Israel, eo ipso, quod eum cum idolis contulit, imminuere conatus sit. Impuris ergo eum cogitationibus veluti profanarunt qui *sanctus est*, quique in purificatis per fidem *requiescit* : quos si *pusillanimitate* viderit laborantes, ad virium collectionem, *cordisque* robur excitandum cohortatur; eisque *vitam* veram, qui spiritu egentes sunt, verboque obtemperant, elargitur. In Christum enim sese extulerunt qui de Israele remanserunt. Quanquam tamen et eos bono esse animo, propter reliquias, et salutem, quam ultimo tandem consecuturi sunt, jubet. Non enim, inquit, *in finem usque iram* extendam; propter ea quæ majoribus vestris ipse sum pollicitus; et ob id etiam, quod estis a me omnes procreati. Neque enim quod *spiritus egressione* additur, de sacrosancto illo, qui *factus* nunquam dici queat, intelligitur: sed eum dictionis abusione, qui in nobis ab opifice Deo factus est, significari voluit. Nonnulli etiam dum pro *egredietur*, *involvetur* dicunt, *flatum* illum putant intelligi, qui corpori commiscetur, licet eumdem cum eo substantiam non habeat; sed, uti Moses ait, superne demittatur. Levem deinde vocat

A ὑμῖν *Πνεύματος* παρ' ἐμοῦ, ὃ καὶ κτίζων ἄνθρωπον, εἰς ψυχὴν ἐνεφύσησα ζῶσαν, περὶ ἧς καὶ εἴρηται· « Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. » Καὶ Ἰὼβ δέ φησι· « Πνεῦμα Κυρίου τὸ περιὸν μοι ἐν ῥισὶ, πνοὴ δὲ παντοκράτορός ἐστιν ἡ διδάσκουσά με. » Οὐκοῦν καὶ παιδεύων ὑμᾶς, ὡς Πατὴρ, τοῦτο ποιῶ· « Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει. » Τοῦτο δὲ παθόντες, εὐαισθήτως ἄγαν τὴν κατὰ Θεὸν *λύπην* ἐλυπήθητε ἐπὶ τοῖς ἡμαρτημένοις *στυγνάσαντες*. Καὶ τὸν ἐκ τῆς μετανοίας βίον *ἰδὼν*, εἰκότως *ἰασάμην ὑμᾶς ἀληθῶς παρακαλέσας*. (ἀληθῆ γὰρ τὰ παρ' ἐμοῦ· καὶ δοὺς *εἰρήνην*, οὐχ ἁπλῶς, ἀλλ' ὡς καὶ ἀπὸ τῶν ἐγγὺς ἔχειν αὐτὴν, καὶ *τῶν πόρρω λίαν ἀπῳκισμένων*. Καὶ τοῦτο πέρας τοῖς ἐκ τῆς ἐμῆς παιδείας ὠφελημένοις. Οἱ δὲ δὴ [n] τοιοῦτοι, *κλυδωνισθήσονται*. Πῶς γὰρ ἔχει φύσιν [o] *ἀναπαύεσθαι καὶ χαίρειν* τοὺς ἀλλοτριωθέντας Θεοῦ; κατὰ δὲ Σύμμαχον· *Οἱ δὲ ἀσεβεῖς ὡς θάλασσα ἐκβρασσομένη. Ἡσυχάσαι γὰρ οὐ δυνήσονται, καὶ ἐκβρασθήσονται παρὰ τὰ ὕδατα αὐτῆς, καὶ καταπάτημα, καὶ πηλός*. Ὁ δὲ Ἀκύλας· *Καὶ ἐκβράσσει ὕδατα αὐτῆς καταπάτημα καὶ πηλόν*. Ὥστε εἰ λέγοι τό ποτε, ὡς περὶ θαλάσσης Αἰγύπτου, ἢ περὶ ὑδάτων τινῶν, τὸ πλῆθος τῶν ἀσεβῶν ἐκδεξόμεθα.

Τινὲς δὲ τὴν προκειμένην ῥῆσιν περὶ παντὸς Ἰσραὴλ εἰρῆσθαί φασιν, οὗ τὸ κατάλειμμα σώσειν κατεπαγγέλλεται διὰ πίστεως τῆς ἐν Χριστῷ. Τὸ δὲ, *ὁ κατοικῶν ἐν ὑψηλοῖς*, τὸ τῆς κατὰ φύσιν ὑπεροχῆς ἀμείωτον δείκνυσιν (ὑπὲρ πάντα γὰρ ἡ θεία φύσις), ὅπερ ἐστὶ διαμένουσα, εἰ καὶ Ἰσραὴλ αὐτὴν ἐταπείνωσε, παραβαλὼν τοῖς εἰδώλοις αὐτήν. Ὥσπερ οὖν ἐμόλυνε ταῖς ἀκαθάρτοις ἐννοίαις *τὸν ἅγιον*, καὶ τοῖς διὰ πίστεως καθαρθεῖσιν *ἀναπαύμενον*· οὓς ἂν ἴδῃ *μικροψυχοῦντας*, φησίν· Ἀνόρίζεσθε, καὶ κραταιούσθω *ἡ καρδία* ὑμῶν, *ζωὴν* τε δίδωσιν ἀληθῆ τοῖς πτωχοῖς τῷ πνεύματι, καὶ πειθαρχοῦσι τῷ λόγῳ. Ὁ γὰρ λοιπὸς Ἰσραὴλ κατεπήρετο τοῦ Χριστοῦ. Πλὴν καὶ τούτου [p] εὐέλπιδας ἀπεργάζεται διὰ τὸ κατάλειμμα, καὶ τὴν ἐπ' ἐσχάτων αὐτῶν σωτηρίαν. *Οὐκ εἰς τέλος* γὰρ παρατενῶ *τὴν ὀργὴν*, διὰ τὴν πρὸς τοὺς Πατέρας ἐπαγγελίαν, καὶ ὅτι πάντες ἐμὰ τυγχάνετε κτίσματα. *Ἐξέλευσιν* γὰρ *πνεύματος* οὐ τοῦ παναγίου φησίν. Πῶς γὰρ ἂν *ποίησιν* παρείληφεν ἐπ' αὐτοῦ; καταχρηστικῇ δὲ λέξει τὸ δημιουργηθὲν ἐν ἡμῖν ὑπαινίττεται. Τινὲς δὲ ἀντὶ τοῦ *ἐξελεύσεται*, *ἐνειληθήσεται* τὸ ῥητὸν παραθέμενοι, *τὴν πνοὴν* δηλοῦν φασι τὴν συμπλεκομένην τῷ σώματι, εἰ καὶ μὴ ὁμοούσιος αὐτῷ, πεμπομένη δὲ ἄνωθεν, καθά φησι Μωσῆς. Μικρὰν δὲ τὴν τιμωρίαν πρὸς τὰς αὐτῶν *ἁμαρτίας* καλεῖ, καὶ ἣν κατὰ Χριστοῦ παροινίαν εἰργάσαντο, δι' ἣν αὐτοὺς ἀπεστράφη προειπών· « Ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρός με, ἀποστρέψω τὸ πρόσωπόν μου ἀφ' ὑμῶν.

[99] Psal. CL, 6 [1] Job XXVII, 3. [2] Hebr. XII, 6. [3] Rom. XI, 5.

VARIÆ LECTIONES.

[n] γρ. μή. [o] γρ. φησίν. [p] Ἴσ. τούτῳ.

Digitized by Google

Καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. » Παύσω δὲ τὴν *ἀποστροφὴν*, ὅταν μετανοήσας *πορεύσῃ στυγνός*.

avertam vultum meum a vobis. Et si multiplicaveritis preces, non exaudiam vos. Manus enim vestræ sanguine plenæ sunt [a]. » Cessabo tamen et ipse te *aversari*, cum pœnitere **652** *tristemque ambulare* contigerit.

Τεύξῃ γὰρ *ἀληθινῆς παρακλήσεως*, τῆς διὰ Χριστοῦ χάριτος δικαιούσης ἐν πίστει, καὶ πληρούσης ἁγιασμοῦ. Υἱοθεσίας τε γὰρ καὶ τῶν μελλόντων ἀγαθῶν μεταδίδωσι, *καὶ εἰρήνης ἐπ' εἰρήνῃ*. Τοῦτ' ἔστιν. . . . . εκουσην δώσει. . . . *ἐγγὺς* Ἰσραήλ· ἦσαν γὰρ ἐγνωκότες. . . . , τὸν νο. . . μφ καὶ προφήταις ᾠδὴ. . . . . καὶ τοῖς [q] *μακρὰν* ἐθνικοῖς, ὅτι γε τούτων ἐστέρηνται. Τούτοις γὰρ καὶ Παῦλός φησι· « Νυνὶ δὲ οἱ ποτὲ ὄντες μακρὰν, ἐγενήθητε ἐγγὺς ἐν τῷ αἵματι τοῦ Χριστοῦ. Πλὴν ὁ Χριστὸς ἀμφότερα ἐποίησεν ἕν, τοὺς δύο κτίσας λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας εἰρηνεύσατο τῷ Πατέρι, » πρὸς ὃν ἔλεγε· « Θέλω ἵνα ὥσπερ ἐγὼ καὶ σὺ ἓν ἐσμεν, οὕτω καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν. » Καὶ τὸ κεφάλαιον ὁ προφήτης ἐπήνεγκεν εἰπών· *Ἰάσομαι αὐτούς*. Οἱ δ' ἐκ τούτων ἀπειθοῦντες *κλυδωνισθήσονται*· κἀν τῷ καιρῷ γὰρ τῆς κλήσεως τινὲς αὐτῶν ἀπειθήσουσι, περὶ ὧν ὁ Παῦλός φησιν· « Ἀνθ' ὧν τὴν ἐπίγνωσιν τῆς ἀληθείας οὐκ ἐδέξαντο, διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεὸς ἐνέργειαν πλάνης. » Καὶ ὁ Σωτὴρ δέ φησιν· « Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ Πατέρος μου, καὶ οὐ λαμβάνετέ με. Ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε· » δηλαδὴ τὸν τῆς *ἀνομίας υἱόν*· οἵτινες ψυχικὸν ὑπομένουσι *κλύδωνα* δίκην θαλάσσης ὑφ' ἑαυτῶν τιμωρούμενοι, τῆς ἐγειρούσης μὲν κύματα συνεχῆ, καὶ παραπεμπούσης αἰγιαλοῖς, τὴν δὲ τούτων ἀνάκλασιν πάλιν εἰς ἑαυτὴν δεχομένης, ὥσπερ οὗτοι τοῖς *ἀπὸ καρδίας κυμαίνουσι* λογισμοῖς *ἀναπαύλης τυχεῖν οὐ δυνήσονται*. Διὸ καὶ *χαίρειν* οὐ δύνανται τῆς ὄντως *χαρᾶς* ἐστερημένοι Χριστοῦ. Κἂν γὰρ *χαίρωσιν* ἐφ' ἡδοναῖς σαρκικαῖς, ἀσεβεῖς, ἀλλ' εἰς ἀπώλειαν καταστρέφουσιν. Ἡ γὰρ ἐκ θλίψεων ζωὴν αἰώνιον πραγματευομένη μόνη *χαρά*. Ἰστέον δὲ, ὡς τὴν εἰρημένην *ἴασίν τε εἰρήνην*, καὶ *παῦλαν ὀργῆς*, περὶ τῆς ἐξ Ἀσσυρίων ἀνακλήσεώς τινες ἐξειλήφασιν, οἳ καὶ τὸ, *τοῖς μακρὰν*, καὶ *τοῖς ἐγγὺς*, οὕτως ἐνόησαν, ὡς ἀγαθὸς ὢν ὁ Θεὸς οὐ μόνοις τοῖς μετανοοῦσι δίδωσιν ἄνεσιν· ἀλλὰ γὰρ δι' αὐτοὺς καὶ τοῖς ἐν αἰχμαλωσίᾳ τυγχάνουσιν, ἵνα πάντας συναγαγὼν συνθήματι, κἂν οἱ μὲν διὰ μετανοίας ἐγγίζοιεν, οἱ δὲ τοῖς κακοῖς ἐπιμένοντες μακρύνοιντο τοῦ Θεοῦ, οἷς ἀρκεῖ πρὸς τιμωρίαν τὸ συνειδὸς διὰ παντὸς ταραττόμενον.

Vera enim *consolatione* potieris, quæ per Christi gratiam justificat in fide, et sanctificatione replet. Nam et adoptionis in filios, et futurorum bonorum participes facit, et *pacis super pacem*, id est, *pacem* perpetuo manentem Israeli, *qui prope est*, largietur. Erant enim eorum illi callentes, quæ in lege et prophetis habebantur. Quæ certe ethnicis *procul* remotis ideo ignota fuerant, quod illis carerent. Istos enim in hæc etiam verba Paulus alloquitur : « Nunc autem, qui aliquando eratis longe, facti estis prope in sanguine Christi. Sed Christus utraque unum fecit, duos creans populos in novum unum hominem; et medium parietem maceriæ solvens Patri reconciliavit [b] : » ad quem et ista ejusdem legimus : « Volo, Pater, ut, quemadmodum ego et tu unum sumus, sic et ipsi in nobis unum sint [c]. » Atqui, quod summum est, et præcipuum, adjecit propheta, cum *eos se sanaturum* : qui autem ex eis infideles fuerint, *fluctuaturos* dixit. Sunt enim eorum nonnulli ipso etiam tempore, quo fiet vocatio, pertinaces futuri, in quos sunt et ista etiam Apostoli : « Quandoquidem veritatis agnitionem non receperunt, ideo mittet illis Deus operationem erroris [d]. » Et Salvatoris : « Ego veni in nomine Patris mei, neque me accipitis. Si venerit alius in nomine proprio, istum accipietis [e] ; » filium iniquitatis scilicet. Atque illi quidem ipsi sunt, qui animæ *fluctuationem* patiuntur, maris instar seipsos ulciscentes : quod quos fluctus ad litora trudit, assidue parit quidem; sed eorumdem in se reflexionem rursum pati cogitur; non aliter quam isti, qui *cordis* semper *fluctuantes* cogitationibus, *quiescere nunquam poterunt*, neque *gaudere* : quia nimirum vero *gaudio*, id est Christo, destituuntur. Quantumvis enim *gaudeant*, qui corporis voluptatibus indulgent; extrema tamen occupabit interitus. Est enim unum illud et solidum *gaudium*, quod vitæ perennitatem afflictionibus molitur. Neque vero prætereundum est, quod superius de *sanatione*, *de pace*, **653** deque *iræ remissione* dictum est, ad reditum ex Assyria nonnullos retulisse; Deumque per *remotos et propinquos*, non pœnitentibus modo, sed captivis etiam omnibus uno fœdere congregatis veniam largiri significasse; quantumvis Deo propter pœnitentiam simi quidam viciniores, quidam autem propter vitæ turpitudinem remotiores; quibus ad ultionem conscientia sufficit perpetuo conturbata.

[a] Isa. I, 15. [b] Ephes. II, 13-15. [c] Joan. XVII, 21. [d] II Thess. II, 10. [e] Joan. V, 43.

VARIÆ LECTIONES.

q γρ. Μεταδώσει, καὶ εἰρήνης, ἐπ' εἰρήνῃ τουτέστιν ἀεὶ μένουσαν δώσει εἰρήνην τῷ ἐγγὺς Ἰσραήλ. Ἦσαν γὰρ ἐγνωκότες τὰ ἐν νόμῳ καὶ προφήταις, ἃ δὴ ἐγνώκασι καὶ τοῖς.

Digitized by Google

ΚΕΦΑΛ. ΝΗ'. A CAP. LVIII.

α-κα'. Ἀναβόησον ἐν ἰσχύϊ, καὶ μὴ φείσῃ· ὡς σάλπιγγα ὕψωσον τὴν φωνήν σου, καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν, καὶ τῷ οἴκῳ Ἰακὼβ τὰς ἀνομίας αὐτῶν. Ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζητοῦσι, καὶ γνῶναι μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκὼς, καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπὼς, κ. τ. λ.

654 Vers. 1 21. *Clama potenter, neque parcas. Quasi tuba attolle vocem tuam, et annuntia populo meo peccata sua, et domui Jacob iniquitates suas. Me de die in diem quæruni, et nosse vias meas cupiunt, tanquam gens quæ justitiam fecerit et judicium Dei sui non reliquerit*, etc.

Θεραπεύσας ὁ λόγος τοὺς ἐν τῷ πλήθει τοῦ λαοῦ ταπεινοὺς καὶ συντετριμμένους τῇ καρδίᾳ, μεταβαίνει λοιπὸν ἐπὶ τὸ τάγμα τῶν ἐν αὐτοῖς ἀσεβῶν, περὶ ὧν ἔλεγεν, Οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσι, διδάσκων τίνες τε οὗτοι, καὶ ἀνθ' ὅτου κατ' αὐτῶν ἀπεφήνατο. Ἀφόβως οὖν, καὶ σὺν παῤῥησίᾳ ταῦτα βοᾶν τῷ προφήτῃ παρακελεύεται. Τοῦτο γάρ ἐστι τὸ ὑψῶσαι τὴν φωνὴν, ὡς ἀπὸ σάλπιγγος τοὺς ἐλέγχους προφέροντα. Κατὰ καιρὸν δὲ ὡς ἐπὶ Θεοῦ πολεμίων ἡ σάλπιγξ παρείληπται. Τοῖς μὲν οὖν εὐαγγελισταῖς διὰ τῶν πρόσθεν ἐλέγετο· « Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών, » καὶ τὰ ἑπόμενα. Ἐνταῦθα δὲ οὐκ ἐπ' ὄρος ἀναβαίνειν ὁ προφήτης κελεύεται (οὐ γὰρ τοῖς οὖσιν ἐν ὕψει λέγειν ἤμελλεν), ἄγαν δὲ μόνον βοᾶν, ὡς εἰς ὦτα κωφῶν, οὓς καὶ, Λαόν μου, φησὶν, εἰς κατάκρισιν αὐτῶν. Ἐγὼ μὲν γὰρ αὐτοὺς περιεποιησάμην· οἱ δὲ ἀπέφυγον. Αἱ γὰρ ἁμαρτίαι ὑμῶν, φησὶ, διιστῶσιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, καὶ πλέον ταῖς ἁμαρτίαις ὑμῶν ἐπειράθητε· ὁ δὲ ἔλεγχος, ὅτι δοκοῦσίν με καθ' ἡμέραν ἐπιζητεῖν ἐπὶ τὰς πάρ' αὐτοῖς ἁπαντῶντες Συναγωγάς. Καὶ τὰς Γραφὰς προσποιοῦνται ζητεῖν, τὰς ὁδούς μου μανθάνειν πειρώμενοι, ὡς δὴ τὰ λοιπὰ κατορθώσαντες. Καὶ ταῦτα δὴ τῷ δοκεῖν ἐποίουν, διὰ τὸν ἐπικείμενον πόλεμον ἐθέλοντες γνῶναι τὰς ἐφ' ἑκάστῳ πράγματι διοικήσεις, καὶ τί τοῦ πολέμου τὸ πέρας. Καὶ οὕτω γὰρ τὰς ὁδοὺς νοητέον, ὅπερ ἦν ἀνδρῶν ἐννόμως πολιτευσαμένων. Οὐδεὶς γὰρ ὁδοὺς Θεοῦ γνώσεται μὴ δίκαιος ὤν.

655 Postquam iis, qui in populo cordis humilitate et contritione laborabant, medicatus est, ad alios deinceps, qui inter eosdem impietatem professi gaudere nequeunt, sermonem convertit; quique ipsi sint, et cur in illos ista pronuntiet, demonstrat. Prophetam igitur, ut ista sine metu, et confidenter *inclamet*, admonet. Idipsum enim significat, cum *vocem attollere* præcipit; tanquam *tuba* personante, eorum scelera palam argui postulet: ideoque *tubæ* nomen, quod adversus Dei hostes negotium sit, usurpat. Qui ergo evangelistas superioribus ita est allocutus: « Super montem excelsum ascende qui evangelizas Sion [9], » et quæ deinceps: hoc loco non idipsum jam eos facere, qui *in alto* sint collocati, sed tanquam *populi sui* aures obsurduerint, in eorum condemnationem vehementius jubet *inclamare*; quos enim ipse sibi vindicasset, a se tamen constaret recedere. *Peccata* siquidem vestra, inquit, longe vos a me separant intervallo, et amplius estis illis tentati, idque eo ipso evicero, quod me *in dies quærere* videri vultis, dum in vestris Synagogis coeuntes, Scripturas vos *viasque meas* scrutari et discere simulatis, tanquam reliqua præstiteritis; cum famam sectemini tantum, et qua quæque ratione ingruentis belli negotia geri conveniat, quemque finem habiturum bellum sit, *nosse* studeatis. **656** Nam et hoc pacto *viarum* investigatio intelligenda est: quæ virorum fuit ex legis instituto degentium. Nemo enim, nisi qui justus sit, Dei *vias nosse* poterit.

Ἐξ αὐτῶν δὲ τῶν πράξεων ἐλέγχονται τὴν τοῦ Θεοῦ καταλείψαντες κρίσιν ἐν ἀσεβείᾳ καὶ πλημμελήμασιν Καὶ ὅμως ἐξ ἀναισθησίας ἐπιδικάζονται τῶν ἐμῶν ἀγαθῶν, ὥσπερ ἀμοιβὴν ἀρετῆς πολέμου νίκην αἰτούμενοι· καὶ ἀδικίας με γράφονται, ὡς εὐσεβοῦντας αὐτοὺς ἀπωθούμενον. Ἐνηστεύσαμεν γάρ, φησὶ [r], καὶ οὐκ εἶδες. Τῶν γὰρ πολεμίων ἐπικειμένων διὰ σωματικῆς ᾤοντο νηστείας ἐξευμενίζεσθαι τὸν Θεὸν, βρωμάτων, οὐ κακίας ψυχικῆς ἀπεχόμενοι. Καὶ τὴν τοιαύτην νηστείαν ψυχῆς καλοῦντες ταπείνωσιν. Τοῦτο τοίνυν, ὦ προφῆτα, φησὶν ἔλεγχον, ὃ καὶ προβάλλονται, ἐξ ἑνὸς τούτου τὸν λοιπὸν αὐτῶν ἀποδείξας τρόπον. Τὸ δὲ, οὐκ εἶδες, οὐκ ἄγνοιαν Θεοῦ, ἀλλ' ἀπότευξιν αὐτομάτων δηλοῖ. Μέγα δ' ἂν ἔπραττον, εἰ ἀληθῶς ταῦτα μετῆρχοντο. Καὶ Δαβὶδ γάρ φησιν· « Ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσ-

Suis igitur ipsi rebus gestis, *Dei judicium* vitæ impiæ et sceleratæ posthabuisse convincuntur: nec dubitant tamen omni sensu destituti de meis bonis judicio contendere, meque iniquitatis etiam accusare, tanquam qui pie degentes eos rejecerim. *Jejunavimus* enim, aiunt, *et non vidisti*; cum enim hostes ingruerent, Deum *jejunio* demereri se putabant, si a cibis, non a vitiis abstinerent; idque *animæ humiliationem* nuncupabant. Hoc igitur vel ad convincendum quod ipsi opponunt, facere propheta respondet; ab unoque isto, de cæteris esse judicandum. At quod *non vidisti* addit, non Dei ignorationem, sed infelicem eorum, quæ sponte admiserunt, exitum demonstrat. Quanquam tamen et illi rem sane haud parvam præstitissent, si vere ista sectati fuissent. Nam et apud Davidem legi-

[9] Isa. XL, 9.

VARIÆ LECTIONES.

[r] γρ. φασί

Digitized by Google

ψυχή μου εἰς κόλπον μου, ἐπιστραφήσεται. » Καὶ πάλιν· « Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας. » Φησὶ δὲ καὶ Θεός· « Ἐπιστράφητε πρός με ἐν νηστείᾳ, καὶ ἐν κλαυθμῷ, καὶ κοπετῷ. » Ὅπερ ἐστὶν, ἐν ἀποχῇ καὶ μετανοίᾳ τῶν ἡμαρτημένων· ὃ μὴ ὁρῶντες οὗτοι, βρωμάτων δὲ ἀπεχόμενοι, τὸ πᾶν ἔχειν ἐνόμιζον, ὡς Θεῷ χαριούμενοι, εἰ μὴ πλείονος αὐτῶν τροφῆς ποιοῖτο[s] φροντίδα. Οὐ μόνον γὰρ κακῶν οὐκ ἀπείχοντο *νηστεύοντες*, ἀλλὰ τότε καὶ τὰ μέγιστα διεπράττοντο, *τύπτοντες τοὺς ὑποχειρίους* οὔτι που πάντως χερσὶν, ἀλλ' ὕβρεσι, καὶ πλεονεξίαις, ἀντιλογίαις πρὸς ἀλλήλους κατατριβόμενοι, ὡς φωνὰς ἀφιέναι κλαυθμοῦ *καὶ κραυγὰς ἀπρεπεῖς* τοὺς ὑπ' αὐτῶν τυπτομένους. Διὸ καὶ κατ' ἀρχὰς ἔλεγεν· « Τὴν νηστείαν καὶ ἀργίαν, καὶ τὰς νουμηνίας ὑμῶν μισεῖ ἡ ψυχή μου. » Καὶ νῦν δέ φησιν· *Οὐχὶ ταύτην τὴν νηστείαν ἐξελεξάμην, οὐδὲ τοιαύτην ταπεινώσεως ἡμέραν.* Καὶ τὸν μὲν πορευθέντα στυγμὸν[t] ἐν ταῖς ὁδοῖς αὐτοῦ, καὶ τὴν τοῦ Πνεύματος συντριβὴν ἐν τῷ βίῳ καὶ ταῖς πράξεσιν ἔχοντα εἶπεν *ἱάσεσθαι*· τὸν δὲ τὴν *ἐφήμερον* ἐν νηστείᾳ *ταπείνωσιν* σχηματιζόμενον οὐ προσίεται.

Τινὲς δέ φασιν ὡς ποιοῦντες[u] αὐτῶν *τὰ θελήματα ὑπέντυττον* καὶ *τοὺς ὑποχειρίους* αὐτῶν εἰς κρίσεις καὶ μάχας, δέον βραβεύειν εἰρήνην. Τὸ δὲ, *ὡς σήμερον ἀκουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν ὑμῶν*, ὡς τῆς ἀληθοῦς *νηστείας κραυγὴν* ἐχούσης παρὰ Θεῷ· ἔχειν γάρ τινα λέγεται *φωνὴν* πρὸς Θεὸν τὰ δρώμενα παρ' ἡμῶν. Κατὰ τό· « Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με. » Εἰ μὴ ἄρα *κραυγὴν* τὴν μετὰ τῆς ἀνωφελοῦς *νηστείας* καλεῖ προσευχήν. Κἂν πάντα δὲ πόνον ὑπομείνῃς σωματικὸν ἄνευ τῆς κατὰ γνώμην μεταβολῆς, οὐδ' οὕτω τἀληθῆ λέγειν ἐθέλων, *νηστείαν ταῦτα καλέσεις δεκτήν*. Ἡ γὰρ ἀληθὴς *νηστεία* τὸν μὲν σωματικὸν πόνον ἐν κρυπτῷ ποιεῖ, κατὰ δὲ τὸ φανερὸν φαιδρὸν ποιοῦσα τὸ πρόσωπον, καὶ τὴν κεφαλὴν ὑπαλείφουσα, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Καρποὺς δὲ εὐλαβείας ὁρᾷν τοῖς πᾶσι παρέχεται, *διὰ τοῦ λύειν πάντα σύνδεσμον ἀδικίας*. Ὡς ἀγνοοῦντας γὰρ καὶ τὸν τρόπον τῆς ἀληθοῦς *νηστείας* ἐδίδαξε. Κατὰ τό· « Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι, ἐν τῇ ἀληθείᾳ σου. » *Συνδέσμου* δὲ *ἀδικίας λύσις* πλεονεξίας ἀπαλλαγῇ, καὶ τὸ μὴ τοὺς ἀσθενεστέρους πλοκαῖς αἰτιαμάτων καταδεσμεῖν. Καὶ τὰ ἐξ ἀδικίας δὲ συστάντα *διάλυε συναλλάγματα* διεστραμμένῃ γνώμῃ γενόμενα, *ἄφεσιν* διδοὺς τοῖς ἐκ τούτων ἢ *τοῦ συνδέσμου τῆς ἀδικίας* συντετριμμένοις, οὓς καὶ *τεθραυσμένους* καλεῖ. Καὶ γραμματεῖα δὲ διάρρηξον μὴ δικαίως γενόμενα. Δεῖ δὲ πρῶτον ἀποστῆναι κακῶν, καὶ τότε μετιέναι τὴν ἀρετήν. Εἰπὼν οὖν τὸ πρῶτον, ἐπιφέρει τὸ δεύτερον τὸ δὲ, *Θρύψον πεινῶντι τὸν ἄρτον σου*, καὶ τὰ μετὰ τοῦτο, δηλῶν ὡς ὃν ἂν

A mus : « Humiliavi in jejunio animam meam, et oratio mea in sinum meum convertetur [10]. » Et rursum : « Genua mea incurvata sunt a jejunio [11]. » Ait porro et Deus ipse : « Convertimini ad me in jejunio, in fletu et planctu [12]; » id est abstinentia, peccatorumque pœnitudine. Quod cum isti non facerent, sed a cibis tantum abstinerent, omnia se consequi tamen arbitrabantur : tanquam Deo rem gratam se facere putarent, si de eduliis non magnopere laborarent. Non solum enim, cum *jejunabant*, a malis non abstinebant, sed tum longe graviora etiam patrabant, qui *subditos percutiebant*, non manu quidem omnino, sed contumeliis, et rapinis, mutuisque controversiis eo usque atterendo, ut oppressos ad luctus indecoros, *clamorisque voces* adigerent. Quo factum est, ut eorum se B jejunia, feriasque ipsas, et Kalendas ex animo odisse initio dixerit [13] : nunc autem *non tale jejunium, talemque humiliationis diem eligere.* Adjicit vero et ei se, qui in viis suis mœstus ambularit, quique spiritus contritionem in vita et actionibus habuerit, **657** *sanitatem* esse allaturum : sed ad eum, qui *diurnam* jejunando *humiliationem* simularit, nequaquam accessurum.

Volunt istos nonnulli, cum *voluntatibus* suis indulgerent, *subditos* etiam fori disceptationibus et pugnis *afflixisse;* ad quorum pacem spectare, eosque conciliare debuerant. At quod *ut hodie audiatur in clamore vox vestra* sequitur ; tanquam de vero *jejunio*, cujus *clamor* ad Deum usque penetret, intelligendum est. *Vocem* enim apud Deum aliquam quæ a C nobis geruntur, habere dicuntur, quomodo sanguinem Abelis ad ipsum clamasse legimus [14]. Nisi si *clamoris* nomine, eam potius, quæ inani et fruge carenti *jejunio* adhibetur, orationem significare dicas. Sed quantumvis laborem corpore sustineas, nisi et ipsa voluntatis mutatio accesserit ; ne sic quidem ista, cum vere dicere volueris, *acceptabile jejunium vocaberis.* Quod enim verum est *jejunium*, corporis quidem labores in occulto subit ; vultus autem hilaritatem in aperto depromit ; caputque, sicuti jubet ipse Salvator, ungit [15]. Præbet etiam pietatis fructus nulli non conspicuos, *cum omne vinculum iniquitatis solvit.* Eos enim ita docendos esse censuit, qui veri *jejunii* rationem D penitus ignorarent ; juxta illud : « Deduc me Domine, in viam tuam, et ambulabo in veritate tua [16]. » Erit vero id demum *iniquitatis vinculum solvere ;* si divitiarum cupiditatibus te liberes ; si, qui sunt infirmiores, accusationem involucris non implices. *Dissolve* ergo quas inique pravoque animo confectas habes *cautiones*, illis *remissionem* indulge, qui per eas, aut per *iniquitatis colligationem* conterunt ; quos etiam *fractos* appellat. Dilacera libellos qui injusta nomina complectuntur. Sed decet prius

[10] Psal. xxxiv, 13. [11] Psal. cviii, 24. [12] Joel ii, 12. [13] Isa. i, 13. [14] Gen. iv, 10 [15] Matth. vi, 17. [16] Psal. lxxxv, 11.

VARIÆ LECTIONES.

[s] *Isc.* αὐτοὶ τροφῆς ποιοῖντο. [t] *gr.* στυγνόν. [u] *gr.* ποιοῦντας.

Digitized by Google

a malis abscedere, quam ad virtutem accedas. Itaque cum de priori dixisset, alterum tum intulit, cum *frange esurienti panem tuum*, cæteraque deinceps adjunxit, ut quem non *jejunantes* **658** essemus comesturi, a nobis erogari debere significaret. Non decet enim a jejunio turpis lucri et sordium excusationem quærere. Animam præterea alia ratione nutriemus, si eum esurientem cibo recreemus. Decet etiam et ad ædes non divites ipsos, qui paria rependant, vocare, sed eos, qui ne *tecti* quidem habeant *suffugium*. Decet item *nudum* minime præterire ; eum pauperes atque divites idem universorum Deus, ad utrorumque probationem fecerit : ut istis quidem fructus, quos aliis suppeditarent, non decessent ; illis autem ad exercitationem prodesset inopia.

A ἐφάγομεν μὴ νηστεύσαντες ἄρτον, διανέμειν ὀφείλομεν. Οὐ γὰρ δεῖ πρόφασιν αἰσχροκερδείας τὴν ἀσιτίαν ποιήσασθαι. Τὴν δὲ ψυχὴν ἑτέρῳ τραφησόμεθα τρόπῳ τὸν ἐνδεᾶ τροφῆς ἀνακτώμενοι. Καὶ εἰς τὸν οἶκον δὲ χρὴ μὴ πλουσίους καλεῖν διὰ τῶν ὁμοίων ἀποδιδόντας τὴν ἀμοιβήν· ἀλλ' ἄνδρας μηδὲ στέγης ἐσχηκότας *ὑποδρομήν*. Μηδὲ *γυμνὸν* δὲ παραδράμῃς. Ὁ τῶν ὅλων γὰρ Θεὸς τοὺς μὲν ἐνδεεῖς, τοὺς δὲ πλουσίους ἐποίησεν, εἰς δοκιμὴν ἑκατέρων. Ἵν' οἱ μὲν ἔχοιεν καρπὸν χορηγοῦντες, οἱ δὲ τὴν πενίαν γυμνάσιον.

Quod deinde *domesticos seminis* ait, ita Judaice B quidem Israelitas significat ; Christiane autem fidei *domesticos ;* ad idque et Paulus ipse hortatur [17]. Eum igitur, qui ista (*jejunii* maxime tempore) præstiterit, decet accedere, Deumque precari ? eaque plane ratione dictum est et illud : « Si obtuleris munus tuum ad altare, ibique recordatus fueris fratrem tuum aliquid habere contra te [18] ; » et quæ deinceps. Quod si ista observaris, tanquam de nocte repentinum tibi *lumen* illucescet, bonaque cœlestia afferet : et, quia cognitionis *lumen* est, fulgetri more magno in te impetu delabetur ; in quo propensum suppeditantis animum significari voluit : ideoque *matutinum* appellavit, tanquam Deo pro sua benevolentia tempus ipsum antevertente, animaque morbis liberata, *oritura* sint meliora. Id autem vel eo patuerit, quod *in ejus conspectu justitiam ejus præituram* adjunxit : eodem plane sensu, ac si, ex quo *Dei lumen* participarit, cæteris etiam *lumen* futurum diceret. Testabuntur enim, inquit, opera ipsa virtutem tuam cæteris illucere ; juxta illud : « Luceat lux vestra coram hominibus [19], » et quæ deinceps. *Et gloria Dei circumdaberis* in ipsius et hominum conspectu, cum ad bonorum operum fructus et istud etiam tanquam ex abundanti tibi accesserit. Habebis, præter id, et *Dei* aurem tibi facilem et attentam. *Te* siquidem *adhuc loquente dicet, Ecce adsum.* Iniqui deinde et immisericordis **659** vanum *in jejunio clamorem*, futurum; justi autem *auditum iri* dixit, ut colloquii prolixitatem et copiam demonstraret : juxta illud : « Oculi Domini super justos, et aures ejus in preces eorum [20]. » Addit vero et *clamori* efficacitatem, *jejunium*. Precibus enim etiam jejunium adjungebant sancti. Sic Daniel, sic apostoli [21]. At quod ait : *Ecce adsum*, etiam Danieli [22], postquam trium hebdomadarum jejunium tolerasset, eo ipso clarum fuit, quod ab initio exauditos esse sermones suos expertus est. Neque vero ista tibi, inquit, defutura sunt, si *nexum* peccatorum, tanquam catenam, abjeceris. Utitur enim hoc loco repetitione propheta, qua ratione et Apostolus, ubi Philippensibus eadem repetere sibi non molestum, illis autem percommodum et tutum esse scribit [23].

B *Οἰκείους* δὲ *σπέρματος* Ἰουδαϊκῶς μὲν τοὺς ἐξ Ἰσραὴλ καλεῖ, Χριστιανικῶς δὲ τοὺς *οἰκείους* τῆς πίστεως. Τοῦτο γὰρ καὶ Παῦλος παρακελεύεται. Ταῦτα δεῖ μάλιστα τῷ καιρῷ *τῆς νηστείας* ποιοῦντι τότε προσιέναι, καὶ δεῖσθαι Θεοῦ, συμφώνως τῷ· « Ἐὰν προσφέρῃς τὸ δῶρόν σου, κακεῖ μνησθῇς ὅτι ὁ ἀδελφὸς ἔχει τι κατὰ σοῦ, » καὶ τὰ ἑξῆς. Ταῦτα δὲ φυλάξαντι, καθάπερ ἐκ νυκτὸς ἀθρόον ἡμέρας ἐπιλάμψει σοι *φῶς* ἀγαθά σοι φέρον οὐράνια, καὶ *φῶς* γνώσεως ὑπάρχον ἀστραπῆς δίκην σὺν ὁρμῇ καὶ ῥόμῳ σοι καθιέμενον, δι' οὗ δείκνυται τοῦ χορηγοῦντος ἡ προθυμία. Διὸ καὶ *πρώϊμον* εἶπεν, ὡσανεὶ τοῦ Θεοῦ διὰ φιλανθρωπίαν καὶ τὸν καιρὸν προλαμβάνοντος, καὶ τῶν ἐν ψυχῇ νοσημάτων ἀπηλλαγμένων, *ἀνατελεῖ* τὰ χρηστότερα. Ὁ δηλοῖ τὸ *Προπορεύσεται* C *ἔμπροσθέν σου ἡ δικαιοσύνη σου*. Τοῦτ' ἔστι, Μεταλαβὼν τοῦ *θείου φωτὸς*, γενήσῃ *φῶς* ἑτέροις· φανεῖται γὰρ ἡ δι' ἔργων ἀρετή σου τοῖς ἄλλοις ἐκλάμπουσα, κατὰ τό· « Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, » καὶ τὰ ἐπὶ τούτῳ. *Καὶ στεφανωθήσῃ δόξῃ Θεοῦ* ἐνώπιον αὐτοῦ καὶ ἀνθρώπων, πρὸς τοῖς τῶν ἔργων καρποῖς ἐκ περιουσίας τοῦτο λαβών. Ἔξεις πρὸς τούτῳ καὶ τὸ *θεῖον* οὖς εὐπειθές. Ἔτι *σου γὰρ λαλοῦντος ἐρεῖ· Ἰδοὺ πάρειμι*. Καὶ τοῦ μὲν ἀδίκου καὶ ἀνηλεοῦς μάταιον εἶπε τὴν *ἐν νηστείᾳ κραυγήν*· τοῦ δὲ δικαίου τὴν βοὴν *ἀκουσθήσεσθαι*, τὴν ἐκτενῆ δηλῶν ἔντευξιν, κατὰ τὸ, « Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· » ἧς [y] *βοῆς* ἐνεργὸς καὶ ἡ *νηστεία*. Προσηύχοντο γὰρ μετὰ νηστείας οἱ ἅγιοι. D Οὕτω Δανιὴλ, οὕτως οἱ ἀπόστολοι. Τὸ δὲ, *Ἰδοὺ πάρειμι*, καὶ τῷ Δανιὴλ ἐδηλώθη μετὰ τὰς τρεῖς ἑβδομάδας τῷ νηστείαν μαθόντι [x], ὡς ἐξ ἀρχῆς ἠκούσθησαν οἱ λόγοι αὐτοῦ. Ταῦτα δέ σοι ἔσται *σύνδεσμον* ἁμαρτιῶν, ὥσπερ κλοιὸν, ἀπορρίψαντι. Κατὰ γὰρ τὸν Ἀπόστολον εἰπόντα, τὰ αὐτὰ λέγειν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ τὸ [y] ἀσφαλές· καὶ ὁ προφήτης ταυτολογεῖ.

Quod deinde *domesticos seminis* ait, ita Judaice quidem Israelitas significat ; Christiane autem fidei *domesticos ;* ad idque et Paulus ipse hortatur [17]. Eum igitur, qui ista (*jejunii* maxime tempore) præstiterit, decet accedere, Deumque precari ? eaque plane ratione dictum est et illud : « Si obtuleris munus tuum ad altare, ibique recordatus fueris fratrem tuum aliquid habere contra te [18] ; » et quæ deinceps. Quod si ista observaris, tanquam de nocte repentinum tibi *lumen* illucescet, bonaque cœlestia afferet : et, quia cognitionis *lumen* est, fulgetri more magno in te impetu delabetur ; in quo propensum suppeditantis animum significari voluit : ideoque *matutinum* appellavit, tanquam Deo pro sua benevolentia tempus ipsum antevertente, animaque morbis liberata, *oritura* sint meliora. Id autem vel eo patuerit, quod *in ejus conspectu justitiam ejus præituram* adjunxit : eodem plane sensu, ac si, ex quo *Dei lumen* participarit, cæteris etiam *lumen* futurum diceret. Testabuntur enim, inquit, opera ipsa virtutem tuam cæteris illucere ; juxta illud : « Luceat lux vestra coram hominibus [19], » et quæ deinceps. *Et gloria Dei circumdaberis* in ipsius et hominum conspectu, cum ad bonorum operum fructus et istud etiam tanquam ex abundanti tibi accesserit. Habebis, præter id, et *Dei* aurem tibi facilem et attentam. *Te* siquidem *adhuc loquente dicet, Ecce adsum.* Iniqui deinde et immisericordis **659** vanum *in jejunio clamorem*, futurum; justi autem *auditum iri* dixit, ut colloquii prolixitatem et copiam demonstraret : juxta illud : « Oculi Domini super justos, et aures ejus in preces eorum [20]. » Addit vero et *clamori* efficacitatem, *jejunium*. Precibus enim etiam jejunium adjungebant sancti. Sic Daniel, sic apostoli [21]. At quod ait : *Ecce adsum*, etiam Danieli [22], postquam trium hebdomadarum jejunium tolerasset, eo ipso clarum fuit, quod ab initio exauditos esse sermones suos expertus est. Neque vero ista tibi, inquit, defutura sunt, si *nexum* peccatorum, tanquam catenam, abjeceris. Utitur enim hoc loco repetitione propheta, qua ratione et Apostolus, ubi Philippensibus eadem repetere sibi non molestum, illis autem percommodum et tutum esse scribit [23].

[17] Galat. VI, 10 [18] Matth. V, 23-25. [19] Matth. V, 16. [20] Psal. XXXIII, 16. [21] Act. XIII, 3. [22] Dan. X, 2 seqq. [23] Philipp. III, 1.

VARIÆ LECTIONES.

[y] γρ. ἔστι δὲ τῆς. [x] γρ. παθόντι. [y] ἄφ. τό.

Digitized by Google

Ἀφέλῃς δὲ, φησὶ, καὶ *τὰς ἀδίκους χειροτονίας* καὶ προβολάς· ἤγουν τὸ τείνειν τὴν χεῖρα πρὸς ἄδικα λήμματα· ἤγουν τὸ ἀνταποδιδόναι κακὸν ἀντὶ κακοῦ. Κατὰ τὸ ἐν Ψαλμοῖς· « Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι· ὅπερ πραότητός ἐστιν ἀλλότριον. » Τινὲς δὲ οὕτως· Ὁ βουλόμενος τὴν ἀγαθὴν μετιέναι νηστείαν, δίκαιος ἔστω· καὶ ὥσπερ τινὰ, *χειροτονίαν*, ἢ λειτουργίαν ἀγαθὴν ἐκτελῶν *ἀγογγύστως* ταύτην διανυέτω, ὡς μὴ λειπόμενος τῶν ἀναγκαίων, ἡνίκα χορηγῇ τῷ πλησίον· ἤγουν ἡδονῶν ἐπιθυμία, μὴ τῆς ἐπιπόνου κατὰ Θεὸν πολιτείας καταβοῶν, ὥσπερ *ἐγόγγυζεν* ὁ Ἰσραὴλ ἐν τῇ ἐρήμῳ κατὰ Θεοῦ, καὶ δίκην ἔτισαν ὑπ' ὄφεων ἀπολλύμενοι. Διὸ καὶ Παῦλος· « Μηδὲ γογγύζετε, φησὶ, καθώς τινες αὐτῶν ἐγόγγυσαν, καὶ ὑπὸ τῶν ὄφεων ἀπώλοντο. » Τὸ δὲ ὑπερβάλλον *φῶς* τῷ φεύγοντι ταῦτα, καὶ τἀναντία ποιοῦντι δηλῶν, *μεσημβρίᾳ* τοῦτο *παρείκασεν*. Καὶ τὸ μέγιστον, καὶ χορηγὸν παντὸς ἀγαθοῦ, *τὸ Θεὸν εἶναι διὰ παντὸς μετ' αὐτοῦ*.

Auferas vero, inquit, *et iniquas manuum extensiones*, et porrectiones : vel quia ad injusta dona manus porrigerent, vel quia malum pro malo reponerent. Quale illud in Psalmis : « Extendit manum suam, ut retribueret [24] ; » quod est a mansuetudine alienum. Aliis vero in hunc modum visum est explicare ; justus dicatur, qui bonum aggredi jejunium meditetur : tanquam deinde *manu porrigat* aliquid, vel ministerium bonum operetur ; illud *sine murmuratione* perficiat, ac si nulla ei necessariorum fiat imminutio, cum proximo suppeditat: vel etiam, ne voluptatum captus illecebris, laboriosam in Deo vitam verbis insectetur, ut qui olim adversus Deum in solitudine *murmurarunt* Israelitæ, unde a serpentibus icti perierunt [25]. Itaque et Paulus : « Ne murmuretis, ait, sicut eorum quidam murmurarunt, et a serpentibus perierunt [26]. » Ut autem ejus, qui ista fugiat, et contraria sectetur, *luminis* excellentiam demonstraret, idipsum *meridiano* fore simile dixit ; et, quæ res est omnium longe maxima, universique boni effectrix, *Deum semper secum* habiturum.

Τινὲς δὲ τὸ *τῆς χειροτονίας* ῥητὸν οὕτως ἐκθέμενοι· *Ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον ἐκτείνοντα δάκτυλον, καὶ λαλοῦντα ἀνωφελές*, ἐπήγαγον· λαῷ γὰρ σωτήριον ἡ τῶν πονηρῶν ἀνθρώπων ἀφαίρεσις. *Σύνδεσμός* εἰσιν οὐκ ἐῶντες εὐδοξεῖν τὸ κοινόν. Εἶτα *ψυχῆς* τροφὴν ἐπαγγέλλεται μέχρι *λιπασμοῦ τῶν* ταύτης *ὀστῶν*, οὕτω τῶν ψυχικῶν λεγομένων δυνάμεων. Αὗται γὰρ ὑπὸ τῶν πνευματικῶν χαρισμάτων *πιαίνονται*. « Οὐ γὰρ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ, » οὗ τύπος τὸ μάννα. Καθ' ἑαυτὸ γὰρ πῶς ἂν ἄρτος ἀγγέλων, ἢ καὶ ἄρτος οὐρανοῦ νοηθήσεται; Τίς δὴ τροφῆς ἐκπεσόντος Ἰσραὴλ, τὰ ἔθνη μετέλαβε διὰ πίστεως. Διό φησιν· « Οἱ δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε. Ἰδοὺ οἱ δουλεύοντές μοι πίονται· ὑμεῖς δὲ διψήσετε. » Ἐσχημάτισται δὲ ὁ περὶ *τῶν ὀστῶν* λόγος ἀπὸ τῶν τρυφᾶν εἰωθότων σωματικῶς.

Nonnulli autem, ubi *manus porrectionem* in hæc verba exposuerunt : *Si auferas a te vinculum quod digitum* **660** *extendit, et inutile loquitur* ; sceleratorum etiam hominum interitum populo salutarem esse adjecerunt, qui reipublicæ felicitatem, tanquam *vinculo* constrictam, remorantur. Deinceps *animæ* nutritionem pollicetur, ad hujus usque *saginationem ossium* ; quorum nomine virtutes ejus ideo significantur, quod eæ spiritualibus donis *impinguentur*. « Neque enim solo pane vivet homo ; sed omni verbo, quod egreditur ex ore Dei [26*], » cujus formam manna nobis repræsentavit. Qui namque per se aut panis angelorum, aut cœli etiam intelligatur ? Hunc igitur cibum, quo exciderant Israelitæ, sibi per fidem gentes assumpserunt : ideoque ait : « Qui serviunt mihi, comedent ; vos autem esurietis. Ecce qui serviunt mihi, bibent ; vos autem sitietis [27]. » Est vero de *ossibus* ab iis mutuata loquendi ratio, qui molliter corpus solent enutrire.

Ἔσται δέ σοι, φησὶ, καὶ *πηγὴ ὕδατος ζῶντος*, καὶ *κῆπος* ἀειθαλὴς ταῖς ἐξ ἁγίου Πνεύματος φυτείαις καρποφορῶν. Καὶ ἡ Ἐκκλησία δὲ *κῆπος* γέγονε Χριστοῦ λέγουσα· « Καταβήτω ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ, καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ. » Ἦν δὲ καὶ *πηγὴ*, ἣν μὴ ἐξέλιπεν *ὕδωρ*. Ὡς γὰρ ἀπὸ *πηγῆς* ἀενάου τὰς διδασκαλίας προφέρουσιν οἱ θεῖοι μυσταγωγοί. « Τοῦ γὰρ πιστεύοντος, φησὶ, ποταμοὶ ἐκ τῆς κοιλίας ῥεύσουσιν ὕδατος ζωῆς. » Καὶ πρὸς τὴν Σαμαρεῖτιν τὰ ὅμοια. *Καὶ τὰ ὀστᾶ δέ σου*, φησὶν, *ὡς βοτάνη. ἀνατελεῖ, καὶ πιανθήσονται, καὶ κληρονομήσουσι γενεὰς γενεῶν*. Δι' ὧν ἔοικε δηλοῦν τὴν ἀνάστασιν τῶν σωμάτων, ἀνισταμένων οἷά τις πόα, νεκρὰ μὲν ἐν χειμῶνι, ἀναθήλασα δὲ πάλιν ἐν ἔαρι. Πῶς δὲ ἀνίσταται; τῇ ζωοποιῷ δηλονότι

Et erit tibi, inquit, *et fons aquæ viventis, et hortus* divina Spiritus sancti consitione floribus semper et fructibus abundans. Dicitur vero et *hortus* ipsa Christi Ecclesia, cujus hæc verba sunt : « Descendat nepos meus in hortum suum, et comedat fructum pomorum suorum [28]. » Dicitur et *fons*, quem nulla unquam *aqua* defecit. Tanquam enim a *fonte* perenni ea hauriunt, quæ docent divini rerum arcanarum interpretes et magistri. « Num de ventre ejus qui credit, inquit, aquæ vitæ flumina profluent [29], » similiaque illa de quibus cum Samaritide locutus est [30]. *Et ossa tua*, addit, *sicut herba orientur et pinguescent, et hæreditabunt generationes generationum*, ubi corporum resurrectionem significare videtur, quæ herbæ in morem hieme qui-

[24] Psal. LIV, 21. [25] Num. XXV, 1 sept. [26] 1 Cor. X, 10. [26*] Matth. IV, 4. [27] Isa. LXV, 13. [28] Cant. V, 1. [29] Joan. VII, 38. [30] Joan. IV, 14.

Digitized by Google

dem morientis, vere autem revirescentis, in vitam excitabuntur. Sed qui resurgent ? Si gratia nimirum, quæ vitam largitur, *saginentur*. Ut et apud Davidem legimus : « Emitte spiritum tuum, et creabuntur, et renovabis faciem terræ [31] ; » id est, eorum qui in terra versantur cum *generationes generationum* in **661** vita illa perpetua, morte prorsus et corruptione sublatis, *hæreditabunt* : Dicuntur et *ossa* animæ virtutes. Ut hoc loco : « Dissipavit Deus ossa eorum, qui hominibus placebant [32]. » Non enim corporis ossa, sed animæ vires atterit, ne quid ipsi cum virtute et laude valeant efficere. « Nemo siquidem coronabitur, nisi qui legitime certaverit [33]. » At isti hominum laudibus tantum inhiant, de Dei gloria nihil solliciti. Quale est et illud : « Quoniam tacui, inveteraverunt ossa mea, dum clamarem tota die [34]. » Cum enim ait, cessando ab ejus promotione gloriæ, fundendisque precibus, in animi angustias incidissem, inveteraverunt *ossa mea* id est, emarcuerunt, et labefactatæ sunt animæ meæ vires.

Illæ ipsæ igitur, licet ignavia ad breve tempus aliquod fractæ et debilitatæ jaceant, spirituali tamen iterum consolatione, *non aliter quam herba, resurgunt* et instaurantur, ipsique *æternorumque bonorum simus hæredes*. Quæ deinde in anima tua *deserta* et vasta fuerant, *ædificabuntur*, id est disciplinis sermonibusque divinis replebuntur. Teipsum enim *ædificabis*, cœlestibus semper præceptionibus ad id, quod decet, cogitationes tuas componens et applicans. *Obsepies* vero et animam tuam, Christo, tanquam muro, adversus externas molestias tectus. Habetur enim tanquam de *deserta* murisque destituta civitate sermo. Conveniat vero et animæ cuilibet, et populo, si illos per *ossa* intelligas, qui sunt in eo potentiores quique corpus universum sustentant : in quo *deserta perpetua* possis appellare, quæ longo jam tempore per peccatum vasta et solitaria evaserunt. Intelligas porro *fundamenta* secundum Pauli mentem, ubi superædificati super fundamentum apostolorum et prophetarum scribit [35]. *Vocaberis* vero *etiam ædificator macerierum :* secundum autem Symmachum, *vocaberis muro cingens direptionem :* quæ a divo Paulo ibi aperte explicata sunt, ubi se sicut prudentem architectum, fundamentum posuisse scribit [36]. *Maceriam* rursus **662** *ædificare* dicitur, qui Ecclesiæ dogmata dialecticis demonstrationibus tanquam *excitato muro* obsepit, ne eadem, veluti *hortum desertum*, quicunque volucrint, pervagentur. Nam et istud ipsum quæ perpetuo deses est anima, patitur, cum eadem hosti cuilibet, sive dæmonem, sive animæ cupiditatem appelles, tandiu pervia est, donec metu Dei, tanquam vallo, muniatur. Qui autem quæ videntur *offendicula* explicando et declarando, de sacris lectionibus aufert, ille ipse est, qui lapides *de semitis* tollit.

Vult vero cum iis, quæ dicta sunt, etiam *Sabbata* observari : non ut ebrietati et crapulæ indulgeatur;

χάριτι *πιαινόμενα*. Ὡς [z] γὰρ Δαβὶδ φησιν· « Ἐξαποστελεῖς τὸ Πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς· » τοῦτ' ἔστιν τῶν ἐπὶ γῆς, ὅτε καὶ γενεὰς γενεῶν ἐν ἀπεράντῳ *κληρονομοῦμεν* ζωῆς θανάτου πάντη καὶ φθορᾶς ἀνῃρημένων. Εἴρηνται δὲ καὶ *ὀστᾶ* αἱ ψυχικαὶ δυνάμεις, ὡς τό· « Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων. » Οὐ γὰρ τὰ τοῦ σώματος ὀστᾶ, τὰς δὲ τῆς ψυχῆς δυνάμεις συνθραύει, πρὸς τὸ μηδὲν εἰς ἀρετὴν κατορθοῦν. « Στεφανοῦται γὰρ οὐδείς, ἐὰν μὴ νομίμως ἀθλήσῃ. » Οἱ δὲ, πρὸς ἀνθρώπων ἐπαίνους κεχήνασιν, οὐ δόξαν Θεοῦ. Τοιοῦτον καὶ τό· « Ὅτι ἐσίγησα ἐπαλαιώθη τὰ ὀστᾶ μου ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν. » Σιγήσαντος γάρ μου ἀπὸ τοῦ δόξαν ἄγειν καὶ προσεύχεσθαι, καὶ πεσόντος εἰς ἀνθρωπίνην μικροψυχίαν, ἐπαλαιώθη τὰ *ὀστᾶ μου*. Τοῦτ' ἔστιν ἐσαθρώθησαν αἱ δυνάμεις αἱ ψυχικαί.

Αὗται τοίνυν ἐκ ῥᾳθυμίας ἐσθ' ὅτε *παραλυθεῖσαι* βραχὺ, πάλιν *ὡς βοτάνη ἀνατελοῦσι παρακλήσει* πνευματικῇ, καὶ *κληρονόμοι τῶν αἰωνίων ἀγαθῶν* γενησόμεθα. Καὶ τὰ πάλαι δὲ τῆς ψυχῆς *ἔρημα* οἰκοδομηθήσεται ἐν σοὶ, διὰ μαθημάτων καὶ λόγων θείων ἀναπληρούμενα. Σαυτὸν γὰρ *οἰκοδομήσεις* διδασκαλίαις ἐνθέοις ἐπὶ τὸ δέον ἀεί σου συναρμόττων τοὺς λογισμούς. Περιφράξεις δέ σου καὶ τὴν ψυχὴν, ἀπὸ τῶν ἔξωθεν ὀχληρῶν Χριστῷ καθάπερ τείχει *περιφρουρούμενος*. Ὡς ἐπὶ πόλεως γὰρ *ἐρήμου* καὶ ἀτειχίστου ποιεῖται τὸν λόγον. Ἁρμόττει δὲ καὶ πρὸς τὴν ἑκάστου ψυχὴν καὶ πρὸς τὸν λαὸν πάντα, *ὀστῶν* νοουμένων τῶν ἐν αὐτῷ δυνατῶν, καὶ τὸ σῶμα πᾶν ἀνεχόντων, ἐφ' ᾧ λέγοιντο *ἔρημοι αἰώνιοι*, τὰ ἐκ μακροῦ χρόνου δι' ἁμαρτίαν *ἔρημα* γεγονότα. *Θεμέλια* δὲ αὐτοῦ κατὰ τὴν ἀποστολικὴν νόησεις γραφὴν λέγουσαν, « Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν. » *Κληθήσῃ* δὲ *καὶ οἰκοδόμος φραγμῶν*. Κατὰ δὲ τὸν Σύμμαχον, *κληθήσῃ τειχίζων διακοπήν*. Καὶ ταῦτα ὁ Παῦλος ὁ θεῖος διασαφεῖ λέγων· « Ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον ἔθηκα. » *Φραγμοὺς* δὲ *οἰκοδομεῖ* ὁ τὰ ἐκκλησιαστικὰ δόγματα *περιτειχίζων* διαλεκτικαῖς ἀποδείξεσιν, ἵνα μὴ καθάπερ *ἔρημον κῆπον* οἱ θέλοντες διοδεύσιν. Τοῦτο γὰρ καὶ ῥᾳθυμοῦσα πάσχει ψυχὴ παντὸς ἐναντίου διοδεύοντος αὐτὴν λογισμοῦ τε καὶ δαίμονος, ἕως ἑαυτὴν τῷ *φόβῳ* τοῦ Θεοῦ περιφράξειεν. Ὃ δὲ τὰ δοκοῦντα *προσκόμματα* ἐκ τῶν θείων ἀναγνωσμάτων περιαιρῶν διὰ σαφηνείας, οὗτος ὁ τοὺς ἀνὰ μέσον *τῶν τριβῶν λίθους* περιαιρῶν.

Βούλεται δὲ μετὰ τῶν εἰρημένων φυλάττεσθαι καὶ *τὰ Σάββατα*, ὡς μὴ μέθαις καὶ κρεπάλαις σχολὶ-

[31] Psal. ciii, 30. [32] Psal. lii, 6. [33] II Timoth. ii, 5. [34] Psal. xxxi, 3. [35] Ephes. ii, 20. [36] I Cor. iii, 10.

VARIÆ LECTIONES.

[z] γρ. καὶ.

Digitized by Google

ζιεν, ὀγ πομῷ δὲ καὶ καθαρότητι, καὶ διὰ τούτων *ἁγιάζεσθαι τὴν ἡμέραν* διὰ τῆς κατὰ Θεὸν σχολῆς *τρυφερὰν* γινομένην καὶ ἄλυπον. Καὶ δεῖ μὴ μέχρι τοῦ κινῆσαι *πόδα*, ἢ μολῦναι τὰ χείλη, πρὸς ἑτέροις γίνεσθαι πράγμασι τῇ θείᾳ Γραφῇ προσανέχοντας. Ὁ δὲ θεῖος Ἀπόστολος τοῦ νόμου τὴν σκιὰν παρωθούμενος, περιτομὴν πνευματικὴν καὶ Σαββατισμὸν ὑποτίθεται λέγων· « Ἀλλὰ περιτομὴ καρδίας οὐ γράμματι, ἀλλὰ πνεύματι. » Καὶ πάλιν· « Ἄρα ἀπολείπεται Σαββατισμὸς τῷ λαῷ τοῦ Κυρίου. » Ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ, καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός. *Σαββατισμὸς* ἄρα κατὰ Θεὸν τὸ παύσασθαι τῶν ἰδίων ἔργων *καὶ θελημάτων*. Ὃ καὶ ἡ παροῦσα προφητεία φησί. Λέγει δὲ καὶ Παῦλος· « Βλέπω δὲ ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου. » Κατὰ τοῦτον οὖν ἐστι *τὰ θελήματα*, πρὸς ἃ ἐπιῤῥεπῶς ἔχοντες, περικόπτειν ὀφείλομεν. Οὕτω γὰρ ἐπιτελέσομεν *Σάββατα τρυφερὰ* μηδὲν ἔχοντα τῶν ἀπὸ γνώμης σκληρᾶς καὶ ἀντιτεινούσης Θεῷ, κατὰ τὸ, « Καὶ ἐσκληρύνθη ἡ καρδία Φαραώ. » Οὕτως ἔλεγε τῷ Ἰσραὴλ ὁ Θεός· « Γινώσκω ὅτι σκληρὸς εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ μέτωπόν σου χαλκοῦν. » Βούλεται δὲ νῦν ἡμᾶς γλώττης καὶ θυμοῦ περιγίνεσθαι· « Εἴτις γὰρ ἐν λόγῳ οὐ πταίει, οὗτος τέλειος ἀνήρ, δυνατὸς χαλιναγωγῆσαι καὶ ὅλον τὸ σῶμα. » Καὶ πάλιν· « Ἀνὴρ θυμώδης οὐκ εὐσχήμων. » Καὶ, « Ὀργὴ γὰρ ἀνδρὸς δικαιοσύνην Θεοῦ οὐκ ἐργάζεται. » Τοιούτους εἶναι τοὺς *σαββατίζοντας* βούλεται, καὶ τοὺς *νηστεύειν* καλοῦντας *δεκτήν*. Οὕτω γὰρ *ἔσῃ*, φησὶ, *πεποιθὼς*, οὐκ ἐπὶ σαθρῷ τινι καὶ προσκαίρῳ πράγματι, ἀλλ' *ἐπὶ τῷ* πάντων *Θεῷ παῤῥῶν* [a] εἰς τὸν ἐπίλοιπον βίον, ὡς ἔχων ἀψευδεῖς αὐτοῦ τὰς ἐπαγγελίας, ἐν αἷς ἔστι καὶ τὸ *ἐπί τινα γῆν* ἀπὸ τῆς ἐντεῦθα διατριβῆς *ἀναβιβασθῆναι* τευξόμενον ἐκείνων· « Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, » καὶ ἀπολαύσοντα τῆς ἐπηγγελμένης, τοῖς πατράσι τροφῆς πνευματικῆς ἐν τῇ ἄνω κειμένῃ πόλει, περὶ ἧς ὁ Παῦλός φησιν· « Οἱ γὰρ τοιαῦτα λέγοντες, ἐμφανίζουσιν ὅτι πατρίδα ζητοῦσιν. » Καὶ εἰ μὲν ἐκείνην ἐζήτουν ἀφ' ἧς ἐξῆλθον, εἶχον ἂν καιρὸν ἀνακάμψαι. Νῦν δὲ κρείττονος ὀρέγονται, τοῦτ' ἔστιν ἐπουρανίου· Ὅτι δὲ πάντως ἔσται ταῦτα, Θεὸς, φησὶν, ἐστὶν *ὁ ῥῥεγξάμενος*. Ἀλλὰ πῶς ὡς μήπω *τὴν γῆν* τῆς ἐπαγγελίας λαχόντων, εἰς ἣν αὐτοὺς εἰσήγαγεν Ἰησοῦς ὁ τοῦ Ναυῆ, νῦν δίδωσιν ἐπαγγελίαν εἰσάξειν αὐτούς; Δῆλον οὖν ὡς περὶ τῆς τῶν πραέων φησίν. Τινὲς δὲ τὴν ἀπὸ τῆς αἰχμαλωσίας ἀνοδόν φασιν αὐτοῖς ἐπαγγέλλεσθαι. Οἱ καὶ τὰ ἀνωτέρω σωματικῶς ἐξηγήσαντο περὶ τοῦ *πιανθῆναι τὰ ὀστᾶ*, καὶ παραβάλλεσθαι *κήπῳ πολυύδρῳ, καὶ πηγῇ μὴ ὑστερουμένῃ ὕδατος*. Καὶ ὅτι *τὰ ἔρημα τῆς πόλεως ἀνοικοδομηθήσεται*, καὶ ἐπὶ πολὺ ταῦτα

A sed ut sanctificationi purificationique vacetur; per hæcque *dies sanctus* et festum, eo, quod secundum Deum est, otio, *delicate*, nullaque molestia interruptum celebretur. Decet etiam eos ne ad *pedis* quidem usque promotionem, aut labiorum contaminationem in cæteris negotiis occupari, qui sacræ Scripturæ incumbunt. At beatus Apostolus, legis umbra rejecta, circumcisionem spiritualem et Sabbatismum ponit his verbis : « Verum circumcisio cordis, non littera, sed spiritu [37]. » Et rursum : « Itaque relinquitur sabbatismus populo Domini [38]. » Qui enim ingressus est in requiem ejus, et ipse requierit ab operibus suis : sicut et a suis Deus. Est igitur *Sabbatum* secundum Deum *celebrare*, a propriis operibus *voluntatibusque* abB tinere : quod ipsa innuit, quæ nobis est in manibus prophetia. Dicit vero etiam hunc in modum Apostolus : « Video autem aliam legem repugnantem legi mentis meæ [39]. » Sunt itaque ex hujus sententia, *voluntates*, quas circumcidere et amputare, cum ad eas procliviores sumus, debemus. Ita enim *Sabbata delicata*, quæ molesti, Deoque reluctantis animi nihil habeant, ut olim induratum esse cor Pharaonis legimus [40], peracturi sumus. Sic et Israelem Deus alloquitur : « Cognosco quoniam durus es, et nervus ferreus collum tuum, cervix tua ærea [41]. » Vult autem hoc loco linguam nos et iracundiam cohibere. « Si quis enim in sermone non labitur, hic perfectus **663** est vir, potens freno totum corpus circumducere [42]. » Et C rursum : « Vir iracundus, minime pulcher [43]. » Et : « Ira enim viri justitiam Dei non operatur [44]. » Tales eos esse, qui *Sabbatum observant*, quique *jejunium acceptum* vocant, ipse exoptat. Ita enim, inquit, *eris confidens*, non in rem aliquam imbecillem et momentaneam ; sed *in* omnium *Dominum* et Deum. Ita, inquam, eris de reliqua deinceps vita securus ; tanquam qui certas ejus promissiones habeas : in quibus et ista est ; quod ab isthac conversatione *in terram aliquam elevandus es*, ubi bonis illis potiaris : « Quæ nec oculus vidit, nec auris audivit, nec in cor hominis ascenderunt [45] ; » imo, ubi et illo etiam, quod Patribus promissum est, spirítali alimento fruiturus sis ; quod in illa D superiore civitate reconditur, Paulo teste his verbis : « Qui enim hæc dicunt, significant se patriam inquirere [46]. » Et siquidem illam quærerent, de qua exierunt, habebant tempus revertendi. Nunc autem meliorem appetunt, id est, cœlestem. Ne quis vero omnino ista futura esse dubitaret ; Deus est, inquit, qui *ea locutus est*. Qui autem, tanquam nondum eam promissionis *terram* adepti sint, in quam sunt per Jesum Nave deducti, in ea se nunc illos indueturum pollicetur ? Est igitur eum de mi-

[37] Rom. II, 29. [38] Hebr. IV, 9. [39] Rom. VII, 23. [40] Exod. IV, 21. [41] Isa. XLVIII, 4. [42] Jac. III, 2. [43] ibid. [44] Jac. I, 20. [45] Isa. LXIV, 4 ; I Cor. II, 9. [46] Hebr. XI, 14.

VARIÆ LECTIONES.

[a] *γρ.* θαῤῥῶν.

Digitized by Google

tium terra intelligere perspicuum [46]. » Arbitrantur tamen nonnulli reversionem Babylonicæ captivitatis eum polliceri : qui illa etiam superiora de *ossium suginatione*, de *horto irriguo*, deque *fonte illo, cujus aqua nunquam deficiat*, corporaliter expliçant. Ut illa etiam, cum *deserta civitatis instauratum iri*, cum diutius esse permansura ; cum nec fore amplius expugnationi obnoxiam, nec alienigenis perviam ; sed a Deo, si virtutem ipsi amplectentur, *munitam* ac defensam significavit. Est enim in hoc optime collocatum cujusque præsidium, si a Deo informetur ; sique quæ justa sunt, cum *Sabbatis* observet ; in quæ agunt improbe, qui ea non custodiunt. Isti namque civitate egressi, velut adepta peccandi **664** licentia, vitia sectantur ; cum eos deceret, qui Sabbatum colunt, illud ubique, et quæ deinceps, observare.

A στήσεται. Μένει δὲ καὶ ἀπόρθητος μηκέτι ἐρήμη ἐσομένη τῶν ἀλλοφύλων. *Φρουρηθήσεται* γὰρ ὑπὸ Θεοῦ, μεταβαλόντων ὑμῶν πρὸς ἀρετήν. Ἑκάστου γὰρ ἀνδρὸς φρουρὰ, τὸ ἐντυποῦσθαι παρὰ Θεῷ, καὶ φυλάττειν τὰ νόμιμα, καὶ *τὰ Σάββατα*, ἃ πλημμελοῦσιν οἱ μὴ φυλάττοντες. Οὗτοι γὰρ ἐξιόντες τῆς πόλεως, ὡς ἄδειαν λαβόντες τοῦ ἁμαρτάνειν, *παραβαίνουσι* · δέον τοὺς σαββατίζοντας πανταχοῦ τοῦτο ποιεῖν, καὶ τὰ ἑξῆς.

CAP. LIX.

665 Vers. 1-18. *Nunquid non potest manus Domini salvos facere? aut aggravata est auris ejus, ut non exaudiat ? imo peccata vestra dissidium faciunt inter vos et Deum, et propter iniquitates vestras avertit faciem a vobis, ut non misereatur. Manus enim vestræ pollutæ sunt sanguine, et digiti vestri peccatis*, etc.

B

ΚΕΦΑΛ. ΝΘ'.

α'-ιη'. *Μὴ οὐκ ἰσχύει ἡ χεὶρ Κυρίου τοῦ σῶσαι ; ἢ ἐβάρυνε τὸ οὖς αὐτοῦ τοῦ μὴ εἰσακοῦσαι ; ἀλλὰ τὰ ἁμαρτήματα ὑμῶν διιστῶσιν ἀνὰ μέσον ὑμῶν, καὶ ἀνὰ μέσον τοῦ Θεοῦ. Καὶ διὰ τὰς ἁμαρτίας ὑμῶν ἀπέστρεψε τὸ πρόσωπον ἀφ' ὑμῶν, τοῦ μὴ ἐλεῆσαι. Αἱ γὰρ χεῖρες ὑμῶν μεμολυσμέναι εἰσὶ αἵματι, καὶ οἱ δάκτυλοι ὑμῶν ἐν ἁμαρτίαις*, κ. τ. λ.

666 Absoluta de rebus agendis disputatione, deque agentium vel non agentium præmiis et pœnis : nunc, tanquam contumaces et lapsos, ideoque improbos, convincit et arguit. Deinde, quia bello urgente jejunasse se, neque Deum tamen ad id advertisse, dicebant, eos ipse vehementi in Deum amore compulsus propheta reprehendit ; servarique ab ipso quidem potuisse demonstrat : sed peccatis eorum, quominus opem ferat, prohiberi. Neque enim Deum ulla unquam virium imbecillitate, audiendique difficultate, sicut senes, laborare, sed malos servare neque justum esse, neque iis qui servantur, conducere. Quia autem murum excitare peccata dixit, per eorum remissionem interjectum maceriæ parietem solvere et disturbare Salvatorem significat. *Avertit* deinde *faciem a peccatis*; tanquam eorum turpitudinem et fœtorem non queat tolerare, unde patet *aurem*, quæ justos audiat, injustos autem minime, Dei justitiam scilicet non corporis *aurem* significare. Ubi autem *peccata* in universum accusavit, eadem et ipse sigillatim recenset ; *homicidia et obtrectationes* nominatim, non jam idolorum cultum insectans. Prophetas enim interemerunt, justosque calumniati sunt. Ait igitur hunc in modum Jeremias : « Virtus mea defecit me, ab iis qui maledicebant mihi [47]. » Et noster hic propheta : « Vide ut justus tollitur [48], » et quæ deinceps. A quibus, tanquam a parvis scelerum initiis, ad Christi Salvatoris cædem progressi sunt, quam maxime hoc loco nobis innui fuerit consentaneum. Etsi enim Salvatoris *sanguine manus* habent *impollutas*, culpa tamen haud vacant ; qui *sanguinis* ejus in se, suosque filios, ultionem extendi postularunt [49] : qui

C

Διελάμενος τὰ πρακτέα, καὶ τοῖς κατορθοῦσιν ἐπαγγειλάμενος ἀγαθὰ, τοῖς δὲ μὴ πειθομένοις, τιμωρίας · νῦν, ὡς ἀπειθήσασι καὶ περιπεπτωκόσι διὰ τοῦτο κακοῖς, προσάγει τὸν ἔλεγχον. Καὶ ἐπειδὴ πολέμου περιστάντος ἔλεγον, Ἐνήστευσαμεν, καὶ οὐκ εἶδες, ὁ προφήτης ἐκ πολλῆς αὐτοὺς διελέγχει φιλοθεΐας, δυνατὸν εἰς σωτηρίαν δεικνὺς τὸν Θεὸν, κεκωλύσθαι δὲ μέσοις παρεμπεπτωκόσι τοῖς αὐτῶν πλημμελήμασιν, ὡς μὴ συγχωρεῖν τὴν εἰς αὐτοὺς ἐπικουρίαν διέρχεσθαι. Οὔτε γὰρ ἀσθενής ἐστιν, οὔθ' ὥσπερ ἐκ γήρους, δυσήκοος. Κακοὺς δὲ σώζειν οὔτε δίκαιον, οὔτε τοῖς σωζομένοις λυσιτελές. Διὰ δὲ τὸ τειχίζειν εἰρῆσθαι τὰς ἁμαρτίας, ὁ Σωτὴρ διὰ τῆς ἀφέσεως τούτων τὸ μεσότοιχον, τοῦ φραγμοῦ λῦσαι λέγεται. *Ἀποστρέφει* δὲ *τὸ πρόσωπον ἀπὸ τῶν ἁμαρτιῶν*, δυσειδεῖς ὥσπερ καὶ δυσώδεις οὐ φέρων ἰδεῖν. Ἐντεῦθεν δὲ δῆλον, ὅτι οὖς τὸ δίκαιον ἀκοῦον, ἄδικον δὲ μὴ, δικαιοσύνη Θεοῦ ἐστιν, οὐ σωματικὸν οὖς, αἰτιασάμενος δὲ καθόλου τὰς *ἁμαρτίας*, κατ' εἶδος αὐτὰς ἐπεξέρχεται, καὶ *μιαιφονίαν* αἰτιᾶται, *καὶ καταλαλιάν*, οὐδαμοῦ δὲ νῦν εἰδωλολατρείαν. Ἀπέκτειναν γὰρ τοὺς προφήτας, καὶ τοὺς δικαίους ἐσυκοφάντησαν. Ἔφη γ' οὖν Ἱερεμίας· « Ἡ ἰσχύς μου ἐξέλιπεν ἐκ τῶν κατηρωμένων με. » Καὶ ὁ παρὼν δὲ προφήτης ἔφασκε · « Ἴδετε ὡς ὁ δίκαιος αἴρεται, » καὶ τὰ ἐπὶ τούτῳ. Ἀφ' ὧν, ὡς ἐξ ἐλάττονος κακῶν μελέτης ἐπὶ τὸν φόνον τοῦ Σωτῆρος ἀνέδραμον, ὃν ἔοικε μάλιστα διὰ τῶν παρόντων ὁ προφήτης δηλοῦν. Εἰ γὰρ καὶ μὴν τὸ χεῖρες τοῦ Σωτῆρος, γεγόνασιν ἀλλ' οὖν αἴτιοι, καὶ τὸ [b] *αἷμα* αὐτοῦ ἐπ' αὐτοὺς ἐδόων, καὶ ἐπὶ τὰ τέκνα αὐτῶν. Καὶ κακῶς δὲ λέγοντες οὐκ ἐπαύοντο ἀνασείειν τὰ πλήθη, καὶ δαιμονᾷν, καὶ Σαμαρείτην ἐκ πορνείας

[46] Matth. v, 4. [47] Thren. i, 14. [48] Isa. lvii, 1. [49] Matth. xxvii, 25.

VARIÆ LECTIONES.

[b] Ισ. εἰ γὰρ καὶ *μὴ μεμόλυντο* χεῖρες αὐτῶν *αἵματι* τοῦ Σωτῆρος, γεγόνασιν ἀλλ' οὖν αἴτιοι, οἱ τό.

Digitized by Google

τε εἶναι, καὶ ἐν Βεελζεβοὺλ ἐκβάλλειν τὰ δαιμόνια καταιτιώμενο.. A probris lacessere, populumque in illum concitare, qui furiosum [50], qui Samaritam [51], qui ex adulterio procreatum dicere [52]; qui denique in Beelzebut nomine dæmonia ejiceret [53], incusare nunquam desierunt.

Διό φησιν· *Οὐδεὶς λαλεῖ δίκαια, οὐδὲ ἔστι κρίσις ἀληθινή*· καὶ ἄλλως αὐτοὺς ὡς ψευδεῖς καὶ ἀδίκους κριτὰς καταιτιώμενος. Εἶτα, ἐπειδήπερ ἑαυτοὺς ἐξαπατῶντες ἕτερον προσδοκῶσι Χριστὸν, ἀνθρώπινά τινα περὶ αὐτοῦ μυθολογοῦντες, ἐπιλέγει· *Πεποίθασιν ἐπὶ ματαίοις, καὶ λαλοῦσι κενά*. Διὸ Παῦλος ἀποτρέπει μὴ προσέχειν Ἰουδαϊκοῖς μύθοις, καὶ ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν. Ἦσαν δὲ καὶ ἄλλως *μάταιοι, καὶ ἐλάλουν ἀλλήλοις κενά*· « Οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, κτείνωμεν αὐτὸν, καὶ σχῶμεν αὐτοῦ τὴν κληρονομίαν. » Οἵτινες ἐξ οἰκείων B λογισμῶν κατ' αὐτοῦ βλασφήμους λόγους συῤῥάπτοντες, *κύουσι πόνον, καὶ τίκτουσιν ἀνομίαν*, οὐκ εἰδότες λέγειν· « Ἐκ τοῦ φόβου σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν Πνεῦμα σωτηρίας· » τοιαῦτα δὲ *κύουσιν*, ὁποῖα καὶ δι' ἑτέρου λέλεκται· « Ἰδοὺ ὠδίνησεν ἀδικίαν. Συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν, » καὶ τὰ ἐπὶ τούτοις. Ἔθος δὲ τῇ Γραφῇ *πόνον* τὸν φθόνον καλεῖν. Πόνος γάρ ἐστι τοῖς αὐτὸν νοσοῦσιν, ἐκτήκων αὐτούς. *Ὠδίνησαν* οὖν τὸν κατὰ Χριστοῦ φθόνον, καὶ τὴν κατ' αὐτοῦ μιαιφονίαν *ἀπέτεκον*· ἐπεὶ καὶ ἐν συλλόγοις ἔλεγόν· « Τί ποιοῦμεν, ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ ποιεῖ σημεῖα; » Ὁ δὲ Καϊάφας, « Συμφέρει ἡμῖν, ἔφη, ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. » Εἴη δ' ἂν τοιαῦτα C καὶ ὅσα πονηρά τις ἐκ τῆς ἰδίας ἐρεύγεται καρδίας δόγματα. Οἱ δὲ τοιοῦτοι καὶ *ὠὰ ἀσπίδων ἔῤῥηξαν*, τῶν ἀντικειμένων δυνάμεων τὰ σπέρματα ἐν ἑαυτοῖς κυήσαντες. Διὸ τοῖς τῆς κακίας αὐτῶν ἐκγόνοις ἐλέγετο· « Ὄφεις, γεννήματα ἐχιδνῶν. » Ἀναλόγως δὲ τῷ σπόρῳ τῷ θείῳ τὸν τῶν ἀντικειμένων δυνάμεων σπόρον *ὠὰ* ὠνόμασε, διὰ τοῦ ἑρπυστικοῦ γένους παράδειγμα. Ἀσπίδες γὰρ καὶ ὄφεις καὶ τὰ τοιαῦτα τῶν ὠοτοκούντων ἐστίν. Ἐπειδὴ δὲ μετὰ τοσαύτην κακίαν, τὴν μελέτην καὶ διδασκαλίαν τῶν θείων Γραφῶν ἐπαγγελλόμενοι, πρὸς μυθώδεις γραολογίας ἐκπίπτουσι καὶ ἀνθρώπων ἐντάλματα, παρέβαλεν *ἀράχνης ἱστῷ*, τὸ σαθρὸν καὶ ἄτιμον τῆς αὐτῶν ἐκδοχῆς τε καὶ παραδόσεως. Μήποτε δὲ καὶ τὰς κατὰ D Χριστοῦ συκοφαντίας οὕτω καλεῖ; δόλους γὰρ πλέκοντες, ᾤοντο μὲν τὴν ἀπὸ τῶν ἰδίων ἐπιχειρημάτων πλουτῆσαι σκέπην, καὶ λυσιτελές τι θηρᾷν. Οὐδὲν δὲ ὠνῆσαν γυμνοὶ τῆς ἄνωθεν γενόμενοι σκέπης.

667 Ideoque *neminem loqui quæ justa sunt; neque justum esse judicium* adjecit: ut eos alia etiam ratione, tanquam falsos et iniquos judices incusaret. Quia deinde se ipsi decipientes, Christumque alium exspectantes, humana quædam de illo fabulabantur; *confidere eos in vanis, et inania loqui* addit: indeque monet Paulus [54] ne Judaicis fabulis hominumque mandatis, quæ veritatem aversantur, attendamus. Erant vero et alia ratione *vani, inaniaque* secum *loquentes*; qui impia ista: « Hic est hæres, venite, occidamus eum, et possideamus ipsius hæreditatem [55], » in ore habebant. Illi nimirum ex proprio sensu in eum contumeliosa et blasphema verba consuentes, *concipiunt laborem, et pariunt iniquitatem*, qui dicere non possunt: « In timore tuo, Domine, in utero accepimus, et parturivimus, et peperimus spiritum salutis [56]. » Talia vero sunt quæ *concipiunt*, qualia etiam apud alium habentur his verbis: « Ecce parturivit injustitiam, concepit laborem, et peperit iniquitatem [57], » cæteraque deinceps. Est porro Scripturæ usitatum *laboris* nomine, invidiam ideo significare, quod qui ea laborant, tabescant. *Conceperunt* ergo in Christum invidiam, et cædem in eumdem *pepererunt*. Et isla deinde suis in conciliis usurparunt: « Quid facimus, quoniam hic homo multa signa facit [58]? » Et Caiphas: « Conducit nobis, inquit, ut unus moriatur homo, ne tota gens pereat [59]. » Fuerint vero generis hujus et mala dogmata, quæ de corde suo quis depromit. Qui deinde tales sunt, *ova* etiam *aspidum fregerunt*, qui adversariarum potestatum semina tanquam in utero suo gerebant: unde sunt malitiosa eorum proles, serpentes, et viperarum genimina nuncupata [60]. Congrue autem, et convenienti plane cum divino semine ratione, adversariarum potestatum semen, ut serpentium genus esse demonstraret, *ova* appellavit. Sunt enim ex eorum genere, quæ ova pariunt, et aspides, et serpentes, cæteraque similia. Qui vero post tantam malitiam cum sacras Litteras earumque studium profiterentur, in fabulas **668** aniles, hominumque mandata delapsi sunt, marcidam et ingloriam eorum in docendo traditionem, *araneorum telæ* comparat. Annon vero et eas etiam, quibus in Christum usi sunt, calumnias ita nuncupavit? Dolos enim cum in eum necterent, ita se suorum conatuum præsidio abunde munitos esse arbitrabantur tanquam quod sibi conduceret, essent assecuti, quod nihil ipsis tamen, cum superna protectione carerent, profuit.

Καὶ ὁ *μέλλων*, φησὶ, *τῶν ὠῶν αὐτῶν φαγεῖν, συντρίψας οὖριον εὗρεν*. Αὐτῶν λέγει, περὶ ὧν ἔφη τό· *Ὠὰ ἀσπίδων ἔῤῥηξαν*. Οἱ μὲν οὖν ἐν κακίᾳ τέλειοι, *διαῤῥήξαντες* τὰ τελεσφορηθέντα εἰς

Et qui de ovis eorum comedere voluerit, frangens putridum reperiet. Eorum inquit, de quibus antea *ova aspidum fregerunt*, usurpavit. Qui igitur ad plenam absolutamque nequitiam pervenerunt,

[50] Joan. x, 20. [51] Joan. viii, 48. [52] Ibid. 41. [53] Luc. xi, 15. [54] Tit. i, 14. [55] Matth. xxi, 38. [56] Isa. xxvi, 18. [57] Psal. vii, 15. [58] Joan. xi, 47. [59] Ibid. 50. [60] Matth. iii, 7.

Digitized by Google

si quæ matura sunt et perfecta *fregerint*, ea in se excipiunt. Qui autem eam minus habent absolutam et plenam, si de eis prius *comederint*, quam tempestiva et absoluta sint, intereunt. Ideo que *qui de ovis eorum comederit, moriturum* reliqui transtulerunt. At vero qui prudens est, istaque potest evertere et confutare, quod in eis ventosum, quod *urinum*, quodque *putridum* latebat, ipsum denique, qui solo necat aspectu, *basiliscum*, id est regulum, reperiet. Quod si aliorum quæris interpretationes, Aquilam quidem dixisse : *Et quod fotum est in viperam erupit ;* Symmachum autem : *Quod convolutum est ubi fractum fuerit, aspis erit ;* Theodotionem denique : *Quod fotum est erupit in aspidem*, reperias. Adeo nihil ea Judæis, quæ in Christum meditati sunt, quidquam profuerunt non magis, quam *ovum* ejusmodi, vel quod potius omnis etiam interitus causa sit, fregerit. Aiunt porro nonnulli *comedere de ovis* peccatorum, idem esse, quod eorumdem verbis fidem adhibere : ut olim Abel, cum Caino credidit unde mortem sibi conciliavit. In id enim operis eorum sermo incumbit, ut verbis istis : *Et quod fotum est in viperam divisum est*, significatur. Deinde quod *telam araneæ texere* dixit, **669** fusius sermonem istum explicavit, cum *telam eorum in vestimentum non fore* adjecit. Lege enim despecta doctrinas et mandata hominum sibi confinxerant. Itaque cum *non fore in vestimentum* dixit, nihil aliud, ut placet quibusdam, quam nullum illis, quæ gerunt, allaturæ ornamentum significavit, sicuti nihil ad ornatum corporis quod Deo vetante gesserat, Adamo contulit.

Deinde quænam tela ipsa sit, explicat, cum *opera eorum, iniquitatis opera esse* adjungit, quia nimirum alii divinarum Litterarum ope, spiritualia spiritualibus componentes [61], divinam plane tunicam *contexunt*, alii autem in Judaicis fabulis inutiliter occupati, *telam* velut *araneæ* ad simpliciores captandos venandosque componunt. Enumerat vero singulatim quæ ipsi admiserunt, ut non injuria rejectos esse demonstret. Sequitur : *Et pedes eorum ad malitiam currunt :* quandoquidem et corporis membra ipsa motus aptitudinem ad id sumunt, ad quod assueverunt : ideoque *veloces ad effundendum sanguinem innocentem* pedes evaserunt ; ita enim cæteri reddiderunt. Inde igitur ad eum, qui revera fuerat *innocens, sanguinem* progressi sunt. Non aliter quam Judas a turpi quæstu ad pessimam fœdissimamque avaritiam animi cogitationem convertit. *Et viam pacis non cognoverunt.* Hinc et Salvator Jerusalem deflevit his verbis : « Si scires et tu, quæ sunt paris tuæ : quoniam venient dies in te, et circumdabunt te hostes tui vallo, et circuibunt te, et filios tuos terræ allident [62]. » Sed *non est judicium in viis eorum*, imo potius omnis iniquitas et nequitia. Sic et David ipse, quæ per Mosen data sunt, præcepta appellavit, cum judicium et justitiam in Jacob Dominum

A ἑαυτοὺς ὑπεδέξαντο. Οἱ δὲ ἀτελέστεροι, πρὶν τελεσφορηθῆναι τούτων ἐμφαγόντες ἀπόλλυνται. Διὸ ἐξέδωκαν οἱ λοιποὶ, *Ὁ ἐσθίων ἐκ τῶν ὠῶν αὐτῶν ἀποθανεῖται.* Ὁ δὲ συνετὸς, καὶ ἀνατρέπειν ἐλέγχῳ ταῦτα δυνάμενος, τὸ ἐν αὐτοῖς ἐξεῦρεν ἀνεμιαῖον, καὶ οὔριον, καὶ *δυσῶδες*, καὶ τὸν ἐν αὐτοῖς ἐγκρυπτόμενον καὶ ἐκ μόνου φθοροποιὸν τοῦ βλέμματος *βασιλίσκον.* Κατὰ δὲ τὸν Ἀκύλαν · *Καὶ τὸ θαλφθὲν ἐσχίσθη ἔχιδνα.* Κατὰ δὲ Σύμμαχον · *Τὸ δὲ συνεστραμμένον ἀποῤῥαγὲν ἔσται ἀσπίς* · κατὰ δὲ Θεοδοτίωνα · *Τὸ θαλφθὲν ἐῤῥάγη ἀσπίς.* Οὕτω τοῖς Ἰουδαίοις τὸ κατὰ Χριστοῦ μελετηθὲν, ἀνόνητον γέγονεν, ὡς τοῖς τοιοῦτο κλῶσιν ὠὸν, μᾶλλον δὲ καὶ παντὸς, ὀλέθρου πρόξενον. Φασὶ δέ τινες ὡς τὸ *ἐσθίειν ἀπὸ ὠῶν*, ὧν τίκτουσιν οἱ ἁμαρτωλοὶ, τὸ πείθεσθαι B λόγοις αὐτῶν · ὡς ὁ Ἄβελ τῷ λόγῳ Κάϊν, ἐξ οὗ θάνατος. Εἰς τοῦτο γὰρ τοῦργον ὁ λόγος αὐτῶν κατανταῖ · ὅ δηλοῖ, *καὶ τὸ θαλφθὲν ἐσχίσθη ἔχιδνα.* Εἰπὼν δὲ, *Ἱστὸν ἐχίδνης* [e] *ὑφαίνουσι*, πλατύτερον τὸν περὶ τούτου λόγον ἐκτίθεται φάσκων · *Οἷς* [d] *τις αὐτῶν οὐκ ἔσται εἰς ἱμάτιον.* Συνετίθεσαν γὰρ, ὡς εἴρηται, διδασκαλίας, ἐντάλματα ἀνθρώπων, τοῦ νόμου καταφρονήσαντες. Διό φησιν, *Οὐκ ἔσται εἰς ἱμάτιον.* Τοῦτ' ἔστι, φασί τινες, Οὐκ οἴσει κόσμον αὐτοῖς ἃ πράττουσιν, ὡς οὐδὲ τῷ Ἀδὰμ ἤνεγκε κόσμον τοῦ σώματος τὸ ἄνευ Θεοῦ πραχθέν.

Εἶτα ἑρμηνεύει τίς ὁ ἱστός. *Τὰ γὰρ ἔργα αὐτῶν ἔργα ἀνομίας.* Ὅτι οἱ [e] διὰ λόγων θείων πνευματικοῖς πνευματικὰ συγκρίνοντες, χιτῶνα θεῖον *ὑφαίνουσιν.* Οἱ δὲ εἰς ἄχρηστον ταῖς Ἰουδαϊκαῖς μυθολογίαις κατατρίβονται, συντιθέντες *ἱστὸν* ὥσπερ *ἀράχνης* ἐπὶ θήρᾳ τῶν ἁπλουστέρων. Κατὰ λεπτὸν δὲ διηγεῖται τὰ κατ' αὐτοὺς, τὸ δίκαιον ἐπιδεικνὺς τῆς τούτων ἀποβολῆς. *Οἱ δὲ πόδες αὐτῶν εἰς κακίαν τρέχουσιν* · ἐπεὶ καὶ τὰ σωματικὰ μέλη κινήσεως ἐπιτηδειότητα λαμβάνει πρὸς ὃ συνεθίζεται. *Ταχεῖοι ἐκχέαι αἷμα ἀναίτιον.* Οἱ λοιποὶ γὰρ οὕτως ἐξέδωκαν. Ἐντεῦθεν οὖν ἐπὶ τὸ ὄντως *ἀναίτιον αἷμα* προῆλθον. Ὦ; Ἰούδα; ἀπὸ τῆς αἰσχροκερδίας, ἐπὶ τὴν χειριστην αἰσχροκερδίαν διὰ μελέτης προσήχθη. *Καὶ ὁδὸν δὲ εἰρήνης οὐκ ἔγνωσαν.* Διὸ καὶ ὁ Σωτὴρ ἀπεκλαύσατο τὴν Ἰερουσαλὴμ εἰπών · « Εἰ ἔγνως καὶ γε σὺ τὰ πρὸς εἰρήνην σου, ὅτι ἥξουσιν ἡμέραι ἐπὶ σοὶ, καὶ περιβαλοῦσί σοι οἱ ἐχθροί σου χάρακα, καὶ κυκλώσουσί σε, καὶ τὰ τέκνα σου ἐδαφιοῦσιν. » Ἀλλ' *οὐδὲ κρίσις ἐν ταῖς ὁδοῖς αὐτῶν*, ἀκρισία δὲ πᾶσα καὶ ἀδικία. Καὶ τὴν διὰ Μωσέως; δὲ Δαβὶδ οὕτως ἐκάλεσεν ἐντολήν · « Κρίσιν καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας [f]. » Ἀλλὰ καὶ *αἱ τρίβοι αὐτῶν διεστραμμέναι.* Διαστροφὴ γὰρ τοῦ ὀρθοῦ τὸ κακόν. *Καὶ οὐκ οἴδασιν εἰρήνην.* Οὐ γὰρ προσεδέξαντο τῆς εἰρήνης τὸν πρύτανιν, περὶ οὗ

C

D

[61] I Cor. II, 13. [62] Luc. XIX, 42-44.

VARIÆ LECTIONES.

[e] γρ. ἀράχνης. [d] ὁ ἱστός. [e] γρ. ἱστ. μέν. [f] ἱσ. λέγων.

Digitized by Google

τὸ, « Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν. » Καὶ ὃς φησιν· « Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. » Διὰ ταῦτα δὲ πάντα φησίν· Ἀπέστη ἡ κρίσις αὐτῶν. Περὶ ἧς ἔλεγεν· « Ἰδοὺ ὁ παῖς μου ὃν ᾑρέτισα· ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. »

A fecisse cecinit [65]. Sed sunt *eorum* etiam *semitæ pravæ*. Est enim malum, ejus, quod rectum est, depravatio. *Et nesciunt pacem*; quia *pacis* largitorem et custodem minime admiserunt : qui pax esse nostra scribitur [66]; qui pacem se suam largiri apostolis dixit [67]. Ob hæc autem **670** omnia, *recessit*, ait, *ab eo judicium*, de quo nimirum dicebat : « Ecce puer meus, quem elegi, dilectus meus, in quo bene complacuit animæ meæ, judicium gentibus feret [68]. »

Αὐτὴ τοίνυν ἡ τοῖς ἔθνεσι δοθεῖσα κρίσις ἀπέστη ἐξ αὐτῶν, καὶ ἡ τούτοις δοθεῖσα δικαιοσύνη διὰ τῆς σωτηρίου χάριτος. Καὶ ἄλλως ἔσχεν ἡ ἀδικία χώραν κατ' αὐτῶν, ὥστε ἀπὸ ἀσεβῶν ἀθῆναι [a]· οἷον, ὑπὸ Ἀσσυρίων. Ὑπομεινάντων αὐτῶν φῶς ἐγένετο αὐτοῖς σκότος. Περὶ μόνην γὰρ τὴν λέξιν ἀσχολούμενοι τῆς Γραφῆς, ὥσπερ τινὰ τοῖχον ἐψηλάφων. Διὸ λέξει ψηλαφήσουσιν, ὡς τυφλοὶ τοῖχον. Καὶ πάλιν· Πεσοῦνται ἐν μεσημβρίᾳ, ὡς ἐν μεσονυκτίῳ, καὶ ὡς ἀποθνήσκοντες. Κατὰ γὰρ τὸν καιρὸν τοῦ τῶν ἐθνῶν μεσημβρινοῦ φωτὸς ταῖς εὐαγγελικαῖς αὐγαῖς τῆς Ἐκκλησίας τοῦ Θεοῦ καταλαμπομένης, ὡς ἂν τὰ πρὸς θάνατον ἡμαρτηκότες μόνοι πεπτώκασι, καὶ ὡς ἐν μεσονυκτίῳ διάγουσι. Τοιούτους τῶν εἰρημένων ἔργων ἐσχήκασι τοὺς καρπούς. Προσεδόκων μὲν γὰρ τὸν παρὰ Χριστοῦ φωτισμὸν, προφητῶν βοώντων· « Φωτίζου φωτίζου, Ἱερουσαλήμ. Ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. » Ἀλλ' οὐ προσεδέξαντο τὸ φῶς τὸ ἀληθινὸν, ἑκόντες δὲ γεγόνασι τυφλοὶ καὶ τυφλῶν ὁδηγοὶ, καθά φησιν ὁ Σωτήρ. Οὐ γὰρ ὑπήκουσαν λέγοντι· « Ὡς τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ. » Τὸ δὲ, Πορεύσονται ὡς ἄρκτος ἅμα καὶ περιστερά· οὐχ οἱ μὲν κατὰ ταύτην, οἱ δὲ κατ' ἐκείνην· οἱ αὐτοὶ δὲ κατ' ἄμφω. Οἱ γὰρ στεναγμοὶ αὐτῶν οὐκ ἐπὶ μετανοίᾳ ὧν ἐξέχεαν αἱμάτων εἶνεκα, τὴν αἰσθητὴν δὲ κλαίοντες Ἱερουσαλήμ. Εἰκότως θηρίῳ ἀγρίῳ παρεβλήθησαν. Καὶ ὡς εἴρηται πάλιν ἐν ἄλλοις, γεγόνασιν ὡς ἄρκτος ἀτεκνουμένη. Φασὶ γὰρ τὰς ἄρκτους δεινῶς φέρειν τὴν τῶν σκύμνων ἀποβολὴν, καὶ σὺν ὀδυρμῷ μαινομένας περινοστεῖν ἐπιπηδώσας τοῖς ἐντυγχάνουσιν. Ἄρκτος μὲν οὖν ὠνομάσθησαν, ἐπεὶ καὶ αὐτοὶ ἀνθρώπους ἔφαγον, μιαφονοῦντες τοὺς προφήτας.

Quod igitur gentibus datum est *judicium ab eis recessit*, eaque ipsa, quæ istis per salutis gratiam concessa fuerat, *justitia*. Et alias etiam in eos locum habuit injustitia, qui ab impiis. Assyriis nimirum, *Judicati sunt*. *Cum expectarent lucem, factæ sunt eis tenebræ*. Nam cum in sola Scripturæ dictione occuparentur, quemdam veluti *parietem cæci palpabant*. Et rursum : *Cadent in meridie, veluti nocte media, nec aliter quam morientes*. Ipso enim gentium *meridianæ lucis* tempore, cum splendore evangelico illustraretur Ecclesia, tanquam soli *morte* digna commisissent, *ceciderunt; velutique in nocte media degunt*. Atque ii ipsi quidem fructus sunt, quos ab operibus suis perceperunt. *Cum* enim, clamantibus prophetis : « Illuminare, illuminare, Jerusalem, quia venit lumen tuum, et gloria Domini in te ascendit [69], » illuminationem a Christo *expectarent*, veram lucem non excepерunt : sed sponte cæci cæcorumque duces, ut ait Salvator [70], facti sunt. Non enim dicentem audierunt : « Quandiu lumen habetis, ambulate in lumine, ut tenebræ vos non comprehendant [71]. » Deinde, quod *quasi ursum et columbam pariter ambulaturos* adjecit; non hos quidem more hujus, illos autem, illius; sed amborum in modum victuros significavit. Neque enim scelerum pœnitudine, effusique sanguinis recordatione *gemituri sunt*; sed ipsam sensibus objectam Jerusalem defleturi. Non immerito autem feræ truci et immiti comparati sunt : et, sicut alibi jam dictum est, *urso* similes effecti, cui sunt adempti catuli. Aiunt enim catulorum abreptionem *ursos* ferre gravissime, quæ si contigerit, magno furentes gemitu omnia circumire, obviosque adoriri. *Ursi* igitur ideo appellantur, quod et ipsi homines **671** comederent; qui ne a prophetarum quidem cæde abstinuerant.

Ἡ τεκνωμένη [b] δὲ, διὰ τὸ ἀγριώτερον, καὶ διὰ τὴν τῶν αὐτῶν ἀπώλειαν τέκνων. Αἱ δὲ περιστεραὶ γοερὰν ἀφιᾶσι φωνὴν συνεχέστατα, ὁποῖοι γεγόνασιν οὗτοι τὴν ἑαυτῶν ἀποδυρόμενοι πόλιν. Εἴρηται γὰρ, ὅτι ἔσονται ἐπὶ τῶν ὀρέων ὡς περιστεραὶ μελετῶντες καί. Νοητέον δὲ καὶ οὕτως· Πορεύσονται ἐν ἀγριότητι νοῦ συνεζευγμένης ἀσυνεσίας. Φησὶ γάρ τις προφήτης· « Καὶ ἦν Ἐφραὶμ περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν. » Οὐ γάρ ἐστιν ἐν αὐτοῖς ἡ παρὰ Χριστοῦ σύνεσις καὶ πραότης. Περὶ ὧν Ἱερεμίας φησίν· « Ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως. »

Dicuntur vero et catulis orbati; ut major eorum ferocitas ostendatur, qui ne suorum quidem liberorum vitæ pepercerunt. *Columbæ* ipsæ deinde querulam vocem frequentissime emittunt; quales et isti fuerunt, dum urbis suæ interitum lamentarentur. Dictum est enim futuros in montibus tanquam *columbas* gementes et querulas. Intelliges vero et isto etiam pacto : *Ambulabunt in feritate* mentis conjuncta cum temeritate et ignoratione. Ait enim propheta quidam : « Et erat Ephraim quasi columba amens, et corde destituta [72]. » Non

[65] Psal. xcviii, 4. [66] Ephes. ii, 14. [67] Joan. xiv, 27. [68] Isa. xlii, 1. [69] Isa. lx, 1. [70] Matth. xv, 14. [71] Joan. xii, 35. [72] Osee vii, 11.

VARIÆ LECTIONES.

[a] δικαιωθῆναι. [b] γρ. ἠτεκνωμένη.

Digitized by Google

est enim in ipsis, quæ a Christo proficiscitur, prudentia et mansuetudo : de quibus hunc in modum Jeremias : « Infatuatus est omnis homo a cognitione [71]. » Et rursum : « Quæ in illis est sapientia, quoniam verbum Domini rejecerunt [72] ? » Vel *urso* ideo et *columbæ* similes fecit, ut eorum in imbecilliores audaciam, in valentiores autem timiditatem et ignaviam demonstraret. Symmachus autem et Theodotio : *Tanquam columba meditationem meditabimur*, reddiderunt; Aquilas autem, *Tanquam columbæ vocem emittemus*. Scripturas enim etiam nunc *meditari* conantes, eas ipsas ediscunt, tenuique adeo, et exili voce circumcinunt, ut nihil *a columba* rationis experte discrepent, quæ inconditam vocem solet emittere. Cæterum et verba ista, et quæ deinceps, tanquam ab accusati populi persona cæteri reddiderunt. Infert igitur hunc in modum Symmachus : *Ob id longe factum est judicium a nobis, et non apprehendet nos justitia; speravimus in lucem, et ecce tenebræ*, illaque quæ sequuntur. At interpretes Septuaginta quæ postea afferuntur : *Exspectavimus judicium, et non est salus*, populi personæ tribuerunt, tanquam sua Deo peccata confiteri, et se ipsos cum pœnitentia accusare propheta significet. Putant tamen nonnulli prophetas, cum rejectionis ejus mentionem faciunt, quæ post factam Christo contumeliam populo contigit, **672** alterius etiam vocationis, quæ postremis temporibus per fidem in Christo futura est, utiliter meminisse. ideoque nunc pœnitentium personam inducere, *qui se judicium exspectasse, nec esse judicium* dicant; judicium nominantes illud ipsum per fidem ad gentes delatum, quod licet *exspectarent*, non sunt tamen adepti.

Neque vero causam volunt reticuisse, cum *multam suam esse iniquitatem* adjecerunt; qui eum, a quo peccata per fidem delerentur, eos verbis istis monentem : « Amen, amen dico vobis. Nisi crediderit quia ego sum, in peccatis vestris moricmini [73], » non admiserunt. Deinde, quæ in Christum ausi sunt non reticentes : *Impie egisse se, atque mentitos esse* adjiciunt. Quo loco Symmachus : *Novimus*, inquit, *injuste nos agere et mentiri adversus Dominum*. Aquilas autem, ubi *Dominum negasse* dixit, ut eorum inficiationem demonstret : *Sed et recessimus*, addit, *post tergum Dei nostri, loculi sumus calumniam*. Vides eorum idololatriam nullo modo accusari, sed *calumnias*, et falsos sermones, cæteraque ejusmodi. Olim quidem Dei signa calumniantes, eumdem in Beelzebut, dæmoniorum principe dæmonia ejicere [74]; falsaque et *iniqua* de corde depromentes, Samaritanum esse [75], furiosum, vinosum [76], turbasque excitare et commovere [77] dicebant; ideoque *se a judicio recessisse* adjecerunt. Neque enim vos, inquit, ab illo derelicti estis; sed illud a vobis, qui ei tanquam terga dederitis. Atque hæ quidem

A Καὶ πάλιν· « Σοφία τίς ἐστιν ἐν αὐτοῖς, ὅτι τὸν λόγον Κυρίου ἀπεδοκίμασαν; ἢ ὡς ἄρκτος καὶ περιστερά· τοῦτ' ἔστι θρασεῖς κατὰ τῶν ἀσθενεστέρων, καὶ δειλοὶ πρὸς τοὺς ἰσχυροτέρους. Σύμμαχος δὲ καὶ Θεοδοτίων ἐξέδωκαν· Ὡς περιστερὰ μελέτη μελετήσομεν. Ὁ δὲ Ἀκύλας· Ὡς περιστεραὶ φθογγῇ φθεγξόμεθα. Εἰσέτι γὰρ καὶ νῦν πειρῶνται μελετᾶν τὰς Γραφάς, καὶ ἐκμανθάνειν, ψιλῇ φωνῇ περιᾴδοντες, ὡς μηδὲν διαφέρειν ἀλογίστου περιστερᾶς ἄναρθρον ἀποδιδούσης φωνήν. Καὶ τοῦτο δὲ τὸ ῥητὸν, καὶ τὰ ἑξῆς, ἀπὸ προσώπου τοῦ κατηγορουμένου λαοῦ ἐξέδωκαν οἱ λοιποί. Ἐπιφέρει γοῦν Σύμμαχος· Διὰ τοῦτο μακρὰν ἐγένετο κρίσις ἀφ' ἡμῶν, καὶ οὐ καταλήψεται ἡμᾶς δικαιοσύνη. Προσδοκήσωμεν [i] εἰς φῶς, καὶ ἰδοὺ σκότος, καὶ τὰ B ἑξῆς. Καὶ οἱ Ἑβδομήκοντα δὲ τὰ ἐπαγόμενα τῷ προσώπῳ τοῦ λαοῦ περιέθηκαν· Ἀνεμείναμεν κρίσιν, καὶ οὐκ ἔστι σωτηρία. Ὡς ἂν τοῦ προφήτου διδάσκοντος αὐτοὺς ἐξομολογεῖσθαι τῷ Θεῷ τὰς ἑαυτῶν ἁμαρτίας, καὶ κατηγορεῖν ἑαυτῶν ἐπὶ μετανοίᾳ. Τινὲς δέ φασιν, ὡς ἐπειδὰν οἱ προφῆται μνησθῶσι τῆς ἀποβολῆς τοῦ λαοῦ τῆς μετὰ τὴν εἰς Χριστὸν ἀσέβειαν, μέμνηνται χρησίμως καὶ τῆς ἐπ' ἐσχάτων ἀνακλήτεως τῆς ἐν Χριστῷ διὰ πίστεως, διὸ καὶ νῦν μετανοούντων εἰσήγαγε πρόσωπον· Ἀνεμείναμεν κρίσιν, καὶ οὐκ ἔστιν, κρίσιν λεγόντων τὴν διὰ πίστεως δοθεῖσαν τοῖς ἔθνεσιν, ἣν προσδοκήσαντες οὐκ ἔσχον.

C Τὸ δὲ αἴτιον, Πολλὴ γὰρ ἡμῶν ἡ ἀνομία, φασίν. Οὐ γὰρ ἐδεξάμεθα τὸν διὰ πίστεως ἐξαλείφοντα ἁμαρτίας, ὃς αὐτοῖς ἔλεγεν· « Ἀμὴν λέγω ὑμῖν, ὅτι ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε. » Καὶ τὰ κατὰ Χριστοῦ τολμηθέντα δηλοῦντες, φασίν· Ἠσεβήσαμεν, καὶ ἐψευσάμεθα. Ὁ δὲ Σύμμαχος· Ἔγνωμεν, φησὶν, ἀδικεῖν καὶ ψεύδεσθαι κατὰ Κυρίου. Οἱ δὲ [j] Ἀκύλας ἀρνήσασθαι ἐν Κυρίῳ, τὴν ἄρνησιν αὐτῶν παριστάς· Ἀλλὰ καὶ ἀπέστημεν, φασὶν [k], ὄπισθεν τοῦ Θεοῦ ἡμῶν, ἐλαλήσαμεν συκοφαντίαν. Ὁρᾷς ὡς οὐδαμοῦ αὐτῶν εἰδωλολατρείαν κατηγορεῖ, ἀλλὰ συκοφαντίας, καὶ λόγους ψευδεῖς, καὶ τὰ τοιαῦτα. Ποτὲ μὲν τὰς θεοσημείας διαβάλλοντες ἔλεγον· « Ἐν Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια. » Ἀπὸ D καρδίας τε αὐτῶν ἐρευγόμενοι ψευδῆ τε καὶ Ἴδικα, Σαμαρείτην καὶ δαιμονῶντα, φάγον καὶ οἰνοπότην ἐκάλουν, ἀναστατοῦντες τοὺς ὄχλους ἔφασκον. Διό φασιν· Ἀπεστήσαμεν ὀπίσω τὴν κρίσιν. Οὐ γὰρ αὐτὴ, φησὶν, ἡμᾶς κατέλιπεν, ἀλλ' ἡμεῖς αὐτὴν, οἷονεὶ νῶτα δόντες αὐτῇ. Αἱ δὲ φωναὶ ζητούντων εἶναι ἐλεηθῆναι παρὰ Χριστοῦ, καὶ συνεχῶς ὁμολογούντων τῆς ἀληθείας τὴν ἄρνησιν, καὶ τοὺς ψευδεῖς ἑαυτῶν λό-

[71] Jerem. VIII, 9. [72] ibid. [73] Joan. VIII, 24. [74] Luc. XI, 15. [75] Joan. VIII, 48. [76] Joan. X, 20; Matth. IX, 19. [77] Luc. XXIII, 2.

VARIÆ LECTIONES.

[i] γρ. προσεδοκήσαμεν. [j] γρ. ὁ δέ. [k] γρ. φησίν.

Digitized by Google

γισμούς. Τὸν δὲ λόγον εἰς ἑαυτὸν ὁ προφήτης πάλιν ἀναλαβὼν κατηγορεῖ, δεδαπανῆσθαι λέγων, καὶ παντελῶς *ἐκλιπεῖν ἐν ταῖς ὁδοῖς αὐτῶν τὴν ἀλήθειαν*. Ἐν δὲ ψεύδει (ταυτὸν δὲ εἰπεῖν, *σκότῳ*) *περιπατοῦντες*, πῶς ἂν *εὐθείας* ἔσχον ὁδοὺς, Χριστὸν τὸ φῶς ἀποστραφέντες, *καὶ τὴν ἀλήθειαν; Καὶ εἶδε Κύριος, καὶ οὐκ ἤρεσεν αὐτῷ, ὅτι οὐκ ἦν κρίσις*· τοῦτ' ἔστι δικαιοκρισία. *Καὶ εἶδε, καὶ οὐκ ἦν ἀνήρ*· καὶ ἤδη γὰρ εἶπεν· « Ὅτι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος· ἐκάλεσα καὶ οὐκ ἦν ὁ ὑπακούων. » Φιλάνθρωπος γὰρ ὢν ὅλῃ πόλει δι' ἕνα καὶ μόνον ἀνίησι τὰ ἐγκλήματα. Διὰ γὰρ Ἱερεμίου φησί· « Περιδράμετε ἐν ταῖς ὁδοῖς Ἱερουσαλὴμ, καὶ ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς, καὶ ἴδετε ἂν εὕρητε ἄνδρα· εἰ ἔστι ποιῶν πίστιν, καὶ ἀγαπῶν ἔλεος, καὶ ἵλεως ἔσομαι αὐτῇ, λέγει Κύριος. » Ὑπέσχετο δὲ καὶ Σοδόμοις ἀνεῖναι εἰ σχοίεν πέντε δικαίους. Πενταπόλεως γὰρ οὔσης, καθ' ἑκάστην ἕνα ζητεῖ. Τὸν οὖν τοὺς ἄλλους σῶσαι δυνάμενον ἐκ δικαιοπραγίας, καὶ νῦν ἐκάλεσεν *ἀντιλαμβανόμενον*. Μηδένα δὲ τοιοῦτον εὑρὼν, *ἠμύνατο*, φησὶν, αὐτοὺς τῇ δυνάμει. Τοῦτο γὰρ τὸ, *βραχίονι. Ἐστηρίσατο δὲ καὶ τῇ ἐλεημοσύνῃ*· ἢ κατὰ τοὺς λοιποὺς, *ἐπεστηρίσατο*. Οὐ γὰρ πάντας ἀπώλεσεν. Ἔσωσε γὰρ τὸ κατάλειμμα ταῖς πατράσιν αὐτῶν ἀψευδῆ τὴν ἐπαγγελίαν τηρῶν. Ἐφ' οἷς αὐτῶν ἄλωσιν τὴν ἐσχάτην σημαίνων, ὥσπερ ὁπλιζόμενον τὸν Θεὸν κατ' αὐτῶν ὑποτίθεται, πρὸς ὃν εἴρηται· « Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι ἀπὸ τῆς ὀργῆς σου; » Τοιαῦτα δὲ παθόντων, οἱ λοιποὶ τῆς οἰκουμένης, φησὶ, φοβηθήσονται τὴν κατὰ τῶν ἀπειθησάντων βιαίαν ὀργὴν, ἀντὶ δὲ τοῦ, *Καὶ ἠμύνατο αὐτοὺς τῷ βραχίονι αὐτοῦ*, τινὲς ἐκθέμενοι, *Καὶ ἔσωσεν αὐτῷ βραχίων αὐτοῦ*, ἐπήγαγον· μηδεμίαν ἰσχὺν ἐχόντων αὐτῶν πρὸς τοὺς ἐχθροὺς διὰ τὰς ἁμαρτίας, ἐν ἰσχύϊ Θεοῦ ἡ νίκη καὶ ἡ σωτηρία παρέσται διὰ Χριστοῦ. Καὶ πάλιν· Ἀντὶ τοῦ, *Καὶ τῇ ἐλεημοσύνῃ αὐτοῦ ἐστηρίσατο, καὶ τῇ δικαιοσύνῃ αὐτοῦ ἐπεστηρίσατο*, τὸ ῥητὸν εἰπόντες, ἐπήγαγον· Ἡ γὰρ ἐν Κυρίῳ *δικαιοσύνη* στήριγμα γίνεται τῆς κατὰ τῶν ἀσεβῶν δικαίας κρίσεως. Πρὸς τὴν πολεμικὴν δὲ τοῦ Θεοῦ παρασκευὴν ἔφασαν, ὡς ταύτην ὁ Ἀπόστολος ἡμᾶς τὴν ὅπλισιν ἐνδύσασθαι παραινεῖ. Ἐν Κυρίῳ οὖν τὸ ἀληθὲς τῆς *δικαιοσύνης*, ἥ[l] ἐστι *θώραξ* τῆς ἐλπίδος. Ἡ[m] ἐστι *περικεφαλαία*, ἐν ἡμῖν δὲ μίμησις.

Ἕπεται δὲ, φασὶ, καὶ ἡ κριτικὴ οἷον ὅπλισις, κατὰ τῶν θλιβόντων Χριστὸν ἔν τε τῇ κατ' αὐτοῦ, καὶ τῇ κατὰ τῶν ἁγίων ἐπαναστάσει. Ταυτὰ δηλοῦται κἀν τῷ δευτέρῳ ψαλμῷ. Τινὲς δὲ τὴν ὅλην ἄνωθεν οὕτως ἐξηγήσαντο ῥῆτιν· Θεοῦ πολλάκις ἐπαγγειλαμένου βοηθεῖν τῷ λαῷ, καὶ τοὐναντίον αὐτοὺς αἰχμαλωσίᾳ παραδιδόντος, ὡς ἀσθενοῦντος κατεβόων Θεοῦ. Δι-

A voces eorum sunt, qui a Deo misericordiam consequi quærunt, quique crebro *veritatem* se negasse falsaque meditatos esse confitentur. At in se rursum sermonem assumens propheta eosdem accusat, *consumptam* apud eos *esse veritatem*, atque penitus *in viis eorum deficere* asserens. Cum autem in falsitate, id est *in tenebris, ambularent*, qui potuerunt *viis rectis* incedere, qui Christum veram *lucem et veritatem* **673** sunt aversati?

Et vidit Dominus, et non placuit ei: quia non erat judicium; justum scilicet. *Et vidit, et non erat vir.* Nam et antea dixerat: « Veni, et non erat homo; vocavi, et non erat qui audiret[78]. » Pro sua siquidem in homines benevolentia, toti civitati unius nomine peccata condonat. Ait enim in hunc modum apud B Jeremiam: « Circuite vias Jerusalem, et quærite in plateis ejus, et videte si inveniatis virum; si sit faciens fidem, et diligens misericordiam: et fuero ipsi misericors, ait Dominus[79]. » Fuerat vero et Sodomis se parciturum pollicitus, si quinque justos haberent[80]. Cum enim civitates quinque complecterentur, vel unicum de singulis postulabat. Eum igitur, qui operum justitia alios salvare queat, hoc etiam loco *defensorem* appellavit. Sed cum talem nullum reperisset, et eos ipse potentia sua (hanc enim *brachii* appellatione significavit) *ultus est. Sustinuit vero et misericordia*; aut secundum alios, *confirmavit*. Neque enim omnes perdidit, qui reliquiis conservatis vanum esse quod fuerat patribus pollicitus, non permisit. Postea ultimam eorum C expugnationem significans, Deum adversus illos tanquam armatum ante oculos subjicit; ad quem et ista dicta sunt: « Tu metuendus es, et quis resistet tibi a furore tuo[81]? » Illis hæc patientibus, reliqui orbis terræ, inquit, timebunt vehementem adversus incredulos iram. Verum pro quo: *Et ultus est eos brachio suo*, habemus: *Et servavit sibi brachium suum* exponentes, nonnulli, omni illis adversus hostes, propter scelera, virtute destitutis, in Dei virtute per Christum victoriam et salutem non defuturum esse tradiderunt. Præterea, pro: *Et misericordia ejus sustinuit; et justitia ejus confirmavit* dicentes; *justitiam* in Domino, justi adversus impios judicii firmamentum esse addiderunt. D Loquuntur vero tanquam de bellica Dei supellectile; qua ratione nos ad armaturam istam induendam adhortatur Apostolus[82]. Quæ est igitur in Domino *justitiæ* veritas, ipsa vere spei *loriça est*; ipsa vere *galea*; quæ autem in nobis, **674** imitatio tantum.

Sequitur vero, aiunt, etiam quæ veluti judicialis, est, armatura, adversus eos, qui Christum affligunt, sive in eam ipsi, sive in sanctos insurgant; quæ in secundo etiam psalmo declarantur. Quidam autem verba ista ab initio sic explicarunt. Cum populo sæpe auxiliaturum se pollicitus esset Deus, eumdem vero in captivitatem tradidisset, in Deum

[78] Isa. I, 2. [79] Jerem. V, 1. [80] Gen. XVIII, 32. [81] Psal. LXXV, 8. [82] Ephes. VI, 11.

VARIÆ LECTIONES.

[l] γρ. ἥ. [m] γρ. ἥ.

Digitized by Google

tanquam propter virium imbecillitatem pollicita non præstitisset ; populus vociferabatur. Itaque eos arguens, in causa fuisse eorum peccata respondet, propter quæ non audire Deus et servare potuisse visus sit. Cum enim liberos suos mactarent, eorum exta inspicientes; *manus* sibi *sanguine*, *ut impietate labia* polluebant : unde, tanquam surgentibus ex semine laboribus, frustra torquebantur. Quas enim voluptates indè percipiebant, tanquam *ova aspidum* erant intempestiva, aut *araneæ tela*, quæ nocere potius, quam prodesse valent : imo quæ, si quidquam producant, nihil a *basilisco* differat, per quem et ipsi malorum *operum* auctorem diabolum anagogice intelligimus. At ex malis omnibus *vestimentum contexuerunt*, post communem mortem mala eorum *nequaquam operturum*, quæ ad sepulturam usque vires habitura sunt, Jobo teste [83], qui se ad tumulum usque vigilasse scribit. Sunt vero, propter *malas cogitationes*, ærumnosi et *miseri*, qui *pacem* non habeant. Tanquam enim amissa judicandi vi, a *via* regia aberrantes sursum deorsum vagantur; ita siquidem *nequitiam* sectantur, ac si ea *lucem* sibi allatura sit : cum *tenebras* pariat ; ultionem nimirum, quæ eos ita præsenti istc futuroque sæculo apprehensura est; ut qui splendidissimus dies eis illuxerat, in *tenebras* convertatur ; *ursique* in morem graviter, propter ademptos catulos, *et tanquam columba* assidue gemant. Ait deinde : *Exspectavimus judicium*, *et non est*, ut eos qui in peccatis suis immorati sunt, Dei etiam *defensione* excidisse demonstret. Significat autem *judicii* nomine illud ipsum, **675** quo sibi quique, vel quæ præstantiora sunt, eligunt ; vel quæ relinquentes pereunt cum insurgentibus in eos hostibus, Dei auxilio destituuntur. Docet enim ipsos quæ eventura sunt, et qua ratione pœnitere oporteat, si remissionem consequi velint : quo modo et David ipse priusquam templum construeretur, ejusdem non eversionem modo, sed instaurationem etiam prædixit. Nihil enim eorum quæ se invicem consequuntur, ignorat Deus. Postea sua ipsi vitia, sive ea in factis, sive in dictis versentur, accusantes, *recessimus*, aiunt, *a judicio* : quale est illud apud Davidem, psalmo quadragesimo nono : « Tu vero odisti disciplinam, et abjecisti sermones meos retrorsum [84]. » Nonnulli vero et illud : *Concepimus*, *et meditati sumus de corde*, in malos prophetas usurpari arbitrantur; ob idque indignatum Deum iram in eosdem *misericordia* temperatam induxisse. Non enim utilitate carere quamlibet Dei correptionem. Significat deinde Deum salutem, quæ pœnitentia paratur, iis, quos ulciscitur, conciliare, cum eorum *justitiam* et recte ac si Dei *vestimentum* ipsi fieri valeamus, propter quam et Giezi armati visi sunt angeli,

A ἐλέγχων οὖν αὐτοὺς, αἰτίας τὰς αὐτῶν ἁμαρτίας φησὶ, δι' ἃς καὶ ἀήκοος καὶ ἀδύναμος ἐνομίσθη. Σφάξαντες γὰρ τὰ τέκνα αὐτῶν ἡπατοσκοποῦντο, ὡς τὰς *χεῖρας* αὐτῶν μεμολύνθαι *τῷ αἵματι*, καὶ διὰ *τῶν χειλῶν ἀσεβεῖν*, ἀφ' ὧν ἑαυτοῖς, ὡς ἀπὸ σπερμάτων, πόνους ἐγέννησαν, ματαιοπονοῦντες ἐν αὐτοῖς. Ἃ γὰρ ἐπιθυμήματα συνελέξαντο, ὡς *ὠὰ ἀσπίδων* ἀτελεσφόρητα, καὶ *δράχνης ἰστὸς*, βλάπτοντα μᾶλλόν ἐστιν, ἢπερ ὠφελῆσαι δυνάμενα. Κἂν εἰς *ἔργον* δὲ προαχθεῖεν, οὐδὲν ἀπέοικε *βασιλίσκου*. Δι' οὗ, κατὰ ἀναγωγὴν, ληψόμεθα τὸν διάβολον τὸν τῶν κακῶν χορηγόν. Ἐκ δὲ τῶν κακῶν ἁπάντων *ἱμάτιον ἐξύφηναν*, ὃ μετὰ τὸν κοινὸν θάνατον *οὐκ ἔσται σκέπη* τῶν κακῶν αὐτῶν, μέχρι ταφῆς ἰσχυόντων κατὰ τὸ ἐν Ἰὼβ, τὸ, « Ἕως σόρου ἠγρύπνησα. » Ἐκ δὲ
B *τῶν πονηρῶν λογισμῶν ταλαιπωροῦσιν, εἰρήνην* οὐκ ἔχοντες. Ὡς γὰρ τὸ κριτικὸν ἀπολέσαντες, βασιλικὴν οὐκ ἦλθον *ὁδὸν* ἄνω κάτω πλανώμενοι. Οὕτω γὰρ τὴν *πονηρίαν* μετῆεσαν, ὡς *φωτὸς* ἐξ αὐτῆς ἀπολαύσοντες, ὃ γέγονε *σκότος* αὐτοῖς, δηλῶν δὴ τὴν ἐν τῷ παρόντι καὶ μέλλοντι καταληψομένην αὐτοὺς τιμωρίαν. Ὡς καὶ τὴν φωτεινοτάτην αὐτοῖς ἡμέραν *σκότος* γενέσθαι, ὡς [m-p] *στενάζειν* αὐτοὺς μεγάλα ὡς *ἄρκτον* ἐπὶ τέκνοις, καὶ πυκνὰ ὡς *περιστεράν*. Εἶτά φησιν, *Ἀνεμείναμεν κρίσιν, καὶ οὐκ ἔστι·* δηλῶν τοὺς τοῖς ἑαυτῶν ἁμαρτήμασιν ἐγχρονίσαντας, καὶ τῆς *ἀντιλήψεως* ἀποτυχόντας τῆς θείας. *Κρίσιν* δὲ
C λέγει, καθ' ἣν τὰ κρείττω πάντες ἑαυτοῖς ἐπιλέγονται. Ἡ ἀπολιπόντες ἀπώλοντο, ἐπελθόντων αὐτοῖς τῶν ἐχθρῶν, μὴ βοηθοῦντος Θεοῦ. Διδάσκει γὰρ αὐτοὺς τὰ συμβησόμενα, καὶ πῶς δεήσει μετανοεῖν, ὡς ἂν ἀφέσεως τύχοιεν. Ἐπεὶ καὶ Δαβὶδ πρὸ τῆς οἰκοδομῆς τοῦ ναοῦ, προλέγει καὶ τὴν καθαίρεσιν, καὶ τὴν αὐτοῦ πάλιν ἀνοικοδόμησιν. Πάντα γὰρ μετ' ἀλλήλων γινώσκει Θεός. Εἶτα τῆς ἑαυτῶν ἐν τοῖς πρακτοῖς καὶ λεκτοῖς κακίας κατηγορήσαντες, *Ἀπεστήσαμεν*, φασὶν, *ὀπίσω τὴν κρίσιν*, ὡς ὁ Δαβὶδ ἐν τεσσαρακοστῷ ἑνάτῳ φησί· « Σὺ δὲ ἐμίσησας παιδείαν, καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω. » Τινὲς δὲ καὶ τό· *Ἐκύμεν καὶ ἐμελετήσαμεν ἀπὸ καρδίας*, εἰς τοὺς ψευδοπροφήτας εἰρῆσθαί φασιν. Ἐφ' οἷσπερ ὁ Θεὸς ἀγανακτήσας ὀργὴν ἐπήγαγε κατ' αὐτῶν, *ἐλέει* ταύτην κεράσας. Πᾶσα γὰρ παιδεία Θεοῦ ἐπωφελής. Ἐφ' οἷς, φησὶ, τὸν Θεὸν τὴν
D ἐκ τῆς μετανοίας πραγματευομένην σωτηρίαν, τοῖς τιμωρουμένοις οἰκειοῦσθαι, *ἐνδυόμενον* αὐτῶν τὴν *δικαιοσύνην*, καὶ τὰς δικαιοπραγίας *ὥσπερ θωρακιζόμενον*, παραμυθούμενος ὡς δυναμένους [q] *ἔνδυνα* γενέσθαι Θεοῦ δι' ἡμᾶς οἷον ὁπλοφοροῦντος, τὴν ἡμετέραν διορθουμένου δειλίαν, δι' ἣν καὶ τῷ Γιεζεὶ ὁπλοφόροι πεφήνασιν ἄγγελοι, οὕτω κατὰ φύσιν οὐκ ἔχοντες.

facta, *tanquam toricam*, *induat* ; ita nos consolans nos arma gerentis, ut timiditatem nostram erigat, cum id eorum natura non pateretur [85].

[83] Job x, 19. [84] Psal. xlix, 17. [85] IV Reg. vi, 17.

VARIÆ LECTIONES.

[m-p] γρ. καὶ. [q] ἔνδυμα.

Digitized by Google

ιθ-κα'. *Καὶ φοβηθήσονται οἱ ἀπὸ δυσμῶν τὸ* A *ὄνομα Κυρίου, καὶ οἱ ἀπ' ἀνατολῶν ἡλίου, τὸ δόξαν τὸ ἔνδοξον. Ἥξει γὰρ ὡς ποταμὸς βίαιος ἡ ὀργὴ παρὰ Κυρίου, ἥξει μετὰ θυμοῦ, καὶ ἥξει ἕνεκα Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ*, κ. τ. λ.

Πολέμιον εἰπὼν τοῖς ἐξ Ἰσραὴλ τὸν Θεὸν διὰ τὰς πολλὰς αὐτῶν ἀσεβείας, ἐπὶ τὴν κλῆσιν μέτεισι τῶν ἐθνῶν, καὶ τὴν Χριστοῦ παρουσίαν. Τὸ πᾶν δὲ γένος ἀνθρώπων διὰ τῶν *ἀνατολῶν* ἐδήλωσε καὶ *δυσμῶν*, *οἳ φοβηθήσονται τὸν Κύριον*. «Ἀρχὴ γὰρ σοφίας, φόβος Κυρίου.» Ἧς οὐ μετέλαβεν Ἰσραὴλ, ἀλλ' ἐκεῖνοι, περὶ ὧν ἔλεγεν· «Ἰδοὺ οὗτοι πόρρωθεν ἥξουσι,» καὶ τὰ ἑξῆς· δι' ὧν ἐδήλου τὰ τέσσαρα B κλίματα, ὅσα δὲ *φόβος Θεοῦ* προξενεῖ δηλοῖ τό· «Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.» Καὶ τό, «Οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.» Καὶ τό, «Φόβος Κυρίου παιδεία, καὶ σοφία.» Καὶ τό· *Φόβος Κυρίου προστίθησιν ἡμέρας*.» Ὃν οὐκ Ἰουδαίοις δώσειν, ἀλλὰ τοῖς ἔθνεσιν ἐπαγγέλλεται. Καὶ ἐν ἑτέρῳ γὰρ προφήτῃ τοῖς μέν φησιν· «Οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει Κύριος παντοκράτωρ. Καὶ θυσίας οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν». Περὶ δὲ τῶν ἐθνῶν· «Διὰ ὅτι ἀπὸ ἀνατολῶν ἡλίου δεδόξασται τὸ ὄνομά μου, ἐν τοῖς ἔθνεσι.» Τῆς δὲ τούτων σωτηρίας αἴτιον· *Ἥξει γὰρ ὡς ποταμὸς βίαιος καὶ ὀργὴ παρὰ Κυρίου. Ἥξει μετὰ θυμοῦ. Ὀργῆς* δὲ καὶ *θυμοῦ* οὔτε τὸ Ἑβραϊκὸν, οὔτε οἱ λοιποὶ μέμνηνται. Οὐδὲ γὰρ εὔλογον ἐν ἀγαθῶν ἐπ- C αγγελίαις. Ὁ γὰρ Ἀκύλας φησὶν, *Ὅτι ἐλεύσεται ὡς ποταμὸς πνεῦμα Κυρίου σύσσημον ἑαυτῷ*. Ὁ δὲ Σύμμαχος· *Ἥξει ὡς ποταμὸς θλίβων τὸ πνεῦμα Κυρίου. Ἐπείγει καὶ ἥξει*. Ὁ δὲ Θεοδοτίων· *Ἥξει γὰρ ὡς ποταμὸς πολιορκητής. Πνεῦμα Κυρίου ἐσημειώθη ἐν αὐτῷ*. Πῶς δὲ ὡς *ποταμὸς βίαιος ἥξει τὸ πνεῦμα Κυρίου*, ἐδήλωσεν ἐν ταῖς Πράξεσιν, «Ὅτε συνηγμένων ἐπὶ τὸ αὐτὸ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος, ὥσπερ φερομένης πνοῆς βιαίας,» καὶ τὰ ἐπὶ τούτοις. Ὧν τέλος, καὶ τὸ, «Ἐπληρώθησαν ἅπαντες Πνεύματος ἁγίου.»

Vers. 19-21. *Et timebunt qui sunt ab occidente, nomen Domini, et qui ab ortu solis, nomen inclytum. Veniet enim quasi fluvius violentus ira a Domino: veniet cum furore: et veniet propter Sion qui liberat, et avertet* **676** *impietates Jacob*, etc.

Postquam Israeli propter multam eorum impietatem infensum esse Deum demonstravit, ad gentium vocationem, ipsumque Christi adventum sermonem convertit. Significavit autem *Orientis Occidentisque* nomine, hominum genus universum, quos *Domini timor* esset occupaturus. Principium namque sapientiæ timor Domini [86]: cujus esse particeps noluit Israel; sed illi, de quibus istud usurpavit: « Ecce hi de longe venient [87], et quæ deinceps: quibus verbis quatuor mundi cardines, sive plagas demonstravit. Quanta vero ea sint, quæ *Domini timor* nobis conciliat, Scriptura patuerit, ubi ait: « Beatus vir qui timet Dominum [88]. » Et istis: « Non est inopia timentibus Dominum [89]. » Et istis etiam: « Timor Domini disciplina et sapientia [90]. » Et istis: « Timor Domini dies addit [91]; quem se non Judæis, sed gentibus esse daturum pollicetur. Deinde apud prophetam alium istos quidem in hunc modum alloquitur: « Non est mea voluntas in vobis [92], dicit Dominus omnipotens, et hostias non suscipiam de manibus vestris. » De gentibus autem ista inquit: « Ab ortu enim solis usque ad occasum glorificatum est nomen meum in nationibus [93]. » Sed est earum salutis causa, quod *venturum, quasi fluvium violentum, et iram a Domino cum furore* dixit. Quo loco, neque *iræ*, neque *furoris* Hebraica lectio, cæterique interpretes meminerunt, sicut in bonorum promissione fuerat rationi consentaneum. Ita enim Aquila: *Quia veniet tanquam flumen spiritus Domini signaculum ipsi*. Symmachus autem: *Veniet tanquam fluvius terens spiritus Domini. Urget, et veniet*. Theodotio vero: *Veniet enim tanquam fluvius oppugnans. Spiritus Domini signatus est in eo*. Qui autem, **677** *tanquam fluvius violentus*, ipse *Domini spiritus venturus sit*, eo indicavit, quod in Actis: « Cum essent in unum omnes congregati, factum esse de repente sonum, tanquam spiritus violenti [94], » et quæ sequuntur, legitur; quibus tandem omnes esse Spiritu sancto repletos concluditur.

Ἀλλὰ καὶ σημεῖον, φησὶν, *ἑαυτῷ*. Τοῦτο γὰρ τῆς D ἰδίας ἀναλήψεως ἔθετο σημεῖον λέγων· «Ἐὰν μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἔρχεται.» Καὶ πάλιν· Ὅτ' ἂν ἀπέλθω, ἀποστελῶ ὑμῖν τὸ Πνεῦμα τῆς ἀληθείας.» Ἀντὶ δὲ τοῦ· *Ἥξει ἕνεκεν Σιὼν ὁ ῥυόμενος*, Ἀκύλας, *Καὶ ἐλεύσεται τῇ Σιὼν ἀγχιστεύων*, φησίν. Ὁ δὲ Σύμμαχος· *Καὶ ἥξει τῇ Σιὼν ἀγχιστεύων*. Ἔλεγε γὰρ ὁ Σωτήρ· «Οὐκ ἤλθον, εἰ μὴ εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ.» Καὶ Παῦλος δέ φησι· «Λέγω γὰρ Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων, τὰ δὲ ἔθνη ὑπὲρ

Verum et *signaculum ipsi* ait. Hanc enim ascensionis suæ significationem et notam dederat; cum, nisi abivisset, Paracletum non venturum; cum rursum abivisset, sanctum apostolis se missurum Spiritum dixerat [95]. Sed enim quo loco, *veniet propter Sion, qui liberat*, habemus, *et veniet qui Sion propinquus est*, interpretantur Aquilas et Symmachus. Neque enim se nisi ad oves, quæ perierant de domo Israel, missum esse Salvator reticuit [96]. Scribit in hunc modum præterea et Paulus: « Dico enim Christum Jesum ministrum fuisse circumcisionis propter veritatem Dei, ut confirmaret pro-

[86] Psal. cx, 10. [87] Isa. lx, 4. [88] Psal. cxi, 1. [89] Psal. xxxiii, 10. [90] Prov. xv, 33. [91] Prov. x, 27. [92] Malach. i, 10. [93] ibid. 11. [94] Act. ii, 2. [95] Joan. xv, 26. [96] Matth. xv, 24.

Digitized by Google

missiones patrum; gentes autem propter misericordiam glorificarent Deum [97].» Aiunt vero nonnulli, quemadmodum superius [98], postquam iræ adversus Judæos meminisset, et misericordiæ postea mentionem fecisse, cum misericordia confirmasse se dixit: sic et hoc loco, postquam *furoris* et *iræ* meminit, salutem per Christum adjecisse, cum *venturum eum* affirmavit *propter Sionem, qui liberat*; de peccatis nimirum, de morte, de corruptione etiam, de dæmonum tyrannide denique intelligens. Dicas rursum ipso *Sionis* nomine, sanctam Ecclesiæ administrationem, piumque institutum significari. Verum pro quo: *Et avertet impietates Jacob*, habemus: *Et iis qui aversati fuerunt impietatem Jacob*, dixit Symmachus; Aquilas autem: *Et iis, qui aversati fuerint inconstantiam Jacob. Iis* enim *veniet*, eosque *liberabit*; seipsos autem, qui non convertentur, accusabunt. *Et hoc est*, inquit, *eis a me testamentum*. Quodnam vero? *Spiritus meus, qui est in te*: quem **678** cum apostolis largiretur, aiebat: « Accipite Spiritum sanctum; si cui remiseritis peccata, remittuntur [99]. » Istud igitur est *Novum testamentum*, mysteriique illius summa, quod est *in te, qui propinquus es, et qui liberas*: quem esse de radice Jessæ dixit [1], cum Spiritum Domini super eum requieturum affirmavit: cujus item et ipse discipulos ideo participes effecit, ut eumdem et ipsi deinceps in dignos et benemeritos conferrent. *Verba* porro, quæ locutus est Christus, *testamentum meum* sunt, inquit, *in sempiternum* duratura. Ait enim hunc in modum Salvator: « Cœlum quidem et terra transibunt; verba autem mea nunquam transierint [2]. » Est igitur apertissimum redemptionis argumentum, *Spiritu sancti* participem fieri, linguaque ipsa (dicunt quidam) verbum veritatis accipere, ut est apud Paulum his verbis: « Prope te est verbum, in ore tuo, et in corde tuo [3]. » Accepimus enim verbum fidei, quod salutarem justitiæ confessionem conciliat. Ita namque impium Christus justificat, qui se jamdudum, veluti nebulam ejus iniquitates abstersisse clamitat. Quod quidem cum in nobis perpetuo situm sit, idem ipse in posteros etiam nostros, qui fideles semper tuetur, transmissurus est. Sunt vero qui totum sic explicent, ut dicant Deum sicut olim fœdus pepigit cum Abrahamo, cum hostias in promissionum gratiam obtulit [4]; ut legem deinde simili ratione per Mosen tradidit, ita etiam nunc per prophetam testamento se cum populo pacisci verbis istis significare, quæ vim suam, suumque robur, non ista solum, sed futura etiam ætate, habitura sint si velint peccata sua pœnitudine abstergere. Ita enim Deum quæ sit pollicitus, præstare, pœnitentibus nimirum, et dignis.

A ἐλέους δοξάσαι τὸν Θεόν. » Φασὶ δέ τινες· Ὥσπερ ἀνωτέρω μνησθεὶς τῆς κατὰ τῶν Ἰουδαίων ὀργῆς, ἐμνήσθη καὶ τῆς ἐν ὑστέροις ἐλεημοσύνης εἰπών, « Καὶ τῇ ἐλεημοσύνῃ ᾗ ἐστηρίσατο· » οὕτω καὶ νῦν *ὀργὴν* εἰπὼν, καὶ *θυμὸν*, τὴν διὰ Χριστοῦ σωτηρίαν ἐπήνεγκεν εἰπών· *Καὶ ἥξει ἕνεκεν Σιὼν ὁ ῥυόμενος*, ἐξ ἁμαρτιῶν δηλονότι, θανάτου τε, καὶ φθορᾶς, καὶ δαιμόνων ὠμότητος. *Σιὼν* δὲ πάλιν, τὸ θεοσεβὲς τῆς Ἐκκλησίας πολίτευμα. Ἀντὶ δὲ τοῦ, [*Καὶ*] *ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακὼβ*, ὁ Σύμμαχος· *Καὶ τοῖς ἀποστρέψασιν ἀσέβειαν ἐν Ἰακώβ*. Ὁ δὲ Ἀκύλας· *Καὶ τοῖς ἀποστρέψασιν ἀθεσίαν ἐν Ἰακώβ. Τούτοις* γὰρ *ἥξει*, καὶ τούτους *ῥύσεται*. Ἑαυτοὺς δὲ μὴ ἐπιστρέφοντες αἰτιάσονται. *Καὶ αὕτη*, φησὶν, *αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη*. Τίς δὲ αὕτης; *Τὸ πνεῦμα* B *τὸ ἐμὸν*, ὅ ἐστιν ἐπὶ σοὶ, ὃ δίδους τοῖς μαθηταῖς ἔλεγε· « Λάβετε Πνεῦμα ἅγιον. Ἐάν τινος ἀφῆτε τὰς ἁμαρτίας, ἀφίεται αὐτῷ. » Τοῦτο τοίνυν ἡ *Καινὴ Διαθήκη*, καὶ τοῦ μυστηρίου τὸ κεφάλαιον, ὅπερ ἐστὶν *ἐν σοὶ τῷ ἀγχιστεῖ, καὶ ῥυσμένῳ* [r], ὃν ἐκ τῆς ῥίζης ἔφασκεν Ἰεσσαὶ, ἐπαναπαύεσθαι λέγων ἐπ' αὐτὸν Πνεῦμα τοῦ Θεοῦ. Οὗ δὴ μετέδωκε τοῖς μαθηταῖς, ὡς ἂν καὶ αὐτοὶ μεταδοῖεν ἀξίους. *Τὰ* δὲ *ῥήματα*, ἃ λελάληκεν ὁ Χριστὸς, *διαθήκη μου*, φησὶν, ἐστὶ, καὶ μένει *εἰς τὸν αἰῶνα*. Καὶ ὁ Σωτὴρ δὲ ἔλεγεν· « Ὁ οὐρανὸς, καὶ ἡ γῆ παρελεύσεται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι. » Σαφεστάτη τοίνυν τῆς λυτρώσεως ἀπόδειξις, τὸ ἐν μεθέξει γενέσθαι *Πνεύματος ἁγίου*, δι' οὗ καὶ τὸ τῆς υἱοθεσίας φέρεται C καύχημα, καὶ τὸ λαβεῖν, φασί τινες, ἐν γλώττῃ τὸ ῥῆμα τῆς πίστεως, Παύλου λέγοντος· « Ἐγγύς σου τὸ ῥῆμά ἐστιν· Ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου. » Ἐλάβομεν γὰρ τὸ ῥῆμα τῆς πίστεως, τὴν σωτήριον ὁμολογίαν δικαιοσύνης πρόξενον. Δικαιοῖ γὰρ οὕτω τὸν ἀσεβῆ Χριστὸς ὁ πάλαι βοῶν· « Ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας σου. » Ὅπερ δὴ ἐν ἡμῖν ἀεὶ, καὶ τοῖς μεθ' ἡμᾶς παραπέμπεται σῶζον ἀεὶ τοὺς πιστεύοντας. Τινὲς δὲ οὕτως τὸ πᾶν ἐξηγήσαντο· Θεὸς διαθήκην θέμενος πρὸς Ἀβραὰμ, ἡνίκα τὰς θυσίας ἐπὶ ταῖς ἐπαγγελίαις πεποίηται· καὶ διὰ Μωσέως δὲ καθ' ὅμοιον τρόπον νομοθετήσας· καὶ νῦν διὰ τοῦ προφήτου διατίθεσθαι φάσκει διὰ τῶν λαλουμένων πρὸς τὸν λαὸν, ἃ τὴν ἰσχὺν ἔξει οὐ μόνον ἐπὶ τῶν παρόντων, ἀλλὰ καὶ τῶν ἐσομένων, εἰ θέλοιεν D διὰ μετανοίας ἀπαλείφειν τὰς ἑαυτῶν ἁμαρτίας. Οὕτω γὰρ Θεὸς τὰς ἐπαγγελίας πληροῖ, μετανοοῦσιν οὐκ ἀναξίοις διδούς.

CAP. LX.

679-680 VERS. 1-22. *Illuminare, illuminare, Jerusalem, venit enim lumen tuum, et gloria Domini super te orta est. Ecce tenebræ operient terram, et caligo super*

ΚΕΦΑΛ. Ξ'.

α-χβ'. *Φωτίζου, φωτίζου, Ἰερουσαλήμ. Ἦκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. Ἰδοὺ σκότος καλύψει γῆν, καὶ γνόφος*

[97] Rom. xv, 8, 9. [98] Isa. L, 1 seqq. [99] Joan. xx, 22. [1] Isa. xi, 1. [2] Luc. xxi, 33. [3] Rom. x, 8. [4] Gen. xiii, 1 seqq.

VARIÆ LECTIONES.

Digitized by Google

ἐτ' ἔθνη. Ἐπὶ δὲ σὲ φανήσεται Κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται. Καὶ πορεύσονται βασιλεῖς τῷ φωτί σου, καὶ ἔθνη τῇ λαμπρότητί σου. Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου. Ἰδοὺ ἥκασι πάντες οἱ υἱοί σου μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων ἀρθήσονται. Τότε ὄψῃ, καὶ φοβηθήσῃ, καὶ ἐκστήσῃ τῇ καρδίᾳ, ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦτος θαλάσσης, καὶ ἐθνῶν, καὶ λαῶν, κ. τ. λ.

gentes. Super te autem apparebit Dominus, et gloria ejus in te videbitur. Et ambulabunt reges in lumine tuo, et gentes in splendore tuo. Leva in circuitu oculos tuos, et vide omnes congregatos filios tuos. Ecce venerunt omnes filii tui de longe, et filiæ tuæ super humeros portabuntur. Tunc videbis, et gaudebis, et timebis, et stupebis corde, quoniam transferentur in te divitiæ maris, et gentium, et populorum, etc.

Χριστοῦ παρουσίαν εὐαγγελισάμενος, πρώτους βούλεται μεταλαβεῖν αὐτῆς τοὺς ἐξ Ἰσραήλ, κατὰ τό· « Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. » Ὃ καὶ τοῖς μαθηταῖς παρήγγελλεν, ἀπαγορεύσας αὐτοῖς εἰς ὁδὸν ἐθνῶν μὴ πορεύεσθαι, μηδὲ εἰς πόλιν Σαμαρειτῶν. Οἳ καὶ Ἔλεγον· « Ὑμῖν ἦν πρῶτον ἀναγκαῖον κηρυχθῆναι τὸν λόγον. » Χριστὸς δὲ ἦν τὸ φῶς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωὴ, καὶ τὸ φῶς, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· ἐξ οὗ τὴν Ἱερουσαλὴμ, δηλονότι τοὺς ταύτης οἰκήτορας, φωτισθῆναι προτρέπεται, αὐτῆς τε εἶναί φησι προηγουμένως τὸ φῶς, διά τε τὴν ἐπαγγελίαν τῶν πατέρων, καὶ τὸ τὰ περὶ Χριστοῦ ταύτῃ παρὰ τῶν προφητῶν κεκηρύχθαι. Διὰ τοῦτο γὰρ οὐχ ἁπλῶς φῶς εἶπεν, ἀλλὰ τὸ φῶς· ἀναφορικῶς, οὗπερ εἰ μετέσχε, διέμεινεν ἂν ἐν εἰρήνῃ μέχρι παντός, κατὰ τό· « Εἰ ἔγνως καὶ σὺ τὰ πρὸς εἰρήνην. » Αὐτῆς δὲ μὴ δεξαμένης, ἐπιφέρει· « Νῦν δὲ ἥξουσιν ἡμέραι ἐπὶ σὲ, » καὶ τὰ ἑξῆς. Πασῶν τε τῶν νῦν λεγομένων ἐξέπεσεν ἐπαγγελιῶν, αἳ τάχα ἂν αὐτῇ ἐγένοντο καὶ σωματικῶς. Ἅμα τε γὰρ τοῦ φωτὸς, καὶ τούτων ἐστέρηντο. Τὸ δὲ Ἱερουσαλὴμ οὐ κεῖται παρὰ τοῖς ἄλλοις. Ἀλλ' ὁ μὲν Ἀκύλας Ἀνάστηθι, φωτίζου, φησὶν, ὅτι ἦλθέν σου τὸ φῶς. Καὶ Σύμμαχος ὁμοίως, καὶ τὸ Ἑβραϊκὸν, ὡς εἶναι τὸν λόγον πρὸς τοὺς δεδεγμένους τὸν εἰρημένον λυτρωτὴν, ἢ ἀγχιστέα, οὓς ἔλεγεν ἐξ ἀνατολῶν καὶ δυσμῶν τοὔνομα Κυρίου φοβηθήσεσθαι.

681 Christi adventu denuntiato, ejus primum fieri participes Israelitas postulat, juxta illud: « Non sum missus, nisi ad oves quæ perierunt domus Israel [8]. » Quod apostolis etiam significavit, cum ne in viam gentium abirent, neque in civitates Samaritanorum, præcepit [9]. Qui et ipsi quoque Judæis primum sibi necessario verbum esse promulgandum docuerunt [7]. Erat vero Christus ipse *lumen*, et veritas, et vita: *Lumen*, inquam, « quod illuminat omnem hominem venientem in hunc mundum [8]; » quo *Jerusalem* ipsam, id est ejus incolas, *illuminari* postulat qui principaliter *lumen* est; sive ad patrum promissionem respicias; sive ad ea, quæ per prophetas ita de Christo dicta sunt et promulgata. Ob id enim non simpliciter, sed relative *lumen* appellavit; cujus si particeps fuisset, pacem habuisset perpetuam, juxta illud: « Si cognovisses et tu quæ pacis sunt [9]. » Sed quia eam non admisit, intulit: « Nunc autem venient dies in te [10], » et quæ deinceps. Imo et omnibus, quæ adhibentur hoc loco, promissionibus excidit; quibus fortasse corporaliter potitura fuerat. Est enim cum *lumine* et istis quoque privata. Neque vero *Jerusalem* apud illos reperias, cum *Exsurge, illuminare, quoniam venit lumen tuum* habeant Aquilas et Symmachus, ipsaque adeo Hebraica lectio; ut sermo sit ad eos, qui dictum Redemptorem, vel vicinum exceperint; quos superius [11] ab ipso solis ortu et occasu nomen Domini dixit esse formidaturos.

Τὸ οὖν θεοσεβὲς τοῦτο πολίτευμα, πόλις καλεῖται Θεοῦ, καὶ Ἱερουσαλήμ. Παρ' αὐτῇ γὰρ πρώτῃ συνίστατο προφητῶν τε καὶ θεοσεβῶν ἀνθρώπων χορός. Οἳ δὴ τὴν παρουσίαν ἀεὶ προσδοκῶντες Χριστοῦ, τὸν βίον κατέστρεφον διακείμενοι, ὡς καὶ μέχρι θανάτου καταδήσεται διὰ τὴν αὐτῶν ἐλευθερίαν. Ὅθεν ὡς ἐν σκότῳ καθημένοις τοῦ φωτὸς Χριστοῦ τὴν παρουσίαν εὐαγγελίζεται, ὡς πρὸς τῇ πρώτῃ παρουσίᾳ, καὶ τῇ δευτέρᾳ τὸν λόγον ἁρμόττειν, περὶ ἧς ἔλεγεν ὁ Σωτήρ· « Καὶ ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ, » καὶ τὰ ἑξῆς· ἐν οἷς τοὺς ἀγγέλους συνάξειν λέγει πανταχόθεν τοὺς ἐκλεκτούς. Καὶ πάλιν· « Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ. » Εἶτα περὶ διακρίσεως εὐσεβῶν τε λέγει, καὶ ἀσεβῶν, ὡς προβάτων καὶ ἐρίφων, τῶν μὲν παραδιδομένων πυρὶ,

682 Hoc igitur sanctum est et pium vitæ institutum, quod civitatem Dei, et *Jerusalem* appellavit; in qua primum cœpit prophetarum piorumque virorum chorus institui; qui Christi adventum semper exspectantes, eam etiam moriendo fidei constantiam retinuerunt, ut suæ libertatis asserendæ gratia mortem subiturum esse non ambigerent. Atque inde est, quod ipsis, tanquam in *tenebris* sedeant, *luminis* Christi adventum denuntiat: ut primo non solum adventui, sed alteri etiam conveniat oratio, de quo sunt ista Salvatoris: « Et videbunt Filium hominis venientem in nubibus cœli [12], » cæteraque deinceps: in quibus electos ab angelis undique coactum iri significat. Et rursum: « Cum autem venerit Filius hominis in gloria sua [13]. » De piorum deinde ab impiis, tanquam ovium ab hædis, sepa-

[8] Matth. xv, 24. [9] Matth. x, 5. [7] Act. xiii, 46. [8] Joan. i, 9. [9] Luc. xix, 42. [10] ibid. 43. [11] Isa. lix, 1 seqq. [12] Luc. xxi, 27. [13] Matth. xxv, 31.

Digitized by Google

ratione adjiciens, istos quidem in ignem abituros esse; illos autem in novum sæculum revocatum iri significat, in quo nulla futura sint corporea *luminaria* : Christo ipso, qui Sol est justitiæ [15], *lucem* abunde præstante et suggerente: quo tempore nimirum, juxta sacratissimi Pauli sententiam: « Qui mortui sunt in Christo, primi resurgent: qui autem relicti, in nubibus cum Christo occurrent [16]. » Tales igitur tum compellans inclámabit oratio: *Illuminare, Jerusalem*, vel, ut cæteris placet : *Exsurge, illuminare.* Et vide, si non aperte ipso *exsurgendi* verbo, mortuorum resurrectionem indicarit, quam radiis suis *lux* ipsa mortuos recreans præbitura est; qui postquam excitati fuerint, ejus *gloriam* intuituri sint. Quo factum est, ut statim *gloriam Domini in eam apparuisse* adjiceret, novam Dei civitatem, quæ sola per Christum *illuminatur*, intelligens. Impiis enim reconduntur *tenebræ* : quod ut significaret, iis ipsis *terram* quidem *opertam fore, et gentes caligine* dixit : sed in Jerusalem, secundum alios, *exoriturum esse Dominum.* Decet enim *luminis* ortu eos primum illustrari, qui Unigenitum Dei Patris *gloriam* nuncupatum, contemplaturi **683** sunt : cum in ipso, et per ipsum, et cum ipso glorificetur. Cum enim Filium videmus, Patris majestatem *et gloriam* intuemur, qui dixit: « Pater, glorifica Filium tuum, ut et Filius tuus glorificet te [16]. »

Verum quod habet Isaias : *Ecce tenebræ operient terram, et caligo super gentes, et gloria Domini in te videbitur* ; ad primum adventum referentes nonnulli, non tanquam Christo terris illucente, *tenebræ gentes operturæ sint*, quas esse *illuminatas* constat, dici arbitrantur : sed quod hic futurum dicitur, esse jam significari ; id est, *operire.* Quo enim tempore Israelitis primum illuxit Christus, *tenebris* adhuc *gentes* offundebantur ; cum nondum ad eos gratia pervenisset, sed suam ipse Judæis *gloriam* patrandis miraculis demonstraret. Sunt præterea nonnulli, qui quod *Et caligo super gentes* Isaias dixit, ad tempora referant, quibus justa pati hostes contigit. *Ambulabunt* vero *reges*, ait, *in lumine tuo, et gentes in splendore tuo :* ut *gentium* vocationem a Judæorum incredulitate et pertinacia profectam esse ostenderet. Intelligendum est autem duo eorum, qui salvantur, genera reperiri. Alterum quidem piorum apud Judæos Deique amantium ; qui fide perfecti, promissiones minime adepti sunt ; cum Deus præstantius aliquid de nobis prævideret, ut sine nobis minime consummarentur. Qui item in mortis regionibus immorantes Christi adventum exspectarunt. Ideoque, cum ad eum misisset Joannes quæsivit, illene esset, qui veniret, an alium deceret exspectare [17]. Qui denique de Christi ad se adventu commoti : *Exsurge* istud et *illuminare, quia venit lumen tuum*, id est, quod

Τῶν δὲ ἀνακαλουμένων εἰς τὸν νέον αἰῶνα, καθ' ὃν οὐκ ἔσονται φωστῆρες σωματικοὶ, Χριστοῦ τοῦ τῆς δικαιοσύνης Ἡλίου πρὸς φωτισμὸν ἐπαρκοῦντος· ὅτε, κατὰ τὸν ἱερώτατον Παῦλον, « Οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτοι, οἱ δὲ περιλειπόμενοι ἐν νεφέλαις ἁπαντῶντες ἔσονται σὺν Χριστῷ. » Τοῖς οὖν τοιούτοις τότε προσφωνῶν ὁ λόγος ἐρεῖ· *Φωτίζου, Ἱερουσαλήμ*· ἢ κατὰ τοὺς ἄλλους· *Ἀνάστηθι, φωτίσθητι.* Καὶ ὅρα εἰ μὴ σαφῶς διὰ τοῦ *ἀνάστηθι*, τὴν ἐκ νεκρῶν ἀνάστασιν ἔδειξεν, ἣν ποιήσει τὸ *φῶς* ἀκτῖσιν ἰδίαις ἀναζωπυροῦν τοὺς νεκρούς, οἳ καὶ ἀναστάντες ὄψονται *τὴν δόξαν* αὐτοῦ. Διὸ νῦν ἐπάγει· *Καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν*· δηλαδὴ τὴν νέαν τοῦ Θεοῦ πόλιν, ἣν *φωτίζει* μόνη Χριστός. Τοῖς γὰρ ἀσεβέσι *σκότος* ἀπόκειται, ὃ δηλῶν φησιν· *Ἰδοὺ σκότος καλύψει τὴν γῆν, καὶ γνόφος ἐπ' ἔθνη. Ἐπὶ δὲ σὲ ἀνατελεῖ Κύριος*, κατὰ τοὺς λοιπούς. Δεῖ γὰρ πρῶτον *φωτὸς* ἀνατολῆς τοῖς μέλλουσι θεωροῖς γενέσθαι τῆς τοῦ Μονογενοῦς τοῦ Θεοῦ *δύξης*, ὃς δόξα λέγεται τοῦ Πατέρος. Ἐν αὐτῷ γὰρ, καὶ δι' αὐτοῦ, καὶ σὺν αὐτῷ δοξάζεται. Ὁρῶντες γὰρ τὸν Υἱὸν, ὁρῶμεν τὴν μεγαλειότητα, *καὶ δύξαν* τοῦ Πατέρος, ὃς γέ φησι· « Πάτερ, δόξασόν σου τὸν Υἱὸν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε. »

Τὸ δέ· *Ἰδοὺ σκότος καὶ γνόφος καλύψει γῆν* [a] *ἐπ' ἔθνη· ἐπὶ δὲ σὲ φανήσεται Κύριος*· ἐπὶ τῆς πρώτης ἐκλαβόντες παρουσίας τινὲς, οὐχ ὡς μελλόντων φασὶ *τῶν ἐθνῶν σκοτισθήσεσθαι*, τῷ κόσμῳ λάμψαντος τοῦ Χριστοῦ. *Πεφώτισται* γάρ. Ἀλλ' ὁ μέλλων ἐνταῦθα χρόνος τὸν *ἐνεστῶτα* δηλοῖ, τοῦτ' ἔστι καλύπτει. Χριστοῦ γὰρ πρώτοις τοῖς ἐξ Ἰσραὴλ ἐπιλάμψαντος, ἔτι *τὰ ἔθνη σκότῳ* κεκράτητο, πρὶν ἐπ' αὐτὰ μεταστῆναι τὴν χάριν. Τότε γὰρ Ἰουδαίοις τὴν οἰκείαν θαυματουργῶν ἐπεδείκνυτο *δύξαν*. Τινὲς δὲ τὸ, *γνόφος ἐπ' ἔθνη*, φασὶν ὅτε πάσχουσιν οἱ ἐχθροὶ τὰ δίκαια. *Πορεύσονται* δὲ, φησὶ, *βασιλεῖς τῷ φωτί σου, καὶ ἔθνη τῇ λαμπρότητί σου*, τὴν κλῆσιν δηλῶν *τῶν ἐθνῶν* ἐκ τῆς ἐκείνων ἀπειθείας γεγενημένην. Δύο δὲ νοήσομεν τάγματα σωζομένων· τῶν τε παρ' Ἰουδαίοις, θεοφιλῶν, οἳ διὰ πίστεως τελειωθέντες οὐκ ἐκομίσαντο τὰς ἐπαγγελίας, τοῦ Θεοῦ κρεῖττόν τι περὶ ἡμῶν προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν· οἳ καὶ τοῖς τοῦ θανάτου χωρίοις ἐνδιέτριβον τὴν παρουσίαν Χριστοῦ περιμένοντες. Διὸ πέμψας Ἰωάννης ἠρώτα· « Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν ; » οὓς εὐαγγελιζόμενος τὴν εἰς αὐτοὺς τοῦ Χριστοῦ κάθοδον, φησίν· *Ἀνάστηθι, φωτίσθητι. Ἦλθεν* γὰρ *τὸ φῶς σου*, τοῦτ' ἔστιν, ὃ προσεδόκας. Τούτων οὖν τὸ πρῶτον τάγμα. Δεύτερον δὲ, τὸ τῆς *ἐξ ἐθνῶν* Ἐκκλησίας, ὃ δὴ συνῆψεν ὁ Παῦλος τῷ πρώτῳ λέγων· « Ἄρ' οὖν οὐκ ἔτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται

[15] Malach. IV, 2. [16] I Thess. IV, 15, 16. [16] Joan. XVII, 1. [17] Matth. XI, 3.

VARIÆ LECTIONES.

[a] γρ καλύψει γῆν, καὶ γνόφος.

Digitized by Google

τῶν ἁγίων,» καὶ τὰ ἑπὶ τούτοις. Ἐν οἷς ἔστιν «εἶναι A τὰ ἔθνη συγκληρονόμα, καὶ σύσσωμα, καὶ συμμέτοχα τῆς ἐπαγγελίας ἐν Χριστῷ. »

exspectabas, audiunt. Atque hic quidem eorum primus ordo fuerit. Sequitur vero et alter *ex gentium* Ecclesiis conflatus, quem priori etiam conjunxit Apostolus, ubi jam non esse hospites et advenas, sed concives sanctorum [18], illaque quæ sequuntur, colligit : in quibus etiam gentes esse cohæredes, et concorporales, 684 et comparticipes in Christo [19] significatur.

Εἰκότως οὖν εὐαγγελισάμενος νῦν τῷ πρώτῳ τάγματι ἐπῆνεγκε· *Καὶ πορεύσονται ἔθνη τῷ φωτί σου*, δεικνὺς κοινὸν ἀμφοτέροις τὸ φῶς τοῖς πρὸ τῆς παρουσίας, καὶ ὕστερον, καὶ *τὴν λαμπρότητα*, ἣν ἡ ῥύπου παντὸς ἀπόσμηξις ἀπεργάζεται. Ταύτῃ γὰρ καὶ *οἱ τῶν ἐθνῶν* χρήσονται *βασιλεῖς*, καθαιρόμενοι τῇ τῶν θείων μυστηρίων δυνάμει, ὃ δὴ καθ' ἡμᾶς διὰ τῶν ἔργων ὁρᾶται. Εἶτα ἐπειδὴ *ἐθνῶν* ἐμνημόνευσε, *καὶ βασιλέων* ἐθνῶν, ἀκολούθως τὴν προτέραν τοῦ Θεοῦ πόλιν διδάσκει πάντας τοὺς ἐξ *ἐθνῶν* προσιόντας τῷ θεοσεβεῖ πολιτεύματι B οἰκεῖα *τέκνα* ἡγεῖσθαι λέγων· *Ἴδε συνηγμένα τὰ τέκνα σου*, οὓς καὶ φησιν *ἐπ' ὤμων ἀρθήσεσθαι*. Διὸ πάντες οἱ *ἐξ ἐθνῶν* πεπιστευκότες ἐπαγγελίαν εἰλήφασιν εἰς κόλπους Ἀβραὰμ ἀναπαύσασθαι. Καὶ πολλαχοῦ δὲ *θυγάτηρ* Ἱερουσαλὴμ, καὶ Σιὼν, ἡ ἐξ *ἐθνῶν* Ἐκκλησία χρηματίζει, ὡς ἐν τῷ, « Χαῖρε σφόδρα, θυγάτηρ Σιών. Κήρυσσε, θυγάτηρ Ἱερουσαλήμ. Ἰδοὺ ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος, καὶ πορεύσονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον. » Τὸ δὲ *πόρρωθεν ἥξειν*, παρίστησιν ὡς ἢ μὲν *πόρρω* που τῆς βασιλείας τοῦ Ἰσραὴλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας. « Ἀλλ' ὑμεῖς, φησὶν, οἱ ποτε μακρὰν ὄντες, ἐγγὺς ἐγενήθητε. » Ὡς γὰρ ὁ Παῦλός φησιν· « Οὐ πάντες οἱ ἐξ Ἰσραὴλ, C οὗτοι Ἰσραήλ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. » Καὶ πρὸς Ἀβραὰμ δὲ ἐῤῥέθη· Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε. Πρὸς ἃ τις προφήτης φησί· « Μνήσθητε, οἱ μακρὰν τοῦ Κυρίου, καὶ Ἱερουσαλὴμ ἀναβήτω ἐπὶ τὴν καρδίαν ὑμῶν. » Ἃ δὴ καὶ πεισθέντα, κατὰ τὸν Ἡσαΐαν, φασί· « Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. » Ἀλλ', *ἰδοὺ ἥκασι*, φησὶ, τοῦτ' ἔστιν, οὐκ εἰς μακρὰν ἡ κλῆσις αὐτῶν. Δραμοῦνται γὰρ ὥσπερ κατὰ πόδα τῶν εὐαγγελικῶν κηρυγμάτων, δίχα πόνου παντός. *Ἐπ' ὤμων* γὰρ *ἀρθήσονται*, οἷα δὴ βρέφη ταῖς τῶν μυσταγωγῶν παιδαγωγίαις χειραγωγούμενοι. Γάλα γὰρ ποτίζονται κατ' ἀρχὰς, κατὰ βραχὺ πρὸς μέτρον ἡλικίας D ἀναβαίνοντες τέλειον ὅσοι τῆς διὰ Πνεύματος ἀναγεννήσεως ἔτυχον. Τοιγαροῦν ὁ Παῦλος· « Ὡς ἂν τις τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, » φησίν.

Non immerito igitur, posteaquam priores allocutus est, *ambulaturas et gentes in lumine suo* nunc adjungit, ut commune *lumen* utrisque ante adventum, et deinceps, communemque *splendorem* quem sordium omnium efficiat abstersio, esse demonstret. Ea enim ipsi etiam *gentium reges* utentur, cum ipsos divinorum mysteriorum virtute lustrari, quod sæculo nostro reipsa factum est, contigerit. Quoniam deinde *gentium* meminit, *regumque* earum ; priorem deinceps Dei civitatem omnes eos de *gentibus*, qui sanctum et pium vitæ institutum amplectentur, *filios* ejus haberi docet ; cum *congregatos filios ejus videre* præcipit ; quod etiam *humeris sublatum iri* adjungit : unde omnes, qui de *gentium* numero crediderunt, in Abrahæ sinu quietem se habituros, promissionem acceperunt. Persæpe vero et *filiam* Jerusalem, et Sionem, ipsam *gentium* Ecclesiam nuncupari reperias : ut hoc loco : « Gaude vehementer, filia Sion ; jubila, filia Jerusalem. Ecce venio, et habitabo in medio tui, dicit Dominus : et venient gentes multæ ad Dominum [20]. » Quod autem *de longe venire*, dixit, longe nos aliquando ab Israelis regno abfuisse, et a testamentorum promissione peregrinos fuisse significat. « Sed vos, inquit, qui aliquando eratis longe, nunc facti estis prope [21]. » — « Non enim, inquit Apostolus, omnes qui sunt de Israel, ii sunt Israel : sed qui sunt filii promissionis, in semen ipsi reputantur [22]. » Sunt vero et ad Abrahamum nonnulla, quibus eumdem gentium patrem fieri voluit Dominus : ad quæ cum respiceret propheta quidam, eos, qui longe abessent, Domini meminisse, et Jerusalem in corda sua inferre præcepit [23]. » Quibus quia paruerunt, illa jam Isaiæ usurpant : « Venite, ascendamus in montem Domini, et in domum Dei Jacob. Et annuntiabit viam ejus, in eaque ambulabimus [24]. » Imo *Ecce venerunt*, inquit ; tanquam non procul abesse eorum vocationem significet. Sequentur enim, tanquam e vestigio 685 evangelicæ prædicationis, nullo labore, nulloque negotio : quia *humeris portabuntur*, tanquam infantes aliqui ab initiatoribus in sacrorum penetralia manu deducti. Lac enim bibunt primum, brevi deinceps ad mensuram ætatis perfectam ascendentes quotquot spiritus regenerationem adepti sunt. Quo factum est, ut tanquam nutrix, quæ filios suos foveat, Apostolus dixerit [25].

Ἐφ' οἷς λέγει· *Τότε ὄψει, καὶ χαρήσῃ*. Καὶ πῶς οὐ μέλλει μήτηρ περὶ *τέκνοις* σωζομένοις *εὐφραίνεσθαι;* Τὸ δὲ *φοβηθήσῃ*, παρὰ μὲν τοῖς λοιποῖς οὐκ ἀμφέρεται. Σημαίνει δὲ τὸ *ἐκστήσῃ*, καὶ θαυμάσεις.

Sequitur deinde : *Tunc videbis, et gaudebis.* Qui enim matrem *gaudere* non contingat, si salvari *filios* suos videat ? Sed non est ignorandum apud alios *timebis* verbum non reperiri : idemque quod

[18] Ephes. II, 19. [19] Ephes. III, 6. [20] Soph. III, 14 ; Zachar. IX, 9. [21] Ephes. II, 13. [22] Rom. IX, 7, 8. [23] Jerem. L, 50. [24] Isa. II, 3. [25] I Thess. II, 7.

Digitized by Google

obstupescere et admirari significare, quale est illud prophetæ Habacum : « Domine, audivi auditionem tuam, et timui [26]. » Sed quænam ista fuit admirandi occasio? Quoniam, adjicit : *Transferentur in te divitiæ maris.* Vel ut Symmacho placet : *Cum ad te conversa fuerit multitudo maris, et potestas gentium;* in quibus, cum *divitiis, multitudineque maris* eorum ingentem numerum comparat, qui salutem adepturi sunt. Intelligas vero per *potestatem* sive *opes gentium*, vel eos, quorum est inter *gentes* aliqua *potestas;* vel eos etiam qui Deo, vitæ ratione et probitate, firmiter adhærentes, omnia posse se in Christo, qui vires suggerit, valent affirmare [27]. *Gaudebis* porro, inquit, propter imperfectiorum, minusque rationi parentium, id est *camelorum greges;* qui *aurum et thus* tibi *sunt allaturi :* qua ratione divites et opulentos in Ecclesia significavit. Nam et Salvator ipse, eum, qui *dives* sit, *camelo* comparavit ; cum facilius esse camelum per foramen acus transire dixit, quam divitem in regnum cœlorum ingredi : sed tamen quod hominibus fieri non posse videtur, esse Deo perfacile [28]. Quibus verbis et Jerusalem ipsam commoveri contigit, cum angusta et stricta via, tanquam per foramen acus, vitam æternam adiri; cum Deo munera ad animæ redemptionem offerri vidit. Est enim quod anima ad captivitatis suæ redemptionem **686** exsolvit, propriarum ipsius *divitiarum* nomine censendum. Est porro *Sabba*, gens Æthiopica : *Gepha* autem et *Madiam* barbaræ quoque regiones *camelorum* fecunditate commendatæ; quo factum est, ut eorum imagine prophetæ uterentur.

Quanquam tamen ratione præditas quasdam ejusmodi *camelos* fuisse planum sit. Ait enim : *Et operient te cameli Madiam et Gepha. Omnes de Subba venient, ferentes aurum, et thus ferent; et salutare Domini annuntiabunt.* Qui enim *sunt cameli salutare Domini annuntiaturi?* Homines igitur illi sint oportet qui *thus* quidem ipsum, id est, spiritualem divinitatis fragrantiam ; *aurum* autem, id est corporeum rerum affluentiam et copiam laturi sunt. Quod igitur admirabile, præterque opinionem erat, ut, quæ jumentorum ingenium referunt, divitum animæ, *camelis* ipsis, propter assiduum bajulandi usum, propter fecunditatem, propter animalis etiam pravitatem comparatæ, transmutarentur : ut rursum propter eximiam utilitatem *salutare Domini annuntiarent :* ut denique *oves Cedar*, id est, moderatiores et simpliciores, usuque rationis minime destitutæ mentes, *congregarentur;* idipsum jam factum esse affirmat. Tale est et illud : « Ite ad oves quæ perierunt domus Israel [29]. » Et illud etiam : « Oves meæ vocem meam audiunt [30]. » Et apud Ezechielem; cum, « Ecce ego quæram oves meas [31], » et quæ deinceps, dixisset, adjecit : « Et scient quia ego sum Dominus Deus eorum, ipsique populus meus domus Israel, dicit Dominus. Et vos oves meæ, et oves gregis mei homines estis, et ego

A Κατὰ τὸν Ἀββακοὺμ εἰπόντα· « Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. » Τίς δὲ τοῦ θαυμάζειν ἡ πρόφασις; *Μεταβαλεῖ γὰρ εἰς σὲ πλοῦτος θαλάσσης.* Ὁ δὲ Σύμμαχος· *Ὅταν ἐπιστραφῇ ἐπὶ σὲ τὸ πλῆθος τῆς θαλάσσης, καὶ ἡ δύναμις τῶν ἐθνῶν.* Ὁ δὲ λόγος τὴν πολυπληθίαν τῶν σωζομένων, *πλούτῳ καὶ πλήθει θαλάσσης* ἀπείκασε. *Δυνάμεις* δὲ *ἐθνῶν* ἢ οἱ *ἐν αὐτοῖς δυνατοί*, ἢ οἱ τοῦ κατὰ Θεὸν βίου νεανικῶς ἀντεχόμενοι, ὡς λέγειν· « Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. » *Χαρήσῃ* δὲ, φησὶ, καὶ ἐπὶ τῶν ἀτελεστέρων καὶ ἀλογωτέρων ταῖς ἀγέλαις, οὓς *καμήλοις* ἀπείκασεν, Οἱ δή σοι *χρυσίον καὶ λίβανον οἴσουσι*, τοὺς ἐν Ἐκκλησίᾳ πλουσίους δηλῶν. Καὶ ὁ Σωτὴρ γὰρ *καμήλῳ* παρεικάζει *τὸν πλούσιον*, εὐκοπώτερον εἶναι λέγων B κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἀλλὰ γὰρ τὸ παρ' ἀνθρώποις ἀδύνατον, παρὰ Θεῷ δυνατόν. Ἐφ' ᾧ καὶ Ἱερουσαλὴμ ἐξέστη διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ βλέπουσα τοὺς εἰσιόντας εἰς τὴν αἰώνιον ζωὴν, ὡς διὰ τρυμαλιᾶς ῥαφίδος, δῶρα φέροντας Θεῷ λύτρα τῆς ἰδίας ψυχῆς. Λύτρον γὰρ ψυχῆς ὁ ἴδιος *πλοῦτος*. *Σαβᾶ* [t] δὲ ἔθνος Αἰθιοπικόν. Καὶ *Γεφᾶ* δὲ καὶ *Μαδιὰμ* ὁμοίως βάρβαρα, γονίμους ἔχοντα *καμήλων* χώρας. Διὸ δὴ τῇ τούτων κέχρηται ὁ λόγος εἰκόνι.

Ὅτι δὲ λογικαί τινες ἦσαν αἱ τοιαίδε *κάμηλοι*, δῆλον. Φησὶ γάρ· *Καὶ καλύψουσί σε κάμηλοι Μαδιὰμ, καὶ Γεφᾶ, πάντες ἐκ Σαββᾶ ἥξουσι. Φέροντες χρυσίον καὶ λίβανον οἴσουσι, καὶ τὸ σωτήριον Κυρίου εὐαγγελιοῦνται.* Πῶς γὰρ *καμήλου* [u] *τὸ σωτήριον εὐαγγελίζονται τοῦ Κυρίου*, Ἄνδρες οὖν αὐταὶ, φέρουσαι *λίβανον* μὲν, τὴν τῆς θεολογίας πνευματικὴν εὐωδίαν· *χρυσὸν* δὲ, τὴν σωματικὴν εὐπορίαν. Τὸ οὖν παράδοξον, τὸ μεταβληθήσεσθαι τὰς κτηνώδεις τῶν πλουσίων ψυχὰς, *καμήλοις* ἀπεικασμένας διὰ τὸ ἀχθοφόρον, καὶ πολύγονον, καὶ σκολιὸν τοῦ ζώου· καὶ δι' ὑπερβάλλουσαν ὠφέλειαν *εὐαγγελίζεσθαι τὸ σωτήριον Κυρίου*· ἔτι δὲ καὶ τὰ *πρόβατα Κηδὰρ* φησι *συναχθήσεσθαι*, τὰς ἀφελεστέρας λέγων ψυχὰς λογικάς. Τοιοῦτον τό· « Πορεύεσθε πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. » Καὶ τό· « Τὰ ἐμὰ πρόβατα τῆς φωνῆς τῆς ἐμῆς ἀκούει. » Καὶ ἐν Ἰεζεκιὴλ δέ φησιν· « Ἰδοὺ ἐγὼ ἐκζητήσω τὰ πρόβατά μου, » καὶ τὰ ἑξῆς εἰπὼν ἐπιφέρει· « Καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς αὐτῶν, καὶ αὐτοὶ λαός μου οἶκος Ἰσραὴλ, λέγει Κύριος. Καὶ ὑμεῖς *πρόβατά* μου, καὶ *πρόβατα* ποιμνίου ἀνθρωποί ἐστε, καὶ ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν. » Ταῦτα μὲν οὖν [v] Ἰσραὴλ, ἀλλόφυλα δὲ *πρόβατα* νῦν φησι *συναχθήσεσθαι τὰ Κηδὰρ, καὶ κριοὺς Ναβαιώθ. Κηδὰρ* δὲ μεθερμηνεύεται *σκοτα-*

C

D

[26] Habac. III, 1. [27] Philipp. IV, 13. [28] Matth. XIX, 23 26. [29] Matth. X, 6. [30] Joan. X, 16. [31] Ezech. XXXIV, 11.

VARIÆ LECTIONES.

[t] γρ. Σαββᾶ. [u] γρ. κάμηλοι. [v] lat. περὶ τοῦ.

Digitized by Google

σμός. Λέγεται δὲ ἀμφὶ τὴν ἔρημον εἶναι τῶν Σαρακηνῶν. Καὶ *Ναβεὼθ* ἑτέρα χώρα τοῦ Ἰσραὴλ ἀλλοτρία. Δηλοῦνται δὲ διὰ τῶν *κριῶν* οἱ ἀρχικώτατοι τῶν ἐξ ἐθνῶν ἐπιστρεφόντων, οἳ καὶ νῦν δῶρα *προσφέρουσιν*, ἀφιεροῦντες ἑαυτοὺς τῷ Θεῷ, καὶ τῇ τοῦ θυσιαστηρίου προσεδρεύοντες λειτουργίᾳ, δι' ὧν ἡ τοῦ Θεοῦ *δοξάζεται* Ἐκκλησία.

A Dominus Deus vester [32]. Atque hæc quidem de Israele sunt intelligenda. Jam vero *oves* alienigenas *Cedar* nimirum, ipsosque *arietes Nabeoth congregatum iri* affirmat. Significat autem *Cedar* idem plane, ac si *tenebras* dicas : estque ad solitudines Saracenorum collocata regio. Est rursus et *Nabeoth* alia regio sub Israele **687** aliena. Significantur porro *arietum* nomine, gentium imperatores maximi; qui conversi jam dona *offerunt*, seipsos Deo consecrantes, et altari in ejus ministerium astantes; per quos ipsa *gloriam* Dei adipiscitur Ecclesia.

Τινὲς δὲ τὸ, *Κάμηλοι ἐπὶ καμήλων*, φασὶν, *ἥξουσιν*, ἃ ἅπερ ἔχουσι προσκομίζοντες, καὶ τοὺς [x] κατὰ χεῖρα τιμῶντες Θεόν· ἢ ὅτι οὐ καθ' ἕνα ἥξουσιν, ἀλλ' *ἀγεληδὸν* καρποφοροῦντες εἰς δόξαν Θεοῦ, ἥγουν τὴν ἐξ ἔργων ἀγαθῶν εὐοσμίαν, καὶ *πλοῦτον πνευματικόν*. Ἐξ ὧν τινες ἔξιν εὐαγγελικὴν ἐσχηκότες προέστησαν καὶ λαῶν, *εὐαγγελιζόμενοι τὸ σωτήριον Κυρίου*. Ἥξουσι δὲ, φησὶ, *καὶ πρόβατα Κηδὰρ, καὶ κριοὶ Ναβεώθ*. Τοῦτ' ἔστι, δεκταὶ καὶ τούτων αἱ θυσίαι γενήσονται προσιόντων διὰ πίστεως. Εἴποις δ' ἂν, φησὶ, *πρόβατα καὶ κριοὺς*, ἄνδρας βρίθοντας καλοῖς, καὶ ἐπιείκειαν ἀσπαζομένους, δι' ὧν ὁ *οἶκος δοξάζεται τοῦ Θεοῦ*, οὐ διὰ καπνοῦ καὶ αἱμάτων, ὡς ὁ πάλαι νεὼς, ἀλλὰ διὰ λατρείας πνευματικῆς. Τούτου δὲ μνησθεὶς τοῦ ῥητοῦ καὶ ὁ Σωτὴρ ἔφασκεν· « Ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν. » Ὅτε τοίνυν *οἶκος γέγονε προσευχῆς*, τότε *δεδόξασται*. Ἐπίτηδες δὲ ἡ Γραφὴ, ὡς νηπιώδεσι, τοῖς ἐξ Ἰσραὴλ διαλεγομένη, ἐκ τῶν αὐτοῖς συνήθων τὰς ἐπαγγελίας παρέχεται μετὰ τοῦ [σωματικοῦ] δηλοῦν τι καὶ νοητόν. Περὶ πολλοῦ γὰρ ἦν αὐτοῖς ἀλλόφυλα *ἔθνη* δωροφοροῦντα θεάσασθαι. Θέλγει τοίνυν αὐτοὺς συμψελλιζομένη τὰ φίλα. Καὶ συνήθη γάρ, ὡς δὴ παισὶν, ἐπαγγέλλεται, δι' ὧν ἀνέξῃ [y] προτρεπομένη πρὸς θεοσέβειαν, ὡς πρὸς διδασκαλίαν τοὺς παῖδας εἰώθαμεν. Ἴσως δ' ἂν αὐτοῖς ἀπήντηκε καὶ σωματικῶς, εἰ τὸν Χριστὸν παρεδέξανεο. Τοιγαροῦν καὶ οὕτω τινὲς ἀπέθωκαν· Ἀνάλαβέ σου τὸ πρότερον *φῶς*, *Ἰερουσαλὴμ*, ὃ διὰ ῥᾳθυμίας ἀπέσβεσας, καὶ ᾧ κατ' ἐξαίρετον ἐτιμήθης τῶν ἄλλων *ἐσκοτισμένων*, ὡς ἂν *ἔθνεσι καὶ βασιλεῦσι* θεοσεβείας γένῃ παράδειγμα, σοῦ δὲ μὴ βουλομένης *ἐπὶ τὰ ἔθνη τὸ φῶς τοῦ Χριστοῦ* μεταβῆσαι. Τὸ σὸν οὖν ὄμμα, φησὶν, ἀνάτεινον πρὸς Θεὸν, καὶ ὄψει τοὺς ἐν τῇ διασπορᾷ συνηγμένους ὑπὸ τῶν κατεχόντων δορυφορουμένους.

Non desunt vero, qui *cameli super camelos venient*, dixerint; vel, ut quæ ipsi haberent, allaturos, Deumque facilibus et promptis veneraturos esse docerent : vel, ut non sigillatim, sed *gregatim* accessuros, et in Dei gloriam fructus allaturos, id est B bonorum operum suavitatem, et *divitias spirituales* judicarent : de quorum numero fuerunt nonnulli qui habitum adepti evangelicum, populo præfuerunt, *et salutare Domini annuntiarunt*. Quod rursum *venturas et oves Cedar*, *et arietes Nabeoth* dixit; eorum, qui accessuri sunt, grata fore per fidem sacrificia significavit. Dicas porro, aiunt, *ovium*, *arietumque* nomine, viros eos intelligi; qui virtutibus onusti, mansuetudinem amplectuntur; quibus *domus Domini glorificatur* : non autem fumis et sanguinibus, ut olim templum, sed cultu plane spirituali. Hujus vero dicti et Salvator etiam meminit, cum Judæos alloquens, domum suam, domum quidem orationis vocari dixit [33-34], sed ab eis speluncam latronum factam esse. Est igitur eo tempore *glorificata*, quo *domus orationis fuit*. De C industria autem Israelitas, tanquam infantes Scriptura alloquens, per ea, quæ usitata sunt, promissiones ipsis exhibet, ut cum eo, quod corporeum est, intelligibile etiam aliquid significari demonstret. Magni enim illorum intererat, si *gentes* alienigenas dona offerre intuerentur. Eos igitur hoc loco demulcet, tanquam de jucundis rebus simul balbutire gestiat. Quæ enim ipsis usitata sunt, non aliter sane quam pueris, annuntiat, ut eos ita ad pietatem adducat : quo pacto pueros ipsos in disciplinam solemus pertrahere. Fortasse vero et ista illis corporaliter contigissent, si Christum admisissent. Sic igitur etiam nonnulli explicarunt : Resume prius *lumen Jerusalem*, quod negligentia D **688** tua exstinctum est, quoque præter eos eximie, ipsis *et regibus* pietatis exemplum præbeas. Quod si oculi aciem, inquit, ad Deum dirige; et eos, qui a quibus detinebantur, tectos et defensos intueberis.

qui *tenebris operti sunt*, honorata es, ut *gentibus* nolis, ad *gentes Christi lumen* transibit. Tui igitur dispersi erant, congregatos, ipsorumque præsidio,

Ἐπαγγέλλεται δὲ καὶ *χρυσὸν*, καὶ τὰ ἀπὸ τῶν *ἐθνῶν* τοῖς περὶ ταῦτα ἐπτοημένοις, εἰ θεοσεβεῖν ἐθέλοιεν. Καὶ ταῦτα μὲν οὕτοι. Τῇ δὲ παλαιᾷ διαλεχθεὶς *Ἰερουσαλὴμ*, τῷ θεοσεβεῖ πολιτεύματι, τῇ μητέρι τῆς νέας καὶ κατὰ Χριστὸν πολιτείας, ἐκ προσώπου νῦν αὐτῆς ἐπιφέρει τὰ μετὰ ταῦτα λεγού-

Pollicetur vero non *aurum* tantum; sed et ea etiam de *gentibus*, quæ eos in admirationem trahunt, si Dei cultum amplectantur. Atque hæc quidem illi. Cæterum postquam cum vetere *Jerusalem*, id est, cum iis, qui pium vitæ institutum secuti recentis se, et ad Christi normam compositæ ma-

[32] Ezech. xxxiv. 30, 31. [33-34] Matth. xxi, 13.

VARIÆ LECTIONES.

[x] γρ. πῶς. [y] γρ. ἀνάξῃ.

Digitized by Google

trem præbuerunt, disputavit : ex ipsius jam persona quæ postea sequuntur adjicit : *Quinam vero isti sunt? ut nubes volant.* Quod est ab Apostolo manifeste explicatum, ubi ait : « Rapiemur in nubibus in occursum Domini in aera : et ita semper cum Domino erimus [35] : » adjuncti nimirum choro illorum de priore populo, qui præclare se gesserunt; quique eos ad se *convolantes* contemplati, salvatarum *gentium* multitudinem demirantur. Putant nonnulli Ecclesiæ personam introduci, quæ magnum ad se ex omni regione credentium fieri concursum, et tanquam *convolari* miretur : quia nimirum deposita terrenarum et humilium rerum cura, non aliter, quam a mari *nubes*, procul a mundi tumultu sublimes rapiantur. Adjicit vero *columbas cum pullis;* ut divinæ promulgationis sagenam non senes modo, sed et juvenes etiam, ipsasque adeo cum matribus filias ad fidem compulisse intelligas. Cum autem miraretur Ecclesia; rei causam aperuit qui piscatus est ; cum se *insulas*, id est, insulanos, *navesque Tharsis* (quo nomine regiones Indicas Scriptura vocat; alii autem Cypri urbem esse volunt) *exspectasse* dicit; id est jugum suum admisisse. Quibus certe *gentium* concursum factum esse innuit; cum quæ apud ipsos pretiosissima erant, gentes offerrent, Christianique ideo nominarentur, quod **689** *sanctificatum* sit apud eos *nomen Domini, et glorificatus sanctus Israel.* Est vero unus et ipse, qui *Dominus* exsistens, *sanctus, et glorificatus est.* Ei igitur, non idolis, ut quondam, non materias omnino, id est, *aurum et argentum ;* sed fidem, et virtutum omnium splendorem *offerunt.* Scribitur vero etiam in Psalmis de Christo: reges eidem Tharsis et insulas esse munera oblaturos ; reges Arabum et Saba dona allaturos, ipsum denique reges terræ omnes adoraturos [36]. Quæ sane non male conveniant, si ab Ecclesia, *quinam isti sunt, qui, ut nubes volant,* postulari intelligas.

Quod si eorum verba esse admittas, qui piam olim vitæ rationem secuti sunt, ab eisdem et illud quoque fuerit, quos *se exspectasse* adjecit, ut Ecclesiam significaret; quæ promissiones in prophetis patribus factas legens, easdem exspectavit; quo factum est, ut *se eos exspectasse*, nec earum spe potiundi unquam excidisse dixerit. Significant autem *naves Tharsis* corpora ipsa, quibus animæ mortalis hujus vitæ pelagus enatarunt. Est deinde et *Tharsis* alienigenarum regio : ideoque fide carentes alienigenas, tanquam *naves Tharsis* esse Deum contriturum alicubi legimus [37]. Sed illæ quidem ibi contritæ fuerint; hic autem eos, qui sunt veteris *Jerusalem filii*, quique *de gentium* numero sese illi adjunxerunt, *navibus* ad eam *venturos esse*, id est corporibus ipsis in melius esse mutandos dicit. « Decet enim corruptibile hoc induere incorruptionem; et mortale hoc immortalitatem [38]. » *Venient* igitur corporibus ipsis virtutis operationes, *auri et*

A σης· *Τίνες οἵδε ; ὡς νεφέλαι πέτονται.* Ὁ σαφὴς ὁ Παῦλος κατέστησεν, εἰπών· « Ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα, » συναφθέντες, δηλαδὴ τῷ χορῷ τῶν ἐν τῷ πρωτέρῳ λαῷ κατωρθωκότων, οἳ καὶ θεωροῦντες τὴν πρὸς αὐτοὺς *ἀνάπτησιν*, τῶν ἐξ ἐθνῶν σωζομένων ἀποθαυμάζουσι τὸ πλῆθος. Τινὲς δὲ τῆς Ἐκκλησίας τὸ πρόσωπον εἶναί φασι θαυμαζούσης τὴν ἐξ ἁπάσης χώρας διὰ πίστεως συνδρομὴν συντόνῳ δρόμῳ χωρούντων, καὶ οἷον *ἱπταμένων* ἥγουν, ὅτι τὸ γεῶδες καὶ χθαμαλὸν ἀφέντες φρόνημα, ὡς ἐκ θαλάττης *νεφέλαι*, θορύβου πόρρω κοσμικοῦ μετέωροι γίνονται. *Περιστερὰς* δὲ λέγει *σὺν νεοσσοῖς*, ὅτι τοῦ θείου κηρύγματος ἡ σαγήνη οὐ πρεσβύτας *μόνους*, ἀλλὰ καὶ νέους, καὶ σὺν μητέρι θυγατέρας ἐπὶ τὴν πίστιν συνήγαγεν. Θαυμαζούσης δὲ τῆς Ἐκκλησίας, τὴν τοῦ πράγματος αἰτίαν ὁ σαγηνεύων φησίν· *Ἐμὲ νῆσοι ὑπέμειναν*, τοὺς νησιώτας λέγων, *καὶ πλοῖα Θαρσεῖς*. Τὰς Ἰνδικὰς δὲ χώρας Θαρσεῖς ἡ Γραφὴ καλεῖ. Λέγουσι δὲ καὶ τῆς Κύπρου πόλιν εἶναι Θαρσεῖς. Τὸ δὲ *ὑπέμειναν*, τοῦτ' ἔστι, Τὸν ἐμὸν ζυγὸν ὑπεδέξαντο, δι' ὧν δηλοῖ τὴν τῶν ἐθνῶν συνδρομὴν καρποφορούντων τὰ παρ' αὐτοῖς τιμιώτατα καὶ καλουμένων Χριστιανῶν, ἐπειδήπερ *ἅγιον γέγονε* παρ' αὐτοῖς *τὸ ὄνομα Κυρίου, ἔνδοξος δὲ ὁ ἅγιος τοῦ Ἰσραήλ*. Εἰς δὲ καὶ ὁ αὐτὸς ὑπάρχων *Κύριός τε καὶ ἅγιος, καὶ δεδοξασμένος ἐστίν*. Αὐτῷ τοίνυν, οὐ τοῖς εἰδώλοις, ὡς πάλαι, *προσφέρουσιν* οὐ πάντως τὰς ὕλας, *χρυσόν τε καὶ ἄργυρον*, ἀλλὰ πίστιν, καὶ τὴν ἐξ ἀρετῆς ἁπάσης φαιδρότητα. Φησὶ δὲ καὶ ἐν Ψαλμοῖς περὶ Χριστοῦ, ὅτι « Βασιλεῖς Θαρσεῖς καὶ νῆσοι δῶρα προσάξουσι, βασιλεῖς Ἀράβων καὶ Σαβὰ δῶρα προσοίσουσι, καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς. » Ταῦτα μὲν, εἰ ἀπὸ τῆς Ἐκκλησίας λέγοιτο τὸ, *Τίνες οἵδε; ὡς νεφέλαι πέτονται.*

Εἰ δὲ ἀπὸ τοῦ πάλαι θεοσεβοῦς πολιτεύματος, ἐξ αὐτοῦ ἂν εἴη καὶ τὸ, *Ἐμὲ νῆσοι ὑπέμειναν*, τοῦτ' ἔστιν, αἱ Ἐκκλησίαι· ἐπείπερ τὰς ἐν προφήταις ἐπαγγελίας πρὸς τοὺς Ἥτερας ἀναγινώσκουσαι, προσεδόκων αὐτάς. *Ὑπέμειναν* οὖν *με*, τῶν αὐτῶν προσδοκῶσαι τυχεῖν. *Πλοῖα* δὲ *Θαρσεῖς* αἰνίττεται τὰ σώματα, οἷς ἐπενήξαντο κατὰ τὸν θνητὸν βίον αἱ ψυχαί. Ἀλλοφύλων δὲ χώρα *Θαρσεῖς*. Διὸ περὶ τῶν ἀλλοφύλων ἀπίστων εἴρηταί που· « Πνεύματι βιαίῳ συντρίψεις *πλοῖα Θαρσεῖς*. » Ἀλλ' ἐκεῖνα μὲν συνετρίβετο. Ἐνταῦθα δὲ τὰ *τέκνα* τῆς παλαιᾶς *Ἱερουσαλὴμ*, τὰ *ἐξ ἐθνῶν* αὐτῇ προσγενόμενα αὐτοῖς *πλοίοις* μακρόθεν πρὸς αὐτὴν ἧξειν λέγεται· τοῦτ' ἔστιν, αὐτοῖς σώμασιν ἐπὶ τὸ κρεῖττον μεταβληθεῖσι. « Δεῖ γὰρ τὸ φθαρτὸν ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν ἐνδύσασθαι ἀθανασίαν. » *Ἥξουσι* τοίνυν αὐτοῖς σώμασι τὰς κατ' ἀρετὴν πράξεις, *ἄργυρον καὶ χρυσὸν* ὀνομαζομένας, *ἐπαγόμενοι*. Τοῦτο γὰρ ὁ Παῦλος νοῶν φησιν· « Εἰ δέ τις ἐποικοδομεῖ

[35] I Thess. IV, 16. [36] Psal. LXXI, 10, 11. [37] Psal. XLVII, 8. [38] I Cor XV, 53.

ἐπὶ τὸν θεμέλιον χρυσὸν, ἄργυρον, λίθους τιμίους. » Τινὲς δὲ ὡς ἀπὸ τοῦ προφήτου τὰ μέλλοντα θεωρήσαντος ἔλαβον τὸ, *Τίνες*. Οἱ δὲ θαυμάζοντος τὸ πλῆθος τῶν ἐπαναγόντων ἐπὶ *τὴν Ἱερουσαλήμ. Νέφεσι* γὰρ πεπυκνωμένοις, καὶ *περιστεραῖς σὺν νεοσσοῖς* ἀπεικάζει τούτων τὸ πλῆθος. Ὅμοιον δὲ τῷ ἤδη ῥηθέντι· *Οὗτοι δέ μοι ποῦ ἦσαν*; Ὃ τοίνυν ἔβλεπεν ὁ προφήτης φησίν. Ὃ καὶ Μιχαίας ποιήσειν ἔλεγεν, μηδὲν ἀνισχόμενος πρὸς ἡδονὴν εἰπεῖν Ἀχαάβ. Ἀλλ' εἰπών· « Θεωρῶ τὸν λαὸν ἐπὶ τῶν ὀρέων, ὡσεὶ πρόβατα μὴ ἔχοντα ποιμένα· » οὕτω καὶ νῦν φησι, πάντας δ ρυφορουμένους ἤξειν, καὶ ὡς *ἐπ' ὤμων ἀγομένους* ἐπὶ τὴν Ἱερουσαλὴμ, ὡς εἰς πόλιν ἀνακειμένην Θεῷ.

A *argenti* nominibus significatas, *afferentes*. Id enim etiam Apostolus intelligit, cum ait: « Si quis autem superædificat super fundamentum, aurum; argentum, lapides pretiosos [39]. » Sunt vero qui prophetam, tanquam quæ futura essent intueretur, *quinam* ii essent, quæsivisse. Sunt etiam, qui *Jerusalem* repetentium multitudinem admirari **690** eumdem existiment. *Nubibus* enim densis et confertis, *columbæ* denique *cum pullis*, eorum multitudinem comparavit. Est vero huic non dissimile, quod jam usurpavit; cum, *Ubinam essent isti*, interrogavit. Quod igitur propheta vidit, extulit. Idemque et Michæas ipse, cum nihil ad Achabi libidinem loqui posset, facturum se dixit, his verbis: « Video populum in montibus, tanquam oves, quæ pastorem non habent [40]. » Sic igitur omnes præsidio tectos *esse venturos*, velutique *humeris* in Hierosolymorum urbem, tanquam Deo consecratam civitatem, *delatum iri* hoc etiam loco significat.

Πλοῖα δὲ *Θαρσεῖς* καλεῖ, τοὺς ἀπὸ τῆς *Θαρσεῖς* ἐρχομένους ἐν Ἰνδίᾳ κειμένης ἧς καὶ ἐν Ἰωνίᾳ [a] μέμνηται. Ταῦτα δὲ ἔσται τῇ *Ἱερουσαλὴμ* οὐ δι' αὐτὴν, ἀλλὰ *διὰ* τὸν Θεὸν, ὃς ἔγνω στῆσαι τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν διὰ τὴν ἑαυτοῦ μεγαλειότητα. Πρὸς τούτοις εἴρηται· *Καὶ οἰκοδομήσουσιν ἀλλογενεῖς τὰ τείχη σου*· ὃ καὶ νῦν ὁρᾶται· ἐθνικοὶ γὰρ Ἐκκλησιῶν ἡγοῦνται, ταῖς ἑαυτῶν διδασκαλίαις αὐτὰς περιφράττοντες, εἰς τὸ μὴ λόγον ἀλλότριον χώραν ἔχειν ἐπιβουλῆς. *Καὶ βασιλεῖς* δὲ *αὐτῶν παραστήσονταί σοι*, φησί. Καὶ νῦν γ' οὖν τῶν Ῥωμαϊκῶν ταγμάτων οἱ ἄρχοντες, καὶ *τῶν βασιλέων* ὁ φόβος ἀνείργουσι τοὺς ταῖς Ἐκκλησίαις ἐπιβουλεύοντας· ἦγουν *παράστασιν* σημαίνει τὴν ὑπακοήν. Εἴκουσι γὰρ τοῖς ἱεροῖς θεσπίσμασι, καὶ τὸ τῆς Ἐκκλησίας κήρυγμα παντὸς ἀξιοῦσι λόγου. Ἔστι δὲ, φασὶ, ταῦτα καὶ καθ' ἱστορίαν εὑρεῖν, Κύρου μὲν ἀνοικοδομήσαντος Ἱερουσαλὴμ, μετ' αὐτὸν δὲ Δαρείου. Καὶ Ἀλέξανδρος δὲ τὸν ἱερὸν θεασάμενος στόλον, τὸν θυμὸν μετέβαλεν εἰς προσκύνησιν. *Διὰ* γὰρ *ὀργήν μου ἐπάταξά σε, καὶ δι' ἔλεον ἠγάπησά σε*. Καὶ γὰρ *διὰ* τὴν θεοσεβῆ ἐπαγγειλαμένην *ἐπάταξα*, πόλιν παραδοὺς πολεμίοις διὰ τὸ πλῆθος τῶν ἀσεβησάντων ἐν σοὶ, ὡς καὶ προφήτας καὶ θεοσεβεῖς ἀπολαῦσαι τῆς τῶν λοιπῶν μοχθηρίας. **691** ut prophetæ etiam ipsi ab improborum pœnis essent immunes

B Vocat autem *naves Tharsis*, eos, qui de *Tharsis* Indiæ, cujus quoque Jonas meminit [41], profecti sunt. Sunt ista deinde *Jerusalem* non *propter* ipsam, sed *propter* Deum, eventura, qui factas patribus promissiones propter suam ipsius majestatem et magnificentiam ratas esse voluit. Sequitur deinde: *Et ædificabunt alienigenæ muros tuos*: quod etiam nunc contigisse videas. Præsunt enim Ecclesiis ethnici, suaque eas doctrina et præceptis obtegunt, ne detur verbo alieno et dissentaneo insidiarum locus. Addit etiam: *Et reges eorum astabunt tibi*. Nam et hodie quoque Romanarum copiarum duces, *regumque* timor, insidias ab Ecclesiis propellunt: vel certe, cum *astandi* verbo usus est, obedituros esse significavit. Parent enim sacrosanctis oraculis; et quod concionatur Ecclesia, omni ratione venerantur et servant. C Reperias vero ista etiam secundum historiam, quo tempore Cyri Dariique mandato instaurata est Jerusalem, contigisse: Alexandrum deinde, ubi primum sacrum amictum esset intuitus, iram statim, qua fuerat accensus, in adorationem commutasse [42]. Sequitur deinceps: *Propter iram enim meam percussi te, et propter misericordiam meam dilexi te. Te* siquidem, quæ pietatis cultum pollicita fueras, *percussi*; cum civitatem hostibus ita tradidi, propter impiorum multitudinem, quibus abundabas,

Καὶ νῦν δὲ διὰ τοὺς ἐν σοὶ κατορθοῦντας, *ἠγάπησά σε, τῇ ὀργῇ* οὕτω [a] *θυμῷ* τοῦ Θεοῦ λογιζομένης, ἀλλὰ ταῖς ἐκείνων ἁμαρτίαις. Καὶ αὐτὴν γὰρ δι' ἀγαθότητα τὴν δίκην ἐπάγει Θεὸς, ἵν' ἐξ ὧν ἁμαρτόντες ἐτιμωρήθησαν, γνῶσιν οἷων ἀπολαύσουσι κατορθώσαντες. Εἰ γὰρ ὁ *ἀόργητος* τιμωρεῖται δι' ὠφέλειαν, δι' ὃ καὶ *ὀργίζεσθαι* λέγεται· πόσῳ μᾶλλον *ἐλεήσει* πηγὴ τυγχάνων ἀγαθότητος; δικαιοπραγοῦντας ἡμᾶς; Ἐπάγει δὲ δεικνὺς ὡς τῆς *ἀγάπης* αὐτοῦ καρπὸς ἡ πολλὴ ἄδεια καὶ εἰρήνη, *δι' ἣν ἀνοιχθήσονται πύλαι σου* διὰ παντός. Κατὰ μὲν οὖν τὴν ἱστορίαν, Οὐδένα, φησὶ, φοβηθήσῃ πολέμιον. Πρὸς

D Nunc autem etiam propter eos, qui tecum probitatem sectantur, *dilexi te*, *ira* ipsa, non furore Domini, sed eorum peccatis attributa. Etiam enim bonitate impulsus ultionem inducit Deus, ut ex pœnarum modo, quibus peccantes uleiscitur, quanta percepturi sint, qui recte fecerint, intelligatur. Si enim minime *iratus*, utilitatis nostræ gratia, accedit ad pœnam, propter quod etiam *irasci* dicitur: quanto magis idem, qui fons est bonitatis, cum justa operabimur, nostri *miserebitur*? Pergit vero, *amoris ipsius* fructum esse ostendens ingentem securitatem et pacem, quæ *portas ejus claudi nunquam*

[39] I Cor. III, 12. [40] III Reg. XXII, 17. [41] Jonæ I 3, IV, 2. [42] Josephus, *Antiquit. Jud.* lib. XI, cap. 8.

VARIÆ LECTIONES.

[a] γρ. Ἰωνίᾳ. [a] γρ. οὐ τῷ.

Digitized by Google

permittat. Secundum historiam igitur, nullum esse hostem pertimescendum significat. Sin autem ad sensum respicis, civitatis Dei *portas*, id est introductorias elementaresque doctrinas, iis semper, qui ad pietatem accedent, propositas fore demonstrat. Quo factum est, *ut inductum iri ad eum potentiam gentium* dixerit; id est, eos, qui omnia se posse in Christo, a quo vires suas capiant affirmare queant: inter quos eximii fuerint *reges* ii, qui cœlesti regno non indignos se præstiterint. Habent vero omnes, per Deum, ad Filii cognitionem accessum. « Nullus enim, inquit, potest ad me venire, nisi qui misit Pater, traxerit eum [43]. » Quod si historiam etiam sequeris, *et duces, et reges* ipsos Romanorum in Ecclesiam ingressos esse reperias. Adjicit deinde : *Qui non servient tibi*, Dei nimirum *civitati*, pulchram maxime et salutarem *servitutem, peribunt.* Quem enim fides non servat, perdit infidelitas. *Ad te* autem afferentur pulcherrimæ et procerissimæ arbores quæ sunt *in Libano;* qui mons est alienigenarum lignis abundans ad domorum constructionem idoneis : quorum nomine eos intelligit, qui de gentibus sæculari doctrina instructi orationis industria Ecclesiam exornant, Deique *locum et pedum ejus glorificant;* id est, Ecclesiam ipsam, quæ innumera virtutum capita magnitudine excelsa, Christumque redolentia **692** continet ac nutrit : quæ item a mundani sensus corruptione valde sunt remota ; quod *pinui cedroque* natura tributum est.

Est enim Scripturæ usitatum sanctorum multitudinem ejusmodi arboribus comparare. Quale est illud apud Davidem : « Et panis confirmat cor hominis. Saturabuntur ligna campi, cedri Libani, quas plantasti [44]. » Et apud Paulum, quo loco Dei nos agricolationem esse scribit [45]. Volunt tamen nonnulli *gentes per Libanum,* ut per Carmelum *Jerusalem*, significari. Esse enim montem hunc Samariæ ; illum autem alienigenarum. Innuit igitur, si historiam sequeris, ligna illa, quæ sunt ad instaurationem suppeditata. Sin autem ad sensum advertis ; justorum sententias, animique consensus significasse videtur. Addit præterea, eos, qui Ecclesiam olim persecutionibus *humiliarunt*, mutata jam sententia, Deum in ipsa esse *adoraturos;* quod multis certum est contigisse. Alii autem *humiliatam* quidem ideo *esse* volunt *Jerusalem*, quod in Christum contumeliosa exstiterit : sed quia servatæ sunt reliquiæ, in matrem *gentium* abivisse. Romanos enim qui ipsam *humiliarunt*, ad eorum fidem accessisse. Sequitur deinde : *Et vocaberis civitas Domini Sion.* Est enim *Dei civitas* Ecclesia ipsa, de qua gloriosa dicta esse apud Davidem legimus [46]. Placet vero nonnullis tum demum servatum iri totum Israelem significari, cum plenitudinem gentium ingressam esse contigerit [47] : tunc enim fore utriusque populi corpus unum. Cum enim *gentium*

δὲ νοῦν *πύλαι* τῆς τοῦ Θεοῦ πόλεως εἰσακτικαὶ, καὶ στοιχειώδεις διδασκαλίαι προκείμεναι διὰ παντὸς τοῖς τῇ θεοσεβείᾳ προστρέχουσι. Διόπερ εἶπεν *εἰσάγειν πρὸς σὲ δύναμιν ἐθνῶν*, τοὺς εἰπεῖν δυναμένους · « Πάντά ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ. » Ὧν οἱ ἐξαίρετοι *βασιλεῖς*, οἱ τῆς ἐπουρανίου βασιλείας ἄξιοι. Διὰ Θεοῦ δὲ πάντες ἔχουσι τὴν εἴσοδον εἰς ἐπίγνωσιν τοῦ Υἱοῦ. « Οὐδεὶς γὰρ δύναται ἐλθεῖν πρός με, φησὶν, ἐὰν μὴ ὁ Πατὴρ ὁ πέμψας ἑλκύσῃ αὐτόν. » Καὶ καθ' ἱστορίαν γε μὴν, *ἄρχοντες καὶ βασιλεῖς* Ῥωμαίων εἰς τὴν Ἐκκλησίαν ποιοῦνται τὴν εἴσοδον. *Οἱ δὲ μὴ δουλεύσαντές σοι*, φησὶ, τῇ τοῦ Θεοῦ *πόλει*, τὴν καλλίστην *δουλείαν* καὶ σωτήριον, *ἀπολοῦνται.* Ὃν γὰρ μὴ σώζει πίστις, ἀπόλλυσιν ἀπιστία. Σοὶ δὲ τὰ κάλλιστα καὶ ὑψηλότατα τῶν ἐν τῷ *Λιβάνῳ* φυτὰ κομισθήσεται. Ἀλλοφύλων δὲ τὸ ὄρος τρέφον δένδρα πρὸς οἰκοδομὴν ἐπιτήδεια. Τοιούτους νόει τοὺς ἐξ ἐθνῶν τὴν κοσμικὴν ἠσκημένους σοφίαν, οἳ κοσμοῦσι τὴν Ἐκκλησίαν τῇ τοῦ λόγου παρασκευῇ, δι' ὧν *δοξάζεται* ὁ τόπος ὁ ἅγιος τοῦ Θεοῦ, καὶ *ὁ τόπος τῶν ποδῶν αὐτοῦ*, δηλαδὴ ἡ Ἐκκλησία, ἥτις τρέφει καὶ πλείστας ὅσας κεφαλὰς ὑψοῦ τε ἠρμένας ἐξ ἀρετῶν, καὶ Χριστὸν εὐωδιαζούσας, οἳ καὶ τῆς τοῦ κοσμικοῦ φρονήματος *πόρρω* κεῖνται φθορᾶς, ὃ δὴ πρόσεστι *πεύκῃ καὶ κέδρῳ.*

Φίλον γὰρ τῇ Γραφῇ τὸ τῶν ἁγίων πλῆθος τοῖς τοιούτοις ἀπεικάζειν φυτοῖς. Φησὶ γὰρ καὶ Δαβίδ · « Καὶ ἄρτος στηρίζει καρδίαν ἀνθρώπου. Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. » Καὶ Παῦλος δὲ λέγει · « Θεοῦ γεώργιόν ἐσμεν. » Τινὲς δέ φασιν, ὡς *Λίβανον* ἡ Γραφὴ *τὰ ἔθνη* καλεῖ, ὥσπερ οὖν Κάρμηλον τὴν *Ἱερουσαλήμ.* Σαμαρείας γὰρ τὸ ὄρος, ὡς ἐκεῖνο τῶν ἀλλοφύλων. Δηλοῖ τοίνυν κατὰ μὲν ἱστορίαν, τὰ πρὸς ἀνάκτισιν χορηγηθέντα ξύλα · κατὰ δὲ νοῦν, τὰς γνώμας τῶν δικαίων. Εἶτα δηλοῖ τοὺς πάλαι τὴν Ἐκκλησίαν τοῖς διωγμοῖς *ταπεινώσαντας*, μεταβαλεῖν ἐπὶ τὸ τὸν ἐν αὐτῇ Θεὸν *προσκυνεῖν.* Πολλοὶ γὰρ τοιοῦτοι γεγόνασι. Τινὲς δέ φασιν, ὡς *τεταπείνωται* μὲν *Ἱερουσαλὴμ* εἰς Χριστὸν παροινήσασα. Ἐπειδὴ δὲ σέσωται τὸ κατάλειμμα, γέγονεν μήτηρ *ἐθνῶν.* Οἱ γὰρ *ταπεινώσαντες* ταύτην Ῥωμαῖοι, τῇ τούτων πίστει προσέδραμον. Καὶ τότε δὴ, φησὶ, *Κληθήσῃ πόλις Κυρίου Σιών. Θεοῦ* γὰρ *πόλις* ἡ Ἐκκλησία, περὶ ἧς φησιν ὁ Δαβίδ · « Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. » Τινὲς δὲ Τότε, φησὶν [b], ὅτε τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, καὶ πᾶς Ἰσραὴλ σωθήσεται. Τότε γὰρ ἓν ἐκ τῶν δύο γενήσεται σῶμα λαῶν. Μήπω γὰρ τοῦ ἐξ *ἐθνῶν* λαοῦ συναφθέντος τῷ προτέρῳ *Ἰσραὴλ*, οὐχ οἷόν τε μόνους ἐκείνους *πάντα* Ἰσραὴλ ὀνομάζεσθαι ἠκρωτηριασμένους τῷ δευτέρῳ τάγματι τοῦ νέου Ἰσραήλ. Ἄμφω δὲ τότε μιᾷ τῆς

[43] Joan. VI, 44. [44] Psal. CIII, 15, 16. [45] I Cor. III, 9. [46] Psal. LXXXVI, 3. [47] Rom. XI, 25.

VARIÆ LECTIONES.

[b] *gr.* φασίν.

Digitized by Google

παρὰ Θεῷ τεύξονται σωτηρίας. Τινὲς δὲ ἱστορικῶς ἀπέδοσαν, ὡς οὕτω διακειμένης τῆς πόλεως, οἱ εἰς αὐτὴν πλημμελήσαντες αἰσχυνθήσονται, ἐννοοῦντες ἃ ἔδρασαν. Καὶ γὰρ πρεσβυτέρων τὸν ζυγὸν ἐβάρυναν, καὶ νήπιον οὐκ ἠλέησαν, ὥστε λοιπὸν *Κυρίου πόλιν* καλεῖσθαι τὴν Ἱερουσαλήμ. Ὡς γὰρ παρῶπται δι' ἀσέβειαν, οὕτως ἐπανελθοῦσα πρὸς ἑαυτὴν ἔσται κόσμος, οὐ μόνον ἐκείνῃ τῇ γενεᾷ, ἀλλὰ καὶ ταῖς μετ' ἐκείνην. Ἤγουν (ἐπειδὴ πάσχοντος μέλους, συμπάσχει πάντα τὰ μέλη) τῶν παραβεβηκότων τῆς καλλιελαίου κλάδων ἐκκοπέντων, οἱ τότε θεοσεβεῖς *ἐγκαταλελεῖφθαι* λέγονται, *καὶ μεμισῆσθαι, μὴ ὄντος τοῦ βοηθοῦντος.*

A populus cum priore *Israelitico* nondum coivisset; non poterant adhuc soli (sti *omnium* nomine comprehendi, quibus deesset ordo recentis a priore amputatus. Sed unam uterque a Deo tunc salutem adepturus est. Quidam tamen ad historiam retulerunt, tanquam ita affecta civitate, qui in eam peccarunt, pudore tactum iri significet, cum quæ ipsi admiserint, cogitabunt. Nam et seniorum jugum presserunt, nec infantium miserti sunt, ut *Domini civitas* Jerusalem deinceps nominaretur. Ut enim in contemptum propter impietatem **693** abiit: sic, si ad se redeat, illius non solum sæculi, sed sequentis etiam ornamentum futura est. Nimirum (quia laborante membro uno, dolorem sentiunt et cætera) ubi feracis olivæ ramos, qui prævaricati sunt, exscindi contigit [68]; qui tum pietatem sectantur, *derelinqui* dicuntur, *et odio haberi; cum nemo sit qui eis auxilietur.*

Τῶν δὲ ἐκ τῆς ἀγριελαίου τὴν ἐκείνων ἀναπληρωσάντων χώραν, καὶ συναφθέντος ἑκατέρου λαοῦ, τῇ τοῦ Σωτῆρος δυνάμει συνέστη τῶν σωζομένων τὸ πλήρωμα, μία τε *πόλις* ἐξ ἀμφοῖν γέγονεν ἡ καλουμένη *Σιών*, ᾗ τελειωθείσῃ ἐπαγγέλλεται τὰ ἑξῆς. Τινὲς δέ φασι *τεταπεινῶσθαι* μὲν αὐτὴν διὰ τὸ κατὰ Χριστοῦ τόλμημα, σωθήσεσθαι δὲ τοῦτον πάλιν ἐπιγινώσκουσαν. Τὰ δ' οὖν ἐπαγόμενα· *Θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεῶν γενεαῖς.* Ὅπου γὰρ ἐλπὶς ἀφθαρσίας ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, ἀτελευτήτου τε ζωῆς, καὶ δόξης, καὶ βασιλείας, οὐρανῶν, ποίαν ἔχοι τὸ [c] κατηφές. Καὶ *θηλάσεις*, φησὶ, *γάλα ἐθνῶν.* Τὸ κοινὸν λέγει μυστήριον, καὶ τὴν στοιχειώδη διδασκαλίαν τῶν ἐν Χριστῷ διὰ πίστεως ἀναγεννωμένων. Τινὲς δὲ τοῦτό τε καὶ τὰ ἐφεξῆς τὰς ἐξ ἐθνῶν φασι καρποφορίας δηλοῦν, ἀναθήματά τε καὶ βασιλικὰ σιτηρέσια μέχρι νῦν ἐκ τῶν κρατούντων διδόμενα. Ἄλλοι δὲ βασιλέας φασὶ τοὺς τῶν μακαρισμῶν ὀξίους, οἷς ὁ Σωτὴρ οὐρανῶν *βασιλείαν* ἐπαγγέλλεται. Τινὲς δὲ καὶ καθ' ἱστορίαν τὸν *πλοῦτον* σημαίνεσθαί φασιν, ὃν *βασιλεῖς* προσῆγον, καὶ ἄρχοντες ἐν αὐτῇ τῷ Θεῷ, τῷ ταύτην ἐξελομένῳ τῶν πολεμίων, καὶ εἰς τὸ ἄρχειν αὖθις αὐτὴν καταστήσαντι. *Ὅτι ἐγὼ Κύριος ὁ σώζων σε*, φησί. Χάριτι γὰρ καὶ φιλανθρωπίᾳ σέσωσται τοῦ Ἰσραὴλ τὸ κατάλειμμα, ὡς μὴ παντελῶς τὸ ἐκ Πατέρων ἅγιον ἔθνος ἀπόληται. *Γνῶθι* δὲ, φησὶ, πρὸς τοῖς εἰρημένοις, ὡς οὐκ ἔτι *ξύλων* ἀργῶν δεήσει. (Ταῦτα γὰρ ὕλη πυρὸς) ἀλλ' οὐδὲ *λίθων*, τοῦτ' ἔστι ψυχῶν ἠλιθίων. Τὰ δὲ τούτων ἕξεις τιμιώτερα. Οἱ γὰρ *πάλαι χαλκοῖ* καὶ ἀντίτυποι ἄνδρες, καὶ τοὺς τρόπους παντὸς *σιδήρου* σκληρότεροι, μεταβληθέντες εἰς *χρυσόν* τε καὶ *ἄργυρον* ἐφαρμόσουσι τῇ σῇ κατὰ Θεὸν οἰκοδομίᾳ· οἵ τε *ξύλων* ἀναισθητότεροι, ἀντὶ *χαλκοῦ σοι καὶ σιδήρου* γενήσονται πρὸς τὴν οἰκοδομὴν συναιρόμενοι.

Sed quia qui de oleastro sunt, in locum illorum subierunt, in unumque uterque populus compulsus conjunctusque est; Salvatoris virtute constituta est eorum, qui salutem adepti sunt, plenitudo, unaque *civitas* ex ambobus, *Sion* nomine, facta est; cui jam perfectæ, quæ sequuntur deinceps, annuntiantur. Putant nonnulli ob id quidem *esse humiliatam* et afflictam, quod adversus Christum ausa est: sed esse salutem tamen, si eumdem agnoscat, adepturam. Hæc igitur ipsa sunt, quæ sequentur; quibus *eam se positurum in exsultationem sempiternam, in lætitiam generationum generationibus* affirmat. Quando enim spes est immortalitatis in Ecclesia Dei, vitæque perpetuæ, et gloriæ, regnique cœlestis, ubi jam mœstitiæ locus esse valeat? Et *suges*, addit, *lac gentium*; commune nimirum sacramentum, eorumque doctrinæ elementa, qui in Christo per fidem regenerantur. Sunt nonnulli tamen, qui ista, et quæ deinceps, ad gentium munera, ad donaria, ad regia dementa et stipendia, quibus hucusque eorum liberalitate fruitur, qui rerum potiuntur, referri arbitrentur. Alii vero per reges eos ipsos, qui beatitudinibus digni sunt, quibus *regnum* cœlorum pollicetur Christus, significari. Alii etiam secundum historiam, *divitias* illas; quas in ea *reges* et principes Deo obtulerunt, per quem est hostibus liberata, suæque potestati et imperio restituta, *Quia ego sum Dominus*, inquit, *qui salvum te feci.* Sunt enim ejus gratia et humanitate servatæ Israelis reliquiæ, ne populus ille, qui a sanctis Patribus ortus est, penitus interiret. *Scito* autem, inquit, præter ea, quæ dicta sunt, tibi non *lignis* amplius otiosis, quæ igni tantum **694** materiam suggerunt: non *lapidibus* etiam, id est, stupidis et inertibus animabus, fore opus, sed te istis longe majora et præstantiora habiturum. Qui enim *ferrei* olim et immites homines, moribusque *ferro* quolibet duriores fuerant, in *aurum* jam et *argentum* conversi, ad tuum sese ædificium, quod Dei est, commodos utilesque præbebunt, qui denique sensu magis, quam *ligna*, caruerant; tibi jam *pro ære et ferro*, collata in ædificium opera, futuri sunt.

[68] Rom. xi, 17.

VARIÆ LECTIONES.

[c] *γρ. ποῖ ἂν ἔχοιτο.*

Digitized by Google

Sic [illegible] tamen aiunt nonnulli, cum legis doctrinam ubique contigerit, omnia per Christum in tanto meliora commutatum iri, quantum est *ære ferrum* præstantius. Habere enim *æs* auri quidem *speciem*; nec *aurum* tamen esse. Habere et *ferrum argenti*, propter splendorem, nec esse tamen *argentum*, quo factum est, ut Paulus ipse, cum legis cognitionem, cum ea quæ Christi est compararet, quasi nullius apud se momenti non dubitarit [49]. Neque vero male Scribarum et Pharisæorum disciplina, quia fabulosa, *lignis et lapidibus* comparetur; quam tanto superat quæ de Christo est; quanto est *ære lignum*, quanto *lapide ferrum* præstantius. Sunt enim altera quidem ad contundendum infringendumque facilia et prompta: altera autem, præter quam quod splendore prædita, pretiosa etiam et infragilia. Solet enim vita, quæ recta est, cum veris disciplinis ad alios transire. Quo factum est, ut mysticæ quorumdam disciplinæ facultatem, lignis, fenum et lapides Paulus appellarit [50]. Nonnulli vero etiam ad litteram explicarunt tanquam civitati pietatem colenti materia quælibet, pretiosa æque ac abjecta, donanda sit. Posse enim idipsum Deum efficere. Cæterum cum ista fieri contigerit, vivent *in pace principes tui*, adjicit; quos propter futurorum præsensionem *episcopos* appellat. Deinde quod *in pace, justitiaque* victuros dixit, id quadam ex parte jam præstitum est; juxta illud: « Ex parte cognoscimus; ex parte autem prophetamus: » quod est ad vitam istam referendum. « Cum autem venerit quod perfectum est; **695** quod ex parte est, evacuabitur [51]. »

Atque hic quidem futurus est finis regni Christi, cum fuerit omnis sublata *iniquitas*, cum *contritio*, cum *miseria* denique. Nullus enim deinceps hostis, nulla sceleris recordatio superierit: quale est illud: « Abscessit dolor, et molestia, et gemitus [52]. » Verum, tanquam prioribus ejectis, alios instituit *episcopos et principes*; qui *pacem* cum Deo colant, *justitiamque* venerentur: quale illud fortasse fuerit, quod jam in hæc verba usurpavit: « Et immittam manum meam in te, et excoquam te ad purum. Eos autem qui non crediderint, perdam; et auferam omnes iniquos a te, et omnes superbos deprimam, et præficiam judices tibi, sicut prius [53], » cæteraque deinceps. Sunt vero et ista Salvatoris ad Judæorum præfectos: « Auferetur a vobis regnum, et dabitur genti facienti fructus ejus [54]. » Neque vero desunt, qui ad litteram explicantes, *justitiam* cum subditis culturos esse *principes* eorum, belloque *pace* comparata ita fruituros dicant, ut qui hostes aut feras timeat, ad ipsos confugiat. *Vocabuntur* autem, adjicit, *salutare, muri tui*: ubi, pro quo *salutare* dixit, Hebraica lectio *Jesum* posuit. Est enim idem ipse, qui *muro cingit* Ecclesiam. Sequitur deinde: *Et portæ tuæ sculptura*: quo loco verbis quidem diversis, non re tamen differentibus Symmachus et Aquilas *laudes* interpretati sunt. Datur enim hac ratione ad pium vitæ institutum

A Τινὲς δὲ φασὶ βούλεσθαι λέγειν, ὅτι πάντα πρὸς τὸ ἄμεινον μεταστήσεται, παραχωρούσης τῆς ἐν νόμῳ παιδεύσεως τῇ διὰ τοῦ Χριστοῦ τοσοῦτον οἵᾳ κρείττονι, ὅσον χαλκοῦ χρυσός. Χρυσοειδὲς μὲν γὰρ ὁ χαλκός, πλὴν οὐ χρυσός. Ἀργυροειδὴς δὲ, διὰ τὸ στίλπνον, καὶ ὁ σίδηρος, ἀλλ' οὐκ ἄργυρος. Τοιγαροῦν τὴν ἐν νόμῳ γνῶσιν πρὸς τὴν διὰ Χριστοῦ, σκύβαλα Παῦλος καλεῖ, ἡ δὲ τῶν Γραμματέων καὶ Φαρισαίων διδασκαλία μυθώδης οὖσα, παρεικάζοιτο ξύλοις καὶ λίθοις. Ἧς ἡ ἐν Χριστῷ τοσοῦτον ἀμείνων, ὅσον ξύλου χαλκὸς, σίδηρός τε λίθου. Τὰ μὲν γὰρ εὐθλαστα, τὰ δὲ, πρὸς τῷ λαμπρῷ καὶ τιμίῳ, καὶ ἀῤῥαγῆ. Βίος γὰρ ὀρθὸς μετὰ δογμάτων ἀληθῶν παραδίδοται, διὰ τοῦτο καὶ Παῦλος τῆς παρά τινων μυσταγωγίας τὴν δύναμιν, ξύλα, χόρτον, καὶ λίθους καλεῖ. Τινὲς δὲ καὶ κατὰ τὴν λέξιν ἀπέδωκαν, ὡς εὐσεβούσῃ τῇ πόλει πᾶσα ὕλη τιμία ἐν ἔργῳ τοῖς ἀτίμοις ὀληθεῖσα. Μὴ δὲ γὰρ ἀδύνατον εἶναι τοῦτο Θεῷ. Πλὴν τούτων οὕτω γινομένων οἱ ἄρχοντές σου λοιπὸν ἐν εἰρήνῃ διάξουσι, κατὰ πρόγνωσιν αὐτοὺς ἐπισκόπους καλέσας. Τὸ δὲ, Ἐν εἰρήνῃ διάξουσιν καὶ ἐν δικαιοσύνῃ, ἐκ μέρους ἐπληρώθη, κατὰ τὸ, « Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν, » κατὰ τὸν παρόντα βίον ἐλήνοντι. « Ὅταν δὲ ἔλθῃ τὸ τέλειον, τὸ ἐκ μέρους καταργηθήσεται. »

B

Ὅπερ ἐστὶ τῆς Χριστοῦ βασιλείας τὸ τέλος, πάσης ἀδικίας ἀνῃρημένης, παντός τε συντρίμματος καὶ *ταλαιπωρίας*. Ἐχθρὸς γὰρ ὑπολειφθήσεται λοιπὸν οὐδεὶς, οὐδὲ μνήμη κακίας, κατὰ τὸ, « Ἀπέβη ὀδύνη, καὶ λύπη, καὶ στεναγμός. » Πλὴν ὡς τῶν πρώτων ἐκβεβλημένων, ἑτέρους ἀνίστησιν *ἐπισκόπους, καὶ ἄρχοντας εἰρηνεύοντας* πρὸς Θεὸν, καὶ τιμῶντας *τὸ δίκαιον* ὁποῖον ἂν εἴη τὸ ἤδη ῥηθέν· « Καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σὲ, καὶ πυρώσω σε εἰς καθαρόν. Τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω, καὶ ἀφελῶ πάντας ἀνόμους ἀπὸ σοῦ, καὶ πάντας ὑπερηφάνους ταπεινώσω, καὶ ἐπιστήσω τοὺς κριτάς σου ὡς τὸ πρότερον, » καὶ τὰ ἐπὶ τούτοις. Καὶ ὁ Σωτὴρ δὲ τοῖς Ἰουδαίων λέγει καθηγηταῖς· « Ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία καὶ δοθήσεται ἔθνει ἑτέρῳ ποιοῦντι τοὺς καρποὺς αὐτῆς. » Τινὲς δὲ κατὰ λέξιν φασὶν, ὡς τιμήσουσι *τὸ δίκαιον* μετὰ τῶν ὑπηκόων *οἱ ἄρχοντες, εἰρήνης* τε τεύξονται τῆς ἐκ πολέμων, ὡς τὸν δεδιότα πολεμίους, ἢ θῆρας, καταφεύγειν ἐπ' αὐτήν. *Κληθήσεται* δὲ, λέγει, *σωτήριον τὰ τείχη σου*. Πάλιν τὸ *σωτήριον*, Ἰησοῦν ἔχει τὸ Ἑβραϊκόν. Αὐτὸς γάρ ἐστιν ὁ καὶ *περιτειχίζων* τὴν Ἐκκλησίαν. *Καὶ αἱ πύλαι σου γλύμμα*, ὅπερ Ἀκύλας μὲν, ὕμνησις, φησὶν, ὁ δὲ Σύμμαχος, *αἴνεσις*. Διὰ τούτων γὰρ ἡ εἴσοδος τοῦ θεοσεβοῦς πολιτεύματος, τῶν προσιόντων διδασκομένων *ὑμνεῖν* τὸν Θεόν. Τινὲς δὲ *τείχη καὶ πύλας*, τοὺς διδασκάλους φασὶ τειχίζον-

C

D

[49] Philipp. III, 8. [50] I Cor. III, 12. [51] I Cor. XIII, 9, 10. [52] Apoc. XXI, 4. [53] Isa. I, 25, 26. [54] Matth. XXI, 43.

Digitized by Google

τας τὴν Ἐκκλησίαν βίῳ καὶ δόγμασι, καὶ τοὺς προσιόντας εἰσάγοντας. *Γλύμμα* δὲ, ὅτι περικαλὴς ἄγαν ὁ λόγος αὐτοῖς, καὶ πρὸς ἀλήθειαν ἐκτετορνευμένος. Νοοῖτο δ' ἂν καὶ ἐπὶ Χριστοῦ. Ἡ γὰρ εἴσοδος δι' αὐτοῦ πρὸς τὸν Πατέρα, ὅς ἐστι καὶ *γλύμμα*, οἱονεὶ μορφὴ καὶ χαρακτὴρ τῆς ὑποστάσεως τοῦ Πατέρος, καὶ ἀπαύγασμα τῆς δόξης αὐτοῦ. Ἀλλὰ καὶ *οὐκέτι ἥλιος ἡμέραν σοι παρέξει, οὐδὲ νυκτὸς ἡ σελήνη σε φωτιεῖ.* Οὔτε γὰρ *ἐν νυκτὶ*, οὔτ' ἐναισθητῷ φωτὶ γενήσονται οἱ τοῦ καινοῦ αἰῶνος. Φησὶ γὰρ ὁ Σωτήρ· Ὁ ἥλιος σκοτισθήσεται, καὶ ἡ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς. *Φῶς γὰρ αὐτῶν καὶ δόξα Θεός·* τελειοτέροις μὲν, ἀνθ' ἡλίου, ὑποδεδηκόσι δὲ, ἀντὶ σελήνης γινόμενος, ἀναλόγως τῷ τούτων χωρητικῷ τὰς ἑαυτοῦ διδοὺς ἀκτῖνας, ἔργῳ πληρῶν τοὺς μακαρισμοὺς, δι' ὧν εἶπεν· Οἱ πενθοῦντες παρακληθήσονται, καὶ οἱ κλαίοντες γελάσονται.

A aditus; si qui accedunt, Dei *laudes* decantare doceantur. Sunt vero etiam, qui *murorum portarumque* nominibus, doctores significari putent; quorum vita et doctrina, tanquam muro, cingitur Ecclesia; in quam etiam accedentes introducunt. *Sculpturam* deinde dixisse; quod eorum valde sit illustris, et ad veritatis defensionem elaborata oratio. Intelligatur fortassis de Christo etiam. Patet enim per ipsum ad Patrem aditus: qui est et *sculptura*, tanquam forma, et character substantiæ Patris, et splendor gloriæ ipsius [58]. Sed *nec tibi sol amplius diem præbebit,* **696** *nec nocte luna tibi lucebit.* Neque enim *in nocte*, vel *luce*, quæ sensibus percipiantur, ii versabuntur, qui recentis ævi munere donabuntur; vel ipso teste Salvatore, qui solem obtenebratum iri: qui lunam splendorem suum non daturam esse affirmavit [59]. Erit enim *lux* illorum, *et gloria*, *Deus ipse*: perfectioribus quidem sol; inferioribus autem lunæ instar, ut pro excipientium ratione radios suos effundat; opere nimirum id præstans, quod beatitudines affirmant: ubi qui lugeant, consolatum iri; et qui fleant, esse risuros dicit [60].

B

Ὅθεν ἐπιφέρει· *Ἀναπληρωθήσονται αἱ ἡμέραι τοῦ πένθους σου*, πάσης ἀδικίας ἀνῃρημένης. Ὡς οὖν ἐκλελεγμένος *κληρονομήσει τὴν* ἐπηγγελμένην αὐτῷ γῆν τὴν τοῖς πραέσιν ἐπηγγελμένην [d], ἐν ᾗ καὶ ἡ πόλις ἡ ἐπουράνιος. Τοιοῦτος δὲ *ὁ λαός μου*, βλαστὸς ἐμῆς *φυτείας*. « Πᾶσα γὰρ φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ Πατήρ μου ὁ οὐράνιος, ἐκριζωθήσεται. » *Ἔργα δὲ χειρῶν ὑπάρχων αὐτοῦ, κληρονομήσει* τὴν γῆν, ὅτε καὶ ὁ ἐν τῷ *παρόντι* βίῳ *ὀλιγοστὸς*, *εἰς χιλιάδας* ἔσται, κατὰ τὸ, « Ἴσθι ἐξουσίαν ἔχων ἐπάνω πέντε, ἢ δέκα πόλεων. » Οἱονεὶ τοίνυν *χιλίαρχοι* τῶν σωζομένων γενήσονται. Καὶ ὁ νῦν δὲ *ἐλάχιστος*, *εἰς ἔθνος μέγα*. Οἷος ὁ Παῦλος λέγων· Ἐμοὶ δὲ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη, ὃς ἔθνους ἄρξει [e] μεγίστου παρὰ Θεῷ. Ἴλιξει δὲ, φησὶν, ὁ τούτοις ὡρισμένος καιρὸς, ὅτε ταῦτα διὰ τῆς ἐμῆς ἔσται Συναγωγῆς, ὅτε τοὺς ἀγγέλους ἀποστελεῖ, καὶ συνάξει τοὺς ἁγίους ἀπ' ἄκρων τῶν οὐρανῶν, μίαν τε ἐκ τῶν δύο λαῶν κατασκευάσεται πόλιν, ὁποῖόν ἐστι τὸ, ἵνα « γένηται μία ποίμνη, εἷς ποιμήν. » Τινὲς δὲ πρὸς τὸν αἰῶνα τὸν παρόντα τὰ περὶ *ἡλίου* καὶ *σελήνης* ἐξέλαβον. Εἰ γὰρ καὶ ὑποχωρεῖ *ἥλιος* μὲν *ἐν νυκτὶ*, *σελήνη* δὲ *ἐν ἡμέρᾳ*, ἀλλ' οὖν τὸ θεῖον καὶ νοητὸν *φῶς* ὃ διὰ τοῦ Πνεύματος ὁ Σωτὴρ χορηγεῖ τοῖς πιστεύουσιν, ἄσβεστον ἔσται, καὶ φωτὸς οὐδενὸς αἰσθητοῦ πρὸς νοῦ φωτισμὸν ἐπιδέονται πρὸς γνῶσιν Θεοῦ, καὶ ἐπιτήδευσιν ἀρετῶν. Διό φησιν· « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. Ὁ ἀκολουθῶν ἐμοὶ, οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. » Τὸ δὲ, Καὶ *ἀναπληρωθήσονται αἱ ἡμέραι τοῦ πένθους σου*, ἐπειδὴ τοῖς μὲν ἁμαρτωλοῖς τὸ κατηφὲς οἰκεῖον, πῦρ προσδοκῶσι

C

Addit itaque: *Et complebuntur dies luctus tui*; nimirum, cum fuerit omnis sublata iniquitas. Tanquam igitur electus terram possidebit, quam mitibus est pollicitus; in qua est ipsa cœlestis civitas collocata [58]. Talis vero est *populus meus*, *plantationis* meæ surculus. « Omnis enim plantatio, quam non plantavit cœlestis Pater meus, eradicabitur [59]. » Cum autem *sit opus manuum ejus*, *possidebit terram*: quando etiam qui in hac vita *paucus exsistit*, *in millia* abiturus est, juxta illud: « Esto potestatem habens super quinque, vel decem civitates [60]. » Erunt igitur eorum, qui salutem adepti sunt, tanquam duces *millenarii*: erit etiam qui hoc tempore *minimus est*, *in gentem magnam*: qualis Paulus ipse, qui sibi omnium sanctorum minimo concessam hanc esse gratiam scribit [61], ut genti maximæ a Domino præesset. Veniet vero, inquit, illis certum et definitum tempus, quo ista per congregationem meam fient, cum nimirum missis angelis sanctos est congregaturus a summitate cœli [62] unamque ex duobus populis civitatem confecturus; ut, quod scribitur: « Unum fiat ovile, et unus pastor [63]. » Sunt porro, qui ad præsens sæculum, quæ de *sole* et *luna* usurpavit, referri volunt. Etsi enim et *sol* ipse *noctu*, *et luna die* etiam deficiant, nunquam tamen divinum et intelligibile *lumen* illud exstinctum iri, quod per Spiritum sanctum Salvator ipse fidelibus suppeditabit; neque ipsorum mentibus sensibilis alicujus luminis ad Dei cognitionem **697** virtutisque studium illustratione opus fore. Quo factum est, ut se mundi lucem exsistere [64], quique se sequatur, in tenebris minime ambulaturum;

D

[58] Hebr. I, 3. [59] Matth. XXIV, 29. [60] Matth. V, 3; Luc. VI, 21. [61] Matth. V, 14. [62] Matth. XV, 15. [63] Luc. XIX, 19. [64] Ephes. III, 8. [65] Matth. XXIV, 31. [66] Joan. X, 16. [67] Joan. VIII, 12.

VARIÆ LECTIONES.

[d] *al.* τὴν ἐπηγγελμένην. [e] *gr.* ὡς ἔθνους ἄρξειν.

Digitized by Google

[illegible] esse [illegible] [illegible]. Qui [illegible] [illegible] propriam [illegible] esse [illegible] quam [illegible] quemque [illegible] [illegible].

[illegible]. Et [illegible] per gratiam Christi [illegible] [illegible]. Nunc [illegible] sed in [illegible] [illegible] quamprimum [illegible] eamque [illegible] [illegible] qui [illegible] [illegible] [illegible] sub pedibus esse [illegible] [illegible]. [illegible] eas congregare [illegible] [illegible]. Non [illegible] tamen, qui [illegible] [illegible] [illegible] ipsam [illegible] qui [illegible] ejus [illegible] [illegible] [illegible] [illegible]. Conveniet vero eos, tanquam qui [illegible] comparantur, [illegible] [illegible]. Est enim Deus qui [illegible] et [illegible] curam habet, quique ea, quae ad [illegible] [illegible] curat: qui [illegible] [illegible] [illegible] seipso [illegible], et eos qui [illegible] sunt, in gentem magnam propagari [illegible].

[illegible] [illegible]: qui nihil aliud, [illegible] [illegible] [illegible] [illegible].

[illegible] [illegible] [illegible]

CAP. LXI.

698 VERS. 1-11. *Spiritus Domini super me, propter quod unxit me Dominus; ut evangelizarem mansuetis misit me; ut sanarem contritos corde; ut annuntiarem captivis remissionem, et caecis visus restitutionem, ut praedicarem annum Domini acceptabilem, et diem retributionis Deo nostro; ut consolarer omnes lugentes; ut darer lugentibus Sion gloriam pro cinere, unctionem laetitiae lugentibus, amictus gloriae pro spiritu moeroris*, etc.

Qui ad promissiones evangelicas Dominum se esse, eosque in tempore congregaturum adjecerat: nunc *ejus se rei gratia a Domino* 699 *unctum esse* significat. Est porro tibi animadvertendum, quod *Dominum a Domino Spiritu sancto unctum esse* affirmat, ut in Trinitate Deitatem agnoscas. Cum enim natura *Dominus* et Deus sit, humanitatis ratione Spiritu a Patre *ungitur*. Non est igitur homo tantum, si Dominus: nec carne destitutus, si ungitur, sed idem Deus et homo: non eadem tamen ratione. Quo fit ut, tanquam ex Davide sit, ungi dicatur. Jam enim et antea super eum, qui de radice Jesse prodiisset [a], id est super Christum, Spiritum Domini requieturum dixerat. Non enim simili cum veteribus ratione unctione unctus esse dicitur: alioqui nihil praeter caeteros haberet eximium: quem tamen Davidis testimonio: « Propterea unxit te Deus, Deus tuus, oleo laetitiae prae consortibus tuis [b]. » Domine, tanquam jam homo sit:

ΚΕΦΑΛ. ΞΑ'.

[illegible]

Ὁ [illegible] [illegible], Ἐγὼ Κύριος [illegible] [illegible] [illegible]

Ὡς μὲν οὖν Θεὸς χορηγεῖ τὸ *Πνεῦμα* τῇ κτίσει, ὡς δὲ ἄνθρωπος δέχεται. Διὸ, κατὰ Λουκᾶν, ὡς ἐν Ναζαρὲθ γενόμενος εἰσῆλθεν εἰς τὴν Συναγωγὴν, καὶ τὸν Ἡσαΐαν ἀνοίξας εὗρε τοῦτο τὸ ῥητὸν, πτύξας ἔφη· Σήμερον ἡ Γραφὴ αὕτη πεπλήρωται. Κατ' αὐτὸν γὰρ τὸν καιρὸν συνέβη καὶ βαπτισθῆναι, καὶ τὸ *Πνεῦμα* κατελθεῖν ἐπ' αὐτὸν ἐν εἴδει περιστερᾶς· μεθ' ὃ πειραθεὶς ἦλθεν εἰς Ναζαρὲθ, καὶ πεπληρῶσθαι τὴν Γραφὴν ἀπεφήνατο.

A *cujus gratia unxit me*, adjecit, ut causam non omitteret; qui se eos antea in tempore congregaturum dixerat. Ut Deus igitur, *spiritum* creaturæ suggerit; recepit autem, ut homo. Itaque, quod apud Lucam legimus, cum Nazareth synagogam ingressus, aperto Isaiæ libro, in verba ista incidisset [70]; eodem complicato, esse eo die completam Scripturam affirmavit. Contigit enim eo tempore, ut baptizaretur; ut *Spiritum* etiam in columbæ forma in se admitteret. Quibus demum absolutis, in Nazareth ingressus est, et ibi completam esse Scripturam pronuntiavit.

Τινὲς δὲ, ὡς εἴρηται, ἐπὶ τὸν τῆς γεννήσεως καιρὸν ἔχειν φασὶ τὴν ἀναφορὰν τὸ, *ἔχρισέ με*. Ἠλὴν μετὰ τὸ βάπτισμα φαίνεται κηρύσσων τὴν βασιλείαν τῶν οὐρανῶν (ὅπερ ἦν *εὐαγγελίζεσθαι τοῖς πτωχοῖς*) καὶ τοὺς μακαρισμοὺς ἐκτιθέμενος. Καὶ *ἰᾶτο δὲ τοὺς συντετριμμένους τῇ καρδίᾳ*, θεραπεύων ἐπαγγελίαις, καὶ λέγων· Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. Καὶ μακάριοι οἱ κλαίοντες, ὅτι γελάσονται. Καὶ τοῖς δὲ αἰχμαλώτοις ὑπὸ δαιμόνων ἔθεσιν ἄφεσιν ἐκήρυττε, τοῖς μαθηταῖς εἰπών· Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς, ἐπ' ἀφέσει δηλονότι πλημμελημάτων· οἳ καὶ ἀβλεψίαν ἐνόσουν, τῇ πολυθέῳ πλάνῃ δουλεύοντες. Διόπερ ἐν τοῖς προλαβοῦσιν ἔφασκεν ὁ Πατήρ· Ἰδοὺ, τέθεικά σε εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους. Καὶ *πτωχοὶ* δὲ ἦσαν, ὡς παντὸς ἀγαθοῦ νοσήσαντες ἔνδειαν, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ. Εἰ μὴ, ἄρα *τοῖς πτωχοῖς* τῷ πνεύματι δεδωρῆσθαί φησι τῶν δι' αὐτοῦ χαρισμάτων τὴν ἄφθονον χορηγίαν. *Συντετριμμένους* δὲ ἄλλως τοὺς ἀσθενῆ τὴν *καρδίαν* καὶ εὐδιάθρυπτον ἔχοντας, ὡς ἀντιστῆναι μὴ δύνασθαι ταῖς τῶν παθῶν προσβολαῖς, *αἰχμαλώτων* δὲ δίκην τούτοις δουλεύοντας· ἁρμόσει δὲ καὶ τοῖς ἐξ Ἰσραὴλ τὰ λεγόμενα. Θὺ γὰρ ἦν ἐπὶ γῆς ὁ ποιῶν χρηστότητα, οὐκ ἦν, ἕως ἑνός. Οὐκοῦν πάντες υἱοὶ νυκτὸς ὄντες καὶ σκότους, φωτὸς γεγόνασι τέκνα. Διηύγασε γὰρ αὐτοῖς ἡ ἡμέρα, καὶ ὁ τῆς δικαιοσύνης ἀνέσχεν ἥλιος, καὶ λαμπρὸς ἀνέτειλεν ἑωσφόρος.

Non desunt tamen, ut dictum est, qui quod, *unxit me*, addidit, ad nativitatis tempus referri arbitrentur. Sed manifestum est, post baptismum secutam esse cœlestis regni per eum promulgationem; quod B est *pauperibus evangelizare*: esse denique beatitudinum genera ab ipso explicata. *Sanabat* deinde *contritos corde*, admoto promissionum remedio, cum beatos qui lugerent, esse doceret, quoniam consolationem essent nacturi; beatos item qui flerent, quoniam risuri [71]. Gentibus præterea, qui a dæmonibus captivi detinebantur, dimissionem annuntiat; cum discipulos alloquens, ad gentes omnes proficisci, **700** easque docere, et baptizare, in remissionem peccatorum videlicet, imperavit [72]; quæ dudum cæcitate laborantes, ut vanæ deorum multitudini serviebant. Quo factum est, ut in superioribus, eum se in lucem gentium posuisse, ut oculos cæcis aperiret, ut de vinculis eos educeret, qui in ipsis essent constricti, Pater affirmaret. C Erant vero et *pauperes*, qui bonorum omnium penuria laborarent; qui spe carerent; qui Deum in mundo non agnoscerent. Sin minus, iis certe, qui spiritu *pauperes* sunt, ingentem esse gratiarum suppeditatam copiam significat: *contritos* autem alias eos ipsos, qui ita *corde* sunt imbecillo et præfracto, ut affectuum insultibus minime queant obsistere; sed illis, *captivorum* more, pareant et famulentur. Conveniant vero et Israelitis etiam quæ dicuntur. Non enim erat in terra, qui, quod honestum esset, faceret, non erat, ne unus quidem [73]. Itaque, cum filii noctis essent omnes et tenebrarum, in lucis filios evaserunt. Illis enim dies ipse, et qui Sol justitiæ dicitur [74], aurora denique lucida, illuxit.

Κεχρίσθαι δέ φησι καὶ *ἑαυτὸν Κυρίου καλέσαι δεκτὸν*, τὸν τῆς ἀνανθρωπήσεως καιρὸν οὕτως εἰπὼν, ἐν ᾧ διάγων ἐπὶ γῆς, φῶς ἡμέρας τοῖς προσιοῦσι παρείχετο. Ὡς γὰρ ἡλίῳ δικαιοσύνης ὁ τοιοῦτος προσῆκεν *ἑαυτός*. Μήποτε δὲ τὸν μέλλοντα αἰῶνα δηλοῖ, ἐφ' ὃν τὰ τῆς ἑαυτοῦ διδασκαλίας ἀνέπεμπεν, ὅτε Οὐχ ἥλιος, οὐ σελήνη, ἀλλ' ἔσται σοι, φησὶ, Κύριος φῶς αἰώνιον; διὸ *Κυρίου* λέγεται *ἑαυτὸς*, ὡς ὑπ' αὐτοῦ φωτιζόμενος, *καὶ δεκτὸς*, ἢ κατὰ τοὺς λοιποὺς, *εὐδοκίας*. Ἐκεῖνος γάρ ἐστιν ὁ καταθύμιος τῷ Θεῷ, ὁ αὐτὸς ὢν καὶ *ἡμέρα ἀνταποδόσεως*, ὅτε τὰς ἀμοιβὰς οἱ κατὰ τὸν παρόντα κεκμηκότες βίον κομίζονται. Τινὲς δὲ *δεκτὸν* D Ait vero etiam *unctum esse*, ut *proclamaret annum Domini acceptabilem*: ita nimirum incarnationis tempus innuens, quo, cum in terris versaretur, lucem diei venientibus ad se præbebat. Huic enim, tanquam Soli justitiæ, talis est *annus* debitus et commodus. Annon vero futurum sæculum significasse putandus; ad quod, quæ ad doctrinam suam pertinent, remisit; quo tempore non sol, non luna tibi futura est, inquit [74*], sed Dominus, lux ipsa sempiterna? quo fit, ut *annus Domini*, tanquam ab ipso lucem habeat: *et acceptabilis*, vel secundum alios, *comprobationis*, nominetur. Est enim Deo gratus ille, et acceptus; quippe qui *dies*

[70] Luc. IV, 17. [71] Matth. V, 5; Luc. VI, 21. [72] Matth. XXVIII, 18-20. [73] Psal. XIII, 2, 3. [74] Malach. IV, 2. [74*] Isa. LX, 19, 20.

Digitized by Google

etiam sit *retributionis*, quo laborum suorum in hac vita mercedem quique laturi sunt. Alii tamen *annum acceptabilem*, ad illum, quo crucem pati Christum contigit, referri voluerunt. Tum enim nos esse *Deo factos acceptabiles*, tum Patri per ipsum oblatos. Hinc etiam de grano frumenti dixisse [78], cum mortuum esse contingeret, **701** multum fructum editurum. Et rursum cum a terra esset exaltatus, omnes ad se pertracturum [79]. Itaque etiam, cum esset e mortuis excitatus, sibi factam esse potestatem omnem in cœlo et in terra dicebat, missis ad gentes cum baptismo discipulis, cujus beneficio remissionem adepti divinæ ipsius naturæ participes efficimur [77]. Qui enim fuere accepti, *anno illo acceptabili* potiti sunt, de quo loquitur Apostolus, cum adesse jam tempus acceptabile, adesse diem salutis, ait [78]; quibus verbis ipsum incarnationis tempus designavit, quo iis, qui crediderant, quas fide tenebant promissiones exhibuit. Quod certe lex illa per Mosen tradita non habuit, quæ præsenti sæculo præmia concludebat, vitæ prolixitatem, terræque bona, et pacem nominatim significans. Itaque et Zacharias ait : « In fructuum ubertate habitabitur Jerusalem a multitudine hominum et jumentorum, quæ sunt in ea [79]. » Et rursum : « Adhuc sedebunt seniores in plateis Jerusalem, unusquisque virgam suam in manu sua habens præ multitudine dierum; et plateæ civitatis implebuntur puerulis, et puellis ludentibus [80]. » At Salvator quæ quisque meruit, in futurum sæculum recondit.

Dicas vero et *retributionem* eo etiam tempore factam esse intelligi, quo humanitatem contigit assumere, tunc enim diaboli, a quo ipsi conculcabamur, vires esse excisas et superatas. Quo fit, ut apud Davidem, eorum, qui redempti sunt, personam in hunc modum loquentem introducat: « Quoniam fecisti judicium meum et causam meam, sedisti super thronum qui judicas justitiam. Increpasti gentes, et periit impius [81]. » De quo sunt et ista rursum : « Quæretur peccatum illius, et non invenietur [82]. » Et ista etiam Salvatoris : « Nunc judicium est mundi hujus. Nunc princeps mundi hujus ejicietur foras [83]. » Ait vero et se ideo *unctum esse, ut omnes qui lugeant consoletur.* « Beati enim, inquit, qui lugent, quoniam ipsi consolabuntur [84]. » Addit præterea, *Lugentibus Sion gloriam se collaturum.* Lugebant enim, qui inter Judæos sancti erant, populi calamitates. Cujusmodi Paulus ipse etiam fuit, qui se tristitia **702** adeo magna et continuo animi dolore fratrum nomine cognatorumque suorum secundum carnem laborasse asserit, ut pro illis anathema fieri precaretur [85]. Et istis igitur *gloriam daturus est, pro cinere* (quo fuerunt aspersi cum Deum propter ipsos precati sunt) *lætitiæ unctionem, et amictum gloriosum ;* quod illorum nomine tristitia et *mœrore* affligi se voluerint.

Non desunt tamen, qui ad eos, qui ante adven-

A ἑαυτὸν, καθ' ὃν ἐσταυρώθη φασί. Δεκτοὶ γὰρ τότε γεγόαμεν τῷ Θεῷ καὶ Πατέρι, καρποφορηθέντες δι' αὐτοῦ. Διὸ περὶ τοῦ κόκκου τοῦ σίτου ἔλεγεν· « Ἐὰν ἀποθάνῃ, καρπὸν πολὺν φέρει. » Καὶ πάλιν· « Ὅταν ὑψωθῶ ἐκ γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Διὸ καὶ ἀναστὰς ἐκ νεκρῶν ἔφασκεν· Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς, ἐπὶ τὰ ἔθνη πέμπων τοὺς μαθητὰς, καὶ τὸ βάπτισμα, δι' οὗ λαβόντες ἄφεσιν, τῆς θείας αὐτοῦ φύσεως γεγόναμεν κοινωνοί. Δεκτὸν γὰρ ἑαυτὸν οἱ δεχθέντες ἐκτήσαντο, περὶ οὗ Παῦλός φησιν· « Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος· ἰδοὺ ἡμέρα σωτηρίας, καὶ ἀνταποδόσεως, » ὁ [f] τῆς ἐνανθρωπήσεως ὑπῆρξε καιρὸς, καθ' ὃν τοῖς πιστεύσασι τὰς ἐν ἐλπίσιν ἐπαγγελίας ἀπέδωκεν· ὅπερ ὁ διὰ Μωσέως νόμος οὐκ ἔσχε, τῷ παρ-

B όντι βίῳ περικλείων τὰς ἀμοιβὰς, μακρημέρευσιν λέγων, καὶ γῆς ἀγαθὰ, καὶ πολέμων ἀπαλλαγὰς, διὸ καὶ Ζαχαρίας φησί· « Κατάκαρπος οἰκηθήσεται Ἰερουσαλὴμ ἀπὸ πλήθους ἀνθρώπων, καὶ κτηνῶν τῶν ἐν αὐτῇ. » Καὶ πάλιν· « Ἔτι καθήσονται πρεσβύτεροι ἐν ταῖς πλατείαις Ἰερουσαλὴμ, ἕκαστος τὴν ῥάβδον αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ ἔχων ἀπὸ πλήθους ἡμερῶν, καὶ αἱ πλατεῖαι τῆς πόλεως πλησθήσονται παιδαρίων καὶ κορασίων παιζόντων. » Ὁ δὲ Σωτὴρ τῷ μέλλοντι τὰς ἀμοιβὰς ταμιεύεται.

C Εἴποις δ' ἂν καὶ *ἀνταπόδοσιν* ἐν τῷ τῆς ἐνανθρωπήσεως γεγονέναι καιρῷ. Τὴν γὰρ τοῦ καταπατήσαντος ἡμᾶς διαβόλου καθεῖλεν ἰσχύν. Διὸ παρὰ Δαβὶδ τὸ τῶν λελυτρωμένων ἐξομολογησάμενον πρόσωπον ἐπιφέρει· « Ὅτι ἐποίησας τὴν κρίσιν μου, καὶ τὴν δίκην μου, ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. Ἐπετίμησας ἔθνεσιν, καὶ ἀπώλετο ὁ ἀσεβής. » Περὶ οὗ πάλιν φησίν· « Ζητηθήσεται ἡ ἁμαρτία αὐτοῦ, καὶ οὐ μὴ εὑρεθῇ. » Καὶ ὁ Σωτὴρ δὲ λέγει· « Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. » *Κεχρίσθαι* δέ φησι *καὶ παρακαλέσαι πάντας τοὺς πενθοῦντας* · « Μακάριοι γὰρ, φησὶν, οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται. » Ἀλλὰ καὶ *τοῖς τὴν Σιὼν πενθοῦσι δώσει δόξαν.* Ἐπένθουν

D γὰρ οἱ παρ' Ἰουδαίοις ἅγιοι τὴν ἔκπτωσιν τοῦ λαοῦ. Τοιοῦτος ἦν ὁ Παῦλος λέγων· ὅτι Λύπη μοί ἐστι, καὶ ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου ὑπὲρ τῶν ἀδελφῶν μου τῶν συγγενῶν κατὰ σάρκα, ὑπὲρ ὧν καὶ ἀνάθεμα γενέσθαι προσηύχετο. Καὶ τούτοις οὖν *δώσει δόξαν, καὶ ἀντὶ σποδοῦ*, ἣν κατεπάσαντο δεόμενοι τοῦ Θεοῦ δι' αὐτοὺς, *εὐφροσύνης ἄλειμμα, καὶ στολὴν ἔνδοξον*, ἀνθ' ὧν ὑπὲρ αὐτῶν ἐν ἀκηδίᾳ γεγόνασι.

Τινὲς δὲ τοὺς πρὸ τῆς ἐπιδημίας τοῦ λαοῦ *πεν-*

[78] Joan. xii, 24, 25, 26 ib. 32. [77] Matth xxviii, 18 20. [78] II Cor. vi, 2. [79] Zachar. ii, 4. [80] Zachar. viii, 4, 5. [81] Psal. ix, 5, 6. [82] Psal. x, 15. [83] Joan. xii, 31. [84] Matth. v, 5. [85] Rom. ix, 3.

VARIÆ LECTIONES.

[f] γρ. δέ.

Digitized by Google

θοῦντας τὰς ἁμαρτίας φασὶν, οἱ καὶ προσεδόκων A τὸν δικαιοῦντα τῇ πίστει τὸν ἀσεβῆ, ἅγιοί τε ὄντες, καὶ τὰς προφητείας εἰδότες. Βρέφος γ' οὖν ὁ Συμεὼν ἐν ἀγκάλαις λαβὼν τὸν Χριστὸν, ἰδεῖν ἐξομολογεῖτο « φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. » Καὶ Ζαχαρίας ὁ Ἰωάννου πατὴρ, ὅτι ἐπεσκέψατο, καὶ ἐποίησεν λύτρωσιν τῷ λαῷ αὐτοῦ. Καὶ Ναθαναὴλ, Ὃν ἔγραψε Μωσῆς καὶ οἱ προφῆται, φησὶν, εὑρήκαμεν *Ἰησοῦν*. *Πεποίθασιν* οὖν αὐτοῖς ἡ διὰ Χριστοῦ *παράκλησις* δέδοται. Τὸ δὲ *ἄλειμμα* τὸ τῆς *εὐφροσύνης* παρίστησιν ἱλαρόν. Ἐδόθη δὲ αὐτοῖς καὶ *δόξα* Χριστός· ἢ, ὥς φασί τινες, ἐπειδὴ τέθεινται αὐτῆς καθηγηταὶ, καὶ διδάσκαλοι· καὶ τέκνα ὄντες τῆς Ἰουδαίων Συναγωγῆς εἰς πατέρας ἐγένοντο. Πρὸς ἣν φησιν ὁ Δαβίδ· Ἀντὶ τῶν πατέρων σου ἐγενήθησαν οἱ υἱοί σου. Καὶ γοῦν Παῦλος B ἔγραφε τοῖς μαθηταῖς· Ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Καὶ ἄλλως δὲ δόξαν ἐδέξαντο, ποτὲ μὲν ἀκούοντες· Ἀσθενοῦντας θεραπεύετε, δαιμόνια ἐκβάλλετε, νεκροὺς ἐγείρετε, ποτὲ δὲ, Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Εἶτά φησι· *Καὶ κληθήσονται γενεαὶ δικαιοσύνης φύτευμα Κυρίου εἰς δόξαν*., δηλονότι οἱ καταξιωθησόμενοι *τοῦ δεκτοῦ ἐνιαυτοῦ*. Σύμμαχος δὲ ἀντὶ τοῦ *γενεαὶ*, φησὶν *ἰσχυροί*. Χρηματίζουσι γὰρ οἱ ἐξ ἐθνῶν, γένος *ἐκλεκτὸν*, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν.

tum, populi peccata *lugebant*, referant; qui etiam sanctitatis et propheticæ cognitionis gloria illustres eum, a quo per fidem justificaretur impius, exspectabant. Pusionem quippe Simeon ipse cum Christum in brachia accepisset: « Lumen se ad revelationem gentium, et gloriam populi Israel intueri professus est [86]. » Asseruit et Zacharias, Joannis pater, inspexisse Dominum, populumque suum redemisse [87]. Dixit denique et Nathanael, quem suis scriptis Moses ipse, et prophetæ designarant *Jesum* se invenisse [88]. Est igitur ipsis *lugentibus* per Christum allata *consolatio*. Significat deinde *unctionis* nomen, ipsam *lætitiæ* hilaritatem. Est porro et illis *gloria*, Christus ipse *tributa*. Vel id, juxta nonnullorum opinionem, eo retulit; quod ejus duces et magistros sibi præfectos haberet, qui et ipsi Judaicæ Synagogæ filii, in patres evaserant; de qua Davidem esse locutum non ambigimus, cum pro patribus natos esse filios affirmavit [89]. Et Paulum etiam, cum discipulos suos alloquens, eos se in Christo Jesu per Evangelium genuisse scribit [90]. Alias vero et gloria affecti sunt; qui infirmos quidem sanandi, qui dæmonia ejiciendi, qui mortuos etiam suscitandi potestatem acceperunt [91]; qui denique lumen se gentium fieri audiverunt [92]. Sequitur deinde: *Et vocabuntur generationes justitiæ plantatio Domini in gloriam*: ii nimirum, qui *acceptabili anno* dignos se præbuerint. Sed pro quo *generationes* habemus, *fortes* dixit Symmachus. Sunt enim, qui de gentibus exsistunt, genus *electum*, gens sancta, populus acquisitionis [93].

Δικαιοσύνης δὲ *γενεαὶ* τῆς ἐν Χριστῷ καὶ τὴν ἐν C νόμῳ νικώσης. « Ἐὰν γὰρ μὴ περισσεύσῃ, φησὶν, ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν Γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, » ἣν διήνυσαν *ἰσχυροὶ* γεγονότες, ὡς ἐξέδωκε Σύμμαχος. *Φύτευμα* δὲ *Κυρίου*, ὡς Θεοῦ γεώργιον, περὶ ὧν ἔψαλλεν ὁ Δαβίδ· « Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσι. » Καὶ Παῦλος δέ φησιν· « Ἐγὼ ἐφύτευσα ὑμᾶς, Ἀπολλὼς ἐπότισεν, ὁ δὲ Θεὸς ηὔξανεν. » Συνᾴδει καὶ τὸ, « Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. » *Καὶ οἰκοδομήσουσιν ἐρήμους αἰωνίας*· τῶν πρὶν *ἐρήμων* ἐθνῶν τὰς ψυχάς. Ἤγουν, φασί τινες, τὸ πλῆθος· ἐμφαίνει τῶν διὰ πίστεως κεκλημένων, ὡς δεῖσθαι *πόλεων* ἑτέρων *ἐν ἐρήμοις* γενησομένων· ἤγουν τὰς ἐκκλησίας τὰς πρὶν ἐρήμους θεοσεβείας. D Καὶ *ἤξουσιν ἀλλογενεῖς, ποιμαίνοντες τὰ πρόβατά σου*. Τῶν γὰρ προτέρων ἐκβεβλημένων (πρὸς οὓς τις λέγει προφήτης· « Ὦ ποιμένες Ἰσραήλ· μὴ βόσκουσιν οἱ ποιμένες ἑαυτούς; οὐχὶ τὰ πρόβατα βόσκουσιν οἱ ποιμένες; » πρὸς οὓς ἔλεγεν ὁ Σωτήρ· « Ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς »), ἀντὶ τούτων ἐθνικοὶ *ποιμένες* κατέστησαν. Ἐνταῦθα δὲ σαφῶς τοῦ νόμου μετάθεσιν, καὶ τῆς κατ' αὐτὸν ἱερωσύνης παρίστησι, μηκέτι τῶν ἐκ Λευΐ

703 *Justitiæ vero generationes*, ejus, quæ in Christo est, et legalem superat: «Nisi enim abundaverit, inquit, justitia vestra, plus quam Scribarum et Pharisæorum, non poteritis in regnum cœlorum ingredi [94]; » eamque absolutam et perfectam reddiderunt, qui *fortes* se, ut est a Symmacho redditum, præstiterunt. Est vero *plantatio Domini*, tanquam Dei agricultura: de quibus sunt illa Davidis: « Plantati in domo Domini, in atriis Dei nostri florebunt [95]. » Et Apostoli: « Ego plantavi vos; Apollo rigavit; Deus autem incrementum dedit [96]. » Quibus convenit et illud: « Justus ut palma florebit [97]. » Sequitur deinde: *Et ædificabunt deserta sempiterna*, quibus *desertarum* antea gentium animas intelligit. Vel certe (aiunt nonnulli) eorum ingentem adeo numerum, qui per fidem vocati sunt, fuisse demonstrat; ut *civitatibus* aliis, quæ in *solitudinibus* construantur, opus sit: vel etiam Ecclesias ipsas innuit, quæ pietate Deique cultu fuerant antea destitutæ. Adjicit porro *venturos esse alienigenas, qui oves ejus pascant*. Prioribus enim expulsis ad quos sunt illa prophetæ cujusdam: «O pastores Israel, nunquid semetipsos pascunt pastores? Annon oves pascunt pastores [98]?» Et illa Salvatoris: «Auferetur a vobis regnum Dei, et dabitur genti, quæ edat fructus ejus [99]. » In

[86] Luc. II, 32. [87] Luc. I, 68. [88] Joan. I, 45. [89] Psal. XLIV, 17. [90] I Cor. IV, 15. [91] Matth. X, 8. [92] Matth. V, 14. [93] I Petr. II, 9. [94] Matth. V, 20. [95] Psal. XCI, 14. [96] I Cor. III, 6. [97] Psal. XCI, 13. [98] Ezech. XXXIV, 2. [99] Matth. XXI, 43.

Digitized by Google

eorum locum qui de gentibus exsistunt, *pastores* instituti sunt. Hic enim aperte legis et sacerdotii ejus translationem indicat; nullo amplius de Levitarum genere superstite; quorum erat improbatum, et ab usu remotum argentum. Quo factum est, ut de gentium numero in illorum vicem subirent *aratores et vinitores*. Quoniam enim qui credunt, persæpe in Scriptura vitis et hortus appellantur: et hic etiam non absimili intentione *aratorum et vinitorum* nomina usurpavit. Non illi igitur id honoris sibi abripiunt; sed a Deo vocati potius accedunt. Fuere præterea *pastores* in lege viticolarum nomine significati; ad quod Salvator ipse respiciens, quid malis vineæ cultoribus facturum Dominum **704** arbitremur, interrogat [1]. Illos igitur, qui in istorum locum subierunt, propheta alloquitur: *Cum Domini sacerdotes Dei nostri ministros vocatum iri* adjicit.

A λειτουργούντων. Ἦν γὰρ αὐτοῖς ἀδόκιμον τὸ ἀργύριον. Οἱ τοίνυν ἐξ ἐθνῶν καὶ *ἀροτῆρες γεγόνασι, καὶ ἀμπελουργοί*. Ἐπεὶ γὰρ ἐκλεκτὴ γῆ κέκληνται πλειστάχυος τῆς Γραφῆς οἱ πιστεύσαντες, καὶ ἀμπελὼν, καὶ κῆπος· ἀναλόγως *ἀροτῆράς* φησι, καὶ *ἀμπελουργούς*. Οὐκοῦν οὐκ αὐτοῖς ἁρπάζουσι τὴν τιμὴν, κέκληνται δὲ μᾶλλον παρὰ Θεοῦ. Καὶ οἱ κατὰ νόμον δὲ *ποιμένες* ἀμπελῶνος ἐκλήθησαν γεωργοὶ, περὶ ὧν φησιν ὁ Σωτήρ· Τί ποιήσει ὁ Κύριος τοῦ ἀμπελῶνος τοῖς κακοῖς γεωργοῖς; Τοῖς οὖν ἀντὶ τούτων ὁ προφήτης φησίν· Ὑμεῖς δὲ *ἱερεῖς Κυρίου, κληθήσεσθε λειτουργοὶ τοῦ Θεοῦ ἡμῶν*.

Quinam autem alii, quam Ecclesiæ *vinitores*, *fortitudinem gentium* vel *abundantiam* (ut Aquilæ placet) comesturi sunt? Nullus enim cibus æque *pastoribus* Ecclesiæ congruit, atque ipsa gentium, quæ per istos salutem adeptæ sunt, *fortitudo*. Fuerint vero isti, qui *fortitudinem* suam ferendo et patiendo, in veritatis assertione ostentarunt. Adjicit porro in *divitiis etiam fore admirabiles*. Sed est de gentium *divitiis* intelligendum; de quibus ad Corinthios ita scribit Apostolus: « Gratias ago Deo meo per Jesum Christum, quod in omnibus divites facti estis in illo, in omni verbo et in omni scientia: sicut testimonium Christi confirmatum est in vobis, ita ut nihil desit vobis in ulla gratia [2]. » Sunt tamen, qui per *fortitudinem gentium*, collatos a potentissimis, qui *de gentibus* vocati sint, honores intelligant. Vel id ideo adjectum esse, quod *gentium* vires (sive illustres apud eas, sive sæculari sapientia exercitatos intelligas) illorum superatura sit oratio. Laudem enim et gloriam ideo adepti sunt, quod ipsis superiores se præstiterunt. Sunt namque doctorum gloria qui mysticæ eorum institutionis auxilio salutem adepti sunt. Cujusmodi qui fuerint, *terram possidebunt*, omnibus potiti videlicet, non Judæa sola, ut ii olim: in quos divisa est hæreditas per Jesum Nave, qui veri *Jesu* typus fuit, a quo altera illa et præstantior hæreditatis facta est divisio, de qua sic legitur in Psalmis: « Postula a me, et dabo tibi gentes hæreditatem tuam, et funiculum tuum, terminos terræ [3]; » quam divisit Dominus discipulis suis, cum alios alio dimitteret alacres animo, et veluti quadam *lætitiæ* corona redimitos, id est non fluxam et momentaneam, sed bonorum stabilitate perpetuam et sempiternam mercedem habentes. Fient vero ista, adjicit, quoniam *justitiam* quidem *diligo*; *odi* **705** autem *rapinas ex iniquitate* malorum dæmonum, qui hominum animas quondam diripiebant. Quo factum est, ut non in Judæos tantum, sed in mortales etiam omnes gratiam meam effunderem. Sed notandum est, quo loco *justis* habemus, *in veritate* cæteros omnes interpretari: unde non esse laborum mercede carituros constiterit; sed eumdem illis *in veritate* recondi servarique.

B Τίνες ἀλλ' οἱ ε τῆς Ἐκκλησίας *ἀμπελουργοὶ*, οἳ καὶ *τὴν ἰσχὺν* κατέδονται *τῶν ἐθνῶν*; ἢ κατὰ τὸν Ἀκύλαν, *τὴν εὐπορίαν*. Οὐδὲν γὰρ τοιοῦτο βρῶμα τοῖς τῆς Ἐκκλησίας *ποιμέσι* κατάλληλον, ὡς ἡ *ἰσχὺς* τῶν δι' αὐτῶν σωζομένων ἐθνῶν. Οὗτοι δ' ἂν εἶεν οἱ τὴν *ἰσχὺν* διὰ τῆς ὑπομονῆς ἐν τῇ ὑπὲρ ἀληθείας ἐπιδειξάμενοι μαρτυρίᾳ. Ἀλλὰ καὶ *ἐν τῷ πλούτῳ*, φησὶ, *θαυμασθήσεσθε*. Τὸν δὲ τῶν ἐθνῶν *πλοῦτον*, ἀφ' ὧν ὁ Παῦλος γράφει Κορινθίοις, νοήσομεν· « Εὐχαριστῶ τῷ Θεῷ μου διὰ Ἰησοῦ Χριστοῦ, ὅτι ἐν παντὶ ἐπλουτίσθητε ἐν αὐτῷ, ἐν παντὶ λόγῳ, καὶ πάσῃ γνώσει, καθὼς τὸ μαρτύριον τοῦ Χριστοῦ ἐβεβαιώθη ἐν ὑμῖν, ὥς τε μὴ ὑστερεῖσθαι ὑμᾶς ἐν μηδενὶ χαρίσματι. » Τινὲς δὲ *ἰσχὺν ἐθνῶν*, τὰς ἐκ τῶν δυνατωτάτων τιμὰς λέγουσιν, οἵπερ ἂν εἶεν *ἐξ ἐθνῶν* κεκλημένοι, ἢ ὅτι ὁ παρ' ὑμῶν h ἐπικρατήσει λόγος τῆς δυνάμεως *τῶν ἐθνῶν*, ἢ τῶν παρ' ἐκείνοις λαμπρῶν, ἢ τῶν κοσμικὴν ἠσκημένων σοφίαν. Τούτων γὰρ κατισχύσαντες ἐδοξάσθησαν. Καύχημα γὰρ διδασκάλων οἱ διὰ τῆς αὐτῶν σωθέντες μυσταγωγίας· οἱ δὲ τοιοῦτοι *κληρονομήσουσι τὴν γῆν*, πάντων ἐπικρατήσαντες, ἀλλ' οὐ μόνης Ἰουδαίας, κατὰ τοὺς πάλαι κληροδοτηθέντας ὑπὸ Ἰησοῦ Ναυῆ, ὃς τύπος ἦν τοῦ ἀληθινοῦ *Ἰησοῦ*, τοῦ τὴν δευτέραν καὶ κρείττω πεποιημένου κληροδοσίαν, περὶ ἧς φησιν ἐν Ψαλμοῖς· « Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς, » ἣν διένειμε τοῖς ἑαυτοῦ μαθηταῖς, ἄλλους ἀλλαχοῦ διαπέμψας χαίροντας ἐν αὐτῷ, καὶ ὥσπερ τινὰ στέφανον περικειμένους *τὴν εὐφροσύνην*, οὐκ ἐν προσκαίροις ἔχοντας τὴν ἀντιμισθίαν, ἀλλ' ἐν ἀεὶ διαμένουσιν ἀγαθοῖς. Ἔσται δὲ ταῦτα, φησὶν, ἐπειδὴ *δικαιοσύνην* μὲν *ἀγαπῶ*, *μισῶ* δὲ *τὰ ἐξ ἀδικίας ἁρπάγματα* τῶν πονηρῶν δαιμόνων τὰς ἀνθρωπίνας πάλαι διαρπαζόντων ψυχάς. Ὅθεν οὐκ Ἰουδαίοις μόνοις, ἀλλὰ πᾶσι, τὴν ἐμαυτοῦ χάριν ἐξέχεον. Ἀντὶ δὲ τοῦ *δικαίοις*, *ἐν ἀληθείᾳ* πάντες ἐρμήνευσαν οἱ λοιποί. Ὡς τε οὐ διαψευσθήσεται αὐτῶν ὁ μόχθος· ἀλλ' *ἐν ἀληθείᾳ* καὶ αὐτοῖς φυλαχθήσεται.

[1] Matth. xxi, 40. [2] I Cor. i, 4-7. [3] Psal. ii, 8.

VARIÆ LECTIONES.

ε γρ. ἄλλοι, ἤ. h Ισ. αὐτῶν.

Digitized by Google

Τινὲς δέ φασιν αἰτίαν εἶναι τούτους πρὶν ἀπελη- A λάσθαι *ποιμένας* πλεονεξίᾳ χαίροντας, οἵπερ [i] ἀδίκως πλουτοῦντες, καθά φησιν ὁ προφήτης· « Θησαυρίζοντες ἑαυτοῖς ἀσέβειαν, καὶ ταλαιπωρίαν, εἰς ἑτέρους αὐτὰ παραπέμπουσιν. » Ἔφη γοῦν ὁ Σολομῶν, ὅτι πλοῦτος ἀδίκως συναγόμενος ἐξεμεθήσεται. Περὶ οὗ συστήματος καὶ ὁ Δαβὶδ φησιν· « Πλὴν μάτην ταράσσεται. Θησαυρίζει, καὶ οὐκ οἶδεν τίνι συνάξει αὐτά. » Καὶ ἄλλως δὲ τοῖς *ἐξ ἐθνῶν* ἐδόθη τῶν Ἰουδαϊκῶν διδασκάλων *ὁ μόχθος*, κατὰ τό· « Ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς. » *Οἷς καὶ διαθήκην αἰώνιον διαθήσομαι*, οὐ τὰ Μωσέως ἐντάλματα, τὸ δὲ τῆς καινῆς διαθήκης μυστήριον· ἢ τὴν ἐλπίδα τὴν ἀτελεύτητον. Εἶτά φησι· *Καὶ γνωσθήσεται ἐν τοῖς ἔθνεσι τὸ σπέρμα αὐτῶν*· οὐ B τὸ σωματικὸν, ἐφ' ᾧπερ αὐχοῦσιν Ἰουδαῖοι, ἀλλὰ τὸ λογικὸν τῆς Ἐκκλησίας, ὃ *παντὶ γνώριμον*, ὡς ὑπὸ Θεοῦ τὴν αὔξησιν ἔχει. *Σπέρμα* γὰρ ἢ τὴν διδασκαλίαν, ἢ τοὺς μαθητὰς προσήκει νοεῖν, οἳ καὶ ἐξ αὐτῆς δόξης διὰ τῆς ἀγαθουργίας ὑπάρχουσι γνώριμοι, ὡς ἁγίων ὑπάρχουσι μαθηταὶ, *σπέρμα* ὄντες εὐλογημένον ὑπὸ Θεοῦ. Ὁποῖα τὰ θεῖα τῶν μοναζόντων συστήματα, περὶ ὧν ὁ Παῦλός φησιν· « Οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις· » οἱ καὶ αὐτοὶ *εὐφραν θήσονται ἐπὶ τῷ Κυρίῳ*, οἷα δὴ τοιούτων σπέρμα γενόμενοι, περὶ ὧν ἔλεγεν· Καὶ *εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν*. Τινὲς δὲ τὴν ὅλην ῥῆσιν δύνασθαί φασι καὶ ὡς ἀπὸ τοῦ προφήτου λεγομένην νοεῖν. Ἐπεὶ γὰρ ὑπερβάλλουσαν ἔφη τοῦ C Δεσπότου φιλανθρωπίαν ἐπὶ τὸ κρεῖττον πάντα μετρίσοντος, Οὐκ ἐμὸς ὁ λόγος, φησὶ, τῆς δὲ τοῦ Πνεύματος ἐνηχήσεως Θεοῦ με πρὸς εὐαγγελισμὸν ἀναδείξαντος τῶν μελλόντων ἀγαθῶν τοῖς ἐν *πενίᾳ* γενησομένων, ὡς ἂν ἔφασιν δεξάμενοι ψυχικὴν ἐπανέλθωσιν ἀπὸ τῆς κατὰ ταύτην *αἰχμαλωσίας*, ἥτις καὶ κυρίως ἐστίν. Σωματικῶς γὰρ *ἐν αἰχμαλωσίᾳ Δανιὴλ*, καὶ οἱ τρεῖς γενόμενοι παῖδες, ἀδούλωτον ἔσχον τὸ φρόνημα· μᾶλλον δὲ καὶ τὸ σῶμα μήτε πυρὸς, μήτε θηρίων καθικνουμένων. *Ἐνιαυτὸς* δὲ *Κυρίου δεκτὸς*, ἐν ᾧ μεταβαλεῖ πρὸς τὸ κρεῖττον ψυχὴ τῷ τῶν ψυχῶν γεωργῷ τὴν εὐκαρπίαν παρέχουσα, καθάπερ φορὰν σπερμάτων ἐτήσιον βλαστανόντων μὲν ἐν χειμῶνι, ἐν ἔαρι δὲ αὐξομένων, D ἐπὶ δὲ θέρους τελειουμένων.

Sunt tamen qui causam esse dicant, cur istos *pastores* avaritiæ deditos prius abegerit : quia injuste ditescendo, ut est apud prophetam, « Thesaurizantes sibi impietatem et miseriam, in alios ea transmittunt [a]. » Optime igitur Salomon, cum divitias inique congestas evomi tandem pronuntiavit [b]. De congerie ejusmodi fuerint et illa Davidis : « Verumtamen frustra conturbatur. Thesaurizat, et ignorat cui congregabit ea [c]. » Et vero alias ad eos etiam, qui de *gentibus* sunt, transiit Judaicorum doctorum *labor*, juxta illud : « Auferetur a vobis regnum Dei, et dabitur genti, quæ faciat fructus ejus [d]. » Ait præterea se *cum eis fœdus sempiternum initurum ;* non Mosis præcepta, sed recentis testamenti mysteria, vel fidem perennem et immortalem intelligens. Deinde adjicit : *Et cognoscetur in gentibus semen eorum :* non corporeum quidem illud, quo gloriantur Judæi ; sed ad Ecclesiam relatum ; quod est *omnibus cognitum*, tanquam quod a Deo incrementi sui rationem habeat. *Seminis* enim appellatione, vel doctrinam, vel discipulos decet intelligere ; qui ipso oculorum sensu propter operum bonitatem cogniti, veluti sanctorum discipuli, *semen* a Deo benedictum exsistunt. Cujusmodi sunt sancti monachorum cœtus, de quibus apud Paulum in hæc verba legimus : « Qui autem Jesu Christi sunt, carnem crucifixerunt cum affectibus et cupiditatibus [e]. » Iidem et *in Domino exsultabunt*, quippe qui tale semen evaserint, de quibus intellexit, cum *lætitiam sempiternam in caput eorum* fore significavit. Sunt tamen, qui totam verborum seriem, tanquam a prophetæ persona sint, intelligendam putent. **706** Quandoquidem enim permaximam esse Domini benignitatem dixit, qui omnia in melius transferat ; non suum jam, sed resonantis in se Spiritus Dei sermonem esse dicit, qui se ad futurorum bonorum denuntiationem iis designavit, quos esset *paupertas* invasura : ut animi medelam experti, ejusdem illi se *captivitate*, quæ vere et proprie dicitur, liberarent. Corpore siquidem licet Daniel, puerique tres, *captivitatem* paterentur [f], animo tamen non sentiebant. Imo ne corpus quidem illorum vel ignis, vel feræ attigerunt. Fuerit vero *annus Domini acceptabilis*, in quo animarum cultori, anima ipsa in melius commutata, fructuum abundantiam ediderit : non aliter quam semina quidem ipsa quotannis hieme germinare ; vere autem crescere et augeri, æstate denique perfici videmus.

Οἷς *ἀντὶ πένθους εὐφροσύνην εὐαγγελίζεται*, καὶ τῆς κατεχούσης αὐτοὺς ἑκατέρας *αἰχμαλωσίας*, οἳ καὶ ἀνοικοδομήσουσι τὰς πλείστας κατεστραμμένας, ἕξουσί τε τοὺς ἀλλοφύλους ἐν ὑπηρετῶν τάγματι εὐχομένων θητεῦσαι τοῖς Ἰσραηλίταις τῷ λόγῳ τῆς θεοσεβείας ἱερωμένοις. Ὅτι γὰρ ἕκαστος *ἱερεὺς* εἶναι δύναται τοῦ Θεοῦ, δείκνυσι καὶ τὸ κατ'

Talibus igitur *pro luctu lætitiam denuntiat*, quantumvis eos utrumque occupet *captivitatis* genus. Excitabunt et ipsi animas quamplurimas, quæ prostratæ jacebant, habebuntque alienigenas servorum loco, qui Israelitis pietatis ergo sacra facientibus, famulari exoptent. Unumquemque enim Dei *sacerdotem* esse posse ostendit et quæ per do-

[a] Amos III, 10. [b] Imo, Job XX, 15. [c] Psal. XXXVIII, 7. [d] Matth. XXI, 43. [e] Galat. V, 24. [f] Dan. I et III.

VARIÆ LECTIONES.

[i] Isc. ὅτι περ.

Digitized by Google

mos singulas ovis mactabatur, et quæ per quoslibet preces Deo offeruntur. Qui igitur pietati incumbent, *gentium* oblationibus *divites* effecti, admirabiles etiam futuri sunt, *terramque* aliam, non veterem, *possessuri*, non jam qui fuerant antea, sed alii, et amici judicati. *Ego enim*, addit, *justitiæ sum Dominus*, qui non omne genus *rapinarum*, sed quod *ex iniquitate est*, *odio prosequor*. *Diligo* siquidem et eos, qui regnum cœlorum *rapiunt* [10]. Qui autem injuste *rapiunt*, non iis tantum, quæ *rapuerunt*, privati, nudique abituri sunt, sed pœnas etiam isto nomine luituri. *Justi* vero, quia eorum, quæ ceperunt, boni dispensatores se præbuerunt, præsentibus bonis et æternis tum demum potituri sunt, cum eos, tanquam *benedictionis* hæredes *agnosci* **707** contigerit : non aliter ac sceleratis sua non defutura est ultio, illis *lætitiam sempiternam possidentibus*.

A οἶκον θυόμενον πρόβατον, καὶ ἡ διὰ λόγων ἑκάστου προσαγομένη τῷ Θεῷ προσευχή. Θεοσεβείᾳ τοίνυν προσκείμενοι δέξονται παρὰ τῶν ἐθνῶν προσφορὰς πλουτοῦντες καὶ θαυμαζόμενοι· καὶ ἀντὶ τῆς ἀρχαίας ἑτέραν κληρονομήσουσι γῆν, ἀντ' ἄλλων ἄλλοι φαινόμενοι, καὶ φίλοι ὄντες. *Δικαιοσύνης ἐγὼ γάρ εἰμι Κύριος*, οὐχὶ πάντα τὰ ἁρπάγματα μισῶν, ἀλλὰ τὰ ἐξ ἀδικίας. Καὶ γὰρ τοὺς ἁρπάζοντας τὴν βασιλείαν τῶν οὐρανῶν ἀγαπῶ. Οἱ δὲ ἀδίκως ἁρπάζοντες γυμνοί τε τῶν ἁρπαγμάτων ἀπίασι, καὶ τὴν ὑπὲρ αὐτῶν ἀποτίσουσι δίκην. *Οἱ* δὲ *δίκαι* οι καλοὶ τῶν ληφθέντων οἰκονόμοι γενόμενοι, καὶ τῶν παρόντων, καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαύσουσιν, ὅτε, ὡς *εὐλογίας* ὄντες κληρονόμοι, *γνωσθήσονται*, *ὥσπερ* οὖν καὶ οἱ πονηροὶ κολαζόμενοι, *κληρονομούντων* B ἐκείνων *εὐφροσύνην αἰώνιον*.

708 VERS. 10, 11. *Exsultet anima mea in Domino. Induit enim me vestimento salutis, et tunica lætitiæ. Tanquam sponsum circumdedit me mitra, et tanquam sponsam ornavit me mundo muliebri*, etc.

ι', ια'. *Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ. Ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης. Ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ*, κ. τ. λ.

Post eas promissiones, quas Christus, cum in terris apparuit, præstitit; inter quas illa etiam fuit, qua lætaturos in Domino affirmavit, Ecclesiæ jam personam ea ipsa, quæ adepta est, cum *gaudio et lætitia confitentem* inducit oratio. Suis enim veluti membris, id est, eorum plenitudine, qui salvantur, resumptis; tanquam pulchro et eleganti corpore prædita *sponsa*, adjecto etiam *sponsi ornatu*, non immerito *animam suam in Domino* cupit *exsultare*. **709** Est namque una eorum, a quibus impletur, propter mutuum consensum, *anima*, juxta illud : « Erat autem credentium omnium cor unum, et anima una [11]. » Quod multo magis in novo sæculo futurum est, in quo superius allatas voces usurpatura est. Est vero idipsum *salutis* causa, quod *se vestimento salutis a Domino indutum esse* adjecit. Implebitur enim corpus ipsum resurrectionis luce; nec mortis esse dicetur amplius; juxta Pauli sermonem, ubi quis se de corpore mortis hujus liberaturus sit, quærit [12]. *Induetur* etiam *vestimento salutis*, inquit, *anima*, *et tunica lætitiæ*. D Ita enim unumquemque, quæ fortiter gessit, habiturum; illisque, tanquam vestimentis, delectatum iri significat. Vel certe *tunicæ* nomine, Christum ipsum, juxta Pauli sententiam, intelligit; qui Dominum nostrum Jesum Christum induere præcipit [13]; quod qui fecerit, non salutem modo, sed *lætitiam* etiam adeptus fuerit : quale est illud : « Ego veni ut vitam habeant, et abundantius habeant [14]. » In quo abundantioris nomine, vitam eam, quæ *lætitiæ* conjunctionem habeat, intellexit : quam si quis nanciscatur, *ornatu* quolibet intelligibili coronabitur. Quod si in virum evaserit per-

Μετὰ τὰς ἐπαγγελίας, ὃς φανεὶς ὁ Χριστὸς ἐπὶ γῆς ἐπληρώσατο (ἐν αἷς ἦν καὶ τὸ, Εὐφρανθήσονται ἐπὶ Κύριον), προσωποποιεῖ τὴν Ἐκκλησίαν ὁ λόγος, ἐφ' οἷς ἔτυχεν *ἐξομολογουμένην καὶ χαίρουσαν*. Ἀπολαβοῦσα γὰρ ὥσπερ ἴδια μέλη, τῶν σωζομένων τὸ πλήρωμα, ὡς ἐκ σώματος εὐπρεποῦς συγκειμένη C *νύμφη*, καὶ τὸν ἐκ τοῦ *νυμφίου* προσλαβοῦσα *κόσμον*, εἰκότως φησίν· *Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ*. Μία γὰρ τῶν αὐτὴν πληρούντων ἡ διὰ τῆς πρὸς ἀλλήλους συμπνοίας ψυχή, κατὰ τό· « Καὶ ἦν πάντων τῶν πιστευόντων ἡ καρδία καὶ ἡ ψυχὴ μία. » Ὃ πολλῷ μᾶλλον ἐπὶ τοῦ αἰῶνος τοῦ νέου γενήσεται, ἐν ᾧ τὰς προκειμένας ἀποδώσει φωνάς. Τὸ δὲ *τῆς σωτηρίας* αἴτιον, *Ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου*. Τὸ γὰρ σῶμα τῆς ἀναστάσεως φωτὸς ἔσται πλῆρες, οὐκ ἔτι θανάτου λεγόμενον, κατὰ τὸ, Τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; *Σωτηρίου* δὲ *ἱμάτιον περιτεθήσεται τῇ ψυχῇ, καὶ χιτὼν εὐφροσύνης*. Ἕκαστος γὰρ τὰς ἰδίας ἀνδραγαθίας ἐνδύσεται, ταύταις ἐνευφραινόμενος. Ἤγουν χιτῶνά φησι τὸν Χριστὸν, κατὰ τὸ τῷ Ἀποστόλῳ ῥηθέν· « Ἐνδύσασθε τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν. » Ὃν ὁ δεχόμενος πρὸς τῇ σωτηρίᾳ, καὶ *τὸ ἐν εὐφροσύναις* εἶναι κερδαίνει. Ὁποῖόν ἐστι τό· « Ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσι. » Περισσὸν λέγων τὴν ἐν ᾗ *χαρᾷ* γενησόμεθα· ὃν εἴτις λάβοι, στεφανωθήσεται *κόσμῳ* παντὶ νοητῷ. Ἀλλ' εἰ μὲν εἰς ἄνδρα κατήντησε τέλειον, *ὡς νυμφίος* στεφανωθήσεται. Ὑποβαίνων δὲ τοῖς μέτροις, *ὡς νύμφη κοσμεῖται*, δυναμένου τοῦ εἰς μέτρον ἡλικίας ἐφθακότος εἰπεῖν· « Τὸν καλὸν ἀγῶνα ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα, λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. »

[10] Matth. xi, 12. [11] Act. iv, 32. [12] Rom. vii, 24. [13] Rom. xiii, 14. [14] Joan. x, 10.

Digitized by Google

fectum; *tanquam sponsus* coronabitur. Sin autem supra modum exsuperet; *tanquam sponsa ornabitur*, cum possit qui mensuram ætatis attigit, dicere: « Bonum certamen certavi, cursum consummavi, fidem servavi [15]; deinceps recondita est mihi corona justitiæ. »

Ἤγουν τοὺς αὐτοὺς, διὰ μὲν τὴν ἀνδρείαν, *νυμφίον* καλεῖ. Διὰ δὲ τὸ καρποτόκον μετὰ τοῦ ποικίλου ἐξ ἀρετῶν ἔχειν τὸ κάλλος, *νύμφην*. Εἴρηται γοῦν. « Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, » καὶ τὰ μετὰ ταῦτα. Ὁ δὲ Ἀκύλας, *Ὡς νυμφίον ἱερατευμένον, καὶ ὡς νύμφην κοσμουμένην σκεύεσιν αὐτῆς*, ἐξέδωκεν. Ὁ δὲ Σύμμαχος· *Ὥσπερ νυμφίον κεκοσμημένον στεφάνῳ, καὶ ὡς νύμφην περικειμένην τὴν σκευὴν αὐτῆς*. Ἡ δὲ αὐτὴ *νύμφη* τις οὖσα τοῦ Νυμφίου Λόγου, καὶ τὰ παρ' αὐτοῦ σπέρματα ὑποδεξαμένη, *καρποὺς ὡραίους* ἀποδιδοῦσα καὶ εὐανθεῖς λέγει, καὶ *ὡς γῆν αὔξουσαν τὸ ἄνθος αὐτῆς*. Ὡς ἂν δὲ μὴ συναρπάζοντες εἰς ἑαυτοὺς Ἰουδαῖοι ταῦτα λαμβάνοιεν, διαστέλλεται λέγων· Καὶ *ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν*. *Ἄνθος* δέ φασιν, ἢ τὸν Χριστὸν τὸν ἐν Ἄσμασι λέγοντα· « Ἐγὼ ἄνθος τοῦ πεδίου, κρῖνον τῶν κοιλάδων, » ἢ τὸ εὐαγγελικὸν κήρυγμα, οὗ *τὴν δικαιοσύνην* ὁ κατορθῶν *εὐφρανθήσεται*, ὅταν ἀκούσῃ· « Εὖ, δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστός· ἐπὶ πολλῶν σε καταστήσω. Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. »

Vel certe eos ipsos per *sponsum*, qui fortes sunt, significat; ut per sponsam, qui fecundam habeant, et cum virtutum varietate conjunctam pulchritudinem. Scribitur enim: « Propter timorem tuum, Domine, in utero concepimus [16]; » et quæ deinceps. Sed est notandum Aquilam quidem: *Tanquam sponsum sacerdotio functum, et tanquam sponsam ornatam vasis suis*, transtulisse; Symmachum autem *quasi sponsum ornatum corona, et quasi sponsam circumdatam supellectile* **710** *sua*. Quæ autem ejusmodi est Sponsi Verbi *sponsa* (quia ab ipso germina excepit (tempestivos *fructus* et suaves edens, se *sicut terram, quæ florem suum profert* factam esse ait. Ac ne ista pro se dici putarent Judæi; alia etiam cum distinctione adjicit; cum *exsultationem coram gentibus omnibus* emissurum Dominum affirmat. Per *florem* deinde, vel Christum intelligit, qui se in Canticis, campi florem, et lilium convallium appellat [17]: vel ipsam etiam Evangelii promulgationem; cujus qui *justitiam fecerit, lætitia exsultabit*, cum ista audierit: « Euge, serve bone et fidelis; super multa te constituam, intra in gaudium Domini tui [18]. »

ΚΕΦΑΛ. ΞΒ'

CAP. LXII.

α ιβ'. *Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἰερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου, τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται. Καὶ ὄψονται ἔθνη τὴν δικαιοσύνην σου, καὶ βασιλεῖς τὴν δόξαν σου, καὶ καλέσει σε τὸ ὄνομά σου τὸ καινὸν, ὃ ὁ Κύριος ὀνομάσει αὐτό. Καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου*, κ. τ. λ.

Vers. 1-12. *Propter Sion non tacebo, neque propter Jerusalem quiescam, donec egrediatur, ut lumen, justitia mea, et salutare meum, sicut lampas, accendatur. Et videbunt gentes justitiam tuam, et reges omnes gloriam tuam, et vocabit te nomine recenti, quod Dominus nominabit. Et eris corona pulchritudinis in manu Domini, et diadema regni in manu Dei tui*, etc.

Ἐπὶ δὲ τοῖς εἰρημένοις ὁ προφήτης διατεθεὶς, καὶ οἷον ἔνθους ὑφ' ἡδονῆς γενόμενος, *Διὰ Σιὼν*, φησὶν, *οὐ σιωπήσομαι*. Διὰ παντὸς γὰρ βοήσω πρὸς τὸν Θεὸν ἱκετεύων τὸ τῶν εἰρημένων ἰδεῖν ἀποτέλεσμα, ὅπερ ἔσται ἐπ' ἂν ἡ *δικαιοσύνη καὶ τὸ σωτήριον Ἰερουσαλὴμ* ἐπὶ πάντας ἀνθρώπους ἐκλάμψῃ. Τὸ γὰρ *φῶς* αὐτῆς *εἰς τὰ ἔθνη* μετ' αὐτὴν διαβήσεται. Ὁ γὰρ τῶν ἀποστόλων χορὸς τὴν διδασκαλίαν ἐπὶ *πάσας τὰς βασιλείας* ἐξέτεινεν, ἥτις ἦν καὶ τῶν πάλαι πληρούντων τὸ θεοσεβὲς παρ' Ἰουδαίοις πολίτευμα καλούμενον *Ἱερουσαλήμ*. Τινὲς δὲ τὴν νέαν φασίν. Τῆς γὰρ Ἐκκλησίας οἱ ἀπόστολοι γεγόνασιν ἀπαρχή. *Οὐκ ἀνήσω* τοίνυν *μέχρι* πληρώσῃ Θεὸς αὐτῇ τὰ ἐπηγγελμένα, τὴν διὰ Χριστοῦ δηλαδὴ *σωτηρίαν* πάσῃ τῇ γῇ. Οὐ γὰρ Ἰουδαίων μόνων ὁ Θεὸς, ἀλλὰ καὶ ἐθνῶν. Τινὲς δὲ (ὡς τοῦ ῥητοῦ ἔχοντος· *τὴν δικαιοσύνην μου, καὶ τὸ σωτήριόν μου*) ἀπὸ προσώπου τοῦ Θεοῦ τὸν λόγον εἶναί φασιν ἐπαγγελλομένου ταῦτα πληροῦν. *Δικαιοσύνη δὲ καὶ σωτήριον* ὁ Χριστὸς, *οἷά* τις ἐν κόσμῳ

Iis igitur quæ dicta sunt, propheta præparatus, et voluptate, veluti numine excitatus, *propter Sionem non esse se taciturum* affirmat. Perpetuo enim se clamitaturum, precibusque efflagitaturum, ut eorum, quæ dicta sunt, eventum intueatur: qui tum demum futurus est, cum *justitiam et salutare Jerusalem* mortalibus omnibus illucere contigerit. Tunc enim *lumen* ipsius *ad gentes* post eam esse transiturum. Quod apostolorum doctrina præstitum est; quæ in *omnia regna* propagata vere illa vetus *Jerusalem* fuit, quæ pium et sanctum apud Judæos civitatis institutum sequebatur. Sunt tamen, qui ad novam retulerunt. Fuerunt enim apostoli Ecclesiæ primitiæ. *Non quiescam* igitur, inquit, *donec* ea impleverit Dominus, quæ ipsi pollicitus est: id est donec *salutem* universæ terræ per Christum præstiterit. Non enim est Deus Judæorum tantum, sed gentium etiam [19]. Nonnulli vero, tanquam *justitiam meam et salutare meum propheta* habeat, ad Deum, qui ista se facturum polliceatur, retulerunt. Est autem

[15] II Tim. iv, 7. [16] Isa. xxvi, 18. [17] Cant. ii, 1. [18] Matth. xxv, 21. [19] Rom. iii, 29.

Digitized by Google

justitia et salutare, Christus ipse, *veluti lampas* in mundo; qui se quandiu in mundo versabatur, mundi lumen esse dixit [30], in quo essent omnes impietatis et scelerum tenebris prius involuti. Significat porro per **711** *justitiam et gloriam*, Christum ipsum; in quo justi, et cujus gloria divites effecti sumus.

Quia deinde vitæ novitatem amplectebatur, habuit et *recens nomen:* non Synagoga jam ut antea, sed Ecclesia, et domus, et civitas Dei nuncupata. De qua est apud Davidem, quo loco ipsam alloquens gloriosa de Dei civitate dicta esse affirmavit [31]. Ut autem elegantem, formaque præter cæteras insignem, fore doceret; *coronam pulchritudinis futuram esse* addidit. Licet enim sanctam quamlibet *animam*, Ecclesiamque totam, similem *coronæ*, quæ ex vario florum genere contexitur, *regioque* etiam *diademati* dicere: cum eam apud Davidem vestitu deaurato indutam esse, et variegatam, eadem plane atque hic ratione, legamus [32]. Quod deinde *in manu Domini* dixit, ejus protectionem defensionemque significavit; qui suæ manus protectione eam se protecturum affirmavit. Asserit vero etiam Christus ipse neminem suas oves de Patris manu esse erepturum [33]. Non desunt porro, qui *coronæ* nomine, eos ipsos intelligant, qui in Christo cum virtute et laude vixerunt: per *regni* vero ipsius *diadema*, eos etiam, qui eumdem sanguine suo testati sunt: quos sua ipse *manu* seligens Pater, Filio adjungit, veluti *coronam* apponens; *regioque diademate*, id est, eorum frequentia honorans, qui per ipsum, et ab ipso salutem adepti sunt: a quibus non *vocabitur amplius quæ recens nomen* accepit, *derelicta et deserta*, sed *voluntas mea;* id est secundum *voluntatem meam:* quibus eam etiam gratam fore et acceptam significat. Quæ *deserta* ob id, quod in Christum admiserat, facta fuerat, sed servatis reliquiis, *gentibusque* cum ipso conjunctis, in multitudinem evasit infinitam, Deo ipsam probante et amplectente; quantumvis, exercitationis gratia, afflictam sæpe negligere videatur. Quidam autem, quod *et terra tua habitata* dixit, ad *recens* regni Christi sæculum retulerunt, **712** quo tempore incolas promissionibus minime indignos habitura est, qui vita etiam jucunda adeo et tranquilla potituri sunt, ut *juvenis cum virgine habitare* videatur.

Sunt tamen, qui ex Judæis primum Ecclesiam velint constitisse; inter quos cæteris Christi præstantiores apostoli tanto erga eam amore flagrarunt, ut pro eis anathema fieri Paulus exoptarit [34]. Sed est rerum ingens facta renovatio. Vetus enim Synagoga, vetustate quodam pacto obsoleta, juvenculæ comparatur. Ipsius deinde filii, Apostoli nimirum, *cum ea habitarunt*, cum eamdem, veluti nutricem, manu regerent; cum sicut matrem consolarentur; cum denique legis umbras vitare docerent: unde pro patribus esse natos illi filios apud Davidem legimus [35]. Cum enim filii essent, in patres evaserunt. Quæ cum ita se habeant; ita inquit,

A σμῳ λαμπάς, εἰπών· Ὅτ' ἂν ὦ ἐν τῷ κόσμῳ, φῶς εἰμι τοῦ κόσμου, ἀσεβείᾳ καὶ πλημμελήμασιν ἁπάντων ἐσκοτισμένων τὸ πρότερον. *Δικαιοσύνην δὲ καὶ δόξαν* πάλιν καλεῖ τὸν Χριστόν. Δεδικαιώμεθα γὰρ ἐν αὐτῷ, καὶ τὴν παρ' αὐτοῦ πεπλουτήκαμεν δόξαν.

Πρὸς καινότητα δὲ τραπεῖσα ζωῆς, *καινὸν* ἔσχε καὶ *τοὔνομα*, ἀντὶ Συναγωγῆς Ἐκκλησία, καὶ οἶκος, καὶ πόλις Θεοῦ, ᾗ φησιν ὁ Δαβίδ· Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. Ὅτι δὲ καὶ εὐπρεπὴς ἔσται, καὶ ἀπαραβλήτῳ κάλλει κατεστεμμένη, ἐπήγαγεν· *Ἔσῃ στέφανος κάλλους.* Πᾶσαν γὰρ ἁγίαν ψυχὴν, καὶ τὴν Ἐκκλησίαν ὅλην, *στεφάνῳ* παρεικαστέον ἐκ πολλῶν ἀνθέων συγκειμένῳ, *βασιλικῷ* τε *διαδήματι.* Φησὶ γὰρ B εἶναι τὴν Ἐκκλησίαν Δαβὶδ ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένην, πεποικιλμένην, ἴσα λέγων τοῖς προκειμένοις. Τὸ, *ἐν χειρὶ δὲ Θεοῦ*, τὸ ὑπὸ σκέπην δηλοῖ τὴν αὐτοῦ. Ὅς καί φησιν· Καὶ ὑπὸ σκέπην τῆς χειρός μου σκεπάσω σε. Καὶ ὁ Χριστὸς δὲ περὶ τῶν ἰδίων προβάτων φησί· Καὶ οὐδεὶς ἁρπάσει αὐτὰ ἐκ τῆς χειρὸς τοῦ Πατέρος μου. Τινὲς δὲ *στέφανον* Χριστοῦ τοὺς δι' αὐτοῦ κατορθοῦντας εἰρήκασι· καὶ τῆς αὐτοῦ *βασιλείας διάδημα*, τοὺς ὑπὲρ αὐτοῦ μαρτυρήσαντας, οὓς τῇ ἑαυτοῦ *χειρὶ* ὁ Πατὴρ ἐκλεξάμενος τῷ Υἱῷ περιτίθησιν, *στεφανῶν* αὐτὸν *καὶ διαδήματι βασιλικῷ* τιμῶν, τῷ πλήθει τῶν δι' αὐτοῦ *καὶ ὑπ' αὐτοῦ* σεσωσμένων. Ἐφ' οἷς *οὐκ ἔτι κληθήσεται ἡ τὸ καινὸν ὄνομα λαβοῦσα, ὑπολελειμμένη καὶ ἔρημος*, ἀλλὰ *θέλημα ἐμόν*, τοῦτ' ἔστι, κατὰ τὸ *θέλημά* C *μου.* Δι' οὗ δηλοῖ καὶ τὸ, θελητὴν αὐτὴν ἔσεσθαι τὴν πρὶν *ἐρημωθεῖσαν*, ἀνθ' ὧν ἠθέτησεν εἰς Χριστόν· ἀλλὰ σωθέντος τοῦ καταλείμματος, καὶ ἑνωθέντων αὐτῷ τῶν *ἐξ ἐθνῶν*, εἰς πλῆθος ἐπέδωκεν ἄπειρον, εὐδοκοῦντος ἐν αὐτῇ Θεοῦ, εἰ καὶ παρορᾷ πολλάκις γυμνασίας χάριν διωκομένην. Τινὲς δὲ τὸ, *καὶ ἡ γῆ σου οἰκουμένη*, ἐν τῷ *καινῷ* αἰῶνι τῆς Χριστοῦ βασιλείας φασὶ τοὺς τῶν ἐπαγγελιῶν ἀξίους οἰκήτορας ἔξουσαν*· οἳ καὶ ἐν τοσαύτῃ θυμηδίᾳ διάξουσιν, *ὡς ἐοικέναι νεαρίσκῳ συνῳκηκότι παρθένῳ.*

D Τινὲς δέ φασιν ὡς ἐξ Ἰουδαίων συνέστη τὸ κατ' ἀρχὰς, ὧν προὔχοντες ἦσαν οἱ τοῦ Χριστοῦ μαθηταὶ τὴν εἰς ἄκρον ἀγάπην εἰς αὐτὴν διασώζοντες, ὡς καὶ ὀδυνᾶσθαι τὸν Παῦλον ὑπὲρ αὐτῶν καὶ εὔχεσθαι ἀνάθεμα εἶναι. Πολὺς δὲ τῶν πραγμάτων ὁ καινισμός. Ἡ γὰρ ἀρχαία Συναγωγὴ τρόπον τινὰ πεπαλαιωμένη τῇ παλαιότητι, νεάνιδι παρεικάζεται. Οἱ δὲ υἱοὶ αὐτῆς ἀπόστολοι *ἐν αὐτῇ κατῴκουν*, ὡς τροφὸν χειραγωγοῦντες, παρακαλοῦντες ὡς μητέρα, φεύγειν τοῦ νόμου τὰς σκιὰς εἰσηγούμενοι, ὡς τὸν Δαβὶδ λέγειν· Ἀντὶ τῶν πατέρων σου ἐγενήθησάν σοι υἱοί. Υἱοὶ γὰρ ὄντες, εἰς πατέρας ἐγένοντο. Ὧν οὕτως ἐχόντων, οὕτως *εὐφραρθήσεται Κύριος ἐπὶ*

[30] Joan. VIII, 12. [31] Psal. LXXXVI, 3. [32] Psal. XLIV, 10. [33] Joan. X, 28. [34] Rom. IX, 3. [35] Psal. XLIV, 17.

Digitized by Google

σοι, καθάπερ ἀμέλει καὶ νυμφίος ἐπὶ νύμφῃ. Καθίκετο γὰρ ἐξ οὐρανῶν ὁ μονογενὴς Λόγος ἔγκαρπον ἀποφῆναι τὴν Ἐκκλησίαν, ἣν αὐτὸς ἑαυτῷ παρέστησε παρθένον ἁγνὴν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα. Δεξαμένη δὲ παρ' αὐτοῦ τῆς εὐαγγελικῆς πολιτείας τὰ σπέρματα, τέτοκεν οὐκέτι τὴν δι' αἱμάτων καὶ καπνοῦ λατρείαν, ἀλλ' ἐν ᾗ τὸ τῆς ἀληθείας ἐντετόρνευται κάλλος, ἥπερ εἰκότως εὐφραίνεται, τοὺς τύπους εἰς ἀλήθειαν μετατιθεμένους ὁρῶν. Καὶ ἐκ τελείων μελῶν τὴν νύμφην συνεστῶσαν θεώμενος, τοῦ τε προτέρου καὶ τοῦ νέου λαοῦ, *οἷα νυμφίος ἐπὶ νύμφῃ εὐφραινθήσεται*, καταστήσει τε *φυλακὰς*, ἀγγέλους δηλαδὴ θείους, καὶ δυνάμεις ἁγίας εἰς τὸ τῆς νέας *Ἱερουσαλὴμ τὰ τείχη φυλάττειν*, ὅπως ἐν εἰρήνῃ κατάρχων, αὐτὸς εἰς τὸν αἰῶνα διάγοι. Ἢ τάχα *φυλακὰς* λέγει τοὺς ἁγίους μυσταγωγοὺς, οἳ διὰ παντὸς ἀνυμνοῦσι τὴν δόξαν αὐτοῦ, μεμνημένοι τῶν θαυμασίων αὐτοῦ, καθὰ γέγραπται· Περὶ οὗ λέξουσιν, ὅτι *οὐκ ἔστιν ὑμῖν ὅμοιος*. Ὅσον γὰρ τῇ φύσει, τοσοῦτον διαφέρει χρηστότητι. Ὡς εἴρηται γὰρ ἐν Ψαλμοῖς· « Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν. »

Ἀντὶ δὲ τοῦ· *Οὐκ ἔστι γὰρ ἡμῖν ὅμοιος, ἐὰν διορθώσῃ, καὶ ποιήσῃ Ἱερουσαλὴμ ἀγαυρίαμα ἐπὶ τῆς γῆς*· Σύμμαχος, *Μὴ ἡσυχάσητε*, φησὶ, *μηδὲ δῶτε ἡσυχάσαι λίθῳ, ἕως ἑτοιμάσῃ, καὶ ἕως θῇ τὴν Ἱερουσαλὴμ αἴνεσιν ἐν τῇ γῇ*. Ἃ δὴ λέλεκται τοῖς εἰποῦσιν ἄνω· *Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη αὐτῆς*. Τοῦ γὰρ προφητικοῦ ταῦτα εἰρηκότος χοροῦ, τὸ Πνεῦμα τὸ ἅγιον παραθαῤῥύνει ταῖς ὑπὲρ αὐτῶν ἐπιμένειν εὐχαῖς, καὶ μὴ συγχωρεῖν *ἡσυχάσαι* τῷ ἐπαγγειλαμένῳ ταῦτα Θεῷ, ἕως *ἂν θῇ τὴν Ἱερουσαλὴμ αἴνεσιν ἐν τῇ γῇ*. Ὧν δὴ βοώντων, ὁ εἰπών· « Ἔτι σου λαλοῦντος ἐρῶ, Ἰδοὺ πάρειμι, » ἀποκρίνεται· *Ὤμοσεν Κύριος*. Κατὰ δὲ τοὺς Ἑβδομήκοντα ἐξ ἑτέρας ἀρχῆς ληπτέον τὸ, *Ἐὰν διορθώσῃ*, καὶ τὰ ἑξῆς. Τί οὖν ὄμνυσι μηκέτι πείσεσθαι αὐτοὺς, ἃ πρότερον ἀσεβοῦντες ὑπέμενον, δηωμένης αὐτῶν ὑπὸ πολεμίων τῆς χώρας; Οὐχ ἁπλῶς δὲ, ἀλλ' ἐὰν διορθώσωνται τύπων παυσάμενοι νομικῶν, τὴν διὰ πίστεως δεξάμενοι χάριν, καυχώμενοί τε ἐν Χριστῷ. Τοῦτο γὰρ τὸ *ποιεῖν ἀγαυρίαμα*. Τότε γὰρ, κατὰ τὸν Δαβὶδ φησὶν εἰρηκότα, « Τοὺς καρποὺς τῶν πόνων σου φάγεσαι. » Καὶ κατὰ Παῦλον, « Ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει. » Καὶ, « Ὁ σπείρων εἰς τὸ πνεῦμα, ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον. » Πάλαι δὲ τὸν ἑαυτῶν καρπὸν *βρῶμα* παρεῖχον *τοῖς ἐχθροῖς* τοῦ Θεοῦ, δαιμόνων τροφὴν τὰς ἑαυτῶν πράξεις ἀπεργαζόμενοι. Τοῦτο δὲ οὐκ ἔσται τοῖς τοῦ νέου καταξιωθησομένοις αἰῶνος, ἀλλὰ τὴν ἀρετὴν κατορθώσαντες, τῶν ἰδίων καρ-

super te lætabitur Dominus, quemadmodum lætatur sponsus cum sponsa. Descendit enim de cœlis Verbum unigena, ut Ecclesiam fecundaret; quam ipse sibi virginem castam ascivit [26], non habentem maculam, ve. rugam [27]. Cum autem ab ipso evangelicæ administrationis semina excepisset: non sanguinem amplius, et fumosum cultum enixa est, sed eum ipsum, in quo expressa esset veritatis pulchritudo; qua non immerito *lætatur*, qui figuras in veritatem mutatas esse videat. *Lætabitur* porro, *tanquam* veteris novique populi *sponsus cum sponsa*, cum suis membris absolutam et perfectam esse *sponsam* intuebitur, *custodesque*, id est, cœlestes angelos, et virtutes sanctas, ad *murorum* recentis *Jerusalem custodiam constituet*, quo possit in pace degens perpetuo imperare. Vel forsan *custodum* nomine, sanctos arcanorum doctores intelligit, qui patratorum ab ipso miraculorum memoriam recolentes, ejus gloriam perpetuo laudibus extollant. De quo et illud etiam non sunt omissuri, quod *similis vobis non sit*. Quantum enim natura, tantum et ille differt bonitate. Ut enim legimus in Psalmis: « Non secundum peccata **713** nostra fecit nobis, neque secundum iniquitates nostras retribuit nobis [28]. »

Verum quo loco: *Non est nobis similis, si corrigat, et faciat Jerusalem gaudium in terra*, dixit, ita Symmachus: *Ne quiescatis*, inquit, *neque permittatis lapidi quiescere, donec præparaverit, et donec posuerit Jerusalem laudem in terra.* Quæ certe iis esse responsa apparet, qui se *propter Sionem non esse tacituros, neque propter Jerusalem quieturos donec egrediatur, ut lumen, justitia ejus*, antea dixerant. Quia enim idipsum prophetarum chorus usurpavit; precibus jam eorum nomine fundendis insistere sanctus adhortatur, neque prius Deum, qui ista promittat, pati *quiescere, quam Jerusalem, in terra laudem esse fecerit.* Quibus certe clamantibus, qui dicit: « Adhuc te loquente dicam: « Ecce adsum [29]; » *jurasse Dominum* respondit. Verum si ad interpretes Septuaginta referas, est illud, quod dixit, *Si corrigat*, et quæ deinceps; tanquam ab alio principio poni existimandum. Quid est igitur, quod non ea passuros amplius, quæ olim propter impietatem senserunt, cum est ab hostibus eorum direpta regio, jurejurando affirmat? At non id simpliciter quidem pollicetur; sed si figuris legalibus antiquatis, fidei gratiam amplexi in Christo glorientur: quod nihil aliud est, quam *gaudium facere.* Tunc enim quod arcano sensu per Davidem dictum est: « Labores manuum tuarum manducabis [30.40]. » Quale est et apud Apostolum, cum ait: « Quod enim seminat homo, idipsum et metet [41]. » Itemque: « Qui seminat in spiritu, de spiritu metet vitam æternam [42]. » Cum autem fructus suos olim *in cibum, Dei hostibus* suggererent, dæmonia ipsa suis

[26] II Cor. xi, 2. [27] Ephes. v, 27. [28] Psal. cii, 10. [29] Isa. lii, 6; lviii, 9. [30.40] Psal. cxxvii, 2. [41] Galat. vi, 8. [42] Ibid.

Digitized by Google

actionibus pascebant: quod iis, qui novo sæculo digni habebuntur, minime futurum est; sed virtutem operati suis ipsi fructibus potientur. Idipsum enim est, quod *Per gloriam suam juravit* **714** *Dominus:* cum majorem, per quem *juraret*, non haberet [45].

Quod vero *comesturos et bibituros in atriis sanctis suis* dixit; de multis illis mansionibus, quæ sunt apud Patrem, intelligi queat [46]. *Atriorum* deinde, sive *arearum*, ut cæteris placet, facta mentione, ordine et templi etiam non oblitus videtur, cum per *portas suas* jubet *ambulare;* ita cœlestem civitatem innuens; cujus *areæ* et *portæ* eæ ipsæ intelliguntur, quæ postea dignis aperientur: ad quas cum vocantur, ut nihil introeuntes remoretur invidia, vel excusatio, vel dæmon (quæ solent a regno avertere) angelicis virtutibus, *viam populo suo facere* præcipit. Sunt tamen, qui ista etiam ad Ecclesiam, quæ in terris est, referri putent; *lapidumque* nomine scandala significari: præcipi autem *custodibus* ipsius et magistratibus, ut *viam* planam et expeditam præbeant accedentibus. Qui enim Judæus est, in figuris hæret legalibus. Qui autem Græcus, in doctrinæ novitatem impingit. In memoriam deinde eorum scripta revocat, qui apud suos eximii habentur. Contra autem, qui sacris initiant, offendiculorum remotis occasionibus, ipsos animi sensus, refecta ipsius in Deum qualibet elatione, expurgant. Atque inde est, quod circumcisos Paulus alloquens, nihil esse circumcisionem, nihil præputium, sed mandatorum Dei observationem significat [47]. Et alibi, cum nihil Galatis, si circumcidantur, esse Christum profuturum asserit [48]. Inde rursum, quod Græcos idem dies observare, et tempora, et annos exprobrat; metuere autem se ne in eos operam suam frustra collocarit. Tollunt porro etiam *custodes* ipsi hæreticorum offendicula. Dicas deinde et Ecclesiæ muros esse ipsam veritatis dogmatum constantiam et firmitudinem; adversus quæ ne portæ quidem inferorum quidquam poterunt [49]. Deinceps colligit his verbis: *Elevate signum in gentes ad extremos usque terminos terræ.* Neque enim quemquam decet existimare de Judæorum populo isthæc intelligi; cum *ad extremos usque orbis limites* **715** *elevare signum* jubeat.

Cæterum quidnam eo intelligit, quod *auditum signum elevare* præcipit? Verbum fidei quod prædicamus, notum fieri postulat. Vel fortasse ad salutiferæ passionis symbolum retulit. Habet vero et istud fidei confessio. Decet enim Dominum Jesum ore ipso profiteri, Deumque ipsum a mortuis suscitasse, credere [50]. *Filiam Sion* deinceps, qua manifeste Ecclesia significatur, *Salvatorem suum* docet exspectare. Est enim veteris illius reginæ *filia*, quod pietatem apud Judæos verumque cultum retinuit. Ad alterum igitur adventum ista nunc retulit, ea in memoriam revocans, quæ se gerere, ut

A τῶν ἀπολαύσονται. Τοῦτο γὰρ *κατὰ τῆς ἑαυτοῦ δόξης ὤμοσε Κύριος.* Οὐ γὰρ εἶχε κατὰ μείζονος *ὀμόσαι.*

Φάγονται δὲ *καὶ πίονται ἐν ταῖς ἐπαύλεσι ταῖς ἁγίαις μου,* αἵ τινες εἶεν αἱ πολλαὶ μόναι παρὰ τῷ Πατέρι. Ἐπαύλεων δὲ μνησθείς, ἢ *αὐλῶν,* κατὰ τοὺς λοιποὺς, ἀκολούθως καὶ τοῦ ἱεροῦ μνημονεύει, *Πορεύεσθε,* λέγων, διὰ τῶν *πυλῶν μου,* τὴν ἐπουράνιον πόλιν δηλῶν, *αὐλάς* τε ταύτης *καὶ πύλας,* αἳ κατὰ τὸ μέλλον τοῖς ἀξίοις ἀναπετάννυνται, εἰς ἃς καλουμένων, ὡς ἂν μηδὲν εἰσιοῦσι παρεμποδίζοι φθόνος, ἢ πρόφασις, ἢ δαίμων, κώλυμα τῆς βασιλείας γινόμενοι, Ὁδοποιήσατε, φησὶ, *τῷ λαῷ μου* ταῖς ἀγγελικαῖς λέγων δυνάμεσι. Τινὲς δὲ ταῦτα καὶ περὶ τῆς κατὰ γῆν Ἐκκλησίας φασὶ, καὶ *λίθους* εἶναι τὰ σκάνδαλα. Λέγεσθαι δὲ ταύτης τοῖς *φύλαξί* τε καὶ διδασκάλοις ἀπρόσκοπονι-[1] διδόναιτοῖς εἰσιοῦσιν *ὁδόν.* Ὁ μὲν γὰρ ἐξ Ἰουδαίων, τύποις ἐμφύρεσθαι νομικοῖς, ὁ δὲ ἐξ Ἑλλήνων, τῷ τῆς διδασκαλίας ξένῳ προσπταίει· μέμνηται δὲ καὶ λόγων, οὓς οἱ παρ' αὐτοῖς λογόδες γεγράφασιν. Ἀλλ' οἱ μυσταγωγοὶ τὰς τῶν σκανδάλων περικόπτουσιν *ἀφορμὰς,* λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. Ὅθεν ὁ Παῦλος τοῖς μὲν ἐκ περιτομῆς φησιν· Ἡ περιτομὴ οὐδέν ἐστι, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν, ἀλλὰ τήρησις ἐντολῶν Θεοῦ. Καὶ πάλιν· Εἰ περιτέμνεσθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει. Τοῖς δὲ ἐξ Ἑλλήνων φησίν· Ἡμέρας παρατηρεῖσθε, καὶ καιροὺς, καὶ ἐνιαυτούς. Φοβοῦμαι μήποτε εἰκῇ κεκοπίακα εἰς ὑμᾶς. Καὶ τὰ ἐξ αἱρετικῶν δὲ περικόπτουσιν οἱ *φύλακες* σκάνδαλα. Εἴποις δ' ἂν *τείχη* Ἐκκλησίας τῶν τῆς ἀληθείας δογμάτων τὴν ἐδραιότητα, ὧν ᾅδου πύλαι οὐ κατισχύσουσιν. Ἐξῆς ἐπιλέγει, *Ἄρατε σύσσημον εἰς τὰ ἔθνη.* Κύριος γὰρ ἐποίησεν ἀκουστὸν *ἕως ἐσχάτου τῆς γῆς.* Μὴ γὰρ νομίσῃ τις ταῦτα, φησὶν, εἰρῆσθαι περὶ τοῦ τῶν Ἰουδαίων λαοῦ. Τὸ γὰρ *σημεῖον ἀρθήσεται μέχρι τῶν ἐσχάτων τῆς γῆς.*

Τί δὲ τὸ *ἀκουστὸν σύσσημον* ὅπερ ἄραι φησὶ, τοῦτ' ἔστι γνώριμον ποιῆσαι τὸ ῥῆμα τῆς πίστεως, ὃ κηρύσσομεν, ἢ τάχα που τοῦ σωτηρίου πάθους τὸ σύμβολον. Ἔνεστι δὲ καὶ τοῦτο τῇ τῆς πίστεως ὁμολογίᾳ. Δεῖ γὰρ εἰπεῖν, ὅτι Κύριος Ἰησοῦς, πιστεῦσαί τε ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν. Εἶτα τὴν *θυγατέρα Σιὼν* σαφῶς τὴν Ἐκκλησίαν τὸν ἑαυτῆς *προσδοκῆσαι σωτῆρα* διδάσκει. Ἔστι γὰρ *θυγάτηρ* τοῦ πάλαι παρ' Ἰουδαίοις θεοσεβοῦς πολιτεύματος. Λέγει δὲ νῦν περὶ τῆς δευτέρας παρουσίας, ἀναμνήσκων ὡς ὁ πάλαι σε σώσας, δι' ὧν ἔπραξέν τε καὶ πέπονθεν. Διὸ καὶ *Ἰησοῦς* ὀνομάζεται, κατὰ τὸν

[45] Hebr. VI, 13. [46] Joan. XIV, 2. [47] Galat. V, 6. [48] ibid. 2. [49] Matth. XVI, 18. [50] Rom. X, 9.

VARIÆ LECTIONES.

[1] γρ. ἀπρόσκοπτον.

Digitized by Google

λόγον τοῦ Γαβριήλ· Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ. Πάλιν ἥξει, κριτὴς ὁμοῦ καὶ μισθαποδότης ἐσόμενος. Καὶ ἄνω δὲ ἔλεγεν· Εἰπὸν ταῖς πόλεσιν Ἰούδα, Ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ, καὶ τὰ ἑφ' ἑξῆς. Ἀντὶ δὲ τοῦ, *καὶ καλέσει αὐτόν· αὐτοὺς* ἐξέδωκαν οἱ λοιποί, δηλαδὴ τοὺς σωθησομένους. Ἡ μὲν οὖν ἐπίγειος *Ἱερουσαλὴμ ἐγκαταλελειμμένη* λέγεται, αὕτη δὲ *ἐπιζητουμένη*. Ὁ γὰρ ἐλθὼν *ζητῆσαι* καὶ σῶσαι τὸ ἀπολωλὸς, οὗτος εὑρὼν αὐτὸ καὶ σώσας, οὐκ ἔτι ἀπολέσθαι αὐτὸ συγχωρήσει. Τινὲς δὲ περὶ τῆς πρώτης παρουσίας τὸν λόγον ἐξέλαβον. Εὐαγγελίσασθαι δὲ κελεύει *Σιὼν*, οἷς καὶ τὰς *πύλας* ἀνοιγνῦναι παρεκελεύετο. Πάρεστι δὲ μαθεῖν, ὅσον τοῦ Σωτῆρος καὶ τῶν μαθητῶν τὸ διάφορον. Οἱ μὲν γὰρ καλοῦντες εἰς εὐζωΐαν, τὰς ἐκ Θεοῦ διεκήρυττον ἀμοιβάς· ἀλλ' οὐκ αὐτοὶ χαρισμάτων ἦσαν δοτῆρες πνευματικῶν· ὁ δὲ *Σωτὴρ*, ὡς Θεὸς, διανέμει μισθούς. Οὐκοῦν καὶ τὸν ἑκάστου τρόπον ὁρᾷ. Καὶ τοῦτο δὲ μόνου Θεοῦ. Γέγραπται γὰρ, ὅτι ἐνώπιόν εἰσι τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρὸς, εἰς δὲ πάσας τὰς τροχείας αὐτοῦ σκοπεύει. Τοιγαροῦν οὐρανοῦ τὰς κλεῖς Πέτρῳ παρέσχε καλῶς τὴν πίστιν ὁμολογήσαντι, καὶ τὸ δύνασθαι δεσμεῖν τε καὶ λύειν. Ἐχαρίσατο δὲ καὶ πᾶσι τοῖς μαθηταῖς τὸ πᾶσαν νόσον καὶ μαλακίαν θεραπεύειν ἐν τῷ λόγῳ. *Μισθόν* τε ὁμολογίας δίδωσι τῷ λῃστῇ τό· Σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. *Ἐλθὼν* δὲ, φησὶ, τοὺς πιστεύσαντας *καλέσει λαὸν λελυτρωμένον ὑπὸ Κυρίου*. Οὐ γὰρ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς Κύριος ἔσωσεν ἡμᾶς. *Ἐπιζητουμένην* δὲ *κληθῆναί* φησι, τοῦτ' ἔστι μνήμης ἀξιουμένην. Τοιοῦτο γὰρ τὸ *ζητούμενον*. Ἡ δὲ πρώτη γέγονεν ἐγκαταλελειμμένη. Διὰ γὰρ Ἱερεμίου φησίν· « Ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν. » Καὶ ὁ Σωτὴρ δέ φησιν· « Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος. »

A salutem nobis pararet, et pati contigit. Quo factum est, ut idem, secundum Gabrielis vocem, *Jesus* ideo nominetur, quod populum suum salvaturus esset [49]. *Veniet* rursum judex idem *mercedisque* tributor futurus, juxta quod ante usurpavit his verbis : « Dixi civitatibus Judæ : Ecce merces ejus cum eo [50], » et quæ deinceps. Verum quo loco *Et vocabit eum* habemus, *eos* dixerunt cæteri : ut de iis qui salutem consecuturi sunt, intelligi significarent. Quæ igitur terrestris est *Jerusalem*, *derelicta* dicitur; hæc autem *requisita*. Qui enim venit, ut quod perierat, *quæreret* et salvaret : idem quod invenit et salvavit, perire amplius non sinet. Non desunt tamen, qui ad priorem adventum retulerunt. Jubet porro *Sioni* eos evangelizare, quibus etiam *portas* aperire B præcipiebat. In quo discere est, quanta sit inter Salvatorem et discipulos differentia. Illi enim, cum ad vitæ probitatem hortarentur, eas tantum, quæ a Deo erant, retributiones prædicabant, cum spirituales illi gratias minime largirentur, sed *Salvator* ipse, tanquam Deus, cujus est mercedem retribuere. Videt igitur et singulorum mores; quod est unius tantum Dei proprium. Scribitur enim, oculis Dei vias hominis patere, omnesque hujus semitas eumdem intueri [51]. Atque inde est, quod Petro cœli claves tradidit, adjuncta ligandi solvendique potestate, cum pulchram fidei confessionem edidisset [52]. Eam vero facultatem **716** tradidit et discipulis omnibus, ut morbum omnem, omnemque C infirmitatem verbo persanarent [53]. Tribuit et Latroni confessionis *mercedem*, cum eo die secum in paradiso futurum eum pollicitus est [54]. Ubi porro *venerit*, inquit, eos qui crediderunt, *populum redemptum a Domino vocabit*. Non enim legatus, non angelus, sed ipse Dominus salvavit nos [55]. Ait præterea *requisitam esse vocatam*, id est memoria dignam habitam : cujusmodi est, quod *quæritur*. Est porro, quæ prima fuit, relicta. Sic enim Jeremias : « Dereliqui domum meam, dimisi hæreditatem meam [56]. » Et Salvator : « Ecce relinquetur domus vestra deserta [57]. »

Τινὲς δὲ τὸ πᾶν οὕτως ἄνωθεν ἐξηγήσαντο. Ἔθος τοῖς προφήταις ἐφ' οἷς προθεωροῦσιν ἀνιαροῖς μὲν πενθεῖν, ἀγαθοῖς δὲ λίαν *εὐφραίνεσθαι*· ὃ καὶ νῦν ὁ προφήτης ποιεῖ. Εὐαγγελισάμενος γὰρ τοῦ Σωτῆρος τὴν ἄφιξιν, καὶ τὴν ἁπάντων σωτηρίαν, αὐτόν τε τὸν Χριστὸν *ἐνδυσάμενος* (ᾧ *κοσμεῖται*, καὶ περι- D βάλλεται), πανηγυρίζει τῷ πνεύματι διάθεσιν ἔχων, ἣν ἂν ἔσχε *νεανίσκος* πρὸς *παρθένον*, καὶ αὐτὸς συνὼν τῷ Χριστῷ. Τὸ δὲ, *ὡς γῆ αὔξουσα ἄνθος αὐτῆς*, δηλοῖ τοὺς ταῖς ψυχαῖς ἐναποκειμένους λόγους *σπερματικοὺς*, ὁδοποιοῦντας Χριστῷ. Ὡς γὰρ ὀφθαλμοὶ συγγένειαν ἔχοντες πρὸς *τὸ φῶς*, ἐπειδὰν παρῇ, βλέπουσιν, οὕτως ἀνατείλαντος Χριστοῦ, τῇ ἐν ἡμῖν ἐπιτηδειότητι λάμπομεν, εὐθὺς τὸ σκοτεινὸν ἀποθέμενοι. Ὡς ἐκ ῥίζης δὲ τοῦ Ἰσραὴλ καὶ *τοῖς ἔθνεσι φανεῖσθαι* λέγει *τὴν ἀγαλλίασιν*. Εἶτα ἵνα μὴ δόξῃ *τὴν Ἱερουσαλὴμ* ἀφηκέναι, Οὐκ ἀνήσω, φησὶ, τὴν ἄνωθεν σχέσιν, καὶ τὰ ταύτης σεμνά.

Sunt vero nonnulli, qui totum hoc ab initio hunc in modum explicent. Usitatum est prophetis ob ea quæ vident, si molesta sunt, lugere; si fausta, *lætari* quam maxime : quod et hoc loco facit Isaias. Cum enim Salvatoris adventum, ipsamque omnium salutem annuntiasset; cum Christum denique, quo *ornatur* et cingitur, *induisset* : vehementius jam spiritu exsultat, qui eumdem animum gerat, quo sit erga *virginem juvenis* cum Christo etiam existens. Quod deinde *tanquam terra*, *quæ profert semen suum*, adjicit; recondita in animis rationum *semina*, quæ ad Christum viam faciant, intelligit. Ut enim oculi cum *luce* cognationem habentes, si illa non desit, cernunt : sic Christo exoriente, si nobis adsit aptitudo, fugatis quam primum tenebris illuminamur. Ut autem ex Israelis stirpe propagatis; sic et *gentibus* etiam *lætitiam* istam *conspicuam fore* affirmat. Deinde ne *Jerusalem* desereret

[49] Matth. I, 21; Luc. I, 31. [50] Isa. XL, 10; LXII, 11. [51] Prov. XVI, 2. [52] Matth. XVI, 16-19. [53] Matth. X, 8. [54] Luc. XXIII, 43. [55] Isa. LXIII, 9. [56] Jerem. XII, 7. [57] Matth. XXIII, 38.

Digitized by Google

videatur; non eam se esse familiaritatem, quam antea cum illa habuit, ut nec ejusdem loca augusta relicturum, adjicit. Quo factum est, ut ad oves primum Israel, quæ perierant, discipulos mitteret [58]: et apud Syrophœnissam, canes eos appellare non dubitaret [59], qui postea in filios essent computandi. Erat enim ipsi scopus hic propositus, ut *isti* quidem *illuminarentur*; illi autem nequaquam exciderent. Sed oportebat eos prius **717** honore affici, quibus datam esse legem et cultum dicit Paulus, quorum patres ii etiam fuerunt, et quibus secundum carnem natus est Christus [60]. Sufficiebat enim ad salutem gratia; non istis solum, sed et illis etiam.

A Διὸ πρῶτον πρὸς τὰ ἀπολωλότα πρόβατα Ἰσραὴλ πέμπει τοὺς μαθητάς. Καὶ πρὸς τὴν Συροφοινίκισσαν ἠνείχετο τέως κύνας καλεῖν τοὺς ἐν τέχνοις ὕστερον καταταχθησομένους. Σκοπὸς γὰρ ἦν αὐτῷ καὶ *τούτους φωτισθῆναι*, κακείνους μὴ ἀποτυχεῖν. Ἐχρῆν δὲ προτιμηθῆναι, οἷς, κατὰ Παῦλον, ἐδόθη ἡ νομοθεσία, καὶ ἡ λατρεία, ὧν οἱ πατέρες, καὶ ἐξ ὧν ὁ Χριστὸς κατὰ σάρκα· ἦρκει γὰρ εἰς σωτηρίαν καὶ τούτοις κἀκείνοις ἡ χάρις.

Quod deinde de *recenti nomine* adjunxit, ad Christianos, et eos, qui fidem amplexi sunt, retulit. Quibus si contradicit qui Judæus est, a se *recens nomen* aliquod factum esse demonstret necesse est. Intelligit vero per *voluntatem* nihil aliud, quam eos, qui *voluntatem suam* faciant; quos etiam diligere se, quo more *habitat juvenis cum virgine*, significat: quod non est ad stuprum, sed ad necessitudinis magnitudinem referendum. Servat enim ipsam incorruptam et virginem; juxta Pauli sacramentum illud, quod idem in Christo et Ecclesia esse dicit [61]. Præsentem deinde Ecclesiarum statum demonstrat juxta sacerdotum *nocte ac die* factas ad populum, qui Deum ignorat, enarrationes: quibus ut gratiam reponat, *muros* ejus inexpugnabiles se redditurum; id est dæmonis accessus propulsurum, pollicetur. Promittit etiam, si litteram species, et tutam civitatibus habitationem; ut promovendo alteram quærant intelligibilem: Non aliter quam de Abrahamo legimus, qui facta sibi terræ promissione, non in ista occupari, non eamdem quærere, sed futuram appetere visus est [62]. Iis igitur, qui ita affecti sunt, maxime autem Abrahæ, secundum carnem posteris, nulla esse cum *gentibus* comparationem significat, sed iis longe, quantum ad honorem attinet esse superiores. Eo enim fine et Patres sanctos legem habuisse, eo item miranda in Ægypto opera, et in solitudine vidisse, ut mores suos ad Deum conversi, et in ipso confidentes, emendarent. Id enim vere gaudii nomine significari. Animas deinde alloquens, quæ de promissionibus ambigant, *jurejurando* utitur, non id quidem propter se, qui veritas sit: sed ut illis fidem faciat. Promittit vero et terræ fructus, ut eos se suppeditare, frustraque ad idola confugere doceat: unde illi etiam in colligendo peribant, ut et ad maturitatem posse perducere, et præbere velle demonstraret, si **718** dignos se præbuissent.

B *Καινὸν* δέ φησιν *ὄνομα* τὸ Χριστιανῶν καὶ τὸ πιστῶν. Ὁ δὲ ἀντιλέγων Ἰουδαῖος, δεικνύτω ἐφ' ἑαυτοῦ *καινὸν* γενόμενον *ὄνομα*. *Θέλημα* δέ φησι τοὺς *τὸ θέλημα αὐτοῦ* ποιοῦντας, οὓς καὶ ἀγαπᾶν λέγει, ὡς *συνοικῶν νεανίσκος παρθένῳ*· ὅπερ οὐ φθοράν, ἀλλ' ἀκμάζουσαν σχέσιν δηλοῖ. Τηρεῖ γὰρ αὐτὴν παρθένον, κατὰ τὸ παρὰ Παύλῳ μυστήριον, ὅπερ εἰς Χριστὸν καὶ τὴν Ἐκκλησίαν λέγει. Εἶτα τὴν νῦν κατάστασιν τῶν Ἐκκλησιῶν ἐμφαίνει, κατὰ τὴν τῶν ἱερέων ὑφήγησιν *ἡμέρας καὶ νυκτὸς*, ἀγνοοῦντος τοῦ λαοῦ τὸν Θεὸν, ἀνθ' ὧν ἀμειδόμενος *τεῖχος* αὐτῶν ἀπόρθητον γίνεται, τὰς ἀφόδους [m] ἀπείργων τοῦ δαίμονος. Ἐπαγγέλλεται δὲ, κατὰ τὴν λέξιν, καὶ ἀσφαλῆ ταῖς πόλεσιν οἴκησιν, ὡς ἂν προκόψαντες ἐπιζητῶσι τὴν νοητήν· ὥσπερ οὖν Ἀβραὰμ γῆς λαβὼν ἐπαγγελίαν, οὐ περὶ ταύτην ἠσχόλητο, οὐδὲ ταύτην ᾔτει, τὴν δὲ μέλλουσαν ἐπόθει. Τοῖς δὲ οὕτω διακειμένοις, καὶ μάλιστα τοῖς ἐκ γένους Ἀβραὰμ κατὰ σάρκα, οὐδεμίαν σύγκρισιν C πρὸς *τὰ ἔθνη* φησὶν, ὑπερκεῖσθαι δὲ λίαν, ὅσον ἦκεν εἰς τιμήν. Καὶ γὰρ ἔτυχον πατέρων ἁγίων, καὶ νόμου, καὶ τὰς ἐν Αἰγύπτῳ θαυματουργίας καὶ ἐν ἐρήμῳ τεθέανται, μόνων ἐὰν [n] διόρθωσιν τρόπων ποιήσονται πεποιθότες ἐπὶ Θεῷ. Τοῦτο γὰρ τὸ ἀγαθὸν ἐρίαμα. Πρὸς δὲ τὰς ἐπαγγελίας ἀμφιβαλλούσαις ψυχαῖς λαλῶν *ὅρκῳ* κέχρηται, οὐ δι' ἑαυτὸν (ἀλήθεια γάρ ἐστιν), ἀλλ' ἐκείνας πιστούμενος. Καὶ τοὺς ἐκ γῆς καρποὺς ἐπαγγέλλεται, διδάσκων ὡς αὐτὸς τούτων ἐστὶ χορηγὸς, καὶ μάτην περὶ εἰδώλα στρέφονται, διὸ καὶ οὗτοι πρὸς τῇ συγκομιδῇ διεφθείροντο, ὡς ἂν καὶ τελεσφορεῖν δυναμένου, καὶ παρέχειν ἐθέλοντος, εἴπερ ἐτύγχανον ἄξιοι.

Nunc autem si *corrigantur*, hostium accessum esse etiam prohibiturum. *Portarum* deinde appellatione sermonem isagogicum, Christumque ipsum significavit, qui porta etiam dicitur, per quam ad Patrem ingressum habemus [63]. De quo scribitur et illud: « Ista est porta Domini, justi ingredientur in eam [64]. » Sacerdotibus deinde præcipit, ut subditorum mores æquabiles reddant, ne in pravas illi

D Καὶ νῦν δὲ *διορθουμένων* ὑμῶν τὰς τῶν πολεμίων ἐφόδους κωλύσω. *Πύλας* δὲ καλεῖ λόγον εἰσαγωγικὸν, καὶ Χριστὸν, ὃς ἐχρημάτισε θύρα, δι' οὗ πρὸς τὸν Πατέρα τὴν εἴσοδον ἔχομεν. Περὶ οὗ λέγεται· « Αὕτη ἡ πύλη τοῦ Κυρίου. Δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. » Τοῖς δὲ ἱερεῦσι παρακελεύεται ὁμαλὰ τῶν ὑπὸ χεῖρα τὰ ἤθη ποιεῖν, ὡς ἂν μὴ πονηροῖς προσκόπτοιεν λογισμοῖς. Λέγοιτο δ' ἂν καὶ

[58] Matth. x, 6. [59] Matth. xv, 26. [60] Rom. ix, 5. [61] Ephes. v, 32. [62] Hebr. xi, 17. [63] Joan. x, 9. [64] Psal. cxvii, 20.

VARIÆ LECTIONES.

[m] *rec.* ἐφόδους. [n] *Isc.* μόνον, ὡς ἂν.

Digitized by Google

πρὸς τὸν ἐν ἑκάστῳ νοῦν, ὡς ἂν ἡνιοχεῖν τεταγμένος τὴν ἅπασαν ἐξομαλίζοι ψυχήν. Εἶτα παρακελεύεται τοῖς ἐξ Ἰσραὴλ, ἀρετῆς καὶ γνώσεως Θεοῦ παράδειγμα γενέσθαι *τοῖς ἔθνεσιν*. Ἀνῆψα γὰρ ὑμᾶς ἄνωθεν ὡς λαμπάδα, ὡς ἂν ὑμῶν τῷ φωτὶ *τὰ ἔθνη* πορεύηται. Κατεπτηχότας δὲ τὰς συνεχεῖς τῶν ἐπιόντων ἐφόδους παραθαῤῥύνει, τὴν ἑαυτοῦ *παρουσίαν* ἐπαγγελλόμενος. Οὕτω δὲ τὴν ἑαυτοῦ κηδεμονίαν καλεῖ. Τοιγαροῦν ἔλεγον· Οὐ μὴ τελέσητε τὰς πόλεις, ἕως ἂν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου· οὐ δήπου ἄλλην παρουσίαν δηλῶν, ἀλλὰ τὴν ἑαυτοῦ πρὸς καρτερίαν παράκλησιν. Οὐ γὰρ ἂν ἤνεγκαν, μὴ τὴν ἰσχὺν τὴν ἄνωθεν ἔχοντες. Τὰ κρυπτὰ δὲ εἰδώς, πρὸς τὴν ἀξίαν ἑκάστῳ παρίσταται, *μισθὸν* διδοὺς τὸν προσήκοντα. Οὕτω καὶ δι' Ἰεζεκιὴλ λεγόντων αὐτῶν· « Ἀπόλωλεν ἡ ἰσχὺς ἡμῶν, ἐξηράνθη τὰ ὀστᾶ ἡμῶν, » παραθαῤῥύνων φησίν· Ὡς ὑγρὰ ξηρᾶναι δύναμαι, οὕτω καὶ τοὐναντίον. Ὅ καὶ ἐπὶ τῆς ῥάβδου πεποίηκεν Ἀαρών. Καὶ νῦν οὖν παρέσεσθαί φησιν, ἐὰν ἄξιοι γένωνται. Δι' αὐτὸ γὰρ παρέσχον καὶ πλῆθος ὑμῖν ἐντολῶν, οὐχ ἵνα πολλὰς παραβαίνοντες, πολλὰ καὶ καταδικάζησθε· ἀλλ' ἵνα κἂν τὰς μεγάλας ὑπερβῆτε, τῶν ἐλαττόνων ἡ φυλακὴ πρόφασιν ὑμῖν σωτηρίας παράσχῃ. Φιλάνθρωπος γὰρ, οὐ καταδικάζων ἐξ ὧν παραβαίνετε, ἀλλὰ *σώζων* ἐξ ὀλίγων ὧν κατορθοῦτε. Τοῦ γὰρ ἁμαρτωλοῦ τὴν *ζωὴν* βούλεται μᾶλλον, ἢπερ τὸν θάνατον. Τότε *ζητήσω*, φησὶν, *ὑμᾶς, ἁγίους καλῶν*. Ταῦτα δὲ καὶ εἰς τὴν ἑκάστου ληπτέον ψυχὴν, μὴ ὡς ψιλὰς ἱστορίας ἀναγινώσκοντας. Ἑκάστῳ γὰρ κατορθοῦντι παρέσται συγχωρῶν τὰ ἡμαρτημένα.

A cogitationes impingant. Referri etiam queat ad singulorum mentem; ut quæ habenis præfecta est, totam animam æquabilem faciat. Deinceps Israelitas adhortatur, ut virtutis et cognitionis Dei sese *gentibus* exemplum præbeant. Ideo enim se illos ab initio veluti lampadem accendisse, ut in eorum lumine *gentes* ambularent. Quia deinde frequentes insurgentium accessus metuebant; considere præcipit, suum ipse *adventum* denuntians: qua ratione curam suam ac diligentiam significavit. Hinc igitur illud, quod dicebant: Non faciatis urbes donec veniat Filius hominis; ubi non alium certe adventum intellexit; sed quam ipse suggerit in patiendo consolationem. Alioquin enim ferenda non fuissent, qui superne omissum robur non habebant. Verum qui novit abscondita, unicuique, prout dignus est, solet adesse, justaque *mercede* singula compensare. Sic et apud Ezechielem cum essent, qui dicerent: « Periit virtus nostra; exsiccata sunt ossa nostra [65], » eosdem confidere jubens, ut humida siccare, sic et contra se posse respondit. Quod in Aaronis etiam virga præstitit [66]. Et hoc loco igitur, si digni sunt, adfuturum se significat. Ob id enim et ego, inquit, ingentem dedi mandatorum numerum: non ut, cum a multis aberraretis, multis etiam in vos animadverterem: sed ut, cum vos, quæ magna essent, transgredi contingeret, leviorum observatio vobis a me salutem extorqueret. Sum enim mitis et clemens, non ex iis, quæ perperam agitis, condemnare, sed ex paucorum ratione quæ ipsi cum virtute et laude facitis *salvare* solitus, qui peccantis vita potius quam morte delector. Tum, inquit, *quæram vos*, cum *sanctos vocabo*. **719** Decet vero et ista non historias nudas putare, sed ad cujusque animam referre. Aderit enim singulis quod rectum est facientibus, ut eisdem condonet quæ peccarunt.

B

C

ΚΕΦΑΛ. ΞΓ'.

α-ς'. Τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; ἐρύθημα ἱματίων ἐκ Βόσορ, οὕτως ὡραῖος ἐν στολῇ. βία μετὰ ἰσχύος. Ἐγὼ διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτηρίου. Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου ὡς ἀπὸ πατήματος ληνοῦ πλήρους, καταπεπατημένης, κ. τ. λ.

Ὥσπερ μισθὸν ὁ Σωτὴρ ἐλέγετο τοῖς εὐσεβοῦσιν ἀποδιδόναι (ἔφη γάρ· Καὶ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ)· οὕτως τοῖς ἀσεβέσι φοβερὸς ἥξειν θεσπίζεται, ὅτε, κατὰ τὸν Ἀπόστολον, καταργήσῃ πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν. Ἐν οἷς ἐστι καὶ τὸ ἔσχατον καταργεῖσθαι τὸν θάνατον. Ὁρῶντες δὲ αὐτόν τινες ἐν σχήματι καθημαγμένον πολεμικῷ, πρὸς τὸ ξένον τῆς θέας ἠρωτῶσιν ἀλλήλους. Ἐπειδὴ δὲ *Βόσορ καὶ Ἐδὼμ*, τῆς τῶν ἀλλοφύλων χώρας καὶ πολεμίων τοῦ Ἰσραὴλ, εἰκότως διὰ τούτων τὰς ἀντικειμένας δυνάμεις αἰνίττεται, ὧν τὴν ἀναίρεσιν τροπικῶς *αἵματι* παρείκασε φονικῷ. Εἰδότες δὲ αὐτὸν ἥμερον, εἶθ' ὥσπερ *τεθυμωμένον* ὁρῶντες, εἰκότως ἔοικασιν αὐτὸν μὴ γινώσκειν. Διὸ καὶ πυνθάνονται. Ὁ δὲ πρὸς αὐτοὺς ἀποκρίνεται· *Ἐγὼ διαλέγομαι δικαιοσύνην, καὶ κρίσιν σωτηρίου, κατὰ δὲ Σύμμαχον· Ἐγὼ λαλῶ ἐν δικαιοσύ-*

CAP. LXIII.

VERS. 1-6. *Quis est iste, qui venit de Edom? Rubor vestium de Bosor. Sic formosus in stola sua. Violentia cum fortitudine. Ego loquor justitiam et judicium salutaris. Quare rubra sunt vestimenta tua et indumenta tua, tanquam a conculcatione torcularis pleni, conculcati*, etc.

Ut mercedem Salvator iis ipsis, qui pietatem colerent, retributurus dicebatur (eam enim fore cum ipso affirmavit), sic impiis metuendus instare prædicitur, cum juxta Apostolum, omnem principatum et potentiam deleverit [67]. Quo loco novissime destructam iri mortem adjunxit. Cum autem eum nonnulli militari habitu sanguine aspersum intuerentur, rei novitate commoti ad mutuas interrogationes confugerunt. Quoniam autem *Bosor et Edom*, externorum, et hostium Israel, regiones **720** erant: per eas non immerito, adversarias potestates indicavit, quarum excidium tropice *sanguini* cæde effuso compararet. Qui autem mitem eum et placidum esse didicerant, cum postea veluti *furore percitum* intuerentur, eumdem non agnoscere visi sunt, quo factum est, ut quis esset

[65] Ezech. xxxvii, 11. [66] Num. xvii, 8. [67] I Cor. xv, 24.

Digitized by Google

interrogarent. Quos isthæc ejusdem excepit responsio : *Ego loquor justitiam et judicium salutaris ;* vel, ut Symmacho placet : *Ego loquor in justitia, decerto ut salvem* Cum enim eorum nomine *decertaret*, qui injuste ab adversariis potestatibus *conculcabantur :* istas quidem ulciscebatur; illos autem in libertatem asserebat. Sequitur jam quæstio altera : *Quare rubra sunt vestimenta tua?* quam etiam sine responsione abire non patitur. Sed est advertendum quo loco, *de gentibus* legimus, *de populis* interpretari Symmachum. Quo loco etiam : *Deduxi sanguinem eorum in terram*, eumdem : *Et aspersa est victoria eorum super vestimenta mea.* Tanquam autem *judicium* solus a Patre acceperit, *torcular* se solum *conculcasse* dicit, ita peccatorum pœnas significans. Ita vero et Jeremias loquitur in Lamentationibus [68], cum torcular calcasse Dominum virgini filiæ Judæ, unde se plorare contingeret, affirmavit. Ut autem eodem *torcularis* nomine, quæ peccatis debentur, pœnæ significantur, sic qui de bona vite fructus decerpuntur, *torcularia* esse Deo placentia credimus, qui psalmos de torcularibus inscribi videmus. Cum autem malitiam omnem, dæmonasque ipsos ejus auctores, cessare fecerit : eos, quibus imperavit, in sæculo recenti ad Patrem adducet, quo etiam tempore, ait Apostolus [69], regnum Deo et Patri traditurus est. Cæterum, ut perstaret *in sanguinis* metaphora, *vestimenta esse inquinata* adjecit. Qualem enim in potestatibus incorporeis sanguinem reperias? Deinceps rursum *diei retributionis, annique redemptionis* meminit, quale illud fuit, quod de probioribus loquens, ut **721** annum Domino acceptabilem, diemque retributionis annuntiaret, mitti se dicebat [70]. Quo factum est, ut hic *redemptionis annum* adjiceret; istis quidem salutem, illis autem *retributionem* simul significans. Quale est illud apud Mosen : « Et retribuet ultionem inimicis, et qui oderunt eum, retribuet [71]. »

Sequitur deinde : *Aspexi, et non erat auxiliator ; consideravi, et nullus erat, qui adjuvaret, et eruit eos brachium meum.* Solus enim exinanivit semetipsum, formam servi accipiens [72]. Crucis mortem præterea nostræ salutis causa pertulit; quam nullus vel angelus, vel potestas, vel homo fuerat subiturus. Quo factum est, ut unus nomen a Patre, quod est super omne nomen [73], judiciumque in omnes acceperit [74]. Verum quod ait : *Et deduxi sanguinem eorum in terram*, de adepta *victoria* cæteri interpretantur : tanquam victos a se jam, qui vinci non poterant, significet. Alii sermonem istum ad Salvatoris ascensionem referentes, expleta carnis œconomia ad Patrem supernis potestatibus ascendere visum esse, cum passionis signa gestaret, arbitrantur; non quod cum illis surrexerit : sed quomodo dubitanti Thomæ ea ostendit; sic (ut jam Principatibus et Potestatibus in cœlis propter Ecclesiam innotesceret multiplex Dei sapientia [75]) cum passionis signis remeasse; eoque factum esse,

ση, *ὑπερμαχῶ εἰς τὸ σῶσαι. Ὑπερμαχῶν* γὰρ τῶν *ἀδίκως* ὑπὸ τῶν ἀντικειμένων δυνάμεων *καταπατουμένων*, τὰς μὲν μετῆει, τοὺς δὲ ἠλευθέρου. Εἶτα δευτέρα πεῦσις· *Διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια;* πρὸς ὃ πάλιν ἀποκρίνεται. Ἀντὶ δὲ τοῦ, καὶ *τῶν ἐθνῶν*, ὁ Σύμμαχος, καὶ *ἀπὸ τῶν λαῶν* ἐξέδωκεν, καὶ ἀντὶ τοῦ, *Κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν, Καὶ ἐρράντισθη τὸ ἐπίνικιον αὐτῶν ἐπὶ τὰ ἱμάτιά μου.* Ὡς δὲ μόνος *τὴν κρίσιν* λαβὼν παρὰ τοῦ Πατέρος, μόνος *πεπατηκέναι* φησὶ *ληνὸν*, οὕτω δὲ καλεῖ τῶν ἁμαρτημάτων τὴν ἔκπραξιν. Καὶ Ἱερεμίας δὲ ἐν Θρήνοις φησί· Ληνὸν ἐπάτησε Κύριος παρθένῳ θυγατρὶ Ἰούδα. Ἐπὶ τούτοις ἐγὼ κλαίω. Ὥσπερ δὲ *ληνὸς* ἡ ἐπὶ τὸ αὐτὸ τῶν ἁμαρτημάτων εὔθυνα· οὕτω τῶν ἀπὸ τῆς ἀγαθῆς ἀμπέλου τρυγομένων καρπῶν *ληνοὶ* Θεῷ ἀρέσκουσαι γίνονται, ἐφ' αἷς ὕμνοι ἐν Ψαλμοῖς ἐπιλήνιοι λέγονται. Καταργήσας δὲ πᾶσαν κακίαν, καὶ τοὺς αὐτὴν γεννήσαντας δαίμονας, τοὺς ὑπ' αὐτῷ βασιλευομένους ἐν τῷ καινῷ αἰῶνι προσάξει τῷ Πατρὶ, ὅτε καὶ παραδώσει τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρὶ, κατὰ τὸν Ἀπόστολον. Ἐμμένων δὲ τῇ μεταφορᾷ *τοῦ αἵματος, τὰ ἱμάτια μεμολύνθαι* λέγεται. Ποῖον γὰρ ἐπὶ ἀσωμάτων δυνάμεων αἷμα; Εἶτα πάλιν *ἡμέρας ἀνταποδόσεως καὶ ἐνιαυτοῦ λυτρώσεως* μέμνηται, ὡς ἐπὶ τῶν χρηστοτέρων ἐλέγετο, Κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως. Διὸ νῦν *προσέθηκε* καὶ *ἐνιαυτὸς λυτρώσεως*, ὁμοῦ γὰρ τοὺς μὲν σώσει, τοῖς δὲ *ἀνταποδώσει*, καθά φησι Μωσῆς· « Καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν αὐτὸν ἀνταποδώσει. »

Εἶτά φησιν· *Ἐπέβλεψα, καὶ οὐκ ἦν ὁ βοηθῶν. Καὶ προσεσχόμην, καὶ οὐδεὶς ἀντελαμβάνετο. Καὶ ἐρρύσατο αὐτοὺς ὁ βραχίων μου.* Μόνος γὰρ ἐκένωσεν ἑαυτὸν, μορφὴν δούλου λαβών. Καὶ τὸν μέχρι σταυροῦ θάνατον ὑπέμεινεν ὑπὲρ τῆς ἡμῶν σωτηρίας, ὃ μηδεὶς ἀγγέλων, ἢ δυναμένων *, ἢ ἀνθρώπων ὑπέστη· διὸ καὶ μόνῳ ὁ Πατὴρ ἐχαρίσατο τὸ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα καὶ τὴν κατὰ πάντων ἐνεχείρισε κρίσιν. Ἀντὶ δὲ τοῦ· *Καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν*, οἱ λοιποὶ τὸ *νίκος* ἐξέδωκαν. Νενίκηται γὰρ ὑπ' ἐμοῦ, φησὶν, οἱ δοκοῦντες ἀνίκητοι. Ἄλλοι δὲ περὶ τῆς ἀναλήψεως τοῦ Σωτῆρος τὴν ῥῆσιν δεξάμενοί φασιν, ὡς πληρώσας τὴν μετὰ σαρκὸς οἰκονομίαν, ἀναβὰς πρὸς τὸν Πατέρα ὤφθη ταῖς ἄνω δυνάμεσι, τοῦ πάθους φέρων τὰ σύμβολα, οὐχ ὅτι μετὰ τούτων ἀνέστη, ᾧ δὲ τρόπῳ διστάσαντι δέδειχε τῷ Θωμᾷ. Οὕτως (ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις, διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ) μετὰ τῶν τοῦ πάθους σημείων ἀνέδραμεν. Θαυμάζουσι τοίνυν

[68] Thren. I, 15. [69] I Cor. xv, 24. [70] Isa. LXI, 1 ; Luc. IV, 18. [71] Deut. XXXII, 41. [72] Philipp. II, 7. [73] Ibid. 9. [74] Joan. V, 22. [75] Ephes. III, 10.

VARIÆ LECTIONES.

* γρ. δυνάμεων.

Digitized by Google

ἀνιόντος συνθάνονται. Τὸ δὲ *Ἐδὼμ*, ἑρμηνεύεται πυρρὸς, ἢ γήϊνος. Τὸ δὲ *Βόσορ*, ἢ σὰρξ, ἢ σάρκινος. Δηλοῖ τοίνυν τὸ πεφοινίχθαι, ὡς ἀπὸ σαρκός τε καὶ αἵματος. Ὡς δὲ γνωρίζουσαι αὐτὸν Θεὸν, εἰ καὶ ἦν ἐν σαρκὶ, ὡραῖον αὐτόν φασιν *ἐν στολῇ*, καὶ ἰσχὺν αὐτῷ μαρτυροῦσι. Τοῦτο γὰρ ἡ *βία* δηλοῖ. Ἔοικε δὲ τὸ παρὸν τῷ ἐν κγ' ψαλμῷ· « Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; » Ἀποκρίνεται δὲ, ὅτι *Ἐγὼ διαλέγομαι δικαιοσύνην*, ἢ τὸ εὐαγγελικὸν κήρυγμα, ἢ, ὅτι Θεοῦ πᾶς λόγος *δίκαιος*. *Κρίσιν* δὲ *σωτηρίου*, τὸ ἐφ' ἡμῖν ὀνομάζει κρῖμα. Δεδίκακε γὰρ τῇ ἀνθρωπότητι καὶ τῷ ταύτην ἀπατήσαντι Σατανᾷ. Ἔλεγε γάρ· « Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου. Νῦν ὁ ἄρχων τοῦ κόσμου ἐκβέβληται ἔξω. » Δευτέρα πάλιν ἐρώτησις, ἐν ᾗ μέμνησο τοῦ πατριάρχου Ἰακὼβ λέγοντος· « Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ. » Εἶτά φησι· *Καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετ' ἐμοῦ*. Ὅ συναπτέον τῷ· *Ἐγὼ διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτηρίου. Οὐδεὶς γάρ μοι παρέστη*, φησὶν, ἢ συνήλγησε πάσχοντι. Ὡς γάρ φησιν ὁ εὐαγγελιστής· Τότε πάντες ἀφέντες αὐτὸν οἱ μαθηταὶ ἔφυγον. Ὅ καὶ προὔλεγεν ὁ Χριστός· Ἔρχεται ὥρα, καὶ ἐλήλυθεν, ἵνα ἕκαστος σκορπισθῆτε εἰς τὰ ἴδια, κἀμὲ μόνον ἀφῆτε. Καὶ ἐν Ψαλμοῖς δέ φησιν· « Ὠνείδισμὸν προσεδόκησεν ἡ ψυχή μου, καὶ ταλαιπωρίαν, καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρχε· καὶ παρακαλοῦντα, καὶ οὐχ εὗρον. » Καίπερ δὲ *μόνος ὢν κατεπάτησα αὐτοὺς ἐν θυμῷ*. Μετὰ γὰρ τὴν ἀνάληψιν τοῦ Κυρίου, πᾶν εἶδος συμφορᾶς Ἰουδαίοις ἀπήντηκεν. Ἀλλ' ὁ τῆς ἐκείνων *ἀνταποδόσεως* καιρὸς, λυτρώσεως ἦν τοῖς ἐπεγνωκόσι τὴν ἐπιφάνειαν αὐτοῦ. Καίπερ δὲ *μηδενὸς βοηθοῦντος*, ἢ *ἀντιλαμβανομένου* (ὅ ποιεῖν ἔδει τοὺς Γραμματέας καὶ Φαρισαίους, οἳ [p] τὸ ἐναντίον ἀνέτρεπον τοὺς λαοὺς), ὅμως ἔσωσεν αὐτοὺς ἡ ἐμὴ δύναμις. Πλεῖστοι γὰρ ἐπίστευσαν ἐξ Ἰουδαίων. Τοῖς δὲ ἀπειθήσασι τὰ τῆς *ὀργῆς* ἀπήντηκε δίκαια. Τινὲς δὲ συμφώνως [q] εἰπόντες, ὡς πληρωτὴς γενόμενος τῶν πατρικῶν ἐντολῶν, καὶ χωρήσας εἰς τὸν ὑπὲρ ἡμῶν θάνατον, καὶ *πατήσας τοῦτον*, *ὡς ἐν ληνῷ*, καὶ *μολυνθεὶς*, ὡς ἀπὸ πατητοῦ καρπὸς αὐτοῖς γενόμενος, ἑαυτὸν προσήγαγεν ὑπὲρ ἡμῶν τῷ Πατρὶ δυσώπημα καὶ λυτρὸν, ἄνοδον εἰς οὐρανοὺς διδοὺς, οὓς ἔδει κάτω μένειν ἐκ τῆς ἀποφάσεως, καὶ συνάψας τοῖς ἄνω τοὺς κάτω. Ἀγγέλων δὲ ἀπορούντων ἀκούων, μὴ ἐκείνοις ἄγνοιαν προσάψῃς (ᾔδεσαν γὰρ τὰ ὑπὸ τοῦ Σωτῆρος οἰκονομούμενα, ἀφ' οὗ καὶ σεσάρκωται), ἀλλ' ἡγοῦ διδασκαλίαν τὸ πρᾶγμα, ὅτι καὶ ἄγγελοι χαίρουσιν ἐπὶ τῇ τῶν ἀνθρώπων σωτηρίᾳ, καὶ τοῦτον ὑμνοῦσι θαυμάζοντες, πῶς τὸν ἡμῖν ὀφειλόμενον ἐδέξατο θάνατον. Οὐδὲ γὰρ ἂν εἴποις ἀγνοεῖν τοὺς ἀγγέλους, ὡς

A ut redeuntem ipsæ demiratæ interrogent. Significat vero *Edom*, si interpreteris, idem plane quod *fulvus* aut *terrenus*. *Bosor* autem, tanquam *caro*, vel *carneus* dicas. Innuit igitur cruentatum esse, tanquam a *carne*, vel *sanguine*. Tanquam deinde Deum esse agnoscerent, quantumvis carnem gestaret, *Formosum in stola sua*, *et fortem*, quod *violentiæ* nomine significavit, esse testantur. Neque vero isti dissimile fuerit, quod psalmo tertio et vicesimo legimus, ubi : « Quis est iste rex gloriæ [76], » quæri deprehendimus. Respondet autem : *Ego loquor justitiam*. Quo verbo vel evangelicam promulgationem innuit, vel Dei sermonem omnem *justum* esse demonstravit. Quod deinde *judicium* **722** *salutaris* addidit, illud ipsum, quod pro B nobis est, intellexit. Litem enim inter homines et Satanam, a quo delusi fuerant, judicavit. Dicebat enim : « Nunc judicium est hujus mundi; nunc princeps mundi ejicietur foras [77]. » Sequitur altera rursus interrogatio, in qua te Jacobi patriarchæ velim meminisse dicentis : « Lavabit in vino stolam suam et in sanguine uvæ vestimentum suum [78]. »

Pergit vero his verbis : *Et de gentibus non est vir mecum* : estque illi, quod paulo ante usurpavit, cum diceret : *Ego loquor justitiam et judicium salutaris*, conjungendum : tanquam *nullum sibi* cum pateretur, adfuisse, vel condoluisse significaret. Tum enim discipulos omnes, ut est apud Evangelii scriptorem, eo relicto fugisse : quod et ipse antea monuerat Christus, cum horam adventare, imo et appulisse jam, diceret [79], qua singuli ad sua dispersi abirent, seque solum relinquerent. Sic præterea legimus in Psalmis : « Improperium exspectavit anima mea, et miseriam. Exspectavi qui condoleret, et non fuit; et qui consolaretur, et non inveni [80]. » At vero quantumvis *ego solus essem*, *conculcavi* tamen *eos in furore*. Ex quo enim in cœlos ascendit Dominus, nullum non genus calamitatis experiri Judæos contigit. Sed fuerat illorum *retributionis* tempus idem, qui et redemptionis, si ejus adventum cognovissent. Etsi autem, inquit, *nullus esset*, *qui* vel *consolaretur* vel *adjuvaret* (quod Scribas et Pharisæos facere oportuit, quos populum in contrarium avertere constabat), salvavit tamen eos virtus mea. Sunt enim fidem amplexi Judæi permulti : cæteri autem, qui eamdem recusarunt, *ira* justa accepti, et multati. Conve- D niunt vero nonnulli, cum eum Patris mandato paruisse, cum mortem pro nobis amplexum, eamdem, tanquam *in torculari*, *conculcasse*; cum *inquinatum*, tanquam solet *calcatione* fructus, seipsum Patri pro nobis placationem redemptionemque præbuisse; cum etiam reditum in cœlum illis concessisse, quos deorsum oportuit manere condemnatos, cum inferos denique superis conjunxisse dixerunt. Jam vero cum angelos interrogare audis, ne ipsis **723** ignorationem attribuas (norant enim

[76] Psal. xxiii, 8. [77] Joan. xii, 31. [78] Gen. xlix, 11. [79] Matth. xxvi, 45. [80] Psal. lxviii, 21.

VARIÆ LECTIONES.

[p] *Λ.* εἰς. [q] *γρ.* συμφωνοῦσι.

Digitized by Google

quæ a Salvatore fierent, ex quo carnem assumpserat), sed ea re doceri nos existima, angelos etiam hominum salute delectari, eumque ipsum laudibus afficere et mirari, qui mortem nobis jure debitam exsolvere, patique voluerit. Neque enim dicas ignorare angelos : ut nec arma ferre, licet ita Giesi visi sunt [31], cum dejectum timentis animum erigerent. Qui igitur ista dixerunt, etiam ad historiam retulerunt, cum qui illis antea Dei opem adversus hostium insidias denuntiasset, dubitantibus quisnam esset, qui *erueret*, eum respondere affirmarunt, qui *Edomitas* vobis insurgentes, cum hostibus vestris, et iis etiam, a quibus effugiendi viæ obsiderentur, ita deleturus sit, ut illorum *sanguine inquinari* videatur. Intelligit autem per *Edom*, Esau posteros : per *Bosor* vero, Bosram. Non est injusta igitur ipsius in illos decreta animadversio. Vocat enim Deus ad judicium homines, ut pœnarum æquitatem ostendat, nec eas ab alio, quam ab ipsis proficisci. Cum enim ulciscitur, idipsum facit salutis gratia : vel, ut pœnitentes salvemur, vel, ut levius judicium, quam quod futurum est, subeamus. Neque vero cum *Edomitas* ulcisci statuerit, cujusquam *auxilio* indigebit, qui sibi satis sit. Necat enim *verbo* ipso, habetque solam ad omnia idoneam et sufficientem voluntatem. Cum autem *quod auxiliaretur*. Quia scilicet inter eos justitia reperiebatur.

A οὐδὲ ὁπλοφορεῖν, εἰ καὶ οὕτως ἐφάνησαν τῷ Γιέζι τὴν δειλίαν αὐτοῦ διορθούμενοι. Ταῦτα τοίνυν εἰπόντες, καὶ καθ' ἱστορίαν ἐξέλαβον, λέγοντες· ὡς προαναφωνήσας αὐτοῖς τοῦ Θεοῦ τὴν ἀντίληψιν πρὸς τὴν τῶν ἐπιόντων ἐπιβουλήν, ἀμφισβητοῦσί τίς ὁ *ῥυσόμενος*, φησίν· Ὁ τοὺς ἐξ Ἐδὼμ τοὺς ἐπιθεμένους μετὰ τῶν ἐχθρῶν ὑμῶν ὑμῖν, καὶ τὰς τῆς φυγῆς διεκδρομὰς ἀποφράξαντας ἀνελεῖ, ὡς *μεμολύνθαι* δοκεῖν τῷ ἐκείνων *αἵματι*. Ἐδὼμ δὲ λέγει τοὺς υἱοὺς Ἡσαῦ, *Βόσορ* δὲ τὴν βόστραν [r]. Δικαίᾳ τοίνυν αὐτοὺς μέτεισι ψήφῳ. Θεὸς γὰρ ἀνθρώπους εἰς κρίσιν καλεῖ, τὸ δίκαιον τῆς τιμωρίας ἐπιδεικνύμενος, καὶ ὡς ἐξ ἑαυτῶν ὑπομένουσιν. Αὐτὸς γὰρ δίκην ἐπάγων ὑπὲρ σωτηρίας ποιεῖ, ἵνα σωθῶμεν μετανοήσαντες, ἢ περιπέσωμεν κουφοτέρᾳ τῇ κρίσει τοῦ μέλλοντος.

B Τιμωρούμενος δὲ τοὺς ἐξ Ἐδὼμ ἤρκει ἑαυτῷ μηδενὸς *συμμαχοῦντος* δεόμενος. *Λόγῳ* γὰρ ἀναιρεῖ, καὶ ἱκανὸν αὐτοῦ μόνον τὸ θέλημα, ἐξαλεῖψαι δὲ αὐτοὺς βουλομένου Θεοῦ, οὐκ ἦν τι *βοηθοῦν* αὐτοῖς. Οὐκ ἦν γὰρ ἐν αὐτοῖς δίκαιος δυσωπῆσαι δυνάμενος τὸν Θεόν.

724-725 Vers. 7-19. *Misericordiæ Domini recordatus sum; virtutum Domini meminero in omnibus, quæ retribuit nobis. Dominus judex bonus domui Israel adduxit nobis secundum misericordiam suam, et secundum multitudinem justitiæ suæ. Et dixit : Non populus meus filii? Nequaquam repudiantur. Et factus est illis in salutem ex omni tribulatione eorum. Non legatus, non angelus, sed ipse salvavit*, etc.

ζ-ιθ'. *Τὸν ἔλεον Κυρίου ἐμνήσθην· τὰς ἀρετὰς Κυρίου, ἐν πᾶσιν οἷς Κύριος ἡμῖν ἀνταποδίδωσι. Κύριος κριτὴς ἀγαθὸς τῷ οἴκῳ Ἰσραὴλ ἐπάγει ἡμῖν κατὰ τὸ ἔλεος αὐτοῦ, καὶ κατὰ τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ. Καὶ εἶπεν, Οὐχ ὁ λαός μου τέκνα; Οὐ μὴ ἀθετηθῶσι. Καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν ἐκ πάσης θλίψεως αὐτῶν. Οὐ πρέσβυς, οὐδὲ ἄγγελος, ἀλλ' αὐτὸς ἔσωσεν αὐτούς*, κ. τ. λ.

726 Absoluta de secundo Dei adventu disputatione, ad aliud transit argumentum, in quo seipsum populus, quod suis in Deum semper de se bene meritum criminibus rejectus sit, accusat. Alii tamen existimant, ubi de sua ira Deus adversus non credentes dixit, a desperatione eos prophetam revocare, qui Deum clementem et humanum esse doceat. Alii etiam eumdem, ubi beneficiorum multitudinem demonstrasset (in quibus ipsa etiam adversus alienigenas ira fuerat, qui nullam grati animi significationem Deo præbuerant) perpetuam Dei *misericordiam* recensere. Non enim obliviscar, inquit, quantumlibet molesta et dura nos in finem pati, et rejici contigerit. Sed est notandum, ubi, *In omnibus, quæ retribuit nobis*, habemus, *De omnibus, quæ benefecit nobis*, Symmachum dixisse, ubi rursum *Bonus judex*, etiam *de plenitudine bonitatis* interpretari. Cæterum non tanquam severus *judex* iram suam in nos peccatis admetitur, sed clementia temperat. Non enim nocentes relinqui

C

Τὰ περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας πεπλήρωται, καὶ μέτεισιν εἰς ἑτέραν ὑπόθεσιν, ἐν ᾗ κατηγορεῖ ἑαυτοῦ ὁ λαός, ὡς εἰς ἄνωθεν εὐεργέτην τὸν Θεὸν ἡμαρτηκὼς ἀποβέβληται. Καθ' ἑτέρους δὲ, Θεοῦ τὴν κατὰ τῶν ἠπιθηκότων εἰπόντος ὀργήν, ὁ προφήτης οὐκ ἐᾷ χωρεῖν αὐτοὺς εἰς ἀπόγνωσιν, φιλανθρώπου τυγχάνοντος τοῦ Θεοῦ. Κατ' ἄλλους δὲ, πρὸς τὸ πλῆθος τῶν δειχθέντων ἀγαθῶν τῷ προφήτῃ, ἐν οἷς ἦν καὶ ἡ κατὰ τῶν ἀλλοφύλων ὀργὴ, μὴ τὸ

D πρὸς Θεὸν ἐπιδειξαμένων εὐχάριστον, αὐτὸς διηγεῖται τοῦ Θεοῦ τὸν ἄνωθεν *ἔλεον*. Οὐ γὰρ ἐπιλήσομαι, [s] εἰ καὶ σκυθρωπὰ μετῆλθεν ἡμᾶς, ἐν τέλει, καὶ ἀπεβλήθημεν. Ἀντὶ δὲ τοῦ, *ἐν ἅπασιν οἷς ἀνταποδίδωσιν ἡμῖν*, ὁ Σύμμαχος, *περὶ πάντων ὧν εὐηργέτησεν ἡμᾶς*, εἰρηκε, καὶ ἀντὶ τοῦ, *Κριτὴς ἀγαθός· ἐκ πλήθους ἀγαθωσύνης*. Πλὴν οὐχ ὡς *κριτὴς* ἀκριβὴς πιραμετρεῖ τὴν ἐφ' ἡμᾶς ὀργὴν τοῖς πλημμελήμασιν, ἀγαθότητι ταύτην κιρνῶν. Ἀκρότης μὲν γὰρ ὢν δικαιοσύνης οὐκ ἀθώους ἐᾷ, *ἀγαθότητι* δὲ τὸν θυμὸν ἡμεροῖ. Σέσωσται γὰρ τὸ κατά-

[31] IV Reg. VI, 17.

VARIÆ LECTIONES.

[r] γρ. βόσραν. [s] λ. φησίν.

Digitized by Google

λειμμα. Δεῖγμα δὲ μέγιστον τῆς ἀγαθότητος, τὸ ἀξιῶσαι *τέκνα* καλεῖν *τὸν λαὸν*, εἰ μὴ ἀθετοῖεν τὴν χάριν. Διὸ κατὰ Σύμμαχον εἴρηται· *Πλὴν λαός μού εἰσιν υἱοὶ οὐκ ἀσυνθηκοῦντες.* Οὓς ἀπήλεγχεν ἐν ἀρχῇ λέγων· Υἱοὺς ἐγέννησα, καὶ ὕψωσα· αὐτοὶ δέ με ἠθέτησαν. Ἐγρῆν γὰρ ὡς *τέκνα* πεῖθεσθαι τῷ πατέρι, καὶ αὐτάγγελον ἐπὶ σωτηρίᾳ παρόντα δέξασθαι *τὸν Υἱὸν*, οὐχ ἑτέρῳ τινὶ διακόνῳ χρησάμενον· οὐ γὰρ ἦν *πρέσβυς*, [φησὶ] προφήτης, *οὐκ ἄγγελος*.

A patitur, qui justitiæ fastigium obtinet, sed *bonitate* iram moderatur et lenit. Sunt enim salutem consecutæ reliquiæ. Est vero *bonitatis* argumentum maximum, quod *populum filiorum* **727** appellatione dignatur, si gratiam non aspernentur. Quo factum est, ut ita verteret Symmachus : *Verumtamen populus meus sunt filii non prævaricantes;* quos initio reprehendit, cum filios genuisse, et exaltasse, ab ipsis autem derelictum se esse conqueritur [82]. Decebat enim tanquam *filios* Patri morem gerere, et *Filium*, qui a Patre, salutis eorum causa, nullo alterius ministerio, venisset, præsentem amplecti. *Non* enim *legatus* erat (ait propheta), *non angelus.*

Καὶ ἐν Αἰγύπτῳ δὲ, φασὶν, εἰ καὶ μέσος ἦν Μωσῆς, ἀλλ' αὐτὸς ἐνήργει δι' ἐκείνου τὰ μέγιστα. Καὶ μοσχοποιήσασιν ἠπείλησεν ἄγγελον πέμψειν τὸν ἡγησάμενον. Καὶ δυσφοροῦντος Μωσέως, αὐτὸς ἡγεῖσθαι κατεπηγγείλατο. Καὶ αὐτὴν δὲ τὴν παρουσίαν, οὐχ ἵνα κρίνῃ, πεποίηται, καίτοι *κριτὴς* ὤν, ἀλλ' ἵνα τὰς ἁμαρτίας ὁμολογήσουσι [1] παράσχῃ τὴν ἄφεσιν διὰ πίστεως. Θέλει γὰρ καὶ ἡμᾶς ἑαυτοῖς ἀγαθῶν αἰτίους, καὶ μὴ τῶν ἐναντίων καθίστασθαι. Τοιγαροῦν τῆς αἱμορροούσης τὴν πίστιν αἰτίαν ἔφησε τῆς ἰάσεως. Ὅσον γὰρ ἦκεν εἰς αὐτὸν, ὡς *πατὴρ τέκνοις* εἰς ἀγαθῶν πρόκειται χορηγίαν, διηνεκῆ προτείνων τὸν *ἔλεον*, πλὴν εἰ μή τις ἁμαρτῶν διακόψειεν. Τὰ μὲν οὖν τῆς αὐτοῦ φιλανθρωπίας τοιαῦτα. Μὴ παρασχόντες δὲ πρόφασιν αὐτῷ τῆς ἑαυτῶν σωτηρίας, *εἰς πόλεμον* ἐπεσπάσαντο. Ὡς γάρ φησι καὶ Δαβίδ· « Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ; παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ. » *Παρώργισαν* δὲ καὶ τὸ *πνεῦμα Χριστοῦ*, τὴν ἀπείθειαν νοσήσαντες. *Διὸ κατέστη πολέμιος.* Ἵνα γὰρ μὴ δαίμοσι τὴν ἐπαγομένην αὐτοῖς ἐπιγράφοιεν δίκην, αὐτὸς αὐτοῖς· λέγεται πεπολεμηκέναι. Καὶ γὰρ Ἰὼβ, καίπερ εἰδὼς ἐκ τοῦ διαβόλου γίνεσθαι τὰς ἐπαγωγὰς, αὐτοῦ μὲν οὐ μέμνηται, τῷ δὲ συγχωροῦντι ἐπιγράφει Θεῷ. *Πεπολέμηκε* δὲ τὸν λαὸν εἰς νοῦν τὰ πρῶτα λαβὼν, καὶ ὡς οὐ νῦν πρῶτοι τοιοῦτοι γεγόνασιν. Αὐτίκα, καὶ *διὰ Μωσέως* τοσαύτης πειραθέντες διὰ θαυμάτων εὐεργεσίας, τὸν αἴτιον ἀποστραφέντες ἐμοσχοποίησαν, μὴ σκοπήσαντες ὡς θάλατταν τεμὼν Ἐρυθρὰν, *ὡς ἵππον*, αὐτοὺς διὰ ταύτης διήγαγεν, ἐπιστήσας αὐτοῖς *Μωσῆν*, οἷα *προβάτοις ποιμένα*, διὰ τῶν σημείων ὑψώσας αὐτόν. Τοῦτο γὰρ τὸ *ἀναγαγεῖν*, ἦγουν ἐμφανῆ καταστήσας λανθάνοντα καὶ κρυπτόμενον, ὃν καὶ προφήτην ἀπέδειξεν τοῦ ἰδίου πληρώσας *πνεύματος*.

In Ægypto deinde, aiunt, quanquam medius Moses fuerit, per eum ipse quæ maxima erant operabatur. Minitatus est præterea, cum vitulum confecissent, angelum se missurum, qui eis præesset. Quod cum ægre ferre Mosen videret, ducem se fore B adjecit. Neque vero adventum suum, ut judicaret, *judex* alioquin, exstare voluit, sed ut confitentibus peccata per fidem remitteret. Vult enim etiam nos nobis bonorum, et non contra, auctores esse : indeque ejus, quæ profluvium sanguinis patiebatur, sanationem ad fidem retulit [83]. Quantum enim in ipso situm est, veluti *pater filiis* ad bonorum largitionem propensus, assiduam *misericordiam* protendit; nisi quis eam peccatis irritam faciat. Talia igitur humanitatis ipsius et mansuetudinis signa exstiterunt. Sed cum suæ salutis occasionem ei non præberent, *ad bellum* cum compulerunt. Ut enim vel Davidem in testimonium vocemus : « Quoties exacerbaverunt eum in deserto? ad iracundiam provocarunt in terra carente aquis [84]. » C *Exacerbaverunt* vero et *Christi spiritum*, qui incredulitatis morbo laborarent. Quo factum est, ut *sint ab ipso oppugnati.* Ita enim sibi loquendum esse existimavit; ne quas ipsi pœnas pertulerunt, dæmonibus attribuerent. Siquidem et Job ipse, licet quæ patiebatur, sibi a diabolo inferri non ignoraret, de eo tamen esse sibi tacendum arbitratus, ea Deo ipsi, qui fieri permitteret, ascribit [85]. *Oppugnavit* vero populum, priora mente agitans, cum tales ab hoc tempore primum minime fieri cœpisse recordaretur. Ac ne longe abeamus, etiam cum duce *Mose* magnam adeo **728** per miranda opera largitionem experti essent; ejus auctorem tamen aversati, vitulum sibi conflare non D dubitarunt [86]. Nec cogitarunt quo pacto divisum mare Rubrum, *tanquam equus*, trajecerint; cum illis ducem *Moysen*, veluti *pastorem ovibus*, signis commendatum præfecissem. Idipsum enim est, quod *educendi* verbo significare voluit : tanquam eum se illustrem, qui in occulto latebat, reddidisse; imo et prophetam etiam, cum *Spiritu* suo implevisset, effecisse diceret.

Τινὲς δὲ *ποιμένα* τὸν Ἰωσὴφ ἔφασαν, οὗπερ *ἀναγαγὼν* τὰ ὀστᾶ, μετὰ τῶν πρὶν ὑποχειρίων διήγαγεν, δεικνὺς ὡς οὐδὲ νεκρῶν τῶν ἁγίων ἐπιλανθάνεται, ζωοποιεῖν αὐτὰ προαιρούμενος. Ἄλλοι τὸν Χρι-

Non desunt tamen, qui *pastoris* vocabulum ad Josephum referant; cujus cum ossa *educi* curaret Dominus, et ea cum illis, qui ante captivi fuerant, reduxit [87], ut sanctorum, qui obierunt, non obli-

[82] Isa. I, 2. [83] Matth. IX, 20 seqq. [84] Psal. LXXVII, 40. [85] Job I, 21. [86] Exod. XXXII, 1 seqq. [87] Gen. L, 24; Exod. XIII, 19.

VARIÆ LECTIONES.

[1] Ισ. ὁμολογήσασι.

Digitized by Google

visci se demonstraret; qui illa in vitam revocare statuat. Alii ad Christum *de terra eductum* retulerunt : sive ejus illi resurrectionem, sive etiam ortum de terra spectarent. Deinde, quod *dierum æternorum* meminit, vel antiquos intellexit, vel eos etiam, quorum debet esse memoria sempiterna. Quod præterea ubi est, quærit, eorum oblivionem accusat. Cujusmodi est illud : « Descendit enim Spiritus sanctus a Domino, et dux illis fuit [88]. » Et apud Davidem : « Misit spiritum suum, et sanavit eos [89]. » Est vero Deus ipse *spiritus*. Verum quo loco, *prævaluit aqua a facie ejus*, habemus *qui fregit aquas ante eos*, transtulisse Symmachum reperias. Intelligas deinde quod *prævaluisse* dixit earum illum naturæ vim attulisse, cum condensavit. Scribitur enim tanquam murum stetisse concretas, quæ fluere natura consueverant [90]. Vel id ideo propheta usurpavit, ut consistendi *vires* a se tributas fuisse demonstraret. Quod factum est, ut *eos* postea, aiunt, *velut equum in campo* nulla prorsus cum molestia *educeret*. Quale est illud in Psalmis : « Eduxit, tanquam oves, populum suum, et dux illis fuit, tanquam ovili in deserto [91]. » Simul vero et *populum suum* servavit, et *facto sibi nomine gloriam* adeptus est. Quod tamen, ut ad *populum* suum retulisse videretur, non sibi, sed eis, Symmachus reddit. Est igitur ob id factus hostis, quod

A στὸν ἔφασαν *ἐκ γῆς ἀναχθέντα*, ἢ διὰ τὴν ἀνάστασιν, ἢ καὶ διὰ τὴν ἀπὸ γῆς αὐτοῦ γέννησιν. *Ἡμέρας δὲ αἰωνίους*, ἢ τὰς ἀρχαίας, ἢ τὰς ἀεὶ μνημονευτούς; φησιν. Τὸ δὲ, ποῦ ἐστι; τῆς αὐτῶν λήθης κατηγορεῖ. Σύμφωνον δὲ τὸ, « Κατέβη γὰρ πνεῦμα παρὰ Κυρίου, καὶ ὡδήγησεν αὐτούς. » Καὶ Δαβὶδ δέ φησιν· « Ἐξαπέστειλεν τὸ πνεῦμα αὐτοῦ, καὶ ἴασατο αὐτούς. » Ὁ δὲ Θεὸς τὸ *πνεῦμά* ἐστιν. Ἀντὶ δὲ τοῦ, *Κατίσχυσεν ὕδωρ ἀπὸ προσώπου αὐτοῦ*, ὁ Σύμμαχος, *Ὁ ῥήξας ὕδατα ἔμπροσθεν αὐτῶν*, εἴρηκεν. Καὶ *κατίσχυσε* δὲ νοήσεις, ὅτι νενίκηκεν αὐτῶν τὴν φύσιν πήξας αὐτά. Ἐπάγη γὰρ, φησὶν, ὡσεὶ τεῖχος τὰ ὕδατα ῥευστὰ τῇ φύσει τυγχάνοντα· ἦγουν πρὸς τὸ παγῆναι ἔδωκεν αὐτοῖς *ἰσχύν*. Καὶ τῷ μετὰ ταῦτα, φασὶ, *Διήγαγεν αὐτοὺς, ὡς ἵππον ἐν πεδίῳ*, μετὰ πάσης ἀνέσεως, ἰσοδυναμεῖ τὸ ἐν Ψαλμοῖς· « Ἀνήγαγεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ, καὶ ὡδήγησεν αὐτοὺς, ὡς ποίμνιον ἐν ἐρήμῳ. » Ὁμοῦ δὲ καὶ *τὸν λαὸν* ἔσωζε, καὶ αὐτὸς *ἐδοξάζετο ποιῶν ἑαυτῷ ὄνομα*. Ὁ δὲ Σύμμαχος *αὐτῶν* ἔφη· τοῦτ' ἔστι, τὸν ἴδιον δοξάζων *λαόν*. Ἀναισθήτους τοίνυν εὑρὼν, γέγονε δυσμενής. Οὐ μὴν ἀπογνωστέον· ἀλλ' ἐπιμείνωμεν ἐγώ τε καὶ ὅσοι θεοφιλεῖς ταῖς πρὸς αὐτὸν ἱκετείαις, λέγοντες· *Ἐπίστρεψον ἐκ τοῦ οὐρανοῦ*· εἴγε κρείττους γενοίμεθα, καὶ ἄξιοι τοῦ λέγειν, *Ἴδε*.

est desperandum, sed mihi, cæterisque omnibus, qui Dei amore tenentur, precibus ab eodem contendendum, ut *de cœlo convertatur*, si probi et digni, qui eum ad *videndum* provocemus, efficimur.

Sunt vero qui ad gentem universam referri preces existiment, alii etiam ad prophetam tantum. Proponit porro Deum *de cœlo* cognoscendum, non tanquam loco concludatur, sed tanquam in dignis sursum virtutibus requiescat. Ideoque per *domum* et *thronum*, *cœlum* ipsum significavit, ut auditorum mentes, quæ in terram deciderant, sursum erigeret, quo nihil humile de Deo cogitarent. Eum enim, qui universa continet et regit, *a cœlo* non male spectari et cognosci. Revocat autem Deo in memoriam, ut sæpe non propter ipsos, sed propter *zelum suum*, in indignos ita se clementem præbuerit, ut *populi*, *filiorumque* nominibus eosdem dignatus sit : in quos, tanquam *zeli* ipsius et *fortitudinis* participes amplius non sint, non tanquam ipsum ita defecissent, ista usurpavit. *Zelo* enim olim, cum Ægyptiorum servitute premerentur, est eos prosecutus; qui illis etiam in captivitatem abductis, zelo magno zelare se Judæam et Sionem affirmavit [92]. Postea, cum iis se, qui eam cepissent, irasci testatus esset, id ideo facere se adjecit, quod eos **729** nullo sensu moveri reperit. Neque tamen

C Τινὲς δὲ ἀπὸ παντὸς τοῦ ἔθνους φασὶ τὰς λιτάς· ἄλλοι τόν προφήτου μόνου. Ἀπ' *οὐρανοῦ* δὲ γνωρίζει τὸν Θεὸν, οὐχ ὡς τόπῳ περικλειόμενον, ἀλλ' ὡς ἐν ἀξίαις ἀναπαυόμενον ταῖς ἄνω δυνάμεσιν. Διὸ καὶ *οἶκον* καὶ *θρόνον* λέγει *τὸν οὐρανόν*· ἦγουν ἀναφέρων ἐκ τῶν γηΐνων πραγμάτων τὰ τῶν ἀκουόντων φρονήματα καταπεπτωκότα πρὸς γῆν, ὡς ἂν μηδὲν φρονοῖεν περὶ Θεοῦ ταπεινόν. Τὰ γὰρ πάντα συνέχων, καὶ κυβερνῶν, γνωρισθείη ἂν εἰκότως ἐξ *οὐρανοῦ*. Ὑπομιμνήσκουσι δὲ τὸν Θεὸν, ὡς πολλάκις οὐ δι' αὐτοὺς, διὰ δὲ τὸν ἴδιον *ζῆλον*, γέγονε περὶ τούτους φιλάνθρωπος ἀναξίους; ὑπάρχοντας, ὡς καὶ καταξιώσας εἰπεῖν, *Ὁ λαός μου τέκνα*. Ὡς δὲ μηκέτι μετέχοντες *τοῦ ζήλου*, καὶ *τῆς ἰσχύος* αὐτοῦ, ταῦτά φασιν, οὐχ ὡς ἐκείνων ἐκλελοιπότων. *Ἐζήλου* γὰρ πάλαι δουλεύοντας Αἰγυπτίοις, αἰχμαλώτων τε γεγονότων ἔφασκεν· Ἐζήλωκα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν. Εἶτα τοῖς ἐλοῦσι φήσας ὀργίζεσθαι, ἐπάγει· Ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά.

Sunt tamen, qui zeli nomine, eam providentiam putent intelligi, quam erga ipsos manifestavit. Itaque inde esse, quod in populum iratus, zelum, id est curam et sollicitudinem, ab eo se ablaturum dixit. Neque enim *Abraham*, quamvis generationis

Τινὲς δὲ *ζῆλον* τὴν εἰς αὐτοὺς ἐδέξαντο πρόνοιαν. Τοιγαροῦν ὀργιζόμενος τῷ λαῷ λέγει· Ἀρῶ τὸν ζῆλόν μου ἀπὸ σοῦ, τοῦτ' ἔστι, τὴν κηδεμονίαν. Οὐδὲ γὰρ *Ἀβραὰμ ἦν πατὴρ ἡμῶν*, εἰ καὶ τῇ γενέσει διηκονήσατο. Σὺ δὲ ὁ ἐκ μὴ ὄντων παραγαγὼν, καὶ

[88] Deut. XXXII, 12. [89] Psal. CVI, 20. [90] Exod. XIV, 22. [91] Psal. LXXVII, 52. [92] Zachar. I, 14.

Digitized by Google

Πατὴρ πάντων πνευμάτων, καὶ τῶν κατ' εἰκόνα τὴν σὴν πεποιημένων ψυχῶν. Ἐκεῖνος γὰρ εἰ καὶ τὴν ἐπαγγελίαν εἴληφεν, ἀλλ' ἡμᾶς οὐ τεθέαται. Ὅθεν ἐλέησον ἡμᾶς, οὓς *τὸ σὸν ὄνομα κυσμεῖ. Κλῆρος* γάρ *σου* κεκλήμεθα. Τῷ σῷ τοίνυν *ὀνόματι* χάρισαι, ὡς ἂν μὴ βλασφημῆται παρὰ τοῖς ἔθνεσιν. Ταῦτα ἐξ οἰκείου προσώπου, καὶ τῶν εὐλαβεστέρων εἰπὼν ὁ προφήτης, εἰσάγει τοὺς ἐν τῷ λαῷ φιλαιτίους οὐκ ὀκνοῦντας αὐτῷ πολλάκις καταμέμφεσθαι τῷ Θεῷ λέγοντας· *Τί ἐπλάνησας ἡμᾶς, Κύριε, ἀπὸ τῆς ὁδοῦ σου;* ὡς ἂν αὐτὸν τῆς ἐκπτώσεως, ἣν διὰ Χριστὸν ὑπέμειναν, αἰτιώμενοι, κατὰ τοὺς λέγοντας ἀπὸ τοῦ λαοῦ παντὸς τὸν λόγον εἰρῆσθαι· ἤγουν ἀπὸ τοῦ προφήτου, ὃς πάντα, φασὶν, ἐπὶ τὸν Θεὸν ἀναφέρει, οὐχ ὡς τοῦ ἁμαρτάνειν αἴτιον, ἀλλ' ὡς συγχωροῦντα· δι' ὧν οὐ παραχρῆμα δίκην εἰσπράττεται. Οὕτως ἁμαρτάνοντες πεπρᾶσθαι λεγόμεθα παρ' αὐτοῦ, ὡς ταῖς ἰδίαις ἁμαρτίαις ἐκδεδομένοι. Διὸ καὶ τοῦ Φαραὼ σκληρῦναι λέγεται τὴν καρδίαν, διότι μακροθυμῶν, οὐκ ἀπὸ πρώτης αὐτὸν ἀνεῖλε πληγῆς, ὡς ἂν πολλάκις παιομένου, καὶ μὴ ἐπιστρέφοντος, ἀναίτιος δειχθῇ τὴν ἐσχάτην ἐπάγων πληγήν. Σὺ δ' οὖν, ὁ Θεὸς, [u] *διὰ τοὺς δούλους σου·* καὶ γὰρ εἰκὸς εἶναί τινας ἐν τῷ πλήθει τοιούτους· ἤγουν *διὰ* τοὺς κατὰ γενεὰν εὐαρεστήσαντάς σοι· ἤγουν ἐπειδὴ ἅπαξ ἐφθάσαμεν *κλῆρος* ὀνομάζεσθαι σὸς, εἰ καὶ μὴ δι' εὐπειθείας *δουλεύομεν*. Ἔτι δὲ καὶ *διὰ τὰς φυλὰς τῆς κληρονομίας σου*, ὅπερ εἰς ταὐτὸν τείνει. Ἤγουν τοὺς κατ' εἶδος εὐαρεστοῦντάς σοι *ἐπίστρεψον* ἡμᾶς, ἵνα προφάσει τῶν ἀξίων δυνηθῶμεν καὶ ἡμεῖς *μικρᾶς* μερίδος τυχεῖν ἐν τῷ ἐπηγγελμένῳ ὑπὸ σοῦ *ὄρει ἁγίῳ*. Φίλον δὲ τῇ Γραφῇ *ὄρος ἅγιον* τὴν Ἐκκλησίαν καλεῖν, ἧς γεγόνασι *βραχύ τι* μέρος οἱ ἐξ Ἰσραὴλ, διὰ τὸ κατάλειμμα, τοῦ ἐξ ἐθνῶν ἀπείρου πλήθους πιστεύσαντος. Εἰκὸς δὲ αὐτοὺς αἰτεῖν καὶ ἐν τῇ ἄνω πόλει βραχύ τι μέρος *κληρονομεῖν*.

A minister, *pater noster fuit*, sed tu, qui de nihilo producens, non modo spirituum omnium *Pater* es, sed animarum etiam, quæ sunt ad imaginem tuam procreatæ. Illi enim etsi promissio facta est, nos tamen haud vidit. Nostri igitur, obsecro, miserere, quos *nomen tuum* exornat. *Hæreditas* enim *tua* nuncupamur. Id ergo *nomini tuo* largire ut apud gentes non blasphemetur. Quæ cum a sua et religiosorum persona usurpasset **730** propheta, eos jam, qui de populo accusationibus gaudentes sæp: Deum arguere non dubitarent, *a Domino* postulat facit, *quare se a via ejus errare fecisset*, ut ad illam calamitatis ejus, quam propter Christum passi sunt, accusationem ex eorum sententia referant, qui populi totius sermonem esse volunt; aut certe B prophetæ, a quo ad Deum omnia, non tanquam peccandi auctor sit, sed tanquam peccare permittat, referri aiunt, quibus efficitur, ut pœnas statim non exposcat. Non alia ratione cum peccamus, ab eodem venundati dicimur; tanquam peccatis nostris dedamur. Inde et cor Pharaonis indurasse legitur [93], quoniam leniter in eum se gerens, non prima statim ipsum plaga sustulit; ut cum sæpe tangi, nec resipiscere manifestum esset, extremam plagam non injuria constaret infligere. *Convertere* igitur, o Deus, *propter servos tuos;* cujusmodi esse aliquos in hac frequentia non est dissentaneum: vel *propter* eos, qui secundum ætatem tibi placuerunt; vel etiam, quia jam diu certe *hæreditatem tuam* vocari nos contigit, quamvis obtemperantes *servi* non simus. Ad hoc et *propter tribus hæreditatis tuæ;* quod eodem spectare putandum est. Vel nos denique, qui tibi specie tenus placemus, ipse *converte;* ut et eorum qui digni sunt, habita ratione *exiguam* partem *montis* a te promissi possidere valeamus. Est vero Scripturæ usitatum *sancti montis* appellatione Ecclesiam significare; cujus C *exigua* pars, propter reliquias, ipsi fuerunt Israelitæ: cum gentium, qui crediderunt, infinitus esset numerus. Est præterea non absurdum, eos, ut in superna civitate particulam aliquam *possideant*, postulare.

Τινὲς δέ φασιν, τῶν Ἀσσυρίων τὴν γῆν αὐτῶν ἐσχηκότων, ἀντοικισάντων τε τοὺς *Γοθοαίους* [v], οἳ καὶ Σαμαρεῖται τῷ τόπῳ παρωνομάσθησαν, περιλειφθῆναι δύο ἡμισυ μόνον *φυλὰς*, αἳ *βραχύ τι μέρος* κατεῖχον. Ὁ προφήτης [x] αἰτεῖ ὅπερ ἔχειν ἐδόκουν, αὐτοῖς φυλαχθῆναι πρὸς μνήμην τῆς ἐξ *ἀρχῆς* εἰς τὸ γένος αὐτῶν εὐμενείας, ἥσπερ ἀρθείσης, ὡς μὴ λαὸς ἐσόμεθα σὸς, μηδὲ μερίς σου χρηματίσαντες, ἤγουν *ὡς τὸ ἀπ' ἀρχῆς*, ὅτε τὴν ἐν Αἰγύπτῳ διατριβὴν ἐποιούμεθα, οὐ προφήτας, οὐχ ἱερέας, οὐ βασιλεῖς ἐσχηκότες, οὐδὲ τῶν σῶν χαρισμάτων οὐδὲν, πρὶν ἡμῖν ἀποσταλῆναι τὸν Μωσέα. Τότε γὰρ οὐκ ἐλεγόμεθα σοί. Καὶ νῦν δὲ εἰς τὸ αὐτὸ περιέστημεν τέλος, ὑπὸ πόδας πεσόντες τοὺς διαβολικοὺς, καὶ κοσμικαῖς ἐκδοθέντες ἐπιθυμίαις. Ταύτας γὰρ

Placet quoque nonnullis, cum eorum terram *Assyrii* occupassent, *Chuthæisque* (qui etiam de loci nomine Samaritani nuncupati sunt) habitandam dedissent; duas tantum *tribus* et dimidiam relictas fuisse, quæ *modicam* ejus *partem* occuparent. D Postulat igitur propheta, ut quam ipsi habere videntur, ea ipsis, in ejus benevolentiæ recordationem, qua *ab initio* **731** genus eorum prosecutus est, servetur; quæ, si tollatur, tanquam non Dei populus, nec pars ejus, futuri sumus. Aut certe *velut ab initio*, cum in Ægypto moraremur, non prophetas, non sacerdotes, non reges habentes: imo nec de tuis donis et muneribus aliquod, priusquam ad nos Moysem mitteres. Tum enim tui non dicebamur. Et nunc etiam in idem tandem

[93] Exod. IV, 21.

VARIÆ LECTIONES.

[u] *Al.* ἐπίστρεψον. [v] γρ. Χουθαίους. [x] *Leip.* οὖν.

Digitized by Google

devenimus, qui mundanis cupiditatibus addicti, diabolicis pedibus subjacemus. Cum enim in istis, tanquam in fingendis lateribus, occuparemur, spiritibus malis inserviebamus : quod etiam hoc tempore contingit. Est vero illud per Salvatorem significatum, ubi spiritum, qui egressus fuerat, cum septem aliis nequioribus reversum novissima prioribus pejora reddidisse narrat; idemque generationi illi esse eventurum [95]. Quæ sunt igitur hoc loco prophetice dicta, ad ea, quæ incarnationem quod in Christum illi admiserunt, non aliter quam

A πλινθοποιοῦντες ἐλατρεύομεν πνεύμασι πονηροῖς. Ὃ καὶ νῦν γίνεται. Τοῦτο δὲ παρίστησιν ὁ Σωτὴρ περὶ τοῦ ἐξελθόντος πνεύματος, λέγων, καὶ ὑποστρέψαντος, μεθ' ἑτέρων πονηροτέρων ζ', ὅτε τὰ ἔσχατα χείρονα τῶν πρώτων εἶπών · Οὕτως ἔσται τῇ γενεᾷ ταύτῃ. Οὐκοῦν τὰ νῦν εἰρημένα προφητικῶς ἐπὶ τὸν καιρὸν τὸν μετὰ τὴν ἐπιδημίαν ἀνάγεται, ὅτε διὰ τὰ κατὰ Χριστοῦ παρεώρανται, ὡς ὅτε τούτων οὐκ ἦρχε Θεός.

secuta sunt tempora referuntur, cum propter id, cum istorum Deus non esset, neglecti sunt.

Ita vero verba ista tota interpretatur Symmachus: *Facti sumus velut a sæculo; quorum non dominaberis. Neque invocatum est nomen tuum eis, neque ruptis cœlis descendisti a facie tua. Montes fluxerunt tanquam combustio ignis. Tabuit mare. Aquæ territæ sunt.* Tales enim, inquit, *facti sumus*, ac si ea nunquam, quæ a te per Mosen facta sunt, experiri nos miracula contigisset. Sic autem apud interpretes Septuaginta reperias: *Facti sumus tanquam ab initio.* Verum non ignoramus, *si cœlum aperire* statuas, tanquam Deus, *tremorem a te montes* ipsos, id est adversarias potestates, quæ se adversus tui notitiam attollunt, esse *apprehensurum; gentes* autem, a quibus ignoraris, esse te *conturbaturum.* Est vero prophetis optare usitatum, ut quæ Israelitarum peccatis *ira* debetur, in alias gentes rejiciatur. Leginus enim in Psalmis : « Effunde iram tuam in gentes, quæ te non noverunt, et in regna, quæ nomen tuum non invocaverunt [93]. »

Ὁ δὲ Σύμμαχος τὴν ὅλην οὕτως ἐξέδωκε ῥῆσιν· *Ἐγενήθημεν ὡς ἀπ' αἰῶνος, ὧν οὐκ ἐξουσιάσεις, οὐδὲ ἐπεκλήθη τὸ ὄνομά σου αὐτοῖς, οὐδὲ ῥήξας οὐρανοὺς κατέβης ἀπὸ προσώπου σου. Ὄρη κατέρρευσεν ὡς ἔκκαυσις πυρός. Ἐτάκη θάλασσα · ὕδατα ἐπτοήθησαν.* Τοιοῦτοι γάρ, φησὶ, γεγόναμεν, ὡς μηδὲ πώποτε τῶν σῶν πειραθέντες θαυμάτων, ἅπερ ἔδειξας ἐπὶ Μωσέως. Κατὰ δὲ τοὺς Ἑβδομήκοντα· *Γεγόναμεν ὡς τὸ ἀπαρχῆς.* Πλὴν ἴσμεν, ὡς ἐὰν θελήσῃς *ἀνοῖξαι τὸν οὐρανὸν*, ὡς Θεὸς, *τρόμος λήψεται ἀπὸ σοῦ ὄρη*· τὰς ἀντικειμένας δηλονότι δυνάμεις, τὰς ἐπαιρομένας κατὰ τῆς γνώσεώς σου. Καὶ *τὰ ἔθνη* δὲ, τὰ μὴ εἰδότα σε, *ταραχθήσεται.* Ἔθος δὲ τοῖς προφήταις τὴν κατὰ τοῦ Ἰσραὴλ ἁμαρτηκότος *ὀργὴν* εἰς τοὺς ἀλλοφύλους αἰτεῖν ἀποπέμπεσθαι. Καὶ ἐν Ψαλμοῖς γάρ φησιν· « Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε, καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο. »

B

C

CAP. LXIV.

VERS. 1-12. *Si aperias cœlum, tremor apprehendet ex te montes, et liquescent, sicut cera ab igne liquescit. Et comburet ignis adversarios : et erit manifestum nomen Domini inter adversarios*, etc.

ΚΕΦΑΛ. ΞΔ'.

α-ιβ'. *Ἐὰν ἀνοίξῃς τὸν οὐρανὸν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται, ὡς κηρὸς ἀπὸ πυρὸς τήκεται. Καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους, καὶ φανερὸν ἔσται τὸ ὄνομα Κυρίου ἐν τοῖς ὑπεναντίοις*, κ. τ. λ.

732 Et nunc etiam ait: *Si aperias cœlum ad iræ* tuæ descensum, sicut eluvionis tempore; quo cœli cataractas *aperiri* contigit; tunc *erit inter adversarios manifestum nomen tuum* : non aliter quam, cum est in Sodomitas ignis de cœlo demissus: cum item Pharao plagis multis acceptis. *Ira* igitur, inquit, in eos, non adversum nos, *gloriam* tuam demonstrato. Neque vero quæ hoc loco dicuntur, talia populum *propter* Dei imbecillitatem ferre significant; sed *propter iniquitates* tantum derelinqui. Est enim tanta Dei potentia, *ut cœlum* et quæ sub ipso sunt, complectatur et regat. Quo fit ut *a sæculo, nec* talem *Deum* esse *audiverimus;* neque quemquam talium *operum patratorem viderimus.* Constat enim Deum vidisse neminem; nec faciem ejus quemquam visurum, et victurum, sed ab his cognosci, quæ operatur et facit [96]. « Invisibilia enim ipsius, scribit Apostolus, a conditione mundi operibus intellecta conspiciuntur [97]. » Fortasse vero et Christum ipsum, qui in Sina etiam per conspi-

Καὶ νῦν δέ φησιν· *Ἐὰν ἀνοίξῃς τὸν οὐρανὸν* τῇ καθόδῳ *τῆς ὀργῆς*, ὡς ἐν καιρῷ τοῦ κατακλυσμοῦ (*ἀνεῴχθησαν* γὰρ οἱ καταράκται τοῦ οὐρανοῦ), *ἔσται σου φανερὸν τὸ ὄνομα ἐν τοῖς ὑπεναντίοις*, ὡς ὅτε Σοδομίταις ἤρεσε τὸ πῦρ, καὶ πληγαῖς πολλαῖς ἠκίσατο Φαραώ. Διὰ τῆς οὖν κατ' ἐκείνων *ὀργῆς*, μὴ διὰ τῆς καθ' ἡμῶν, φανερώσῃς τὴν σεαυτοῦ *δίξαν*. Τὰ δὲ παρόντα ταῦτα, παραστατικὰ τοῦ μὴ *δι' ἀσθένειαν* τοῦ Θεοῦ τοιαῦτα παθεῖν τὸν λαὸν, *διὰ* δὲ μόνας *ἁμαρτίας* ἐγκαταλελεῖφθαι. Τοσαύτη γὰρ ἡ τοῦ Θεοῦ δύναμις, ὡς *οὐρανοῦ* καὶ τῶν ὑπὸ τοῦτον κρατεῖν. Ὅθεν *ἀπ' αἰῶνος οὐκ ἠκούσαμεν* τίς ἕτερος τοιοῦτος *Θεὸς*, οὐδὲ τοιούτων *ἔργων τεθεάμεθα ποιητήν*· Θεὸν μὲν γὰρ οὐδεὶς ἑώρακε πώποτε· καὶ, Οὐδεὶς ὄψεταί μου τὸ πρόσωπον καὶ ζήσεται. Ἀφ' ὧν δὲ ποιεῖ καὶ πράττει γνωρίζεται. « Τὰ γὰρ ἀόρατα αὐτοῦ, φησὶν, ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. » Καὶ τὸν Χριστὸν δὲ ἴσως αἰνίττεται τὸν καὶ ἐπὶ τοῦ Σινᾶ φανέντα διὰ τῆς ἐμφαινομένης πᾶσι *δόξης*. Φησὶ γὰρ, Ὡς ἑώρα πᾶς ὁ λαὸς τὴν

[95] Matth. XII, 43-45. [93] Psal. LXXVIII, 6. [96] Exod. XXXIII, 20. [97] Rom. I, 20.

Digitized by Google

δόξαν Κυρίου. Τοῖς δὲ *ὑπομένουσί σε*, τοῦτ' ἔστι τοῖς ἐλπίζουσιν ἐπὶ σὲ, ἐπιδαψιλεύει τὸν *ἔλεον*. Ἔφεται γὰρ πάντως *τοῖς τῆς δικαιοσύνης ἐργάταις Ὁδοὺς* γὰρ *Κυρίου* λέγει τὰς ἐντολὰς, ὥσπερ οὖν ὁ Δαυὶδ· Ἐν τῇ ὁδῷ σου ζήσομαι, καὶ πάλιν· Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅτ' ἂν ἐπλάτυνας τὴν καρδίαν μου. Ἰστέον δὲ ὡς τὸ, *Οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον*, εἴρηται μὲν εἰς τὸ τῆς θείας δυνάμεως ἀπαράβλητον. Ὁ δὲ Παῦλος μηδὲν τούτῳ λυμαινόμενος, εἰς τὰ ἐπαγγελθέντα τοῖς ἀγαπῶσι τὸν Θεὸν ἐξείληφεν ἀγαθὰ, ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν. Οὐδὲν γὰρ τοιοῦτον οὐ θεατὸν, οὔτε μὴν ἀκουστόν. Καὶ ἀλλαχοῦ δέ φησιν· Ἀρθεὶς ἕως τρίτου οὐρανοῦ ἤκουσα ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι· οὐχ ὡς ἐνταλθεὶς μὴ εἰπεῖν, ἀλλ' ὡς μὴ φρᾶσαι ταῦτα πρὸς ἀξίαν δυνάμενος.

cuam omnibus *gloriam* apparuit, obscure innuit: cum Scripturæ testimonio populum omnem Domini gloriam intuitum esse didicerimus[98]. Quod vero *expectantibus te* addidit, ad sperantes in Deum retulit; quibus est abunde *misericordiam* suam largiri solitus. Sequetur enim *eos* procul dubio, *qui justitiam faciunt*. Neque sane *viarum Dei* nomine quidquam aliud, quam ejus præcepta intelligit: quale est apud Davidem, ubi se in via ejus victurum dicit[99]: ubi item in via mandatorum ejus cucurrisse se, cum esset ab eodem cor ejus dilatatum. Est vero haudquaquam ignorandum, quod se *nec audivisse, nec oculis suis vidisse* adjecit, eo fine dixisse, ut Dei vires cum nullis posse comparari demonstraret. Quod Paulus tamen, nulla loci violatione, ad bona, quæ Deum diligentibus promittuntur, quæ nec oculus vidit, nec auris audivit, retulit[1]: cum nihil ejusmodi in oculorum vel aurium sensus cadere animadverteret. Et vero alibi, cum esset **733** ad tertium usque cœlum evectus, ea se arcana verba audivisse asserit [2], quæ effari homini non liceat. Non quod tacere in mandatis haberet, sed quod efferre pro dignitate non posset.

Ἰδοὺ σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν· ὡς εἰ σαφέστερον ἔλεγεν, *Ἐπειδὴ ἡμεῖς ἡμάρτομεν, σὺ ὠργίσθης*. Καὶ ἄλλως δὲ, Θεοῦ ἡμᾶς ἀποστραφέντος *δι' ἁμαρτίας*, μεῖζον ἐν ἡμῖν τὸ κακὸν ἐμφύεται: ὡς παιδαγωγοῦ τινος ἀπειλήσαντος μὲν πολλάκις, καὶ τύψαντος, τέλος δὲ παριδόντος νέον συνεχῶς ἁμαρτάνοντα. Μείζω γὰρ οὗτος τῶν κακῶν ἕξει τὴν ἄδειαν. Εἰ γὰρ Θεοῦ συνεργοῦντός ἐσμεν ἀγαθοί· δῆλον, ὡς ἀποστραφέντος, μειζόνως κακοί. Θεὸς γάρ ἐστιν ὁ τῶν δυνάμεων Κύριος. Καὶ γὰρ ἔφη Χριστός· Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. Καὶ περὶ τῶν ἁγίων φησὶν ὁ Δαβίδ· «Ὅτι τὸ καύχημα τῶν δυνάμεων αὐτῶν εἶ σύ.» Καὶ ἀλλαχοῦ δέ φησιν· «Οὐκ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ἡ ῥομφαία μου οὐ σώσει με. Ἔσωσας γὰρ ἡμᾶς ἐκ τῶν θλιβόντων ἡμᾶς.» Οὐ γὰρ ἐφ' ἡμῖν τοσοῦτον, ὅσον ἐν Θεῷ, τῆς σωτηρίας ἡ δύναμις. Ἀλλὰ καὶ *ἐπλανήθημεν*, φησὶ, *καὶ ἐγενήθημεν ὡς ἀκάθαρτοι*. Εἰ δὲ καὶ δόξει τις ἐν ἡμῖν *δικαία* πρᾶξις εὑρίσκεσθαι, *ἐρρυπωμένη* καὶ αὕτη καὶ ἄτιμος ἐξελέγχεται. Καὶ πῶς γὰρ ἂν εἴη *δικαιοσύνη* παρ' αὐτοῖς εἰς Χριστὸν ἠσεβηκόσι, τὴν ὄντως *δικαιοσύνην*; Ἀκάθαρτοι τοίνυν, κἂν δοκοῖέν τινες ἐπιεικεῖς ἐν αὐτοῖς. Κἂν γὰρ παρατηρῖεν τὰς ἐντολὰς, ἀλλὰ διάθεσιν οὐκ ἔχουσι πρὸς Θεόν. Τοῦτο δὲ καὶ *ἔκρευσιν ἡμῖν*, *ὡς φύλλοις ἐκ δένδρου* πεποίηκεν, τῆς ἑαυτῶν ῥίζης ἐκπεπτωκόσι. Καὶ ὁ μὲν Ἀπόστολος τοῦ ἔθνους κατηγορῶν, ὡς κλάδους ἀπὸ δένδρου κεκλᾶσθαί φησιν. Ὁ δὲ τὴν κατηγορίαν ἐπιτείνων, *φύλλοις* παρέβαλεν ἐξ ἀνέμου ῥιφεῖσιν. Εὐπαρακόμιστον γὰρ ἐσχήκασι τὴν καρδίαν, καὶ οἷον παντὶ περιφερομένην πνεύματι. Καὶ πῶς γὰρ ἦν ἡμᾶς εὖ πρᾶξαι τὴν *ἀποστροφὴν* τὴν παρὰ σοῦ, φησὶν, ὑπομείναντας; Οὐδὲ γὰρ εὑρέθη τις ἐν ἡμῖν ὁ δυσωπῆσαι δυνάμενός σε *δικαιοσύνῃ* καὶ προσευχαῖς.

A piternus a Salvatore nuncupatus diabolo præparari dicitur [97]. *Erunt* item *in conspectum omni carni*, quam non ipsa attinget ultio, de qua dixit, *Veniet omnis caro*, 764 *ut adoret coram me* : aut eorum, qui punientur, finem esse *visuram* significat, cum bonis ipsa potiatur. Non desunt tamen aliqui, qui verbis istis, acceptas a Romanis injurias significari Judæis arbitrentur, quorum manu sunt neci traditi, qui rursum *in carne* spectabiles effecti, pœnas etiam fere perpetuas patiuntur. Alii vero Deum, tanquam rerum utilium et metuendarum demonstratione, Judæos putant adhortari, qui suum etiam adventum denuntiet, sed non uno eum ipsum modo intelligi. « Non enim, inquit, civitates Israel confeceritis, donec veniat Filius hominis [98], » quod est ab eo usurpatum, non quidem, ut gloriosum adventum, sed ut effectu suum ad eos accessum demonstraret, ut et hoc loco suam in eos propensionem et curam, eo ipso, quod illos ex *gentibus* omnibus, in quas dispersi linguas eorum didicerunt, *congregaturum* se significat. Quod cum eos aspernari contigisset, sunt a Christo *gentes congregatæ*, quæ et ipsæ *venient*, apostolos ipsos, a quibus vocati sunt, in memoria habentes, illos imitantes : quarum animi alacritatem per vehicula innuit, quæ prius significabatur per eunuchi. . .

[97] Matth. xxv, 41. [98] Matth. x, 23.

ΠΡΟΚΟΠΙΟΥ ΣΟΦΙΣΤΟΥ ΕΠΙΣΤΟΛΑΙ.

PROCOPII SOPHISTÆ EPISTOLÆ.

(Primum editæ sunt ab Ang. Maio, *Class. Auctor.* t. IV, 202.)

MONITUM.

Procopii Gazæi, quem rhetorem optimum cod. 160. appellat Photius, luculenta autem oratione a Fabricio edita discipulus ipsius Choricius dilaudavit, sexaginta olim Græcas epistolas Aldus in lucem extulit, neque plures in consequentibus editionibus apparuerunt. Reapse et Vaticanus Suecæ reginæ codex n. 159. prænotatus, sexaginta illas ad amussim continet, insuper nullam. Sed ecce alius Vaticanus codex 306, regio antiquior, bombycinus, majorem adeo Gazæi Procopii epistolarum numerum exhibet, ut plus centum ineditos esse cognoverim. Ego igitur non tam ipsarum argumento delectatus, quod in levioribus plerumque rebus, ut abundantes otio Græci solent, versatur, quam eximia styli venustate captus, et auctoris etiam fama et antiquitate commotus, quotquot erant incognitæ vulgandas suscepi : Græce, inquam, non Latine; quoniam laus earum styli potius, ut dixi, merito quam gravitate materiæ nititur.

Α'. ΙΕΡΩΝΥΜΩ.

Ἐγὼ μὲν ὤμην σε τὸν Νεῖλον πάλαι κατειληφέναι· καὶ πολλάκις εἰς μνήμην λαμβάνων, τοῦτο δὴ τὸ εἰωθὸς ἐμοὶ, Ὡς εὐδαίμονες, ἔλεγον, τοῖς Αἰγυπτίοις οἱ παῖδες, πάλαι μὲν τὸν Νεῖλον ἔχοντες χορηγὸν τῶν ὅσα φέρειν οἶδεν ἐκεῖνος· νυνὶ δὲ καὶ τὴν σὴν μοῦσαν προειληφότες οὐδὲν ἀτιμοτέραν τοῦ Νείλου, παρ' ἐμοὶ δὲ κριτῇ τάχα καὶ μείζω. Ὁ μὲν γὰρ τὴν χώ-

I. HIERONYMO.

Ratus equidem te ad Nilum jampridem commorari, sæpius mihi in memoriam, quod mihi solitum, revocabam quam felices olim, apud Ægyptios, pueri loquerentur, quibus Nilus fons erat omnium quæ novit ille largiri, et quam nunc felices qui tua gauderent musa quæ Nilo non pejor, sed et forsan me judice, melior est : ille enim regionem illam

Digitized by Google

irrigans divitem facit ; tu vero, tua lingua adolescentium mentes movens, eis ad comparandas scientiæ divitias dux fuisti, non secus ac olim Pythagoras apud illos peregrinatus, aut etiam ille Plato. Hæc apud me volvebam, tu vero, me inscio, haud procul aberas, sicut ab eo accepi qui tuam mihi reddidit epistolam. Primum quidem, obstupefactus, rem censui esse vanam imaginem, neque meis oculis fidem habui ; sed posteaquam litteris perlectis, certior fui factus nullius alterius illos esse lepores, quantum fuerim delectatus, cogitas ? Propius enim illam mihi adesse spem te iterum videndi arbitratus sum. Patriæ quoque sum collætatus, ut par erat. Paulisper igitur te invidum præbuisti. Joci gratia mihi videris criminari, quod nempe supra caput imminet is aer qualem dicebas, quod quoque aqua bibentibus in memoriam mare revocat, et quod panis ex hordeo nobis temere miscetur : non inficiabar ; at etiam et a te remissius acerbabantur ad patriæ parcendum ; illi tamen, charissime, gratiam te oportebat tribuere, quippe quæ ad philosophiam ita tuam mentem exercuerit, ut modo possis Ægypti delicias aspernari. Recogita sapientem Ulyssem parvam et asperam incoluisse insulam : quid enim aliud Ithacam illis præposuisse ? Sed neque Spartanus quisquam, ut ego opinor, patriam vivendi rationem cogitans, Spartam propterea vituperavit. Sed unde ad accusandum sine dubio fueris inductus, scio : divitiarum, optime, es amans, et pusillum deficiente lucro, Væ ! væ ! clamas, et Nilum ejusque divitias celebras : id te peregrinum facit, ut dicis ipse, et corpus Chœrephonte non melius habentem. Puto autem te amore quoque conjugis teneri neque facile velle experiri quam acerbum sit desiderium. At sic ea eveniant, Aphrodite dilecta ! et vale, et utinam te brevi liberorum patrem salutare liceat !

II. PYTHIO.

Si quis me primum conveniens a me sciscitaretur utrum lyra sit mihi et de harmonia sermonem faceret, cito res prorsus esset perspecta et eum esse musicum intelligerem ; si autem de armis essent sermones, pugnasque enarraret et belli fortunas indesinenter memoraret, non opus esset, credo Deum adire ad sciendum eum esse militem. Sed ad quid hæc ? Prorsus jam intellexisti ; nihilominus tamen dicam : is mihi tu videris in quo musæ habitent reapse ; quorum ex consortio dulcem ducis vitam neque quidquam demiraris præter libros, et sermones, et quidquid mentem meliorem facit. Mihi ex illo tempore hospes fuisti et mecum iniisti amicitiam tibi, ut opinor, gratam ; sed utinam illa spes, quam in nobis reposuisti, te nunquam fefellerit ! Volumen autem illud quod a me petis, penes me utinam fuerit ! habuisses enim tu quidem quod exoptabas mihi vero pretiosissimum fuisset quid grati tibi præstitisse ; nunc autem non per Socratis platanum, sed per ipsos illius sermones, juro nondum fuisse fruitum bono illo, quantumcunran αὐτοῦ ἐπιῤῥέων, πλουτεῖν ἐπιτρέπει · σὺ δὲ ταῖς τῶν νέων ψυχαῖς τὴν γλῶτταν ἐπαφιεὶς, ἐπὶ τὸν τῆς ἐπιστήμης πλοῦτον ἰθύνεις, οὐδὲν ἔλαττον ἢ πάλαι Πυθαγόρας αὐτοῖς ἐπιδημῶν, καὶ μὴν ἐκεῖνος ὁ Πλάτων. Ταῦτα μὲν οὖν ἐλογιζόμην· σὺ δὲ οὐ μακρὰν ἀπέχων ἐλάνθανες, ὡς δὴ καὶ ὁ τὴν ἐπιστολὴν ἐπιδοὺς, τὸ πρῶτον θαυμάζων ἀπάτην ἡγούμην τὸ πρᾶγμα, καὶ οὐκ ἐπειθόμην τοῖς ὀφθαλμοῖς· ὡς δὲ τοῖς ἐγγεγραμμένοις ἐντυχὼν ἐπείσθην μὴ ἂν ὑπάρχειν ἄλλου τὰς χάριτας, ἤσθην πῶς δοκεῖς ; Ἐγγυτέρας γὰρ αὐτὰς ἐμοὶ τὰς τοῦ σε πάλιν ἰδεῖν ἡγούμην ἐλπίδας · καὶ συνέχαιρον εἰκότως εἰ τὴν πατρίδα, ζηλωτὴν γοῦν μικρὸν ἀπέφηνας χρόνου. Σὺ δέ μοι δοκεῖς παίζων αὐτοῖς κατηγορεῖν· ὅτι μὲν γὰρ τὸν ὑπὲρ κεφαλῆς ἀέρα οἷον ἔφης εἶναι συμβαίνει· καὶ ὡς τὸ ὕδωρ τοὺς πίνοντας εἰς μνήμην ἄγει θαλάττης· καὶ ἄρτος ἡμῖν ἐκ κριθῆς εἰκῆ μεμιγμένος, οὐκ ἂν ἀρνηθείην· ἀλλὰ καὶ ἔλαττον ἐτραγῴδηταί σοι ταῦτα φειδοῖ τῆς πατρίδος · ἀλλ' ὅμως, ὦ βέλτιστε, χάριν ἐχρῆν εἰδέναι ταύτῃ πρὸς φιλοσοφίαν ἀσκούσῃ τὴν γνώμην, ὅπως ἂν εἰδείης ποτὲ τρυφῆς Αἰγυπτίας ὑπερορᾷν · Ὀδυσσέα δὲ τὸν σοφὸν νῆσον οἰκοῦντα μικρὰν ὁμοῦ καὶ τραχεῖαν · καὶ τί γὰρ ἄλλο ἢ τὴν Ἰθάκην ἀντὶ τούτων ᾑρῆσθαι ; Ἀλλ' οὐδὲ Σπαρτιάτης, οἶμαι, τὴν οἴκοι δίαιταν ἐννοῶν, τὴν Σπάρτην ἐμέμψατο. Ἀλλ' οἶδα πόθεν ποτὲ κατηγορεῖν ἐπήρθη, φιλοχρημάτως ἔχεις, ὦ λῷστε· εἶτα βραχύ τι τοῦ λήμματος ἀποστὰς, Ἰοὺ, ἰού, βοᾷς, καὶ τὸν Νεῖλον πολλάκις καὶ τὸν ἐκεῖθεν πλοῦτον ἀνακαλεῖς. Τοῦτό σέ που ξένον, ὡς αὐτὸς ἔφης, ποιεῖ, καὶ τὸ σῶμα τοῦ Χαιρεφῶντος οὐδὲν ἀστειότερον ἔχειν. Οἶμαι δέ σε καὶ τῆς νύμφης ἐρωτικῶς περιέχεσθαι, καὶ πειρᾶσθαι μόλις ὁπόσα δεινὸς πόθος. Ἀλλὰ γένοιτο ταῦθ' οὕτως, Ἀφροδίτη φίλη· καὶ ἔῤῥωσο· καί σε θᾶττον προσείποιμι καὶ παίδων πατέρα.

Β'. ΠΥΘΙΩ.

Εἴ μοί τις προσελθὼν οὐ πρότερον τοῦτο ποιήσας ἠξίου μανθάνειν εἰ λύραν ἔχοιμι, καὶ περὶ ἁρμονίας λόγον ἐποίει, πάντως ἂν ἠσθόμην τὸ πρᾶγμα, καὶ ὅτι μουσικὸς οὗτος εὐθὺς ἠπιστάμην. Εἰ δὲ περὶ ὅπλων ἦσαν οἱ λόγοι, καὶ μάχας ἔλεγε καὶ πολέμου τύχας ἀεὶ διηγεῖτο, οὐκ ἔδει δήπουθεν Θεῷ δὲ ἰέναι, καὶ ὅτι στρατιώτης οὗτος ἀκούειν ; Ἀλλὰ τί μοι βούλεται ταῦτα ; Πάντα μὲν ἤδη μανθάνεις· οὐδὲν δὲ ἧττον ὅμως εἰρήσεται · ἐμοὶ δοκεῖς ὡς παρὰ τὴν σὴν ψυχὴν ὄντως οἰκοῦσιν αἱ μοῦσαι · εἶτα κάτοικος ὢν ταῖς θεαῖς, βίον ἔχεις αὐταῖς ἀνειμένον καὶ οὐδέν σο θαυμαστὸν, ὅτι μὴ βιβλία καὶ λόγοι καὶ ὅσα ψυχὴν ἐπὶ τὸ κρεῖττον ἀνάγει · ἐντεῦθεν ἡμῖν ἐπεξενώθης ἀρχὴν φιλίας ποιησάμενος πρέπουσαν, οἶμαι, σαυτῷ· ἀλλὰ γὰρ εἴθε μὴ τῆς ἐφ' ἡμῖν ἐλπίδος διήμαρτες· ἀλλ' ὅπερ αἰτεῖς βιβλίον, τοῦτο δὲ ἦν παρ' ἡμῖν. Οὕτω γὰρ οὖν σὺ μὲν εἶχες ἀεὶ τὸ ποθούμενον, ἐμοὶ δὲ μέγιστον ἦν τὸ δοκεῖν ὑμῖν κεχαρίσθαι· νυνὶ δὲ ὄμνυμι οὐ τὴν πλάτανον τὴν Σωκράτους, ἀλλὰ τοὺς λόγους αὐτοὺς, μήπω γε τετυχηκέναι τοῦ κτήματος καίτοι πλεῖστον ἤδη χρόνον ἐρῶντα · μικρὸν δὲ ὕστε-

Digitized by Google

ρον (ἀλλὰ σὺν Ἑρμῇ καὶ μούσαις εἰρήσθω) ἐκ τῆς Ἀλεξανδρείας κομισθήσεται· τοῦτο γὰρ ἐκεῖθεν ἡμῖν οἱ προσταχθέντες ἀπέστειλαν· ὅπερ εἰ πρὸς ἔργον ἐκβαίη, ὄψει με πάντως αὐτόματον ὑμῖν προσιόντα περὶ τοῦ μεταδοῦναι ὡσεὶ καὶ αὐτὸς λαβεῖν ἐδουλόμην.

A que ex multo tempore jam exoptato ; sed non post multos dies juvante Mercurio et Musis, Alexandria afferetur : inde enim illud ii qui sunt jussi ad me allegarunt : quod si prospere succedet, me videbis ad vos quam maxime ultro pergentem, ad sic dandum quasi ipse accipere optarem.

Γ'. ΔΙΟΔΩΡΩ.

Ἡ περὶ τῆς σῆς παιδεύσεως φήμη ὁποίων ἠὐχόμεθα λόγων τὰς ἡμετέρας ἐνέπλησεν ἀκοάς. Ὁ μὲν γὰρ τὴν τῆς συνηγορίας ἀφηγεῖτο σπουδὴν, ὁ δὲ τὸ ν τοῖς δικαστηρίοις εὔπονον ἀπεθαύμαζεν, ὁ δὲ τὴν περὶ τοὺς προστόντας εὔνοιαν, πλὴν εἰ μή τις ἀδικήσας ἐτύγχανεν· οἶδα καὶ τόδε ἀκούσας ὡς ὁρῶν τινας μέγα μὲν δυναμένους, θαυμάζοντας δὲ τῶν δικαίων μηδὲν, πολὺς ἔπνευσας κατ' αὐτῶν, καὶ λοιδορίαν ἐπαινουμένην κατέχεες. Ἐγὼ δὲ τούτων ἀκούων, ἄλλων ἄλλα διηγουμένων, ὥσπερ ἔνθους ὑφ' ἡδονῆς ἐγενόμην, καὶ μέγα γε τοῖς λόγοις φρονῶν, ἐδόκουν αὐτὸς ἐπαινεῖσθαι· ἤδη δὲ καὶ χάριν ὡμολόγουν τοῖς ἐπαγγέλλουσιν, ὥσπερ εἰώθασιν οἱ τῶν αὐτοὺς ἐπαινούντων ἀκούοντες. Οὕτω δὲ ἔχοντι καὶ λογιζομένῳ προσελθὼν ὁ καλὸς Ὡρίων τὴν παρ' ὑμῶν αὐτῷ γραφεῖσαν ἐπιστολὴν ἐπεδίδου· καί μοι τῆς φιλίας συνέχαιρεν, ὥσπερ δεινὸν ἡγούμενος, εἰ λανθάνεις παρ' ἐμοὶ τοιοῦτος ὑπάρχων· ἐγὼ δέ σε μετὰ τὴν φήμην τῇ πείρᾳ μαθὼν, καὶ οἷος περὶ τοὺς δεομένους, κἂν μὴ παρῶσι, καθέστηκας, οὐδ' ἀνείπειν ἔχοις ὅσον ἐθαύμασα, καὶ αὐτὸν ἐπεκάλουν εὐδαίμονα τὴν σὴν εὐτυχεστάτην σπουδήν· ὡς δὲ καὶ γραμμάτων ἠξίου τυχεῖν παρ' ἐμοῦ, τῇ τῆς φιλίας μνήμῃ τὴν σὴν προθυμίαν ἔτι μᾶλλον ἐγείραντα, εὐήθη τοῦτον ἐκάλουν· μὴ γὰρ ἂν σε πρὸς ἀρετὴν πεφυκότα καλῶς, γραμμάτων δεῖσθαι πρὸς ταύτην παρακαλούντων· ἀλλ' ὅμως τοῦτον οὐκ ἔπειθον· ἐδόκει γάρ τι καὶ δίκαιον λέγειν, ὡς ὁ καθ' ἑαυτὸν τοιοῦτος, τίς ἂν γένοιτο γραμμάτων τυχὼν παρὰ σοῦ; Οὐκοῦν γένοιτο μὲν αὐτὸς ὁποῖος καὶ πρότερον· ἐπαινοίμην δὲ πάλιν τῆς φιλίας ἐγώ· μὴ διαμάρτοι δὲ τῆς ἐφ' ὑμῶν ἐλπίδος ὁ νέος· ἀλλὰ γνώτωσαν οἱ τὰ μεγάλα δύνασθαι δοκοῦντες, ὡς ἄρα τῶν δικαίων ἐστὶν εἰκότως ἡττᾶσθαι.

B

Δ'. ΙΕΡΩΝΥΜΩ.

Ἐγὼ μὲν τῆς ἀδελφῆς λανθάνειν ὤμην τὸν γάμον, καὶ δὴ τοῖς προσήκουσι τὴν οἰκίαν ἐγνῶσθαι, μή τι σοὶ, ὃν ὤμην ἔτι παρὰ τῷ Νείλῳ καθῆσθαι· σὲ δὲ λανθάνειν ἔοικε τῶν εἰς τρυφὴν ἡκόντων οὐδέν· ἀλλ' ἡμᾶς τέ τι δρᾶται, καὶ σὲ προσβάλλει πόῤῥωθεν ἡ τῶν ἐπιτελουμένων ὀσμή· καί που τάχα τὸν Ὁμηρικὸν Δία νικᾷς λοιδῆς καὶ κνίσσης ὁρῶν ἐλισσομένης περὶ καπνῷ· ταῦτά σε Νεῖλος διέθηκε, καὶ οἱ παρ' ἐκεῖνον εὐδαίμονες ἄνθρωποι, μεθ' οὓς τὴν ἑλοῦσαν οἰκῶν, ὀξυτέραν ἔχεις τὴν αἴσθησιν, εἴ που δή γε καπνὸς ἀναδίδοται· τὸν δὲ σὸν παῖδα μικροῦ δεῖν ὥρμησα διαθεῖναι κακῶς, ὅτι μὴ μαζόγραφος εἰς πλάτος ἀφῆκέ σου τὴν ἐπιστολὴν, ἀλλὰ παρὰ σοῦ δῶρα προσάγων, μετέλαβέ τε τῇ ὄψᾳ· καὶ οὐκ οἶδ' ὅπως μοι διέλυσε τὸν θυμόν· οὐκ εἰς μακρὰν δέ σε τοῦτον ἀμείψομαι· ἢ γὰρ γέγονέ σοι θυγάτριον, ἢ γενήσεται.

C

D

III. DIODORO.

Aures nostras iis de tua institutione quos optabamus sermonibus fama implevit : alter enim tuam in dicendis causis diligentiam narrabat ; alter vero quam feliciter tibi in judiciis cederet, mirabatur ; tertius autem quanta esses benevolentia in quemcumque accedentem, præterquam cum quis injuste egisset. Hoc quoque novi audiens, quod nempe, quosdam cum videres multum potentes, minime vero justitiam observantes, frequenter in eos fuisti invectus collaudatis objurgationibus. Quæ audiens, alia aliis narrantibus, tanquam extra meipsum præ gaudio raptus eram, atque dictis superbiens, jam ipse laudari mihi videbar, nuntiantibusque gratias tribuere profitebar non absimili modo quam qui te laudari audiunt. Cum autem ita essem affectus, superveniens formosus Orion epistolam a te tibi scriptam ostendit et mihi tuam amicitiam est congratulatus, quasi mirabile quid judicaret se nescire illiusmodi apud me te esse. Ego vero, cum non fama solum sed et re comperissem qualis erga rogantes, licet non præsentes, sis animi, non posses intelligere quantum sim miratus et illum felicem prædicaverim qui tuam in se diligentiam obtinuerit : cum autem etiam a me litteras postularet, illum, eo quod tuam benevolentiam amicitiæ memoria augere vellet, stultum dixi : non enim tibi, qui ad virtutem feliciter natus es, litteris te ad eum incitantibus opus est. Illum tamen non persuasi : recte enim quidem videbatur id dicere, nempe, qui sic est a seipso, quid non erit litteras a te accipiens ? Tu igitur is sis qui antea, ego autem rursus de amicitia lauder ; juvenis autem illa spe, pro tua parte, non decidat, sed sciant qui multum posse videntur, justitiæ quoque esse opportune vinci.

IV. HIERONYMO.

Ego quidem opinabar te ignorare sororis nuptias, easque omnibus affinibus notas esse, præterquam tibi quem adhuc ad Nilum esse credebam ; sed ut videtur, nihil te latet eorum quæ ad delicias pertinent, at aliquo modo in te agit, et ad te a longe pervenit quidam eorum quæ perficiuntur odor ; forsitan quoque Jovem vincis Homericum in percipiendo libationes et nidorem in fumo volutatum : quod tibi dedit Nilus et felices ejus accolæ, inter quos placentem terram incolens acutioribus sensibus percipis sicubi fumus ascendit. Parum autem abfuit quin puerum tuum male haberem, quia tuam in altum epistolam emiserat ; sed tua munera proferens mihi mentem eorum conspectu mutavit et quo nescio modo iram lenivit. Non autem multo post tibi rependam : vel enim jam nata est vel nascetur tibi filia.

Digitized by Google

V. ALYPO ET STEGO GRAMMATICIS ET IERIO ROMANO.

Legislator ille Solon, cum suis legibus quam optime institutam esse vidisset civitatem, malum esse arbitratus est mirabilem suam sapientiam intra Atticæ fines angustiari. Itaque ad Ægyptios perrexit, licet omnibus sapientiores esse gloriarentur; ivit quoque ad Crœsum divitiis tanquam felicitate superbientem. Majus esse Soloni videbatur sapientia pollere quam divitiis illis quas Pactolus in omni terra quam irrigat, diffundit. Solonem videntes admirati sunt; cumque discederet, illius desiderio capti sunt. Athenienses autem, apud quos discipulorum crepidam exuerat, Minervam forsan rogaverunt ut rursum civitati redderetur legislator; non autem mirarer ego illum propterea de sua peregrinatione cogitasse, quod quantum in se amoris Atheniensibus esset scire vellet: præter hominem unum qui tunc forte aberat, flevere omnes, etiamsi sapientes alios, ut verisimile est, haberent. Quid de nobis esset, si illud summum bonum amitteremus? Si quis prius dubitaverit, sive Atticam sive Italiam proferre licet: utraque modo silet et scientiis caret atque eadem pati videtur quæ Cithero, qui, posteaquam sæpissime deum acceperat, illo recedente, subito desertus factus est. Nec uspiam Dionysius. Itaque Apollinem increpabo qui ad se ex contemptu nostra revocavit et arbitror felicem illis sortem gratulaturas esse Musas. Vos nimirum antiquis fabulis replemini, recogitantes quid deus per ipsam Daphnem fuerit passus, Daphnem nempe, castitatem, humanitatemque, arborem quæ amantem consolatur; atque vobis inter homines solis dea pignora realiter largita est. Si, Apollinis amicæ gratia, natæ sunt cypressi opacæ, atque etiam abundans aqua, et cicadæ canunt, via quoque molli herba fruitur, et arbores aliæ propter alias, et domus arborum celsitudine ad dimidium absconsæ, ac auræ dulces, variique odores, et solis ardorem repellens umbra: vestrum est aut cito ea nuntiare aut scriptis describere. Vellem tamen ad vos ire et vos videre, ut præter cætera, vaticinia quoque audiam: illud enim opinor vobis a Daphne etiam esse concessum.

VI. PALLADIO.

Potentium virtutem maximam censeo esse consolari oppressos. Cum enim potentiæ accedit voluntas servandi justitiam, quid obstat quin perficiantur quæ legibus videntur? Sed quorsum illud prœmium? Isidorus scholasticus, qui dum viveret, mihi fuit amicus, nunc autem memoria idem est ac vivus erat, tu aliis dicere posses quam mirabilem se præbuerit; e vivis discedens destitutam omni adjutorio domum reliquit: quæ enim mater fuerat, orba nunc, in extrema senectute, nec jam mater; uxor autem viduitatis jugo premitur, de liberis vero quid dicendum? Parvulæ sunt puellæ et jam orphanorum miseram sortem expertæ, unoquoque verbo, omnibus injuriam inferre volentibus

Ε'. ΑΛΥΠΩ ΚΑΙ ΣΤΕΓΩ ΓΡΑΜΜΑΤΙΚΟΙΣ ΚΑΙ ΙΕΡΙΩ ΡΩΜΑΙΚΩ.

Σόλωνι τῷ νομοθέτῃ ἐπειδὴ νόμων ἕνεκα καλῶς ἔχειν ἡ πόλις ἐδόκει, δεινὸν ἡγούμενος μέχρι τῆς Ἀττικῆς αὐτῷ τῆς σοφίας ἑστάναι τὸ θαῦμα, ἐφοίτα μὲν παρ' Αἰγυπτίους καίπερ σοφωτέρους τῶν ἄλλων αὐχοῦντας· ἐφοίτα δὲ καὶ παρὰ Κροῖσον ὡς ἐπ' εὐδαιμονίᾳ τῷ πλούτῳ κομῶντα. Μεῖζον γὰρ ἐδόκει τῷ Σόλωνι σοφίᾳ τρυφᾷν, ἢ χρυσῷ ῥέων ὁ Πακτωλὸς γῆν τὴν ὅσην ἐπῆλθεν ἐκεῖνος· καὶ οἱ μὲν ὁρῶντες ἐθαύμαζον· ὡς δὲ ἀπεφοίτα, πάλιν ἐπόθουν τὸν Σόλωνα· Ἀθηναῖοι δὲ παρ' οἷς τὴν κρηπίδα τῶν μαθητῶν ἐβάλετο, τάχα καὶ τὴν Ἀθηνᾶν ηὔχοντο, τὸ, νομοθέτην αὖθις ἀποδοῦναι τῇ πόλει· εἰ δὲ καὶ τούτου ἕνεκα τὴν ἀποδημίαν σοφίζεται, γνῶναι θέλων ὅπως ἔρωτος ἥκουσιν εἰς αὐτὸν Ἀθηναῖοι, οὐκ ἄν, οἶμαι, θαυμάσαιμι, πλὴν ἑνὸς ἀνδρὸς ἀπόντος ἐδάκρυσαν Ἀθηναῖοι, καίτοι σοφοὺς, ὡς εἰκὸς, εὐτυχοῦντες ἑτέρους· τίνες ἂν γενοίμεθα τὸ κεφάλαιον ὅλον ἀφαιρούμενοι; καὶ ἦν ἄν τις ἐδίστασε πρότερον, εἴτε τὴν Ἀττικὴν, εἴτε τὴν Ἰταλίαν προσῆκεν εἰπεῖν, αὕτη σιγᾷ νῦν ἐξαίφνης καὶ τῶν γνωρισμάτων ἀφῄρηται· καὶ ταῦτα πάσχειν ἔοικε τῷ Κιθερῶνι, ὅτι πολὺν δεξάμενός ποτε θεὸν, ἀπιόντος πάλιν ἐξαίφνης ἔρημος ἦν· καὶ ὁ Διονύσιος οὐδαμοῦ· ὅθεν καταβοήσομαι τοῦ Ἀπόλλωνος, ὃς καὶ παρ' ἑαυτὸν ἐκάλει τὰ ἡμέτερα παιδιών· καὶ οἶμαι τούτοις συνήδεσθαι τῆς εὐτυχίας τὰς Μούσας· ὑμεῖς δήπου καὶ παλαιῶν μυθολογημάτων ἐμπίπλασθε, παρ' αὐτὴν ἤδη τὴν Δάφνην λογιζόμενοι τοῦ θεοῦ τὸ πάθος· τὴν Δάφνην, τὴν σωφροσύνην καὶ τὸ φιλάνθρωπον, καὶ φιτὸν παραμυθούμενον ἐραστήν· καὶ παρ' ὑμῖν μόνοις τῶν ὁρωμένων ἡ θέα τῷ λόγῳ τὴν μαρτυρίαν χαρίζεται· εἰ δὲ καὶ κυπάριττοι πυκναὶ πρὸς χάριν ἀνεῖνται τῆς ἐρωμένης Ἀπόλλωνος, καὶ ὕδωρ ἄφθονον καὶ τέττιγες ᾄδουσι, καὶ ὁδὸς τῇ πόᾳ μαλακῇ παρακέχυται, καὶ δένδρα ἄλλ' ἐπ' ἄλλοις, καὶ οἰκίαι τῷ τούτων ὕψει κατὰ μέσον κρυπτόμεναι, αὖρά τε μετρία, καὶ ὁσμὴ συμμιγὴς, καὶ σκιὰ τοῦ ἡλίου τὸ λυπηρὸν ἀποκλείουσα, ὑμέτερον ἢ ὡς τάχος ἀγγέλλειν ἢ διηγεῖσθαι τοῖς γράμμασι· πλὴν βουλοίμην εἰς ὑμᾶς ἐλθόντας ἰδεῖν, ἵνα πρὸς τοῖς ἄλλοις καὶ μαντευομένων ἀκούσωμαι· καὶ τοῦτο γὰρ ὑμῖν οἶμαι δεδωκέναι τὴν Δάφνην.

Ϛ'. ΠΑΛΛΑΔΙΩ.

Τὴν τῶν μέγα δυναμένων ἀρετὴν μεγίστην οἶμαι τοῖς ἀδικουμένοις παραμυθίαν. Δυνάμεως γὰρ εἰς ταυτὸν ἐλθούσης καὶ γνώμης τιμώσης τὰ δίκαια, τί κωλύει πρὸς πέρας ἰέναι τὰ δοκοῦντα τοῖς νόμοις; Ἀλλὰ τί μοι βούλεται τὸ προοίμιον; Ἰσίδωρος ὁ σχολαστικὸς, ὁ πάλαι μὲν φίλος ἡνίκα ἔζη, νῦν δὲ μέχρι τῆς μνήμης, οἷος μὲν ἦν τὸν βίον, καὶ ὡς πανταχόθεν αὐτὸν παρεῖχε θαυμάζειν, καὶ ἑτέροις αὐτὸς ἐξηγήσαιτο. Νυνὶ δὲ ἀπελθὼν ἐξ ἀνθρώπων, ἔρημον συμμαχίας κατέλιπε τὴν οἰκίαν. Ἡ μὲν γὰρ πάλαι μήτηρ, νῦν ἅπαις ἐπὶ γήραος οὐδῷ, καὶ μήτηρ οὐκέτι· ἡ δὲ σύνοικος χηρείας ὑποφέρει ζυγόν· τὰ δὲ παιδία τί δεῖ λέγειν; κόραι γὰρ αὗται μικρὰν ἄγουσαι τὴν ἡλικίαν, καὶ ὀρφανίας τύχης πειρώμε-

Digitized by Google

ναι· συνελόντι δὲ φάναι, πρόκεινται πᾶσι τοῖς ἀδικεῖν βουλομένοις, εἰ μὴ σὺ κωλύσεις, αἱ τούτων ὁρῶσιν ἐλπίδες. Ὁ δεῖνα γὰρ φύσει μὲν ἐπιπόνηρος· προσοικῶν γὰρ τὴν τούτων οἰκίαν, καὶ τὸν ἐκ τοῦ γειτνιάζειν φθόνον λαβών, μίαν πεποίηται γνώμην ἄχρηστον αὐταῖς ἀποφαίνειν τὴν οἴκησιν· ὅθεν οὔτε τῶν οἰκοδομούντων ἐννόμως κωλυομένων ἠνέσχετο· καὶ πρὸς ἀλλήλους διαγράμματα συγκείμενα λῆρον ἡγούμενος, κυριώτερον αὐτὸν ἀποφαίνειν τῶν νόμων, καὶ ὧν αὐτὸς ὡμολόγησεν· ἀλλὰ δικαιοῦ καὶ μισοῦντος τὰ φαῦλα γνώμην λαβών, γενοῦ ταῖς κόραις πατὴρ, καὶ τῇ μητρὶ παῖς, καὶ τῇ γυναικὶ πάλιν ἴσα καὶ σύνοικος, ἡμῖν δὲ τοιοῦτος οἷον ἡ προλαβοῦσα πεῖρα πολλάκις ἀπέδειξε· καὶ γνώτω ὡς οὐκ ἔστιν ἔρημον εἶναι συμμαχίας, ἕως ἂν οἵ τε νόμοι σώζονται καὶ ἄνδρες τιμῶντες τὰ δίκαια.

A obnoxiæ, nisi in vetes : illinc vergunt spes earum. Quidam enim, natura perversus, earum domui vicinus, vicinitate invidia capta, id tantum cogitat quo illis domum suam inutilem faciat : sic eos legitime ædificare non passus est ; pacta quoque mutua pro nihilo habens, se legibus et propriis pactionibus superiorem præbet. Judicis igitur mentem injustitiæ adversantem sumens, puellis esto pater, matri filius et uxori pariter conjux, nostrisque oculis is quem experientia compluries ostendit ; sciant non esse auxilii inopiam donec legis et viri justitiæ cultores stent incolumes.

Z'. ΓΕΣΣΙΩ ΙΑΤΡΟΣΟΦΙΣΤΗ.

Τὴν ὑμετέραν ἐπιστολὴν εἰς χεῖρας λαβών, αὐτὰς ἔδοξα μόλις ἀπειληφέναι τὰς Μούσας, ἔνθους τε ἦν ὑφ' ἡδονῆς, καὶ οὐκ εἶχον ὅ τι καὶ γένωμαι· ὥσπερ οἱ Δελφοὶ ἐπειδὰν ὡς ἐξ Ὑπερβορείων ἐλθόντος Ἀπόλλωνος, τὸ πρὶν σιγῶντες, πλήρεις ἐξαίφνης γένωνται τοῦ θεοῦ. Τοιοῦτος ἦν τις ἐγὼ, πάντα θαυμάζων, τῶν ὀνομάτων τὴν ὥραν, τὴν πρὸς ἄλληλα τούτων ἁρμονίαν, τὸ διὰ πάντων κάλλος ἐπιφαινόμενον· καὶ τὸ δὴ μέγιστον, τοὺς ὑμετέρους τρόπους, ἐξ ὧν ἡμῖν προῆλθε τὰ πράγματα· καί σοι πολλάκις ἀγαθὰ γένοιτο τοιαύτην ἡμῖν ἀποδεδωκότι τὴν ἑορτήν· ἀλλὰ γὰρ μία χελιδὼν ἔαρ, φησὶν, οὐ ποιεῖ· οἷον δὲ καὶ ἡ προλαβοῦσα χελιδὼν εἰς ἔργου ἦρκεσε χρείαν· εἰ δὲ καὶ δευτέραν προσθείην καὶ τρίτην εἶτα πολλὰς, οὐδὲν ἂν εἴη ἔαρ ἡμῖν· οὔτε Κροῖσος ἐκεῖνος οὔτε χρυσῷ ῥέων ὁ Πακτωλός. Τοὺς δὲ ὑμετέρους παῖδας εἶδον ἡδέως, καὶ ὥσπερ δι' εἰκόνος ἀνηγόμην πρὸς σέ· ὅθεν ηὐξάμην καὶ πλείους ἰδεῖν· καὶ εἰ μεγάλα λέγειν, τοῦ πατρὸς ἀμείνους· ἀλλ' οὖν εὐχομένῳ ῥᾴδιον λέγειν ὅσα γε βούλεται, καὶ μιμεῖσθαι τὸν Ἕκτορα· τὸν ἑταῖρον Δωρόθεον αὐτόν με δοκεῖ παρόντα προσάγειν ὑμῖν· καὶ λέγειν ἄλλο μὲν οὐδὲν, πληρῶσαι δὲ τοῦτο τὰς ἐλπίδας αὐτῷ παρέσχε τὰ ὑμέτερα διηγούμενος· εἰ δὲ καὶ δι' ἐμέ τι πλέον ἔξειν ἐλπίζει, ὑμέτερον ἂν εἴη τοῦτον μὴ ψευσθῆναι τῆς συγγνώμης· συστήσει δὲ τὸν νέον ὑμῖν καὶ τρόπος ὁμοίως καὶ σπουδὴ, ἅπερ εἰ ἦν αὐτὸν ἅμα τῇ θέᾳ παραστῆσαι σαφῆ, οὐδὲν ἂν ἴσως ἔδει τῶν ἡμετέρων γραμμάτων· νῦν δὲ δι' ἐμὲ τὰ πρῶτα τιμήσας, ὕστερον οἶμαι θαυμάσεις καὶ δι' αὐτόν· οἶμαι δὲ καὶ ἑταῖρον Ἀναστάσιον εὐμενέσιν ὑμᾶς ἰδεῖν ὀφθαλμοῖς ὡς καὶ τὸ ἡμέτερον γένος· τί γὰρ δεῖ πλέον εἰπεῖν πρὸς ἄνδρα πάλαι τε καὶ φίλον καὶ νῦν οὐδὲν ἧττον εὐνοεῖν ἠρημένον;

B C D

VII. GESSIO INSIGNI MEDICO.

Tuam epistolam in manibus accipiens, ipsas Musas visus mihi sum accipere : præ voluptate amens meique nescius : quemadmodum Delphii, cum velut ex Hyperboreis advenit Apollo, prius muti, pleni repente deo fiunt ; sic ego, omnia mirans, verborum venustatem, eorum ad invicem harmoniam, elucentem ex omnibus decorem, sed præsertim tuos affectus quibus ad me ea devenerant. Permulta tibi contingant bona, qui tantam mihi festivitatem fecisti ! hirundo una, ut aiunt, ver non facit, licet præveniens hirundo ad id satis sit ; quod si alteram adderem, et tertiam, et multas postea, ver mihi tamen non esset, sed neque ille Crœsus, neque auro fluens Pactolus. Liberos tuos cum jucunditate vidi, et quasi per imaginem tibi denuo conjungebar ; unde exoptavi et plures videre et si magna dicere licet, patre meliores ; sed optanti facile est quæcunque velit dicere, et Hectorem imitari. Dorotheum amicum mihi videor præsentem tibi sistere, nec aliquid aliud dicere, sed eam illius spem implere quam tua narrans oriri fecit. Si autem per me quidquam amplius habere sperat, tuum erit illius desiderium non fallere. Juvenem tibi vincient mores simul et diligentia : quæ si possibile esset, una cum corporis habitu manifeste ostendere, non forsan meis litteris opus esset ; illum propter me primo cohonestatum, postea, credo, propter ipsum mirabere. Puto quoque amicum Anastasium benignis te oculis conspicere, veluti genus nostrum omne. Quid amplius dicendum homini jampridem amico et qui modo non minori benevolentia affici dicitur ?

Η'. ΖΑΧΑΡΙΑ ΑΔΕΛΦΩ.

Ὡς ἔοικεν, ὦ λῷστε, τῶν εἰς ἡμᾶς σκωμμάτων οὔ ποτε παύῃ· μηδέ γε παύσαιο τούτων, ὦ πάντες θεοί· ὡς ἐγὼ λεγομένων προσγελῶ τε τούτοις γράμμασι, καὶ πρὸς ὑμᾶς ἀφικνοῦμαι τῇ διανοίᾳ, καὶ λέγειν τι δοκῶ πρὸς ἡμᾶς καὶ λεγόντων ἀκούειν. Ὥστ' εἴ σοι μέλει τῆς ἐν τοῖς γράμμασι χάριτος, μέλει δὲ πάντως, βάλλ' οὕτως, καὶ μείζονα χαρίζεσθαι δόξεις, ἢ εἴ μοι παρεῖχες Κροίσῳ γενέσθαι· κάλει δὲ πάλιν σοφιστὴν, καὶ λέγε κρότων ἐρᾷν· ὀφρύν τε προστίθει καὶ τύφον, καὶ πᾶν ὅ τί σοι φίλον· πολλάκις δὲ καὶ

VIII. ZACHARIÆ FRATRI.

Ut videre est, charissime, tuis in nos conviciis non desistis : sed ne desistas, proh Deos omnes ! quia risum mihi movent quæ in illis litteris dicuntur, et ad vos cogitatione venio et mihi videor vos alloqui et audire. Ideoque si tibi curæ est litterarum gratia (et maxime est), feri denuo, mihique magis gratum videbitur quam si me Crœsum faceres ; rursum sophistam voca et plausuum amatorem, supercilium adde et superbiam et quidquid tibi placuerit. Sæpe, cum sophistam diceres, intende-

Digitized by Google

bas idem esse id dicere ac superbum vocare ; ego vero artem meam non ejurabo. Quod si illius proprium est in superbiam extollere, ad te, credo, pertinet quoque artis exercitium ; sed pro tua reverentia tacebo. Forte mirum in modum es sophista, et rem experientia notam verbis decet celebrare. Præterea silentio forsan in litteris transmisi et quæris flores et hirundines, et placidas maris mutationes, et formosum Adonida, et Aphroditen illam mirabiliter amantem, et doles quod rosam non audis cujus gratiam jamdudum miraris ; ego autem nihil tale dicam, et præsertim tibi, ne rursus deridens me pulchri ignarum et sophistam voces.

IX. EPIPHANIO.

Potens certe eras quemcunque voluisses ad loquendum vel ad tacendum ciendi, mihique videris aliquid ejusdem modi facere ac si quis lyra quam habet, quia ea uti didicerit, aut sonos eliceret aut a pulsandis chordis abstineret, ad id quod melius putaretur cito paratus, nec quidquam musicum diceret, neque ipse neque ejus lyra. Sic te tacente et ad nova prospiciente, tristitia statim premimur et silemus nos olim amicissimi, nunc autem forte amici. Sed unde hoc dulce ? Leges te cogunt elato supercilio esse. Deinde eo quod legislatoris mentem sumpseris et jam Romanorum res tibi videaris tua sententia gerere, ideo tantum in modum supra nos extolleris. Sed si vix tibi superest pristinæ amicitiæ ratio aut memoria, utinam olim id evenerit ! Ego autem qui tuæ linguæ suavitatem una cum hirundinibus audivi, mente extollor, splendidiorque sol mihi lucere videtur, et nunc mihi vere adest ver ; sed mihi sis semper benignus, nec amplius ad me infestus, obliviosus amorum, venias.

X. SOSIANO.

Qui divitiarum est amans, nihil jucundi nisi de illis loquitur aut alios audit loquentes : quod si illi aurum offeras, honoris officia ei præstat : sic quoque in armis qui egregium scutum accepit, id magni pensat, et huc illuc circumferens, magis Marte impletur. Viro autem bono quid faciens gratus eris magis nisi similes sibi viros videndos offerens? Itaque, te sciens hujusmodi et esse natum et fieri velle, non rectum arbitratus sum tibi esse ignotum scholasticum Diodorum, sed eum ad te mitto et tibi do (tu illum, ille te), utrique vestrum gratum facere existimans, si invicem experientia vos cognoveritis; uterque etiam me laudabit sciens qualia amicis præbeo.

XI. JOANNI.

Eloquentissimus Diodorus silentium inter nos solvet, et a te postulans ut scribas et meas ad te reddens litteras: ille enim est mihi amicus, et, te antequam viderit, amabat: nostri etenim de te sermones ad te videndum excitant amorem. Vir

A σοφιστὴν εἰπὼν ἀπηλλάγης, ὡς ταυτὸν ὂν τοῦτο εἰπεῖν καὶ ἀλαζόνα καλέσαι. Ἐγὼ δὲ τὴν ἐμὴν τέχνην οὐκ ἀρνησαίμην· εἰ δὲ ταύτης ἴδιον τὸ πρὸς ἀλαζονείαν ἐπαίρειν, καὶ σοί που μέτεστιν ἄγων τῆς τέχνης· ὥστε δέδοικα μὴ ὅσης ταύτης μετέχεις· ἀλλὰ γὰρ αἰδοῖ τῇ πρὸς σὲ σιωπήσομαι· ἴσως δὲ θαυμαστὸς εἶ σοφιστής· ὧν· καὶ τὸ ἔργον ἤδη θεώμενος δέον ἐκπομπεῦσαι τῷ λόγῳ· εἶτα παρῆλθον σιγῇ καί που ζητεῖς ἐν τοῖς γράμμασι ἄνθη καὶ χελιδόνας καὶ θαλάττης μεταβολὴν ἥμερον, τόν τε Ἄδωνιν τὸν καλὸν, καὶ τὴν Ἀφροδίτην ἐκείνην τὴν παραδόξως ἐρῶσαν, καὶ ὅτι μὴ τὸ ῥόδον ἀκούεις, καὶ τὴν ἐπ' αὐτῷ χάριν πάλαι θαυμάζεις· ἐγὼ δὲ τοιοῦτον οὐδὲν ἂν εἴποιμι καὶ μάλιστά γε πρὸς σέ· μήποτε πάλιν γελάσας, ἀπειρόκαλόν με καὶ σοφιστὴν ὀνομάσῃς.

Θ'. ΕΠΙΦΑΝΙΩ.

B Δεινὸς ἄρα τις ἦσθα κινεῖν ὃν ἂν ἐθέλῃς πρὸς λόγον καὶ σιωπήν· καί μοι δοκεῖς παραπλήσιόν τι ποιεῖν, ὥσπερ εἴ τις λύραν ἔχων, κεχρῆσθαι ταύτῃ μαθὼν, νῦν μὲν ὑφαίνοι μέλος, νῦν δὲ τῶν κρουμάτων ἀπόσχοιτο· εἰ γάρ τι περὶ ταῦτα κρεῖττον νομισθείη, εὐθὺς πρὸς ἐκεῖνό γέ ἐστι, καὶ οὐδὲν ἂν εἴποι μουσικὸν, οὔτε αὐτὸς οὔτε ἡ λύρα· καὶ σοῦ σιωπῶντος ἡμῖν, πρὸς τὰ καινότερα μεταβεβλημμένου κατηφεῖς εὐθύς· καὶ σιωπῶντες οἱ πάλαι μὲν φίλτατοι, νῦν δὲ ἴσως φίλοι· ἀλλ' ἡδύ ποθεν τὸ πρᾶγμα· οἱ νόμοι σε παρασκευάζειν ἠνάγκασαν σεμνὸν ταῖς ὀφρύσιν ἀνέλκειν· εἶτα φρόνημα νομοθέτου λαβὼν, καὶ δόξας ἤδη τὰ Ῥωμαίων ἄγειν· τῇ ψήφῳ, τοσοῦτον ἡμῶν κατεπήρθης. Ἀλλ' ἐπειδή σε μόλις ὑπεισῆλθε τῆς C παλαιᾶς συνηθείας λόγος καὶ μνήμη, εἴθε μὲν καὶ πάλαι γέγονε τοῦτο· ὁ μέν γε τῆς σῆς γλώττης μετὰ τῶν χελιδόνων ἡδύ τι φθεγγομένης ἀκούσας, διανίσταμαι τῇ ψυχῇ· καὶ λαμπρότερόν μοι τὸν ἥλιον προσβάλλειν δοκῶ· καὶ νῦν ὄντως ἔαρ ἐμοί. Ἀλλὰ γένοιο λοιπὸν ἡμῖν εὐμενὴς, καὶ μηκέτ' ἔλθῃς πολεμιῶν, ἐρώτων εἰς λήθην.

Ι'. ΣΟΣΙΑΝΩ.

Εἴ τις χρημάτων ἐστὶν ἐραστὴς, οὐδὲν ἂν ἡδέως ἢ ταῦτα λέγοι, καὶ λεγόντων ἄλλων ἀκούσειεν· εἰ δὲ καὶ χρυσὸν ἄγων παράσχοις, ἔχει τὰ παρ' ἐκείνῳ τιμῆς· οὕτως δὲ ἐν ὅπλοις τὰ πράγματα καλὴν οὕτως ἀσπίδα λαβὼν ἐφρόνησέ τι μέγα, καὶ τῇδε κἀκεῖσε περιφέρων τὸ κτῆμα πληροῦται μᾶλλον τοῦ Ἄρεως. D Ἀνδρὶ δὲ ἀγαθῷ τί πράττων ἄν τις χαρίσαιτο ἢ παραπλησίους ἄνδρας παρέχων ἰδεῖν; Ὅθεν σε τοιοῦτον εἰδὼς καὶ γεγονέτα καὶ εἶναι βουλόμενον, τὸν σχολαστικὸν Διόδωρον ἀγνοεῖν οὔ μοι πρέπον ἐφαίνετο, ἀλλ' ἄγω καὶ δίδωμι, σὺ μὲν ἐκεῖνον, ἐκεῖνος δὲ σέ· ἀμφότερον· ὑμῖν νομίζων χαριεῖσθαι, εἰ ἀλλήλων ἐν πείρᾳ γενήσεσθε· ἐπαινέσει δέ με πάντως ἑκάτερος, οἷα τοῖς φίλοις προξενεῖν ἐπιστάμενος.

ΙΑ'. ΙΩΑΝΝΗ.

Ὁ λογιώτατος Διόδωρος λύσις ἡμῖν ἔστω τῆς πρὸς ἀλλήλους σιγῆς· καὶ σὲ γράφειν ἐπαιτῶν, καὶ τὰ παρ' ἡμῶν σοι διδούς· φέλος μὲν γὰρ οὗτος ἐμός· ἦδη δὲ πρὶν ἰδεῖν καὶ σὸς ἐραστὴς ἐτύγχανεν· οἱ γὰρ ἐξ ἡμῶν λόγοι τὰ περὶ σοῦ διηγούμενοι πρὸς τὴν

Digitized by Google

θέαν ἐπιοῦσι τὸν ἔρωτα· ὁ γὰρ ἀνὴρ ἐρωτικός ἐστι τῶν καλῶν, καὶ πολυπραγμονεῖ τοὺς χρηστούς· ὥσπερ δεδιὼς μή ποτέ τις τοιοῦτος ὢν διαλάθοι· καὶ τί σοι τὰ περὶ τούτου λέγειν με δεῖ; Πάντως γὰρ τῇ πείρᾳ τοῦτο μαθὼν, ἐλάττω νομίσεις τὸν ἔπαινον· καὶ ἀσθενῆ μὲν καλέσεις ῥήτορα, ὡς οὐδὲ τὰ προσόντα λέγειν δυνάμενον.

A ille egregiorum amans et bonos sedulo inquirens ne quis bonus tibi sit ignotus. Sed quare de illo tibi dicerem? nam experientia doctus pejorem judicares laudem et me infirmum vocares oratorem qui et amplius essent, dicere non potuissem.

ΙΒ'. ΔΙΟΔΩΡΩ.

Τοῦτο ἐκεῖνο ὃ καὶ προσδοκῶντί μοι γέγονεν· ᾤμην γὰρ εὐθὺς ὡς ἐκεῖσε γενόμενος ἀρχόντων ὁρᾷν βῆμα, καὶ ῥητόρων χορὸν, καὶ προσφύγων οὐχ ἑπόμενον, πληθήσῃ μὲν αὐτίκα φρονήματος· κἂν λαλεῖν τις ἐθέλῃ, μόνον οὐκ ἀνέξῃ τοῦ λέγοντος· ἡμῶν δὲ λόγος ἔσται βραχύς· καὶ τί μοι τοὺς ἐν σκότῳ κεκρυμμένους ἐκείνους λέξεις δήπου πάντως περὶ ἡμῶν; Εἰ δὲ χαμαὶ ἐρχομένοις προσείποις, οὐδὲ τοῦτο θαυμάσαιμι· τὸ αὐτὸ καὶ προσεδόκων καὶ γέγονε τοῦτο τῶν καθ' ὑμᾶς ῥητόρων τὸ φρόνημα· οἱ, τοὺς ἄλλου; πρόσφυγας καλοῦσι καὶ τὰ κσθ' ἑαυτοὺς ἀπομιμνήσκοντες πράγματα· καὶ νῦν δοκεῖς φίλους ἡμᾶς εἰρῆσθαι, τὸ πρότερον οὐκ ἄξια κρίνας, ὥσπερ εἰκὸς, ἀλλ' ὅτι κρειττόνων ἀπορίᾳ, τοῖς παροῦσιν ἐχρήσω· καὶ μεταμέλει σοι παντὸς τοῦ χρόνου, ὃν παρ' ἡμῖν ἀναξίως διέτριβες· καὶ νῦν δέδοικα γράφων μὴ πρὸς τὴν παρ' ἡμῶν δυσχεράνῃς ἐπιστολήν· ἐγὼ δέ σε καλῶς πράττειν εὐξαίμην· κἂν δέῃ πάλιν καταφρονεῖσθαι, λυπηρὸν μὲν, οἴσομεν δ' οὖν ὅμως τῇ σῇ τύχῃ παραμυθούμενοι.

B si autem humi ambulantes salutes, id non mirer: id quod prævideram evenit, loquor de rhetorum secundum vos illorum superbia; quippe qui alios clientes vocant et negotia per te absoluta memorant. Et nunc videris nos dixisse prius amicos, quod recte non judicaveris, quasi meliorum inopia præsentibus usus fueris: præteriti quoque temporis te pœniteat, quod nobiscum indigne consumpsisti; et nunc scribens vereor ne nostram epistolam moleste feras: ego tamen prospera tibi precor, etiamsi oporteret me iterum despici, quod amarum esset, tuæ autem fortunæ gratia ferreus.

ΙΓ'. ΖΑΧΑΡΙΑ ΚΑΙ ΦΙΛΙΠΠΩ.

Τῆς μὲν προλαβούσης σιωπῆς τὴν αἰτίαν ὁ χειμὼν ἀποφερέσθω τὰ εἰωθότα λυπῶν· τῆς δ' ἐντεῦθεν, εἴ τις ἄρα καὶ γένοιτο, ὑμεῖς ἂν εἰκότως ὑπέχοιτε τὰς εὐθύνας· καίτοι γε ἡλίκον τοῖς παθοῦσιν πρᾶγμα τῶν παίδων ἡ σιγὴ, πῶς ἄν τις παραστήσαι τοῖς μὴ πρὸς πεῖραν ἐλθοῦσιν τοῦ πράγματος; Ὑμεῖς δ' ἂν εἰδείητε πάντως πως φίλοι διατεθέντες ἐρωτικῶς· οὐ γὰρ ἂν τοσοῦτον φρονήσαιμι, ὡς καὶ αὐτὸς οἴεσθαι παρ' ὑμῶν ἀντεράσθαι· καίτοι εὐξαίμην οὖν μοι τοῦτο γενέσθαι μᾶλλον ἢ πολλῷ κομᾷν τῷ χρυσῷ καὶ ἡστινοσοῦν τύχης εἰς ἄκρον ἀφίχθαι· οὔτε γὰρ ἂν ἕκαστος ῥᾳθυμεῖν οὐκ ἔχων διὰ τὸν πόθον ἐμοῦ πάντως ἂν παραμυθείτω τὸν ἔρωτα· εἰ δὲ τοιοῦτο μὲν οὐδὲν, ἔτι δὲ σιωπήσεσθε, κατηγορήσω μὲν, τοιαῦτα παθών· κρινεῖ δέ τι ἐρωτικὸς δικαστὴς, καὶ ψηφιεῖται ὅ τι χρὴ παθεῖν ὑμᾶς καὶ ἀποτίσαι... εὖ μὲν παθεῖν ἀπο... ται ἵνα μὴ τὸν ἐρῶντά με πάλιν... (1) ψηφιεῖται δὲ ὑμᾶς ἀποτίσαι τοιαύτας ἐπιστολὰς, ὥστε τῷ πλήθει τοῦ προλαβόντος χρόνου παραμυθεῖσθαι τὴν σιωπήν.

C Præteriti silentii crimen ferat hiems, more soliti contristans; silentii autem illius quod nunc foret, vos rationem redderetis. Quantum autem malum sit liberorum silentium, quis iis ostendet qui nondum sunt experti? Vos prorsus scietis cum ardenti amore capiemini. Non ego quidem sic superbio ut a vobis redamari putem, quod tamen mihi magis exoptarem quam plurimo auro abundare et ad summum honoris fastigium devenire; qui enim quiescere non haberet per desiderium meum non posset consolari amorem. Si nihil hujusmodi fit et adhuc silebitis, arguam talia patiens; judicabit autem amans et declarabit quid sit vobis patiendum et exsolvendum... feliciter quidem pati... ne me rursus amor... judicabit autem vos tot redditurus epistolas quam ut præteriti temporis silentium consolamini.

ΙΔ'. ΒΙΚΤΟΡΙ ΑΔΕΛΦΩ.

Δέδεγμαι τὸ βιβλίον τὸ πρὸ τῆς πείρας ποθούμενον· ἦκει γὰρ τῇ μὲν ἐπιστολῇ θαυμαστὸν ἡλίκον, τῷ δὲ πράγματι ξένον φέρον οὐδὲν, ἀλλ' ὃ καὶ πολλοῖς καὶ ποικίλοις ἐσπούδασται· σοῦ δὲ χάριν καὶ ὃ τὸ βέλτιον εἰπεῖν σεσιγήσθω· ἀλλ' οὖν κείσεταί σοι χάρις εἰς ἐμὴν μνήμην ἀνάγραπτος· πλὴν οὐχ οἷα παρὰ τῷ Παυσανίᾳ τῷ μὴ μέχρι παντὸς σωφρονοῦντι. Ὁ μὲν γὰρ οὐδὲ Πλαταιὰς αἰδεσθεὶς, οὐδὲ τρόπαια

XIV. VICTORI FRATRI.

Volumen ante experientiam jam exoptatum recepi. Mirabile enim quantum ex tua epistola venit, nihil tamen alieni reipsa adjunctum, sed quod multis et diversis exoptatur; tui autem gratia taceatur et quod dicere melius. Tua gratia in mea memoria absque litteris perdurabit; secus ac quod de Pausania qui in finem sapiens non fuit: neque enim Platæas reveritus neque splendido tro-

NOTÆ.

(1) In his lacunis perpauca verba legi nequeunt.

Digitized by Google

phæo, Barbaro tradidit a se salvatam Græciam, quasi non pateretur in finem se felicem esse. Tu vero propria memorans, non est quod non facias; remanebit tua gratia, non quidem prima, sed per Jovem, pati multas priores, et altera; una autem gratia ab iis qui beneficia acceperint, bonis satis erit, id autem est, meminisse se beneficia accepisse. Mihi vero contingat non eorum oblivisci quibus voluntas est mihi benefaciendi, licet non ad rem deveniat.

XV. DIODORO.

Adhuc taces? adhuc nos aspernaris? Te arbitrabar in saturitatem venisse superbiæ, cui magnum videtur silere; nos autem re ambitiosius utemur, quo supercilium propter silentium elatum demittamus. Id enim solitum. Statim ut Cæsarem videris alte progrederis et quod in sublime Persei alis non levaris, trasceris; nostra autem consideranti parvum quid et quasi nihil videntur. Itaque legem antiquam et ubique potentem es transgressus: oportet enim, quando quis, solitos relinquens, ad alios transcurrit, illum primo litteris describere quomodo mare actus sit, quæ terra eum transmiserit, utrum bene successerit, utrum benevolentia fuerit acceptus: quorum nihil tu fecisti nec narrandum habebamus, sed me judice, scribus magis fuisti mutus, ne autem silentio amicitia paulatim in oblivionem decidat, rem renovo et tibi fio amicior; tu vero, ut solebas, in amicitiam apud nos, tua gratia digni, jocare. Quod si quid accidit molesti, ventis permittatur et humanarum rerum fortunæ quæ nostra inque deque perturbare delectatur et rapida volutatione agit, nihil volens stabile aut immobile videre. Malum equidem censeo esse dolorem, multo autem pejus iis qui spectaculo adfuerunt. Puella, nondum propinquis omnibus nota, pro thalamo ad sepulcrum ducitur; sponsi inanes spes; pactio matrimonialis discerpta. Miserum, ut arbitror, et quod fieri non debuerit: non autem in nos primum sæviit fortuna, sed plurimas jam alias patriæ eripuit, thalamum in funus convertens. Quot homines, spe elati per eam fabula facti sunt! Sed nec sententia vincit; simul ac vult, fit; cedat philosophia et voluntas; aliquid sit amplius iis qui incumbunt... scire ferre vulnera fortunæ: miror enim ego illum qui dixit sapienter: Cum non eveniant quæ volumus, quæ eveniunt velimus. Abit terram relinquens ut conjugii mala et liberorum partus, si futuri essent; prætermitto autem nutricialia pericula et inter felicitatem timores, ne scilicet præsentibus bonis excidatur; malis vitæ libera abit, viam vere latam ingrediens et quam omnes nos ingredi oportet eo quod nati sumus.

XVI. EIDEM.

Nunc cognovi quanta me prius injuria tuo silentio afficeris: quantum enim me scribens exhi-

φίλαι προεδίδου Βαρβάρῳ τὴν δι' αὐτοῦ σωθεῖσαν Ἑλλάδα, ὥσπερ οὐκ ἀνέχων εἰς τέλος εὐτυχὴς ἐπιμεῖναι· σὺ δὲ τὰ οἰκεῖα πειριέπων, οὐδὲ ὅ τι μὴ δράσεις. Κείσεταί σοι τοίνυν ἡ χάρις οὐ πρώτη, μὰ Δία, πρὸς πολλαῖς δὲ πρώταις ἑτέρα· μία δὲ χάρις παρὰ τῶν εὖ παθόντων ἀρκέσει τοῖς ἀγαθοῖς, μεμνῆσθαι μόνον ὅτι πεπόνθασιν· ἐμοὶ δὲ γένοιτο τὸ μηδὲ τῶν μέχρι βουλῆς εὐποιεῖν ἐθελόντων ἀμνημονεῖν· εἰ καὶ μὴ πέρας ἔσται τοῖς δόξουσιν.

ΙΕ'. ΔΙΟΔΩΡΩ.

Ἔτι σιγᾷς; ἔτι περιφρονεῖς τὰ ἡμέτερα; Καὶ μὴν ὤμην σε πρὸς κόρον ἀφίχθαι φρονήματος· σεμνὸν μὲν ἡγούμενον τὸ σιγᾷν, ἡμῶν δὲ φιλοτιμότερον χρησομένων τῷ πράγματι, ἵνα καὶ νικήσωμεν ὀφρὺν διὰ σιγὴν ἐπηρμένην· τοῦτο γὰρ ἐκεῖνο τὸ σύνηθες. Ἅμα καὶ τὴν Καίσαρος εἶδες, καὶ βαίνεις ὑψοῦ καὶ ἀγανακτεῖς, ὅτι μὴ Περσέως πτεροῖς αἴρῃ μετέωρος· τὰ δὲ ἡμέτερά σοι λογιζομένῳ, μικρά τε ἔτι δοκεῖν καὶ οὐδέν· ὅθεν σοι νόμος παλαιὸς καὶ πανταχῶ κρατῶν παρεβαίνετο. Χρὴ γὰρ ἐπειδάν τις τοὺς συνήθεις καταλιπὼν ἐπ' ἀλλοδαποῖς ἰθύνοι τὸν δρόμον, αὐτὸν εἶναι πρῶτον τὸν ἐπιστέλλοντα, ὁποῖον αὐτὸν ἤγεν ἡ θάλαττα, ὅπως ἡ γῆ τοῦτο ὁδοιποροῦντα παρέπεμπεν, εἰ χρηστῆς ἀπήλαυε τύχης, εἰ τὸν αὐτὸν εὐμενῶς ὑπεδέχετο· τούτων μὲν αὐτὸς ἔφης οὐδέν, οὐδ' ἡμεῖς ἔχομεν διηγήσασθαι· ἀλλὰ τοὐμὸν μέρος, αὐτῶν ἰχθύων γέγονας ἀφωνότερος· ἀλλ' ἵνα μὴ τὰ τῆς φιλίας τῇ σιγῇ πρὸς λήθην ἐλθόντα κατὰ μικρὸν ὑποῤῥέῃ, ἀνανεοῦμαι πάλιν τὸ πρᾶγμα καὶ γίνομαί σοι φιλανθρωπότερος· καὶ σὺ πρὸς φιλίαν παῖζε πρὸς ἡμᾶς τὰ συνήθη καὶ τῆς σῆς χάριτος ἄξια. Εἰ δέ τι γέγονε τῶν ἀνιώντων, αὖραις τοῦτο διδόσθω, καὶ τῇ τύχῃ τῶν ἀνθρωπίνων πραγμάτων, ἥτις ἐντρυφῶσα τοῖς ἡμετέροις ἄνω καὶ κάτω μεταθεῖ καὶ βραχείᾳ ῥοπῇ μεταβάλλεται, μηδὲν ἐθέλουσα βλέπειν ἑστηκὸς καὶ ἀκίνητον· καὶ δεινὸν μὲν οἶμαι τὸ πάθος, δεινότερον δὲ τοῖς εἰδόσι τὸ θέαμα· κόρη μηδὲ τοῖς οἰκείοις ἅπασιν ἐγνωσμένη, ἐν πάντων ὄψεσιν ἀντὶ παστάδος ἀγομένη πρὸς τάφον. Καὶ κεναὶ μὲν ἐντεῦθεν μνηστῆρος ἐλπίδες, συγγραφὴ δὲ γαμήλιος ἐπ' αὐτῇ διερῥήγνυτο· δεινὰ μὲν οἶμαι ταῦτα, καὶ οὐκ ὤφελε γενέσθαι· πλὴν οὐκ ἐφ' ἡμῶν πρῶτον ἡ τύχη στρατεύεται, πολλὰς ἤδη που καὶ ἄλλας ἥρπασε τῆς πατρίδος, καὶ νυμφικὸν θάλαμον εἰς θρῆνον μετέβαλεν. Ὧ πόσοι ταῖς ἐλπίσι τρυφῶντες, μῦθος διὰ ταύτην ἐγένοντο· ἀλλ' οὐδὲ τῇ ψήφῳ νικᾷ· καὶ ἅμα τι θέλει καὶ γίνεται· νικάσθω φιλοσοφία καὶ γνώμη· καὶ ἔστω τι πλέον τοῖς ἀνακειμένοις τ ῖ; μούσαις τὸ φέρειν εἰδέναι τὰς τύχας. Θαυμάζω γὰρ ἔγωγε καὶ τὸν εἰρηκότα σοφῶς· Ἀλλ' ἐπειδὴ μὴ γίνεται ἃ θέλομεν, θελήσωμεν τὰ γινόμενα· οἴχεται τὴν γῆν ἀπολιποῦσα, καὶ γάμου κακὰ καὶ παίδων ὠδῖνας, εἴποτε καὶ ἐγένοντο· καὶ σιωπῶ τοὺς τῆς παιδοτροφίας κινδύνους, καὶ τὸν ἐν εὐτυχίᾳ φόβον, μὴ ποτε γένοιτο τῶν παρόντων διαμαρτεῖν· τῶν δὲ συντρόφων τῷ βίῳ κακῶν γενομένη πάντων ἐλεύθερος οἴχεται λεωφόρον ὄντως ὁδὸν, καὶ ἣν ὁδεῦσαι δεῖ πάντας, ἐπειδὴ καὶ γεγόναμεν.

ΙϚ'. ΤΩ ΑΥΤΩ.

Νῦν ἔγνων ὅσον ἡδίκεις πρότερον σιωπῶν· ἐξ ὧν γὰρ τῦφρανας γράφων, ἐν τούτων ὅλως σιγήσας

Digitized by Google

λυπεῖς· τὴν γὰρ ἐπιστολὴν εἰς χεῖρας λαβὼν, παλαιᾶς ἐμνήσθην εὐδαιμονίας· σὲ παρεῖναι δοκῶν ἐν τοῖς γράμμασι, καί τι λέγειν ὡς παρόντι προῄχθην· καὶ τὰ μὲν εἶπον, τὰ δὲ λέγοντος ἀκούειν ἐδόκουν· καὶ μόλις ἀνενεγκών, ἔγνων ὡς ὄναρ ἦν ἐκεῖνα, καὶ ἠπατήμεθα. Οὐκοῦν γράφε πολλάκις, ἵνα τῆς θέας ἀποροῦντες, ὀνείρασιν εὐφραινώμεθα· ἐπειδήπερ καὶ δεινὸς ἐραστὴς τῶν παιδικῶν ἀτυχῶν, χρηστὸν ὄναρ εἶδε καὶ μεταβάλλεται· ἀλλὰ δίδοικα ταυτὶ λέγειν, μὴ καὶ νομίσας ἀληθῆ, φρονήματος ἐμπλησθεὶς, καὶ γένοιτο πάλιν σιγᾷν· νόμιζε τοίνυν εἶναι ψευδῆ· καὶ μόνον λαλοῦντος ἀκούσομαι. Τὸν δὲ φέροντα τὴν ἐπιστολὴν ἀνεψιὸν ὄντα καὶ κηδεστὴν, εἴ γε δεῖ τὸ μᾶλλον εἰπεῖν, εὐμενέσιν ἰδὼν ὀφθαλμοῖς, κἂν δέῃ, παρασχὼν αὐτῷ συμμαχοῦσαν τὴν γλῶτταν, ἐμοί τε πᾶν διδόναι δόκει τῆς χάριτος.

ΙΖ'. ΤΩ ΑΥΤΩ.

Ὅση; ἀπήλαυσε παρ' ὑμῶν τῆς εὐποιίας ὁ καλὸς Ζαχαρίας, αὐτός τε διηγεῖται, πολλάκις καὶ ἡμεῖς ἀκηκόαμεν· ἐδήλου δὲ καὶ τὰ ὑμέτερα γράμματα, πλὴν ἀλλὰ τῆς ἀληθείας ἐλάττονα· ὅπως ἄν, οἶμαι, δόξῃς τὰ χρηστὰ ποιεῖν εἰδέναι μᾶλλον ἢ λέγειν· ὅπερ οὐκ ἀπορίᾳ τοῦ λέγοντος, ἀλλὰ σώφρων αἰδὼς τὴν ἑαυτῆς ἀρετὴν ἐπικρύπτουσα. Τὴν δὲ σὴν εἰς ἡμᾶς σπουδὴν καὶ πρὶν γενέσθαι πᾶσι βοῶ· καὶ ξένον οὐδὲν ἡμῖν ἅπαντα ἃ μὲν ἂν ἐλπίσωμεν γενέσθαι· καὶ μεγάλης οὔσης ἀεὶ τῆς ἐλπίδος, οὐκ ἐλέγχει ταύτην ἡ πεῖρα· ἐγὼ μὲν οὖν καὶ πλείω λέγειν ἐθέλω· σὺ δέ με παίζειν, οὐκ οἶδ' ὅπως, ἠγῇ, καὶ σιγήσομαι· τοσοῦτον γάρ σοι τὸ μέτριον, ὡς καὶ τὸν ἀληθῶς ἐπαινοῦντα παίζειν ἠγῇ· ἐγὼ δὲ οὔτε παίζων τῆς ἀληθείας ἐξίσταμαι, οὔτε ἀληθεύων τοῦ παίζειν, ἡνίκα δή μοι πρὸς τοὺς φιλοῦντας ὁ λόγος· ὥστε [δέχου] τοὺς ἐμοὺς ἐπαίνους· οὔτε γὰρ παντελῶς τῶν ἀπερρίμμενων εἶ παρ' ἐμοί.

ΙΗ'. ΔΩΡΟΘΕΩ.

Δεινὸς ἄρα τις ἦσθα τὰ σμικρὰ μεγάλα ποιεῖν, καὶ οἷς ἂν ἐθέλῃς καὶ μοῦσαν διδόναι· καίτοι ἐπαίνοις οὐχ οἷος ἐγὼ λέγειν, ἀλλ' οἷον προσήκει γενέσθαι· ἀλλὰ καὶ δι' ὧν μοι τοὺς λόγους αἰτῶν, Ἀττικόν τι φθέγγῃ καὶ ταῖς χάρισιν ἀνειμένον πείθεις, ὡς μήτε ἐκὼν εἶναι τούτους ἐκπέμψομεν, φόβῳ τοῦ μὴ παρὰ σοὶ κριτῇ τοὺς ἐμοὺς ἐλέγχεσθαι παῖδας. Τὸ γὰρ ἡμέτερον παρ' εὐνοοῦσι μὲν δικασταῖς τυχὸν ἴσως μέγα· παρεξετάζειν δὲ βουλομένοις ἐναντίον δόξει· ἀλλά μοι γένοιτο τὸ πρότερον· ὡς τὴν σὴν ἐπιστολὴν δεδιότες οἱ λόγοι, Ἔα λανθάνειν, ὦ πάτερ, πολλάκις ἐδόων· ἐγὼ δὲ πολλάκις παρεμυθούμην οἴκοθεν οἴκαδε φοιτήσειν ἐπαγγελλόμενος· ἐπάγεται δὲ τούτῳ πολίτης ὑμέτερος, ᾧ τὰ μουσῶν μέλει· Δωρόθεος ὄνομα αὐτῷ, καὶ Πελαγίου τοῦτον ἐπονομάζουσιν.

ΙΘ'. ΖΑΧΑΡΙΑ ΚΑΙ ΦΙΛΙΠΠΩ ΑΔΕΛΦΟΙΣ.

Εὖ γε τῶν ὑμετέρων γραμμάτων· ὡς πρὸς εὐθυμίαν ὅσην ἡμῶν οἶδεν ἐπαίρειν τὴν γνώμην. Τί γὰρ ἥδιον ἢ φθεγγομένων ἀκούειν ὅτε παρεῖναί τις ἂν αὐτῷ φθόγγοις προσηύξατο; ὡς ἔδει μὲν καὶ πάλαι τούτῳ τὴν τύχην ἐπινεῦσαι· γένοιτο δ' ἄν ποτε καὶ

A larasti, tantum tacens affligis. Tuam namque epistolam in manibus accipiens, pristinæ recordatus sum felicitatis; te in tuis litteris adesse opinabar et ad alloquendum te velut præsentem excitabar; modo loqui, modo audire mihi videbar; et vix ferre potui, cum agnovi id esse somnium et me falli. Sæpius ergo scribe, ut, tuo conspectu destitutus, somniis saltem gaudeam. Siquidem ardens amator, suis privatus amicis, dulce somnium videt et seipsum fallit. Sed hæc dicens, timeo ne vera esse putes et superbia plenus denuo taceas: cogita ergo falsa esse, quo te semper audiam. Qui autem meam epistolam ad te deferet, quoniam consobrinus et si quid amplius dicendum gener meus est, cum gratis accipias oculis, et, si necesse, præstans et tuæ linguæ adjutorium, summam mihi gratiam præstes.

B

XVII. EIDEM.

Quanta apud te felicitate gavisus fuerit formosus Zacharias, ipse nobis narravit et compluries audivimus; tuas quoque litteras monstrabat, veritate tamen minores, quoniam, ut opinor, melius egregii facere scis quam dicere, non ex sermonis indigentia, sed ex modestia quæ suam virtutem prudenter occultat. Tuam autem in nos diligentiam jampridem exsistentem omnibus clamo, et hæc omnia quæ speramus nihil fore novum; quantacunque enim nostra spes, eam non fallet eventus. Ego quidem plura dicere velim, sed me, nescio cur, jocari putabis et taceho: tanta enim est tua modestia ut veraciter laudantem jocari existimes; sed neque joco a veritate discedam, neque vera dicens a joco, quando ad amicos mihi erit sermo; a me igitur laudes suscipe: nunquam enim e memoria nostra decides.

C

XVIII. DOROTHEO.

Potens sane es de parvis magna facere et quibus vis musas largiri. Sed non ipsum qui laudare possim, sed quoniam fieri potest dicam. In quibus litteris sermones a me expetis, Attice dicis et gratiis persuades, ita ut ad te non libens eos miserim, veritus nempe ne, te judice, nati mei damnentur. Apud judices enim faventes, aliquid forte essent; sed volentibus strictim examinor, nihil. Sed mihi is sis qui antea. Tuam timentes epistolam, mei sermones sæpius clamabant: Sine, o pater, nos latere; ego autem eos consolabar promittens de domo sua in domum suam eos esse ituros. Incitat quoque nos unus ex civibus musarum plurimum amans, cui nomen Dorotheus et Pelagius cognomen.

D

XIX. ZACHARIÆ ET PHILIPPO, FRATRIBUS.

Feliciter vestræ litteræ: quanta lætitia meam mentem perfuderunt! Quid enim gratius quam audire, cum quis precatur sibi adesse? Jam pridem oportebat fortunam id concedere, sed nunc fiat et bene eveniat vestra voluntate, Dii, in quan-

Digitized by Google

tum pro ipsis litteras nobis sint missuri, quibus alter erimus Crœsus pro deliciis, ejusque divitias habere videbimur et regis instar Magni nomen accipere. Qui hirundinem videt, is ver adesse pronuntiat; ego autem vestram vocem audiens magis lætabor quam Crœsus illis suis divitiis et rex magnus sub platano sedens. Pro hirundinibus mihi videbantur canere Musæ. Cedo autem, ne voluptatem nimis afferre volens, sophista in meis litteris forti videar, et ne vos simul ridentes illud more vestro celebretis, Duplex tamen mihi fuit voluptas, vos simul alloqui; sicut qui in Delphos veniebant, cum Apollini hymnum dicerent, Dianam quoque in laudibus illi consociabant; idque magis Deos delectabat, quam si uterque seorsum laudatus fuisset: fratres enim cum essent, fratres quoque in hymnis videri volebant.

A πρὸς πέρας ἔλθῃ βουλομένων ὑμῶν, ὦ θεοί, ἐν ὅσῳ γε μὴν μέλλουσιν ἀνθ' ἑαυτῶν ἡμῖν χορηγεῖσθαι τὰ γράμματα· ἄλλῳ μὲν γὰρ ἐν ἡδονῇ Κροίσῳ τε εἶναι καὶ τἀκείνου κεκτῆσθαι, τῷ δὲ βασιλεῖ ὁ μέγας ἀκούειν· ἀλλ' ὁ τὰς χελιδόνας ἰδὼν, τὸ ἔαρ ἔχειν ὁρίζεται· ἐγὼ δὲ τῆς ὑμετέρας ἀπολαύων φωνῆς, μεῖζον ἐφρόνουν ἢ Κροῖσος ἐπὶ τοῖς ταλάντοις ἐκείνοις, καὶ βασιλεὺς ὁ μέγας ὑπὸ τῇ πλατάνῳ καθήμενος· καὶ ἀντὶ τῶν χελιδόνων αὐτάς μοι προσᾴδειν ἐδόκουν τὰς μούσας· ἀλλὰ γὰρ παύσομαι, μὴ τὴν ἡδονὴν ἄγαν ἐμφέρειν ἐθέλων, σοφιστὴς οὕτω που τάχα δόξω τοῖς γράμμασι· καὶ γελῶντες ἀλλήλοις, τοῦτο δὴ τὸ σύνηθες ὑμῖν ἐπίσης ὕψητε· πλὴν ὅτι μοι διπλασίαν ἐνεποίει τὴν ἡδονὴν τὸ κοινῇ προσερεῖν ὑμῖν· ὥσπερ τοὺς εἰς Δελφοὺς ἀφικομένους, B ἐπειδὰν ὕμνον εἰπόντες Ἀπόλλωνά τε σχοῖεν τῷ λόγῳ, καὶ Ἄρτεμις ἅμα μέρος ἦν τῆς ᾠδῆς· τοῦτο δὲ καὶ τοὺς θεοὺς ἡδέως ἂν μᾶλλον, ἢ εἴ καθ' αὑτόν τις ἀπολαβὼν ἑκάτερον ὕμνησεν· ἀδελφοὶ γὰρ ὄντες, καὶ ταῖς ᾠδαῖς τοιοῦτοι μένειν ἐβούλοντο.

XX. ZACHARIÆ FRATRI.

Tu quidem horas amicis fugere quereris; ego autem eas iterum esse fugituras; quid igitur taces? non enim sufficiens apologia alicujus facti crimen in se assumere; sed qui, reus cum sit, cæteros postea vituperat, si cæteri non accusent, seipsum accusat. Neque mihi adducas nostram Byzantii rationem in silentio vivendi; mihi enim omnis tribus testis est, multa se fuisse locutam, audivisse nihil. Sed utinam adhuc mihi esset clarum tribunal, judexque Atticus et splendida Athenarum figura: cum scilicet prospera sorte uteretur rhetorica. Plato C autem, dicam, non tulit eam feliciter agere: statim contra te accusatio deferretur: adversus Græciam peccat rhetorica, qua constitutæ sunt civitates; nihilque prætermittitur eorum quibus accusare velles. Sed mihi des veniam paulisper efferri: jam enim ira et objurgationibus plenus sum. Et primo: non tacebo, judices: nihil enim pejus esse potest quam cum vir sic maledicit illi rei qua tibi venit quod est: sic ille bonus de te locutus audet etiam et contra rhetoricam dicere, ex qua illi vita beata et plausus; ita sententia lata, ab ea victor vincitur ei qua vincere datur. Platonem quoque testem producit qui rhetoricam extremis malis devovit et in rhetores totus invehebatur. Hæc judicibus per me edoctis, pœnam non adderem. Polum et Calliclea D dicens, Platonem dico: ille enim tibi eos fingit velut in dramate quæ ex composito inter se concinnaverint, loquentes; sin autem comœdiæ Socratem loqui sinas.

Κ'. ΖΑΧΑΡΙΑ ΑΔΕΛΦΩ.

Σὺ μὲν ἐγκαλεῖς ὡς παρῴχοντο τοὺς ἑταίρους αἱ ὧραι· ἐγὼ δὲ ὡς καὶ πάρεισι πάλιν· τί τοίνυν ἔτι σιγᾷς; Οὐ γὰρ ἱκανὸν εἰς ἀπολογίαν, προλαβεῖν τις καθ' αὑτοῦ τινος ἔγκλημα· ἀλλ' ὅστις ἔνοχος ὤν, εἶτα τοῖς ἄλλοις μέμφεται, ἂν ἀφέλῃς τὸ δῆθεν ἑτέρων κατηγορεῖν, ἑαυτὸν αἰτιᾶται· καὶ μή μοι πρόσφερε τὴν ἐν Βυζαντίῳ διαγωγὴν σιγώντων ἡμῶν· ἐμοὶ γὰρ καὶ πάμφυλος μάρτυς αὕτη ὡς πολλὰ μὲν ἔλεγεν, ἤκουσε δὲ οὐδέν· ἀλλ' εἴθε μοι πάλιν ἦν βῆμα σεμνὸν καὶ δικαστὴς Ἀττικὸς καὶ σχῆμα λαμπρὸν Ἀθῆναι· ὅτε ῥητορικὴ μὲν ἐπὶ σεμνῆς ἤκμαζε τύχης· Πλάτων δὲ πῶς ἂν εἴποιμι μετρίως οὐκ ἔφερεν εὐτυχοῦσαν· γραφὴ γὰρ ἂν εὐθὺς ἀπέκειτο κατὰ σοῦ· ὡς ἀδικεῖν τὴν Ἑλλάδα ῥητορικήν, ἐφ' ἧς ἐστήκασιν αἱ πόλεις, οὐδὲν εἶναί τι θέλεις παρελθών, κατηγόρουν· ἀλλά μοι μικρὸν δίδου νεανιεύεσθαι· ἤδη γὰρ ὑπ' ὀργῆς καὶ λόγων κατηγορίας ἐμπίπλαμαι· καὶ τὴν ἀρχὴν οὐκ ἂν σιωπήσαιμι, Οὐδὲν ἦν ἄρα δεινότερον, ὦ δικασταί, ἢ ὅταν ἄνθρωπος τοῦτο λέγῃ κακῶς ὅθεν αὐτῷ προσῆλθεν, οἷος ἡμῖν ὁ χρηστὸς οὑτοσὶ λέγων περὶ σοῦ κατὰ ῥητορικῆς τολμᾷ τι καὶ φθέγγεσθαι· ἐξῆς αὐτῷ βίος εὐδαίμων καὶ φῆμαι· ὥστε κἂν τὴν ψῆφον λάβῃ, νενίκηται ταύτῃ κρατῶν, ἐξ ἧς αὐτῷ τὸ νικᾶν· καὶ μάρτυρι χρῆται τῷ Πλάτωνι ὃς τὴν ῥητορικὴν ἐσχάτῃ δέδωκε μοίρᾳ, καὶ εἰς ῥητόρων ὕβρεις ἐχώρει πολύς· ταῦτα μαθόντας τοὺς τῷ λόγῳ δικαστάς, οὐκ ἂν ἔτι προσθεῖην τὸ τίμημα. Πολὸν δὲ καὶ Καλλικλέα λέγων, προστίθει τοῦ Πλάτωνος· τούτους γὰρ ἑαυτῷ δημιουργεῖ καθάπερ ἐν δράματι φθεγγομένους, ἃ δὴ συνέθεντο· εἰ δὲ μή, τὸν ἐν τῇ κωμῳδίᾳ δίδου Σωκράτην ἡγεῖσθαι (1).

NOTÆ.

(1) Epistola quæ in editis est LII, incipitque, Νῦν ὄντως ἔγνων, οὐκ ἦν ἄρα λόγος ἀλλ' ἔργον ἡ φήμη, lacunam præ se fert in libris itemque in codice regio Vat. 139, p. 251, b. sic ὃν ἐν ταῖς εὐ... ακούειν. καίτοι γε, etc. Porro quæ continuatur pars epistolæ in libris et in prædicto codice sine dubio aliena est ab hac epistola importuneque absuta. Bandinius nihil aliud adnotavit, nisi hanc epistolam aliquantum in medio diversam esse, scilicet a codice Laurentiano. Ecce autem in Vaticano præstante 306. (p. 106) qui mihi tot ineditas Procopii epistolas suppeditat, ita se habet genuina ejus epistolæ clausula (neque aliter in Laurentiano codice legi augror) ὃν ἐν ταῖς εὐτυχίαις μᾶλλον ὁρῷ μετριώτερον· ὅθεν ἀεὶ καὶ τὰ μείζω προσδέχομαι· τοῖς γὰρ τοιούτοις ἐπιμετρεῖται πάντως ἡ τύχη, μηδὲν τῶν προλαβόντων βασκαίνουσα. Sequitur epistola: Δέχου τὴν παροῦσαν ἐπιστολήν.

Digitized by Google

ΚΑ'. ΤΩ ΑΥΤΩ.

Δέχου τὴν παροῦσαν ἐπιστολὴν, χρονίαν μὲν, ἀλλ' ὅμως θαῤῥοῦσαν, ὅτι παρὰ φίλων ἀφῖκται· οὐκοῦν μὴ ψεύσῃς αὐτὴν τῆς ἐλπίδος, ἀποστρεφόμενός τε καὶ τὰς ὀφρῦς συνάγων αὐτῇ· ἐπεὶ καὶ τοὺς ἐρῶντάς φασι χρόνῳ καὶ μόλις ἐπιτυχόντας, ὑπὸ τῆς παρούσης ἡδονῆς τῶν προλαβόντων πόνων ἐπιλανθάνεσθαι· εἰ δὲ σκυθρωπὸς πρὸς ταύτην φανείῃς, λυπηρὸν μὲν ὅλον, λέξω δ' ὅμως· δέδοικα γὰρ μὴ οὐδὲ ἄλλη πρὸς σὲ ῥᾳδίως ἀφίξεται, ὑβριστήν τε νομίζουσα, καὶ τὴν προλαβοῦσαν οἷα πέπονθε λογιζομένη.

ΚΒ'. ΘΩΜᾷ ΑΔΕΛΦΩ.

Ἔοικα τῶν ὑμετέρων γραμμάτων μετειληφὼς, οὐ μένειν ἐφ' οἷς που καὶ πρότερον, ἀλλὰ τρυφᾷν τῷ καιρῷ· καὶ ἅρμαιον ἡγεῖσθαι τὴν ἀφορμήν. Ἰδοὺ γάρ σοι τῶν αἰτούντων ἐξαίφνης ἐγὼ· σὺ δὲ τὸ τάχος, οἶμαι, θαυμάζων, ταχὺ τὸ τῆς κωμῳδίας ἐρεῖς· ἀλλ' ἐγὼ δεινὸν ἡγούμην εἰ τὸν χρόνον περισκοπῶν, οὐκ αἰτήσω θᾶττον ὃ καὶ σοὶ διδόναι κἀμοὶ λαβεῖν εὐπρεπές. Αἰνείας γὰρ ὁ τὴν ἐπιστολὴν ἡμῶν ἐπιδιδοὺς, πολίτης ἐστὶν ἡμέτερος, ὃν εὐτυχεῖν βούλομαι δι' ὑμῶν. Γένους τε γὰρ ἔχει καλῶς, καὶ τὸν τρόπον ἐστὶν ἐλεύθερος, καὶ τέχνην οἶδε τοὺς νόμους· βούλεται δὲ τοσοῦτον ἀπολαύειν τῆς τέχνης, ὡς θεῷ, καὶ τὴν γνώμην μένειν ἐλεύθερον· οὐ γὰρ οἶδε κέρδος τοσοῦτον εὐφραίνειν, μὴ μετὰ δικαίου γενόμενον. Πάρεστι δὲ τοῦτο καὶ τῇ πείρᾳ μαθεῖν· πόλεων γάρ τινων ἐπὶ τοῖς δικαίοις προβεβλημένος, καὶ τὴν ἐκδίκου προσηγορίαν λαβὼν, οὗτος ἐμιμήσατο τοὺς νόμους, ὥστε καὶ συκοφάντου φύσιν ἐνίκησεν· οὐδεὶς γὰρ οὐδόλου οὐδὲ ἀδίκως ἐμέμψατο, ἀλλὰ τοῦτο τάχα καὶ γέλως ἐδόκει τοῖς ἄρχουσι πρὸ ὑμῶν· μόνου γὰρ ἦσαν τοῦ λαβεῖν· ὁ δὲ τῶν διδόντων οὐκ ἦν· ὅθεν ὁ μὲν ἐπαύετο, ἕτεροι δὲ ἦσαν, ὡς εἰκὸς, ἄξια δρῶντες ὧν ἐδεδώκεισαν· βούλεται δὲ νῦν ἐπὶ τῆς αὐτῆς τύχης γενέσθαι, δωρεὰν ὑμῖν προσάγων τὸ δικαίαν ἔχειν τὴν γνώμην· ἆρά σοι τοῦ αἰτεῖν ἐκ μητρὸς ἡκόντων κατάρχομαι; οὐκοῦν εἰ θαυμάζεις τὴν αἴτησιν, τίμα ταύτην τοῖς λόγοις.

ΚΓ'. ΤΩ ΑΥΤΩ.

Ἐγώ σου τὴν ἐπιστολὴν ἀσμένως ἰδὼν, ὥσπερ εἰκὸς, ἐπαινεῖν δὲ πρὸς ἀξίαν οὐκ ἔχων, μικροῦ δεῖν σοι τὴν αὐτὴν ἀντεπέθηκα, τοὐπιγραμμένον μεταβαλών· οἷς γὰρ τάμὰ θαυμάζων ἐπέστειλας, τῶν σῶν ἐπαίνων ἀκούειν ἐδόκουν. Καί μοί τι παραπλήσιον ἐδόκεις ποιεῖν, ὡς ἂν εἰ καὶ τὸν Θερσίτην ἐθαύμαζεν ὁ Νηρεὺς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθε. Ὅθεν αἰδώς μοι προσέπιπτε τῶν ἐπαίνων· πλὴν οὐχ ὥστε μὴ χαίρειν τῷ πράγματι· ἡ γὰρ ἐπιστολὴ δι' ὧν δῆθεν ἐπῄνει τὰ ἐμὰ, ὡραΐζετό τε καὶ πρὸς μεῖζω πόθον ἐκίνει τὸν ἐραστήν. Ἀλλὰ καὶ τὴν πρεσβείαν οὐ μετρίως ἐπῆρα τοῖς γράμμασιν· εἰ δὲ πρεσβεύων ἐπαινοῦμαι, τίς ἂν εἴην αὐτὸς ἐπινεύσας; ὅθεν γὰρ μεῖζον τοῦ αἰτεῖν τὸ διδόναι, τοσοῦτον ἀρετῆς λόγον ὁ διδόναι μέλλων τὸν ᾐτηκότα νικᾷ. Ὁ δὲ λογιώτατος Αἰνείας ὡς ἤδη λαβὼν ἀνυμνεῖ· ἤδη γὰρ ἡμῶν εἰς πεῖραν ἐλθὼν, ἐν ἴσῳ τὸ μέλλον τῷ πραχθέντι λογίζεται· εἰ δὲ πρὶν

XXI. EIDEM.

Hanc accipe epistolam tarde quidem venientem, sed tamen confidentem se ex amico venire. Eam igitur ne spe defraudes, nec despicias nec adversus eam supercilia moveas. Siquidem dicuntur amatores, tempore vix arrepto, præteritorum præ præsenti voluptate oblivisci malorum. Si autem durus in eam esses, Christo omnino, non tamen tacebo: vereor etenim ut jam altera ad te facile eat. Te putans injuriosum et quæ passa fuerit prior secum reputans.

XXII. THOMÆ FRATRI.

Mihi visum est, vestrarum litterarum cognitione habita, non stare iis quibus forsan et primum, sed frui occasione, et tanquam lucrum existimare tempus opportunum: ecce enim tibi et numero postulantium adsum subito: tu vero celeritatem mirans, opinor, illud comicum dices: sed ego mirum existimassem quod tempus circumspiciens, non petissem citius quod et tibi dare et mihi accipere convenit. Æneas enim qui nostram epistolam porrigit, concivis est noster, quem per vos bonam sortiri fortunam volo: bono genere natus, conditione libera est, et quoad artem novit leges: vult præsertim frui arte, ut mihi videtur, et in sententiis remanere liber: non enim cogitat lucrum tantum delectare, non cum justitia perceptum: constat et illud experientia didicisse: urbium enim quarumdam pro juribus præpositus, et defensoris munere suscepto iste leges simulavit ita ut et sycophantæ naturam superaverit: nullus enim ullo modo neque injuste incusavit, sed illud forsan et irrisio videbatur illis qui ante vos imperabant: solum enim accipere noverant: ille autem inter dantes non erat: ideo iste quiescebat, alii vero faciebant ut convenit, digna iis quæ dederant: vult autem nunc eamdem artem exercere donum vobis offerens justam habere sententiam: num a te petere quæ ex matre veniunt, incipio? Igitur si miraris petitionem, verere illam sermonibus.

XXIII. EIDEM.

Ego tuam epistolam libenter vidi ut convenit, cum autem laudare secundum meritum non haberem, parum abfuit quin tibi eamdem remitterem, scriptura mutata: per eos enim quibus mea mirans per litteras misisti, tuas laudes audire videbar; et mihi aliquid simile videbaris facere illi qui mirabatur Thersitem Nereo, pulcherrimo virum qui sub Ilium venerunt: ideo pudor me superfundebat illarum laudum: non excerpto quod res non mihi afferret gaudium: epistola enim ab iis quibus scilicet laudabat mea, ornabatur et ad majus desiderium excitabat amicum: si enim legatos mittens laudor, quis essem ipse appelleus? Igitur eo magis quod nobilius est dare quam petere, virtutis rationem qui dare debet præstat illo qui petiit: facundissimus autem Æneas perinde ac si jam accepisset cantat: cum enim jam nostrum in experientiam venerit, atque futurum ac peractum æstim-

Digitized by Google

A si vero antequam accipiat, succlamet, quid esset si quod desiderat obtinuerit? Et olim tua referens superaddet omnino, ita ut celeriter duplicare necesse esset gratias: optimum vero Megam, si possibile esset eadem die instituere inter rhetores, non nobis necessaria foret secunda dies.

XXIV. ZACHARIÆ ET PHILIPPO FRATRIBUS.

Admirabilem Julianum et aliter quidem diligebam: idoneus enim attrahendi ad labores prospere cedentem præter desiderium: at multo magis delectatus sum quod ex vestris litteris mihi nata est occasio: istum enim si reprehendissem, ad Cinyram esse visus essem: postulat autem difficile nihil: sed huic me adesse et illic volens, per vos sperat illud fieri, quod et ego omnino: at ego nihil utpote non præsens poteram: quoad consistorianum quid
B sit ignoro: Romanum enim per orbem effundit meam famam: per vos autem et nomen mihi placet, et divinum vere ipsum vellem esse: et vereor appellationem, cujus officium est mihi incognitum: si vero et evecta fuit tibi ad majus fortuna, permane tamen ut novisti in pristinis operibus, ne thrasonem consistorianum te appellem.

XXV. ZACHARIÆ.

Patria, cum Deo etiam sit additum, benevolis vidit nos oculis: amicos enim obtulit quales optabam videre: brevi autem interrupta theatra ad me compulit et plausus concitabat: et me quædam fama præveniens per omnia celebrabat ora, ita ut et juvenescere videar: et mens exaltata est plausi-
C bus, et sophisticum aliquid sine arte habebam, ut ipse diceres: tu quidem igitur cavillare similia: ego autem non tolerabo non clarus esse, et fastum superextollere, et legem artis meæ sequi: quæ quidem igitur mihi per jocum dicta sint, ut tibi et cavillandi ut mos est, materiam præbeam: te enim juvat me cavillari, illud habe notum, alios, multis laudibus cumulare.

XXVI. PHILIPPO FRATRI.

Ecce tibi et iterum alias mitto litteras; quid passus nescio, iterum siles: si enim quieti non vacare dicis, sed tibi omnimode ars lucrum affert, mirum quidem opinor quod ne brevi quidem tempore per totum annum nobis temetipsum præbue-
D ris: sed congaudeo tecum quod in negotiis verseris: si vero propter divitias, nisi propter artem siles, congratulor tibi ea de re: non tamen vellem te tantum ditescere ut supra nos extollaris, nec amplius videas eos qui erant olim amicissimi: et certe inhiavimus a te litteras: et ad mare prospicimus, non minus ac Philis. Demophontem vocans injustum et amori correspondere nescientem: cum ille sponsus esset recenter et Phillidi amorem augeret, abiit thalamum nuptialem relinquens: ista tamen itidem augebat sua vice spes præbens: ut autem igitur vices rependit et abiit, ille quidem statim clamavit, et Phillida sua vice non vidit: Philis autem ad mare versa flebat, et naves nume-

λαβεῖν κηρύττει, τίς ἂν γένοιτο τοῦ ποθουμένου τυχών; καί ποτε τὰ σὰ διηγούμενος προσθήσει πάντως, ὡς καὶ τῷ τάχει διπλασιάζειν ἔδει τὰς χάριτας· τὸν δὲ βέλτιστον Μέγαν, εἴπερ οἷόν τε ἦν αὐθήμερον μετασκευάζειν εἰς ῥήτορας, οὐκ ἂν ἡμῖν ἔδει δευτέρας ἡμέρας.

ΚΔ'. ΖΑΧΑΡΙᾼ ΚΑΙ ΦΙΛΙΠΠῼ ΑΔΕΛΦΟΙΣ.

Τὸν θαυμαστὸν Ἰουλιανὸν καὶ ἄλλως μὲν ἠγάπων· ἱκανὸς γὰρ ἐφέλκεσθαι πόνους εὐτυχοῦντα πρὸς πόθον· πολὺ δὲ μᾶλλον ἥσθην ὅτι μοι καὶ πρὸς ὑμετέρων γραμμάτων γέγονε πρόφασις. Τούτου γὰρ εἴ ποτε λαβοίμην, ἐπὶ τὸν Κινύραν εἶναι δοκῶ· αἰτεῖ δὲ δυσχερὲς οὐδέν· ἀλλὰ τῷ με παρεῖναι κἀκεῖσε βουλόμενος, δι' ὑμῶν ἐλπίζει τοῦτο γενέσθαι, ὅπερ πάντως κἀγώ· ἐγὼ δὲ οὐδὲν ἂν ὅ τι μὴ παρὼν ἐγινόμην· τὸ δὲ κονσιστόριον, ὅ τι μέν ἐστιν ἀγνοῶ· Ῥωμαϊκῷ γὰρ κόσμῳ προσβάλλει τὴν ἐμὴν ἀκοήν· δι' ὑμᾶς δὲ καὶ τοὔνομα φιλῶ, καὶ θεῖον ὄντως αὐτὸ βουλοίμην ὑπάρχειν· καὶ τιμῶ προσηγορίαν, ἧς τὸ ἔργον ἠγνόησα. Εἰ δὲ καὶ μεταβέβληταί σοι πρὸς τὸ μεῖζον ἡ τύχη, ἀλλὰ μένε ὅπερ οἶσθα πάλαι τοῖς ἔργοις, ἵνα μὴ σε ἀλαζόνα κονσιστοριανὸν ὀνομάσω.

ΚΕ'. ΖΑΧΑΡΙᾼ.

Ἡ πατρὶς, σὺν Θεῷ δὲ εἰρήσθω, εὐμενέσιν εἶδεν ἡμᾶς ὀφθαλμοῖς· τοὺς γὰρ ἐπιτηδείους παρέστησεν ὁποίους ηὐχόμην ἰδεῖν· βραχὺ δὲ διαλιποῦσα θέατρά μοι συνῆγε καὶ κρότους ἐκίνει· καί μέ τις φήμη λαβοῦσα διὰ πάντων ᾖδε στομάτων, εἴ τί που καὶ νεανιεύεσθαι δοκῶ· καὶ τὸν νοῦν ἐπήρθη τοῖς κρότοις, καὶ τὸ σοφιστικὸν ἀτεχνῶς ἔχειν, ὡς ἂν αὐτὸς εἴποις· σὺ μὲν οὖν σκῶπτε τοιαῦτα· ἐγὼ δὲ οὐκ ἀνέξομαι μὴ οὐ λαμπρὸς εἶναι, καὶ τὴν ὀφρὺν ἄνω φέρειν, καὶ τῷ τῆς ἐμῆς τέχνης ἕπεσθαι νόμῳ. Ταῦτα μὲν οὖν μοι πεπαίχθω, ὡς ἂν σοι καὶ τοῦ σκώπτειν συνήθως ὕλην παράσχω· εὐφραίνεις γάρ με σκώπτων, εὖ ἴσθι, ἢ πολλοῖς ἐπαίνοις βάλλοντες ἕτεροι.

ΚϚ'. ΦΙΛΙΠΠῼ ΑΔΕΛΦῼ.

Ἰδού σοι καὶ πάλιν ἕτερα γράμματα· τί παθὼν οὐκ οἶδα, πάλιν σιγᾷς· εἰ μὲν γὰρ σχολὴν οὐκ ἄγειν ἐρεῖς, ἀλλά σοι διὰ παντὸς ἡ τέχνη φέρει τι κέρδος, δεινὸν μὲν, οἶμαι, δεινὸν, εἰ μηδὲ βραχὺ τοῦ παντὸς ἔτους ἡμῖν παρέχεις σεαυτόν· ἀλλ' οὖν συνήδομαί γέ σοι τῆς ἀσχολίας. Εἰ δὲ πλουτῶν, ἄλλως ἀπὸ τῆς τέχνης σιγᾷς, συγχαίρω μέν σοι καὶ τούτου· οὐ μὴν ἐβουλόμην σε τοσοῦτον πλουτεῖν ὡς καθ' ἡμῶν ἐπῆρθαι, καὶ μηκέτ' εἰδέναι τοὺς πάλαι φιλτάτους· καίτοι κεχήναμέν γέ σου τοῖς γράμμασι· καὶ πρὸς τὴν θάλατταν ὁρῶμεν, οὐχ ἧττον ἢ Φυλλὶς τὸν Δημοφῶντα καλοῦσα τὸν ἄδικον ἐκεῖνον καὶ ἀντερᾶν οὐκ εἰδότα· ὃς ἐπειδὴ νυμφίος ἦν ἀρτίως καὶ ηὔξει τῇ Φυλλίδι τὸν ἔρωτα, ᾤχετο τὴν παστάδα καταλιπών· ἡ μὴν ὡς ἥξει πάλιν ἐλπίδας διδοὺς· ὡς δ' οὖν ἀμείφθη καὶ ᾤχετο, ὁ μὲν εὐθὺς μετεβοήθη, καὶ τὴν Φυλλίδα πάλιν οὐκ εἶδεν· ἡ δὲ πρὸς θάλατταν ἐδάκρυε, καὶ τὰς ὁλκάδας ἠρίθμει μή ποτέ τις αὐτὸν τὸν Δημοφῶντα κομίζοιτο. Ἀλλὰ γὰρ τὸ καθ' ἡμᾶς,

Digitized by Google

οἶμαι, δεινότερόν ἐστιν· ὁ μὲν γὰρ οὐκ ἤθελεν ἔτι παρεῖναι, σὺ δὲ οὐ μακρὰν ἀπὼν ἐπιστέλλειν.

A rabat ne qua ex ipsis Demophontem transveheret. sed quod inter nos, opinor, non minus mirum est: unus enim non volebat adhuc prodire, tu vero non mittere procul absens litteras.

ΚΖ'. ΚΩΝΣΤΑΝΤΙΩ.

Ἔτι παρὰ τὸν Νεῖλον οἰκῶν τὴν καλὴν ἐκείνην ἐπιστολὴν ἐδεξάμην· οἷον δὲ περὶ ταύτης συνέβη, οὐ καλῶς ἂν ἔχοι σιγῇ παρελθεῖν. Ὡς γὰρ ἐπέδωκέ μοι ταύτην ὁ φέρων, καὶ προσετίθει δὲ καὶ πόθεν, πάσχω τι πάθος ἐρώντων. Βραχὺ γὰρ ἀποπλανηθεὶς τοῦ εἰκότος, ἤδη σε καὶ παρεῖναί μοι πάντως ἐδόκουν· καὶ τοίνυν, ὦ φίλτατε βροτῶν, ἔφην ὡς ἀπὼν ἄγαν ἐλύπεις· καὶ νῦν ποθοῦσιν ἀφῖξαι. Ὡς τὰ δὲ τοιαῦτα πολλάκις εἶπον, τοῖς παροῦσιν ὑποψίαν παρέχων τοῦ πράγματος· Καὶ δή τί πάσχεις, ἔφησαν; οὐ γὰρ δή σοι καὶ παρὼν ἐκεῖνος τυγχάνει· εἰς δὲ μνήμην ἐλθών ἐμαυτοῦ ἠνιάθην, οἷα δή τις ἐκπεσὼν τῆς τοιαύτης ἐλπίδος, καὶ βραχὺ δακρύσας ἔγνων ὁποῖον ἔρως ἰσχύει, καὶ ὅτι πλάνη τις ἦν παραμυθουμένη τὸν λογισμόν· ὡς δὲ τὴν ἐπιστολὴν ἀναλύσας ἐσκόπουν, ἥσθην τοσοῦτον ὡς ὅτε τοῦ παρόντος ἐκὼν ἀφιστάμην, μὴ καὶ πάλιν πολλάκις εἰπὼν, καὶ ὁ τῶν μελλόντων με κατέπειγε πόθος.

B

XXVII. CONSTANTINO.

Adhuc apud Nilum habitans pulchras has accepi litteras: quod autem de illis accidit, non bene esset silentio præterire: ut enim mihi tradidit illas qui ferebat, et addidit unde essent, me subiit aliquis amantium affectus: subito enim præter modum aberrans, jam te et adesse mihi omnino putabam: et ideo, o charissime mortalium, inquiebam quam absens nimiam inferebas tristitiam! et nunc ad te desiderantes venisti: ita et similia sæpe iterabam, præsentibus rei suspicionem præbens: quid igitur pateris, dicebant? non enim certe tibi et præsens iste occurrit: mente autem recepta mœstus evasi tanquam aliquis e tanta spe deturbatus, et subito lacrymans, agnovi quanta vi pollet amor, et esse aberrationem quamdam qua ratio levatur: cum autem epistolam solvens considerabam, delectatus sum perinde ac si a præsente libens recederem, quem et iterum sæpe non fuissem allocutus, et futuri me sollicitavit desiderium.

ΚΗ'. ΟΥΛΠΙΩ. [Band. ΟΛΥΜΠΙΩ.]

Τὸν θαυμαστὸν Στρατήγιον καὶ πρότερον ἤδη φιλῶν, νῦν ἔτι καὶ μᾶλλον ἠγάπησα, διότι τῶν πρὸς ἀλλήλους ἡμῖν γραμμάτων ὑπῆρξεν ὑπόθεσις· τὴν γὰρ προτέραν σιωπὴν μεταστήσας, δέδωκεν ἡμῖν εἰπεῖν τι πρὸς σέ· καὶ φθεγγομένου πάλιν ἀκούσας. Εἰ δὲ καὶ σοὶ καθ' ἡδονὴν τὰ ἡμέτερα γράμματα, τίμα δὲ τούτων τὴν αἰτίαν, ἤδη μὲν ὑμῖν χάριν ὁμολογοῦντα τῇ προλαβούσῃ σπουδῇ, μᾶλλον δὲ κηρύξαντα τὴν εὐεργεσίαν, εἰ πρὸς τέλος ἐνέγκοι τὴν χάριν· ἀλλ' ἐπίδειξαί τι νεανικὸν κατὰ τῶν ἀδικούντων, ὅπως ἂν αἴσθοιντο πάντες, οἵους ἄρα τοὺς φίλους ἔχων ἐλάνθανον· τὸν δὲ ὑμέτερον ἀδελφὸν καὶ πρὶν μὲν ἰδεῖν ἠπιστάμην· ἐγνώρισε γάρ μοι τοῦτον πολλάκις ἡ φήμη· νυνὶ δὲ μᾶλλον ἐθαύμασα τῇ πείρᾳ μαθών· καὶ τοῦτο ἰδών σε δι' ἑτέρου σώματος ἔχειν ἡγούμην· καὶ μακρὰν ἀπὼν, δι' ἄλλης ἡμῖν εἰκόνος ἐδόκεις παρεῖναι.

C

XXVIII. ULPIO.

Mirabilem strategium et antea jam amans, nunc et adhuc magis diligo, quia nobis ad invicem a litteris exorta est occasio: primum enim silentium abrumpens tradidit nobis viam aliquid tibi dicendi: et loquentem vice tua audisti: si vero tibi voluptati fuerint nostræ litteræ, observantia cole illarum causam, jam quidem vobis gratiam profitentem prævenientis studii, magis autem annuntiantem beneficentiam, ad finem gratiam adductoram: sed ostendisti aliquid forte contra injustitiam committentes, ut omnes scirent quales inscius haberem amicos: vestrum autem fratrem et antequam hunc viderem cognoscebam: manifestavit enim illum mihi sæpe fama: nunc autem magis miror cum experientia novi: quam videns te per alterum corpus habere existimabam, et quanquam longe absis, nobis adesse per aliam speciem videbaris.

ΚΘ'. ΣΩΣΙΑΝΩ.

Ἔπρεπε κἀμὲ θαῤῥοῦντα, χαίρειν αἰτεῖν παρὰ σοῦ· καὶ σὲ προθύμως διδόναι ἀμφοτέροις ἁρμόττον, ἐμοὶ μὲν λέγειν ὅτου δέοι, σοὶ δὲ πρὸς λόγον ἐκφέρειν· Στρατήγιος γὰρ ἀπήγγειλέ μοι τοσαύτην ὑμῶν γεγενῆσθαι τὴν εἰς αὐτὸν προθυμίαν, ὥστε τὰ ἐπὶ σοὶ καὶ πέρας ἔσχε ἡ δίκη καὶ νενικήκαμεν· ἀλλ' ὅπως καὶ τοῖς ἔργοις γένοιτο ταῦτα. Τοσοῦτον γὰρ θαῤῥῶ διὰ σοὶ τὸ πέρας ἐλπίζων, ὥστε καὶ πρὸ τέλους ἤδη λόγους ζητῶ, δι' ὧν ὁμολογήσω τὴν χάριν.

D

XXIX. SOSIANO.

Decebat me confidentem salutem a te petere: et te diligenter incumbere utrique convenit, mihi quidem dicere quid necessarium esset, tibi vero sermone vulgare quoad te: Strategius enim nuntiavit mihi tantam a vobis adhibitam fuisse festinationem, ut lis finem habuerit et vicerimus: sed et negotiis hæc eveniant: tanta enim fiducia per te spero finem ut et ante finem jam verba quæram quibus gratiam profitebor.

Λ'. ΟΥΛΠΙΩ. [Band. ΟΛΥΜΠΙΩ.]

Πολλὴν ἡμῖν κατὰ σοῦ μελετωμένην κατηγορίαν διέφυγες· ὡς γὰρ ἦκεν ὁ Στρατήγιος, γράμματα δὲ οὐκ εἶχεν, ἠρυθρία μὲν ἡμῖν προσελθεῖν. Πῶς γὰρ οὐκ ἔμελλε; πολλάκις δὲ διαφεύγων, μόλις ἑάλω· καὶ δὴ βδελυρὸν αὐτὸν καὶ θεοῖς ἐχθρὸν ἀπεκάλουν, ὅτι πρὸς ἡμᾶς;

XXX. ULPIO.

Multa crimina quæ contra te intenderamus effugisti: cum enim venit Strategius, litteras autem non haberet, rubore quidem superfusi fuimus: quomodo enim non ita esset? sæpe autem effugiens difficile captus est: et impudentem ipsum et diis

Digitized by Google

inimicum appellabam, quod ad nos adveniens, nihil de vobis qui charissimi estis annuntiavit, de quibus sæpe audire exoptabam : attamen iste defensionem sufficienter agebat : etenim causam afferebat fugam, quod litteras non ferret : et illi quidem in his erubescenti veniam largiebar : dicebam autem infra meipsum quanta auferre et mutare tempus noverit. Quando enim nobilis Ulpius nostræ antiquæ fortunæ particeps erat, amicus erat et videbatur, et nunquam in animum venisset illum mutandum esse : cum autem magnificus exaltatus est et magnus evasit, intolerabilis est bona gaudens fortuna, et eos qui erant antea amici obliviscitur : bona gaudeat fortuna tantum, et moderate sustinebimus despecti : hæc et similia dicens : multa contra te instruebam crimina : cum vero aliquis ingressus a vobis epistolam tradidit, primum quidem ante solutam sæpe inscriptionem osculabar : deinde in litteras incidens, dilationis causam inveni, et non mediocriter gavisus sum : et me pœnitebat verborum quæ ante protuleram : dicebam autem potius, proh quam multa suspicantur homines! admirabilem enim nostrum Ulpium mutavit neque tempus neque fortuna, sed est benignus et me benefactorem esse non ignorat : sed pariter ne iterum silens nos ad accusationem intendendam inferas.

A ἀφιγμένος, οὐδὲν περὶ ὑμῶν τῶν φιλτάτων ἀπήγγειλε, περὶ ὧν πολλάκις ἠύχόμην ἀκούειν· ἀλλ' ὅμως ἐκεῖνος τὴν ἀπολογίαν ἱκανῶς ἐποιεῖτο· καὶ γὰρ αἴτιον ἔλεγε τὴν φυγήν, ὅτι γράμματα μὴ κομίζοι· κἀκείνῳ μὲν συγγνώμην ἐδίδων, ἐπὶ τούτοις ἐρυθριῶντι. Ἔλεγον δὲ πρὸς ἐμαυτὸν, ὅσα δὴ φέρειν καὶ μεταβάλλειν οἶδεν ὁ χρόνος. Οὔλπιος γὰρ ὁ καλὸς ἡνίκα μὲν ἡμῖν τῆς παλαιᾶς ἐκοινώνει τύχης, φίλος τε ἦν καὶ ἐδόκει, καὶ οὐκ ἄν ποτε ᾠμην ὡς μεταβάλλοιτο· ὡς δὲ λαμπρὸς ἤρθη καὶ γέγονε μέγας, ἀφόρητός ἐστιν εὐτυχῶν, καὶ τῶν πρώην ἐκείνων ἐπιλανθάνεται. Εὐτυχοίη δὲ μόνον, καὶ οἴσομεν παρορώμενοι. Ταῦτα καὶ τὰ τοιαῦτα λέγων, πολλὴν κατὰ σοῦ κατηγορίαν συνέλεγον. Ὡς δέ τις ἐλθὼν τὴν παρ' ὑμῶν ἐπιστολὴν ἐπεδίδου, πρῶτον B μὲν πρὶν λῦσαι πολλάκις τὴν ἐπιγραφὴν ἠσπαζόμην· εἶτα τοῖς [γράμμασι] περιτυχών, καὶ τὴν ἀπολογίαν τοῦ βράδους εὑρὼν, ἤσθην οὐ μετρίως· καὶ μετέμελέν μοι τῶν πρώην ῥημάτων· ἔλεγον δὲ μᾶλλον· Φεῦ ὡς πολλὰ μᾶλλον ὑποπτεύουσιν ἄνθρωποι! τὸν θαυμαστὸν γὰρ ἡμῖν Οὔλπιον μετέβαλεν οὔτε χρόνος οὔτε ἡ τύχη, ἀλλ' εὐγνώμων τέ ἐστιν, κἀμὲ τὸν εὐεργέτην ἐπίσταται· ἀλλ' ὅμως μὴ πάλιν σιγῶν αὖθις ἡμᾶς εἰς τὴν κατηγορίαν ἐνέγκαις.

XXXI. SILANO.

Quanta spe nos ejeceris dicere non posses : cum enim tuam epistolam inter manus accepissem, et ex ipsa cognitum fuisset te paulo post rediturum, lætatus sum et animam præ voluptate recipiens inquiebam : O Jupiter, hæc eveniant : igitur animi suspensus eram singulis diebus et in vanam spem incidebam, dictitans : igitur unquam videbo et alloquar qui dudum non venit, et iterum iste fiebam : cum autem tempus esset contra spem, non scribere dignabar, incentivum, inquiunt, amoris illud faciens, ut contemni visus, ad nos festinares, volens tibi exprobrare quod amicorum non memineris : et mihi videris Strotocles nobis rhetor evadere : iste enim victis Atheniensibus et sortis ignaris, victoriam annuntiavit; statim igitur urbs commota est, et ad ludos præcipitabat et infortunati lætabantur : cum autem veritas cognita est, et errori jam non esset locus, in quo ait Stratocles injuriam feci, si duabus diebus lætiores per me fuistis? et lucrum erat error : sed cum matris causa et negotii potior Pindaro appareat, te videret citius patria et nos post eam.

ΛΑ'. ΣΙΛΑΝΩ. [Band. ΣΙΛΒΑΝΩ.]

Ἐξέκρουσας ἡμᾶς ἐλπίδος, οὐδ' ἂν εἰπεῖν ἔχοις ὁπόσης. Ἐγὼ γάρ σου τὴν προτέραν ἐπιστολὴν εἰς χεῖρας λαβὼν, καὶ γνοὺς ἐξ αὐτῆς ὡς μικρὸν ὕστερον ἡμῖν ἐπανήξεις, ἤσθην τε καὶ μέγα ὑφ' ἡδονῆς ἀναπνεύσας ἔφην· Ὦ Ζεῦ, γένοιτο ταῦτα. Τοιγαροῦν μετέωρος ἦν ὀσημέραι καὶ ἐπὶ κούφης ἔβαινον τῆς ἐλπίδος, πυκνὰ δὲ λέγων· Ἆρά ποτε ὄψομαι καὶ προσείπω χρόνιον, καὶ γενοίμην αὖθις ἐκεῖνος· ὡς δὲ χρόνος ἦν παρ' ἐλπίδας, οὐδὲ γράψαι ἠξίουν, ἐρέθισμα, φησὶν, ἔρωτος τοῦτο ποιῶν, ὅπως ἂν καταφρονεῖσθαι δοκῶν, ἔτι μᾶλλον ἐπείγοιο πρὸς ἡμᾶς, ὀνειδίσαι θέλων τὸ μὴ φίλων μεμνῆσθαι. Καί μοι δοκεῖς Στρατοκλῆς ἡμῖν ὁ ῥήτωρ γενέσθαι· ἐκεῖνος γὰρ ἡττωμένοις τοῖς Ἀθηναίοις καὶ τὴν τύχην ἀγνοοῦσι, νίκην ἀπήγγειλεν. Εὐθὺς οὖν ἡ πόλις ὀρθὴ, καὶ παίζειν ἀνεῖτο, καὶ δυστυχοῦντες εὐφραίνοντο. Ὡς δὲ τάληθὲς ἠγγέλθη, καὶ τὸ δοκεῖν ἦν οὐκέτι, Τί γὰρ φησὶν ὁ Στρατοκλῆς, ἠδίκουν, εἰ δυοῖν ἡμέραιν ἡδίους γεγόνατε δι' ἐμέ; καὶ κέρδος ἦν τὸ δοκεῖν· ἀλλ' ἐπειδὴ μητρὸς πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον τῷ Πινδάρῳ[1] δοκεῖ, ἴσθι σε θᾶττον ἡ πατρὶς καὶ μετ' ἐκείνην ἡμεῖς.

XXXII. PHILIPPO FRATRI.

Ecce tibi iterum epistolam mittimus, et iterum bene novi quare silueris : et si mihi illud dicere ægre ferenti ignosceres, in præsumptionem tibi versa est indoles, et non vis remanere qualis eras et antea : sed licet non mare Bosphori transfretavi, et regis urbem ingressus sum : pariter et ego regem magnum videns, et primorum togam et magistratum quemdam maximum appellatum, et quæ sunt magnifica apud vos, sive rem velis dicere, sive

ΛΒ'. ΦΙΛΙΠΠΩ ΑΔΕΛΦΩ.

Ἰδού σοι πάλιν ἐπιστολὴ παρ' ἡμῶν· καὶ πάλιν εὖ οἶδ' ὅ τι σιγήσας, καὶ εἴ μοι δοίης συγγνώμην ἀχθομένῳ λέγειν, μεταβέβληταί σοι πρὸς ἀλαζονείαν ὁ τρόπος, καὶ οὐ θέλεις μένειν οἷος ἦσθα καὶ πρότερον· ἀλλ' εὖ γε ὅτι μὴ τὴν τοῦ Βοσπόρου διέπλευσα θάλατταν, καὶ βασιλέως πόλιν ἀφῖγμαι· ἴσως γὰρ ἂν κἀγὼ βασιλέα τὸν μέγαν ὁρῶν, καὶ τὴν ὑπάτων στολὴν καὶ ἀρχὴν δή τινα μεγίστην καλουμένην, καὶ τὰ σεμνὰ δὴ ταῦτα παρ' ὑμῶν, εἴτε πράγματα

[1] Isth. 1, 2.

Digitized by Google

βούλει λέγειν εἴτε ὀνόματα, ἐπῆρα τὴν ὀφρὺν, καὶ νεανικὸν ἐφρόνουν, πρὸς τὴν τῶν ὁρωμένων ἐπαιρόμενός τύχην, καί μοι τὰ πάλαι φίλα λῆρος ἐδόκει· ὅπου γὰρ καὶ τούτοις ἑάλως, οὐκ ἂν εἴποιμι ῥᾳδίως, ὡς διέφυγον ἂν τὸ μὴ οὐ ταῦτα παθεῖν, εἰ μή τις λογισμὸς ὑπεισῆλθεν, ὡς οὐ ταυτὸν, ὦ λῷστε, γνώμη καὶ τύχη· ἀλλ' ἡ μὲν, ὡς ἂν αὐτῇ δοκῇ, φέρεται, καὶ μεταπίπτει πολλάκις καὶ γελᾷ τὰ ἡμέτερα· τῆς δὲ κύριον προσήκει τὸν σωφρονοῦντα, καὶ μήτε αἰρομένῃ συναναστῆναι, μήτε πιπτούσῃ συμμεταβάλλεσθαι.

A

ΛΓ'. ΖΑΧΑΡΙᾼ ΑΔΕΛΦῼ.

Τίς ἂν γενοίμην ἑραστὴν καὶ ἀδελφὸν κατηγοροῦντα λαβὼν, καὶ μηδὲν ἔχειν οἰόμενον ὅ τι καὶ λέξομεν; τί γὰρ δὴ φῄς; Ῥήτορες ἡμεῖς καὶ θυγατέρων πατέρες πολλῶν· τὰς γὰρ ἐπιστολὰς οὕτως ὀνομάζειν ἐδόκει. Ἀλλ' ἦν φῄς πάλαι ταῦτα, νῦν γὰρ οὐκέτι· ἀλλ' ὑβρισταί τινες ὑμεῖς, καὶ θεσμὸν ἀτιμάζοντες ἔρωτος. Ἀλλ' εἰ μὲν ἦν τις ποιητικὸς τὸν Ἀπόλλωνα δήπου καὶ τὰς μούσας ἐκάλουν· Δῶτέ μοι, λέγων, εἰπεῖν καὶ παῖδας, καὶ μὴ ἄδικον φανῆναι τὰ παιδικά. Νυνὶ δὲ μιμήσομαι γοῦν τι ποιητικὸν, καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι, θεοὶ δ' ἐπιμάρτυρες ἔστων, μὴ οὕτως ἔχειν τὰ καθ' ἡμᾶς ὥς που καὶ λέγεται· ἀλλὰ γὰρ ἐπὶ φιλίας ἡμῶν αἰδὼς καὶ μνήμη φιλτάτων· τί οὖν φῄς, ἡ σιγή; δέδοικα μή τις ἄδικος τύχη ταῖς ἐμαῖς ἐπικωμάζῃ γοναῖς, καὶ πρὸς σὲ τὰς ἐμὰς ἐπείγομαι, ἄλλην ἄλλοτε φέρειν· καί που ξένων ταύτας ἠνέγκαντο χεῖρες, ἀγνοούντων τίνες αὗται καὶ πόθεν· ἀλλὰ γὰρ ἀτυχὼν ἐπὶ ταύταις καὶ ἀγνώμων ἐδόκουν καὶ κρίνομαι· τὰς μὲν οὖν ἄλλας τίς ἂν τις ἀνῷτο λέγων· ἀλλὰ χθές που καὶ πρώην ἐστάλη τις ὡς σὲ, τοὺς ἐμοὺς ἀγῶνας διηγουμένη· καὶ νῦν, ὡς ἔοικε, ξένη τις πλανᾶται καὶ ἔρημος· ἀλλ' ἦκοι ποτὲ χεῖρας ὡς σὰς, καὶ εὐφραινοίμην ἀκούσας· τὰ δὲ σὰ δῶρα λαβὼν ἥσθην ἐπὶ τούτοις, οὐχ ἧττον ἢ Ὀδυσσεὺς μὲν Ἀλκινόου φιλοτιμίαν ὁρῶν· ἐκεῖ μὲν γὰρ τὸ λαβεῖν εἶχε μόνην, παρ' ἡμῖν δὲ ἄμφω· ὅτι σὺ μὲν δίδως, ἐγὼ δὲ λαμβάνω.

B

ΛΔ'. ΕΠΙΦΑΝΙῼ.

Ἔτι σιγᾷς; ἔτι τῶν ἀπερρίμμενων ἡμεῖς; οὐδέ σε παλαιῶν ἐρώτων ὑπεισῆλθεν οὐδέν; νηλὴς σύ γέ τι καὶ ἀμείλιχος ἀνάλαβέ μοι τὴν μνήμην, ὡς οὐκέτι τοιαύτας ἡμῖν ἀπῆρας ἐλπίσιν· ἀλλ' ἐδάκρυες μὲν Οἴμοι! καὶ μόλις ἀπείχου· γράψειν διομολόγεις μικροῦ δεῖν καὶ πρὶν ἐπιβῆναι τῆς γῆς· νυνὶ δὲ εἴχεται μὲν ἐκεῖνα, σιωπᾷς μόνον· ἡμῶν δὲ λόγος οὐδείς· εἰ δὲ σιωπήσεις ἔτι, ἀναβοήσομαί τι τραγικὸν, Ἰὼ, Ζεῦ, λέγων, καὶ φιλία καὶ λόγοι· ἠδίκησθε μὲν ὑμεῖς· ἠδίκημαι δὲ ἐγώ· ὁ δὲ ἀδικῶν ἦν ὅτε φίλον ἐκάλει· νῦν γὰρ οὐκέτι.

C

ΛΕ'. ΙΩΑΝΝΗ.

Εἰ τὴν φιλίαν ἐψευσμένην δείκνυσι τὸ σιγᾷν, ἀνάγκη μέχρι λόγων αὐτὴν ἀεὶ συνεστάναι· εἴ γε τούτων ἀπόντων ἐλέγχεται, οὐκοῦν λείπεται καὶ τὸν δυσμενῆ φίλον ἡγεῖσθαι, μόνον ἀεὶ φθέγγοιτο. Ἀλλὰ

D

nomen, supercilia allevavi et magnum quid affectabam, assurgens ad eorum quos videbam fortunam, et quæ mihi olim erant chara nugæ videbantur: quippe igitur his captus fueris, non dicerem facile quomodo hæc non perferre vitavissem, si quoddam ratiocinium, scilicet non esse idem, o optime, opinionem et fortunam, non me subiisset: sed ista, ut sibi sit similis, fertur, et cadit sæpe et nostra irridet: illius autem Dominum esse convenit sapientem nec cum exaltatur consurgere, nec cum cadit corruere.

XXXIII. ZACHARIÆ.

Accepi amicum et fratrem quis evasissem exprobrantem et cogitantem nihil habere quid dicamus: Quid vero dicis? Rhetores nos sumus et filiarum patres multarum: litteras enim ita nominare videbatur: sed si hæc dixeris olim, nunc certe non amplius; sed estis quidam ex vobis conviciatores, et morem veterem amoris negligitis: sed si quis esset poeticus, Apollinem certe et musas invocarem: date mihi, dicens vos vocare et liberos, et non immerito videri delicias: nunc autem aliquid effingam poeticum, et magnum, et magnum juramentum dico, diique testes sint, quod non ita sit apud nos ut alicubi affirmatur: in amicitia nostra reveremur et meminimus amicissimos: quid igitur, dicis, hoc silentium? timeo ne iniqua fortuna in meos genitos invehatur: et ad te meas mitto filias ut tibi aliam modo ferant: et forte manus alienorum istas tulerunt qui quæ et unde essent ignorabant: sed enim infelix de his et imprudens videbar et judicor: alias quidem igitur quis offenderetur legens? sed heri et antea missa fuit una quæ te mea certamina doceret: et nunc ut apparet, peregrina errat et deserta: sed olim incidat in manus, et libens audiam: tua autem dona accepi et de his lætatus sum non minus ac Ulysses Alcinoi benevolentiam videns: hic quidem enim illam solam accipere erat, apud nos autem duo: quippe quidem tu das, ego autem accipio.

XXXIV. EPIPHANIO.

Adhuc siles? adhuc inter despectos nos habemur? Nihil ergo antiqui amoris subiit animum? Crudelis tu et implacabilis me ad memoriam revoca quod nunquam amplius mihi similem spem eripueris: sed flebas, credo, et vix abstinebas: scripturum confitebaris parum abest, et antequam in terram descenderes: nunc autem abiere hæc omnia, siles vero tantum: noster autem sermo nullus: si vero siueris adhuc, exclamabo tragice, o Jupiter, dicens et amicitia et verba: vobis quidem injuria fuit illata: mihi autem ipsi: injuriam autem inferens erat cum me amicum vocabat: nunc enim non amplius.

XXXV. JOANNI.

Si amicitiam deceptam demonstret silentium, necesse est usque ad verba ipsam semper constare: siquidem istis et absentibus exsistere probatur, igitur restat et malevolum amicum existimare qui

Digitized by Google

solum semper loqueretur : sed nos non sumus tales amicitiæ judices : quid enim impedit ne silens memoria amicos videat? Quod nunc nobis inest et nunquam cessabit : expendamus autem potius quod non datum est omnia facere ut quisque vult : foris enim sollicitudines vitæ et futuri incertitudo aliquando rationi prævalent : quæ quidem agunt ; illa autem deliberat et persuadetur : sic mihi, quippe discere supervenit, certamina continua et propter hæc sollicitudines a principio me invaserunt, nec me usque ad illud tempus reliquere : quæ potius oportebat attendere quam suspicari an et amicitiæ consuleremus : et nunc jam cessavimus. Sed o Jupiter, et amores et omnes qui amicitiæ invigilatis, persuadete meos accusatores : nunquam ad oblivionem ipsorum perveni, sed cum ratione conversor, et dicere aliquid, et dicentes audire videor : et ita si eos ignoravero, obliviscar.

A

B

XXXVI. ZACHARIÆ ET PHILIPPO FRATRIBUS.

Quanto desiderio laboraverim, quomodo possem verbo exprimere, nisi forte similia passi fueritis? Qui enim passus est ad judicandum magis est idoneus : talem autem esse persuasum habeo, et legem servare amicitiæ simul et naturæ ex his quæ scribitis et suadetis in vestris litteris : mihi autem igitur pariter transfixo dolore, et aliquid simile sæpe dicere accidit. Utinam essem Perseus et viderer pennatus aera scindens, et super mare elatus, ut quocunque modo fieret, apud vos essem et amore fruerer : præter naturam quidem, sed est propositum eorum qui non ultra desiderant errandi facilter et seminandi quæ fieri naturale est : si vero iterum mihi fabulari detur, jam et Abari sæpe invidi Scythico quidem et Barbaro, alias autem sapienti et si libeat felici : quippe sagittam cogitatione velociorem habens apud quos volebat se conferre poterat, et viæ longitudine nulla contristabatur Abaris : sed quid ego quæ sunt longe præter naturam quæro? Solum nobis relinquuntur ad consolationem litteræ : Perseus autem et Abaris poetis concedantur et fabulis.

C

XXXVII. EPIPHANIO.

Si dum loquimur taces, scribis vero dum tacemus, timeo scribens, ne oporteat omnino aut loqui cum mutis, aut tacentes audire : et quidem litteras mittere, ut convenit imaginati sunt homines, ut absentibus imaginem servarent præsentium, et dicerent in litteris perinde ac si conversarentur : ego autem tuam epistolam recognoscens, præ voluptate flevi, et te præsentem ut consueveras videbar audire ; et dulce suspirium trahens dicebam : Hæc est amicissima vox : sed obtestor per amorem ipsum et vocem istam si illam alicubi adhuc noveris et memineris ne mihi a litteris removeas, neque hanc solam consolationem eripueris : ne unquam forte invideam iis qui neque amare ceperunt, quibusque non accidit similia perpessis ingemere.

D

XXXVIII. ZACHARIÆ ET PHILIPPO FRATRIBUS.

Unum quemdam antea vobis commendavi per

μὴ τοιοῦτοι κριταὶ φιλίας ἡμεῖς· τί γὰρ κωλύει καὶ σιωπῶντα τῇ μνήμῃ τοὺς φίλους ὁρᾶν; ὅπερ ἡμῖν καὶ νῦν ἔστι καὶ οὔποτε παύσεται. Λογισώμεθα δὲ μᾶλλον ὡς οὐ δέδοται πάντα πράττειν ὡς ἕκαστος βούλεται· ἔξωθεν δὲ φροντίδες τοῦ βίου καὶ τὸ τοῦ μέλλοντος ἄδηλον ἐπικρατοῦσιν ἔσθ' ὅτε τοῦ λογισμοῦ· καὶ τὰ μὲν ἄγει, ὁ δὲ βουλεύει καὶ πείθεται. Κἀμοὶ τοίνυν, ἐπειδὴ τοῦ διδάσκειν ἐπέβην, ἀγῶνές τε συνεχεῖς, καὶ αἱ περὶ τούτων φροντίδες ἐξ ἀρχῆς ἐπέθεντο, καὶ μέχρι νῦν οὐκ ἀπέλιπον· ταῦτα μᾶλλον ἐχρῆν ἐνθυμεῖσθαι, ἢ ἐπὶ μικροῖς ὑποπτεύειν ὡς ἦμεν ἀγαθοί τε πρὸς φιλίαν· καὶ νῦν ἤδη πεπαύμεθα. Ἀλλ', ὦ Ζεῦ, καὶ ἔρωτες, καὶ ὅσοι φιλίας ἐπόπται, πείθοιτε τοὺς ἐμοὺς κατηγόρους· οὔποτε πρὸς λήθην αὐτῶν ἀφικόμην, ἀλλὰ σύνειμι τῷ λογισμῷ, καὶ λέγειν τι δοκῶ, καὶ λεγόντων ἀκούειν· καὶ ὡς εἰ τούτους ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλήσομαι.

ΛΣ'. ΖΑΧΑΡΙΑ ΚΑΙ ΦΙΛΙΠΠΩ ΑΔΕΛΦΟΙΣ.

Ὅσῳ τῷ περὶ ἡμᾶς κεκράτημαι πόθῳ, πῶς ἂν δυναίμην παραστῆσαι τῷ λόγῳ, πλὴν εἰ μή που παραπλήσια τυγχάνετε πεπονθότες; Ὁ γὰρ πεπονθὼς τὰ περὶ τοῦ κρίνειν ἐπίσταται· πέπεισμαι δὲ τοιοῦτος εἶναι, καὶ νόμον διασώζειν φιλίας ἅμα καὶ φύσεως ἐξ ὧν καὶ γράφετε καὶ παραμυθεῖσθε τοῖς γράμμασιν· ἐμοὶ δ' οὖν ὅμως ἠπορημένῳ τῷ πάθει, καὶ τοιοῦτόν τι πολλάκις ἐπῆλθεν εἰπεῖν· Εἴθε γενόμην Περσεὺς καὶ φανείην ὑπόπτερος τὸν ἀέρα τέμνων, καὶ ὑπὸ τῆς θαλάσσης φερόμενος, ὅπως ἂν ἅμα τε ὄκνῃ, καὶ γίνωμαι παρ' ὑμῖν καὶ ἀπολαύσω τοῦ ἔρωτος· παρὰ φύσιν μὲν, ἀλλ' οὐ πόρρω πεθούντων ἡ γνώμη πλανᾶσθαί τε ῥᾳδίως καὶ ὀνειροπολεῖν ἃ πέφυκε γίνεσθαι· εἰ δέ μου πάλιν μυθολογοῦντος ἀνάσχῃ, ἤδη καὶ τὸν Ἄβαριν πολλάκις ἐζήλωσα, Σκύθην μὲν ὄντα καὶ Βάρβαρον, σοφὸν δὲ ἄλλως, εἰ δὲ θέλεις, εὐδαίμονα· ὅτι τὸν ὀϊστὸν ἔχων ὑπηρετοῦντα τῇ γνώμῃ, παρ' οὓς ἤθελεν ἤγετο· καὶ ὁδοῦ μῆκος οὐδὲν παρελύπει τὸν Ἄβαριν· ἀλλὰ τί μοι τὰ πόρρω παρὰ φύσιν ζητεῖν; Μόνον ἡμῖν λείπεται πρὸς παραμυθίαν τὰ γράμματα· Περσεὺς δὲ καὶ Ἄβαρις ποιηταῖς δεδόσθω καὶ μύθοις.

ΑΖ'. ΕΠΙΦΑΝΙΩ.

Εἰ λαλούντων ἡμῶν σιωπᾷς, γράφεις δὲ σιωπώντων, δέδοικα γράφων, εἴ γε δεῖ πάντως ἢ λαλεῖν ἀφώνοις, ἢ σιωπῶντας ἀκούειν· καίτοι γε τὸ ἐπιστέλλειν, ὡς εἰκὸς, ἐμηχανήσαντο ἄνθρωποι, ὅπως τοῖς ἀποῦσιν μίμημα σώζοιεν παρόντων· καὶ λέγοιεν ἐν τοῖς γράμμασιν, ὥσπερ ἂν εἰ καὶ συνόντες ὦσι. Ἐγὼ δέ σου τὴν ἐπιστολὴν ἀναγνούς, ὑφ' ἡδονῆς καὶ ἐδάκρυσα, καὶ σοῦ παρόντος ὥσπερ εἰώθεις ἐδόκουν ἀκούειν· καὶ ἡδύ τι πνεύσας τοῦτο εἶπον. Ἐκείνη ἡ φιλτάτη φωνή. Ἀλλ' ὦ πρὸς ἔρωτος αὐτοῦ καὶ φωνῆς ἐκείνης, εἴ που ταύτην ἔτι οἶσθα καὶ μέμνησαι, μή μοι τοῖς γράμμασιν ἀποδήμει, μηδὲ τὴν μόνην ἀφέλῃς παραμυθίαν· μή ποτε τάχα ζηλώσω τοὺς μηδὲ τὴν ἀρχὴν ἐρῶντας, οὓς μηδὲ συμβαίνει τοιαῦτα πάθοντας ὀδύρεσθαι.

ΑΗ'. ΖΑΧΑΡΙΑ ΚΑΙ ΦΙΛΙΠΠΩ ΑΔΕΛΦΟΙΣ.

Τὸν δεῖνα φθάσας ὑμῖν συνέστησα διὰ τῆς προτέ-

Digitized by Google

ρας ἐπιστολῆς· οὐκ εἰς ἀκριβὲς ἐκεῖνον εἰδώς, ἀλλ' ἐξ ὧν ἐπλάττετο, τοῦτον ἡγούμενος ὅπερ οὐκ ἦν· ἐλάνθανε γάρ, προσχήματι μὲν καλῶς κεχρημένος, ὧν δὲ τοιοῦτος οἷον ὑπέδειξε τοῦτον ἡ πεῖρα. Ἀπὸ γὰρ τῆς Γαζαίων ὁρμώμενος, καὶ μέλλων ἀνάγεσθαι, κατέλυε μὲν παρά τινι τῶν ἐπιτηδείων, ὥσπερ εἰκός ἐστι, μέχρι πλοῦς γένηται· πιστευθεὶς δὲ νόμῳ φιλίας, καὶ πρὸς πολλαῖς ἑτέραις καὶ ταύτην χάριν λαβών, τοῦ ὑποδεξαμένου διώρυξε τὴν οἰκίαν· καὶ ὧν εἶχε χρημάτων τοῦτον ἐγύμνωσε· καὶ ἵνα λάθῃ τὰ τῆς ὑποψίας, κλεὶς μὲν ἦν αὐτῷ πρὸς τὴν ἐπιβουλὴν εὐτρεπής· ταύτῃ δὲ διανοίξας, καὶ ἅπερ εὗρε λαβών, πάλιν τῷ κιβωτίῳ τὸ παλαιὸν ἐπέθηκε σχῆμα· ὡς δὲ μόλις αὐτὸς ἀνήχθη, καὶ πρὸς τὰ δοκοῦντα κεῖσθαι χρεία τῶν κτημάτων ἐκάλει, ἦλθε τὸ ὄρᾶμα πρὸς ἔλεγχον, καὶ τοῖς τεκμηρίοις ἀντιλέγειν οὐκ ἦν· τοιούτων καὶ Μενέλαος τῶν ξενίων ἀπήλαυσεν, ἀντ' ἀμοιβῆς τινος τὴν Ἑλένην ἁφῃρημένος· τοιαῦτα γράφειν ἐπήρθη, ἵνα μὴ δι' ὑμῶν πιστευθεὶς, ἕτερα τοιαῦτα τὸν πιστεύσαντα δράσῃ· καὶ μέμψεται μὲν ὑμᾶς ὁ παθών, ἐμὲ δὲ πάντως ὑμεῖς.

primam epistolam : non istum accurate noscens, sed ex iis quæ simulabat, illum putans esse quod non erat : latebat enim, specie quidem falsa bene usus, talis autem quidem illum perhibuit experientia. Gaza enim egressus, unde expellendus erat, apud quemdam ex amicis diversatus est, usque dum ut æquum est, fieret navigatio : confisus autem lege amicitiæ et præter multas alias hac gratia accepta, ejus qui eum receperat perforavit donum, et divitiis quas habebat illum spoliavit : et ne in suspicionem incideret, erat ipsi clavis ad dolos instructa : cum illius ope aperiens, quæ invenit cepisset, rursus arculam in pristino statu reposuit. Vix autem ipse vela fecit, et ad ea quæ videbantur jacere usus opum impulit atque factum venit ad cognitionem, quin conjecturis contradicere possibile esset : talia et ab hospite munera percepit Menelaus, cum pro quadam officiorum vicissitudine rapta fuit Helena : similia scribere adductus sum ne inter vos confisus in confidentem alia similia præstaret : et quidem de vobis queretur passus, de me autem vos omnino.

ΛΘ'. ΑΘΗΝΟΔΩΡΩ.

Δεξάμενος τὸ βιβλίον, ὑμῖν μὲν χάριν ὡμολόγουν εἰκότως, ἐμαυτῷ δὲ συνηδόμην εἰ τοιούτους ὑμᾶς ὄντας πρὸς φιλίαν εὐτύχησα· καὶ μή με βαλλέτω λίθῳ τραχεῖ ὁ φθόνος, ὡς τῷ Πινδάρῳ δοκεῖ· ηὐχόμην δὲ καὶ τῇ τύχῃ, δύνασθαί μέ ποτε πρέπουσαν ὑμῖν ἀνταποδοῦναι τὴν χάριν· ἡ δὲ ταχέως δίδωσι τὸν καιρὸν, οἷον σύ τε ἐβούλου, κἀγὼ πάλαι ζητῶν, νῦν μόλις ἐτύγχανον· τὸν γὰρ ἔχοντα τὴν καθόλου πίπτεικα τοῦτό σοι μέρος ἀποδόσθαι, οὗ καὶ τυγχάνεις δεόμενος· εἰ μὲν οὖν ἔλθῃς ὡς ἡμᾶς, θᾶττον ἂν λάβῃς τὸ κτῆμα παρὰ τῆς τιμῆς, τὰ μὲν πείσας, τὰ δὲ πεισθείς, ὡς ὁ τῆς ἐμπορίας βούλεται νόμος· εἰ δὲ μή, αὐτὸς ἥξει πρὸς σὲ καιροῦ καλοῦντος, ὡς ἡμῖν ἐπηγγείλατο.

B

C

XXXIX. ATHENODORO.

Libello accepto, vobis quidem gratias persolvebam merito : in me autem gaudebam quod mihi contigerit vos cum tales sitis in amicitia habere : ne me feriat aspero lapide invidia, ut Pindaro videtur : precabar autem et fortunam ut olim mihi liceret æquas vobis rependere gratias : quæ quidem subito præbuit occasionem ut volebas, et ego jamdiu quærens vix obviam habui : illum autem qui eam habet summatim adhortatus sum ut hanc tibi partem traderet, qua et forte indiges : si igitur quidem veneris ad nos, citius possessionem ex parte honoris recipies, alia quidem persuadens, quoad cætera persuasus, ut vult lex negotiationis, si non, ipse veniet ad te tempore invitatus, ut nobis nuntiatum est.

Μ'. ΣΟΣΙΑΝΩ.

Ὁ θαυμάσιος Ἀλφαῖος ἀπήγγειλέ μοι, τοιοῦτόν σε περὶ αὐτὸν γεγενῆσθαι, οἷον αὐτὸς μὲν ἐβούλετο· ἐγὼ δὲ τοῦτον ἀκούσας ἡσθην μὲν (πῶς γὰρ οὐκ ἔμελλον;)· οὐ μὴν ἥδη μοι καὶ θαυμαστὸν ἐδόκει τὸ πρᾶγμα· εἰ δὲ βούλει, καὶ προλαβὼν διηγούμην οἷος ὑπογράφων περὶ τοῦτον ἐγένου· ὡς ἐκεῖνον ἀποροῦντα λοιπὸν ὅ τι καὶ λέγει ἅμα καὶ γέλωτι σιωπᾷ· καὶ εὐδαίμονά με τῆς φιλίας ἐγκαλεῖ· ἀλλ' ὅμως τὴν ἴσην σπουδὴν εἰσενέγκῃς περὶ ὧν ὑμῶν ἐδεήθην παρὼν, ὅπως αὐτὸς μέν μοι χάριν εἰδείην, ἀμφότεροι δὲ πάλιν ὑμῖν.

D

XL. SOSIANO.

Admirabilis Alphæus annuntiavit mihi te eum erga ipsum fuisse quem ipse quidem volebat : ego autem illud accipiens lætatus sum quidem. Quomodo enim non lætatus essem? non tamen jam mihi et stupenda res videbatur : si autem mavis, et prævenions exposui describens qualis erga istum fuisti; ille enim dubitabat cæterum an diceret simul et risu sileret : et fortunatum me amicitia arguit, sed pariter idem studium afferas quoad ea quæ a vobis rogavi præsens, ut ipse quidem mihi grates persolvam et ambo rursum vobis.

ΜΑ'. ΝΗΦΑΛΙΩ.

Εἰς ὅσον ἥκει τῆς ἀπορίας ὁ Στέφανος, οὐδ' ὑμᾶς οἶμαι λανθάνειν· καὶ ὅτι μηδ' ἐν ταῖς χερσὶ δύναται ποιεῖσθαι τὴν ἐλπίδα, τοῦ βίου μικροῦ δεῖν καὶ τὸν ὀφθαλμὸν ὑπὸ τῆς τύχης ἀφῃρημένος· ὅθεν θεραπείαν τινὰ πρὸς τὴν ἔνδειαν σοφιζόμενος εἰς διακόνων ἐνήλλακται σχῆμα· κινδυνεύει δὲ μηδὲν αὐτὸν ὠνῆσαι τὸ σόφισμα, πλὴν εἰ μὴ τῆς ἐπικουρίας τύχῃ τῆς παρὰ σοῦ, ἣν καὶ πᾶσι προκεῖσθαι πεποίημαι τοῖς

XLI. NEPHALIO.

In quantas angustias devenerit Stephanus, non vos ignorare opinor : et quod nequeat in præsens spem perficere, quippe vita, parum abest, et oculo casu privatus fuerit : unde ministerium aliquid propter necessitatem edoctus in servorum conditionem conversus est : forte autem nihil proderit hæc ratio, nisi a te obtinuerit auxilium quod omnibus obtinere volentibus adesse persuasum habeo : vobis

Digitized by Google

enim petentibus, aliquis apud vos custodem, auxilio veniet opinor, ut eum ministrantem habeat, vel et solum nutriat : scitote enim illum nullum inventurum subsidium, non finem nugarum facturum; si vero aliquid beneficium expertus erit, quo terrarum gratiam nonne pervulgabit? dimittet enim, credo, naturalem ineptiam ut gratiæ inhæreat.

XLII. PALLADIO.

Vestræ sapientiæ epistola visa quidem omnibus juxta morem movit lætitiam : cum autem scripta cognoscendo habuerimus, parum abfuit quin et lacrymis ipsam impleverimus. Quorum enim et gaudia communia sunt, eos si quid est doloris participes esse necesse est : sed vide per deos, quantum fortuna agat inconsiderate, non volens dijudicare utrum malos percutere festinabit, an contra bonos tela emittet : si enim virtute res ponderarentur, non profecto injustam fortunam pertulisses ; nunc autem uxorem desles, sapientem quidem ut æquum est, et qualem decebat viro sapienti consociari ; quod vero maxime acerbum, infantium matrem, et infantium egentium matre. Quis ea audiens, non fleret? Quis vero passus perferat non consentire tecum? Persuasum enim habeo perinde ac si Socratem persuadens, antequam aliquid passus fueris, illud ipsum fuisse expertum rebus, multa similia videntem, aut multa narrata audientem, quæ enim res funesta nobis non abripit vitam? Quid autem mari magis domitum exhibetur? Ille quidem tollitur magnus, iste vero ad summitatem provectus fortuna proditus est et cecidit : unus senescit, mortem ut solatium postulans; alter ante juventam ablatus est : uxorem ducit quidam alius, consortem lamentatur : hæc replent vitam : et Homeri confirmare cogimur sententiam, nempe quæ nihil debilius terra nutriat homine : undique enim observatur nihil fortunati permanere sicut et evenit : sed si quid secundum animum sit hominibus, parum, inquiunt, remanebit et omnia abibunt. Igitur spatiamur, illud Dei providentia permitti comedatur et voluntate quæ omnino bene disponit nostra : quæcunque autem perferre Deus dederit fortiter, vincere virtutem necesse est, nec omnia tradere fortunæ : illud enim bonis gloriosum, animum rebus non obviis : itaque satis sit lacrymarum : non enim illam postulabis antequam aliquid aliud malum patiaris : infantibus autem ipse et mater erit : et Deus spes quoad ipsos perficiet voluntate.

XLIII. NESTORIO.

Gaudium attulit tua jucunda nimis epistola, ex una parte excusans diuturnum silentium, quod quanquam sæpe scripsisses, bene mihi scilicet servabas donec litteras accepi : ex altera et valde reprehendens quod in principio silentium incusabam : hæc duo mihi gaudium attulerunt per deos : omnium enim erat alicujus non deflectentis quoad amicos : alterum non volentis unquam talis occurrere : victus igitur fui silentium incusans : et vellem

βουλομένοις τυχεῖν· ὑμῶν γὰρ αἰτούντων ἐπινεύσεταί τι, οἶμαι, τῶν παρ' ὑμῶν ἐπισκόπων, ἢ λειτουργοῦντα τοῦτον ἕξειν, ἢ καὶ μόνον τρεφόμενον· ἴστε δὲ ὡς καὶ μηδὲν ὠφελούμενος, οὐ παύεται φλυαρῶν· εἰ δὲ τύχῃ τινὸς εὐεργεσίας. ποῦ τοῦτον οὐκ εἰκὸς ἀνακηρύξαι τὴν χάριν; ἀναλώσει γὰρ, οἶμαι, τὴν ἔμφυτον φλυαρίαν εἰς τὸ μενεῖσθαι τῆς χάριτος.

MΒ'. ΠΑΛΛΑΔΙΩ.

Ἡ τῆς ὑμετέρας σοφίας ἐπιστολὴ ὁρωμένη μὲν ἅπασιν ἐκίνει συνήθως τὴν ἡδονήν· ὡς δὲ καὶ μανθάνειν ἔδει τὰ γεγραμμένα, μικροῦ δεῖν καὶ δακρύων αὐτὴν ἐπληρώσαμεν· ὧν γὰρ αἱ εὐπραγίαι κοιναί, τούτους καὶ εἴ τι λυπεῖ μετέχειν πάντως ἀνάγκη· ἀλλ' ὅρα πρὸς θεῶν, ὦ πόσον ἡ τύχη νεανιεύεται, μηδὲν ἐθέλουσα διακρίνειν, εἰ βάλλειν ἐπείγεται πονηροὺς, εἰ κατὰ σπουδαίων ἀφίησι τὰ τοξεύματα! εἰ γὰρ ἦν ἀρετῇ μετρεῖσθαι τὰ πράγματα, οὐκ ἄν, εὖ ἴσθι, τῆς ἀδίκου τύχης πεπείρασο· νῦν δὲ γυναῖκα θρηνεῖς, σώφρονα μὲν, ὡς εἰκὸς, καὶ οἵαν ἔπρεπεν ἀνδρὶ σοφῷ συνοικεῖν· τὸ δὲ δεινότατον παίδων μητέρα, καὶ τούτων ἐπιδεομένων μητρός. Ταῦτα τίς μὲν ἀκούων, οὐκ ἂν δακρύσειε; τίς δὲ παθὼν καρτερεῖ μὴ γνώμην εὐτυχήσας τὴν σήν; Πέπεισμαι γὰρ ὡσεὶ Σωκράτην πειθόμενος, πρίν τι παθεῖν, αὐτὸ ἐνεγυμνάσω τοῖς πράγμασι, πολλὰ μὲν ὁρῶν τοιαῦτα, πολλῶν δὲ διηγουμένων ἀκούων· τί γὰρ τῶν χαλεπῶν ἡμῖν οὐκ ἄγει τὸν βίον; τί δὲ θαλάττης δείκνυσιν ἡμερώτερον; ὁ μὲν αἴρεται μέγας· ὁ δὲ πρὸς ὕψος ἐλθὼν προδιδοῦσαν ἔσχε τὴν τύχην, καὶ πέπτωκε· καὶ ὁ μὲν γηρᾷ τὸν θάνατον εἰς παραμυθίαν αἰτῶν· ὁ δὲ πρὸ τῆς ἥβης ἀνήρπασται· γαμεῖ τις ἕτερος, τὴν συνοικοῦσαν ὀδύρεται· ταῦτα τὸν βίον πληροῖ· καὶ τὴν Ὁμήρου βεβαιοῦν ἐπείγεται γνώμην, ὡς οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο· πανταχόθεν γὰρ ψηφίζεται τὸ δαιμόνιον μηδὲν μένειν οἷον καὶ γέγονε· ἀλλ' εἴ τι κατὰ νοῦν ἐστιν ἀνθρώποις, Μικρὸν, φησὶν, ἀνάμενον, καὶ πάντα οἰχήσεται· τὸ μὲν οὖν παθεῖν Θεοῦ προνοίᾳ δεδόσθω, καὶ νεύματι πάντως καλῶς ἄγοντι τὰ ἡμέτερα· τὸ δὲ φέρειν ὅ τι ἂν ὁ Θεὸς δῷ γενναίως, νικᾶν ἔστιν ἀρετὴν καὶ μὴ πάντα διδόναι τῇ τύχῃ· τοῦτο γὰρ τοῖς ἀγαθοῖς ἐγκαλλώπισμα, τὸ μὴ τὴν γνώμην συμμεταπίπτειν τοῖς πράγμασιν· οὐκοῦν ἄλις ἔστω δακρύων· οὐ γάρ μιν αἰτήσεις πρίν τι κακὸν ἄλλο παθέσθαι· τοῖς δὲ παισὶν αὐτὸς καὶ μήτηρ γενήσεται· καὶ Θεὸς τὰς ἐπ' αὐτοῖς ἐλπίδας εἰς ἔργον ἄξει τῷ νεύματι.

MΓ'. ΝΕΣΤΟΡΙΩ.

Ἥσθην σου τῇ καλῇ καὶ λίαν ἐπιστολῇ, τὰ μὲν ἀπολογουμένῃ περὶ τῆς μακρᾶς σιωπῆς, ἣν εἰ καὶ πολλάκις ἐγεγράφεις, εὖ μοι γοῦν ἐσίγας μέχρι τὰς ἐπιστολὰς ἐδεξάμην· τὰ δὲ καὶ λίαν ἐπιτιμώσῃ, ὅτι σου τὴν ἀρχὴν ἐνεκάλουν σιγήν· ἥσθην ἄμφω ταῦτα, μὰ τοὺς θεούς· τὸ μὲν γὰρ οὐχ ἡμαρτηκότος ἦν περιφίλους· τὸ δὲ μηδὲ βουλομένου τοιούτου τυχεῖν· ἤτημαι τοίνυν σιωπὴν ἐγκαλέσας· καὶ βουλοίμην ἂν διαπαντὸς ἐν τούτῳ νικᾶσθαι· δέδεγμαι δέ σου τὰς ἐπιστολὰς χρόνῳ καὶ μόλις· καὶ ἥ γε παρὰ σοῦ

πρώτη πρὸς ἡμᾶς ἀφῖκται δευτέρα· σὺν ὀ ἂν εἴη σκοπεῖν, ὡς εἰ δοκῶν ἀδικεῖσθαι τοσοῦτον κατηγορῶ, τίς ἂν γενοίμην ὄντως παθών;

A semper in hoc vinci : recepi tuas litteras tandem et difficile : et primæ quas misisti ad nos secundæ venerunt : consideres igitur, si tantum accusarem injuria affici credens, qualis essem realiter passus.

ΜΔ'. ΣΤΕΦΑΝΩ.

Quid tibi accidit, o lingua multiplex, qui alte clamabas contra silentes ? Eorum quæ exprobrabas ipse convictus es, et temet inscius accusabas, et tuis illaqueans captus es retibus. Tibi accidit quod fert adagium : « Exprobrans quæ ipse fecisti, teipsum accusas, tuisque caperis alis. Itaque, si hoc decuisset, tuam tibi omnino remisissem epistolam : forsan enim scivisses te accusatorem fuisse quasi ipse reus non fuisses, et nunc delinquere quasi nihil exprobrasses. In eo autem maxime peccavisti, quod, induere affectans cothurnos valde pulchros et pedibus concinnius aptatos, ut comœdiæ vult usus, agrestes istas misisti litteras nomine et salute carentes; et de istis tamen magis superbiebas, quam

D

δέ μοι καὶ πρᾶττε καλῶς, καὶ νίκα τὰ λυποῦντα, καὶ μέμνησο μὴ μόνον παρόντων· εἰ δὲ γράμμασιν ἀθυμοῦντας ἀνάγοις, τοῦτο μὲν τῆς Πολυκράτους εὐτυχίας σεμνότερον· πολλὰ γὰρ οἱ χρηστοὶ τὰς ἡμετέρας διέσεισαν ἀκοάς, ὡς πέπραχέ τι δεινόν· σὲ δὴ λέγοντες, ὡς ἥλῳ πράττων, ὡς γέγονεν ἀφανής· ταῦτα λογοποιοῦντες, μάρτυρας παρῆγον· οὓς ἐκεῖθεν ἥκειν διεσχυρίζοντο· καὶ ἄλλος ἄλλῳ διηγεῖτο, καὶ διὰ πάντων ἡ φήμη· ὡς δὲ τὴν παρ' ὑμῶν ἐδεξάμην ἐπιστολὴν τοσοῦτον ἀπέχουσαν τῆς ἀδίκου φήμης, ὡς καὶ πρὸς πανήγυριν τοὺς φίλους καλεῖν, εὐθὺς ἐγενόμην περιχαρὴς, καὶ τοῦ ψεύδους ἔχων τὸν ἔλεγχον πανταχοῦ ταύτην ἐκήρυττον· ὥστε τοὺς πάλαι θρασεῖς μόλις ἐρυθριᾷν καὶ κύπτειν εἰς γῆν· καὶ τῆς τύχης, οἶμαι, καταβοᾷν, ὅτι μὴ πλείω χρόνον ἐλάνθανον.

ΞΑ'. ΣΙΛΑΝΩ.

Ὁ καλὸς Μακάριος σπουδῆς ἕνεκα καὶ τρόπων τῆς ἐμῆς ἀπολαύων εὐνοίας, ἐπέδωκέ μοι φέρων ὑμετέραν ἐπιστολήν· ἐγὼ δὲ τοὺς τύπους ἐπιγνοὺς ἅμα τῇ θέᾳ καὶ τὴν ἐπιγραφὴν ἀσπασάμενος, εὐθὺς μελήσας οὐδὲν, τῶν γεγραμμένων εἴσω γεγενῆσθαι· καὶ ὁ μὲν κύκνος εὐθὺς ἐνῆχει ταῖς ἀκοαῖς, καὶ ὥσπερ τῷ ζεφύρῳ τὸ πτερὸν ἀνεῖς, ὅλαις ἀνέκειτο ταῖς ᾠδαῖς καὶ μουσικωτάταις· τὴν σὴν ἀηδόνην νῦν ὄντως ἔγνων ὡς Ἀθηνῶν ὑπῆρχεν ἡ κόρη, καὶ γέγονεν ὄρνις, καὶ τὴν Ἀττικὴν φυλάττει τοῖς μέλεσι· τοιοῦτον αὐτῆς τὸ σχῆμα τῆς ἐπιστολῆς ὁ μιουργοῦσιν οἱ λόγοι· ἐγὼ δὲ τοῦτο ἡσθεὶς ἀνέπνευσα τὸ μέγα, καὶ παλαιᾶς εὐδαιμονίας ἀνηγόμην εἰς μνήμην, ὡς συνεῖμεν ἀλλήλοις παρὰ τὸν Νεῖλον, ὡς ἀδεῶς ἐμφορεῖσθαί σου παρεῖχεν ἡ τύχη, ὡς στερηθεὶς ἠχθόμην, ὡς χαίρω νῦν κομισάμενος· καὶ γάρ σε διὰ τῆς ἐπιστολῆς ἔχειν ἤδη δοκῶ, καὶ χάριν ὡμολόγουν τῷ ταύτην ἐμοὶ δεδωκότι· καὶ, Ὡς εὐδαίμων, ἔφην, ὦ παῖ, τοῦ γένους ὑπάρχεις ! καὶ ἐμεμφόμην ὅτι σοι προσήκων ἐλάνθανε· τίς οὖν γένωμαι ; πόθεν ἂν δυναίμην αὐτῷ παρέχειν ὁπόσα καὶ βούλομαι ; εἰ δὲ μετρήσεις τῇ προθυμίᾳ τὴν χάριν, οὐδέν ἐστιν ὅ τι μὴ λήψεται παρ' ἡμῶν· ἀκούσας δέ σε καὶ γάμου φέρειν ζυγὸν, εὐξαίμην σου καὶ παῖδας ἰδεῖν τοὺς ὁρῶσι τὸν πατέρα κηρύττοντας.

ΞΒ'. ΔΙΟΔΩΡΩ.

Τί τοῦτο πέπονθας ὁ πολὺς τὴν γλῶτταν, καὶ μέγα πνέων κατὰ τῶν σιωπώντων· ἦλως οἷς ἐνεκάλεις, καὶ κατὰ σαυτοῦ κατηγορήσας ἐλάνθανες, καὶ τοῖς ἑαυτοῦ δικτύοις ἑάλως σαγηνευθείς· ἃ γὰρ ἐμέμψω δράσας, ῥῖκσθεν ἔχεις τὸν ἔλεγχον, καὶ τοῖς ἑαυτοῦ πτεροῖς ἑάλως, τὴν παροιμίαν παθών· ὥστ' εἴ τι τῶν κροσηκόντων ἐγίνετο, τὴν σὴν ἂν σοι πάντως ἐπιστολὴν ἀντεπέθηκα· τάχα γὰρ ἂν ἔγνως ἐπιτιμήσας μὲν ὡς οὐκ ἂν ἁμαρτὼν, πλημμελῶν δὲ νῦν ὡς κατηγορήσας οὐδέν· καὶ τὸ μέγιστον ὅτι φιλοτιμησάμενος ὑποδήματα καλά τε λίαν καὶ περὶ πόδας μᾶλλον, ὡς τῇ κωμῳδίᾳ δοκεῖ, καὶ ταῦτα γραμμάτων ἔρημα πέπομφας, μήτε τὸ δεῖξαι μήτε τὸ χαίρειν εἰπών· καίτοι μεῖζον, ὡς εἰκὸς, ἐπὶ τούτοις

Digitized by Google

ἐφρόνησας, ἡ Κροῖσος ἐκεῖνος τὰς θαυμαστὰς δὴ πάλαι σε ταῦτα περὶ τοῦ . . . ργοῦ κομισάμενον, μέλλειν ἀεὶ καὶ καταστοχάζεσθαι τοῦ καιροῦ, ὅπως ἂν ἐρχομένης τῆς πανηγύρεως, ταῦτα λαβὼν προσέλθω τοῖς ἁρῶσι τὴν φιλοτιμίαν βοῶν· ὅθεν σου τὸ πάθος μαθών, προῆειν κατὰ τὸν Ὁμηρικὸν Αἴαντα μέγα βιβάς· καὶ κατεκρότουν τὴν γῆν ἐπιστρέφων παρὰ τοὺς πόδας τὸν θεατήν· καὶ εἴ τις ὁρᾷν οὐκ ἠβούλετο ὑβριστὴν τοῦτον ἐδόκουν, καὶ τέλος ὁρᾷν κατηνάγκαζον, καὶ μηδενὸς ἐρωτῶντος· ὁπόθεν ἔχω λαβών, «Διόδωρος ὁ δοὺς,» ἀνεκήρυττον· καὶ διὰ πάντων ὑπῆρχεν ἐπ' ἐμοὶ μὲν ἀπειροκαλίας ὁ γέλως· ἐπὶ σοὶ δὲ, τῆς εὐνοίας ἡ μνήμη· τοιαῦτά σοι τῶν καλῶν ὑποδειγμάτων ἀπήλαυσα, μικροῦ δεῖν ἐπὶ κεφαλὴν βαδίσας, ὅπως; ἐν καλῷ τῆς θέας ἔσται τὸ δῶρον.

A ille Crœsus mirabiles Apollini lateres largicus. Patet jampridem te, ex quo carmina illa composuisti, optare semper et aucupari occasionem, ut, adventante cœtu, his sumptis prodeam coram boum certamina spectantibus. Unde, tuam cupiditatem cognoscens, progressus sum, juxta Homericum Ajacem, magno incessu; ac terram strepitu quatiebam, convertens ad pedes spectatorem; et, si quis aspicere nollet, istum pro insolenti habebam et finem videre cogebam; et, nemine interrogante unde scenam habuissem, clamitabam : « Diodorus dedit; » at ab omnibus superveniebat mihi stultitiæ ludibrium, tibi autem benevolentiæ commemoratio. Hujusmodi fructum ex tuo specimine collegi, quanquam pene supra caput ambulaverim, ut tuum munus pulchrum præberet spectaculum.

ΞΓ'. ΕΠΙΦΑΝΙΩ.

Οἶμαί σε ποιεῖσθαι λίαν ἐν θαύματι, τί δῆτα νῦν μαθὼν ἤδη καὶ γραμμάτων κατάρχομαι· τούτου δὲ τὴν αἰτίαν εἰ βούλει, Στρατήγιος τοῖς λόγοις στρατεύεται κατὰ σοῦ, καὶ πολὺς μὲν ταῖς λοιδορίαις χωρεῖ, μακρὰν δὲ κατατείνει κατηγορίαν, καὶ δικαστήριόν μοι τὴν οἰκίαν πεποίηται· τὸ δὲ μέγιστον, ὥσπερ γὰρ οἱ δεινοὶ τῶν ῥητόρων, οὐκ ἀρκεῖται τοῖς παροῦσι μόνον ἐγκλήμασιν, ἀλλὰ μίγνυσι παλαιὰ καινοῖς, καὶ μύθους ἀρχαίους ἀνακινεῖ· καὶ μάρτυρα κατὰ σοῦ πόλιν ὅλην τὴν Ἀλεξάνδρου παρέχεται, Θέας ἱππικὰς διηγούμενος, καὶ κύβων σπουδὴν, καὶ διαλόγους περὶ τῶν ἵππων δημοτικοὺς, καὶ ἄττα πολλὰ τούτῳ λέγειν ἐπέλθῃ· ἀλλὰ καὶ νῦν σε τοῖς ἵπποις ἀνακινεῖσθαί φησι, καὶ τοῖς τρέχειν δυναμένοις παρεδρεύειν ἀεὶ, καὶ τέχνην σε κολάκων ἐπαγῆρῆσθαι τῇ γαστρὶ χαριζόμενον. Οὐκ ἂν δυναίμην εἰς ἅπαξ εἰπεῖν ὅσα δὴ πολλάκις ταῖς ἐμαῖς ἀκοαῖς ἐπαντλεῖ· τὸ δὲ αἴτιον, Γυμνὸς, φησὶ, τὸ τούτου μέρος ἐγώ· ἓν μόνον μοι ἱμάτιον ὑπελείπετο πρὸς ταφὴν, καὶ διὰ τοῦτον ἀνάλωται· λίνον γὰρ, φησὶν, εἰργασμένον λαβὼν, ὡς δὴ χερσὶ τῶν αὐτοῦ θεραπαινίδων ἀποδείξων ἱμάτιον, Ἴρου με παρεῖδε γυμνότερον· χρόνος πολὺς, φησὶ, καὶ παρατέταμαι ταῖς ἐλπίσιν. Εἰ τοίνυν σοι μέλει τὴν ἐκείνου γλῶτταν πραοτέραν ἐργάσασθαι καὶ τὰς ἐμὰς ἐλευθεροῦν ἀκοὰς, ὡς τάχα πέμπε θοιμάτιον· εἰ δὲ μή, ἀλλ' οὐ φέρω λέγειν ὅσα καὶ λέξειεν· ὡς καὶ μηδὲν ἔχων ἐγκαλεῖν, φλυαρίαν τὸν βίον πεποίηται· εἰ δὲ καὶ προσλάβοι τι δίκαιον, εἴποις ἂν αὐτοῦ τῇ γλώττῃ τὸν θυμὸν ἐνοικεῖν.

B

C

D

LXIII. EPIPHANIO.

Existimo te valde admirari cur jam nunc scribere incipiam : cujus causam si quæris, hæc est. Strategius sermonibus adversus te dimicat, conviciis aggreditur, et longam explicat accusationem, ac domum meam elegit ubi discrimen judicaretur. Quod vero maximum est, peritorum instar rhetorum, non contentus est præsentibus solummodo criminibus, sed miscet vetera novis, et antiquos reducit sermones; imo in testimonium adversus te totam Alexandriæ urbem suscitat, equina referens spectacula, et talorum studium, et populares de equis sermones, et multa alia quæcunque illius linguæ occurrunt : etiamnum vero dicit te ab equis vehi, et cursu velocibus assidere semper, et adulatorum arte erectum fuisse qui prius ventri indulgebas. Non possem una vice dicere quidquid sæpe sæpius meis auribus instillabat. Audi causam : « Nudus sum, inquit, quantum in eo est, ego : unum mihi supererat vestimentum ad sepulturam; et per istum mihi perditum fuit; nam linum fabricatum, ut aiebat, sumens ut esset specimen et exemplar vestimenti manibus famularum suarum texendi, Iro nudiorem me esse non advertit : jam longum effluxit tempus, et spes mea semper differtur. » Si igitur velis linguam ejus mitiorem facere, et meas liberare aures, quam cito mitte vestimentum; si non, non valeo dicere quid dicturus sit, quia etiam non habens unde incrimineturn, in loquacitate vitam suam reponit; si quid autem justi profiteatur, dicas illi animum in lingua residere.

ΞΔ'. ΓΕΣΣΙΩ ΙΑΤΡΟΣΟΦΙΣΤΗ [Band. ΓΕΝΗΣΙΩ].

Ἴσθην ὅτι τὸν καλὸν Δωρόθεον ὃν ὑμῖν διὰ γραμμάτων συνέστησα πρότερον, τοῦτον ἐκ μεταβολῆς αὐτοί μοι συνιστῶντες ἐγράψατε. Τί γὰρ εἴη μεῖζον τεκμήριον τοῦ κατ' ἐλπίδας ἡμῖν χωρῆσαι τὰ γράμματα; Ἐλθὼν δὲ πρὸς ἡμᾶς οὐδὲν ἤθελε λέγειν, ὅ τι μὴ σὲ κάμοὶ χαριεῖσθαι θέλων, καὶ τῇ μνήμῃ τῶν σῶν εὐφραινόμενος, καί σε πολὺν ἐπὶ στόματος ἦγεν, ὡς εὔνουν, ὡς ἀγαθὸν, ὡς γλώττῃ καὶ χειρὶ τὸν Ἀσκληπιὸν παρακείμενον. Καὶ οὕτω δὴ τὸ τῆς ἰατρικῆς αὐστηρὸν αἱ τῆς ὑμετέρας γλώττης παρεμυθήσαντο χάριτες· ταῦτα λέγοντος προὐλάμβανον τοὺς

LXIV. GESSIO MEDICO.

Gavisus sum eo quod pulchrum Dorotheum, quem vobis per litteras commendaveram prius, eumdem vice versa vos ipsi mihi in epistola commendaveritis : quid enim magis indicet litteras nostras speratum obtinuisse successum? Ut ad nos pervenit, nolebat quidquam dicere, quin te mihi gratissimum efficere cuperet, tuorumque beneficiorum memoria lætaretur; ac te frequentissimum in ore habebat, ut benevolum, ut optimum, ut lingua et manu Esculapi proximum : usque adeo medicinæ asperitatem vestri sermonis gratiæ temperabant. Talia loquentis elo-

Digitized by Google

giis ego præcurrebam, priusquam audirem tua narrans; et : « Enm fers ad glaucæ Palladis urbem, » illi aiebam. Sed eo ardentior erat, et aliquid novi se addere putans, id apud me jampridem repositum inveniebat, tum libenter silebat deinceps; postquam dictitaverat se gratias habere diis, quod talem obtinuisset magistrum, de quo omnia dici possunt et nihil novum nuntiari. Tu vero te totum da juveni, qui etiamsi nihil aliud haberet, certe scit meminisse benefactorum.

LXV. ANTIOCHO.

Quantum circa te spe fallebar! Putabam enim te, vix e medicinali victu liberatum, ad nos venturum deinceps, sive ut philosophiæ te dares secundum tua promissa, sive duntaxat ut nos videres. Tu vero nobis moras nectis, Alexandriam desiderans, et quasi Lotophagorum terræ inhærens. Sed mea gratia sine Macedonis urbem multis regnare leporibus et Nili marisque pulchritudine gestire. Si tamen hanc ipsam urbem Musæ habitant, me etiam habes laudatorem; sed hæc sint ad quiescendum apud nos et amplectendam illam quam sæpe speravimus philosophiam. Ergo reliqua meras velut ineptias rejiciens, imitare Ulyssem ad veram Ithacem respiciens; ac nihil te impediat, non lotus, non Circe, non Calypso, sed quanto majora festinas ad bravia, tanto Laertiadem superemus.

LXVI. STEPHANO.

Nihil, ut videtur, non aureum cernis : hoc autem ipsum te extollit et elatum facit, et auratis imaginibus tuam implet imaginationem. Ex quo enim tibi ad excusandam moram scripsi non omnia nobis dare circumstantias, sed ea quæ ad necessitatem fatum mensurat (per necessitatem intelligendo, non divitiarum penuriam, sed illud in quod a fortuna ducimur); tu in aurum totus insiliens, mihi compati videbaris indigenti, et quærebas solari conferendo philosophiam divitiis, perinde ac si ego gemerem quod non Crœsi talentis abundem : hunc tibi sonum aures susurrant, et omnes de auro loquentes audire tibi videris. Quid, per Jovem, te in hujusmodi benevolentiam induxit? Quomodo me excusarem a scribendi mora, pecuniæ indigentiam allegando? tanquam si multo circumfluere auro deberet qui epistolam mittit; imo, si quidem aliquid aliud, scribere est independens et a Pluti ditione liberum. Itaque mens tua passione laborare videtur, nam inclinatio in aliquid omnia in hoc convertit, et illusum habet auditum. Ac vereor ne, si de lyra loquar vel equum nominem, tu rursus aurum audire tibi videaris, et alios solari quærens ipse medico egeas. Sic pueriliter tecum ludere coactus sum, meisque litteris inserere risus quos cohibui tuam legendo epistolam. Tu vero, de tua passione paululum remittens, scribe deinceps sapientiorem epistolam.

LXVII. DIODORO.

Timidissimum Timotheum sua quidem indoles ad quietem invitat, molesta vero fortuna vim inferens

ἐπαίνους ἐγὼ πρὶν ἀκοῦσαι τὰ σὰ διηγούμενος· καὶ Γλαῦκα φέρεις Ἀθήναζε, πρὸς τοῦτον ἔλεγον μειδιῶν· ὁ δὲ φιλονεικότερος ἦν, καὶ δοκῶν τι καινὸν ἐπάγειν, πάλαι κείμενον εὕρισκε παρ' ἐμοί. Καὶ μεθ' ἡδονῆς ἐσίγα λοιπόν· χάριν εἰπὼν ἔχειν τοῖς θεοῖς, εἰ τοιοῦτον εὐτύχησε διδάσκαλον· περὶ οὗ καὶ πάντα λέγειν ἔστι καὶ καινὸν ἐπαγγέλλειν οὐδέν· ἀλλὰ σαυτὸν ὅλον φέρων ἐπίδος τῷ νέῳ, ὃς εἰ καὶ μηδὲν ἕτερον, μεμνῆσθαι γοῦν οἶδε τῶν εὖ ποιούντων.

ΞΕ'. ΑΝΤΙΟΧΩ.

Ὅσης ἐπὶ σοὶ τῆς ἐλπίδος διήμαρτον! ὤμην γάρ σε μόλις ἰατρικῆς ὕλης ἀπηλλαγμένον πρὸς ἡμᾶς ἥξειν λοιπόν· εἴτε φιλοσοφήσαντα κατὰ τὰς πρὶν ὑποσχέσεις, εἴτε καὶ μόνον ὀψόμενον· σὺ δὲ κατατείνεις ἡμᾶς, τὴν Ἀλεξάνδρου ποθῶν, καὶ ὥσπερ λωτοφάγων γῆς ἀντεχόμενος. Ἀλλ' ἐμοὶ μὲν ἕνεκα νικάτω χάρισι πολλαῖς τοῦ Μακεδόνος ἡ πόλις, καὶ Νείλου καὶ θαλάττης ἐχέτω καλῶς· εἰ δὲ καὶ Μοῦσαι ταύτην οἰκοῦσιν, ἔχεις ἐπαινοῦντα κἀμέ· ἀλλὰ ταῦτα πρὸς τὴν παρ' ἡμῖν ἡσυχίαν καὶ τὴν φιλοσοφίαν ἣν πολλάκις ἠλπίκαμεν· οὐκοῦν τἄλλα καθάπερ τινὰ φλυαρίαν ἀποσεισάμενος, μιμοῦ Ὀδυσσέα πρὸς τὴν ὄντως Ἰθάκην ὁρῶν. Καὶ μηδέν σε κωλυέτω, μὴ λωτός, μὴ Κίρκη, μὴ Καλυψώ· ἀλλ' ὅσῳ περὶ μειζόνων ἐπείγῃ τῶν ἄθλων, τοσαῦτον Λαέρτου νικήσωμεν.

ΞΣ'. ΣΤΕΦΑΝΩ.

Οὐδὲν, ὡς ἔοικεν, ὃ τι μὴ χρυσίον ὁρᾷς· ἄγει δέ σε αὐτὸ καὶ ποιεῖ μετάρσιον, καὶ χρυσῶν εἰδώλων ἀνέπλησέ σου τὸν νοῦν. Ἐμοῦ γάρ σοι περὶ σχολῆς γεγραφότος, ὡς οὐ πάντα δίδωσιν ἡμῖν ὁ καιρὸς, ἀλλ' ὅσα πρὸς τὴν χρείαν ἀνάγκη μετρεῖ, καὶ χρείαν εἰπόντος, οὐ τὴν τῶν χρημάτων ἔνδειαν, ἀλλ' ἐφ' ᾧ περὶ τῆς τύχης ἀγόμεθα, σὺ πρὸς τὸ χρυσίον ὅλως ὁρμήσας, καὶ συνάχθεσθαί μοι ἐδόκεις ἠπορημένῳ· καὶ παραμυθίαν ἐζήτεις, τὴν φιλοσοφίαν ἀντιτάττων τοῖς χρήμασιν· ὡς ἐμοῦ δὴ στένοντος, ὅτι μὴ τοῖς Κροίσου ταλάντοις ἀβρύνομαι, οὕτω περιβομβεῖ σου τὰ ὦτα, καὶ πάντων δοκεῖς χρυσίον λεγόντων ἀκούειν· τί γάρ σε, πρὸς Διὸς, ἐπὶ ταύτην ἐπῆγε τὴν εὔνοιαν; ἢ πῶς ἂν ἀπελογούμην περὶ τοῦ μὴ γράφειν ἐπιστολὰς χρημάτων ἔνδειαν προβαλλόμενος; ὡς δέον πολλῷ καταῤῥεῖσθαι χρυσίῳ τὸν ἐπιστέλλοντα. Καὶ μὴν εἴπερ τι καὶ ἄλλο τὸ γράφειν αὐτόνομόν τέ ἐστι καὶ τῆς ἐκ τοῦ πλούτου δυναστείας ἐλεύθερον· οὕτω σοι τὰ τῆς διανοίας ὑπὸ τοῦ πάθους ἐλέγχεται· ῥέψασαι γὰρ ἐνταῦθα πάντα πρὸς τοῦτο μεταποιεῖ, καὶ συναπατωμένην ἔχει τὴν ἀκοήν· καὶ δέδοικα, μὴ κἂν λυρίαν εἴπω κἂν ἵππον ὀνομάσω, πάλιν δόξεις χρυσίον ἀκούειν· καὶ τοὺς ἄλλους παραμυθούμενος, αὐτὸς δεήσῃ τοῦ θεραπεύοντος· ταῦτα παίζειν ὑπῆχθην πρὸς σὲ, καὶ τοῖς γράμμασιν ἐνθεῖναι τὸν γέλωτα, ὃν ὑπέστην ἀναγινώσκων σου τὴν ἐπιστολήν· σὺ δὲ μικρὸν τοῦ πάθους ἐνδοὺς, γράφε λοιπὸν σωφρονοῦσαν ἐπιστολήν.

ΞΖ'. ΔΙΟΔΩΡΩ.

Τὸν εὐλαβέστατον Τιμόθεον τὸ μὲν σχῆμα πρὸς ἡσυχίαν καλεῖ, τὰ δὲ τῆς τύχης λυπηρὰ τὴν ἀνάγκην

Digitized by Google

ἐπάγοντα καὶ τὴν πρὸς ὑμᾶς ὁδὸν κελεύει· τοῦτο γάρ ἐστι πατὴρ ἐκ μεταβολῆς ἀπόρων· ἀδελφοὶ δὲ πλήθει καὶ χρόνῳ λυποῦντες· πολλοὶ γὰρ ὄντες καὶ τὴν ἡλικίαν βραχεῖς, εἰς τὰς τοῦ πατρὸς χεῖρας ὁρῶσιν· ἐντεῦθεν χρῆσται μὲν πολλοί, ἀλλὰ πλὴν ἑνὸς πάντες φιλάνθρωποι· οὗτος δὲ τῆς τύχης συνεπιτίθεται· ἦν γὰρ μόλις αὐτοῖς οἰκίαν ὁ δαίμων κατέλιπε τοσούτοις χρήσταις ὑποτιθεμένην, ταύτην μόνος λαβεῖν ἀξιοῖ νικῶσαν τούτου τὸ χρέως· δέον ἢ τὸν ὠνούμενον ἄγειν, καὶ τοῦ παντὸς τιμήματος τὸ προσῆκον λαβεῖν, ἢ δέχεσθαι ταύτης μέρος ὃ τοῦ χρέους ἀναπληρώσει τὸ μέτρον· ὁ δὲ τὴν τῶν ὠνουμένων πρὸς τὸ παρὸν ἀπορίαν ἔρμαιον ἡγεῖται, καὶ τῆς τύχης ἐστὶ πικρότερος· ἀλλὰ δίδου τῷ δεομένῳ πρὸς συμμαχίαν τὴν γλῶτταν, τὸν δικαστὴν αὐτῷ παρασκευάζων φιλάνθρωπον· ὁ δὲ λυπῶν πειράσθω δικαίας ἀνάγκης, καὶ τῆς αὐτοῦ γνώμης ἡμεροτέρας, ἢ περιμένειν τὸν ὠνησόμενον, ἢ τῆς οἰκίας μέρος ὅσον ἀπαιτεῖ τὸ χρέος λαβεῖν· ὅπως θαυμάσωμεν καὶ σὲ τῆς συμμαχίας, καὶ τῆς ψήφου τὸν δικαστήν.

A eum ad vos ire cogit. Huic enim est pater rerum mutatione in penuriam dejectus, fratres autem et multitudine et ætate illum gravantes: cum enim sint multi et annis teneri, a patris manibus victum exspectant. Hinc multi creditores, qui quidem sunt indulgentes, uno tamen excepto. Iste autem ex infortunio lucratur: quam enim illis vix reliquit fortuna, domum a tot creditoribus hypotheca affectam, hanc sibi soli appropriare prætendit, licet pecuniam ipsi debitam excedat; dum requiritur ut vel emptorem ducat et ex toto pretio quod suum est assumat, vel accipiat domus partem credito suo correspondentem. Iste vero egentium præsentem necessitatem pro lucro ducit, et fortuna durior est. Tu autem da egenti linguam in auxilium, judicem ei parando indulgentem; persecutor vero justam experiatur necessitatem (ipso ejus animo mitiorem) vel emptorem exspectandi, vel sumendi hanc domus partem quam debitum requirit: ut admiremur et tuum præsidium et judicis sententiam.

B

ΞΗ'. ΝΟΝΝΩ.

Σὺ μὲν τὴν ἐριθμένην ἠρνήσω, τὰ μείζω ποθῶν, καὶ πρὸς ἱερωσύνην κατεπειγόμενος· ἐγὼ δέ σου τὴν καλὴν κόμην θαυμάσας ἀεὶ, νῦν δέδοικα μή σου παρεμποδὼν γένηται τῇ προθυμίᾳ· ἐπειδὰν γάρ ἴδῃς παρόντα τὸν καιρὸν καὶ τὰς ᾀδομένας τρίχας μελλούσας πεσεῖν, δακρύσας, οἶμαι, τὸ πάθος οἰχήσῃ φυγών· καὶ ζητήσεις ἀνθ' ἱερέως, νυμφίος ὀφθῆναι καλός· καὶ πάλιν ἂν οὕτω τύχῃ, μνηστεύσεις κόρην· καὶ τοῦ γάμου παρόντος πρὸς ἱερωσύνην σχήσεις μεταπηδῶντα τὸν ἔρωτα· ἀλλὰ παῦσαί ποτε κύκλῳ φερόμενος, τὴν πεῖραν ἔχων διδάσκαλον· ἵνα μὴ πάλιν μὴ * ὑποβόλων, καὶ σῶν σπαλίκων ἀκούσω, καὶ ὅσα νῦν ἡμᾶς ἐξεπαίδευσεν.

LXVIII. NONNO.

Tu vero quam diligebas renuisti, majora cupiens et ad sacerdotium properans. Ego vero tuam pulchram comam semper admiratus sum; nunc timeo ne sit tibi impedimentum voti. Cum enim videris tempus præsens illabi et celebratos crines casuros, de passione dolens, credo, fugies et quæres inter sacerdotes speciosus sponsus videri. Et rursus, si fors tulerit, virginem tibi despondebis, et a præsenti matrimonio amorem ad sacerdotium transilientem habebis. Sed tandem, experientia doctus, desine circumferri . . . . . .

C

ΞΘ'. ΙΕΡΩΝΥΜΩ ΚΑΙ ΘΕΟΔΩΡΩ.

Τὴν ὑμετέραν σοφίαν ἔγνων μὲν καὶ πάλαι παντὰχοῦ τῷ λόγῳ προλάμπουσαν· καὶ ὃν ἡ θέα μὴ παρέσχεν, ἡ γε φήμη χαρίζεται, κοινῷ βοῶσα κηρύγματι τὸν πάππον ὑφήγησιν νόμων ἐπιγραφόμενον, τὸν πατέρα γλώττης χάριτι πρὸς τὴν τῶν νόμων αὐστηρίαν τὴν ἀκοὴν ὑποσύροντα· καὶ ἐκ τούτων ὑμᾶς πάντα φέροντας, ἅπερ ἐκεῖνοι προσλαβόντες..." ἐνείμαντο. Ὃν οὖν ἔγνων πρῶτον τῷ λόγῳ, νῦν τῇ πείρᾳ μαθὼν, Εὐδαίμων, ἔφην, ἡ πόλις, ἐν ᾗ γένος οὕτω σεμνὸν, καὶ παῖς ἐκ πατρὸς τὴν ἀρχὴν διαδέχεται· εὐδαιμόνων δὲ πατέρων παῖδες, ὅσοι τοῦ βίου τὰς ἐλπίδας ἐφ' ἡμῖν ἐποιήσαντο· ἀλλ' εἴθε πως ἐδυνάμην συνεῖναι καὶ τῆς σῆς ἐμφορεῖσθαι παιδεύσεως· ἀλλὰ μέγα τοῖς ἀνθρώποις εἰς πόθον ἐστὶν ἡ πατρίς· καὶ μάρτυς Ὀδυσσεὺς τὴν Καλυψὼ παριδὼν ἵνα τὴν Ἰθάκην θεάσηται· πρὸς δὲ καὶ οὐ θεμιτὸν εἶναί μοι δοκεῖ πόλιν ἀλλότριον παρὰ τὸν τοῦ δικαίου σφετερίσασθαι λόγον· τοιγαροῦν σώζησθέ μοι τὰ συνήθη παρ' ἐμοῦ προσκυνούμενοι.

D

LXIX. HIERONYMO ET THEODORO.

Haud ignorabam sane sapientiam vestram quæ longo abhinc tempore aliorum sermonibus ad me pervenerat. Cujus si non proprio intuitu testis fui, fama recte ad me perlata est avum ex officio legem monstraturum, patrem dulce conversantem legum austeritatem obsequio suo mitigare, et vos ex istis omnia ferre quæ illi præoccupantes . . . . sibi partiti sunt. Quem sermonibus aliorum cognovi nunc experientia novi; Beata, inquam, urbs in qua genus tam venerabile et filius a patre principatum obtinet: beati parentes filiorum qui vitæ spem in nobis posuerunt. Utinam vobiscum esse potuissem ac vestra frui disciplina! Sed multum hominibus in desiderio est patria, et testis est Ulysses qui ut Ithacam videret Calypso despexit. Insuper non licere mihi videtur urbem alienam sibi usurpare præter rationem justi. Ideo mihi servate amicitiam; avete.

Ο'. ΕΡΜΕΙΑ.

Τὸ ὑμέτερον μέγεθος διὰ τῶν πρὸς σὲ γραμμάτων ἰδὼν, ὑμᾶς μὲν εἰκότως τῆς γνώμης ἐθαύμασα· τῇ δὲ Βηρυτίων συνήδομαι πόλει ὅτι τοιοῦτον ἔχει προβεβλημένον ὡς ἀρετῆς καὶ λόγων ποιεῖσθαι

LXX. HERMEÆ.

Vestram magnitudinem ex litteris ad te missis dignovi, jureque vos ob sensus admiratus sum ac Berytorum urbi congratulor quod tale habeat sub oculis propositum virtutis ac eloquentiæ exemplum,

* Deest vocabulum. ** Non legitur vocabulum.

Digitized by Google

præsertim cum contraria sint tempora. Sed fruere tuis virtutibus et fructus ex tua sapientia urbs percipiat. Mihi autem molestum est patriam despicere quæ a vobis accepit exemplum. Si enim vos omnia tentatis ad illustrandam illam quæ vos genuit, quomodo non bene mihi esset ea facere quæ facientes vos laudavi? Sed et mihi usurpare quod feliciter obtinuit alter, a rationabili affectione videtur alienum. Retine, o optime, tuam in me ac in urbem benevolentiam.

LXXI. ORIONI.

Inutile puto scribere homini qui appulsum ad vos cogitat facere, ut hymenæum canat pulchræque virginis fiat sponsus. Justum est amantem sibi complacere in laude amicæ, ob quam absens corpore, amore in mente trepidas. Ad nos moveris et parva tibi videntur præsentia humanæ felicitatis indicia. Sola tibi urbs locus esse videtur tuarum deliciarum et Byzantio fere venerabilior. Timeo ne multo desiderio evanescente, neque amicis valedicens, subito ad nos mittaris navigationis diuturnitatem accusans. Sed hæc quidem ludentium. Tu autem aliquando sapienti consilio redibis ad filiorum procreationem actus.

LXXII. ANATOLIO.

Multa sunt mihi præclara quæ educant adolescentem; primum et quidem maximum vestræ pietatis litteræ; deinde bonus pater a prima experientia ad indulgentiam propensus; et præter hæc disciplinæ lex, strictam exigens rationem si quid convenientium neglexerim. Brevi etiam et adolescentis studium partem non minimam obtinebit. De cætero nobis impetrate a Deo auxilium quod solum ad felicem exitum ducere potest propositum.

LXXIII. DOROTHEO.

Peritus es alas cuicunque volueris circumponere sublimemque in alto stantem ostendere. Tuis litteris quasi alatus effectus (ubicunque enim esse videbar, ut dicis, fama) perambulabam civitates omnes quas homines incolunt et usque ad barbaros deveni mente levi actus, et omnes populi mihi eloquentiæ coronam dare videbantur; ut uno verbo dicam, per tuam epistolam qui effectus essem ignorabam, donec deus aliquis alas tuas mihi abstulit. Peregrinationem meam ægre cessans, cur hæc patior, inquam? Considera scribentem, recogita benevolentiam et admirare quanta persuadere scit amicitiæ desiderium. Non exsistentia in animum inducit, falsa ut vera facit existimare; exinde puto non posse laudibus satiari; quamvis omnia facile dicat, illa commodis minora videntur. Mensura tibi laudum sensus, qui nihil ad laudem sufficere putat. Sed pro tua amicitia, desine talia scribere homini parvo qui in seipsum respicit suisque erubescit litteris.

φροντίδα· καὶ ταῦτα τοῦ καιροῦ τὴν ἐναντίαν ἐλαύνοντος· ἀλλ' ὅναιο καὶ σὺ σαυτοῦ, καὶ τῆς σῆς προνοίας ἡ πόλις· ἐμοὶ δὲ βαρὺ πατρίδος ὑπερορᾶν ἐξ ὑμῶν λαβόντι παράδειγμα. Εἰ γὰρ ὑμεῖς πάντα μηχανᾶσθε κοσμεῖν τὴν ἐνεγκοῦσαν οἰόμενοι, πῶς ἂν ἔχοι καλῶς ἐμοὶ μὴ ταῦτα ποιεῖν ἐφ' οἷς ὑμᾶς ἐπῄνεσα πράττοντας; ἀλλὰ καὶ εἰσποιεῖν ἑμαυτὸν εἰς τόπον ὃν εὐτύχησεν ἕτερος, λογικῆς κατασκάσεως ἀλλότριον εἶναι δοκῶ· ἀλλ' εὐτυχοίης, ὦ ἄριστε, τῆς εἰς ἐμὲ καὶ τὴν πόλιν αὐτὴν προαιρέσεως.

ΟΑ'. ΩΡΙΩΝΙ.

Περιττὸν οἶμαι γράφειν πρὸς ἄνδρα τὴν πρὸς ὑμᾶς λοιπὸν ὀνειροπολοῦντα καταγωγήν, ὅπως ἅψῃ τὸν ὑμέναιον καὶ γένηται νυμφίος παρθένου καλῆς· δίκαιον γὰρ ἐρῶντι χαρίσασθαι τῆς ἐρωμένης τὸν ἔπαινον, δι' ἣν ἀπὼν τῷ σώματι ἐρωτικὰ τῇ καρδίᾳ πηδᾷς· καὶ πρὸς ἡμᾶς ἀνεπτόησαι, καὶ τὰ παρόντα σοι μικρὰ τῆς παρ' ἀνθρώποις εὐδαιμονίας ὄντα γνωρίσματα· μόνη δέ σοι πόλις τῶν σῶν παιδικῶν χωρίον εἶναι δοκεῖ, καὶ τοῦ Βυζαντίου τάχα σεμνότερον· καὶ δέδοικα μὴ τοῦ πόθου πολλοῦ ῥεύσαντος, μηδὲ τοῖς φίλοις χαίρειν εἰπών, ἐξαίφνης στέλλοιο πρὸς ἡμᾶς τοῦ πλοῦ τὸ μῆκος μεμφόμενος· ἀλλὰ ταῦτα μὲν παιζόντων· ἐπανήκοις δέ ποτε σώφρονι λογισμῷ πρὸς παίδων γονὴν ἐπειγόμενος.

ΟΒ'. ΑΝΑΤΟΛΙΩ.

Πολλά μοι λαμπρὰ τὰ συνιστῶντα τὸν νέον· πρῶτον καὶ μέγιστον τῆς ὑμετέρας θεοσεβείας τὰ γράμματα· εἶτα πατὴρ ἀγαθὸς, ἐκ πρώτης πείρας πρὸς εὔνοιαν ἐφελκόμενος· πρὸς δὲ τούτοις τῆς τέχνης ὁ νόμος, εὐθύνας ἀπειλῶν ἀκριβεῖς εἴ τι τῶν προσηκόντων παρίδοιμι· τάχα δὲ καὶ ἡ τοῦ νέου σπουδὴ μοῖραν οὐκ ἐλαχίστην παρέξεται· λοιπὸν ἡμῖν αἰτεῖσθαι τὴν ἐκ τοῦ θείου ῥοπὴν, μεθ' ἧς καὶ μόνος ἐστὶν πρὸς πέρας ἐλθεῖν τὴν προαίρεσιν.

ΟΓ'. ΔΩΡΟΘΕΩ.

Δεινὸς ἄρα τις ἦσθα πτερὰ περιβάλλειν ᾧπερ ἂν ἐθέλεις, καὶ δείκνυσθαι μετάρσιον· σοῖς γὰρ γράμμασι πτερωθεὶς, πανταχοῦ γ' ἐδόκουν εἶναι, καθάπερ ἔφης, τῇ φήμῃ, περιεπόλουν δὲ πόλεις ὁπόσας ἄνθρωποι νέμονται, καὶ μέχρι τῶν βαρβάρων διῆειν κουφῇ διανοίᾳ φερόμενος, καὶ πᾶν ἔθνος ἐπὶ λόγοις ἐδόκει με στεφανοῦν· καὶ ἁπλῶς εἰπεῖν διὰ τὴν σὴν ἐπιστολὴν ἠγνόουν ὅ τι γένωμαι· ἕως μέ τις θεῶν τῶν σῶν ἀνῆρπασε πτερῶν, καὶ τῆς πλάνης μόλις παυσάμενος, Τί ταῦτα πάσχω, φημί; Σκόπει τὸν γράψαντα, καὶ λογίζου τὴν εὔνοιαν, καὶ θαύμασαι ὅσα πείθειν οἶδε τῆς φιλίας ὁ πόθος· καὶ τὰ μὴ ὄντα γὰρ ἡγεῖσθαι ποιεῖ· καὶ τὰ ψευδῆ τιμᾷν ὡς ἀληθῆ· ἐντεῦθεν οἶμαι τῶν ἐπαίνων ἁπλήστως ἔχειν, καὶ πάντα λέγων εὐχερῶς· καὶ ταῦτα δοκεῖ τῶν ὑπαρχόντων ἐλάττονα· μέτρον δέ σοι τῶν ἐπαίνων ἡ γνώμη, μηδὲν ἀρκεῖν ἡγουμένη πρὸς ἔπαινον· ἀλλ' ἐπίσχες, πρὸς φίλου, τοιαῦτα γράφων πρὸς ἄνδρα μικρὸν εἰς ἑαυτὸν ὁρῶντα, καὶ τοῖς γράμμασιν αἰσχυνόμενον (1).

NOTÆ.

(1) Post hanc ad Dorotheum epistolam, alia scribitur in codice Laurentiano ad eumdem, teste Bandinio, quæ incipit, Πάλιν εὐσεβείας καιρὸς καὶ πάλιν πρὸς τὴν ὑμετέραν σοφίαν ὁ δρόμος. Hæc qui-

Digitized by Google

ΟΔ'. ΠΑΓΚΡΑΤΙΩ.

Οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλε, φησὶν Αἰσχύλος, ἐπαινεῖν τινα προελόμενος· τοιοῦτο ἡμῖν ἀνεφάνης· οὐ τοῦτο δὴ τὸ κοινὸν μέχρι τοῦ παρεῖναι φιλίαν ἐπιδεικνὺς, οὐδὲ μετρῶν τῷ τόπῳ τὴν εὔνοιαν, ἀλλ' ἢ κρεῖττον εἶναι καὶ σαυτὸν νικᾷν ἐπειγόμενος· εἰκότως ἄρα σε τῆς ἐμῆς διανοίας οὐκ οἶδεν ὑποβλέπειν ἡ λήθη. Ἀλλ' ἔπεισί τί μοι Σωκρατικὸν ἀεὶ λέγειν, ὡς εἰ ἐγὼ Παγκράτιον ἀγνοῶ, καὶ ἐμαυτοῦ ἐπιλέλησμαι, οὗ χορεύει μὲν ἡ γλῶττα ταῖς μούσαις, ἀρετὴ δὲ καθάπερ τέμενος ἄβατον κακίᾳ, τὴν ἱερὰν ψυχὴν ᾠκειώσατο· τοιγαροῦν εὐδαίμων μὲν αὐτὸς τοιαῦτα φέρων γνωρίσματα· καὶ πόλιν οἰκεῖς τὴν κοινὴν τῶν λόγων μητέρα, ἣν ὧραι ποθοῦσαι κατὰ ταύτην ἀλλήλαις ἐσπείσαντο, ἣν προσκλύζει πράως ἡ θάλασσα, καὶ Νεῖλος ἐναγκαλίζεται καθάπερ ἐρωμένῃ περιχυθείς· καὶ πανταχόθεν ἄλση καὶ δένδρα καὶ λήϊα καὶ τοῖς ὀφθαλμοῖς ποικίλα προσβαλοῦσι χάριτες· ἀλλ' ὑμῖν μὲν τὴν εὐδαιμονίαν Θεὸς ἐπαυξήσει, καὶ μισθὸν τῆς ἀρετῆς δωρησάμενος· μετάδος δὲ φίλοις σοῖς σῆς εὐπραξίας, τοῖς ἐκ γλώττης ἀγαθοῖς εὐφραίνων ἡμᾶς, καὶ πέμπων οἴκοθεν οἰκαδε πρὸς ἡμᾶς τὰ ποιήματα. Οὐ γὰρ δίκαιόν λανθάνειν ἃ τοῖς ἀλλήλοις ἐπιδειχθέντα πλείστην οἴσει τὴν ὄνησιν.

A

LXXIV. PANCRATIO.

Noli optimus videri, sed esse, ait Æschylus, aliquem laudare sibi proponens. Talis nobis apparuisti, non tantum tamen boni publici zelum ostentans ut amicitiam negligas, nec loco tuam circumscribens benevolentiam, sed meliorem esse et de teipso victorem contendens. Te in corde meo nec poterit oblivio delere. Sed in mente mihi venit semper quid socraticum dicere melque sum oblitus, quasi Pancratium non noverim, cujus lingua cum musis saltat, et virtus quasi terra malitiæ impervia sacram habitat animam. Beatus igitur ipse qui tot habes rara et singularia. Urbem habitas communem eloquentiæ matrem in qua horæ benignæ inter se fœdus inierunt, quam dulciter irrigat mare Nilus- B que sicut amans amicam amplectitur, et ex undique lucos, arbores et segetes oculis varias proferunt gratiæ. Sed vobis Deus felicitatem augebit, virtutisque præstabit mercedem. Amicos fac beneficentiæ tuæ participes, lætificans nos linguæ tuæ divitiis et exinde ad nos mittens opera tua. Non enim fas est abscondere ea quæ aliis manifestata multum afferent commodum.

ΟΕ'. ΓΕΣΣΙΩ ΙΑΤΡΟΣΟΦΙΣΤΗ.

Ὁ τὴν ἐπιστολὴν ἐπιδιδοὺς ὑπὸ μητρὶ χήρᾳ τραφεὶς καὶ τὴν τῶν ἀναγκαίων ἔνδειαν αἰτιώμενος, ὅπως οὐχ ὑπὸ νεότητος ἐπαρθεὶς, οὐκ ἐν ἐξουσίᾳ τοῦ πράττειν ὅ τι θέλοι γενόμενος, παρὰ ῥᾳθυμίαν ἀπέκλινεν· ἀλλ' ἐπανορθοῦσθαι τὴν τύχην ἐθέλων, καὶ λόγων ἐρᾷ, καὶ πρὸς τὴν ὑμετέραν γλῶτταν ἐπείγεται· καὶ ἀρχοῦσαν ἀφορμὴν πρὸς εὐσχήμονα βίον ἐξ αὐτῆς ἁρυσάμενος, ὡς ἀρκοῦν ἐστιν ὑμᾶς ἰδεῖν, καὶ τῶν λυπούντων ἔχειν τὴν λύσιν, τῇ παρ' ὑμῶν διδασκαλίᾳ τὰς πρὸς τὸ μέλλον ἐλπίδας ἐπανορθούμενος· ὅθεν τὴν ὑμετέραν γνώμην εἰδὼς, καὶ ὡς πρόκεισθε τοῖς εὖ παθεῖν δεομένοις, θαῤῥῶν ὑμῖν προσάγω τὸν νέον, ἀντὶ μεγάλης δωρεᾶς ὕλην ὑμῖν χορηγῶν τοῦ δύνασθαι πάλιν γεωργῆσαι.

C

LXXV. GESSIO PERITO MEDICO.

Qui hanc vobis feret epistolam a matre vidua enutritus et in omnium necessariorum inopia educatus, nec a juventute erectus, aut in libertate positus agendi quid vellet, ad ignaviam declinavit. Sed sortis injurias corrigere volens eloquentiæque cupidus ad linguam vestram pellitur; et ex ea sufficientem ad honestam vitam sumens occasionem, ut videre poteritis, et afflictionum finem obtinens, vestra disciplina suas spes eriget in futurum. Vestram dispositionem et in indigentes compassionem cum bene noverim, illum ad vos mittere juvenem non timeo, loco magnæ mercedis materiam ut iterum possitis laborare præstans.

ΟΣ'. ΦΙΛΙΠΠΩ.

Μόλις ἡμᾶς ἀμηχανοῦντας μετέβαλες, γράψας ὡς ᾄδειν ἐθέλεις ὑμέναιον, καὶ παίδων γενέσθαι πατήρ· πολλῶν γὰρ ἐπιδραμοῦσα φήμη, ἄλλους ἀλλαχόθεν ἐπήγετο λόγους· καὶ πάντων διηγουμένων σιωπῶντες ἡμεῖς ἠκροώμεθα, τῶν ὑμετέρων ἀγνοοῦντες τὰ μέγιστα, καὶ τοῖς πυνθανομένοις παίζειν δοκοῦντες, ὡς ἀγνοεῖν ἐπίτηδες προσποιούμενοι. Νυνὶ δὲ τοῖς γραφεῖσιν ἡσθεὶς, ἡδέως ἂν εὐθὺς Περσεὺς ἐγενόμην ὑπόπτερος, καὶ τοῦ πελάγους ὑπερπτὰς, καὶ πρὸς ὑμᾶς ἀφικόμενος, παστάδα κατεῖδον ἱερὰν, καὶ τὸ πάντων ἥδιστον θέαμα, νυμφίον ἐκ φιλοσοφίας ἐρωτικόν· καὶ ὑλικόν τις αὐτὸν ὀνομάζῃ φιλοσόφως ἀποκρινόμενον, ὡς κοσμεῖν ἔδει τὴν γένεσιν, ἔρανον ἀνθ' ἑαυτοῦ χορηγοῦντα, καὶ τὰ εἰκότα πρὸς ταύτην ἀφοσιούμενον· ἐάλως δ' οὖν ὅμως, ὦ βέλτιστε, ὀφέ

D

LXXVI. PHILIPPO.

Consilii inopia laborabamus, omnem dubitationem sustulisti scribens te velle hymenæum canere filiorumque patrem fieri. Multorum sermones fama præcurrens alios alio sparserat. Cum omnium audiebamus narrationes, silebamus, tuorum ignorantes plurima, ludere videbamur interrogantibus, et ignorantiam consulto fingere. Nunc autem iis quæ scripsisti recreati, libenter veloces Persei alas mutuaremur, et mare transilientes ad te veniremus ut sacrum videamus thalamum et quod omnium est jucundissimum spectaculum, hominem ex philosopho amatorem factum. Quis enim crassum diceret illum qui sapienter respondet ornandam esse generationem, qui convivium pro sua parte ordinat conjugique debita reddit. Captus es, o charissime

NOTÆ.

dem deest in codice Vaticano; verumtamen in Laurentiano vicissim desunt reliquæ quæ in Vaticano sequuntur omnes.

Digitized by Google

et tandem novisti amantium sagittas; pulchra tua nympha, aiunt, per gratias, ita ut a philosophia abducere valeat amatorem. Tantum filiorum sis pater virtute genuinorum, ut dicit comœdia; et citius ex vobis videamus puerum qui vultu patrem prædicet, præsertim ipsi sit mansuetudine, magnanimitate, et aliis virtutibus simillimus.

LXXVII. HIERONYMO.

Quam magna de Nilo sentis; nobis occurris in medium agens Ægyptum quasi oblitus quod tua charissima Ægyptus, in potestatem redacta fuerit. Sophisticæ sunt tuæ litteræ fastumque Gorgiæ redolent. Si verborum tuorum bene memini, Nilum dicis per terram irrigare et navigabilem facere regionem olim perviam. Sed hoc quid ad te qui Mercurii incolis urbem quam nec Jupiter pluviosus aspicit et quam præterlabens Nilus in aliam fertur? Et quid fructus colligere mentiris? Nisi serpentes colligere dicis et scorpiones omneque agmen istiusmodi? Quorum ab uno, ut videtur, olim vulneratus, Ho! ho! aiunt, clamavisti; cum autem interea mensam lautam vidisti totus in istam illatus et ei scorpioni valedicens, illud forte comicum ei dixisti: Nunquam sine te mortuus essem. Hæc oportebat scribere, non alienis sese bonis gloriari. Nos silentii accusas nihil nobis dicens. Certe plura dicentes invenies et nobis non dicis Cothocidem cum sophistis irridentem fistularum affectum. Vale, tu et filius et uxor: puero Alexandro ne gravis sis, adolescentiam violenter tractans.

LXXVIII. DIODORO.

Famosum accepi mandatum de quo cum jam pridem vocem emiseram, silebam, obtenti non immemor beneficii neque Gerontii musæ hæredis oblitus. Solis enim vobis successum præbuit sors. Et quis patrem vestrum cum viderit per vos non satiabitur desiderium? Per imaginem fidelem quasi ad originale bene deductus, gratias silentio solvebam, ne loquens minora voto dicerem; et apud me tibi recensita manebit gratia major quam apud regem Persarum qui scit honorare proditionem et Pausaniam Medorum partes agentem. Quamvis optima obtinere velis, o charissime, et operibus animum ostendisti mihi, miserabilem erga me emisisti vocem et a mente mea maxime alienam. Coram judice ipso me pauperem vocas. Quibus maxime indignatus sum, quod ex altitudine philosophiæ decidens tam divitis inhias ut vilia humiliaque verba proferas; neque meam dignitatem respiciens, nec sapientissimum Diogenem qui in pera nuda maximas divitias ponebat. At tandem quamvis ægre fias liber, orbem universum parum ad virtutem conferre putans.

LXXIX. MARCELLO.

Præsentiarum litterarum causa non fuit audacia, nec decori terminis standi ignorantia. Sed vir Deo

* lta codex.

πότε τὰ τῶν ἐρώντων μανθάνεις τοξεύματα. Ἡ τε νύμφη καλὴ, φησὶ, νὴ τὰς Χάριτας, καὶ ἱκανὴ φιλοσοφίας παρατρέψαι τὸν ἐραστήν· ἀνὴρ μόνον γένου παίδων ἐπ' ἀρετῇ γνησίων, ἡ κωμῳδία φησί· καὶ θᾶττον ἐξ ὑμῶν ἴδοιμι παῖδα, διὰ τῆς θέας τὸν πατέρα κηρύττοντα, μᾶλλον πραότητι καὶ μεγαλοψυχίᾳ, καὶ ταῖς ἄλλαις ἀρεταῖς παραπλήσιον.

OZ'. ΙΕΡΩΝΥΜΩ.

Ὡς μεγάλα [ἐπὶ] τῷ Νείλῳ φρονεῖς, καὶ ἀντεξάγεις ἡμῖν εἰς μέσον ἄγων τὴν Αἴγυπτον, ὥσπερ ἀλούσης τῆς φιλτάτης εἰς λήθην ἐλθών· ὡς καὶ σοφιστικὰ δέ σου τὰ γράμματα, καὶ τὸν Γοργίου τύφον ἐδόκουν ὁρᾷν! Ὕειν γὰρ τὸν Νεῖλον ἔφης ἐκ γῆς, εἴ τί με μὴ τῶν ῥημάτων παρέλαθε, καὶ πλωτὴν ποιεῖν τὴν πάλαι βατήν· τί δέ γε τοῦτο πρὸς σὲ τὴν Ἑρμοῦ κατοικοῦντα, ἣν οὔτε Ζεὺς ὑέτειος ἐφορᾷ, καὶ παρατρέχων ὁ Νεῖλος εἰς ἑτέραν ἐπείγεται; τί δὲ καὶ ψευδῶς ὀπωρίζεσθαι φῄς; πλὴν εἰ μὴ τοὺς ὄφεις ὀπώραν καλεῖς, καὶ σκορπίων ὅσον τε πλῆθος· ὑφ' ὧν τινος, ὡς ἔοικε, πάλαι πληγείς, καὶ, Ἰοὺ, ἰού, φασὶν, κεκραγὼς, εἶτα μεταξὺ τράπεζαν τρυφῶσαν ἰδών, ὅλος ἐπ' αὐτὴν ἐφέρου, τῷ σκορπίῳ χαίρειν λέξας· τοῦτο τάχα που τὸ κωμικὸν πρὸς τοῦτον εἰπών· Μήτε γὰρ θανών ποτε σοῦ χωρὶς εἶην· ταῦτα γράφειν ἐχρῆν, οὐκ ἀλλοτρίοις ἀγαθοῖς ὡραΐζεσθαι· ἀλλὰ καὶ σιωπῇς με γράφῃ, μηδὲν ἡμῖν τὸ παράπαν φθεγγόμενος· ἢ γὰρ ἂν πλείω λέγοντας εὕρες, καὶ οὐκ ἂν ἡμῖν τὸ κοθωκίδην· ἔφης, τὸ τῶν αὐλῶν πάθος τοῖς σοφισταῖς ἐπισκώπτοντα· ἐρῶσο, καὶ τὸ παιδίον καὶ ἡ γυνή· καὶ τῷ παιδὶ Ἀλεξάνδρῳ μὴ βαρὺς ἐπίκεισο, νέαν ἡλικίαν ἐπὶ πολὺ βιαζόμενος.

OH'. ΔΙΟΔΩΡΩ.

Τὸ πολυθρύλλητον δεξάμενος πρόσταγμα, περὶ οὗ πάλαι πάσας ἀφῆκα φωνὰς, σιωπὴν ἦγον, οὐ μετὰ τὸ τυχεῖν ἀμνημονεύσας τῆς χάριτος, οὐδὲ τῆς Γεροντίου μούσης κληρονόμον· μόνοις γὰρ ὑμῖν τὸ πλεονέκτημα παρέσχεν ἡ τύχη· καὶ τίς μὴ ἐκεῖνον ἰδὼν, δι' ὑμῶν ἀποπληρώσει τὸν πόθον; ὥσπερ δι' ἀκριβοῦς εἰκόνος πρὸς τὸ παράδειγμα καλῶς ἀναγόμενος, σιωπῇ τὴν χάριν ἐτίμων, ἵνα μὴ λέγων, ἔλαττον οὗ βούλομαι τύχω φθεγξάμενος· καί σοι κεῖσεται χάρις ἀνάγραπτος παρ' ἐμοὶ μᾶλλον, ἢ παρὰ Πέρσῃ βασιλεῖ τιμᾷν εἰδότι προδοσίαν καὶ Παυσανίαν Μηδίζοντα· εἰ καὶ τὰ μάλιστα τυχεῖν πάντως ἐθέλων, ὦ βέλτιστε, καὶ πρὸς ἔργον ἐνέγκας τὴν γνώμην, ἐλεεινὴν ὑπὲρ ἡμῶν ἀφῆκας φωνὴν, καὶ πόρρω λίαν ἡμετέρου φρονήματος· παρὰ αὐτῷ γὰρ τῷ δικαστῇ πτωχοὺς ἡμᾶς ἐνεκάλεις· ἐφ' οἷς ἠγανάκτησα μάλιστα, εἰ τοσοῦτον κέχηνας πρὸς τὴν ὕλην, φιλοσοφίας ὕψους ὑποπεσὼν, ὡς χρημάτων χάριν, ἀγεννῆ καὶ ταπεινὰ προσφθέγγεσθαι ῥήματα. Καὶ μήτε τὴν ἐμὴν ἀξίαν σκοπεῖν, μήτε τὸν σοφώτατον Διογένην, ὃν ἐν ψιλῇ τῇ πήρᾳ τὸν μέγιστον πλοῦτον ὡρίζετο· ἀλλὰ γενοῦ μόλις ἐλεύθερος, σμικρόν τι χρῆμα πρὸς τὴν ἀρετὴν τὴν οἰκουμένην ἡγούμενος.

OΘ'. ΜΑΡΚΕΛΛΩ.

Τῶν παρόντων γραμμάτων οὐ θράσος αἴτιον, οὐδὲ τὸ μὴ μένειν ἐπὶ τῶν οἰκείων ὅρων εἰδέναι· ἀλλ'

Digitized by Google

ἀνὴρ Θεῷ τε φίλος καὶ πάσης ἀνάπλεως ἀρετῆς, ὃν οὐ πέπεικε τὰς πρὸς ὑμᾶς ὑποσχέσεις ὑπερορᾶν, οὐ τὸ νῦν ἐξ Αἰγύπτου μόλις ἐλθεῖν, οὐ φροντιστήριον εὐπρεπὲς, οὐ χειμὼν ἀπειλούμενος, οὐ πέλαγος ἐμποδὼν, οὐχ ὁδοιπορία μακρὰ, ἀρετὴν δὲ μίαν εἰδὼς τὸ πληροῦν ἔργῳ τὰς ὑποσχέσεις· καὶ πρὸς ἅπαντας ὁμοίως γίνεσθαι παραπλήσιον, ὅλος ὁρᾷ πρὸς ὑμᾶς· ἀλλὰ καὶ θᾶττον ἥξειν παρ' ἡμᾶς καταγγέλλεται· καὶ πέπεισμαι ῥᾳδίως, ἐκ τῶν πρὸς ὑμᾶς ὑποσχέσεων τὴν πεῖραν λαβών· ὑπόλοιπον τοίνυν ὑμῖν κρατεῖσθαι· καὶ πρέπον ἂν εἴη μὴ κρατεῖν ἐθέλειν ἄνδρα μηδὲν οὕτω δεινὸν ἡγούμενον, ὡς τὴν τοῦ παραβαίνειν ἀνάγκην, ἅπερ ἐπήγγελται· πέμπε τοίνυν τάχος τὸν ἄνδρα, τὴν ὑμετέραν φιλανθρωπίαν πρὸς ἡμᾶς ἀφηγούμενον.

A amicus et omnis virtutis plenus quem ut promissiones tibi factas negligeret inducere potuerunt nec recens ex Ægypto adventus, nec jucundissima solitudo, nec maris impedimentum, nec itinera longa: unam virtutem noscens, suas scilicet implere promissiones, et omnibus se pari modo affinem præbere, ad te nunc totus respicit. Sed et nuntiatur ad nos cito venturum. Quod facile credo experientiam ex promissionibus tibi factis sumens. Superest tamen ut a te retineatur; et deceret nolle cogere hominem qui nihil tam reformidat quam necessitatem transgrediendi quæ imperata sunt. Mitte ergo cito virum qui tuam in me humanitatem commemoret.

Π'. ΣΑΒΙΝΩ.

Σὺ μὲν ὡς ἐν ὀνείδει πενίαν προσφέρεις ἐμοὶ, καὶ θηρίον ἐξωλέστατον εἶναί σοι τὸ χρῆμα δοκεῖ· καὶ τὸ δὴ μέγιστον, Ἶρος ἐγὼ παρὰ σοὶ καὶ τῶν καθημέραν ἴσως ἐπιδεής· καὶ τί γὰρ οὐκ ἂν εἴποις ἀρετῆς ὁμοῦ καὶ φιλοσοφίας ἐκπεπτωκὼς, ἐλεῶν μὲν ἃ γε θαυμάζειν ἐχρῆν, μεγάλων δέ τινων ἐστερῆσθαι νομίζων τὸν ὑψηλόν τε καὶ κοῦφον, καὶ μὴ τῷ βάρει τῆς ὕλης πρὸς τὰ κάτω φερόμενον; τῇ γαστρὶ γὰρ τὴν εὐδαιμονίαν μετρῶν, καὶ δόξαις ἀνθρώπων προσκείμενος, ἐκμισθοῖς μὲν εἰς ἃ μὴ θέμις τὴν γλῶτταν, κυκᾷς δὲ τὰ δικαστήρια· πάρεργον δέ σου τῆς ἀπάτης οἱ δῆμοι· πλουσίων δὲ θύρας ἀράττεις· κἂν τις ἐστιᾷν οἶδε καλῶς, ἀπεῖπεν ὑπὸ σοῦ θαυμαζόμενος· ἑορτὴ δέ σου λαμπρὰ, ἐσθὴς ποικίλη, καὶ βάδισμα σοβαρὸν, καὶ βλέμμα τῇδε κἀκεῖσε χεόμενον· καὶ πανταχοῦ σοι τὰ ὦτα, καθάπερ ὁ Μίδας, εἴ πού τι φθέγξαιτο γύναιον τὴν σὴν σκηνὴν ἐκπλητόμενον· ἀλλὰ μέχρι δή τινος, ὕπνῳ μακρῷ πεδηθεὶς οἷά τις Ἐνδυμίων, πρὸς ἀρετὴν οὐκ ἀνίστασαι; Παῦσαι λοιπὸν πρὸς τὸ σωμάτιον κεχηνὼς, καὶ κατὰ σαυτοῦ τρέφων τὸ δεσμωτήριον· παῦσαι χρυσίον ὀνειροπολῶν, καὶ ἀργύρου πλῆθος ἀεὶ φανταζόμενος, καὶ πολλὰς ἀρχὰς τῇ διανοίᾳ περινοστῶν· τὰ ἔνδον οἷα μηδενὶ τῶν φίλων· ἀλλ' αὐτομόλησον πρὸς ἡμᾶς, εἰ δοκεῖ. Καὶ τὴν κοινὴν θεὸν τὴν πενίαν προσκύνει, καὶ φιλοῦσαν ἐπίγνωθι· καὶ γὰρ σὲ περιέπει μᾶλλον ἢπερ ἡμᾶς, καὶ φιλήσειν ἔτι κατεπήγγελται.

B C

LXXX. SABINO.

Tu vero mihi paupertatem in opprobrium vertis, fera exitiosissima tibi esse videntur divitiæ; et hoc sane maximum; Irus ego sum apud te et necessitatibus quotidianis prope indigens. Quid enim non diceres cum de virtute simul et philosophia excideris, miserans super ea quæ essent admiranda, magnis quibusdam privari putans eum qui altus est et levis et materialium pondere ad infima non illatus? Felicitatem ventre metiris, opinionibus hominum deditus, immistus iis quæ loqui non licet, judicia perturbas. Plebis negotia negligis, divitum pulsas ostia. Si quis tantum scit convivium apponere, tuam obtinet admirationem. Festa tibi magnifica, vestes variæ, incessus venerabilis, aspectus huc illuc effusus. Ubique tibi aures, Midas, si quid dicat mulierecula tabernaculum tuum admirans. Sed usquequo longo somno irretitus, quasi quidam Endymion ad virtutem non assurgis; desine laudem ad corporalia hiare et in temetipso carcerem nutrire. Desine aurea somniare, argenteos montes tibi effingere, menteque multas volvere dignitates. Interiora qualia nulli amicorum. Sed ad nos fuge, si tibi videtur. Communem paupertatem ut Deum reverere et amantem agnosce. Tibi magis obsequetur quam nobis teque adhuc a se amatum iri promisit.

ΠΑ'. ΔΩΡΟΘΕΩ.

Ὅσον ἐλύπεις ἀπαίρων, οὐκ ἂν ἤλπισα προλαβὼν, εἰ μὴ τὴν πεῖραν ἔσχον διδάσκαλον· ἐξ οὗ γὰρ ἡμᾶς ὤχου καταλιπὼν, οὐκ ἐπαυσάμην μετὰ σοῦ τῇ διανοίᾳ παλινοστῶν, καὶ λιμένας καὶ θάλατταν διαγράφων ἐν ἑαυτῷ. Καὶ, Κλῦθι, Ποσείδαον γαιήοχε, πολλάκις εἰπὼν, ἠξίουν εὐμενῆ σοι παρέχειν τὴν θάλατταν· καὶ τοῦ πλοῦ τὰς ἡμέρας ἐπὶ τῶν δακτύλων ἐτίθουν· καὶ οὕτως ὅλος ἐτύγχανον παρὰ σοὶ, ὡς καὶ καλέσαι τινὰ πειραθεὶς, ἔλαθον πολλάκις Δωρόθεον προσειπών· καὶ ὁ μὲν ἐγέλα, ἐγὼ δὲ διαμαρτάνων ἠχθόμην· σὺ δὲ, ἴσθι, ἠγνόεις, ὁπόσον ἡμῖν ἐναπέθου φίλτρον. Πολλάκις προσιόντα τινὰ πόρρωθεν θεασάμενος, σὲ, μὰ τοὺς θεοὺς, ἐδόκουν ὁρᾷν, πρὸς τὸ τῆς διανοίας βούλημα, τῶν ὀφθαλμῶν ῥᾳδίως ἀπατώμενον· τῆς δὲ πλάνης μόλις ἀπήλλαγμαι, γράμματα δεξάμενος παρὰ σοῦ, καὶ θεραπεύσας τὸν ἔρωτα.

D

LXXXI. DOROTHEO.

Nisi experientia didicissem, nunquam credidissem tantam me ex tuo discessu afflictionem accepturum. Ex quo abiens me dereliquisti, non cessavi tecum mente redire, portus et mare in meipso describens, et iteratis vicibus dicens audi me, Neptune, qui terras ambis, illum secundum tibi mare dare precabar; dies navigii notabam digitis, et ita totus tecum versabar ut si quem tentarem appellare, sæpe me latuit Dorotheum vocare; ridebat ille, ego vero de errore dolebam. Si ignores, scito quantum in me philtram injecisti: sæpe cum aspicerem aliquem procul venientem, te, hercle, videre putabam, mentis voluntate decipiente oculos. Ab errore vix liberor dum litteras tuas, quæ medelam afferunt amori, accipio.

Digitized by Google

LXXXII. STEPHANO.

Tuam celebritatem denuntiant omnia in quibus viros bonos cognoscere subsistit; sicut expertorum testimonium, superatur actis sermo, postque res esse videtur; studium quod semper erga me, maximo meo honori, habuisti, nunc præsertim pluris facio, cum tantum virum mihi contigerit juxta brevissimum viæ intervallum abesse; quamvis simplicibus litteris uterctur, non possem respondere jubenti; adeo magna mihi incumbit molestia tua discessione afflicto, et omnis vitæ tuæ virtutem desiderans, et quæcunque præveniens denuntiat fama, experientia fundata; ita ut parum abesset quin cum qua forte indutus eram veste venirem familiaribus meis non valedicens. Sed quædam cogitatio subit in me excitato, censenti nihil despicere patriam, in qua primum solem vidi, et pulchrius esse erga illam, quæ justa sunt, servare, quam aurum possidere; et tantos exteros circa me præsentes contemnere.

LXXXIII. PETRO.

Gratus Epiphanius cui tuis litteris magnam benevolentiam tribuis, mihi amicitia vincitur; magnam in omnibus diligentiam ostendit, quæ sunt juvenis non manifestans, sed totus litteris deditus, reflexionique intentus; quod argumentum est calumniam contra illum fuisse instructam, falsumque illud videri quod olim denuntiatum; otiosorum enim ista et mentis ex irrationali otio in ea quæ non deberet, illatæ. Isocratis obediens præceptis, et consumens otium vitæ audiendo sermones, non dat calumniatori motivum merito calumniandi; quamvis ipse sileat, vitam habet ad laudem inducentem; utinam juvenis magis intendat studio, nostraque de illo spes non sit frustrata.

LXXXIV. ZACHARIÆ ET PHILIPPO FRATRIBUS.

Admirabilis Timotheus, hanc ferens epistolam, utrique vestrum scribendi in præsenti est ratio; patre ortus mansueto maximeque tranquillus in seipso genitorem circumfert, morum verecundiam vultu suo manifestans; erubescit enim subito, si quis illum laudet, si solum aspicere velit. Hic propterea regiam urbem venit, indigetque vestra auctoritate in quibus poteritis, auxilium facile illi præbente. Illud facientes grati eritis viris bonis, quibus nihil melius cognoscitur quam colere virtutem.

LXXXV. IISDEM.

Præsens annus, ut videtur, frequentes a nobis preces perferet, justas tamen, et dignum laude prætextum habentes, si quis bona mente præditus, et moribus Græcus, beneficium se præstare malit quam priorem accipere. Ea porro impræsentiarum indigentia. Nilus, vir celeberrimus, qui vitam Deo consecravit, in urbe quidem habitat, matre de ipso sollicita, illius senectutem simul et inde orientem infirmitatem fovens. Neque tamen minus quam

ΠΒ'. ΣΤΕΦΑΝΩ.

Τὴν ὑμετέραν λαμπρότητα κηρύττει μὲν ὅσα τοὺς ἀγαθοὺς γνωρίζειν ἄνδρας ἐπίσταται· ὡς δὲ τῶν πειραθέντων ἡ μαρτυρία, νικᾶται τοῖς ἔργοις ὁ λόγος, καὶ τῶν πραγμάτων κατόπιν εἶναι δοκεῖ· τὴν δὲ περὶ ἐμὲ σπουδὴν ἀεὶ μείζονι παραδεδωκὼς θαύματι, νῦν οὐχ ἥκιστα τοῦτο ποιῶ, ὅτεπερ ἄνδρα μοι τοσοῦτον ἔπεισεν ἐπὶ μικρότατον μῆκος ὁδοῦ θεῖναι· ὡς εἰ καὶ ψιλοῖς ἐχρήσατο γράμμασιν, οὐκ ἂν ἔσχον ἀντιλέγειν κελεύοντι· οὕτω δέ μοι βαρὺ φορτίον ἐπέθηκεν αἰδουμένῳ τὴν ἄφιξιν, καὶ τοῦ παντὸς βίου τὴν ἀρετήν· καὶ ὅσα προλαβοῦσα κηρύττει φήμη, βεβαιωθεῖσα τῇ πείρᾳ· ὥστε μικροῦ δεῖν ὡς εἶχον σχήματος εἰπόμην, μηδὲ τοῖς οἰκείοις χαίρειν εἰπών· ἀλλά μέ τις ἔννοια μόλις ἐπέσχεν ὁρμῶντα, λογιζόμενον τὸ μηδὲν ὑπεροράν πατρίδος, ἐν ᾗ πρῶτον εἶδον τὸν ἥλιον· καὶ ὡς καλὸν τὰ πρὸς ταύτην δίκαια φυλάττειν, ἢ πολὺ κεκτῆσθαι χρυσίον· καὶ ξένους τοσούτους δι' ἐμὲ παρόντας ὑπεριδεῖν.

ΠΓ'. ΠΕΤΡΩ.

Ὁ καλὸς Ἐπιφάνιος τοῖς ὑμετέροις γράμμασι πλείστην ἐπαγόμενος εὔνοιαν, συνέστη μὲν οὕτως ἐμοί, σπουδὴν δὲ πᾶσαν ἐπεδείξατο λογικήν, μηδὲ τῶν ὅσα φέρει νεότης ἐπιδεικνύμενος, ἀλλ' ὅλον αὐτὸν τοῖς λόγοις ἐνδιδοὺς καὶ τῇ μελέτῃ προσκαρτερῶν· ὃ δὴ καὶ τεκμήριον εἶναι δοκεῖ τοῦ τὴν κατηγορίαν πεπλᾶσθαι· καὶ ψευδὲς εἶναί που τὸ πάλαι θρυλλούμενον· ἀργούντων γὰρ ἐκεῖνα καὶ διανοίας ἐξ ἀλόγου σχολῆς ἐφ' ἃ μὴ δεῖ φερομένης. Ἰσοκράτει δέ τις πειθόμενος καὶ καταναλίσκων τὴν τοῦ βίου σχολὴν εἰς τὴν τῶν λόγων φιλοκαλίαν, οὐ δίδωσι συκοφάντῃ λόγον ὡς εἰκότως ἅρα κατηγορεῖ· κἂν γὰρ αὐτὸς σιγᾷῃ, τὸν βίον ἔχει πρὸς ἀπολογίαν ἀρκοῦντα· γένοιτο δὲ καὶ τὸν νέον μᾶλλον ἐπιδιδόναι πρὸς λόγους, καὶ ἡμᾶς τῆς ἐπὶ τούτῳ μὴ διαμαρτάνειν ἐλπίδος.

ΠΔ'. ΖΑΧΑΡΙᾼ ΚΑΙ ΦΙΛΙΠΠΩ ΑΔΕΛΦΟΙΣ.

Ὁ θαυμαστὸς Τιμόθεος, ὁ ταύτην φέρων τὴν ἐπιστολὴν τοῦ μὲν ἀλλήλοις γράφειν ἐπὶ τοῦ παρόντος ἐστὶν ἀρχή· πατρὸς δὲ τυγχάνων ἐπιεικοῦς καὶ λίαν ἀπράγμονος ἐν ἑαυτῷ περιφέρει τὸν φύσαντα, τὴν τῶν τρόπων εὐσέβειαν ἐπὶ τοῦ προσώπου δεικνύς· ἐρυθριᾷ γοῦν ἑτοίμως, κἄν τις αὐτὸν ἐπαινῇ, κἂν ἀποβλέπειν μόνον ἐθέλῃ. Οὗτος ὅτου δὴ χάριν τὴν βασιλίδα πόλιν κατείχετο, καὶ δεῖται τῆς ὑμετέρας ῥοπῆς, ἐν οἷς ἂν δύνησθε συμμαχίαν ἄλυπον χορηγούσης· τοῦτο δὲ ποιοῦντες, ἀνδράσιν ἔσεσθε κεχαρισμένοι χρηστοῖς· οὗ μεῖζον οὐδὲν τοῖς τιμᾷν ἐγνωκόσι τὴν ἀρετήν.

ΠΕ'. *Τοῖς αὐτοῖς.*

Τὸ παρὸν, ὡς ἔοικεν, ἔτος δεήσεις παρ' ἡμῶν διακομίσει πυκνὰς, πλὴν οὖν δικαίας καὶ πρόφασιν ἐχούσας ἐπαινουμένην, ἄν τις εὐγνώμων καὶ τὸν τρόπον Ἑλληνικὸς, χάριν ἂν ἡσθείη διδούς, ἢ προτέρων δεχόμενος· τοιαύτη δέ τις τῶν παρόντων ἡ χρεία. Νεῖλος ὁ λογιώτατος Θεῷ τὸν βίον ἀναθεὶς, πόλιν μὲν οἰκεῖ μητρὸς ἐπ' αὐτῷ σαλευούσης, γῆρας ὁμοῦ θεραπεύων, καὶ τὴν ἐντεῦθεν ἀσθένειαν· οὐδ' ἂν δὲ ἧττον πολλῶν, ἴσθι, ἐπ' ἐρημίας οἰκούντων ἐπ' εὐσε-

Digitized by Google

θείᾳ γνωρίζεται· οἰκίαν δὲ κεκτημένος τόπον ὑψηλὸν ἐχούσης τὸν παρακείμενον, γείτονος ἀπέλαυσε πονηροῦ, ὃς θυρίδας κατὰ τοῦ μὴ προσήκοντος ψιλοῦ νεωτερίσας τινάς, πρὸς μὲν τὸ παρὸν ὡμολόγει μηδὲν ἐμποδὼν ἔσεσθαι, ταύτας οἰκοδομεῖν βουλομένῳ· ὡς δὲ νῦν εἰς ἔργον ἦλθε ὁ λόγος, κώλυμα τὰς θυρίδας προβάλλεται· ὥσπερ δίκην ἀπαιτῶν ὅτι παρεῖδε καινοτομούμενος· ὁρῶν δὲ τοῖς δικαίοις πανταχόθεν ἑαυτὸν ἐξωθούμενον, παρείσδυσιν ἑαυτῷ δυναστείας ἐπινοεῖ· καὶ τὸ μέγιστον ἀνδρὸς τοῖς δικαίοις ἐγνωκότος ἀεί· εἰς γὰρ τὸν πολὺν ἐκεῖνον ὠθεῖται Νεστόριον, τῷ μὴ παρεῖναι τὸν ἄνδρα θαῤῥῶν· τοῖς γὰρ αὐτῷ προσήκουσιν εἰς συμμαχίαν χρησάμενος, ὠνῆ εἰς αὐτόν τινα πρὸς κακουργίαν ἐπλάσατο τὸ δίκαιον ὄνομα· καὶ πρὸς ἀδικίαν ὕλην λαβὼν, καὶ τοὺς κατ' αὐτοῦ πανταχόθεν ἐπαίνους διαβάλλειν πειρώμενος· ἀλλὰ ταῦτα μαθὼν δι' ὑμῶν, κωλύσει ταῖς ἀπειλαῖς τὸν ἀδικοῦντα δι' ἀνδρὸς τιμῶντος τὰ δίκαια.

A multi in solitudine degentes propter pietatem celebratur. Cum autem domum acquisierit, quæ locum excelsum propinquum habet, vicino quodam improbo utitur, quæ fenestras contra jus omne innovans, præsenti quidem tempore profitebatur nihil obstaculi fore eas ædificare volenti. Nunc autem cum ad opus sermo devenit, fenestras impedimentum prætendit, quasi justitiam repetens quod innovans jus prætermiserit. Cum vero animadvertat se undique a jure extrusum, ad potentiam confugere excogitat, atque imo viri cujusdam qui justitiam semper diligere statuit. Illum enim præstantissimum invadit Nestorium, non adesse hominem confidens. Propinquos in auxilium advocans, pretium sibi aliquod ad nocendum æquitatis famam effinxit; et ad injuriam materiam capit et proprias laudes undique spargere nititur. Sed postquam hæc per nos didicerit, minis prohibebit eum qui per virum juris observantissimum injuriam facit.

B

ΠϚ'. ΩΡΙΩΝΙ.

Ὁ μὲν . . . (1) χαριεῖσθαι τῇ παιδεύσει τῇ σῇ εἴ γε δεῖ γράμματα . . . καὶ ταῦτα δήπου λέγων ἐπὶ τοῦ γράφειν ἂν . . . τῆς μὲν εἰς ὑμᾶς εὐνοίας τὸν ἄνδρα τεθαύμακα μηδὲ τὸν . . . εἰδόμενον ἐξ ὧν οἶδεν ὑμῖν χαριούμενος· τὴν δὲ σιωπὴν ἦγα . . . ἐρυθριῶν· καὶ σοφὸν ἔχων ἐπιστεῖλαι μηδέν. Ὡς γὰρ καὶ Πλάτωνι τῷ σοφωτάτῳ δοκεῖ, οὐκ ἔστιν ἀρετὴν εἰδέναι τι μὴ τοῖς ἔργοις πρὸς ἀρετὴν ἐπειγόμενον· ὃ δὲ μὴ ἔστιν εἰδέναι, κἂν ἐρυθριάσαιμι περὶ τούτου φθεγγόμενος· καὶ ταῦτα ποιῶν ὥσπερ ἂν εἴ τις μουσικὴν μηδ' ὄναρ εἰδὼς, εἶτά τις Ὀρφεὺς εἶναι λέγοι, τὰ θηρία τῇ λύρᾳ χειρούμενος· ἀλλ' εἰ δέοι τῶν κρουμάτων ἐφάψασθαι, γέλως εὐθὺς ὁ κόμπος, καὶ πάντα δὴ ῥᾳδίως ἐλέγχεται· πόθεν οὖν [δ] μὴ πέφυκα παρὰ τῷ σῷ θείῳ νομίζομαι; ἔφης τι πρὸς αὐτὸν πολλάκις νόμῳ δὴ φιλίας ἀποσεμνύνων ἐμέ· ὁ δὲ τὸν πόθον οὐ σκοπῶν, ἀλλ' ἐκ τῶν ἔργων εἶναι τοὺς λόγους οἰόμενος, ἀπαιτεῖ γενέσθαι με τοιοῦτον οἷον με τοῖς λόγοις ἀνέπλασας, καὶ τοῦ σοῦ ψεύδους νῦν εὐθύνας εἰσπράττοντα· καὶ διελέγχω σου τοὺς λόγους, οὐκ ἔχων ἀρετῆς γενέσθαι διδάσκαλος· πλὴν ἐπειδὴ πρὸς σέ μοι τὰ γράμματα, δοκεῖ δὴ πάλιν θαυμάζειν, ἵνα μὴ σαυτὸν ἐλέγχῃς ψευδόμενον.

C

LXXXVI. ORIONI.

Ille quidem (dicit) se disciplinæ tuæ tributurum, si oportet scripta (mea admiratione prosequi), et hæc dicens de (tua) scribendi (arte, non errat). Virum quidem propter hanc in vos benevolentiam miratus sum; non autem illius (miror) prudentiam in iis quæ vobis tribuit. Silentio utor erubescens, et nihil sapiens scribendum habens. Ut enim et doctissimo Platoni videtur, noscere virtutem non licet ei qui non per opera ad virtutem properat. Quod autem scire non licet, de hoc loqui me puderet; et id faciens similis essem, ac si quis musicam ne per somnium quidem sciens, deinde se Orpheum esse diceret, feras lyra mansuefacientem; at vero si oporteret instrumenta attingere, risum statim jactantia moveret, et omnia sane facile redarguerentur. Non igitur qui sum, is a tuo avunculo existimor. Aliquid ei sæpius ex amicitiæ lege dixisti, laudandi mei gratia. Ille autem non amorem considerans, sed ex operibus verba esse dicta putans, me talem esse exigit qualem me verbis effinxisti et tui mendacii rationes repetentem. Tua autem verba sane redarguo, cum non possim virtutis magister fieri. Postquam vero ad te meæ litteræ perveniunt, videtur quidem rursus mirari, ne teipsum mendacem fuisse deprehendas.

D

ΠΖ'. ΔΙΟΔΩΡΩ.

Ὀβολοῖν τοῦ Εὐριπίδου ῥακίων τὴν ἐμὴν οἰκίαν ἔπλησας, ἀδωνάρια πέμψας ἄρυθμα, καθά σοι φίλον καλεῖν, καὶ βλαῦτας ἀμούσους, καὶ ἀφικράτιδας ἐφ' αἷς εἰ καὶ μέγ' οἰμώξειεν ὁ στρατηγὸς Ἰφικράτης οὐδὲ τῆς Ἀττικῆς φερούσαις τεκμήριον. Οὐδὲ γὰρ χάριν τινὰ καὶ πεῖναν μελίττης Ὑμηττίου παρέχονται, οὐδὲ βοῶσι τῇ θέᾳ τὴν Ἀττικὴν, ἐν ᾗ Μαραθὼν καὶ Σαλαμὶς, καὶ ἄνδρες ἐλευθερίας καὶ φρονήματος ἐρασταὶ, οὐ μὰ Δία παρ' ὑμῖν μούσῃ τετελεσμένοι· τὰ γὰρ ὑμέτερα... ἀλλ' εὔστομα κείσθω· μή τι καὶ λάθω φθεγξάμενος· τὰ μὲν σὰ δῶρα τοιαῦτα·

LXXXVII. DIODORO.

Laceris Euripidis vestibus, quæ duobus obolis emerentur, meam domum implesti, venerea sine rhythmo opera mittens, ut te ea vocare juvat, et calceamenta poesi carentia, et Iphicratidas de quibus etiam ingemuissent duo Iphicrates, quippe quæ Atticæ signum non ferant. Non enim gratiam quamdam et famem apis Hymettiæ præstant, nec Atticam ad spectaculum clamose vocant in quæ Marathon et Salamis, et viri libertatis et gloriæ amantes non, hercle, ea quæ apud vos est musa perfecti sint. Vestra enimvero alia prudenter silentio tegam, ne

NOTÆ.

(1) In his lacunis corrupti multo codicis pauca verba perierunt.

Digitized by Google

quid inscius dicam. Talia sunt quidem tua dona. Nostra vero et ipse laudares, cum adeo ventri indulgeas. Gulosus enim cum sis, et ventris explendi curam habeas, et escis magnam felicitatem metiaris, si quid forte jucundi venatus sis, protinus extendis linguam ut quidam Ajax ingentem clypeum. Et testis est hora qua placentam apud alios abripiens, totam statim in os immisisti.

LXXXVIII. CYRIACO.

Quantas filii patribus gratias debeant, non apprime scire licet, nisi quis et ipse filiorum pater sit; ex eo enim amore quo filios complectitur sciet omnino quales in ipsum fuerint genitores. Qui tamen musis indulgent, et ante experimentum ratione verum dijudicant. Unde decet te erga parentes talem esse, qui forte plus quam cæteri benevolentiæ largiuntur. Quapropter me ad hanc scribendam epistolam moverunt, mercedem paternam a te repetentes, ut non erubescas talem esse qualem te volunt, et Deus te in finem tulerit. Tunc enim ipsis mors ipsa levis erit, scientibus qualem sui generis reliquerint successorem.

LXXXIX. ZACHARIÆ ET PHILIPPO FRATRIBUS.

Qui eam pro vobis accepit epistolam, Patris optimi et justitiam colentis et inter omnes justos celebrati filius est. Quandiu Mercurii templum frequentavit adolescens, et naturæ vim ostendit et ardorem intrepidum. Et nunc ad imperatorem ascendit legibus studere volens, ut prodeat orator, vitæ institutum corporis specie revelans, et lingua verba proferens. Non sane justum erat illius ad vos profectionem silentio præterire, qui, cum omnes a me informatos tanquam filios reputetis, et in illum non quamque obtinere benevolentiam exhibebitis.

XC. EUDEMONI.

Celeberrimum Ierium, eum qui apud nos Italorum lingua reos defendit, et bonis moribus magis quam scientia ornatur, non putavi ad vos eumtem mittendum esse silentio. Bonum est enim absentibus vobis semper frui : altera, inquiunt, navigatio est cum absentibus per litteras conversari. Felices tamen quibus jura dividis, et tuæ voci, tanquam tripodi cuidam suspensi sunt, et commune revera spectaculum justitiam ipsis redeuntem videntes, quam præcedent tempus labefactaverat. Supervacaneum autem dicere te in iis in quibus vobis indiget, bene in eum acturum qui vobis hanc epistolam attulerit. Qui enim vitam orando transigit, quomodo non honori habebit orationum patres quos viderit? Redeat igitur annuntians quod audire optamus, te famam factis vincere et majora dare quam accipientes volunt.

XCI. NEPHALIO.

Tu quidem in multis litteris inopiam tuam doles, ego autem divitias et paupertatem contemno, mira tamen paupertate afflictus (adeo indigere et abundare sententia facit, non divitiæ) fortunaque hinc et inde actus. Desine igitur pusillanimiter apud nos

τὰ δὲ ἡμέτερα, κἂν αὐτὸς ἐπαινέσειας οὕτω τῇ γαστρὶ χαριζόμενος· λίχνος γάρ τις ὤν, καὶ τὸ γαστρίζεσθαι μελέτην πεποιημένος, καὶ βρώμασι τὴν μεγάλην εὐδαιμονίαν μετρῶν, εἴ τί που θηράσαις ἡδύ, προτείνεις εὐθέως τὴν γλῶτταν, καθάπερ τις Αἴας τὴν μεγάλην ἀσπίδα· καὶ μάρτυς ὁ καιρὸς ἐν ᾧ τὸν πλακοῦντα παρ' ἑτέρων ἁφήρπασας, ὅλον εὐθὺς παραπέμψας τῷ στόματι.

ΠΗ'. ΚΥΡΙΑΚΩ.

Ὅσον οἱ παῖδες τοῖς πατράσιν ὀφείλουσι χάριτας, οὐκ ἔστιν εἰδέναι πρὸς ἀξίαν, εἰ μή τις καὶ αὐτὸς παίδων ὑπάρχει πατήρ· τό τε γὰρ ἐξ ἧς ἔχει πρὸς τοὺς παῖδας στοργῆς, εἴσεται πάντως ποῖοι πρὸς αὐτὸν ὑπῆρξαν οἱ φύσαντες· πλὴν ὅσοι ταῖς μούσαις ἀνάκεινται, καὶ πρὸ τῆς πείρας λόγῳ τἀληθῆ διακρίνουσιν· ὅθεν σε τοιοῦτον περὶ τοὺς τεκόντας προσήκει γενέσθαι, οἳ τάχα τῶν ἄλλων πλέον εἰς εὔνοιαν συνεισφέρουσι· διό με καὶ πρὸς τὴν παροῦσαν ἐπιστολὴν κεκινήκασι, μισθὸν αἰτοῦντές σε πατρικόν, τὸ μὴ καταισχῦναί σε τοιοῦτον, οἷον αὐτοί τε βούλονται, καὶ Θεὸς εἰς πέρας ἐνέγκοι· τότε γὰρ αὐτοῖς καὶ θάνατος ῥέων, ἐπισταμένοις οἷον διάδοχον τοῦ γένους ἀπέλιπον.

ΠΘ'. ΖΑΧΑΡΙΑ ΚΑΙ ΦΙΛΙΠΠΩ ΑΔΕΛΦΟΙΣ.

Ὁ ταύτην πρὸς ὑμᾶς λαβὼν τὴν ἐπιστολήν, πατρὸς ἀγαθοῦ πέφυκε τοῦ τὰ χρηστὰ τιμῶντος, καὶ ἐν πᾶσι δικαίοις γνωριζομένου· εἰς Ἑρμοῦ δὲ φοιτήσας ὁ νέος, φύσεώς τε ῥώμην ἐπεδείξατο, καὶ προθυμίαν ἀκνοτάτην· καὶ νῦν πρὸς βασιλέα ἀνῆλθε προσλαβεῖν τοὺς νόμους βουλόμενος, ὅπως προέλθῃ ῥήτωρ τὴν πολιτείαν φέρων τῷ σώματι, καὶ τῇ γλώττῃ τοὺς λόγους προβεβλημένος· οὐ δὴ δίκαιον τὴν τούτου πρὸς ὑμᾶς ἄφιξιν παραδοῦναι σιγῇ, οἳ τοὺς παρ' ἐμοῦ τετελεσμένους ἴσά που καὶ παῖδας νομίζοντες, καὶ εἰς τοῦτον εὔνοιαν οὐ τὴν τυχοῦσαν ἐνδείξεσθε.

Ι'. ΕΥΔΑΙΜΟΝΙ.

Τὸν λογιώτατον Ἱέριον τὸν τῆς Ἰταλῶν παρ' ἡμῖν προβεβλημένον φωνῆς, καὶ τρόποις ἀγαθοῖς μᾶλλον ἢ παιδείᾳ κοσμούμενον, οὐκ ᾠήθην δεῖν τὴν πρὸς ὑμᾶς ἰόντα παραπέμψαι σιγῇ· καλὸν μὲν γὰρ ἀπόντων ὑμῶν ἀπολαύειν ἀεί. Δεύτερος δὲ, φασὶ, πλοῦς, τοῖς ἀποῦσι διὰ γραμμάτων προσομιλεῖν· πλὴν εὐδαίμονες ὄντως, οἷς διέπεις τὰ δίκαια, καθάπερ τινὸς τρίποδος τῆς σῆς ἐξηρτημένοι φωνῆς· καὶ κοινὸν ὄντως θέαμα τὴν δίκην αὐτοῖς ἐπανελθοῦσαν ὁρῶντες ἣν προλαβὼν ὁ χρόνος ἠμαύρωσε· περιττὸν δὲ λέγειν ὡς εὖ ποιήσεις ἐν οἷς ὑμῶν δεῖται καὶ τὸν τὴν ἐπιστολὴν ὑμῖν κομισάμενον· ᾧ γὰρ βίος οἱ λόγοι, πῶς οὐ τιμήσει τοὺς τῶν λόγων πατέρας ἰδών; ἡκέτω τοίνυν ἀγγέλλων ἅπερ ἀκούειν εὐχόμεθα, ὡς νικᾷς τῇ πείρᾳ τὴν φήμην, καὶ μείζω δίδως ἢπερ οἱ λαμβάνοντες βούλονται.

ΙΑ'. ΝΗΦΑΛΙΩ.

Σὺ μὲν ἐν πλήθει γραμμάτων τὴν ἀπορίαν θρηνεῖς, ἐγὼ δὲ τὰ χρήματα καὶ τοὺς πλουτοῦντας περιφρονῶ, καίτοι πενίᾳ θαυμαστῇ συνεχόμενος (οὕτως ἄρα τὸ πένεσθαι καὶ πλουτεῖν ἡ γνώμη ποιεῖ, οὐ χρήματα) παρὰ τῆς τύχης τῇδε κἀκεῖσε πλανώμε-

Digitized by Google

νος· τοιγαροῦν παῦσαι μικροψύχως ἡμῖν ὀδυρόμενος, μηδὲ μέγα νομίζων, πλὴν εἰ μή τι φέρει πρὸς ἀρετήν· ὅ τι γὰρ μὴ τοιοῦτον, ἀλλότριον τέ ἐστι καὶ πρὸς ἀπάτην ἐφέλκεται. Ὅθεν οἱ φρονεῖν εἰδότες, ὥσπερ τινὰ μέθην ταῦτα καὶ φλυαρίαν ἀποσεισάμενοι τὴν γῆν καταλιπόντες τῇ γῇ, μεταρσίῳ γνώμῃ περιπολοῦσι τὸν οὐρανόν· τὰς αἰσθήσεις καὶ τὴν ὕλην καὶ τὸ τῆς πλάνης χωρίον ὥσπερ τινὰ χαλεπὴν διανηξάμενοι θάλατταν.

A lamentari; nihilque magnum reputa, nisi quod ad virtutem ducit. Quod enim non hujusmodi est, extraneum est et ad errorem trahit. Unde, qui sapiunt, ea, tanquam ebrietatem quamdam et nugas, excutiunt, terram terræ relinquentes, et sublimi mente cœlum petunt, sensus et materiam et erroris locum ut quoddam sævum mare transnatantes.

ΛΒ'. ΝΕΣΤΟΡΙΩ.

Ἔτι σιγᾷς; ἔτι τῆς τύχης γίνῃ βαρύτερος; ἡμῖν γὰρ εἰς ἔτι νῦν ἀπεστέρησε, σὺ δὲ καὶ μικρῶν ἡμῖν ἐφθόνησας συλλαβῶν, μηδὲ τὸ κοινὸν δὴ τοῦτο τὰ τῶν φίλων μιμούμενος· ἀλλ' ἐγὼ μέν σε καὶ μὴ παρόντα ποθῶ, καὶ μεμνημένος εὐφραίνομαι· καὶ νῦν καιρὸν εὑρὼν, οὐκ οἶδα τιμῆσαι σιγὴν, ἡνίκα δεῖ σε προσερεῖν ἐπιτήδειον· σὺ δὲ εἴ τι μὴ καὶ τοῦτο τῆς πατρίδος ἀπήλαυσας, τὸ μένειν ἐφ' οἷς δή σε πρώην ἐπαίδευσα, μάλιστα μὲν ποθοῦσιν ἐφίστασο· εἰ δὲ μή, μιμοῦ τὴν θέαν τοῖς πράγμασι· καὶ πείσεις ὡς τὴν ἐμὴν διδασκαλίαν τὸ τῆς χώρας οὐδαμῶς ἐνίκησε βάραθρον· οὕτως ἐπαίρομαι πρὸς ἄνδρα διδασκάλου φρονήματος ἀντεχόμενος.

XCII. NESTORIO.

Adhuc siles? Adhuc fortuna fis gravior? Illo nos usque adhuc te privavit, tu vero et paucas nobis invides syllabas, ne illud quidem amicorum commune invitatus. Sed ego te et non præsentem desidero et recordans lætor, nunc cum occasionem reperio, silentium servare nescio, quando te alloqui commodum est. Tu vero nisi et procul a patria illud rejeceris, nempe perseverantiam in iis quæ te olim docebam, multum te desiderantibus redi; sin contra, at saltem tui aspectum imitare actibus; et persuadebis meam doctrinam regionis barathro non esse victam: adeo in virum, magistri studio repletus, invehor.

ΛΓ'. ΖΩΣΙΜΩ ΚΑΙ ΜΑΚΑΡΙΩ.

Οἱ περὶ τὸν σοφώτατον Βαβύλαν ἀφικόμενοι διηγήσαντό μοι προθύμως ἅπερ ἀκούειν μὲν εὔχομαι, πρὶν δὲ λέγειν αὐτοὺς ἠπιστάμην· ἐξ ὧν γὰρ ἐμοὶ φοιτῶντες τὴν περὶ λόγους σπουδὴν, σωφροσύνῃ τρόποις καὶ ταῖς λοιπαῖς ἀρεταῖς ἐκοσμήσατε, δῆλον ἦν δήπουθεν, ὡς καὶ πρὸς νόμων χάριν ἀπαίροντες, μενεῖτε πάλιν αὐτοί· καὶ πρὸς τὸ κρεῖττον ἀναδραμεῖν γένοισθέ που φιλονεικότεροι· εἰ δὲ ταῦτά μοι παρασκευάζει τὴν ἡδονὴν, τί χρὴ λέγειν (σὺν Θεῷ δ' εἰρήσθω), ὅτε δικαστηρίων προβεβλημένων καὶ σώφρονι γλώττῃ τῇ εὐνομίᾳ προχέοντες, τοὺς μὲν παρόντας χειροῦσθε τῇ πείρᾳ, τοὺς δὲ μακρὰν ἀπόντας τῇ φήμῃ; τούτων γὰρ θρυλλουμένων, μικρὸν μὲν Πολυκράτης εἰς εὐτυχίαν ἐμοί· οὐδὲν δέ μοι δόξει μετὰ τῶν πολλῶν ταλάντων ὁ Κροῖσος.

XCIII. ZOSIMO ET MACARIO.

Sapientissimus Babylas cum huc advenisset, nuntiavit mihi quæ quidem ardentissime audire cupio, quæ autem noveram antequam diceret. Ex ea enim morum sapientia et cæteris virtutibus quibus dicendi studium adornastis, quando ad me ventitabatis, plane manifestum erat vos, cum ad legum amorem transiretis, eosdem semper mansuros et ad meliora properandi semper cupidiores futuros. Si autem hæc mihi gaudium afferunt, quid dicendum est (cum Deo autem dicatur), quando tribunalibus designatis, æquitatem sapienti lingua protundentes, præsentes quidem actu subigetis, fama vero absentes et regiones longinquas incolentes? His enim undique in vulgus sparsis, parum quidem mihi ad prosperas res Polycrates; nihil autem videbitur cum tot talentis Crœsus.

ΛΔ'. ΖΑΧΑΡΙΑ ΑΔΕΛΦΩ.

Τοὺς ἄγοντας τὴν ἐπιστολὴν, οἵτινες μέν εἰσιν, ἀγνοῶ· ὅτι δέ σε θαυμάζουσιν, οἰκείους ἄγαν ὁρίζομαι· οὗτοι γὰρ ἰδόντες ἐμὲ, καὶ συγγενοῦς χαρακτῆρος ἐλθόντες εἰς ἔννοιαν, τοῦθ' ὅπερ ἦν ἐμαντεύοντο· καί τι πρὸς ἑαυτοὺς εἰπόντες καὶ κριτὰς ἀλλήλους πεποιημένοι τοῦ πράγματος ὡς ἀδελφὸς τοῦ φιλτάτου καθέστηκα· ἐπειδὴ πρὸς μίαν γνώμην ἐφέροντο, προσδραμόντες ὁμοῦ προσεῖπόν τε ἅμα καὶ εὐμενέσιν ὀφθαλμοῖς ὑπεβλέποντο· καί σε διὰ παντὸς ἐποιήσαντο θαύματος, δικαστὴν ὀρθὸν καὶ ὅ τι σεμνὸν ὀνομάζοντες, τῆς μὲν ἀξίας ἴσως ἐλάττονα· δῆλοι δ' οὖν ἦσαν πλείω λέγειν ἐθέλοντες, ὧν ἀπαγγέλλειν ἠδύναντο, τὴν περὶ σὲ γνώμην τῆς γλώττης ἀποφαίνοντες κρείττονα· ἐγὼ δὲ πολλοῖς ἐπαίνοις ἐξ αὐτῶν στεφανούμενος· ἔπειτα γὰρ τὰ καθ' ὑμῶν ἐποιούμην ἐγκώμια· καὶ μισθὸν αἰτοῦσιν ἐδίδουν τὴν παροῦσαν ἐπιστολήν.

XCIV. ZACHARIÆ FRATRI.

Qui hanc epistolam ferunt, quinam sint nescio; quia vero te mirantur, cognatos valde definio. Qui quidem ubi me viderunt, et in congeneris characteris suspicionem venerunt, id conjecerunt quod erat; et nonnihil inter se locuti seque mutuo judices rei facientes, me nempe dilectissimi esse fratrem. Postquam in meam sententiam devenere una accurrentes, me simul alloquuntur, et benevolis oculis aspiciunt. Ut te omnimoda admiratione cumulavere, judicem rectum et quam augustissimum appellantes et merito inferiorem locum possidentem. Patebat autem eos plura velle dicere quam annuntiare poterant, suam de te sententiam lingua majorem indicantes. Ego vero ab iisdem multis laudibus ornatus sum. Deinde enim vestrum encomium agebant, et mercedem petentibus dabam præsentem epistolam.

Digitized by Google

XCV. ORIONI.

Non putassem a vobis me talem subiturum fuisse accusationem, neque silentii non innocentem esse non dicentibus quo sane maris et terræ devenerint. Sed, ut videtur, maluisti me accusare quam rationes mihi præbere. Illud enim te prius indicare oportebat : quod multum maris dimensus esses; quod insulas navigando præteriens Hellespontum vidisses continentis utriusque miraculis exornatum; et transiens Propontidem ad ipsum Bosphorum devenisses; quod ibidem urbem mirandum spectaculum navi delatis offerentem vidisses; quæ quasi in terræ collo jacens Asiam Europæ projectam prospicit, et Pontum finiens reliquo mari transmittit mirabilia. Et alia quæcunque garrire solent qui illa contemplati sunt aures nostras pulsantes. Te alia scribente, si tacuissemus, tunc merito subjaceremus reprehensioni. Nunc autem silens et navigantium legem despiciens, ex mea arte juridice incipis linguam movere. Scribe tamen solummodo, et accusationis querelas subibimus.

XCVI. JOANNI.

Sapiens certe erat qui hoc dixit : Sapientem, etiamsi procul a terra habitet, etiamsi nondum eum oculis viderim, amicum judico. Talis quidem me invasit sensus, tuam quidem faciem ignorantem, amore tamen eam miro modo amplexum. Sed famæ gratias ego, per quam et distantia conjunguntur, et quæ longe sunt præsentia esse videntur. Per hanc enim vos sæpissime intuens, et tui ad optima beati ardoris sola cogitatione suffusus, tibique incorporeo amore conjunctus, non valde corporea notitia indigeo. Sed tuam epistolam ex Alexandri urbe missam accipiens teipsum possidere mihi videbar. Sermonis enim tui mores, et metus ille ne non facias res cœlestes tuæ erga me amicitiæ testimonium, præcedentem non minuit famam, sed te exhibet qualem te videre volui. Et hæc agis, tribunalia frequentans ex tuæ artis lege; et in tanta rerum ebrietate sobrius esse potes. Et ita ad finem omnia pertingant, ut futurum sperasti. Is enim sapientibus finis, ad propriam dignitatem reditus. Difficile enim est nos et eam quæ in nobis est multitudinem dimittere, et eo redire unde effluximus.

XCVII. SOSSIANO.

Vir quidam piissimus nos adiit multa ab improbo fratre perpessus, sententiam autem æquam ducens, si vix ea obtinere possit quibus privatus fuit. Unde per me ad vestram confugit potentiam, quæ apud judicem valeat, et illi in multa pollentes in auxilium conciliare possit, et impensas quæ eo judicio oriuntur, præcidere. Vix enim ex mercedibus sibi ad proprium cibum sufficit. Sed et sine mora illi sententiam reddi curate; unum enim orat adversarium jurejurando dissolvere de illatis querelas. Huic multæ nostræ sollicitudini et amœnissimam linguam et pro jure libero impetu fluentem

ΚΕ'. ΩΡΙΩΝΙ.

Οὐκ ἂν ᾤμην παρ' ὑμῶν τοιαύτην ὑποστῆν γραφὴν, οὐδὲ σιωπῆς ὑπάρχειν ἀνεύθυνος τοῖς ἀγνοο μένοις, ὅπῃ δὴ γῆς ἢ θαλάττης ἀφίκοντο· ἀλλ' ἔοικε τὸ μέλλον ἔγκλημα φεύγων, εἶλου κατηγορε μᾶλλον ἢπερ εὐθύνας ὑπέχειν ἐμοί. Σὲ γὰρ ἔδει πρῶτ μηνύειν ὡς | πολὺ διεμέτρησα πέλαγος· ὡς τὰς νή σους παραπλεύσας τὸν Ἑλλήσποντον εἶδον, τοῖς ἑ ἑκατέρας ἠπείρου δορυφορούμενον θαύμασι· κα παρελθὼν τὴν Προποντίδα, πρὸς αὐτὸν ἀφῖγμαι τὸ Βόσπορον· ἔνθα πόλιν εἶδον παραδόξῳ θέᾳ προ απαντῶσαν τοῖς καταπλέουσιν· ἐπ' αὐχένι γὰρ κεί μένη τῆς γῆς, τὴν Ἀσίαν ἐφορᾷ τῆς Εὐρώπης προ βεβλημένην· καὶ τὸν Πόντον ὁρίζουσα, τῇ λοιπῇ θαλάττῃ παραπέμπει τὰ θαύματα· καὶ ὅσα φλυαρεῖ ἀπειροκάλως εἰώθασιν, οἱ τὰκεῖ θεασάμενοι, τὴν ἡμετέραν ἀκοὴν καταπλήττοντες· εἰ τὰ τοιαῦτα γρά ψαντος ἐσιγήσαμεν, τότ' ἂν εἰκότως ὑπεκείμεθα τοῖς ἐγκλήμασι· νυνὶ δὲ σιωπήσας καὶ τὸν τῶν πλεόντων νόμον ὑπεριδὼν, ἐξ ἐμοῦ τῆς τέχνης ἄρχῃ δικανικῶς τὴν γλῶτταν κινῶν· πλὴν ἐπίστελλε μόνον, κἂν ἐγκλήματα γραφῆς ὑποίσωμεν.

ΚϚ'. ΙΩΑΝΝΗ.

Σοφὸς ἦν ὄντως ὁ ταῦτα δήπου φθεγξάμενος, ὡς ἄρα τὸν σοφὸν, κἂν ἐκὰς ναίῃ χθονὸς, κἂν μήπω ὄσσοις ἐσίδω, κρίνω φίλον· τοιοῦτόν τί με πάθος, ὦ λῷστε, κατείληφε τὴν μὲν θέαν ἀγνοοῦντα τὴν σὴν, τῷ δὲ πόθῳ δεινῶς κατεχόμενον· ἀλλ' εὖ γε τῆς φήμης δι' ἣν καὶ τὰ διεστῶτα συνάπτεται, καὶ τὰ πόρρω ποι παρεῖναι δοκεῖ· ταύτῃ γὰρ ἡμᾶς πολλάκις ἰδὼν, καὶ τῆς περὶ τὰ κρείττω μακαρίας σπουδῆς γυμνῇ τῇ διανοίᾳ περιχυθεὶς, καὶ ἀσωμάτῳ συναπτόμενος ἔρωτι, οὐδέν τι λίαν σωματικῶν προσδέομαι γνωρισμάτων· ἀλλὰ καὶ τὴν ὑμετέραν ἐπιστολὴν ἐκ τῆς Ἀλεξάνδρου πεμφθεῖσαν λαβὼν, αὐτοὺς ὑμᾶς ἔχειν ἐδόκουν· τὸ γὰρ τῶν λόγων ἦθος, καὶ τὸ δεινὸν κρίνειν τὸ μὴ τὰ θεῖα ποιεῖσθαι τῆς πρὸς ἐμὲ φιλίας τεκμήριον, τὴν προλαβοῦσαν οὐκ ἤλεγξε φήμην, ἀλλ' ἔδειξε τοιοῦτον ὁποῖον ἰδεῖν προσεδόκησα· καὶ ταῦτα δικαστηρίοις ὁμιλοῦντα νόμῳ τῆς τέχνης· κἂν τῇ μέθῃ τῶν πραγμάτων ἀνανήψειν οὕτω δυνάμενον· ἀλλὰ καὶ πρὸς πέρας ἔλθοι ὡς τυχεῖν προσεδόκησας· τοῦτο γὰρ τοῖς εὐφρονοῦσι τέλος, ἡ πρὸς τὴν οἰκείαν ἀρχὴν ἀναχώρησις· δεινὸν γὰρ τὸν ἐν ἡμῖν δῆμον ἀφέντας, πρὸς τὸ ἐπανελθεῖν καλῶς ἐξ οὗ καλῶς ἀπερρεύσαμεν.

ΚΖ'. ΣΟΣΣΙΑΝῼ.

Ὁ θεοσεβέστατος ὁ δεῖνα ἀφίκετο πρὸς ἡμᾶς πλεῖστα μὲν ἐξ ἀδελφοῦ πονηροτάτου παθὼν, δίκην δὲ μετρίαν ἡγούμενος εἰ τυχεῖν δυνηθείη μόλις ὧν ἀπεστέρηται· ὅθεν δι' ἐμοῦ πρὸς τὴν ὑμετέραν καταφεύγει ῥοπὴν καὶ συστῆναι δυναμένην τῷ δικαστῇ, καὶ τοὺς μέγα δυναμένους πρὸς συμμαχίαν αὐτῷ παρασχεῖν, καὶ τὰς ἐκ τοῦ δικαστηρίου περικόψαι δαπάνας· μόλις γὰρ ἐξ ἐράνων ἀρκεῖ πρὸς τὴν ἰδίαν τροφήν· ἀλλὰ καὶ σύντομον αὐτῷ τὴν ψῆφον ἐνεχθῆναι παρασκευάσατε· ἁπλᾶ γὰρ αἰτεῖ, τὸν ἀντίδικον ὅρκῳ διαλῦσαι, τὰ περὶ τῶν ἐπαγομένων ἐγκλήματα· πρὸς ταύτην τὴν πολλὴν ὑμῶν σπουδὴν

Digitized by Google

καὶ χαριεστάτην γλῶσσαν καὶ ῥέουσαν ἐπὶ δικαίοις ἀκωλύτῳ φορᾷ πρὸς συμμαχίαν ἱκανὴν, ἀντ' ἐράνου τινὸς εἰσενέγκατε· Θεῷ τε φίλην καὶ τοῖς αἰτοῦσι κεχαρισμένην καὶ τοῖς δεομένοις ἀρκοῦσαν.

A ad sufficiens auxilium pro aliquo præmio adjice; et Deo charam et orantibus gratiosam et indigentibus opitulantem.

ιΗ'. ΙΩΑΝΝΗ.

Ὁ τὴν παροῦσαν ἐπιστολὴν ἐπαγόμενος ἀνὴρ ὢν ἀγαθὸς, ἐξ ἀδικίας ἀδελφοῦ τὴν ἀπορίαν ὀδύρεται· ὅθεν καταλαμβάνει τὴν Καίσαρος, ἂν περ οἷός τε ἦν τὰ προσήκοντα κομιούμενος· ἀλλὰ συλλαβεῖν καταξίωσον, τοὺς παρ' ὑμῖν δυνατοὺς εἰς συμμαχίαν αὐτῷ παρασκευάζων ἀρκοῦσαν· μίαν γὰρ ἔχει παραμυθίας ἐλπίδα, τῆς ἐκ τῶν νόμων ἐπικουρίας τυχεῖν, ἧς πλεῖστον ἄγαν ἐπεστέρηται χρόνον, πονηρότατον ἔχων τὸν ἀδελφὸν, καὶ καινοτέρας διαλύσεις ἀεὶ μηχανώμενον· ὅθεν αὐτῷ τὴν ἀπορίαν παραμυθήσασθε, τὰς τῶν δικαστηρίων δαπάνας ὡς δυνατὸν περικόπτοντες.

XCVIII. JOANNI.

Qui præsentem epistolam perfert, vir probus, ex injustitia fratris inopiam lamentatur. Unde ad justitiam Cæsaris confugit, si hoc modo debita possit recuperare. Sed illi opitulari dignare, in auxilium illi sufficiens parans eos qui apud vos potentes sunt. Unam enim habet spem solatii, nempe se legum opitulationem obtenturum, qua tandiu privatus est, improbissimum fratrem habens, qui quotidie nova fœdera machinatur. Itaque illius egestatem solemini, judiciorum impensas B quamplurimum recidentes.

ιΘ'. ΦΙΛΙΠΠΩ ΑΔΕΛΦΩ.

Τὸν ταύτην ὑμῖν κομίζοντα τὴν ἐπιστολὴν καὶ ἄλλως μὲν ἐπόθουν, οὐχ ἧκιστα δὲ ὅτι περ ὑμῶν ἐπ' ἀγαθοῖς ἀεὶ μεμνημένος· τέλος καὶ τῆς πρὸς ὑμᾶς ἐπιστολῆς ἐμοὶ γέγονεν αἴτιος, δεινὸν εἶναι φάσκων εἰ τῶν ἐξ ἐμοῦ γραμμάτων ἔρημος ὑμῖν ἐπιφαίνοιτο. Σὺ δὲ γοῦν μίαν ἡμῖν ἀντεπίθες ἐπιστολὴν, καὶ λύσον ἔτει πέμπτῳ μετὰ τῶν Πυθαγορίων τὴν σιωπήν· ὡς ἡμεῖς καὶ Δωδώνης χαλκεῖον γεγόναμεν, κινῆσαί σε πρὸς λόγους βουλόμενοι.

XCIX. PHILIPPO FRATRI.

Eum qui vobis hanc perfert epistolam et aliunde quidem diligo, non minus autem quod vestri in bonis meminit. Imo et hujus ad vos epistolæ causa factus est, mirum esse dictitans, si ex me litterarum vacuus coram vobis appareret. Tu vero nobis unam remitte epistolam, et quinto anno cum Pythagoreis silentium solve. Nos enim et Dodonæ alienum facti sumus, te ad verba movere volentes.

Pʹ. ΕΥΑΓΡΙΩ.

Ὡς ποθοῦντος ἄγαν οἱ λόγοι, καὶ τῇ κατὰ πάντων νίκῃ στεφανοῦν ἐγνωκότες τὰ παιδικά· ὡς γὰρ ἐν τοῖς σοῖς γράμμασιν οὐ τοὺς νῦν μόνον ἐνίκων, ἀλλὰ καὶ ὃ μὴ θέμις εἰπεῖν, καὶ Δημοσθένης ἥττητο, καὶ Θουκυδίδης εἶχε τὰ δεύτερα, καὶ ὁ γλυκὺς Ἡρόδοτος μετὰ τούτων ἐτάττετο· ὡς τοιοῦτος ἦν ἐν τοῖς λόγοις μειδιάσας πρὸς ἐμαυτὸν οὐδὲν (1) . . . ᾗην τῆς ἔρωτος δυναστείας σφοδρότερον· τῇ γὰρ περὶ . . . τοχος ὁ φίλτατος γεγονὼς, ἠγνόησέ μου τὰ πράγματα, καὶ παρέχει τι παραπλήσιον· ὥσπερ ἂν εἴ τις τὸν φοξὸν παρ' Ὅμηρον· καὶ τί γὰρ ἕτερον ἢ Θερσίτην παρὰ τῶν Ἑλλήνων ἐς θέαν ἀπέφηνε κρείττονα καὶ αὐτοῦ τάχα τοῦ Νιρέως, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν; Ἐμοὶ δὲ μέγιστος ἔπαινος εἰ τούτους ἀγνοηκέναι δοκοίην, οὓς παρὰ σ . . . νενικήκαμεν· ὅθεν σου θαυμάσας τὴν εὔνοιαν, τοὺς λόγους ἀνεστήθην τοῖς ἔρωσι, ἀμφὶ τὸν Παιανιέα παραιτησάμενος, εἰ πόθος ἀνθρώπους ἀναπείθει λέγειν, ὁπόσα καὶ λέγειν ἐθέλουσι· καὶ μάλιστα δὴ τούτους, ὁπόσοι λόγων ἐναβρύνονται ῥώμῃ· ἀλλὰ πρὸς εὐχὴν καὶ ταύτην μετρίαν τραπήσομαι, εὐτυχοίης λέγων, ὦ φίλτατε, καὶ νικοίης τοὺς νόμους, ὁπόσα τοῖς λόγοις νενίκηκας.

C. EVAGRIO.

Sunt hæc verba tanquam hominis nimium amantis, et relata de omnibus victoria puerum amatum C coronare volentis. In tuis enim litteris non modo eos qui tunc temporis exsistunt, vici; sed et quod non fas est dicere, Demosthenes ipse victus est, et Thucydides inferior fuit, et suavis Herodotus cum ipsis annumeratus est. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

. . . . . .

Et quid aliud Thersiten apud Græcos in spectaculum edidit meliorem forte et ipso Nereo, qui pulcherrimus ad Ilium venit? Mihi autem maxima laus, si ignorare viderer eos quos per te vicimus. Unde tuam miratus benevolentiam, ad verba amore excitatus sum, Pæaneum interrogans num amor hominibus suadeat ut dicant quæcunque volunt dicere, præsertim vero iis hominibus qui sibi ipsis in verborum vi complacent. Sed ad hoc votum æquum convertar, optans, o charissime, ut vincas legibus quemadmodum verbis vicisti.

Pαʹ. ΝΕΙΛΩ.

Δεινὸς ἄρα τις ἦσθα τὰ σμικρὰ μεγάλα ποιεῖν, καὶ γλῶτταν ἄμαχον ἐν οἷς ἐθέλεις ἐνδείκνυσθαι· τοσούτους γὰρ ἐπαίνους ἀνέπλασας κατ' ἐμοῦ, καὶ οὕτως εὐκόλως ἀπήγγειλας, ὡς οὐκ ἄν τις εἶπε ῥᾳδίως ἐξ ἀληθείας ὁρμώμενος· καί μοι δοκεῖς τοσ-

CI. NILO.

Peritus eras de parvis magna faciendi, et linguam invictam, ubicunque velis, ostendendi. Tales enim laudes de me effinxisti et tam ingenue annuntiasti quales neque quis facile dixisset veritatem secutus. Et mihi videris tali lingua effundi, forte

(1) Vocabulum non legitur. Itidem in sequente lacuna utraque.

Digitized by Google

volens ostendere, qualis esses, cum te eum esse lateret. Putas enim forsitan te non cognitum esse præsentem qualem musam nutrires ab oratoribus progrediendi initium faciens. Ego vero te et præsentem optime noveram; sed non apud me circa laudes quantum oportebat, exercitum, ne forte laudes studium solventes cursum reprimant ad majora tendentem semper, et ad vigorem properantem. Nunc autem tuis litteris valde lætatus sum, non laudibus attendens; in tua enim sublimia verba insurrexi omnimodo mutatus, nisi quod ex musis te filium vocare felices fecimus. Etenim si ad mendacia sic linguam moveas, qualis fieres, si veritate captus esses? Lætabar autem quod de te ipse rideres, quod divitiarum insatiabilis usque et ad mea verba mercaturam extenderes. Sed dexteram tuam, fortunatissime, imple; et libenter feram orationes meas venales factas. Cave tamen ne pœnam subeas, eas sponte exigens, quia filios meos indecenter vendere ausus sis.

A αὐτῃ χυθῆναι τῇ γλώττῃ δεῖξαι τάχα βουληθείς, οἷος ὑπάρχων ἐλάνθανες· οἶει γὰρ ἴσως ἠγνοῆσθαι παρὼν, ὁπόσην ἀνεθρέψω μοῦσαν ἐκ ῥητόρων ὁρμώμενος· ἐγὼ δέ σε καὶ παρόντα καλῶς ἠπιστάμην· ἀλλ' οὐχ ὅσον ἐχρῆν ἐπαίνους παρ' ἐμοὶ γυμναζόμενον, τοῦ μὴ τοὺς ἐπαίνους τὴν προθυμίαν ἐκλύσαντας, ἀνακόψαι δρόμον ἐπὶ μείζω ἀεὶ χωροῦντα, καὶ πρὸς ἀκμὴν ἐπειγόμενον· νυνὶ δέ σου καὶ λίαν ἥσθην τοῖς γράμμασιν, οὐ τοὺς ἐπαίνους σκοπῶν· ἦ γὰρ ἀνέστην μετεώροις τοῖς σοῖς λόγοις πανταχοῦ μεθιστάμενος, ἀλλ' ὅτι παῖδα καλεῖν ἐκ τῶν μουσῶν εὐτυχήκαμεν· καὶ γὰρ οὕτως ἐπὶ ψευδῆ τὴν γλῶτταν κινῶν, τίς ἂν γένοιτο τῆς ἀληθείας ἐπειλημμένος; ἥσθην δέ σοι καὶ σαυτὸν ἐπισκώπτοντι, διότι χρημάτων ἀπλέστως ἐρῶν, καὶ μέχρι τῶν ἐμῶν λόγων τὴν ἐμπορίαν ἐξ- B ἐτεινας· ἀλλὰ πλήρου τὴν δεξιὰν εὐτυχέστατε, καὶ μετρίως οἶσω τοὺς λόγους ὠνίους θεώμενος· πλὴν ὅρα μὴ καὶ δίκην ὑπόσχοις, προσαπαιτήσας οἰκόθεν, ὅτι μου παῖδας ἀπρεπεῖς δημοσιεύειν ἐτόλμησας.

CII. CLIDONIO.

. . . . . .

CIII. ZACHARIÆ FRATRI.

De illo optimo viro vobis narrare volens, timeo ne frustra molestus esse videar, apud noscentes verba faciens. Scitis enim qualis quidem ipse sit, quomodo cum totam vitam Deo consecraverit, omnibus invisus sit hominibus, plenus autem sit spe cœlesti. Quapropter omnibus injuriam facère volentibus, et ad patiendum est paratus. Nosti et C illum (fratrem illum appellare erubesco), qui unicam virtutem esse ducit omnimodam explere malitiam. Despiciens fratrem tandiu sic fame vexatum, non sumptus illi ex se præbere mavult; quod ab homine vere sapienti fieri oportebat, quamvis ad id occasio invitaret. Nunc autem non ea est criminatio, quia id quod decet nimium sapientibus reliquit, sed quod et eorum quæ ad ipsum non pertinent, cupidus effectus, ea abripit, et frequenter fratri insultat, ictusque sæpissime infligit, et propriam voluntatem sibi legem faciens, naturam forte incusat quod ad improbitatem nihil amplius invenerit. Unde non ad illud suam repressit malitiam; imo vero ea initium futurorum malorum: suam enim matrem, jam ætate provectam, quando D puerorum educationis fructus se relaturam sperabat, mulier et ætate et genere et vel apud non propinquos veneratione fruens. Eam sæpius quidem opprobriis prosecutus est, sæpius autem in eam, o Jupiter, quæ ipsum genuit, protendit manus,

ΡΒ'. ΚΛΗΔΟΝΙΩ (1).

. . . . . .

ΡΓ'. ΖΑΧΑΡΙΑ ΑΔΕΛΦΩ (2).

Τὰ κατὰ τὸν ἄριστον τόνδε βουλόμενος ὑμῖν διηγήσασθαι, δέδοικα μὴ μάτην ἐνοχλεῖν δόξω, παρ' εἰδόσι τὸν λόγον [a] ποιούμενος· ἴστε γὰρ οἷος μὲν αὐτὸς καθέστηκεν, ὡς τὸν ὅλον βίον ἀναθεὶς τῷ Θεῷ, πᾶσιν ἀπεχθάνεται τοῖς ἀνθρωπίνοις· ἔχεται δὲ τῆς ἄνωθεν ἐλπίδος· καὶ διὰ τοῦτο πρόκειται τοῖς ἀδικεῖν βουλομένοις, καὶ πρὸς τὸ παθεῖν ἐστιν ἐπιτήδειος· ἴστε γὰρ καὶ τόνδε (ἀδελφὸν γὰρ τοῦτον προσαγορεύειν αἰσχύνομαι) ὃς μίαν ἀρετὴν ἡγεῖται τὸ πᾶσαν ἐκπληρῶσαι κακίαν· παριδὼν ἀδελφὸν τοσούτου χρόνου οὕτως τῷ λιμῷ πιεζόμενον· οὐκ οἴκοθεν χορηγεῖν μᾶλλον· ὃ παρ' ἀνδρὸς εὖ φρονοῦντος ἔξεστι γενέσθαι, εἰ καὶ πρὸς τοῦτο καιρὸς ἐκάλει· νῦν δὲ οὐ τόδ' ἐστὶν ἔγκλημα, διότι τὸ πρέπον τοῖς ἀγαν σωφρονοῦσι παρέλιπεν, ἀλλ' ὅτι καὶ τῶν μὴ προσηκόντων γενόμενος ἐραστὴς, ἁφῄρηται ταῦτα, καὶ λοιδορεῖται τούτῳ πυκνῶς, πληγάς τε πολλάκις ἐπέτεινε, καὶ νόμον τὴν αὐτοῦ γνώμην ἡγούμενος, ἴσως τὴν φύσιν ἐμέμψατο, ὅτι μὴ πλέον οὐδὲν εἰς πονηρίαν εὗρεν [b]· ὅθεν οὐ μέχρι τούτων ἔστησε τὴν κακίαν, μᾶλλον προοίμια ταῦτα τῶν μελλόντων κακῶν· τὴν γὰρ ἑαυτοῦ μητέρα γραῦν ἤδη τυγχάνουσαν, ὅτε τῆς παιδοτροφίας ἤλπισε κομίσασθαι τοὺς καρποὺς, γυνὴ καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὸ γένος, καὶ παρὰ τοῖς μηδὲν προσήκουσιν αἰδοῦς ἀπολαύουσα, ταύτην πολλάκις μὲν εἶπε κακῶς, πολλάκις δὲ καὶ χεῖρας ἀνέτεινε κατὰ τῆς τεκούσης·

VARIÆ LECTIONES.

[a] Vat. τοὺς λόγους. [b] Vat. ἐξεῦρεν.

NOTÆ.

(1) Hujus epistolæ nonnisi inscriptio hæc superest, quia pagina codicis explicit, reliquis desideratis.

(2) Hæc epistola in Vaticano codice sexta est; verumtamen ea loco suo prætermitti a me debuit, quia madore corrupta pagina nonnisi hiantes reliquias mihi præbebat. Sed ecce vir cl. et doctissimus. Caspar canonicus Bencinius, bibliothecarius laurentianus, roganti mihi epistolæ exemplar e Florentino codice suppeditavit: neque id tantummodo, verum etiam subsequentem ad Dorotheum epistolam, quæ postrema in Florentino codice est, in vaticano autem prorsus desideratur, liberaliter obtinlit: ob quod beneficium a me publice has gratias agi viro benignissimo æquum est.

Digitized by Google

ὦ Ζεῦ· οὐ χρόνον, οὐ πολιὰν ἐλεεινὴν, οὐ τὸ τῆς A non tempus, non canos miserabiles, non matris
μητρὸς αἰδεσθεὶς φιλάνθρωπον ὄνομα· ἀλλ' ἤδη καὶ dulce nomen reveritus. Sed jam eam violenter
βιαίως ἀνατρέψας, εἰς γῆν κατέβαλε [c]· καὶ λὰξ subvertens, in terram projecit, et calce in eam
κατ' αὐτῆς ἐνήλατο, βοώσης οἷον εἰκὸς, καὶ παῖδα insiluit, clamantem, ut merito, et filium vocan-
καλούσης· καὶ τί γὰρ οὐκ ἂν εἴποι μήτηρ, μετ' tem. Quid enim non diceret mater, post partus do-
ὠδῖνας καὶ τροφὴν καὶ τὰς καλὰς ἐκείνας ἐλπίδας, lores, et educationem et pulchras illas spes, talia
τοιαῦτα παρὰ τοῦ παιδὸς ἀνασχομένη [d] κακά; a filio patiens mala. Denique et domo eam expulit,
τελευταῖον δὲ καὶ τῆς οἰκίας ταύτην ἀπήλασεν, egentem, nudam, necessariis carentem; id unum
ἄπορον, γυμνὴν, τῶν ἀναγκαίων ἐστερημένην· ἓν forte illi indulgens, quod sui societate eam solvit.
ἴσως τοῦτο χαρισάμενος, ὅτι τοῦ συνεῖναι ταύτην Et nunc ille quidem talibus malis exsultat. Anus
ἀπήλλαξε· καὶ νῦν οὗτος μὲν ἐντρυφᾷ τοῖς τούτων autem, et primas nobilitates apud nos gerens, in
κακοῖς, γυνὴ δὲ γραῦς, καὶ τὰ πρῶτα φέρουσα τῆς manibus suæ vitæ spem habet. Illi autem optimo
παρ' ἡμῖν εὐγενείας, ἐν ταῖς χερσὶ τὰς ἐλπίδας ἔχει et hujus miseria aliud infortunium est; et jam ad
τοῦ βίου· τῷ δὲ χρηστῷ τῷδε, καὶ τὸ ταύτης πάθος, proprium victum indigens, eam tamen excepit ipsi
ἄλλη γίνεται συμφορά· καὶ πρὸς τὴν οἰκείαν τροφὴν miseriam adaugentem. Sed necessarium naturæ
ἀπορούμενος, ὑπεδέξατο ταύτην, ἐπιτείνουσαν μὲν B debitum solvit. Et nunc una habitant solatium
αὐτῷ τὴν ἔνδειαν· ὅμως ἀναγκαῖον χρέος ἐκτίνει [e] unicum habentes quod non plura perpessi sint.
τῇ φύσει· καὶ νῦν σύνεισιν ἀλλήλοις μίαν ἔχοντες Mater autem, utpote mulier et talia passa totam
παρηγμυθίαν, ὅτι μὴ πλείω πεπόνθασιν· ἡ δὲ μήτηρ vitam habet suorum malorum meminisse et eorum
οἷα δήπου γυνὴ, καὶ τοιαῦτα παθοῦσα, ἕνα βίον ἔχει memoria lacrymare, et mamillam ostendere judi-
τὸ μεμνῆσθαι τῶν ἑαυτῆς κακῶν, καὶ δακρύειν ἐπὶ cibus qualia passa sit enarrans. Hæc porro mente
τῇ μνήμῃ· καὶ τὴν θηλὴν ὑποδεικνύειν τῇ δίκῃ οἷα capiens et persuasum habens vere nihil nos adji-
πέπονθε διηγουμένη. Ταῦτα τοίνυν εἰς νοῦν λαβὼν, cere, sed solum hujus malitiæ summarium exhi-
καὶ μηδὲν ἡμᾶς προστιθέναι ταῖς ἀληθείαις νομίσας, bere, tuum studium illius malitia metire. Et esto
ἀλλὰ τὰ κεφάλαια [f] μόνον δεικνύναι τῆς αὐτοῦ talis qualem te esse Deus exigit, et amicitiæ lex et
πονηρίας, διὰ τὸν τῆς ἐπιστολῆς καιρὸν, μέτρησόν injuria affectorum spes.
σου τὴν σπουδὴν πρὸς τὴν ἐκείνου κακίαν· καὶ γενοῦ τοιοῦτος, οἷον σὲ ὁ Θεὸς ἀπαιτεῖ, καὶ φιλίας νόμος
καὶ ἡ τῶν ἀδικουμένων ἐλπίς.

ΡΔ'. ΔΩΡΟΘΕΩ. C CIV. DOROTHEO.

Πάλιν εὐσεβείας καιρὸς, καὶ πάλιν πρὸς τὴν ὑμε- Rursum pietatis occasio et rursum ad vestram
τέραν σοφίαν ὁ δρόμος. Ἀνήρ τις τῶν ἑαυτοὺς sapientiam recursus. Vir quidam eorum qui Deo
ἀναθέντων Θεῷ καὶ ἐκ φιλοσοφίας γνωριζομένων, vitam consecravere, et ex philosophia celebrantur,
ἐξ ἀδίκου συκοφαντίας, ὡς ἔοικεν, τῷ τοῦ δικαστοῦ injusta calumnia, ut videtur, in iram judicis incidit,
θυμῷ περιπέπτωκεν, ὡς δεξιὰν ἀντάρας πολέμιον utpote qui inimicam manum contra legibus obe-
κατὰ τῶν ἐξυπηρετουμένων τοῖς νόμοις· οἱ δὲ ταῦτα dientes sustulerit. Qui autem ea indicavere, injurias
μηνύσαντες, τὰ παρὰ τῶν ἄλλων ὥς φασιν ἀδική- ab aliis, ut aiunt, factas, in eum converterunt. Et
ματα, κατὰ τούτου μετέστησαν· καὶ πλήρης ὁ δι- judex plenus ira est, et eum ad se vocat, et ad
κάζων θυμοῦ· καὶ πρὸς ἑαυτὸν καλεῖ, καὶ πρὸς τι- vindictam incitatur. Adest tempus, si unquam alias,
μωρίαν ἐπείγεται· καὶ πάρεστι καιρὸς εἴπερ ποτὲ benevolentiam requirens. Appare igitur, et tuorum
καὶ νῦν φιλανθρωπίαν ζητῶν. Φάνηθι δὴ καὶ φθέγξαι aliquid loquere, et ira judicem solves. Si quid
τι τῶν σῶν, καὶ τῆς ὀργῆς παραλύσεις τὸν δικα- enim horrendi factum sit, quod non est, sen-
στήν. Εἰ γάρ τι καὶ πέπρακται δεινὸν, ὅπερ οὐδὲ tentiam in veniam converte; si nihil aliud quam
γέγονεν, εἰς συγγνώμην τρέψον τὸ ψηφιζόμενον· εἰ quod dixit, eum ostende honorantem quæ ipsi cir-
μηδὲν ἄλλο, τὸ περικείμενον αὐτῷ σχῆμα τιμήσαντα. C cumjacet, dignitatem. Appare una cum multis qui
Φάνηθι μετὰ πολλῶν, οἱ πρὸς τὴν αἴτησιν τυγχά- ad postulationem sint idonei; vel potiùs ante alios
νουσιν εὐπρεπεῖς· μᾶλλον δὲ καὶ πρὸ τῶν ἄλλων, qui proprium aliquid contribuere valeant. At certe
ὁπόσοι οἰκεῖόν τι δόξουσι συνεισφέρειν· ἀλλ' οὖν ipse omnium laudes accipies; ut et primus et valde
αὐτὸς πάντων ἀναδέξῃ τὸν ἔπαινον· ὡς καὶ πρῶτος, postulans et pulchræ benevolentiæ aliis factus
καὶ λίαν αἰτήσας καὶ τῆς καλῆς φιλανθρωπίας γε- exemplar.
γονὼς τοῖς ἄλλοις παράδειγμα.

EJUSDEM PROCOPII GAZÆI FRAGMENTUM. Ex codice Vaticano 1096, p. 61.

Ἐκ τῶν εἰς τὰ Πρόκλου θεολογικὰ κεφάλαια ἀντιῤῥήσεων Προκοπίου Γάζης ἀντίῤῥησις κεφαλαίου ρμς'.

Ex Procopii Gazei in Procli theologica capita responsis, responsum in capite 146.

Θεία πρόοδος ἄναρχος καὶ ἀτελεύτητος, μόνη ἂν Divina processio sine principio et sine fine sola

VARIÆ LECTIONES.

[c] Vat. κατέβαλλε. [d] Vat. ἀνεχομένη. [e] Vat. ἐκτείνει. [f] Vat. τὸ κεφάλαιον.

Digitized by Google

diceretur ex uno Patre generatio unius Filii, et ex eodem productio unius sancti Spiritus secundum quam paterna et prima vel potius principio carens unitas in dualitatem emota in Filio spectatam et Spiritu sancto, usque ad Trinitatem stetit, quemadmodum ait Theologus noster Gregorius. Illa enim sola natura divina processio, si tamen oportet *natura* dicere, quando de supernaturalibus et divinis agitur. Et hujus quidem principium absque principio Pater : ex illo enim ; medium autem et ipse principium Filius : per ipsum enim ; terminus autem perfectissimus et æternus Spiritus sanctus : in ipsum enim. Secernitur autem et ab aliis processionibus illa; non enim separat omnino a principio ea quæ a principio oriuntur; sed omnino non foras prodeuntia servat, per substantiæ identitatem; quanquam ut propriæ personæ prodeunt : ideo non egent secundum impetum conversione. Sed ultra hanc omnes aliæ processiones invicem separantur. Et earum quidem absque principio nullo; quia nihil sine principio est, sed omnia facta sunt a Patre per Filium, perfecta a Spiritu. Absque fine non omnis; sed neque etiam omnino. Eorum vero quæ perpetuo post suam inde productionem permanent, una quidem secundum substantiam, et jam perfecta est; neque enim ulla alia ultra ea quæ ab initio producta sunt, insuper producuntur; neque etiam ea quæ producta sunt secundum substantiam mutationem exspectantia nova productione indigent. Illa autem quæ est secundum illuminationem, perpetuo inde et sine fine procedit, iis quidem primo dono, illis autem secundo, et ita successive, divinis splendoribus secundum donum profluentibus, singulorum ordinibus et statui proportionate usque ad eorum ultima. Sic autem et omnia ad unicum principium composite convertuntur; et perpetuus illis et æternus ex processionibusque et conversionibus circulus servatur. Processio autem eorum quæ nativitati et corruptioni et tempori subjiciuntur, quoad universum quidem et jam perfecta sunt. Intra sex enim dies totus hic sensibilis mundus adimpletus est; septima autem die requievit Deus ab universis operibus suis. Neque jam alterius mundi processio exspectatur in universum perficienda, secundum præsentis sæculi perfectionem; quoad partes vero adhuc quidem efficitur, quemadmodum dictum est a Salvatore : « Pater meus usque modo operatur et ego operor. » Cessatum autem fuit omnino a processione secundum communem perfectionem; et alia tunc processio erit, secundum quam erit Deus omnia in omnibus; et omnia ad ipsum convertentur, et universorum erit transformatio, et ex corruptione in incorruptionem instauratio.

A λέγοιτο ἡ ἀπὸ τοῦ ἑνὸς μόνου Πατρὸς γέννησις τοῦ ἑνὸς καὶ μόνου Υἱοῦ, καὶ ἀπὸ τοῦ αὐτοῦ πρόβλησις τοῦ ἑνὸς καὶ μόνου ἁγίου Πνεύματος καθ' ἣν ἡ πατρικὴ τε καὶ ἀρχικὴ μᾶλλον δὲ προάναρχος μονὰς εἰς δυάδα κινηθεῖσα τὴν ἐν Υἱῷ θεωρουμένην καὶ Πνεύματι, μέχρι Τριάδος ἔστη, καθάπερ φησὶν ὁ ἡμέτερος Θεολόγος Γρηγόριος. Αὕτη δὲ καὶ μόνη θεία φύσει πρόοδος, εἴπερ δεῖ φύσει λέγειν ἐπὶ τῶν ὑπερφυῶν καὶ θείων· καὶ ταύτης ἀρχὴ μὲν ἄναρχος ὁ Πατήρ, ἐξ αὐτοῦ γάρ· μεσότης δὲ σύναρχος ὁ Υἱός, δι' αὐτοῦ γάρ· τέλος δὲ ὑπερτελέστατον καὶ ἀτελεύτητον τὸ Πνεῦμα τὸ ἅγιον, εἰς αὐτὸ γάρ· ἐξήρηται δὲ καὶ τῶν ἄλλων προόδων αὕτη· οὐδὲ γὰρ ἐξίστησιν ὅλως τῆς ἀρχῆς τὰ ἐξ αὐτῆς, ἀλλ' ἀνεκφοίτητα πάντη ταύτης τηρεῖ, διὰ τὴν τῆς οὐσίας B ταυτότητα· εἰ καὶ ὡς ἴδια πρόσωπα πρόεισι· διὸ οὐδὲ τῆς κατ' ἔφεσιν ἐπιστροφῆς δέονται· αἱ δὲ παρὰ ταύτην πᾶσαι τῶν ὄντων πρόοδοι, τοῖς οὖσι συνδιαιροῦνται· καὶ ἄναρχος μὲν τούτων οὐδεμία, ὅτι καὶ τῶν ὄντων ἄναρχον οὐδέν, ἀλλὰ πάντα γέγονε παρὰ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ συντελεσθέντα τῷ Πνεύματι· ἀτελεύτητος δὲ, οὐ πᾶσα· οὔτε μὴν πάντη, ἀλλὰ τῶν μὲν ἀϊδίων μετὰ τὴν ἐκεῖθεν παραγωγὴν μενόντων, ἡ μὲν κατ' οὐσίαν καὶ δὴ τετέλεσται· οὔτε γὰρ ἀλλάττα παρὰ τὰ ἐξ ἀρχῆς παραχθέντα ἐπιπαράγονται· οὔτ' αὐτὰ ἐκεῖνα τὰ παραχθέντα, τὴν κατ' οὐσίαν μεταβολὴν ὑπομένοντα, πάλιν ἄλλης παραγωγῆς δέονται· ἡ δὲ κατ' ἔλλαμψιν, ἀΐδιος ἐκεῖθεν προβαίνει καὶ ἀτελεύτητος, τοῖς μὲν πρω- C τοδότως, τοῖς δὲ δευτεροδότως, καὶ καθεξῆς· τῶν θείων ἀπαυγασμάτων προχεομένων κατὰ μετάδοσιν, ἀναλόγως ταῖς ἑκάστων τάξεσιν εἶτ' οὖν στάσεσι, μέχρι καὶ τῶν ἐν ἐκείνοις ἐσχάτων· οὕτω δὲ καὶ πάντα πρὸς τὴν μίαν ἀρχὴν ἀνατατικῶς ἐπιστρέφει· καὶ ὁ ἀΐδιος τούτοις καὶ ἀτελεύτητος ἔν τε ταῖς προόδοις καὶ ταῖς ἐπιστροφαῖς κύκλος σώζεται· ἡ δὲ τῶν ὑπὸ γένεσιν καὶ φθορὰν καὶ χρόνον, κατὰ μὲν τὸ καθόλου, καὶ ἤδη τετέλεσται. Ἐν ἓξ γὰρ ἡμέραις σύμπας ὁ αἰσθητὸς συμπεπλήρωται κόσμος· ἐν δὲ τῇ ἑβδόμῃ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· καὶ οὐκέτι πρόοδος ἄλλου κόσμου καὶ ἔτι προσδοκᾶται πάμπαν συντελεσθῆναι, κατὰ τὴν τοῦ παρόντος αἰῶνος συντέλειαν· κατὰ δὲ τὸ κατὰ μέρος, ἔτι μὲν ἐνεργεῖται καθὰ εἴρηται τῷ Σωτῆρι· D « ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· » πεπαύσεται δὲ πάντως καὶ ἡ κατὰ τὴν κοινὴν συντέλειαν· καὶ ἄλλη τηνικαῦτα πρόοδος ἔσται, καθ' ἣν ἔσται ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι· καὶ πάντα πρὸς αὐτὸν ἐπιστρέψουσιν, ἡ τῶν ὅλων μεταστοιχείωσις, καὶ ἐκ φθορᾶς εἰς ἀφθαρσίαν μεταποίησις.

EXPLICIT PARS SECUNDA TOMI OCTOGESIMI SEPTIMI.

5068 024

Parisiis. — Ex typis L. MIGNE.

Digitized by Google

Digitized by Google

Digitized by Google

3 2044 073 502 205

THIS VOLUME
DOES NOT CIRCULATE
OUTSIDE THE LIBRARY

Digitized by Google